(52) *Συνήγαγεν*. Addunt editi γὰρ καί, sed hæ voculæ absunt ab antiquis codicibus. Erasmum carpit Combefisius, quod ἀμφοτέρας interpretatur *ambas*, ac reddendum esse contendit *utrasque tres ipsas*. Venia non careret observatio Combefisii, si illud, εἰς αὐτόν, idem esset ac *in ipso*. Tunc enim merito diceretur Basilius tres illas loquendi rationes, *ex quo, per quem*, et *in quo*, de quibus eum inter et Pneumatomachos erat controversia, ex Paulo collegisse. At illud, εἰς αὐτόν, *in ipsum*, sive *ad ipsum*, non erat materia cavillationum ab hæreticis inventarum. Unde miror S. Ambrosium sic inter- D pretari : *Quoniam ex ipso et per ipsum et in ipso sunt omnia*, lib. II *De Spiritu sancto*, cap. 9; cum præsertim sanctus doctor illud εἰς αὐτόν sic explicet, quasi idem valeat ac omnia in eum intuentur. Ejus verba mox referam.

(53) *Ἐκ τῶν κατόπιν*. Erasmus : *ex his quæ subjiciunt*; sed, ut sæpe alias, ita hic quoque designantur hac voce, *quæ retro* sive *superius dicta sunt*, ut observat Combefisius. Mox ἐν præpositio bis addita ex duobus libris veteribus.

(54) *Πονηρευομένους*. Codices quinque πονηρευομένοις.

(55) *Ἀποκληρώσας*. Sic utraque editio; atque hanc lectionem, ut aptiorem et significatiorem retinuimus, quamvis quinque codices mss. habeant ἀποπληρώσας. Quod etiam prima manu exstitit in Colbertino, sed postea inducta mutatio.

αὐτοῦ γὰρ τοῖς οὖσιν ἡ αἰτία τοῦ εἶναι κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς γίνεται. Δι' αὐτοῦ τοῖς πᾶσιν ἡ διαμονὴ καὶ ἡ σύστασις· τοῦ κτίσαντος τὰ πάντα, καὶ τὰ πρὸς σωτηρίαν ἑκάστῳ τῶν γενομένων ἐπιμετροῦντος. Διὸ δὴ καὶ εἰς αὐτὸν ἐπέστραπται τὰ σύμπαντα, ἀσχέτῳ (56) τινὶ πόθῳ καὶ ἀῤῥήτῳ στοργῇ πρὸς τὸν ἀρχηγὸν τῆς ζωῆς καὶ χορηγὸν ἀποβλέποντα, κατὰ τὸ γεγραμμένον· *Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι*· καὶ πάλιν· *Πάντα πρὸς σὲ προσδοκῶσι*· καὶ, *Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.*

A *ipso, et per ipsum, et in ipsum omnia* [88]. Ex hoc siquidem iis quæ sunt, causa ut sint manat, juxta voluntatem Dei et Patris. Per ipsum perseverant ac consistunt omnia; universorum conditore unicuique rei creatæ ea etiam quæ ad sui conservationem necessaria sunt dimetiente. Quapropter sane etiam universa sese ad illum convertunt, invincibili atque insedabili quodam desiderio, et arcano affectu ad auctorem et largitorem vitæ respicientia, juxta illud quod scriptum est : *Oculi omnium in te sperant* [89]; et rursum : *Omnia a te exspectant* [90]; et : *Aperis tu manum tuam, et imples omne animal benedictione* [91].

8. Εἰ δὲ πρὸς ταύτην ἡμῶν τὴν ἐκδοχὴν ἐνίστανται, τίς αὐτοὺς ἐξαιρήσεται λόγος τοῦ μὴ οὐχὶ φανερῶς ἑαυτοῖς περιπίπτειν; Εἰ γὰρ μὴ ἐπὶ τοῦ Κυρίου δώσουσι τὰς τρεῖς εἰρῆσθαι φωνὰς, τήν τε *ἐξ αὐτοῦ*, καὶ *δι' αὐτοῦ*, καὶ *εἰς αὐτὸν* (57), ἀνάγκη πᾶσα προσοικειοῦν τῷ Θεῷ καὶ Πατρί. Ἐκ δὲ τούτου προδήλως αὐτοῖς διαπεσεῖται τὸ παρατήρημα. Εὑρίσκεται γὰρ οὐ μόνον τὸ *ἐξ οὗ*, ἀλλὰ καὶ τὸ *δι' οὗ*, τῷ Πατρὶ προσαγόμενον. Ὅπερ εἰ μὲν οὐδὲν ταπεινὸν ἐμφαίνει, τί δήποτε ὡς ὑποδεέστερον ἀφορίζουσι τῷ Υἱῷ; εἰ δὲ πάντως ἐστὶ διακονίας δηλωτικὸν, ἀποκρινάσθωσαν ἡμῖν· Ὁ Θεὸς τῆς δόξης καὶ Πατὴρ τοῦ Χριστοῦ τίνος ἐστὶν ἄρχοντος ὑπηρέτης; Ἐκεῖνοι μὲν οὖν οὕτως ὑφ' ἑαυτῶν περιτρέπονται, ἡμῖν δὲ ἑκατέρωθεν τὸ ἰσχυρὸν φυλαχθήσεται. Ἐάν τε γὰρ νικήσῃ περὶ τοῦ Υἱοῦ εἶναι τὸν λόγον, εὑρεθήσεται τὸ *ἐξ οὗ* τῷ Υἱῷ προσαρμόζον· ἐάν τέ τις φιλονεικῇ (58) ἐπὶ τὸν Θεὸν ἀναφέρειν τοῦ προφήτου τὴν λέξιν, πάλιν τὴν *δι' οὗ* φωνὴν τῷ Θεῷ πρέπειν δώσει, καὶ τὴν ἴσην ἕξει ἀξίαν ἑκατέρα, τῷ κατὰ τὸν ἴσον λόγον ἐπὶ Θεοῦ παρειλῆφθαι. Καὶ οὕτω γε κἀκείνως ὁμότιμοι ἀλλήλαις ἀναφανήσονται, ἐφ' ἑνὸς προσώπου καὶ τοῦ αὐτοῦ τεταγμέναι. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.

8. Quod si adversus hanc nostram expositionem instabunt, quæ illos ratio liberabit, quominus B evidenter in se ipsos incurrant? Etenim si concessuri non sunt de Domino dictas esse has tres voces, *ex ipso*, et *per ipsum*, et *in ipsum* : omnino necessum est, ut Deo et Patri proprie tribuantur. Atque hinc palam conciderit illorum observatio. Reperitur enim non modo, *ex quo*, sed etiam, *per quem*, accommodari ad Patrem. Quæ vox si nihil præ se fert humile, quam tandem ob causam eam velut inferioris dignitatis assignant Filio? Quod si omnino declarat ministerium, respondeant nobis : Deus gloriæ et Pater Christi, cujus principis est minister? Igitur isti quidem **8** ad hunc modum a seipsis undique subvertuntur, nobis autem utrinque quod firmum est servabitur. Etenim sive de Filio C evicerit dictum esse quod recitavimus, comperietur hæc particula, *ex quo*, Filio convenire : sive quis contendat prophetæ verba ad Deum esse referenda, rursus concedet vocem hanc, *per quem*, Deo congruere; et utraque vox parem dignitatem obtinebit, eo quod pari ratione de Deo usurpetur. Atque juxta modum utrumque, perspicuum erit has particulas parem inter se habere dignitatem, quod de una eademque persona usurpatæ sint. Sed ad propositum revertamur.

9. Γράφων ὁ Ἀπόστολος πρὸς Ἐφεσίους, φησίν· *Ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλὴ Χριστὸς, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας, κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους* (59) *τὴν αὔξησιν τοῦ σώματος ποιεῖται.* Καὶ πάλιν ἐν τῇ πρὸς Κολασσαεῖς πρὸς τοὺς οὐκ ἔχοντας τοῦ Μονογενοῦς τὴν γνῶσιν εἴρηται, ὅτι *Ὁ κρατῶν τὴν κεφαλὴν*, τουτέστι τὸν Χριστὸν, *ἐξ οὗ πᾶν τὸ*

9. Apostolus scribens Ephesiis, ait : *Veritatem autem loquentes in charitate, crescamus in ipsum per omnia, qui est caput Christus, ex quo totum corpus dum compingitur et connectitur, per omnem juncturam subministrationis, secundum operationem in* D *mensura uniuscujusque partis incrementum corporis facit* [92]. Et rursus in Epistola ad Colossenses, ad eos qui non habebant Unigeniti notitiam dictum est : *Qui tenet caput*, hoc est, Christum, *ex quo totum corpus, per juncturas et connexiones submini-*

[88] Rom. XI, 36. [89] Psal. CXLIV, 15. [90] Psal. CIII, 27. [91] Psal. CXLIV, 16. [92] Ephes. IV, 15, 16.

(56) Ἀσχέτῳ, etc. Sic reddit hunc locum S. Ambrosius, lib. II *De Spiritu sancto*, cap. 9 : In ipso, *quid est? Quia omnia admirabili quodam desiderio et inenarrabili amore auctorem vitæ et ministratorem gratiæ suæ ac muneris intuentur, secundum quod scriptum est : « Oculi omnium, »* etc. In Commentario in *Isaiam* cap. V, p. 477, hæc leguntur : *Unigenitus ipsum bonum, quod appetunt omnia, cujus amor naturali et inenarrabili modo omnium ratione utentium animis instillatus.*

(57) *Καὶ εἰς αὐτόν*. Addunt editi et Reg. secundus τὰ πάντα. Sed hæc prorsus inutilia, nec in quinque aliis codicibus reperiuntur.

(58) *Φιλονεικῇ*. Sic editiones Basileenses et antiqui codices. Unus cum editione Paris. φιλονεικήσῃ. Aliquanto post veteres aliquot libri Καὶ οὕτω δέ.

(59) *Μέρους*. Consentiunt in hac voce omnes codices mss. Habent tamen editi μέλους.

stratum, augescit augmento Dei [94]. Quod enim Christus caput est Ecclesiæ, alio loco didicimus, Apostolo dicente: *Et ipsum dedit caput super omnia Ecclesiæ* [95]. Et: *E plenitudine ejus accepimus nos omnes* [96]. Et ipse Dominus: *De meo accipiet, et annuntiabit vobis* [96]. Et in summa, diligenter legenti varii usus videbuntur illius *ex quo*. Nam et Dominus: *Novi*, inquit, *virtutem ex me exiisse* [97]. Similiter autem et de Spiritu compluribus locis observavimus illud, *ex quo*, positum esse. *Qui enim*, inquit, *seminat in Spiritu, e Spiritu metet vitam æternam* [98]. Item Joannes: *Ex hoc cognoscimus quod in nobis est, e Spiritu quem nobis donavit* [99]. Et angelus: *Quod enim in ea generatum est, e Spiritu sancto est* [1]. Et Dominus ait: *Quod natum est e Spiritu, Spiritus est* [2]. Atque id quidem ad hunc habet modum.

10. Jam vero demonstrandum est hanc vocem, *per quem*, pariter et de Patre, et de Filio, et de Spiritu sancto in Scripturis usurpari. Ac de Filio sane supervacaneum fuerit proferre testimonia, tum quia hoc notum est, tum quod hoc ipsum ab adversariis astruitur. Nos porro demonstrabimus hanc particulam, *per quem*, etiam de Patre fuisse positam. *Fidelis*, inquit, *Deus, per quem vocati estis in consortium Filii ipsius* [3]; et: *Paulus apostolus Jesu Christi per voluntatem Dei* [4]; et rursum: *Itaque non es jam servus, sed filius, et hæres per Deum* [5]. Item illud: *Quemadmodum surrexit Christus a mortuis per gloriam Patris* [6]. Et Isaias: *Væ*, inquit, *qui profunde facitis consilium, et non per Dominum* [7]. Quin et de Spiritu sancto possunt etiam apponi multa hujus vocis testimonia. *Nobis autem*, **9** inquit, *Deus revelavit per Spiritum* [8]. Et alio loco: *Bonum depositum custodi per Spiritum sanctum* [9]; ac rursus: *Alii quidem per Spiritum datus est sermo sapientiæ* [10].

11. Eadem vero et de syllaba, *in*, dicere possumus, quod etiam hanc de Deo et Patre Scriptura usurparit, velut in Veteri Testamento: *In Deo*, inquit, *faciamus virtutem* [11]; et: *In te cantatio mea semper* [12]; et rursus: *In nomine tuo exsultabo* [13]; et apud Paulum: *In Deo*, inquit, *qui condidit omnia* [14]; et, *Paulus ac Silvanus et Timotheus Ecclesiæ Thessalonicensium in Deo Patre* [15]; et, *Si tandem aliquando prosperum iter habeam in voluntate Dei, veniendi ad*

A *σῶμα, διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ.* Ὅτι γὰρ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας, ἑτέρωθι μεμαθήκαμεν, τοῦ Ἀποστόλου λέγοντος· *Καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ·* καί, *Ἐκ τοῦ* (60) *πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν.* Καὶ αὐτὸς ὁ Κύριος, ὅτι *Ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.* Καὶ ὅλως τῷ φιλοπόνως ἀναλεγομένῳ πολύτροποι αἱ χρήσεις ἀναφανήσονται τοῦ *ἐξ οὗ.* Καὶ γὰρ καὶ ὁ Κύριος, *Ἔγνων*, φησί, *δύναμιν ἐξελθοῦσαν ἐξ ἐμοῦ.* Ὁμοίως δὲ καὶ περὶ τοῦ Πνεύματος τετηρήκαμεν πολλαχοῦ τὸ *ἐξ οὗ* κείμενον. *Ὁ γὰρ σπείρων*, φησίν, *εἰς τὸ Πνεῦμα ἐκ τοῦ Πνεύματος θερίσει ζωὴν αἰώνιον·* καὶ ὁ Ἰωάννης· *Ἐκ τούτου γινώσκομεν, ὅτι ἐν ἡμῖν* B *ἐστιν, ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκε·* καὶ ὁ ἄγγελος· *Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου.* Καὶ ὁ Κύριός φησι (61)· *Τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος Πνεῦμά ἐστι.* Τοῦτο μὲν δὴ τοιοῦτον.

10. Ὅτι δὲ τὴν δι' οὗ φωνὴν ὁμοίως ἐπί τε Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ἡ Γραφὴ παραδέχεται, ἤδη δεικτέον. Ἐπὶ μὲν δὴ τοῦ Υἱοῦ πάρελκον ἂν εἴη μαρτυρίας κομίζειν, διά τε τὸ γνώριμον, καὶ διὰ τὸ παρὰ τῶν ἐναντίων αὐτὸ τοῦτο κατασκευάζεσθαι· ἡμεῖς δὲ δείκνυμεν, ὅτι καὶ ἐπὶ τοῦ Πατρὸς τὸ δι' οὗ τέτακται. *Πιστὸς*, φησίν, *ὁ Θεός, δι' οὗ ἐκλήθητε* (62) *εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ·* καί, *Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ·* καὶ πάλιν· *Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος διὰ* C *Θεοῦ·* καὶ τό· *Ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός·* καὶ ὁ Ἡσαΐας, *Οὐαί*, φησίν, *οἱ βαθέως βουλὴν ποιοῦντες, καὶ οὐ διὰ Κυρίου.* Πολλὰς δὲ καὶ ἐπὶ τοῦ Πνεύματος τῆς φωνῆς ταύτης μαρτυρίας ἔξεστι παραθέσθαι. *Ἡμῖν δέ*, φησίν, *ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος* (63)· καὶ ἑτέρωθι· *Τὴν καλὴν παραθήκην φύλαξον διὰ Πνεύματος τοῦ ἁγίου·* καὶ πάλιν· *Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας.*

11. Τὰ αὐτὰ δὲ ταῦτα καὶ περὶ τῆς, *ἐν*, συλλαβῆς εἰπεῖν ἔχομεν, ὅτι καὶ ἐπὶ τοῦ Θεοῦ καὶ Πατρὸς τὴν χρῆσιν αὐτῆς ἡ Γραφὴ παραδέδεκται, ὡς ἐπὶ μὲν Παλαιᾶς, *Ἐν τῷ Θεῷ*, φησί, *ποιήσωμεν* (64) *δύναμιν·* καί, *Ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός·* καὶ πάλιν· *Ἐν τῷ ὀνόματί σου ἀγαλλιάσομαι.* Παρὰ δὲ D Παύλῳ, *Ἐν τῷ Θεῷ*, φησί, *τῷ τὰ πάντα κτίσαντι·* καί, *Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ Ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ Πατρί·* καὶ (65),

[94] Col. II, 19. [95] Ephes. I, 22. [96] Joan. I, 16. [96] Joan. XVI, 14. [97] Luc. VIII, 46. [98] Gal. VI, 8. [99] I Joan. III, 24. [1] Matth. I, 20. [2] Joan. III, 6. [3] I Cor. I, 9. [4] II Cor. IV, 1. [5] Gal. IV, 7. [6] Rom. VI, 4. [7] Isa. XXIX, 15. [8] I Cor. II, 10. [9] II Tim. I, 14. [10] I Cor. XII, 8. [11] Psal. CVII, 14. [12] Psal. LXX, 6. [13] Psal. LXXXVIII. 17. [14] Ephes. III, 9. [15] II Thess. I, 1.

(60) *Καί, Ἐκ τοῦ*, etc. Sic omnes codices mss. Editi vero καὶ ὁ Ἰωάννης, Ἐκ τοῦ, etc.

(61) *Φησί.* Hanc vocem addidimus ex quatuor codicibus mss. Statim editi Τοῦτο μὲν οὖν, aliter quatuor codices mss., quos secuti sumus. Subinde codices tres ἤδη λεκτέον.

(62) *Ἐκλήθητε.* Regius quartus Ἐκλήθημεν.

(63) *Διὰ τοῦ Πνεύματος.* Editi addunt αὐτοῦ, sed ea vox in nullo ex nostris codicibus reperta. Paulo post unus cod. Reg. καλὴν παρακαταθήκην.

(64) *Ποιήσωμεν.* Reg. quartus ποιήσομεν.

(65) *Καὶ εἰ δήποτε.* Editi et veteres aliquot libri καὶ ἤδη ποτέ. Combefisius legendum putat ex textu sacro, Εἴπως ἤδη ποτέ. Secuti sumus scripturam Reg. secundi. Paulo post idem codex καυχᾶσαι. Alii nonnulli καυχᾶσθε. Editi καυχᾶσθαι.

Εἰ δήποτε εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς· καὶ, *Καυχᾶσαι*, φησὶν, *ἐν Θεῷ*. Καὶ ὅσα οὐδὲ ἀριθμῆσαι ῥᾴδιον. Ἔστι δὲ ἡμῖν οὐ πλήθους μαρτυριῶν ἐπίδειξις, ἀλλ' ἔλεγχος τοῦ μὴ ὑγιῶς αὐτοῖς (66) τὰς παρατηρήσεις ἔχειν. Τὸ γὰρ περὶ τοῦ Κυρίου ἢ τοῦ ἁγίου Πνεύματος παρειλημμένην τὴν χρῆσιν ταύτην ἐπιδεικνύναι ὡς γνώριμον ὑπερβήσομαι. Ἐκεῖνο δὲ ἀναγκαῖον εἰπεῖν, ὅτι συνετῷ ἀκροατῇ ἱκανὸς ἔλεγχος τῶν προταθέντων ὁ ἀπὸ τοῦ ἐναντίου. Εἰ γὰρ τὸ διάφορον τῆς ἐκφωνήσεως παρηλλαγμένην ἐδείκνυ (67) τὴν φύσιν κατὰ τὸν τούτων λόγον, ἡ τῶν φωνῶν ταὐτότης ἀπαράλλακτον νῦν τὴν οὐσίαν αὐτοὺς ὁμολογεῖν δυσωπείτω.

12. Οὐ μόνον δὲ ἐπὶ τῆς θεολογίας αἱ χρήσεις τῶν φωνῶν ἐπαλλάττονται, ἀλλ' ἤδη καὶ πρὸς τὰ ὑπ' ἀλλήλων σημαινόμενα πολλάκις ἀντιμεθίστανται, ὅταν ἑτέρα τὴν τῆς ἑτέρας σημασίαν ἀντιλαμβάνῃ. Οἷον, *Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ*, φησὶν ὁ Ἀδὰμ (68), ἴσον λέγων τῷ, *ἐκ τοῦ Θεοῦ*· καὶ ἑτέρωθι· *Ὅσα ἐνετείλατο Μωϋσῆς τῷ Ἰσραὴλ διὰ τοῦ προστάγματος Κυρίου*· καὶ πάλιν· *Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν*; ὁ Ἰωσὴφ, περὶ τῶν ἐνυπνίων τοῖς ἐν τῷ δεσμωτηρίῳ διαλεγόμενος, σαφῶς καὶ αὐτὸς, ἀντὶ τοῦ *ἐκ Θεοῦ* εἰπεῖν, *διὰ τοῦ Θεοῦ* εἴρηκε. Καὶ ἀνάπαλιν τῇ *ἐξ οὗ* προθέσει ἀντὶ τῆς *δι' οὗ* κέχρηται Παῦλος· ὡς ὅταν λέγῃ, *Γενόμενος ἐκ γυναικὸς* ἀντὶ τοῦ *διὰ γυναικός*. Τοῦτο γὰρ ἡμῖν ἑτέρωθι σαφῶς διεστείλατο, γυναικὶ μὲν προσήκειν λέγων τὸ ἐκ τοῦ ἀνδρὸς γεγεννῆσθαι, ἀνδρὶ δὲ τὸ διὰ τῆς γυναικὸς, ἐν οἷς φησιν, ὅτι *Ὥσπερ γυνὴ ἐξ ἀνδρὸς, οὕτως ἀνὴρ διὰ τῆς γυναικός*. Ἀλλ' ὅμως ἐνταῦθα, ὁμοῦ μὲν τὸ διάφορον τῆς χρήσεως ἐνδεικνύμενος, ὁμοῦ δὲ καὶ τὸ σφάλμα τινῶν ἐν παραδρομῇ διορθούμενος τῶν οἰομένων πνευματικὸν εἶναι τοῦ Κυρίου τὸ σῶμα, ἵνα δείξῃ, ὅτι ἐκ τοῦ ἀνθρωπείου φυράματος ἡ θεοφόρος σὰρξ (69) συνεπάγη, τὴν ἐμφατικωτέραν (70) φωνὴν προετίμησε (τὸ μὲν γὰρ *διὰ γυναικὸς* παροδικὴν ἔμελλε τὴν ἔννοιαν τῆς γενέσεως ὑποφαίνειν· τὸ δὲ *ἐκ τῆς γυναικὸς* ἱκανῶς παραδηλοῦν τὴν κοινωνίαν τῆς φύσεως τοῦ τικτομένου πρὸς τὴν γεννήσασαν), οὐχ ἑαυτῷ που μαχόμενος, ἀλλὰ δεικνὺς, ὅτι ῥᾳδίως ἀλλήλαις ἀντεπιχωριάζουσιν αἱ φωναί. Ὁπότε τοίνυν καὶ ἐφ' ὧν διωρίσθη τὸ *δι' οὗ* κυρίως λέγεσθαι, ἐπὶ τῶν αὐτῶν τούτων τὸ *ἐξ οὗ* μετελήφθη, τίνα λόγον ἔχει ἐπὶ συκοφαντίᾳ τῆς εὐσεβείας πάντη ἀλλήλων ἀφορίζειν τὰς λέξεις;

A vos [16]; et : *Gloriaris*, inquit, *in Deo* [17]. Et reliqua quæ ne enumerare quidem facile sit. At nobis non est propositum ostentare testimoniorum multitudinem, sed probare observationes ipsorum rectas non esse. Siquidem hanc particulam de Domino ac Spiritu sancto usurpatam esse, tanquam per se notum, demonstrare omittam. Illud tamen necessario dicendum est, prudenti auditori sufficere illam objectorum confutationem, quæ a contrario ducitur. Nam si prolationis diversitas arguit naturam diversam, quemadmodum isti dicunt : jam vocum identitas vel pudore cogit eos fateri essentiam in nullo discrepantem.

12. Neque enim solum cum de Deo fit sermo, harum vocum usus variat ; verum etiam ad mutuos B invicem significatus sæpenumero transferuntur, quoties altera alterius recipit significationem, veluti, *Possedi hominem per Deum* [18], inquit Adam, perinde atque si dixisset *ex Deo*. Et alibi : *Quæ præcepit Moyses Israeli per mandatum Domini* [19]. Et rursus : *Nonne per Deum horum manifestatio est* [20]? Joseph de insomniis cum iis qui in carcere erant, disserens et ipse aperte pro *ex Deo* dixit *per Deum*. Et contra, *ex quo*, pro *per quem* usurpavit Paulus, velut cum ait : *Factus ex muliere* [21], pro *per mulierem*. Nam id nobis alibi perspicue distinxit, cum ait feminæ convenire, e viro natam esse, viro autem per feminam : *Quemadmodum mulier ex viro, ita vir per mulierem* [22]. Sed tamen hic Apostolus, C simul ostendens diversum harum vocum usum, simul obiter corrigens quorumdam errorem, existimantium Domini corpus esse spirituale ; ut ostenderet carnem Dei gestatricem ex humana massa concretam fuisse, maluit uti verbo significantiore (nam hæ dictiones, *per mulierem*, transitoriæ generationis suspicionem erant daturæ : at hæ, *ex muliere*, abunde declarant communionem, quam natura geniti cum genitrice habet), non quod ille secum pugnet, sed ut ostendat has voces facile sibi vicissim cedere. **10** Quando igitur de quibuscunque definitum est proprie dici, *per quem*, de iisdem etiam vox, *ex quo*, usurpatur ; qua ratione fit, ut ad pietatis calumniam hæ dictiones inter se prorsus separentur ?

[16] Rom. I, 10. [17] Rom. II, 17. [18] Gen. IV, 1. [19] Levit. VIII, 21. [20] Gen. XL, 8. [21] Gal. IV, 4. [22] I Cor. XI, 12.

(66) *Αὐτοῖς*. Sic libri veteres, melius quam editi αὐτούς. Aliquanto post in quatuor codicibus mss. ἔλεγχος τῶν προτεθέντων.

(67) *Ἐδείκνυ*. Sic omnes codices mss.; editi vero Ἐνδείκνυται. Non multo post ἤδη τὰ ὑπ' ἀλλήλων in tribus codicibus.

(68) *Ὁ Ἀδάμ*. Non hoc solum loco Basilius hæc verba Adamo ascribit, sed et lib. II *in Eunom.*, num. 20. In his quæ sequuntur nonnulla mutavimus antiquis codicibus freti. Habebant enim editi διὰ προστάγματος τοῦ Κυρίου. Et paulo post διαλεγόμενός φησι· σαφῶς γὰρ καὶ αὐτὸς..... κέχρηται. Ὡς ὅταν λέγῃ Παῦλος..... ἀνδρὸς γεγεννῆσθαι..... ἡ γυνὴ ἐξ ἀνδρός. Deest etiam φησί in editionibus D Basileensibus.

(69) *Ἡ θεοφόρος σάρξ*. Christi caro Deifera vocatur Homil. *in psalmum* XXXIX, et Comment. *in caput* II *Isaiæ*, ut observat Ducæus. Addit idem vir doctissimus, Theodoretum graviter olim hallucinatum fuisse in reprehensione anathematismi quinti, ubi ait Christum a Basilio θεοφόρον ἄνθρωπον, *hominem Deiferum*, vocatum fuisse in libro *De Spiritu sancto* et in Explanatione psalmi quinquagesimi. Non enim parum interest inter hominem Deiferum et carnem Deiferam.

(70) *Ἐμφατικωτέραν*. Legitur in duobus codicibus Ἐμφαντικωτέραν.

CAPUT VI.

Occurrit iis qui affirmant Filium non esse cum Patre, sed post Patrem; ubi et de gloriæ æqualitate.

13 Atqui nec ad ignorantiæ excusationem confugere possunt, cum tanto artificio tantaque perversitate dicta nostra excipiant: qui quidem nobis palam indignantur, quod una cum Patre adimpleamus Unigenito glorificationem, quodque Spiritum sanctum a Filio non separemus. Unde novatores nos appellant, novitatisque architectos et verborum inventores, et quibus non aliis probrosissimis nominibus? Quorum convicia tantum abest ut indigne feram, ut nisi nos ipsorum exitium dolore perpetuoque cruciatu afficeret, propemodum dicerem me etiam ipsis pro maledictis habere gratiam, ut qui mihi concilient beatitudinem. *Beati enim*, inquit, *estis, cum probris vos impetiverint propter me* [12]. Hujusmodi autem sunt ea quorum causa indignantur. Non est, inquiunt, cum Patre Filius, sed post Patrem; unde consequitur ut per eum gloria Patri tribuatur, sed cum eo nequaquam. Nam illud, *cum eo*, æqualitatem declarat, *per eum* autem, ministerium significat. Neque etiam cum Patre, inquiunt, et Filio collocandus est sanctus Spiritus, sed sub Filio et Patre, sic ut non una cum illis collocetur, sed subdatur, neque connumeretur, sed subnumeretur. Atque talibus quibusdam verborum versutiis pervertunt fidei sinceritatem simplicitatemque. Proinde quam veniam assequentur imperitiæ prætextu, per quos ob istam curiositatem ne aliis quidem imperitis esse licet?

14. Nos vero primum illud ipsos rogemus, quomodo dicant Filium post Patrem? num tempore recentiorem, num ordine, an dignitate? Sed nullus adeo demens est ut dicat conditorem sæculorum, quoquam esse tempore posteriorem, cum nullum sit intervallum, quod naturalem Filii cum Patre conjunctionem dirimat. Neque etiam hominum cogitatione filius patre recentior dici possit, non ob id modo quod simul intelligantur secundum relationem, verum etiam quod ea dicuntur posteriora tempore, quæ a præsenti tempore minus absunt: et rursus illa priora, quæ longius absunt a præsenti tempore. Exempli causa, quæ Noe temporibus acta sunt priora sunt iis quæ narrantur de subversis Sodomis, quod illa longius dissita sint a præ-

A

ΚΕΦΑΛΑΙΟΝ ϛʹ

Ἀπάντησις (71) *πρὸς τοὺς ἀποφαινομένους μὴ μετὰ Πατρὸς εἶναι τὸν Υἱὸν, ἀλλὰ μετὰ τὸν Πατέρα, ἐν ᾧ τὰ περὶ τῆς ὁμοτίμου δόξης.*

13. Καὶ μὴν οὐδὲ πρὸς τὴν ἐξ ἀγνοίας συγγνώμην δυνατὸν αὐτοὺς καταφυγεῖν, οὕτω τεχνικῶς καὶ κακοήθως τὸν λόγον ὑπολαμβάνοντας· οἵ γε προδήλως ἡμῖν χαλεπαίνουσιν, ὅτι μετὰ Πατρὸς ἀποπληροῦμεν τῷ Μονογενεῖ τὴν δοξολογίαν, καὶ τὸ ἅγιον Πνεῦμα μὴ διϊστῶμεν ἀπὸ τοῦ Υἱοῦ (72). Ὅθεν νεωτεροποιοὺς ἡμᾶς καὶ καινοτόμους καὶ ἐφευρετὰς ῥημάτων, καὶ τί γὰρ οὐχὶ τῶν ἐπονειδίστων ἀποκαλοῦσιν; Ὧν τοσοῦτον ἀπέχω δυσχεραίνειν ταῖς λοιδορίαις, ὥστε, εἰ μὴ λύπην ἡμῖν ἐνεποίει καὶ ἀδιάλειπτον ὀδύνην ἡ κατ' αὐτοὺς ζημία, μικροῦ ἂν εἶπον καὶ B χάριν αὐτοῖς τῆς βλασφημίας ἔχειν, ὡς μακαρισμοῦ προξένοις. *Μακάριοι γάρ ἐστε*, φησὶν, *ὅταν ὀνειδίσωσιν ὑμᾶς* (73) *ἕνεκεν ἐμοῦ*. Ἔστι δὲ ἐφ' οἷς ἀγανακτοῦσι, ταῦτα. Οὐ μετὰ Πατρὸς, φασὶν, Υἱὸς, ἀλλὰ μετὰ τὸν Πατέρα· διόπερ ἀκόλουθον δι' αὐτοῦ τὴν δόξαν προσάγειν τῷ Πατρὶ, ἀλλ' οὐχὶ μετ' αὐτοῦ. Τὸ μὲν γὰρ *μετ' αὐτοῦ* τὴν ἰσοτιμίαν δηλοῖ· τὸ δὲ *δι' οὗ* τὴν ὑπουργίαν παρίστησιν. Οὔτε μὴν σὺν τῷ Πατρὶ, φασὶ, καὶ τῷ Υἱῷ τὸ Πνεῦμα τακτέον, ἀλλ' ὑπὸ τὸν Υἱὸν καὶ τὸν Πατέρα, οὐ συντεταγμένον, ἀλλ' ὑποτεταγμένον, οὐδὲ συναριθμούμενον, ἀλλ' ὑπαριθμούμενον. Καὶ τοιαύταις τισὶ τεχνολογίαις ῥημάτων τὸ ἁπλοῦν καὶ ἀκατάσκευον (74) τῆς πίστεως διαστρέφουσιν. Ὥστε τίνος ἂν δι' ἀπειρίαν συγγνώμης C τύχοιεν, οἱ μηδὲ τοῖς ἄλλοις ἀπείρως ἔχειν ἐκ τῆς αὐτῶν φιλοπραγμοσύνης (75) ἐπιτρέποντες;

14. Ἡμεῖς δὲ ἐκεῖνο πρῶτον αὐτοὺς ἐρωτήσωμεν, τὸ μετὰ τὸν Πατέρα πῶς τὸν Υἱὸν λέγουσιν; ὡς χρόνῳ νεώτερον, ἢ ὡς τάξει, ἢ ὡς ἀξίᾳ; Ἀλλὰ χρόνῳ μὲν, οὐδεὶς οὕτως ἀνόητος, ὡς δευτερεύειν λέγειν τὸν ποιητὴν τῶν αἰώνων, οὐδενὸς διαστήματος μεσιτεύοντος τῇ φυσικῇ πρὸς τὸν Πατέρα τοῦ Υἱοῦ συναφείᾳ. Ἀλλὰ μὴν οὔτε τῇ ἐννοίᾳ τῶν ἀνθρώπων (76) συμβαίνει νεώτερον λέγειν τοῦ Πατρὸς τὸν Υἱὸν, οὐ μόνον τῷ σὺν ἀλλήλοις νοεῖσθαι κατὰ τὴν σχέσιν, ἀλλ' ὅτι ἐκεῖνα λέγεται τῷ χρόνῳ δεύτερα, ὅσα τὴν πρὸς τὸ νῦν ἀπόστασιν ἐλάττονα ἔχει· καὶ πάλιν ἐκεῖνα πρότερα, ὅσα περισσότερον ἀπέχει τοῦ νῦν Οἷον πρό- D τερα τῶν Σοδομιτικῶν (77) τὰ κατὰ Νῶε, ὅτι τοῦ νῦν ἐπὶ πλέον ἀπῴκισται· καὶ ὕστερα ταῦτα ἐκείνων, ὅτι μᾶλλόν πως δοκεῖ προσεγγίζειν τῷ νῦν. Τῆς δὲ πάντα

[12] Matth. v, 11.

(71) *Ἀπάντησις*. Regius tertius ἡ ἀντίστασις.

(72) *Ἀπὸ τοῦ Υἱοῦ*. Reg. tertius ἀπὸ τοῦ Θεοῦ.

(73) *Ὑμᾶς*. Addunt editi, repugnantibus omnibus veteribus libris, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι. *Et persecuti fuerint, et dixerint omne malum adversum vos mentientes.*

(74) *Ἀκατάσκευον*. Ita mss. quatuor. Editi ἀκατασκεύαστον. Ibidem duo codices ἐνδιαστρέφουσι. Quibus favet alius, in quo legitur ἐνδιατρίβουσιν.

(75) *Φιλοπραγμοσύνης*. Sic quinque codices mss. Editi πολυπραγμοσύνης. Mox editi ἐρωτήσομεν. Plerique codices mss. ut in contextu.

(76) *Τῶν ἀνθρώπων*. Codices quinque τῶν ἀνθρωπίνων, *ex rerum humanarum notione.* At longe potior est vulgata Scriptura. Propositum enim est Basilio, cum antea probaverit Filium non esse tempore posteriorem, nunc aliquid significantius addere, eumque liquet in hoc argumento versari, ut Filium ne cogitatione quidem Patre posteriorem dici posse demonstret. Statim editi συναλλήλους, codices omnes mss. ut in contextu.

(77) *Τῶν Σοδομιτικῶν*. Tres codices τῶν Σοδομιτῶν.

χρόνον καὶ πάντας αἰῶνας ὑπερεχούσης ζωῆς τῇ πρὸς τὸ νῦν ἀποστάσει τὸ εἶναι καταμετρεῖν πῶς οὐχὶ πρὸς τῇ ἀσεβείᾳ ἔτι καὶ πᾶσαν ὑπερβολὴν ἀνοίας ἔχει· εἴπερ καθ' ὃν τρόπον τὰ ἐν γενέσει καὶ φθορᾷ πρότερα εἶναι ἀλλήλων λέγεται, κατὰ τὸν αὐτὸν τρόπον ὁ Θεὸς καὶ Πατὴρ τῷ Υἱῷ καὶ Θεῷ τῷ ὑπάρχοντι πρὸ τῶν αἰώνων παραμετρούμενος ὑπερέχοι; Ἀλλὰ γὰρ ἡ πρὸς τὸ ἄνω ὑπεροχὴ τοῦ Πατρὸς ἀθεώρητος, τῷ ἁπαξαπλῶς μήτε ἐνθύμησιν, μήτε τινὰ ἔννοιαν τὴν τοῦ Κυρίου γέννησιν ὑπεραίρειν, καλῶς τοῦ Ἰωάννου διὰ δύο φωνῶν εἴσω περιγράπτων ὅρων τὴν διάνοιαν ἀποκλείσαντος, ἐν τῷ εἰπεῖν· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος.* Ἀνέκβατον μὲν γὰρ διανοίαις τὸ *ἦν*· ἀνυπέρβατον δὲ φαντασίαις (78) ἀρχή. Ὅσον γὰρ ἂν ἀναδράμῃς τῇ διανοίᾳ ἐπὶ τὸ ἄνω, οὐκ ἐκβαίνεις τὸ *ἦν*. Καὶ ὅσον ἂν διαταθῇς ἰδεῖν τοῦ Υἱοῦ τὰ ἐπέκεινα, ὑπεράνω γενέσθαι τῆς ἀρχῆς οὐ δυνήσῃ. Εὐσεβὲς οὖν κατὰ τοῦτον τὸν τρόπον ἅμα νοεῖν τὸν Υἱὸν τῷ Πατρί.

15. Εἰ δ' ὡς ἐν τόπῳ ὑποκειμένῳ ὑπόβασίν τινα τοῦ Υἱοῦ νοοῦσι πρὸς τὸν Πατέρα, ὥστε ὑπεράνω μὲν τὸν Πατέρα καθῆσθαι, πρὸς δὲ τὸ ἐφεξῆς εἰς τὸ κάτω τὸν Υἱὸν ἀπεῶσθαι, ὁμολογείτωσαν τοῦτο, καὶ ἡμεῖς σιωπήσομεν (79), τῆς ἐναργείας (80) αὐτόθεν τὸ ἀπεμφαῖνον ἐχούσης. Οὐδὲ γὰρ τὸ ἐν τοῖς λογισμοῖς ἀκόλουθον διασώζουσιν οἱ διὰ πάντων διήκειν τῷ Πατρὶ μὴ διδόντες, τῆς τῶν ὑγιαινόντων ἐννοίας τὰ πάντα τὸν Θεὸν πεπληρωκέναι πιστευούσης· οὐδὲ μέμνηνται τοῦ προφήτου λέγοντος· *Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει*· οἱ τὸ ἄνω καὶ κάτω εἰς Πατέρα καὶ Υἱὸν διαιροῦντες. Ἵνα δὲ τῆς ἀμαθείας τὸν ἔλεγχον σιωπήσω, τόπον ἐπὶ τῶν ἀσωμάτων ἀφοριζόντων· τί τὴν πρὸς τὰς Γραφὰς μάχην καὶ ἐναντίωσιν αὐτῶν οὕτως ἀναίσχυντον οὖσαν παραμυθήσεται, τὸ, *Κάθου ἐκ δεξιῶν μου*, καὶ τὸ, *Ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλοσύνης τοῦ Θεοῦ;* Τὸ γὰρ δεξιὸν οὐ τὴν κάτω χώραν δηλοῖ (ὡς ὁ τούτων λόγος), ἀλλὰ τὴν πρὸς τὸ ἴσον σχέσιν· οὐ σωματικῶς τοῦ δεξιοῦ λαμβανομένου (οὕτω γὰρ ἄν τι καὶ σκαιὸν ἐπὶ τοῦ Θεοῦ εἴη), ἀλλ' ἐκ τῶν τιμίων τῆς προσεδρείας (81) ὀνομάτων τὸ μεγαλοπρεπὲς τῆς περὶ τὸν Υἱὸν τιμῆς παριστῶντος τοῦ λόγου. Λειπόμενον τοίνυν (82) αὐ-

senti **11** tempore: et hæc illis posteriora, quod quodammodo appareant præsenti tempori viciniora. At ejus vitæ, quæ omne tempus et omnia sæcula transcendit, exsistentiam metiri distantia a præsenti tempore, an non præter impietatem, omnem etiam dementiam superat; si quemadmodum res generationi corruptionique obnoxiæ, aliis aliæ priores esse dicuntur, eumdem ad modum Deus et Pater, collatus cum Filio et Deo qui est ante sæcula, superat? At enim Patrem esse anteriorem nemo possit animo concipere, eo quod Domini generationem nec ulla prorsus cogitatio, neque ulla notio transcendat: Joanne pulchre duabus vocibus cogitationem intra circumscriptos terminos recludente, cum ait: *In principio erat Verbum* [24]. Nam neque ex hac voce, *erat*, cogitatio exitum reperire potest; neque principium imaginatio transcendere. Quantumvis enim cogitatione curras ad anteriora: ex voce, *erat*, exitum non reperis. Et quantumvis institeris videre quæ sint ultra Filium, non poteris tamen superare principium. Itaque pium est juxta hanc rationem Filium simul cum Patre intelligere.

15. Quod si velut in loco humiliore Filium Patri subesse imaginantur; ut in sublimi sedeat Pater, ac dein Filius in locum inferiorem detrusus sit; fateantur istud, et nos tacebimus, aperta loquendi ratione per se absurditatem habente. Nam nec in ratiocinando sibi constant, qui non concedunt Patrem ad universa pertingere, cum eorum qui sani sunt, cogitatio credat Deum implesse universa: nec recordantur Prophetæ dicentis: *Si ascendero in cœlum, tu illic es; si descendero ad inferos, ades* [25]; qui supra et infra partiuntur inter Patrem et Filium. At ut nihil dicam ad redarguendam illorum imperitiam, rebus incorporeis locum attribuentium; quid excusabit eorum impietatem, qua tam impudenter repugnant adversanturque Scripturis? quod genus est illud: *Sede a dextris meis* [26]; et: *Consedit in dextra majestatis Dei* [27]. Neque enim dextrum significat locum inferiorem quod isti prædicant, sed relationem ad id quod æquale est; quippe cum dextrum non accipiatur corporaliter (sic enim possit etiam esse aliquid sinistrum in Deo) sed honorificis assidendi verbis Filii majestatem honoremque Scriptura ob oculos ponat. Reliquum est igitur, ut hac voce dignitatis inferiorem gradum indicari

[24] Joan. I, 1. [25] Psal. CXXXVIII, 8. [26] Psal. CIX, 1. [27] Hebr. I, 3.

(78) *Διανοίαις... φαντασίαις.* Sic duo libri veteres, quibus favet aliorum trium scriptura διανοίας... φαντασίας. Editi διανοίᾳ... φαντασίᾳ. Aliquanto post editi ἐπὶ τὰ ἄνω, codices mss. ut in contextu.

(79) *Σιωπήσομεν.* Tres codices σιωπήσωμεν.

(80) *Τῆς ἐναργείας.* Sic duo codices mss. Quatuor alii cum editis habent ἐνεργείας. Sed proclive fuit errare librariis, quos pariter in eadem voce sæpe alias offendisse videbimus. Scriptura, quam secuti sumus, hæret et conducit proposito Basilii, qui provocat hæreticos ut aperte dicant Patrem superiore loco sedere, Filium inferiore; tunc enim verbis ad eos refellendos opus non futurum, cum ejusmodi sententia, si palam ac sine dissimulatione enuntietur, manifestam habeat repugnantiam. Non diverso sensu, licet diverso verborum ordine, dixit Basilius in epistol. al. 344: Αὐτόθεν ἔχει τὸ ἐναργὲς ἡ βλασφημία. *Sua sponte manifesta est blasphemia.*

(81) *Προσεδρείας.* Quamvis hæc scriptura in uno tantum exstet codice ms., assentior tamen Combefisio eam vulgatæ προεδρίας, quæ in aliis reperitur mss. codicibus et editis, præferendam esse. Filius cum Patre comparatus non habet προεδρίαν, nec illi Erasmus sine absurdo commento *præsidentiam* (sic enim reddidit hanc vocem) attribuere potuit.

(82) *Λειπόμενον τοίνυν.* Cod. Colbert. Λείπεται τοίνυν. Contendit autem hoc loco Combefisius legendum esse, ut in margine codicis Henriciani, οὐδὲ ἀξίας, et sic reddendum: *Relinquitur igitur illis, ut nec inferiorem dignitatis gradum per hanc vocem*

asserant. Discant igitur quod Christus est Dei virtus, et Dei sapientia [28], et imago Dei invisibilis [29], et splendor **12** gloriæ [30], quodque hunc Pater signavit Deus, seque totum in eo expressit. Hæc igitur et quæcunque his similia sunt per universam Scripturam testimonia, utrum dicemus humilitatis habere significationem, an ceu præconia quædam, Unigeniti majestatem, et æqualem cum Patre gloriam ebuccinari? Audiant insuper et ipsum Dominum palam suam gloriam cum Patre æqualem asserentem, cum ait : *Qui videt me, videt et Patrem* [31] Ac rursum : *Cum venerit Filius in gloria Patris* [32]; et : *Ut honorificent Filium, quemadmodum honorificant Patrem* [33]. Item illud : *Vidimus gloriam ejus, gloriam tanquam Unigeniti a Patre* [34]. Rursus : *Unigenitus Deus, qui est in sinu Patris* [35]. Horum dum isti nihil considerant, locum hostibus destinatum attribuunt Filio. Nam sinus paternus sedes est digna Filio; scabelli vero locus iis convenit, quibus opus est subjectione. Nos igitur ad alia properantes, obiter in transcursu testimonia attigimus; tibi vero per otium licet, collectis probationibus, gloriæ sublimitatem, ac virtutis eminentiam in Filio perspicere. Quanquam ne hæc quidem auditori æquo parva videbuntur, nisi quis carnaliter et abjecto intelligat has voces, *dextrum* et *sinum* : ut loco circumscribat Deum, fingatque figuram ac formam situmque corporalem : quæ ab intelligentia rei simplicis et immensæ ac incorporeæ longe semota sunt, præterquam quod illius cogitatio humilis, pariter in Patrem cadit atque in Filium. Quare non dejicit Filii dignitatem, sed adjungit blasphemiæ crimen adversus Deum quisquis talia disserit. Quæcunque enim ausus fuerit evomere in Filium, necesse est ut eadem transferat in Patrem. Nam qui Patri superiorem locum ad præsidendum tribuit, ac Filium dicit humiliore loco sedere, is quæcunque corporeis accidunt, ea omnia habiturus est suum figmentum consequentia. Quod si istæ imaginationes sunt vino delirantium, ac per phrenitidem mente commotorum; quomodo pium fuerit eum, qui natura, gloria dignitateque conjunctus est, non simul cum Patre adorari et glorificari ab his qui ab ipso edocti sunt, eum qui non honorificat Filium, non honorificare Patrem [36]? Quid porro dicemus? quid justæ excu-

A τοὺς τὸ τῆς ἀξίας ὑποδεὲς διὰ τῆς φωνῆς ταύτης δηλοῦσθαι λέγειν. Μανθανέτωσαν τοίνυν, ὅτι Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία, καὶ ὅτι εἰκὼν Θεοῦ τοῦ ἀοράτου, καὶ ἀπαύγασμα τῆς δόξης, καὶ ὅτι τοῦτον ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεὸς, ὅλον αὐτῷ ἑαυτὸν ἐντυπώσας. Ταύτας τοίνυν, καὶ ὅσαι ταύταις συγγενεῖς κατὰ πᾶσάν εἰσι τὴν Γραφὴν μαρτυρίαι, πότερον ταπεινωτικὰς εἶναί φαμεν (83), ἢ ὥσπερ τινὰς ἀναῤῥήσεις, τὸ μεγαλοπρεπὲς τοῦ Μονογενοῦς, καὶ τὸ πρὸς τὸν Πατέρα ἴσον τῆς δόξης ἀνακηρύττειν; Ἀκουέτωσαν δὲ καὶ αὐτοῦ τοῦ Κυρίου σαφῶς ὁμότιμον ἑαυτοῦ τὴν δόξαν τῷ Πατρὶ παριστῶντος, ἐν τῷ λέγειν· *Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα*· καὶ πάλιν· *Ὅταν ἔλθῃ ὁ Υἱὸς ἐν τῇ δόξῃ τοῦ Πατρός*· καὶ τὸ, *Ἵνα τιμῶσι τὸν Υἱὸν, καθὼς τι-* B *μῶσι τὸν Πατέρα*· καὶ τὸ, *Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός*· καὶ τὸ, *Ὁ μονογενὴς Θεός* (84), *ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός*. Ὧν μηδὲν ὑπολογισάμενοι, τὴν τοῖς ἐχθροῖς ἀφωρισμένην χώραν προστιθέασι τῷ Υἱῷ. Κόλπος μὲν γὰρ πατρικὸς Υἱῷ καθέδρα πρέπουσα· ἡ δὲ τοῦ ὑποποδίου χώρα τοῖς ἐπιδεομένοις (85) τῆς ὑποπτώσεως. Ἡμεῖς μὲν οὖν, ἐφ' ἕτερα τὴν ὁρμὴν ἔχοντες, παρατρεχόντως τῶν μαρτυριῶν ἐφηψάμεθα· ἔξεστι δέ σοι κατὰ σχολὴν, συναγαγόντι τὰς ἀποδείξεις, τὸ τῆς δόξης ὕψος καὶ τὸ τῆς δυνάμεως ὑπερέχον τοῦ Μονογενοῦς κατιδεῖν. Καίτοι εὐγνώμονι ἀκροατῇ οὐδὲ ταῦτα μικρά· εἰ μή τις σαρκικῶς καὶ ταπεινῶς ἐξακούοι τοῦ *δεξιοῦ* καὶ τοῦ *κόλπου*, ὥστε C τόπῳ τε τὸν Θεὸν περιγράφειν, καὶ ἀναπλάττειν σχῆμα, καὶ τύπον, καὶ θέσιν σωματικὴν, ἃ παρὰ πολὺ τῆς ἐννοίας τοῦ ἁπλοῦ καὶ ἀπείρου καὶ ἀσωμάτου διώρισται· πλήν γε δὴ, ὅτι τὸ τῆς ἐννοίας αὐτοῦ ταπεινὸν ἐπί τε Πατρὸς καὶ Υἱοῦ παραπλήσιον. Ὥστε οὐ καθαιρεῖ τοῦ Υἱοῦ τὴν ἀξίαν, ἀλλὰ προσλαμβάνει τὸ κρίμα τῆς εἰς τὸν Θεὸν βλασφημίας ὁ τὰ τοιαῦτα διεξιών. Ἐν οἷς γὰρ ἂν κατατολμήσῃ τοῦ Υἱοῦ, ταῦτα ἀνάγκη αὐτῷ μετατιθέναι πρὸς τὸν Πατέρα. Ὁ γὰρ τῷ Πατρὶ τὴν ἄνω χώραν εἰς προεδρίαν ἀποδιδοὺς, τὸν δὲ μονογενῆ Υἱὸν ὑποκαθῆσθαι λέγων, πάντα ἀκολουθοῦντα ἕξει τὰ σωματικὰ συμπτώματα τῷ ἑαυτοῦ ἀναπλασμῷ. Εἰ δὲ ταῦτα οἰνοπλήκτων καὶ ἐκ φρενίτιδος παραφόρων τὸν νοῦν τὰ φαντάσματα, πῶς εὐσεβὲς, τὸν τῇ φύσει, τῇ δόξῃ, τῷ D ἀξιώματι συνημμένον μὴ μετὰ Πατρὸς προσκυνεῖν καὶ δοξάζειν τοὺς παρ' αὐτοῦ διδαχθέντας, ὅτι Ὁ

[28] I Cor. I, 24. [29] Coloss. I, 15. [30] Hebr. I, 3. [31] Joan. XIV, 9. [32] Marc. VIII, 38. [33] Joan. V, 23. [34] Joan. I, 14. [35] ibid. 18. [36] Joan. V, 23.

dicant significari. Addit vir eruditus : *Quæ plana Basilii littera, abhorrente prorsus quod editis est.* Sed præterquam quod Basilius adversarios nequaquam inducit de Filii æqualitate confitentes, sed potius eam negantes refellit; certe diligens Combefisius in legendo codice quem citat. Non enim legitur in margine οὐδὲ ἀξίας, sed οὐδὲ ἀξίᾳ. Quod quidem scholium ad Basilii sententiam indicandam appositum est, non ad contextum emendandum. Nam in superiore ejusdem codicis pagina duo alia occurrunt scholia, quorum primum sic habet : Ὅτι οὐ χρόνῳ ὁ Υἱὸς ὕστερος τοῦ Πατρός. *Quod Filius tempore non inferior Patre*; deinde aliquanto post οὐδὲ τάξει, *neque ordine*; denique οὐδὲ ἀξίᾳ, *nec dignitate*; accommodate ad institutam a Basilio divisionem.

(83) *Φαμέν*. Duo codices mss. φῶμεν.

(84) *Ὁ μονογενὴς Θεός*. Hæc desunt in uno codice ms., sed in quinque aliis leguntur. Editi ὁ μονογενὴς Υἱός contra veterum codicum fidem et ipsius Basilii testimonium, qui declarat, cap. 8 hujus libri, Christum a Scriptura vocari unigenitum Deum. Unde patet eum sic legisse uti edidimus. Hoc ipso in loco codices duo ἐν τοῖς κόλποις, alius ἐν τῷ κόλπῳ.

(85) *Ἐπιδεομένοις*. Sic mss. quatuor. Editi ὑποδεομένοις.

μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα; Τί γὰρ καὶ φήσομεν; τίνα ἕξομεν δικαίαν ἀπολογίαν ἐπὶ τοῦ φοβεροῦ καὶ κοινοῦ τῆς κτίσεως πάσης δικαστηρίου, εἰ τοῦ Κυρίου σαφῶς ἐπαγγελλομένου ἥξειν ἐν τῇ δόξῃ τοῦ Πατρὸς, καὶ Στεφάνου θεασαμένου Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ Παύλου ἐν Πνεύματι διαμαρτυρομένου (86) περὶ Χριστοῦ, ὅτι ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ· καὶ τοῦ Πατρὸς λέγοντος, *Κάθου ἐκ δεξιῶν μου*· καὶ τοῦ ἁγίου Πνεύματος μαρτυροῦντος, ὅτι ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλοσύνης τοῦ Θεοῦ· ἡμεῖς τὸν σύνθρονον καὶ ὁμότιμον ἀπὸ τῆς πρὸς τὸ ἴσον σχέσεως ἐπὶ τὸ κάτω καταβιβάζοιμεν (87); Οἶμαι γὰρ τὴν μὲν στάσιν καὶ τὴν καθίδρυσιν τὸ πάγιον τῆς φύσεως καὶ πάντη στάσιμον ὑποφαίνειν, καθὸ καὶ ὁ Βαροὺχ, τὸ ἀκίνητον καὶ ἀμετάθετον τῆς τοῦ Θεοῦ διεξαγωγῆς ἐνδεικνύμενος, ἔφη τὸ, *Σὺ καθήμενος εἰς τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι εἰς τὸν αἰῶνα*· τὴν δεξιὰν δὲ χώραν δηλοῦν τὸ τῆς ἀξίας ὁμότιμον. Πῶς οὖν οὐ τολμηρὸν τῆς κατὰ τὴν δοξολογίαν (88) κοινωνίας ἀποστερεῖν τὸν Υἱὸν, ὡς ἐν ἐλάττονι χώρᾳ τιμῆς τετάχθαι ἄξιον·

A sationis afferemus in formidabili ac communi totius creaturæ judicio, si posteaquam Dominus aperte denuntiavit se venturum in gloria Patris [37], et Stephanus Jesum vidit stantem a dextris Dei [38], et Paulus Spiritu afflatus testificatus est de Christo, quod est in dextra Dei [39]; atque etiam cum Pater dicat, *Sede a dextris meis* [40], et Spiritus sanctus testimonium perhibeat, quod consederit ad dextram majestatis Dei [41]; nos throni consortem, et honoris ejusdem participem, ab æqualitatis statu ad inferiorem dejiciamus locum? Siquidem arbitror statione et consessu naturæ, firmitatem ac stabilitatem omnimodam significari; juxta quem tropum et Baruch Deum immobilem et immutabilem semper **13** esse ostendens, ait: *Tu sedes in æternum, et nos per-*
B *imus in ævum* [42]: dextro autem loco indicari dignitatis æqualitatem. An non igitur audax facinus fuerit, Filium glorificationis consortio privare, veluti qui mereatur in loco minus honorato collocari?

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Πρὸς τοὺς λέγοντας μὴ ἁρμόζειν ἐπὶ Υἱοῦ λέγεσθαι τὸ « μεθ' οὗ » ἀλλὰ τὸ « δι' οὗ. »

16. Ἀλλὰ τὸ *μετ' αὐτοῦ* λέγειν, φασὶν, ἀπεξενωμένον παντελῶς καὶ ἀσύνηθες· τὸ δὲ *δι' αὐτοῦ* τῷ τε λόγῳ τῆς Γραφῆς οἰκειότατον καὶ ἐν τῇ χρήσει τῆς ἀδελφότητος τετριμμένον. Τί οὖν ἡμεῖς πρὸς ταῦτα; Ὅτι μακάρια τὰ ὦτα τὰ μὴ ἀκούσαντα ὑμῶν, καὶ καρδίαι ὅσαι ἄτρωτοι ἀπὸ τῶν (89) ὑμετέρων λόγων διεφυλάχθησαν. Ἀλλ' ὑμῖν λέγω τοῖς φιλοχρίστοις, ὅτι ἀμφοτέρας οἶδεν ἡ Ἐκκλησία τὰς χρήσεις, καὶ οὐδετέραν αὐτῶν παραιτεῖται ὡς ἀναιρετικὴν τῆς ἑτέρας. Ὅταν μὲν γὰρ τὸ μεγαλεῖον τῆς φύσεως τοῦ Μονογενοῦς καὶ τὴν τῆς ἀξίας ὑπεροχὴν θεωρῶμεν, μετὰ Πατρὸς εἶναι αὐτῷ μαρτυροῦμεν τὴν δόξαν· ὅταν δὲ τὴν εἰς ἡμᾶς χορηγίαν τῶν ἀγαθῶν ἐννοήσωμεν, ἢ τὴν ἡμῶν αὐτῶν προσαγωγὴν καὶ οἰκείωσιν πρὸς τὸν Θεὸν (90), *δι' αὐτοῦ* καὶ *ἐν αὐτῷ* ἐνεργεῖσθαι ὑμῖν τὴν χάριν ταύτην ὁμολογοῦμεν. Ὥστε ἡ μὲν ἰδία τῶν δοξολογούντων ἐστὶν, ἡ *μεθ' οὗ*· ἡ δὲ *δι' οὗ* τῶν εὐχαριστούντων ἐξαίρετος. Ψεῦδος δὲ κἀκεῖνο, ὅτι ἡ *μεθ' οὗ* φωνὴ τῆς τῶν εὐλαβῶν χρήσεως ἀπεξένωται. Ὅσοι γὰρ δι' εὐστάθειαν τρόπων τὸ τῆς ἀρχαιότητος σεμνὸν τοῦ καινοπρεποῦς προετίμησαν, καὶ ἀπαραποίητον τῶν πατέρων διεφύλαξαν τὴν παράδοσιν, κατά τε χώραν καὶ πόλιν ταύτῃ κέχρηνται τῇ φωνῇ. Οἱ δὲ διακορεῖς τῶν συνήθων καὶ τῶν παλαιῶν ὡς ἑώλων κατεπαιρόμενοι, οὗτοί εἰσιν οἱ τὰς νεωτεροποιίας παραδεχόμε-

CAPUT VII.

Adversus eos qui dicunt non congruenter de Filio dici, « cum quo, » sed, « per quem. »

16. Sed hoc loquendi genus, *cum ipso*, aiunt, omnino peregrinum est et inusitatum: contra, istud, *per ipsum*, tum sermoni Scripturæ familiarissimum tum fratrum usu tritum esse. Quid igitur nos ad ista? Nimirum beatas esse aures quæ non
C audierunt vos, et beata corda, quæ a vestris sermonibus servata sunt illæsa. Vobis porro qui Christum diligitis, dico Ecclesiam utrumque harum vocum usum agnoscere, neutrumque rejicere, quasi alter alterum destruat. Cum enim in Unigenito naturæ majestatem ac dignitatis excellentiam contemplamur, ei cum Patre gloriam esse testamur. Rursus cum cogitamus quæ bona nobis suppeditarit, aut quomodo nos ad Deum adduxerit ac Deo asseruerit, confitemur hanc gratiam, *per ipsum* et *in ipso* nobis effici. Quare altera particula, *cum quo*, propria est glorificantium; altera, *per quem*, propria est gratias agentium. Quin et illud mendacium est hanc vocem, *cum quo*, ab usu piorum alienam esse. Quotquot enim morum constantia,
D antiquitatis majestatem speciosis novitatibus prætulerunt, ac majorum traditionem citra mutationem conservarunt, tum ruri, tum in civitatibus hac voce utuntur. Cæterum qui consueta fastidiunt, et in vetera tanquam in obsoleta insurgunt, ii sunt qui novitates suscipiunt, quemadmodum in vesti-

[37] Matth. XVI, 27. [38] Act. VII, 55. [39] Rom. VIII, 34. [40] Psal. CIX, 1. [41] Hebr. VIII, 1. [42] Baruch III, 3.

(86) *Διαμαρτυρομένου*. Sic tres codices; alii et editi διαμαρτυρουμένου.
(87) *Καταβιβάζοιμεν*. Sic tres codices; melius quam in aliis et in editis καταβιβάζομεν.
(88) *Δοξολογίαν*. Reg. quartus ἀξιολογίαν. Has voces, τὸν Υἱόν, quæ mox sequuntur, e Reg. secundo addidimus.
(89) *Ἀπὸ τῶν*. Deest præpositio in nonnullis codicibus. Paulo post duo codices mss. τὸ τέλειον τῆς φύσεως.
(90) *Πρὸς τὸν Θεόν*. Additus ex veteribus libris articulus; moxque iisdem auctoribus mutatum quod legebatur in editis, ἐνεργεῖσθαι ἐν ἡμῖν.

mento, qui ornatum amant, novum semper præferunt communi. Videas itaque etiamnum rusticanæ plebis in hac voce morem antiquum: istorum autem artificum, et in verborum pugnis contritorum signata novæ sapientiæ cauterio verba. Proinde quod a majoribus nostris dictum est, et nos dicimus, gloriam videlicet communem esse Patri ac Filio, quapropter cum Filio glorificationem Patri persolvimus. Quanquam hoc nobis non est satis, sic a Patribus esse traditum; nam et illi Scripturæ secuti sunt sententiam, ex testimoniis, quæ paulo ante vobis e Scriptura citavimus, principia sumentes. Splendor enim cum gloria intelligitur, et imago cum archetypo, et Filius omnino cum Patre, cum nec nominum consequentia, nedum rerum natura, separationem admittat.

A νοι, ὥσπερ ἐπὶ τῆς ἐσθῆτος οἱ φιλόκοσμοι τὴν ἐξηλλαγμένην ἀεὶ τῆς κοινῆς προτιμῶντες. Ἴδοις ἂν οὖν τῶν μὲν ἀγροίκων ἔτι καὶ νῦν ἀρχαιότροπον τὴν φωνήν· τῶν δὲ ἐντέχνων τούτων, καὶ ταῖς λογομαχίαις ἐντετριμμένων, ἐκ τῆς νέας σοφίας κεκαυτηριασμένα τὰ ῥήματα. Ὅπερ ἔλεγον (91) τοίνυν οἱ πατέρες ἡμῶν, καὶ ἡμεῖς λέγομεν, ὅτι ἡ δόξα κοινὴ Πατρὶ καὶ Υἱῷ, διὸ μετὰ τοῦ Υἱοῦ τὴν δοξολογίαν προσάγομεν τῷ Πατρί. Ἀλλ' οὐ τοῦτο ἡμῖν ἐξαρκεῖ, ὅτι τῶν πατέρων ἡ παράδοσις· κἀκεῖνοι γὰρ τῷ βουλήματι τῆς Γραφῆς ἠκολούθησαν, ἐκ τῶν μαρτυριῶν, ἃς μικρῷ πρόσθεν ὑμῖν ἐκ τῆς Γραφῆς παρεθέμεθα, τὰς ἀρχὰς λαβόντες. Τὸ γὰρ ἀπαύγασμα μετὰ τῆς δόξης νοεῖται· καὶ ἡ εἰκὼν μετὰ τοῦ ἀρχετύπου· καὶ ὁ Υἱὸς (92) πάντως σὺν τῷ B Πατρί· οὐδὲ τῆς τῶν ὀνομάτων ἀκολουθίας, μή τί γε τῆς τῶν πραγμάτων φύσεως, τὸν χωρισμὸν δεχομένης.

14 CAPUT VIII.

Quot modis intelligatur hæc particula, « per quem, » et in quo sensu congruentius dicitur, « cum quo: » ubi etiam exponitur, quomodo mandatum accipit Filius, et quomodo mittitur.

17. Itaque cum Apostolus gratias agit Deo per Jesum Christum [43], ac rursus cum ait sese per illum accepisse gratiam et apostolatum ad obedientiam fidei in omnibus gentibus [44], aut cum dicit nos per eum accessum habere ad gratiam hanc in qua stamus et gloriamur [45], illius erga nos beneficia declarat, nunc quidem ut a Patre gratiam bonorum in nos transfundentis, nunc rursum ut per se ipsum conciliantis nos Patri. Siquidem cum ait, *Per quem accepimus gratiam et apostolatum* [46], significat bonorum largitionem ab illo proficisci. Rursum cum ait: *Per quem accessum habemus* [47], assumi nos, ac Deo per Christum conjungi ostendit. Num igitur gratiæ quam in nobis operatur confessio diminuit illius gloriam? an potius dictu verius fuerit, enarrationem beneficiorum decens esse glorificandi argumentum? Hanc ob causam comperimus Scripturam non uno nomine nobis significare Dominum, nec his tantum quæ divinitatem ac magnitudinem ejus declarant, sed interdum quidem uti vocibus naturam exprimentibus; novit enim nomen Filii, quod est super omne nomen [48], et Filium verum dicere, et Unigenitum Deum, et virtutem Dei, et sapientiam, et Verbum. Et rursus, ob multiplicem in nos beneficentiam, quam ob divitias bonitatis pro varia sua sapientia egentibus præstat, aliis innumeris appellationibus eumdem designat, dum aliquando vocat illum pastorem,

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ποσαχῶς τὸ « δι' οὗ » καὶ ἐπὶ ποίας (93) ἐννοίας ἁρμοδιώτερον τὸ « μεθ' οὗ· » ἐν ᾧ καὶ ἐξήγησις, πῶς ἐντολὴν λαμβάνει ὁ Υἱός, καὶ πῶς ἀποστέλλεται.

17. Ὅταν οὖν ὁ Ἀπόστολος εὐχαριστῇ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ, καὶ πάλιν δι' αὐτοῦ λέγῃ τὴν χάριν εἰληφέναι καὶ τὴν ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν, ἢ καὶ δι' αὐτοῦ τὴν προσαγωγὴν ἐσχηκέναι εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν καὶ καυχώμεθα, τὰς εἰς ἡμᾶς εὐεργεσίας αὐτοῦ C παρίστησι, νῦν μὲν ἀπὸ Πατρὸς εἰς ἡμᾶς τῶν ἀγαθῶν τὴν χάριν διαβιβάζοντος, νῦν δὲ ἡμᾶς δι' ἑαυτοῦ προσάγοντος τῷ Πατρί. Ἐν μὲν γὰρ τῷ λέγειν, *Δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολήν*, τὴν ἐκεῖθεν τῶν ἀγαθῶν χορηγίαν ἐμφαίνει· ἐν δὲ τῷ λέγειν, *Δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν*, τὴν ἡμετέραν πρόσληψιν καὶ οἰκείωσιν διὰ Χριστοῦ πρὸς τὸν Θεὸν γινομένην παρίστησιν. Ἆρ' οὖν ἡ ὁμολογία τῆς ἐνεργουμένης παρ' αὐτοῦ πρὸς ἡμᾶς χάριτος ὑφαίρεσίς ἐστι τῆς δόξης; ἢ μᾶλλον εἰπεῖν ἀληθέστερον, ὅτι πρέπουσα δοξολογίας ὑπόθεσις ἡ τῶν εὐεργετημάτων διήγησις; Διὰ τοῦτο (94) εὕρομεν τὴν Γραφὴν οὐχ ἐξ ἑνὸς ὀνόματος τὸν Κύριον ἡμῖν παραδιδοῦσαν, οὐδὲ ἐκ τῶν ὅσα τῆς θεότητός ἐστιν αὐτοῦ μόνον καὶ τοῦ μεγέθους δηλωτικά, ἀλλὰ νῦν μὲν τοῖς τῆς φύ- D σεως (95) χαρακτηριστικοῖς κεχρημένην· οἶδε γὰρ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα τοῦ Υἱοῦ καὶ Υἱὸν ἀληθινὸν λέγειν, καὶ μονογενῆ Θεόν, καὶ δύναμιν Θεοῦ, καὶ σοφίαν, καὶ Λόγον. Καὶ πάλιν μέντοι διὰ τὸ πολύτροπον τῆς εἰς ἡμᾶς χάριτος, ἣν διὰ τὸν τῆς ἀγαθότητος κατὰ τὴν πολυποίκιλον αὐτοῦ σοφίαν τοῖς δεομένοις παρέχεται, μυρίαις αὐτὸν ἑτέραις προσ-

[43] Rom. I, 8. [44] ibid. 5. [45] Rom. V, 2. [46] Rom. I, 5. [47] Rom. V, 2. [48] Philipp. II, 9.

(91) Ὅπερ ἔλεγον. Deest ὅπερ in duobus codicibus. Legitur in tribus aliis ἃ ἔλεγον. Statim editi διὸ καὶ μετά, sed deest conjunctio in codicibus mss.

(92) Ὁ Υἱός. Sic codices mss. Deest articulus in editis.

(93) Ἐπὶ ποίας ἐννοίας. Colbert. ἐπὶ ποίαις ἐννοίαις. Unus ex Regiis ἐπὶ ποίαν ἔννοιαν.

(94) Διὰ τοῦτο. Hic incipit caput octavum in Reg. tertio et Colbert.

(95) Τῆς φύσεως. Erasmus perabsurde reddidit, *naturam assumptam*; quod erratum non impune tulit a Combefisio. Mox editio Paris. λέγει. Libri antiqui et edit. Basil. λέγειν.

A ηγορίαις ἀποσημαίνει· ποτὲ μὲν ποιμένα λέγουσα, ποτὲ δὲ βασιλέα, καὶ πάλιν ἰατρὸν, καὶ τὸν αὐτὸν νυμφίον, καὶ ὁδὸν, καὶ θύραν, καὶ πηγὴν, καὶ ἄρτον, καὶ ἀξίνην, καὶ πέτραν. Ταῦτα γὰρ οὐ τὴν φύσιν παρίστησιν, ἀλλ', ὅπερ ἔφην, τὸ τῆς ἐνεργείας παντοδαπὸν, ἣν ἐκ τῆς περὶ τὸ ἴδιον πλάσμα εὐσπλαγχνίας κατὰ τὸ τῆς χρείας ἰδίωμα τοῖς δεομένοις παρέχεται. Τοὺς μὲν γὰρ προσπεφευγότας (96) τῇ ἐπιστασίᾳ αὐτοῦ, καὶ τὸ εὐμετάδοτον (97) δι' ἀνεξικακίας κατωρθωκότας, πρόβατα λέγει, καὶ ποιμὴν εἶναι τῶν τοιούτων ὁμολογεῖ, τῶν κατακουόντων αὐτοῦ τῆς φωνῆς, καὶ μὴ προσεχόντων διδαχαῖς ξενιζούσαις. *Τὰ γὰρ ἐμὰ πρόβατα*, φησὶ, *τῆς ἐμῆς φωνῆς ἀκούει*· βασιλεὺς δὲ τῶν ὑπεραναβεβηκότων ἤδη, καὶ τῆς ἐννόμου δεομένων ἐπιστασίας (98)· καὶ θύρα δὲ, τῷ ἐπὶ τὰς σπουδαίας πράξεις διὰ τῆς ὀρ- B θότητος τῶν προσταγμάτων ἐξάγειν, καὶ πάλιν ἀσφαλῶς αὐλίζειν τοὺς ἐπὶ τὸ τῆς γνώσεως ἀγαθὸν διὰ τῆς εἰς αὐτὸν πίστεως καταφεύγοντας. Ὅθεν, *Δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει*. Πέτρα δὲ, διὰ τὸ ἰσχυρὸν καὶ ἄσειστον καὶ παντὸς ἐρύματος ἀῤῥαγέστερον εἶναι φυλακτήριον τοῖς πιστοῖς. Ἐν τούτοις τὸ, *δι' αὐτοῦ*, ἁρμοδιωτάτην τὴν χρῆσιν καὶ εὔσημον ἀποδίδωσιν, ὅταν ὡς θύρα (99) καὶ ὡς ὁδὸς λέγηται. Ὡς μέντοι Θεὸς καὶ Υἱὸς, μετὰ Πατρὸς καὶ σὺν Πατρὶ τὴν δόξαν ἔχει· *Ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψει, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός*. Διόπερ ἀμφοτέραις κεχρήμεθα ταῖς φωναῖς, τῇ μὲν τὴν οἰκείαν αὐτοῦ ἀξίαν, τῇ δὲ τὴν χάριν τὴν πρὸς ἡμᾶς διαγγέλλοντες.

18. Δι' αὐτοῦ γὰρ πᾶσα βοήθεια τῶν ψυχῶν, καὶ C καθ' ἕκαστον εἶδος ἐπιμελείας ἰδιάζουσά τις προσηγορία ἐπινενόηται. Ὅταν μὲν γὰρ τὴν ἄμωμον ψυχὴν, τὴν μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα, ὡς ἁγνὴν παρθένον ἑαυτῷ παραστήσηται, νυμφίος προσαγορεύεται· ὅταν δὲ κεκακωμένην ὑπὸ τῶν πονηρῶν πληγῶν τοῦ διαβόλου λάβῃ, βαρέως ἐνασθενοῦσαν ταῖς ἁμαρτίαις αὐτὴν ἐξιώμενος, ἰατρὸς ὀνομάζεται. Ἆρ' οὖν αἱ τοιαῦται ἡμῶν ἐπιμέλειαι εἰς τὸ ταπεινὸν τοὺς λο-

alias regem, et rursus medicum, denique sponsum, viam, ostium, fontem, panem, securim ac petram. Hæc enim non naturam indicant, sed, quod aiebam, operationis varietatem: quam ex affectu, quem gerit erga suum figmentum, indigentibus, ut cuique opus est, impartit. Eos enim qui ad ejus regimen confugerunt, quique per malorum tolerantiam communicandi facilitatem præstiterunt, oves appellat; seque talium pastorem esse profitetur, qui vocem ipsius audiunt, nec attendunt doctrinis peregrinis. *Oves enim meæ*, inquit, *vocem meam audiunt* [89]. Rex autem vocatur eorum, qui jam altius **15** assurrexerunt, ac legitimo imperio, et gubernatione opus habent. Quin et ostium dicitur, eo quod per rectitudinem præceptorum educit ad pias actiones: et rursus tuto perducit ad caulas eos, qui per fidem in ipsum ad cognitionis bonum confugerint. Unde, *Per me si quis introierit, et ingredietur, et egredietur, ac pascua inveniet* [90]. Petra dicitur [91], eo quod validum sit et inconcussum et quavis arce firmius propugnaculum fidelibus. In his hæc vox, *per ipsum*, aptissimum ac clarum usum habet, quoties velut ostium et velut via dicitur. At vero ut Deus et Filius, cum Patre communem habet gloriam: *Quoniam in nomine Jesu omne genu flectetur, cœlestium, terrestrium et infernorum, et omnis lingua confitebitur, quod Dominus Jesus Christus in gloria sit Dei Patris* [92]. Quam ob rem ambabus vocibus utimur, altera propriam illius dignitatem, altera ejus erga nos munificentiam prædicantes.

B ματαία ἐστὶν ἡ πίστις αὐτοῦ· καὶ τῷ τὸ Πνεῦμα παραιτουμένῳ, ὅτι ἡ εἰς Πατέρα καὶ Υἱὸν πίστις αὐτῷ εἰς κενὸν ἀποβήσεται, ἣν οὐδὲ ἔχειν δύναται, μὴ συμπαρόντος τοῦ Πνεύματος. Οὐ πιστεύει μὲν γὰρ εἰς Υἱὸν ὁ μὴ πιστεύων τῷ Πνεύματι· οὐ πιστεύει δὲ εἰς Πατέρα ὁ μὴ πιστεύσας (46) τῷ Υἱῷ. *Οὔτε γὰρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰ μὴ ἐν Πνεύματι ἁγίῳ·* καὶ, *Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ἀλλ' ὁ μονογενὴς Υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρὸς, οὗτος ἡμῖν* (47) *ἐξηγήσατο.* Ἄμοιρός ἐστι καὶ τῆς ἀληθινῆς προσκυνήσεως ὁ τοιοῦτος. Οὔτε γὰρ Υἱὸν προσκυνῆσαι δυνατὸν εἰ μὴ (48) ἐν Πνεύματι ἁγίῳ, οὔτε ἐπικαλέσασθαι δυνατὸν τὸν Πατέρα εἰ μὴ ἐν τῷ τῆς υἱοθεσίας Πνεύματι.

C

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Πρὸς τοὺς λέγοντας ἐξαρκεῖν καὶ μόνον τὸ εἰς τὸν Κύριον βάπτισμα.

28 Καὶ μηδένα παρακρουέσθω τὸ τοῦ Ἀποστόλου, ὡς τὸ ὄνομα τοῦ Πατρὸς (49) καὶ τοῦ ἁγίου Πνεύματος ἐπὶ τῆς τοῦ βαπτίσματος μνήμης πολλάκις παραλιμπάνοντος, μηδὲ διὰ τοῦτο ἀπαρατήρητον οἰέσθω τὴν ἐπίκλησιν εἶναι τῶν ὀνομάτων. *Ὅσοι*, φησὶν, *εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε·* καὶ πάλιν· *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθητε.* Ἡ γὰρ τοῦ Χριστοῦ προσηγορία τοῦ παντός ἐστιν ὁμολογία· δηλοῖ γὰρ τόν τε χρίσαντα Θεὸν, καὶ τὸν χρισθέντα Υἱὸν, καὶ τὸ χρίσμα τὸ Πνεῦμα, ὡς παρὰ Πέτρου ἐν
D ταῖς Πράξεσι μεμαθήκαμεν, *Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὃν ἔχρισεν* (50) *ὁ Θεὸς τῷ Πνεύματι τῷ*

[93] I Cor. XII, 3. [94] Joan. I, 18. [95] Gal. III, 27. [96] Rom. VI, 3. [97] Act. X, 38.

(43) *Εἰς αὐτό.* Editi ac unus tantum codex ms. εἰς αὐτόν.

(44) *Τοῦτο.* Editi ταύτην, repugnantibus omnibus codicibus mss. ac ipsa etiam prima Basileensi editione.

(45) *Τὸν δὲ Υἱόν.* Sic mss. codices. Editi καὶ τὸν Χριστόν. Nec multo post Reg. secundus et editio Paris. τοῦ ἁγίου Πνεύματος. Alii editi et mss. ut in contextu.

(46) *Ὁ μὴ πιστεύσας.* Veteres aliquot libri ὁ μὴ πιστεύων. Ibidem codices omnes Κύριον Ἰησοῦν. Editi Κύριος Ἰησοῦς. Paulo post pro eo quod est in editis, ὁ μονογενὴς Υἱός, legendum videtur Θεός, ut in capite sexto hujus libri restituimus.

(47) *Οὗτος ἡμῖν.* Ita mss. codices. Editi αὐτὸς ἡμῖν.

(48) *Εἰ μή.* Hanc voculam εἰ bis in hac verborum complexione addidimus, ac δυνατόν post ἐπικαλέσασθαι, auctoribus antiquis codicibus.

(49) *Τοῦ Πατρός.* Tres codices addunt καὶ τοῦ Υἱοῦ, quæ voces in Colbertino deletæ.

(50) *Ὃν ἔχρισεν.* Editi ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι ἁγίῳ Sed omnes codices mss. ut in contextu. Eosdem sequimur in hac voce, εἵνεκεν, pro eo quod erat in editis ἕνεκεν.

ἁγίῳ· καὶ ἐν τῷ Ἡσαΐᾳ, *Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με*· καὶ ὁ Ψαλμῳδός (51)· *Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου*. Φαίνεται μέντοι [Ἀπόστολός] ποτε καὶ μόνου τοῦ Πνεύματος ἐπὶ τοῦ βαπτίσματος μνημονεύσας. *Πάντες* γὰρ, φησὶν, *ἐν ἑνὶ σώματι εἰς ἓν Πνεῦμα ἐβαπτίσθημεν*. Συμφωνεῖ δὲ τούτῳ καὶ τὸ, *Ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ*· καὶ τὸ, *Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ*. Ἀλλ' οὐ παρὰ τοῦτο τέλειον ἄν τις εἴποι (52) βάπτισμα, ᾧ μόνον τὸ ὄνομα τοῦ Πνεύματος ἐπεκλήθη. Χρὴ γὰρ ἀπαράβατον μένειν ἀεὶ (53) τὴν ἐν τῇ ζωοποιῷ χάριτι δεδομένην παράδοσιν. Ὁ γὰρ λυτρωσάμενος ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν ἔδωκε δύναμιν ἡμῖν ἀνακαινώσεως, ἄῤῥητον μὲν ἔχουσαν τὴν αἰτίαν καὶ ἐν μυστηρίῳ κατεχομένην, μεγάλην δὲ ταῖς ψυχαῖς τὴν σωτηρίαν φέρουσαν· ὥστε τὸ προσθεῖναί τι ἢ ἀφελεῖν ζωῆς ἐστι τῆς ἀϊδίου προδήλως ἔκπτωσις. Εἰ τοίνυν ἐν τῷ βαπτίσματι ὁ χωρισμὸς τοῦ Πνεύματος ἀπὸ Πατρὸς καὶ Υἱοῦ ἐπικίνδυνος μὲν τῷ βαπτίζοντι, ἀνωφελὴς δὲ τῷ δεχομένῳ, πῶς ἡμῖν ἀσφαλὲς ἀπὸ Πατρὸς καὶ Υἱοῦ διασπᾷν τὸ Πνεῦμα; Πίστις δὲ καὶ βάπτισμα δύο τρόποι τῆς σωτηρίας, συμφυεῖς ἀλλήλοις καὶ ἀδιαίρετοι. Πίστις μὲν γὰρ τελειοῦται διὰ βαπτίσματος, βάπτισμα δὲ θεμελιοῦται (54) διὰ τῆς πίστεως, καὶ διὰ τῶν αὐτῶν ὀνομάτων ἑκάτερα πληροῦται. Ὡς γὰρ πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, οὕτω καὶ βαπτιζόμεθα εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ προάγει μὲν ἡ ὁμολογία πρὸς τὴν σωτηρίαν εἰσάγουσα· ἐπακολουθεῖ δὲ τὸ βάπτισμα ἐπισφραγίζον ἡμῶν τὴν συγκατάθεσιν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Αἰτίας ἀπόδοσις διὰ τί οἱ ἄγγελοι Πατρὶ καὶ Υἱῷ παρὰ τῷ Παύλῳ συμπαρελήφθησαν.

29. Ἀλλὰ καὶ ἕτερα, φησὶ, συναριθμούμενα Πατρὶ καὶ Υἱῷ, οὐχὶ καὶ συνδοξάζεται πάντως. Ὡς ὁ Ἀπόστολος ἀγγέλους συμπαρελάβετο, εἰς τὴν διαμαρτυρίαν (55) τὴν ἐπὶ Τιμοθέου λέγων· *Διαμαρτύρομαί σοι ἐνώπιον τοῦ Θεοῦ καὶ Χριστοῦ Ἰησοῦ, καὶ τῶν ἐκλεκτῶν αὐτοῦ ἀγγέλων*· οὓς οὔτε ἀλλοτριοῦμεν τῆς λοιπῆς κτίσεως, οὔτε Πατρὶ καὶ Υἱῷ συναριθμεῖν ἀνεχόμεθα. Ἐγὼ δὲ, εἰ καὶ μηδεμιᾶς ἀποκρίσεως ἄξιος ὁ λόγος, οὕτω πρόχειρον τὴν ἀτοπίαν ἔχων, ὅμως ἐκεῖνο λέγω, ὅτι μάρτυρα μὲν καὶ ὁμόδουλον ἄν τις τυχὸν παραστήσαιτο πρᾴῳ κριτῇ καὶ ἡμέρῳ, καὶ μάλιστα δὴ ἐν τῇ πρὸς τοὺς κρινομένους ἐπιεικείᾳ τὸ ἀναντίῤῥητον τῆς τῶν κριμάτων δικαιοσύνης ἐπιδεικνύντι. Ἐλεύθερος δὲ εἶναι ἀπὸ δούλου, καὶ Υἱὸς κληθῆναι Θεοῦ, καὶ ζωοποιηθῆναι ἀπὸ θανάτου, παρ' οὐδενὸς ἑτέρου δύναται ἢ παρὰ τοῦ τὴν κατὰ φύσιν οἰκειότητα κεκτημένου, καὶ τῆς δουλικῆς

me[98]; et Psalmicus ille cantor, *Propterea unxit te Deus Deus tuus oleo exsultationis præ consortibus tuis*[99]. Videtur tamen interdum Apostolus etiam solius Spiritus fecisse mentionem in baptismate. *Omnes* enim, inquit, *in uno corpore in unum Spiritum baptizati sumus*[1]. His et illud consonat, *Vos autem baptizabimini in Spiritu sancto*[2]; et, *Ipse vos baptizabit in Spiritu sancto*[3]. At non ideo quis dixerit perfectum esse baptisma, in quo solum Spiritus nomen invocatum est. Oportet enim inviolabilem semper manere traditionem, quæ in vivifica gratia data est. Nam vitam nostram de corruptione qui liberavit, potestatem nobis renovationis dedit: quæ potestas causam habet ineffabilem, et in mysterio reconditam, sed magnam animabus salutem conferentem, ut quidquam addere aut detrahere plane sit ab æterna vita excidere. Proinde si in baptismo separare Spiritum a Patre et Filio, ut periculosum est baptizanti, ita baptismum accipienti inutile; quomodo nobis tutum fuerit a Patre et Filio distrahere Spiritum? Fides autem et baptisma duo sunt modi parandæ salutis, inter se cognati et inseparabiles. Nam fides perficitur per baptismum, **24** baptismus vero fundatur per fidem, et utraque res per eadem nomina impletur. Sicut enim credimus in Patrem et Filium et Spiritum sanctum, sic et baptizamur in nomine Patris et Filii et Spiritus sancti. Ac præcedit quidem professio ad salutem perducens; sequitur autem baptisma consignans assensum nostrum.

CAPUT XIII.

Quare apud Paulum angeli simul cum Patre et Filio adjunguntur.

29. Atqui et alia sunt, inquiunt, quæ simul Patri et Filio annumerantur, nec tamen continuo simul cum illis glorificantur. Veluti cum Apostolus obtestans Timotheum, angelos simul adducit, dicens: *Obtestor te in conspectu Dei, et Christi Jesu, et electorum ejus angelorum*[4]: quos tamen non minime separamus a reliquis creaturis, neque sustinemus eos Patri et Filio annumerare. Ego vero, tametsi hic sermo nulla dignus est responsione, tam manifestam præferens absurditatem, tamen illud dico, quod conservum etiam testem forte aliquis adducat apud mansuetum ac placabilem judicem, quique maxime sua in eos qui judicentur lenitate minime dubiam et controversam judiciorum æquitatem demonstrat. Cæterum ut aliquis fiat liber e servo, atque vocetur Filius Dei, et a morte revocetur ad vitam, a nullo alio potest dari, nisi

[98] Isa LXI, 1. [99] Psal. XLIV, 8. [1] I Cor. XII, 13. [2] Act. I, 5. [3] Luc. III, 16. [4] I Tim. V, 21.

(51) *Ψαλμῳδός*. Codices nonnulli ὁ ψαλμός. Paulo post desunt in tribus codicibus hæc verba, παρὰ μετόχους σου.

(52) *Εἴποι*. Sic mss. codices. Editi εἴπῃ.

(53) *Ἀεί*. Ex tribus mss. codicibus hanc vocem addidimus.

(54) *Θεμελιοῦται*. Quatuor codices mss. τελειοῦται.

(55) *Διαμαρτυρίαν*. Sic libri veteres pro eo quod habent editi μαρτυρίαν.

ab eo qui naturalem habet societatem et a servili conditione est alienus. Quomodo enim sociabit Deo, qui ipse est alienus? quomodo liberos reddet, qui ipse est jugo servitutis obnoxius? Itaque non ob eadem fit Spiritus et angelorum mentio: sed Spiritus commemoratur tanquam auctor ac Dominus vitæ, angeli vero tanquam conservorum adjutores, fidelesque veritatis testes adhibentur. Siquidem mos est sanctis, Dei præcepta testibus adhibitis tradere; sicut etiam hic ipse ad Timotheum loquitur: *Quæ accepisti a me coram multis testibus, ea depone apud fideles homines*[4]. Et nunc angelos attestatur, sciens angelos pariter affuturos judici, cum venerit in gloria Patris, ut judicet orbem terrarum in justitia. *Quisquis enim*, inquit, *confessus fuerit me coram hominibus, et Filius hominis confitebitur eum coram angelis Dei: qui vero abnegaverit me coram hominibus, abnegabitur in conspectu angelorum Dei*[5]. Et Paulus alibi dicit, *In revelatione Domini Jesu de cœlo cum angelis*[6]. Hanc ob causam hic jam contestatur coram angelis, eximias sibi præparans probationes ad magnum illud tribunal.

30. Neque hic modo, verum etiam omnes omnino, quibus aliquod verbi ministerium commissum est, nullo tempore contestari cessant, imo et cœlum et terram inclamant, ut intra **25** quorum ambitum omnia nunc gerantur, quæque in examine rerum in hac vita gestarum sint simul cum judicandis futura. *Advocabit enim*, inquit, *cœlum sursum, et terram, ad dijudicandum populum suum*[7]. Unde Moyses traditurus eloquia populo, *Testor*, inquit, *vobis hodie et cœlum et terram*[8]. Et rursus cum canticum diceret: *Attende, cœlum, et loquar, et audiat terra verba ex ore meo*[9]. Item Isaias: *Audi, cœlum, et auribus percipe, terra*[10]. Jeremias autem etiam stupore quodam perculsum fuisse cœlum narrat ob audita impia populi facta: *Obstupuit cœlum super hoc, et exhorruit amplius vehementer, quoniam duo etiam mala fecit populus meus*[11]. Itaque et Apostolus sciens angelos hominibus præfectos, ceu pædagogos quospiam aut morum gubernatores, vocavit illos in testimonium. At Jesus Nave etiam lapidem testem sermonum statuit (jam vero et collis alicubi testis appellatus est a Jacob)[12]: *Erit enim*, inquit, *lapis in vobis hodie in testimonium in extremis diebus, cum mentiti fueritis Domino Deo*

A ἀξίας ἀπηλλαγμένου. Πῶς γὰρ οἰκειώσει Θεῷ ὁ ἀλλότριος; πῶς δὲ ἐλευθερώσει, αὐτὸς ἔνοχος ὢν τῷ ζυγῷ τῆς δουλείας; Ὥστε οὐκ ἐφ' ὁμοίοις (56) Πνεύματός ἐστι καὶ ἀγγέλων ἡ μνήμη, ἀλλὰ τὸ μὲν Πνεῦμα, ὡς ζωῆς κύριον, οἱ δ' ἄγγελοι ὡς βοηθοὶ τῶν ὁμοδούλων, καὶ πιστοὶ μάρτυρες τῆς ἀληθείας παραλαμβάνονται. Ἔθος γὰρ τοῖς ἁγίοις, τὰς ἐντολὰς τοῦ Θεοῦ ἐπὶ μαρτύρων διδόναι· ὡς καὶ αὐτὸς οὗτός φησι Τιμοθέῳ· *Ἃ παρέλαβες παρ' ἐμοῦ ἐπὶ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις.* Καὶ νῦν τοὺς ἀγγέλους ἐπιμαρτύρεται· οἶδε γὰρ, ὅτι συμπαρέσονται ἄγγελοι τῷ κριτῇ, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. *Ὃς γὰρ ἂν*, φησὶν, *ὁμολογήσῃ* (57) *ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ* B *ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ* (58)· *ὁ δὲ ἀπαρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ.* Καὶ Παῦλος ἑτέρωθί φησιν· *Ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ* (59) *μετ' ἀγγέλων.* Τούτου χάριν ἐντεῦθεν ἤδη διαμαρτύρεται ἐπὶ τῶν ἀγγέλων, εἰς τὸ μέγα κριτήριον εὐπρεπεῖς (60) ἑαυτῷ τὰς ἀποδείξεις παρασκευάζων.

30. Καὶ οὐχ οὗτος μόνον, ἀλλὰ καὶ πάντες ἁπλῶς οἱ λόγου τινὰ διακονίαν πεπιστευμένοι, οὐδένα χρόνον διαμαρτυρόμενοι παύονται, ἀλλὰ καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐπιβοῶνται· ὡς καὶ νῦν πάσης πράξεως εἴσω αὐτῶν τελουμένης, καὶ ἐν τῇ ἐξετάσει τῶν βεβιωμένων συνεσομένων τοῖς κρινομένοις. C *Προσκαλέσεται γὰρ*, φησὶ, *τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ.* Ὅθεν Μωϋσῆς παρατίθεσθαι μέλλων τὰ λόγια τῷ λαῷ, *Διαμαρτύρομαι ὑμῖν*, φησὶ, *σήμερον τόν τε οὐρανὸν καὶ τὴν γῆν*· καὶ πάλιν τὴν ᾠδὴν λέγων· *Πρόσεχε, οὐρανὲ, καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου*· καὶ Ἡσαΐας· *Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ.* Ἱερεμίας δὲ καὶ ἔκστασίν τινα τοῦ οὐρανοῦ ἐπὶ τῇ ἀκοῇ τῶν ἀνοσίων ἔργων τοῦ λαοῦ διηγεῖται. *Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα* (61), *ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου.* Καὶ ὁ Ἀπόστολος τοίνυν, ὥσπερ παιδαγωγούς τινας ἢ παιδονόμους ἐπιτεταγμένους (62) τοῖς ἀνθρώποις τοὺς ἀγγέλους εἰδὼς, εἰς μαρτυρίαν ἐπεκαλέσατο. D Ἰησοῦς δὲ ὁ τοῦ Ναυῆ καὶ λίθον μάρτυρα τῶν λόγων ἔστησεν (ἤδη δέ που καὶ βουνὸς μάρτυς παρὰ τοῦ Ἰακὼβ ὠνομάσθη)· *Ἔσται γὰρ*, φησὶν, *ὁ λίθος ἐν ὑμῖν* (63) *σήμερον εἰς μαρτύριον*

[4] II Tim. II, 2. [5] Luc. XII, 8, 9. [6] II Thess. I, 7. [7] Psal. XLIX, 4. [8] Deut. IV, 26. [9] Deut. XXXII, 1. [10] Isa. I, 2. [11] Jer. II, 12, 13. [12] Gen. XXXI, 47.

(56) *Οὐκ ἐφ' ὁμοίοις.* Reg. primus οὐχ ἔθ' ὅμοιος.

(57) *Ὁμολογήσῃ.* Ita plerique libri veteres. Editi ὁμολογήσει.

(58) *Ἀγγέλων τοῦ Θεοῦ.* Sic mss. codices: editi ἀγγέλων αὐτοῦ.

(59) *Ἀπ' οὐρανοῦ.* Sic omnes codices: editi ἀπ' οὐρανῶν. Ante has voces quinque codices mss. addunt Χριστοῦ.

(60) *Εὐπρεπεῖς.* Editi et Colb. εὐτρεπεῖς. Alii codices ut in contextu.

(61) *Σφόδρα.* Editi addunt ἡ γῆ, sed hæc in nullo cod. ms. leguntur.

(62) *Ἐπιτεταγμένους* Sic omnes nostri codices pro eo quod erat in editis ἐπιστάντας. Tres codices habent καὶ παιδονόμους.

(63) *Ἐν ὑμῖν.* Præpositio addita ex codicibus mss. Hæc autem Combefisius memoriter a Basilio,

ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ἡνίκα ἂν ψεύσησθε Κυρίῳ τῷ Θεῷ ἡμῶν· τάχα μέν που πιστεύων τῇ δυνάμει τοῦ Θεοῦ καὶ τοὺς λίθους φωνὴν ἀφήσειν, εἰς ἔλεγχον τῶν παραβεβηκότων· εἰ δὲ μή, ἀλλὰ τό γε ἑκάστου συνειδὸς τῇ ἐνεργείᾳ (64) τῆς ὑπομνήσεως πάντως κατατρωθήσεσθαι. Οὕτω μὲν οὖν τοὺς μάρτυρας, οἵτινές ποτ' ἂν (65) ὦσιν, ὥστε εἰς ὕστερον αὐτοὺς παραστήσασθαι, οἱ τὴν οἰκονομίαν τῶν ψυχῶν πεπιστευμένοι προετοιμάζονται. Τὸ δὲ Πνεῦμα οὐ διὰ τὴν ἐπὶ καιροῦ χρείαν, ἀλλὰ διὰ τὴν ἐκ φύσεως κοινωνίαν συντέτακται τῷ Θεῷ, οὐχ ὑφ' ἡμῶν ἑλκυσθὲν, ἀλλ' ὑπὸ τοῦ Κυρίου παραληφθέν.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ἔνστασις, ὅτι καὶ εἰς Μωϋσῆν τινες ἐβαπτίσθησαν, καὶ ἐπίστευσαν εἰς αὐτὸν, καὶ πρὸς ταύτην ἀπάντησις, ἐν οἷς καὶ τὰ περὶ τύπων.

31. Ἀλλ' οὐδὲ εἰ βαπτιζόμεθα, φησὶν, εἰς αὐτὸ, οὐδ' οὕτω δίκαιον μετὰ Θεοῦ τετάχθαι. Καὶ γὰρ καὶ εἰς τὸν Μωϋσῆν τινες ἐβαπτίσθησαν, ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ. Ὁμοίως δὲ καὶ ἡ πίστις ὁμολογεῖται (66) ἤδη καὶ εἰς ἀνθρώπους γεγενῆσθαι. *Ἐπίστευσε γὰρ ὁ λαὸς τῷ Θεῷ καὶ Μωϋσεῖ τῷ θεράποντι αὐτοῦ.* Τί οὖν, φησὶν, ἐκ τῆς πίστεως καὶ τοῦ βαπτίσματος τὸ ἅγιον Πνεῦμα τοσοῦτον ἀνυψοῖς καὶ μεγαλύνεις ὑπὲρ τὴν κτίσιν, ὁπότε τὰ αὐτὰ καὶ ἀνθρώποις ἤδη προσμεμαρτύρηται; Τί οὖν (67) ἐροῦμεν; Ὅτι εἰς μὲν τὸ Πνεῦμα ἡ πίστις ὡς εἰς τὸν Πατέρα καὶ εἰς τὸν Υἱόν· ὁμοίως δὲ καὶ τὸ βάπτισμα· εἰ δὲ εἰς τὸν Μωϋσῆν, καὶ τὴν νεφέλην, ὡς εἰς σκιὰν καὶ τύπον. Οὐ δήπου δὲ, ἐπειδὴ μικροῖς καὶ ἀνθρωπίνοις προδιαμορφοῦται (68) τὰ θεῖα, μικρά τίς ἐστι καὶ ἡ τῶν θείων φύσις, ἣν ἡ τῶν τύπων σκιαγραφία πολλάκις προαπεσήμηνεν. Ἔστι γὰρ ὁ τύπος προσδοκωμένων δήλωσις διὰ μιμήσεως, ἐνδεικτικῶς τὸ μέλλον προϋποφαίνων. Ὡς ὁ Ἀδὰμ τύπος (69) τοῦ μέλλοντος, καὶ ἡ πέτρα τυπικῶς ὁ Χριστός· καὶ τὸ τῆς πέτρας ὕδωρ τῆς ζωτικῆς τοῦ Λόγου δυνάμεως. *Εἴ τις γὰρ*, φησὶ, *διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω.* Καὶ τὸ μάννα τοῦ ζῶντος ἄρτου, τοῦ ἐκ τοῦ οὐρανοῦ καταβάντος· καὶ ὁ ἐπὶ σημείου κείμενος ὄφις τοῦ σωτηρίου πάθους τοῦ διὰ τοῦ σταυροῦ τελεσθέντος· διὸ καὶ οἱ ἀποβλέπον-

nostro [13]: fortasse credens virtute divina et lapides vocem emissuros ad increpationem transgressorum; sin minus, certe illud fore, ut uniuscujusque conscientia admonitionis vehementia prorsus vulneretur. Ad hunc igitur modum, ii quibus commissa fuit animarum gubernatio, testes, quicunque tandem illi sint, præparant, ut in posterum producantur. Sed Spiritus non ad usum occasionis, sed ob naturæ communionem Deo conjunctus est, haud ille quidem a nobis pertractus, sed a Domino adjunctus.

CAPUT XIV.

Objectio, quod et in Moysen nonnulli baptizati sunt, et in illum crediderunt; et hujus solutio, ubi et de figuris.

31. Verum, inquiunt, tametsi baptizamur in Spiritu, non inde par est ut Spiritus cum Deo numeretur, quando et in Moysen nonnulli baptizati sunt in nube et in mari [14]. Similiter autem et in confesso est jam fuisse etiam in homines fidem. *Credidit enim populus Deo et Moysi famulo ejus* [15]. Quid igitur, inquiunt, ex fide ac baptismo Spiritum sanctum usque adeo attollis ac magnificas supra creaturam, cum eadem jam Scripturarum testimoniis tribuantur etiam hominibus. Quid igitur dicemus? Nimirum illud, quod in Spiritum quidem fides est æque atque in Patrem et Filium; similiter etiam baptisma. Quod si et in Moysen et nubem, velut in umbram et figuram. Neque vero, quoniam divina rebus humilibus **26** et humanis præfigurantur, ideo et divinorum humilis est natura, quam figurarum adumbratio sæpe præsignificavit. Est enim figura rerum, quæ exspectantur, declaratio per imitationem, quod futurum est indicando præmonstrans. Velut Adam figura futuri [16], et petra figurate Christus [17]: et aqua promanans e petra [18], figura vivificæ potentiæ Verbi. *Si quis enim*, inquit, *sitit, veniat ad me, et bibat* [19]. Et manna typus vivi panis, qui de cœlo descendit [20]: et serpens super vexillo positus, salutiferæ passionis per crucem consummatæ, eoque qui respi-

[13] Josue xxiv, 27. [14] I Cor. x, 2. [15] Exod. xiv, 31. [16] Rom. v, 14. [17] I Cor. x, 4. [18] Exod. xvii, 6. [19] Joan. vii, 37. [20] Deut. viii, 3; Joan vi, 41.

non ut leguntur in Scripturis, referri opinatus est. Sed observare debuerat vir eruditus non Jacob, sed Josue dicta a Basilio citari. Ne cui similis error illudat, parenthesi inclusimus quæ de Jacob interjecta sunt.

(64) *Ἐνεργείᾳ*. Nonnulli codices ἐναργείᾳ, quæ scriptura valde arridet Combefisio, vertendumque esse pronuntiat, *recordationis evidentia*, non, ut Erasmus, *vi recordationis*. Sed hic quoque errore labitur Combefisius, dum hæc ad Jacob refert. Non de Jacob loquitur Basilius, nec de recordatione illius fœderis cum Laban, sed de gravissima a Josue adhibita admonitione. Quare retinenda vox ἐνεργείᾳ. Quod enim lapides in testimonium vocantur, non eo spectat ut oratio vel recordatio clarior fiat ac evidentior, sed ut admonitio acrior et vehementior.

(65) *Οἵτινές ποτ' ἄν*, etc. Multa hic mutamus freti mss. codicibus. Habebant enim editi ὁπότ' ἄν..., αὐτοῖς παραστήσεσθαι.... ἐμπεπιστευμένοι. Legitur in editione Basil. οἵτινές ποτ' ἂν et αὐτούς.

(66) *Ὁμολογεῖται*. Ita libri veteres; editi ὡμολόγηται.

(67) *Τί οὖν*. Secunda vocula ex mss. addita. Paulo post ex duobus veteribus libris emendatum, quod minus commode in editis legebatur, ἡ δὲ εἰς τὸν Μ., etc.

(68) *Προδιαμορφοῦται*. Quidam codices προσδιαμορφοῦται. Paulo post editi προϋπεσήμηνεν, quod in codicibus mss. non reperitur; alii enim habent ut edidimus, alii ἀπεσήμαινεν.

(69) *Ἀδὰμ τύπος*. Editio Paris. Ἀδὰμ ἦν τύπος. Melius in mss. et edit. Basil.

ciebant ad illum, servabantur [31]. Similiter et quæ A de eductis Israelitis scripta, ad significationem eorum qui baptismo salvi fiunt, narrata sunt [32]. Servata sunt enim Israelitarum primogenita, quemadmodum et baptizatorum corpora, cum gratia datur iis qui sanguine signati fuerunt. Sanguis enim pecudis, figura sanguinis Christi; primogenita vero typus hominis, qui primus conditus est; qui quoniam necessario in nobis est, dum successionis serie usque ad finem transmittitur, ideo in Adam omnes morimur [33], et regnavit mors usque ad legis consummationem, et Christi adventum. Conservata autem sunt a Deo primogenita, ne ea tangeret exstinctor, ut ostenderetur, nos jam non amplius mori in Adam, qui in Christo vivificati sumus. Cæterum mare et nebula, in præsenti quidem, B inducebat ad fidem per admirationem; in futurum autem, tanquam typus gratiam venturam præsignabat. *Quis sapiens, et intelliget hæc* [34]? quomodo mare, per figuram baptisma, separans a Pharaone, quemadmodum et lavacrum hoc a diaboli tyrannide. Illud occidit hostem in sese, moritur et hic inimicitia, quæ nobis fuit cum Deo. Ab illo populus exiit illæsus; ascendimus et nos ab aquis tanquam ex mortuis vivi, servati per gratiam ejus qui vocavit nos. Nubes autem umbra doni Spiritus, qui libidinum flammam mortificando membra refrigerat.

C 32. Quid igitur? num quia typice in Moysen baptizati sunt, ideo exigua est gratia baptismatis? Sane hoc pacto nec aliud quidquam in nostris mysteriis fuerit magnum, si quod in singulis augustum est, per præcedentes figuras deprimamus. Ac ne Dei quidem erga homines charitas magnum quiddam et eximium, qui unigenitum Filium dedit pro peccatis nostris: quandoquidem et Abraham filio suo non pepercit [35]. Nec Domini passio gloriosa; siquidem aries loco Isaac victimæ figuram explevit [36]. Neque descensus ad inferos horribilis; quando quidem Jonas tribus diebus, ac totidem noctibus, mortis figuram prius explevit [37]. Idem ergo facit et de baptismate, qui veritatem cum umbra comparat, et cum figuris confert ea quæ figu- D ris significantur, ac per Moysen et mare **27** totam simul evangelicam dispensationem elevare aggreditur. Nam quæ peccatorum remissio, quæ vitæ

τες εἰς αὐτὸν διεσώζοντο. Οὕτω δὴ καὶ τὰ περὶ τῆς ἐξαγωγῆς (70) τοῦ Ἰσραὴλ εἰς ἔνδειξιν τῶν διὰ τοῦ βαπτίσματος σωζομένων ἱστόρηται. Διεσώθη γὰρ τῶν Ἰσραηλιτῶν τὰ πρωτότοκα, ὡς καὶ τῶν βαπτιζομένων τὰ σώματα, διδομένης (71) τῆς χάριτος τοῖς σημειωθεῖσιν ὑπὸ τοῦ αἵματος. Τὸ μὲν γὰρ αἷμα τοῦ προβάτου τύπος τοῦ αἵματος τοῦ Χριστοῦ· τὰ δὲ πρωτότοκα τύπος τοῦ πρωτοπλάστου· ὃς ἐπειδὴ ἀναγκαίως ἡμῖν ἐνυπάρχει τῇ ἀκολουθίᾳ τῆς διαδοχῆς μέχρι τέλους παραπεμπόμενος, διὰ τοῦτο ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, καὶ ἐβασίλευσεν ὁ θάνατος (72) μέχρι τῆς τοῦ νόμου πληρώσεως, καὶ τῆς τοῦ Χριστοῦ παρουσίας. Διετηρήθη δὲ (73) ὑπὸ τοῦ Θεοῦ τὰ πρωτότοκα, τοῦ μὴ θίγειν τὸν ὀλοθρεύοντα, εἰς ἔνδειξιν τοῦ μηκέτι ἡμᾶς ἀποθνήσκειν ἐν τῷ Ἀδὰμ, τοὺς ζωοποιηθέντας ἐν τῷ Χριστῷ. Ἡ δὲ θάλασσα καὶ ἡ νεφέλη πρὸς μὲν τὸ παρὸν εἰς πίστιν ἐνῆγε διὰ τῆς καταπλήξεως· πρὸς δὲ τὸ μέλλον ὡς τύπος τὴν ἐσομένην χάριν προϋπεσήμαινε. *Τίς σοφὸς, καὶ συνήσει ταῦτα*; πῶς ἡ θάλασσα βάπτισμα τυπικῶς, χωρισμὸν ποιοῦσα τοῦ Φαραὼ, ὡς καὶ τὸ λουτρὸν τοῦτο τῆς τυραννίδος τοῦ διαβόλου. Ἀπέκτεινεν ἐκείνη ἐν ἑαυτῇ τὸν ἐχθρόν· ἀποθνήσκει καὶ ὧδε ἡ ἔχθρα ἡμῶν ἡ εἰς Θεόν. Ἐξῆλθεν ἀπ' ἐκείνης ἀπαθὴς ὁ λαός· ἀναβαίνομεν καὶ ἡμεῖς ὡς ἐκ νεκρῶν ζῶντες ἀπὸ τοῦ ὕδατος, χάριτι σωθέντες τῇ τοῦ καλέσαντος ἡμᾶς. Ἡ δὲ νεφέλη σκιὰ τῆς ἐκ τοῦ Πνεύματος δωρεᾶς, τοῦ τὴν φλόγα τῶν παθῶν διὰ τῆς νεκρώσεως τῶν μελῶν καταψύχοντος.

32. Τί οὖν; ἐπειδὴ τυπικῶς εἰς Μωϋσῆν ἐβαπτίσθησαν, διὰ τοῦτο μικρὰ (74) ἡ τοῦ βαπτίσματος χάρις; Οὕτω μὲν οὖν οὐδ' ἂν ἄλλο τι μέγα εἴη τῶν ἡμετέρων, εἴπερ τὸ ἐν ἑκάστῳ σεμνὸν τοῖς τύποις προδιαβάλλοιμεν. Οὔτε γὰρ ἡ εἰς ἀνθρώπους τοῦ Θεοῦ ἀγάπη μέγα τι καὶ ὑπερφυὲς, ὃς τὸν μονογενῆ Υἱὸν ἔδωκεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν· ἐπειδὴ καὶ Ἀβραὰμ τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο· οὐδὲ τὸ πάθος τοῦ Κυρίου ἔνδοξον· ἐπειδὴ πρόβατον ἀντὶ Ἰσαὰκ τὸν τύπον ἐπλήρου τῆς προσφορᾶς· οὔτε ἡ εἰς ᾅδου κάθοδος φοβερά· ἐπειδὴ Ἰωνᾶς ἐν τρισὶν ἡμέραις καὶ τοσαύταις νυξὶ τοῦ θανάτου τὸν τύπον προεξεπλήρου. Ταὐτὸν τοίνυν ποιεῖ καὶ ἐπὶ τοῦ βαπτίσματος ὁ τῇ σκιᾷ συγκρίνων τὴν ἀλήθειαν, καὶ τοῖς τύποις παραβάλλων τὰ παρ' αὐτῶν σημαινόμενα, καὶ διὰ Μωϋσέως καὶ τῆς θαλάσσης πᾶσαν ὁμοῦ διασύρειν τὴν εὐαγγελικὴν οἰκονομίαν ἐπιχειρῶν. Ποία γὰρ ἄφεσις παραπτωμάτων (75); ποία ζωῆς

[31] Num. xxi, 9. [32] Exod. xii, 13. [33] I Cor. xv, 22. [34] Ose. xiv, 10. [35] Gen. xxii, 16. [36] ibid. 13. [37] Jon. ii 1.

(70) *Ἐξαγωγῆς*. Consentiunt in hac voce mss. codices. Editi διεξαγωγῆς. Displicet Combefisio Erasmi interpretatio, quia non statim de exitu Israelitarum loquitur Basilius; sed illa primogenitorum salus est velut initium exitus Israelitarum.

(71) *Διδομένης*. Reg. primus διαδιδομένης.

(72) *Ὁ θάνατος*. Editi addunt ἀπὸ Ἀδὰμ, sed hæc desunt in mss.

(73) *Διετηρήθη δέ*. Pro his vocibus tres codices καὶ ἐσώζετο Paulo post codices mss. θίγειν, editi θήγειν.

(74) *Μικρά*. Tres codices μικρόν. Paulo post editi contra omnium codicum mss. fidem παραβάλλοιμεν, unde Erasmus, *si conferamus*.

(75) *Παραπτωμάτων*. Quidam codices ἁμαρτημάτων.

ἀνανέωσις ἐν θαλάσσῃ; ποῖον χάρισμα πνευματικὸν A διὰ Μωϋσέως; ποία νέκρωσις ἁμαρτίας ἐκεῖ; Οὐ συναπέθανον ἐκεῖνοι Χριστῷ· διόπερ οὐδὲ συνηγέρθησαν. Οὐκ ἐφόρεσαν τὴν εἰκόνα τοῦ ἐπουρανίου, οὐ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιήνεγκαν, οὐκ ἀπεδύσαντο τὸν παλαιὸν ἄνθρωπον (76), οὐκ ἐνεδύσαντο τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν, κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Τί οὖν (77) συγκρίνεις τὰ βαπτίσματα, ὧν ἡ προσηγορία μόνη κοινή, ἡ δὲ τῶν πραγμάτων διαφορὰ τοσαύτη, ὅση ἂν γένοιτο ὀνείρου πρὸς τὴν ἀλήθειαν, καὶ σκιᾶς καὶ εἰκόνων πρὸς τὰ κατ' οὐσίαν ὑφεστηκότα;

33. Ἀλλὰ καὶ ἡ εἰς τὸν Μωϋσέα πίστις οὐ τὴν εἰς τὸ Πνεῦμα πίστιν ὀλίγου τινὸς ἀξίαν δείκνυσιν· ἀλλὰ κατὰ τὸν τούτων λόγον, μᾶλλον τὴν εἰς τὸν Θεὸν τῶν ὅλων ὁμολογίαν κατασμικρύνει. B *Ἐπίστευσε γὰρ*, φησὶν, *ὁ λαὸς τῷ Θεῷ, καὶ Μωϋσεῖ τῷ θεράποντι αὐτοῦ.* Θεῷ τοίνυν συνέζευκται, οὐχὶ τῷ Πνεύματι· καὶ τύπος ἦν οὐχὶ τοῦ Πνεύματος, ἀλλὰ τοῦ Χριστοῦ. Τὸν γὰρ μεσίτην Θεοῦ καὶ ἀνθρώπων δι' ἑαυτοῦ τότε προαπετύπου (78) ἐν τῇ τοῦ νόμου διακονίᾳ. Οὐ γὰρ τοῦ Πνεύματος τύπος ἦν Μωϋσῆς, τὰ πρὸς τὸν Θεὸν τῷ λαῷ μεσιτεύων. Ἐδόθη γὰρ νόμος διαταγεὶς δι' ἀγγέλων, ἐν χειρὶ μεσίτου (δηλαδὴ τοῦ Μωϋσέως), κατὰ τὴν πρόκλησιν τοῦ λαοῦ λέγοντος· *Λάλησον σὺ*, φησὶ, *πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεός.* Ὥστε ἡ εἰς αὐτὸν πίστις ἐπὶ τὸν Κύριον ἀναφέρεται, τὸν μεσίτην Θεοῦ καὶ ἀνθρώπων, τὸν εἰπόντα· *Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί.* Ἆρα οὖν μικρὸν ἡ εἰς τὸν C Κύριον πίστις, ἐπειδὴ διὰ Μωϋσέως προεσημάνθη; Οὕτως οὐδὲ εἴ τις εἰς Μωϋσῆν ἐβαπτίσθη, μικρὰ ἡ ἀπὸ τοῦ Πνεύματος ἐπὶ τὸ βάπτισμα χάρις. Καίτοιγε ἔχω λέγειν, ὅτι Μωϋσῆν καὶ τὸν νόμον τῇ Γραφῇ λέγειν σύνηθες· ὡς τό, *Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας.* Τὸ οὖν νομικὸν βάπτισμα λέγων, Ἐβαπτίσθησαν, εἶπεν, εἰς τὸν Μωϋσῆν. Τί οὖν τὸ καύχημα τῆς ἐλπίδος ἡμῶν, καὶ τὴν πλουσίαν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν δωρεὰν, τοῦ διὰ τῆς παλιγγενεσίας ἀνακαινίζοντος ἡμῶν, ὡς ἀετοῦ, τὴν νεότητα, εὐκαταφρόνητον (79) δεικνύουσιν οἱ ἀπὸ τῆς σκιᾶς καὶ τῶν τύπων τὴν ἀλήθειαν διαβάλλοντες; Ἦπου νηπίας φρενὸς παντελῶς τοῦτο, καὶ παιδός τινος ὡς ἀληθῶς γάλακτος δεομένου, ἀγνοεῖν τὸ μέγα τῆς σωτηρίας ἡμῶν μυστήριον, ὅτι κατὰ τὸν D εἰσαγωγικὸν τῆς διδασκαλίας τρόπον, ἐν τῇ κατὰ τὴν εὐσέβειαν γυμνασίᾳ πρὸς τὴν τελείωσιν ἐναγόμενοι, τοῖς εὐληπτοτέροις πρῶτον καὶ συμμέτροις

renovatio in mari, quod donum spirituale per Moysen? quæ illic peccati interemptio? Non illi Christo commortui sunt, eoque nec cum illo resuscitati sunt [28]. Non portabant imaginem illius cœlestis [29], non mortificationem Jesu in corpore circumferebant [30], non exuerunt veterem hominem, non induerunt novum, qui renovatur in agnitionem secundum imaginem illius qui eum condidit [31]. Quid igitur confers baptismata, quorum sola communis appellatio; rerum autem tanta differentia, quanta somnii a veritate, ac umbræ et imaginum, ab his quæ revera subsistunt.

33. Sed et ipsa fides in Moysen non fidem in Spiritum parvæ esse dignitatis ostendit; sed secundum istorum ratiocinationem, ea potius, quæ de Deo universorum profitemur, extenuat. *Credidit enim*, inquit, *populus Deo, et Moysi famulo ejus* [32]. Deo itaque copulatus est Moyses, non Spiritui; eratque typus, non Spiritus, sed Christi. Nam Dei et hominum mediatorem [33] per se ipsum tunc in ministerio legis præfigurabat. Neque enim Spiritus figura erat Moyses, inter Deum et populum intercedens. Data est enim lex disposita per angelos, in manu mediatoris [34] (videlicet Moysis), secundum provocationem populi dicentis: *Loquere tu nobis, et non loquatur nobis Deus* [35]. Itaque fides in Moysen ad Dominum refertur, mediatorem inter Deum et homines, qui dixit: *Si crederetis Moysi, crederetis utique mihi* [36]. An igitur parvi momenti fides in Dominum, quia per Moysen præsignata est? Sic si quis in Moysen baptizatus est, non idcirco exigua Spiritus gratia in baptismate. Quanquam alioqui possum dicere consuetudinem esse Scripturæ, Moysis nomine etiam significare legem, velut illud: *Habent Moysen et prophetas* [37]. Itaque de legali baptismate loquens, Baptizati sunt, inquit, in Moyse [38]. Cur igitur gloriationem nostræ spei, et dives illud Dei ac Servatoris nostri donum, qui per regenerationem renovat, velut aquilæ, juventutem nostram, contemptibile reddere conantur ii, qui ex umbra et figuris calumniantur veritatem? Profecto animi omnino infantilis est, puerique cui revera lacte est opus, ignorare magnum illud mysterium nostræ salutis: quod quemadmodum ad disciplinas discendas introduci solemus, ita in exercitatione pietatis, dum ad perfectionem inducimur, primum rebus quæ facilius percipiuntur, et quarum cognitio nobis congruit, ceu primis quibusdam

[28] Rom. vi, 8. [29] I Cor. xv, 49. [30] II Cor. iv, 10. [31] Coloss. iii, 9, 10. [32] Exod. xiv, 31. [33] I Tim. ii, 5. [34] Gal. iii, 19. [35] Exod. xx, 19. [36] Joan. v, 46. [37] Luc. xvi, 29. [38] I Cor. x, 2.

(76) *Ἄνθρωπον*. Editi addunt σὺν ταῖς πράξεσιν αὐτοῦ, sed hæc desunt in veteribus libris. Iisdem auctoribus legimus κτίσαντος αὐτόν. Deest αὐτόν in editis.

(77) *Τί οὖν*, etc. Reg. tertius sic habet: Τί οὖν συγκρίνεις βάπτισμα ᾧ ἡ, etc. Paulo post legimus cum antiquis codicibus ὀνείρου et Μωϋσέα, editi ὀνείρων et Μωϋσῆν. Subinde codices duo Ἐπίστευσαν γάρ, φησί, Θεῷ.

(78) *Προαπετύπου*. Sic plerique mss. Editi προανετύπου. Paulo post iidem editi cum uno codice mss. πρόσκλησιν, alii ut in contextu.

(79) *Εὐκαταφρόνητον*. Reg. secundus εὐκαταφρόνητα. Ibidem editi δείκνυτε, plerique codices ut in contextu. Haud procul ex tribus codicibus addimus τοῦτο post παντελῶς.

elementis instituti sumus; Deo qui nostra gubernat, quasi oculos in tenebris enutritos, ad magnum veritatis lumen, paulatim assuefaciendo, subvehente. Dum enim infirmitati nostræ parcit, in profunda sapientiæ suæ opulentia, inque imperscrutabilibus intelligentiæ suæ judiciis placidam **28** hanc nobisque accommodam adhibuit institutionem, prius corporum umbras intueri, et in aquis solem cernere consuefaciens, ne protinus spectaculo puræ lucis offensi caligaremus. Ad consimilem enim rationem tum lex umbram habens futurorum [89], tum per prophetas facta olim delineatio, quæ est veritatis ænigma, exercitamenta oculorum cordis excogitata sunt: quod videlicet ab his futurus erat nobis transitus facilis ad reconditam in mysterio sapientiam. Itaque de figuris quidem hactenus. Neque enim licet huic loco diutius immorari. Alioqui quod obiter incidit, longe majus fieret argumento principali.

A ἡμῖν κατὰ τὴν γνῶσιν (80) ἐστοιχειώθημεν· τοῦ οἰκονομοῦντος τὰ ἡμέτερα, ὥσπερ ὀφθαλμοὺς ἐν σκότῳ τραφέντας, τῷ κατ' ὀλίγον ἐθισμῷ πρὸς τὸ μέγα φῶς τῆς ἀληθείας ἀνάγοντος. Φειδοῖ γὰρ τῆς ἀσθενείας ἡμῶν, ἐν τῷ βάθει τοῦ πλούτου τῆς σοφίας αὐτοῦ, καὶ τοῖς ἀνεξιχνιάστοις κρίμασι τῆς συνέσεως (81) τὴν προσηνῆ ταύτην καὶ εὐάρμοστον ἡμῖν ὑπέδειξεν ἀγωγὴν, τὰς σκιὰς πρότερον ὁρᾷν τῶν σωμάτων, καὶ ἐν ὕδατι βλέπειν τὸν ἥλιον προεθίζων, ὡς μὴ εὐθὺς τῇ θέᾳ τοῦ ἀκράτου φωτὸς προσβαλόντας ἀμαυρωθῆναι. Κατὰ γὰρ τὸν ἴσον λόγον ὅ τε νόμος, σκιὰν ἔχων τῶν μελλόντων, καὶ ἡ διὰ τῶν προφητῶν προτύπωσις (82), αἴνιγμα οὖσα τῆς ἀληθείας, γυμναστήρια τῶν ὀφθαλμῶν τῆς καρδίας ἐπινενόηται· ὡς ἀπὸ τούτων ῥᾳδίας τῆς μετα-
B βάσεως ἡμῖν πρὸς τὴν ἀποκεκρυμμένην ἐν μυστηρίῳ σοφίαν γενησομένης. Τὰ μὲν οὖν περὶ τύπων ἐπὶ τοσοῦτον. Καὶ γὰρ οὐδὲ δυνατὸν, ἐπὶ πλέον προσδιατρῖψαι (83) τῷ τόπῳ, ἢ οὕτω γ' ἂν τὸ ἐπεισόδιον πολλαπλάσιον εἴη τοῦ κεφαλαίου.

CAPUT XV.

Responsio ad id quod subinferunt, nos et in aquam baptizari: ubi et de baptismate.

34. Quid igitur ad hæc? Multis quippe solutionibus abundant. Etiam in aquam baptizamur, nec tamen aquam universæ creaturæ præferemus, neque ei Patris ac Filii honorem impertiemus. Atque illorum quidem verba talia sunt, qualia hominum ira commotorum, qui ob affusas rationi ex affectu tenebras, a nullo temperant, quod ad ulciscendum eum a quo offensi sunt faciat. Nos autem ne de his quidem gravabimur disserere. Aut enim ignorantes docebimus, aut maligne obsistentibus non concedemus. Sed paulo altius.

35. Dei ac Servatoris nostri circa hominem dispensatio revocatio est a lapsu, reditusque ad Dei familiaritatem ab alienatione quam induxit inobedientia. Hanc ob causam, adventus Christi in carne, evangelicæ conversationis formæ, afflictiones, crux, sepultura, resurrectio, ut homo qui salvus fit per imitationem Christi, veterem illam filiorum adoptionem recipiat. Itaque necessarium est ad vitæ perfectionem Christum imitari, non solum in exemplis, quæ in vita demonstravit, lenitatis, humilitatis ac patientiæ, verum etiam ipsius mortis, sicut Paulus ait Christi imitator: *Conformatus morti*

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ἀπάντησις πρὸς ἀνθυποφορὰν, ὅτι καὶ εἰς ὕδωρ βαπτιζόμεθα· ἐν ᾧ καὶ τὰ περὶ βαπτίσματος.

34. Τί οὖν πρὸς τούτοις (84) ἔτι; Πολλῶν γὰρ διαλύσεων εὐποροῦσιν. Καὶ εἰς ὕδωρ βαπτιζόμεθα, καὶ οὐ δήπου τὸ ὕδωρ πάσης ὁμοῦ τῆς κτίσεως προτιμήσομεν, ἢ καὶ αὐτῷ τῆς Πατρὸς καὶ Υἱοῦ τιμῆς μεταδώσομεν. Οἱ μὲν οὖν ἐκείνων λόγοι τοιοῦτοι, ὁποῖοι ἂν γένοιντο ἀνθρώπων ὠργισμένων, καὶ διὰ
C τὴν ἐκ τοῦ πάθους τῶν λογισμῶν ἐπισκότησιν, μηδενὸς φειδομένων πρὸς τὴν τοῦ λελυπηκότος ἄμυναν. Ἡμεῖς δὲ οὐδὲ τὸν περὶ τούτων κατοκνήσομεν λόγον. Ἢ γὰρ ἀγνοοῦντας διδάξομεν, ἢ κακουργοῦσιν οὐκ ἐπιτρέψομεν. Μικρὸν δὲ ἄνωθεν (85).

35. Ἡ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν περὶ τὸν ἄνθρωπον οἰκονομία ἀνάκλησίς ἐστιν ἀπὸ τῆς ἐκπτώσεως, καὶ ἐπάνοδος εἰς οἰκείωσιν Θεοῦ ἀπὸ τῆς διὰ τὴν παρακοὴν γενομένης ἀλλοτριώσεως. Διὰ τοῦτο ἡ μετὰ σαρκὸς ἐπιδημία Χριστοῦ, αἱ τῶν εὐαγγελικῶν πολιτευμάτων ὑποτυπώσεις (86), τὰ πάθη, ὁ σταυρὸς, ἡ ταφὴ, ἡ ἀνάστασις· ὥστε τὸν σωζόμενον ἄνθρωπον διὰ μιμήσεως Χριστοῦ τὴν ἀρχαίαν ἐκείνην υἱοθεσίαν ἀπολαβεῖν. Ἀναγκαία τοίνυν ἐστὶ πρὸς τελείωσιν ζωῆς ἡ Χριστοῦ μίμησις οὐ μόνον ἐν τοῖς κατὰ
D τὸν βίον ὑποδείγμασιν ἀοργησίας καὶ ταπεινοφροσύνης καὶ μακροθυμίας, ἀλλὰ καὶ αὐτοῦ τοῦ θανάτου,

[89] Hebr. x, 1.

(80) *Κατὰ τὴν γνῶσιν*. Nescio unde editi habeant κατὰ τὴν ἀκατάληπτον γνῶσιν, quod in nullo prorsus codice reperimus.

(81) *Τῆς συνέσεως*. Editio Paris. addit αὐτοῦ, quod abest a nostris codicibus et ab edit. Basil. Paulo post legimus cum veteribus libris ἐν ὕδατι pro eo quod erat in editis ἐν ὕδασι.

(82) *Προτύπωσις*. Sic quatuor codices mss. Alii cum editis τύπωσις. Paulo post editi τῆς καρδίας ἡμῶν. Mss. ut in textu.

(83) *Προσδιατρῖψαι*. Sic omnes codices; editi ἐνδιατρῖψαι. Quamvis autem ibidem plerique codices habeant τῷ τύπῳ, retinuimus τόπῳ, sic enim postulat sententiæ series.

(84) *Τί οὖν πρὸς τούτοις*. Hæc periodus in editis ad caput præcedens refertur; sed commodius visum est inde initium hujus capitis ut in nonnullis mss. ducere. Paulo post tres codices ἢ καὶ αὐτό.

(85) *Ἄνωθεν*. Editi addunt ἀναλαβόντες εἴπωμεν, sed hæc ab antiquis omnibus libris absunt, nec videntur necessaria. Ibidem quatuor codices ἢ τοῦ Θεοῦ καὶ Πατρός.

(86) *Αἱ τῶν... ὑποτυπώσεις*. Sic prisci quinque libri: editi autem ἡ... ὑποτύπωσις. Reg. secundus ibidem ἡ μετὰ σαρκὸς οἰκονομία.

ὡς Παῦλός φησιν ὁ μιμητὴς τοῦ Χριστοῦ· *Συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ, εἴ πως καταντήσω εἰς τὴν ἐκ νεκρῶν ἐξανάστασιν.* Πῶς οὖν γινόμεθα ἐν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ; Συνταφέντες αὐτῷ διὰ τοῦ βαπτίσματος. Τίς οὖν ὁ τρόπος τῆς ταφῆς; καὶ τί τὸ ἐκ τῆς μιμήσεως χρήσιμον; Πρῶτον μὲν ἀναγκαῖον, τὴν ἀκολουθίαν τοῦ προτέρου βίου διακοπῆναι. Τοῦτο δὲ ἀδύνατον, μὴ ἄνωθεν γεννηθέντα, κατὰ τὴν τοῦ Κυρίου φωνήν. Ἡ γὰρ παλιγγενεσία, ὡς καὶ αὐτὸ δηλοῖ τὸ ὄνομα, δευτέρου βίου ἐστὶν ἀρχή. Ὥστε πρὶν ἄρξασθαι τοῦ δευτέρου, πέρας (87) χρὴ δοῦναι τῷ προλαβόντι. Ὡς γὰρ ἐπὶ τῶν τὸν δίαυλον ἀνακαμπτόντων στάσις τις καὶ ἐπηρέμησις τὰς ἐναντίας κινήσεις διαλαμβάνει· οὕτω καὶ ἐπὶ τῆς τῶν βίων μεταβολῆς ἀναγκαῖον ἐφάνη θάνατον ἀμφοτέροις μεσιτεῦσαι τοῖς βίοις, περατοῦντα μὲν τὰ προάγοντα, ἀρχὴν δὲ διδόντα τοῖς ἐφεξῆς. Πῶς οὖν κατορθοῦμεν τὴν εἰς ᾅδου κάθοδον (88); Μιμούμενοι τὴν ταφὴν τοῦ Χριστοῦ διὰ τοῦ βαπτίσματος. Οἱονεὶ γὰρ ἐνθάπτεται τῷ ὕδατι τῶν βαπτιζομένων τὰ σώματα. Ἀπόθεσιν οὖν τῶν ἔργων τῆς σαρκὸς συμβολικῶς ὑποφαίνει (89) τὸ βάπτισμα, κατὰ τὸν Ἀπόστολον λέγοντα, ὅτι *Περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι.* Καὶ οἱονεὶ καθάρσιόν ἐστι ψυχῆς τοῦ ἀπὸ τοῦ σαρκικοῦ φρονήματος αὐτῇ προσγενομένου ῥύπου, κατὰ τὸ γεγραμμένον, ὅτι *Πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.* Διὰ τοῦτο οὐχὶ Ἰουδαϊκῶς ἐφ' ἑκάστῳ μολύσματι ἀπολουόμεθα, ἀλλ' ἓν οἴδαμεν τὸ σωτήριον βάπτισμα· ἐπειδὴ εἷς ἐστιν ὁ ὑπὲρ τοῦ κόσμου θάνατος, καὶ μία ἡ ἐκ νεκρῶν ἐξανάστασις, ὧν τύπος ἐστὶ τὸ βάπτισμα. Τούτου χάριν ὁ τὴν ζωὴν ἡμῶν (90) οἰκονομῶν Κύριος τὴν τοῦ βαπτίσματος ἡμῖν ἔθετο διαθήκην, θανάτου τύπον καὶ ζωῆς περιέχουσαν· τὴν μὲν τοῦ θανάτου εἰκόνα τοῦ ὕδατος ἐκπληροῦντος, τὸν δὲ τῆς ζωῆς ἀῤῥαβῶνα παρεχομένου τοῦ Πνεύματος. Ὥστε σαφὲς ἡμῖν ἐντεῦθεν γέγονε τὸ ζητούμενον, διὰ τί τῷ Πνεύματι τὸ ὕδωρ συμπαρελήφθη. Ὅτι δύο σκοπῶν ἐν τῷ βαπτίσματι προκειμένων, καταργῆσαι μὲν τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι αὐτὸ καρποφορεῖν τῷ θανάτῳ, ζῆν δὲ τῷ Πνεύματι, καὶ τὸν καρπὸν ἔχειν ἐν ἁγιασμῷ· τὸ μὲν ὕδωρ τοῦ θανάτου τὴν εἰκόνα παρέχει, ὥσπερ ἐν ταφῇ τὸ σῶμα παραδεχόμενον· τὸ δὲ Πνεῦμα τὴν ζωοποιὸν ἐνίησι δύναμιν, ἀπὸ τῆς κατὰ τὴν ἁμαρτίαν νεκρότητος εἰς τὴν ἐξ ἀρχῆς ζωὴν τὰς ψυχὰς ἡμῶν ἀνακαινίζον. Τοῦτο οὖν ἐστι τὸ ἄνωθεν γεννηθῆναι ἐξ ὕδατος καὶ Πνεύματος· ὡς τῆς μὲν νεκρώσεως ἐν τῷ ὕδατι τελουμένης, τῆς δὲ

A *ejus, si quo modo perveniam ad resurrectionem ex mortuis*[40]. Quomodo igitur fit, ut simus in similitudine mortis ejus[41]? Consepulti cum illo per baptisma[42]. Quis igitur est modus sepulturæ, aut quis ex imitatione fructus? Primum quidem necesse est vitæ prioris seriem interrumpi. Id autem nemo potest consequi, nisi natus denuo, juxta Domini vocem[43]: siquidem regeneratio, uti ipsum etiam nomen declarat, alterius vitæ initium est. Quare antequam alteram vitam incipias, oportet priori finem imponere. Quemadmodum enim in his qui stadii
29 finem asseculi sese reflectunt, statio quædam et requies inter contrarias motiones interponitur: sic et in mutatione vitæ videbatur necessarium, ut mors inter priorem et posteriorem vitam inter-
B cederet, quæ et præcedentia finiat, et initium det sequentibus. Quomodo igitur assequimur descensum ad inferos? Christi sepulturam imitantes per baptismum. Eorum enim qui baptizantur corpora, quodammodo in aquis sepeliuntur. Proin depositionem operum carnis arcano modo significat baptismus, juxta Apostolum dicentem: *Circumcisi estis circumcisione non facta manu, in exspoliatione corporis carnis, in circumcisione Christi, sepulti cum illo in baptismo*[44]. Ac baptisma quodam modo repurgat animam a sordibus, quæ ei a carnali sensu accedunt, juxta id quod scriptum est: *Lavabis me, et super nivem dealbabor*[45]. Hanc ob causam non Judæorum more in quibuslibet inquinamentis abluimur, sed unum novimus salutiferum baptisma:
C quandoquidem una est pro mundo mors, et una ex mortuis resurrectio, quarum figura est baptisma. Quapropter qui nostram vitam dispensat Dominus, baptismatis pactum nobis statuit, mortis ac vitæ typum habens: mortis quidem imaginem explente aqua, Spiritu vero vitæ arrham præbente. Hinc itaque nobis perspicuum est quod quærebatur, quamobrem aqua conjuncta fuerit Spiritui. Cum enim duo scopi propositi sint in baptismo, videlicet ut aboleatur corpus peccati, ne postea fructificet morti, tum ut vivatur Spiritu, et fructus habeatur in sanctificatione; aqua, mortis exhibet imaginem, corpus velut in sepulcro recipiens; Spiritus vero vim vivificam immittit, a morte pec-
D cati renovans animas nostras in pristinam vitam. Hoc igitur est denuo nasci ex aqua et Spiritu[46]: quippe quia mors perficitur in aqua, vitam vero nostram operatur Spiritus. Tribus igitur demersionibus, ac totidem invocationibus, magnum baptismatis mysterium peragitur, ut et mortis figura exprimatur, et per traditionem divinæ scientiæ ani-

[40] Philipp. III, 10, 11. [41] Rom. VI, 5. [42] ibid. 4. [43] Joan. III, 3. [44] Coloss. II, 11. [45] Psal. L, 9. [46] Joan. III, 5.

(87) *Πρὶν ἄρξασθαι τοῦ δευτέρου, πέρας*, etc. Editi τῷ μέλλοντι ἄρξασθαι τοῦ δευτέρου βίου, πέρας, etc. Sed illud, τῷ μέλλοντι, in nullo codice reperitur, βίου autem in uno tantum. Emendavimus ope Regii primi, ex quo sumpsimus illud, πρίν, quod difficultatis nihil prorsus relinquit. Mox Reg. secundus Ὡς γὰρ τῶν ἐπὶ τὸν δίαυλον ἀνακαμπτόντων.

(88) *Τὴν εἰς ᾅδου κάθοδον*. Colbert. et Reg. tertius κατάβασιν.

(89) *Ὑποφαίνει*. Sic codices omnes. Editi ὑποσημαίνει.

(90) *Ἡμῶν*. Sic libri veteres. Editi ἡμῖν.

nus illustretur eorum qui baptizantur. Itaque si A qua est gratia in aqua, non est ex ipsius aquæ natura, sed ex Spiritus præsentia. Non enim est baptismus depositio sordium corporis, sed conscientiæ bonæ interrogatio apud Deum [47]. Itaque ad eam vitam, quæ est ex resurrectione, præparans nos Dominus, totam evangelicam conversationem proponit; ut non irascamur, ut malorum tolerantes simus, et a voluptatum amore puri, ut a studio pecuniæ mores sint liberi, præscribens, ita ut quæ illud sæculum juxta naturam possidet, ea nos præcipientes ex animi inductione peragamus. Proinde si quis definiens dicat Evangelium esse vitæ, quæ est ex resurrectione, figuram, mihi nequaquam videatur a recto aberrare. Ad scopum igitur revertamur.

A ζωῆς ἡμῶν ἐνεργουμένης διὰ τοῦ Πνεύματος. Ἐν τρισὶν οὖν καταδύσεσι, καὶ ἰσαρίθμοις ταῖς ἐπικλήσεσι, τὸ μέγα μυστήριον τοῦ βαπτίσματος τελειοῦται, ἵνα καὶ ὁ τοῦ θανάτου τύπος ἐξεικονισθῇ, καὶ τῇ παραδόσει τῆς θεογνωσίας τὰς ψυχὰς φωτισθῶσιν οἱ βαπτιζόμενοι. Ὥστε εἴ τίς ἐστιν ἐν τῷ ὕδατι χάρις, οὐκ ἐκ τῆς φύσεώς ἐστι τοῦ ὕδατος, ἀλλ' ἐκ τῆς τοῦ Πνεύματος παρουσίας. Οὐ γάρ ἐστι τὸ βάπτισμα ῥύπου σαρκὸς ἀπόθεσις, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν. Πρὸς οὖν τὸν ἐξ ἀναστάσεως βίον καταρτίζων ἡμᾶς ὁ Κύριος, τὴν εὐαγγελικὴν πᾶσαν ἐκτίθεται πολιτείαν, τὸ ἀόργητον, τὸ ἀνεξίκακον, τὸ φιληδονίας ἀῤῥύπωτον (91), τὸ ἀφιλάργυρον τοῦ τρόπου νομοθετῶν· ὥστε ἅπερ ὁ αἰὼν ἐκεῖνος κατὰ τὴν φύσιν κέκτηται, ταῦτα προλαβόν- B τας ἡμᾶς ἐκ προαιρέσεως κατορθοῦν. Εἰ τοίνυν τις ὀργιζόμενος εἴποι τὸ Εὐαγγέλιον εἶναι τοῦ ἐξ ἀναστάσεως βίου προδιατύπωσιν, οὐκ ἄν μοι δοκῇ (92) τοῦ προσήκοντος ἁμαρτεῖν. Ἐπὶ οὖν τὸν σκοπὸν ἐπανέλθωμεν.

36. Per Spiritum sanctum datur in paradisum 30 restitutio, ad regnum cœlorum ascensus, in adoptionem filiorum reditus: datur fiducia Deum appellandi Patrem suum, consortem fieri gratiæ Christi, filium lucis appellari, æternæ gloriæ participem esse, et ut semel omnia dicam, esse in omni benedictionis plenitudine, tum in præsenti hoc sæculo, tum in futuro: repositorum nobis in promissis bonorum, quæ per fidem fruenda exspectamus, perinde quasi jam adsint, gratiam velut in speculo contemplantes. Nam si talis est arrhabo, quale est illud quod perfectum est? et si tantæ sunt primitiæ, quæ erit totius consummatio? Insuper et illinc cognoscitur quantum inter eam gratiam quæ a Spiritu proficiscitur, et baptismum, qui aqua constat, sit discriminis, quod Joannes quidem baptizavit in aqua ad pœnitentiam, Dominus autem noster Jesus Christus in Spiritu sancto. *Ego equidem*, inquit, *baptizo vos in aqua ad pœnitentiam: qui autem post me venit, potentior me est; cujus non sum dignus ut gestem calceamenta: ipse vos baptizabit in Spiritu sancto, et igni* [48]; ignis baptismum probationem quæ fiet in judicio, dicens, quemadmodum Apostolus ait: *Uniuscujusque opus quale sit, ignis probabit* [49]; et rursus: *Dies enim declarabit, quod in igne patefit* [50]. Jam vero sunt nonnulli, qui in certaminibus pro pietate, revera non imitatione mortem pro Christo perpessi, nihil symbolis quæ sunt in aqua opus habuerunt ad salutem, nimirum in proprio baptizati sanguine. Neque hæc ita loquor, quod aquæ baptisma spernam, sed ut istorum rationes

36. Διὰ Πνεύματος ἁγίου ἡ εἰς παράδεισον ἀποκατάστασις· ἡ εἰς βασιλείαν οὐρανῶν ἄνοδος· ἡ εἰς υἱοθεσίαν ἐπάνοδος· ἡ παῤῥησία τοῦ καλεῖν ἑαυτῶν (93) Πατέρα τὸν Θεὸν, κοινωνὸν γενέσθαι τῆς χάριτος τοῦ Χριστοῦ, τέκνον φωτὸς χρηματίζειν, δόξης ἀϊδίου μετέχειν, καὶ ἁπαξαπλῶς ἐν παντὶ πληρώματι εὐλογίας γενέσθαι ἔν τε τῷ αἰῶνι τούτῳ καὶ ἐν τῷ μέλλοντι· τῶν ἐν ἐπαγγελίαις ἀποκειμένων ἡμῖν ἀγαθῶν, ὧν διὰ πίστεως ἀπεκδεχόμεθα τὴν ἀπόλαυσιν, ὡς ἤδη παρόντων, τὴν χάριν ἐνοπτριζόμενοι. Εἰ γὰρ ὁ ἀῤῥαβὼν τοιοῦτος, ἡλίκον τὸ τέ- C λειον; καὶ εἰ ἡ ἀπαρχὴ τοσαύτη (94), τίς ἡ τοῦ ὅλου πλήρωσις; Ἔτι κἀκεῖθεν τῆς ἀπὸ τοῦ Πνεύματος χάριτος πρὸς τὸ ἐν ὕδατι βάπτισμα γνώριμον τὸ διάφορον· ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ἐν ὕδατι εἰς μετάνοιαν, ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ Πνεύματι τῷ ἁγίῳ (95). *Ἐγὼ μὲν γὰρ ὑμᾶς*, φησὶ, *βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν· οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ, καὶ πυρί*· τὸ τοῦ πυρὸς βάπτισμα τὴν ἐν τῇ κρίσει δοκιμασίαν λέγων, καθά φησιν ὁ Ἀπόστολος· *Ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ αὐτὸ* (96) *δοκιμάσει*· καὶ πάλιν· *Ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται.* Ἤδη δέ τινες ἐν τοῖς ὑπὲρ εὐσεβείας D ἀγῶσιν, ἀληθείᾳ καὶ οὐ μιμήσει τὸν ὑπὲρ Χριστοῦ θάνατον ὑποστάντες, οὐδὲν τῶν ἐκ τοῦ ὕδατος συμβόλων εἰς τὴν σωτηρίαν ἐπεδεήθησαν, ἐν τῷ ἰδίῳ αἵματι βαπτισθέντες. Καὶ οὐκ ἀθετῶν τὸ ἐν τῷ ὕδατι βάπτισμα, ταῦτα λέγω, ἀλλὰ τοὺς λογισμοὺς καθαιρῶν τῶν ἐπαιρομένων κατὰ τοῦ Πνεύματος, καὶ

[47] I Petr. III, 21. [48] Matth. III, 11. [49] I Cor. III, 13. [50] ibid.

(91) *Ἀῤῥύπωτον*. Duo codices mss. ἄῤῥυπον.

(92) *Δοκῇ*. Sic libri veteres, melius quam editi δοκεῖ.

(93) *Ἑαυτῶν*. Ita codices mss. Editi ἑαυτοῦ. Ibidem Reg. quartus. τῆς χαρᾶς τοῦ Χριστοῦ.

(94) *Τοσαύτη*. Sic quatuor codices: alii cum editis τοιαύτη. Ibidem editio Basileensis τίς ἡ τοῦ λόγου πλήρωσις, quæ verba sic reddidit Erasmus: *Quæ erit verbi consummatio?* Paulo post addimus εἰς μετάνοιαν ex tribus codicibus.

(95) *Τῷ ἁγίῳ*. Editi addunt καὶ τῷ πυρί. Sed hæc in nullo codice ms.

(96) *Αὐτό*. Legitur ea vox in cod. Colbert. et Reg. quinto, abest ab aliis.

μιγνύντων τὰ ἄμικτα, καὶ παρισαζόντων (97) τὰ ἀσυνείκαστα. A

dejiciam, qui adversus Spiritus eriguntur; quique commiscent non miscenda, et similia faciunt, quæ comparationem respuunt.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ.

Ὅτι ἀχώριστον ἐπὶ πάσης ἐννοίας Πατρὸς καὶ Υἱοῦ τὸ ἅγιον Πνεῦμα, ἐπί τε τῆς τῶν νοητῶν δημιουργίας, καὶ ἐπὶ τῆς τῶν ἀνθρώπων οἰκονομίας, καὶ ἐπὶ τῆς προσδοκωμένης κρίσεως.

37. Ἐπὶ οὖν τὸ ἐξ ἀρχῆς ἐπανίωμεν, ὅπως ἐν πᾶσιν ἀχώριστόν ἐστι καὶ ἀδιάστατον παντελῶς Πατρὸς καὶ Υἱοῦ τὸ ἅγιον Πνεῦμα. Ἐν τῷ περὶ τοῦ χαρίσματος τῶν γλωσσῶν τόπῳ, Κορινθίοις ἐπιστέλλων ὁ Παῦλος (98)· *Ἐὰν πάντες, φησὶ, προφητεύητε, εἰσέλθῃ δέ τις* (99) *ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον, προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων, ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστιν.* B Εἰ τοίνυν ἐκ τῆς προφητείας, τῆς κατὰ τὴν διαίρεσιν τῶν χαρισμάτων τοῦ Πνεύματος ἐνεργουμένης, ἐπιγινώσκεται ὁ Θεὸς ἐν τοῖς προφήταις εἶναι, βουλευσάσθωσαν οὗτοι ποίαν χώραν ἀποδώσουσι τῷ Πνεύματι τῷ ἁγίῳ· πότερον μετὰ Θεοῦ τάσσειν (1), ἢ πρὸς τὴν κτίσιν ἐξωθεῖν δικαιότερον. Καὶ τὸ πρὸς Σάπφειραν ὑπὸ Πέτρου· *Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα τὸ ἅγιον; οὐκ ἐψεύσασθε ἀνθρώποις, ἀλλὰ Θεῷ·* δείκνυσιν, ὅτι τὰ αὐτὰ εἰς τὸ Πνεῦμα τὸ ἅγιον καὶ εἰς Θεόν ἐστι τὰ ἁμαρτήματα. Καὶ οὕτω δ' ἂν τὸ συναφὲς καὶ ἀδιαίρετον κατὰ πᾶσαν ἐνέργειαν ἀπὸ Πατρὸς καὶ Υἱοῦ τοῦ Πνεύματος C διδαχθείης. Ἐνεργοῦντος (2) τοῦ Θεοῦ τὰς διαιρέσεις τῶν ἐνεργημάτων, καὶ τοῦ Κυρίου τὰς διαιρέσεις τῶν διακονιῶν, συμπάρεστι τὸ ἅγιον Πνεῦμα, τὴν διανομὴν τῶν χαρισμάτων πρὸς τὴν ἀξίαν ἑκάστου αὐτεξουσίως οἰκονομοῦν. *Διαιρέσεις γὰρ, φησὶ, χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα. Καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος. Καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. Ταῦτα δὲ πάντα,* φησὶν, *ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται.* Οὐ μὴν ἐπειδὴ πρῶτον ἐνταῦθα τοῦ Πνεύματος ὁ Ἀπόστολος ἐπεμνήσθη, καὶ δεύτερον τοῦ Υἱοῦ, καὶ τρίτον τοῦ Θεοῦ καὶ Πατρὸς, ἤδη χρὴ καθόλου νομίζειν ἀντεστράφθαι τὴν τάξιν. D Ἀπὸ γὰρ τῆς ἡμετέρας σχέσεως τὴν ἀρχὴν ἔλαβεν· ἐπειδὴ ὑποδεχόμενοι τὰ δῶρα, πρῶτον ἐντυγχάνομεν τῷ διανέμοντι· εἶτα ἐννοοῦμεν τὸν ἀποστείλαντα· εἶτα ἀνάγομεν τὴν ἐνθύμησιν ἐπὶ τὴν πηγὴν καὶ αἰτίαν τῶν ἀγαθῶν.

CAPUT XVI.

Quod in omni notione Spiritus sanctus inseparabilis est a Patre et Filio, sive in creatione intelligibilium creaturarum, sive in humanarum rerum dispensatione, sive in judicio quod exspectatur.

37. Ad id igitur quod initio institutum est redeamus, quod videlicet in omnibus Spiritus sanctus inseparabilis et prorsus indistractus sit a Patre et Filio. Paulus Corinthiis scribens eo in loco in quo de dono linguarum tractat, ait: *Si omnes prophetetis, ingrediatur autem aliquis infidelis, aut idiota, arguitur ab omnibus, dijudicatur ab omnibus: occulta cordis ejus manifesta fiunt, atque ita procidens in faciem, adorabit Deum, renuntians quod Deus sit vere in vobis* [51]. Itaque, si ex prophetia, quæ juxta distributionem donorum Spiritus editur, agnoscitur Deus in prophetis 31 esse, consultent isti quem locum attributuri sint Spiritui sancto: utrum æquius sit illum cum Deo jungere, an ad creaturarum ordinem extrudere. Quin et ista Petri ad Sapphiram verba, *Quid est quod convenit inter vos tentare Spiritum sanctum? non mentiti estis hominibus, sed Deo* [52]; ostendunt eadem in Spiritum sanctum, et in Deum esse peccata. Atque hoc etiam pacto discere poteris, Spiritum sanctum in omni operatione conjunctum et inseparabilem esse a Patre et Filio. Cum Deus efficit distributiones operationum, ac Dominus divisiones ministrationum, simul adest Spiritus sanctus, partitionem donorum pro cujusque dignitate proprio arbitrio dispensans. *Nam,* inquit, *divisiones donorum sunt, idem autem Spiritus. Et divisiones administrationum sunt, idem autem Dominus. Et divisiones operationum sunt, idem autem Deus, qui operatur omnia in omnibus. Hæc autem omnia,* inquit, *operatur unus et idem Spiritus, dividens seorsim cuique, prout vult* [53]. Attamen non quoniam Apostolus primo loco meminit Spiritus, secundo Filii, tertio Dei et Patris, protinus oportet suspicari ordinem omnino inversum esse. A nostra siquidem habitudine sumpsit exordium. Nam cum dona accipimus; nobis is qui distribuit, occurrit primum; mox cogitamus eum qui misit; postremo cogitationem perducimus ad fontem auctoremque bonorum.

[51] I Cor. XIV, 24, 25. [52] Act. V, 9, 4. [53] I Cor. XII, 4-11.

(97) *Παρισαζόντων*. Sic omnes codices mss., non ut editi παρεικαζόντων.

(98) *Ὁ Παῦλος*. Combefisius legendum putat δηλοῖ ὁ Παῦλος: sed necessaria non est emendatio, modo initium hujus capitis non sumatur, ut in editis, ab his verbis, ὅπως ἐν πᾶσιν, sed ab his, ἐπὶ οὖν τό, ut in veteribus libris. Habent etiam editi ὁ ἅγιος Παῦλος, sed codices mss. ut edidimus.

(99) *Εἰσέλθῃ δέ τις*. Illud τὶς ex tribus codicibus addidimus, et paulo post tres alii καὶ οὕτω τὰ κρυπτά.

(1) *Τάσσειν*. Sic mss. Editi συντάσσειν. Paulo post editi Σάπφειραν τοῦ Πέτρου. Mss. ut in texto.

(2) *Ἐνεργοῦντος*. Post hanc vocem editi addunt γάρ, quod in veteribus libris non reperitur.

A 38. Jam etiam ex rebus initio conditis discas licet Spiritus cum Patre et Filio communionem. Nam puræ et intelligentes et supermundanæ virtutes, sanctæ tum sunt, tum nominantur, ex gratia a Spiritu sancto infusa sanctimoniam consecutæ. Quare silentio prætermissus est modus creationis cœlestium virtutum; nam ex sensibilibus tantum creatorem nobis aperuit is qui conditi orbis conscripsit historiam. Tu vero, qui facultatem habes ex visibilibus invisibilia deprehendendi, glorifica Conditorem in quo condita sunt omnia, sive visibilia, sive invisibilia, sive principatus, sive potestates, sive virtutes, sive throni, sive dominationes [84], et si quæ aliæ sunt rationales naturæ, quæ nominari non possunt. B In horum autem creatione cogita mihi primariam causam eorum quæ fiunt, Patrem; conditricem, Filium; perfectricem, Spiritum sanctum: ut voluntate quidem Patris sint administratorii spiritus, Filii vero operatione perducantur ut sint, Spiritus autem præsentia perficiantur. Porro angelorum perfectio est sanctificatio, et in hac perseverantia. Ac nemo me credat tres originales hypostases ponere, aut Filii operationem dicere imperfectam. Principium enim eorum quæ sunt, unum est, per Filium condens et perficiens in Spiritu. Ac nec Pater, qui operatur omnia in omnibus, imperfectam habeat operationem: neque Filius inconsummatam creationem, nisi a Spiritu perficiatur. Hoc enim pacto nec Pater opus habebit Filio, sola voluntate creans; **32** attamen C vult creare per Filium. Neque Filius egebit auxilio, juxta Patris similitudinem operans, sed et Filius vult per Spiritum perficere: nam *Verbo Domini cœli firmati sunt, et Spiritu oris ejus omnis virtus eorum* [85]. Itaque nec Verbum est significativa aeris percussio per vocis instrumenta prolata: nec Spiritus oris halitus partibus respiratoriis efflatus: sed Verbum est quod in principio erat apud Deum, et Deus erat [86]. Spiritus autem oris Dei, Spiritus est veritatis, qui a Patre procedit [87]. Itaque tria intelligis, mandantem Dominum, creans Verbum, et confirmantem Spiritum. Quæ porro alia possit esse confirmatio, quam in sanctimonia perfectio; confirmationis voce significante D constantiam, immutabilitatem et soliditatem in bono? Sanctificatio autem non est absque Spi-

38. Μάθοις δ' ἂν τὴν πρὸς Πατέρα καὶ Υἱὸν τοῦ Πνεύματος κοινωνίαν καὶ ἐκ τῶν (3) δημιουργημάτων τῶν ἐξ ἀρχῆς. Αἱ γὰρ καθαραὶ καὶ νοεραὶ καὶ ὑπερκόσμιοι δυνάμεις ἅγιαι καί εἰσι καὶ ὀνομάζονται, ἐκ τῆς παρὰ τοῦ ἁγίου Πνεύματος ἐνδοθείσης χάριτος τὸν ἁγιασμὸν κεκτημέναι. Ὥστε ἀποσεσιώπηται μὲν ὁ τρόπος τῆς κτίσεως τῶν οὐρανίων δυνάμεων· ἀπὸ γὰρ τῶν αἰσθητῶν μόνον τὸν Δημιουργὸν ἡμῖν ὁ τὴν κοσμογονίαν (4) συγγραψάμενος ἀπεκάλυψε. Σὺ δὲ, ἔχων δύναμιν ἐκ τῶν ὁρατῶν ἀναλογίζεσθαι τὰ ἀόρατα, δόξαζε τὸν Ποιητὴν ἐν ᾧ ἐκτίσθη τὰ πάντα, εἴτε ὁρατὰ, εἴτε ἀόρατα, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, εἴτε δυνάμεις, εἴτε θρόνοι, εἴτε κυριότητες, καὶ εἴ τινές εἰσιν ἕτεραι λογικαὶ φύσεις, ἀκατονόμαστοι (5). Ἐν δὲ τῇ τούτων κτίσει ἐννόησόν μοι τὴν προκαταρκτικὴν αἰτίαν τῶν γινομένων, τὸν Πατέρα· τὴν δημιουργικὴν, τὸν Υἱόν· τὴν τελειωτικὴν, τὸ Πνεῦμα· ὥστε βουλήματι μὲν τοῦ Πατρὸς τὰ λειτουργικὰ πνεύματα ὑπάρχειν, ἐνεργείᾳ δὲ Υἱοῦ εἰς τὸ εἶναι παράγεσθαι, παρουσίᾳ δὲ τοῦ Πνεύματος τελειοῦσθαι. Τελείωσις δὲ ἀγγέλων ἁγιασμὸς, καὶ ἡ ἐν τούτῳ διαμονή. Καὶ μηδεὶς οἰέσθω με ἢ τρεῖς εἶναι λέγειν ἀρχικὰς ὑποστάσεις, ἢ ἀτελῆ φάσκειν τοῦ Υἱοῦ τὴν ἐνέργειαν. Ἀρχὴ γὰρ τῶν ὄντων μία, δι' Υἱοῦ δημιουργοῦσα, καὶ τελειοῦσα ἐν Πνεύματι. Καὶ οὔτε Πατὴρ, ὁ τὰ πάντα ἐν πᾶσιν ἐνεργῶν, ἀτελῆ ἔχει τὴν ἐνέργειαν· οὔτε Υἱὸς ἐλλιπῆ τὴν δημιουργίαν, μὴ τελειουμένην παρὰ τοῦ Πνεύματος. Οὕτω γὰρ ἂν οὔτε Πατὴρ προσδεηθείη Υἱοῦ, μόνῳ τῷ θέλειν δημιουργῶν, ἀλλ' ὅμως θέλει (6) διὰ Υἱοῦ· C οὔτ' ἂν συνεργίας (7) προσδεηθείη, καθ' ὁμοιότητα τοῦ Πατρὸς ἐνεργῶν· ἀλλὰ καὶ Υἱὸς θέλει διὰ τοῦ Πνεύματος τελειοῦν· *Τῷ Λόγῳ γὰρ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.* Οὔτε οὖν Λόγος ἀέρος τύπωσις σημαντικὴ, διὰ φωνητικῶν ὀργάνων ἐκφερομένη· οὔτε Πνεῦμα στόματος ἀτμὸς, ἐκ τῶν ἀναπνευστικῶν μερῶν ἐξωθούμενος· ἀλλὰ Λόγος μὲν ὁ πρὸς Θεὸν ὢν ἐν ἀρχῇ, καὶ Θεὸς ὤν· Πνεῦμα δὲ στόματος Θεοῦ τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. Τρία τοίνυν νοεῖς, τὸν προστάσσοντα Κύριον, τὸν δημιουργοῦντα Λόγον, τὸ στερεοῦν (8) τὸ Πνεῦμα. Τί δ' ἂν ἄλλο εἴη στερέωσις ἢ ἡ κατὰ τὸν ἁγιασμὸν τελείωσις, τὸ ἀνένδοτον καὶ D ἄτρεπτον καὶ παγίως ἐρηρεισμένον ἐν ἀγαθῷ τῆς στερεώσεως ἐμφαινούσης; Ἁγιασμὸς δὲ οὐκ ἄνευ Πνεύματος. Οὐ γὰρ φύσει ἅγιαι αἱ τῶν οὐρανῶν δυ-

[84] Col. I, 16. [85] Psal. XXXII, 6. [86] Joan. I, 1. [87] Joan. XV, 25.

(3) *Ἐκ τῶν.* Editi hic ponunt ἐξ ἀρχῆς, sed codices mss. ut in textu. Paulo post editio Paris. ἐκδοθείσης, quod in uno tantum codice reperitur: alii ἐνδοθείσης vel δοθείσης. Habet etiam editio Basileensis ἐνδοθείσης.

(4) *Κοσμογονίαν.* Colb. et unus Reg. κοσμογένειαν. Alius Reg. κοσμοποιίαν.

(5) *Ἀκατονόμαστοι.* Sic tres antiqui codices. Colbert. ἀκατωνόμαστοι, editi ἀκατανόμαστοι. Mox editi γενομένων, quinque libri veteres γινομένων.

(6) *Ὅμως θέλει.* Hic editi et infra, ubi de Filio, addunt καὶ πέφυκε: in quo non minus pugnant cum Basilii sensu, quam cum mss. codicibus.

(7) *Συνεργίας.* Pro hac voce, quæ in editis legitur et in tribus codicibus mss., habet Reg. tertius δημιουργίας, Colbertinus vero Πνεύματος, quæ vox addita fuit alia manu sed tamen antiqua.

(8) *Τὸ στερεοῦν.* Sic Reg. secundus et quartus, quos sequi maluimus quam tres alios, in quibus et in editis legitur τὸν στερεοῦντα. Addunt editi τὸ ἅγιον, quod nullo in codice ms. reperitur.

νάμεις· ἢ οὕτω γ' ἂν (9) οὐδεμίαν πρὸς τὸ ἅγιον Πνεῦμα τὴν διαφορὰν ἔχοιεν· ἀλλὰ κατὰ ἀναλογίαν τῆς πρὸς ἀλλήλας ὑπεροχῆς, τοῦ ἁγιασμοῦ τὸ μέτρον παρὰ τοῦ Πνεύματος ἔχουσαι. Ὡς γὰρ ὁ καυτὴρ μετὰ τοῦ πυρὸς νοεῖται, καὶ ἄλλο μέντοι ἡ ὑποκειμένη ὕλη, καὶ ἄλλο τὸ πῦρ· οὕτω καὶ ἐπὶ τῶν οὐρανίων δυνάμεων, ἡ μὲν οὐσία αὐτῶν, ἀέριον πνεῦμα (10), εἰ τύχοι, ἢ πῦρ ἄϋλον, κατὰ τὸ γεγραμμένον· *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα* (11)· διὸ καὶ ἐν τόπῳ εἰσὶ, καὶ ὁρατοὶ γίνονται, ἐν τῷ εἴδει τῶν οἰκείων αὐτῶν σωμάτων τοῖς ἀξίοις ἐμφανιζόμενοι. Ὁ μέντοι ἁγιασμὸς, ἔξωθεν ὢν τῆς οὐσίας, τὴν τελείωσιν αὐτοῖς ἐπάγει διὰ τῆς κοινωνίας τοῦ Πνεύματος. Φυλάσσουσι δὲ τὴν ἀξίαν τῇ ἐπιμονῇ τοῦ καλοῦ, ἔχουσαι μὲν ἐν προαιρέσει τὸ αὐτεξούσιον, οὐδέποτε δὲ ἐκ τῆς τοῦ ὄντως ἀγαθοῦ προσεδρείας ἐκπίπτουσαι· ὡς ἐὰν ὑφέλῃς τῷ λόγῳ τὸ Πνεῦμα, λέλυνται μὲν ἀγγέλων χορεῖαι (12), ἀνῄρηνται δὲ ἀρχαγγέλων ἐπιστασίαι, συγκέχυται δὲ τὰ πάντα· ἀνομοθέτητος, ἄτακτος, ἀόριστος αὐτῶν ἡ ζωή. Πῶς μὲν γὰρ εἴπωσιν ἄγγελοι· *Δόξα ἐν ὑψίστοις Θεῷ*, μὴ δυναμωθέντες ὑπὸ τοῦ Πνεύματος; *Οὐδεὶς* γὰρ *δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ, καὶ οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν*· ὅπερ εἴποι ἂν (13) τὰ πονηρὰ καὶ ἀντικείμενα πνεύματα, ὧν ἡ ἀπόπτωσις συνίστησι τὸν λόγον, τοῦ αὐτεξουσίους εἶναι τὰς ἀοράτους δυνάμεις, ἰσοῤῥόπως ἐχούσας πρὸς ἀρετὴν καὶ κακίαν, καὶ διὰ τοῦτο δεομένας τῆς τοῦ Πνεύματος βοηθείας. Ἐγὼ καὶ τὸν Γαβριὴλ προλέγειν τὰ μέλλοντα οὐδαμῶς ἄλλως φημὶ ἢ τῇ προγνώσει τοῦ Πνεύματος. Διότι ἓν τῶν (14) ἐκ τῆς διαιρέσεως τοῦ Πνεύματος χαρισμάτων ἐστὶν ἡ προφητεία. Ὁ δὲ τὰ μυστήρια τῆς ὀπτασίας τῷ ἀνδρὶ τῶν ἐπιθυμιῶν ἐπιταχθεὶς διαγγεῖλαι, πόθεν σοφισθεὶς εἶχε διδάσκειν τὰ κεκρυμμένα, εἰ μὴ τῷ Πνεύματι τῷ ἁγίῳ; τῆς ἀποκαλύψεως τῶν μυστηρίων ἰδίως τῷ Πνεύματι προσηκούσης, κατὰ τὸ γεγραμμένον, ὅτι *Ἡμῖν ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος*. Θρόνοι δὲ καὶ κυριότητες, καὶ ἀρχαὶ καὶ ἐξουσίαι, πῶς ἂν τὴν μακαρίαν (15) διεξῆγον ζωὴν, εἰ μὴ διὰ παντὸς ἔβλεπον τὸ πρόσωπον τοῦ Πατρὸς τοῦ ἐν οὐρανοῖς; Τὸ δὲ βλέπειν οὐκ ἄνευ τοῦ Πνεύματος. Ὥσπερ γὰρ ἐν νυκτὶ, ἐὰν ὑφέλῃς τὸ φῶς ἀπὸ τῆς οἰκίας, τυφλαὶ μὲν αἱ ὄψεις, ἀνενέργητοι δὲ καταλείπονται αἱ δυνάμεις, ἀνεπίγνωστοι δὲ αἱ ἀξίαι, καὶ χρυσοῦ καὶ σιδήρου ὁμοίως πατουμένων διὰ τὴν ἄγνοιαν· οὕτως ἐπὶ τῆς νοητῆς δια-

A ritu. Neque enim cœlorum virtutes suapte natura sanctæ sunt; alioquin nihil differrent a Spiritu sancto; sed juxta proportionem qua se invicem superant, a Spiritu habent sanctificationis mensuram. Quemadmodum enim cauterium non sine igne intelligitur, cum aliud sit subjecta materia, et aliud ignis: itidem et in cœlestibus virtutibus, substantia quidem earum, puta spiritus est aerius, aut ignis immaterialis, juxta id quod scriptum est, *Qui facit angelos suos spiritus, et ministros suos flammam ignis* [58]; quapropter et in loco sunt, et fiunt visibiles, dum iis qui digni sunt, apparent in specie propriorum corporum. Sed sanctificatio, quæ est extra substantiam illorum, perfectionem illis affert per communionem Spiritus. B Conservant autem dignitatem per perseverantiam in bono, habentes quidem in eligendo liberum arbitrium, nunquam tamen ab ejus qui vere bonus est consortio excidentes: ita ut si subduxeris ratione Spiritum, perierint angelorum choreæ, sublatæ sint quoque archangelorum præfecturæ, atque confusa fuerint omnia: vita ipsorum nulli legi, nulli ordini, nulli regulæ subjaceat. Quomodo enim dicent angeli: *Gloria in excelsis Deo* [59], nisi a Spiritu accepta potestate? *Nemo* siquidem *potest dicere Dominum Jesum, nisi in Spiritu sancto, et nullus in Spiritu Dei loquens dixit Jesum anathema* [60]; quod sane dixerint pravi et adversarii spiritus, quorum lapsus comprobat quod dicimus, virtutes invisiC biles esse sui arbitrii, æque ad virtutem atque ad vitium vertibiles, et ob id opus habentes auxilio Spiritus. Ego vero ipsum Gabrielem haud alio modo arbitror prædicere futura [61], quam præscientia Spiritus, eo quod unum ex divisione donorum Spiritus sit prophetia. Porro qui mysteria visionis viro desideriorum jussus erat annuntiare [62], unde nactus erat sapientiam, ut posset docere arcana, nisi per Spiritum sanctum? 33
cum patefactio mysteriorum peculiariter ad Spiritum sanctum pertineat, juxta id quod scriptum est: *Nobis reseravit Deus per Spiritum* [63]. Throni vero et dominationes, principatus et potestates, quomodo beatam traducerent vitam, nisi semper D viderent vultum Patris qui in cœlis est [64]? At visio non est absque Spiritu. Quemadmodum enim si in nocte tollas lucernam e domo, cæci sunt oculi, facultates relinquuntur inertes, nec agnoscitur rerum dignitas, sed per ignorantiam aurum

[58] Psal. CIII, 4. [59] Luc. II, 14. [60] I Cor. XII, 3. [61] Luc. I, 26. [62] Dan. X, 10. [63] I Cor. II, 10. [64] Matth. XVIII, 10.

(9) *Ἡ οὕτω γ' ἄν*. Editio Paris. ἢ οὕτω γάρ, contra codicum mss. et editionis Basileensis fidem. Paulo post Reg. secundus παρὰ τοῦ Πνεύματος ἔχουσι.

(10) *Ἀέριον πνεῦμα*. Male in editis additur τό.

(11) *Πυρὸς φλόγα*. Sic quinque codices: unus cum editis πῦρ φλέγον.

(12) *Χορεῖαι*. Hic nonnulla ope codicum mss. sustulimus. Habent enim editi: χορεῖαι καὶ ἁγιασμός... ἐπιστασίαι, καὶ ἁγιασμοὶ, καὶ προφητεῖαι... οὐκοῦν, ἀνομοθέτητος.

(13) *Ὅπερ εἴποι ἄν*. Sic mss. codices: editi ὅπερ ἂν εἴποιεν. Mox Reg. quartus τὰς οὐρανίους δυνάμεις.

(14) *Ἓν τῶν*. Editi ἕν τι τῶν, sed repugnant veteres libri.

(15) *Μακαρίαν*. Editi addunt ἐκείνην. Sed ea vox abest a quinque codicibus.

perinde ac ferrum conculcatur : sic in spirituali ordine, impossibile est piam illam ac sanctam vitam permanere citra Spiritum : nihilo profecto magis quam exercitus in recto ordine manere potest absente duce, aut chorus in consonantia, nisi chori præfectus temperet harmoniam. Qui possent dicere seraphim, *Sanctus, sanctus, sanctus*[65], nisi docti per Spiritum, quoties pium fuerit hujus glorificationis verba canere? Sive igitur laudant Deum omnes angeli ejus ac omnes virtutes ejus, fit Spiritus ope. Sive astant millies mille angeli, ac centies centum millia ministrantium, officium suum citra reprehensionem in virtute Spiritus perficiunt. Itaque tota illa supercœlestis et ineffabilis harmonia, tum in cultu Dei, tum in ultramundanarum virtutum inter ipsas consonantia nequaquam servari posset, nisi præesset Spiritus. Sic igitur in creatione iis, quæ non proficiendo perveniunt ad perfectionem, sed ab ipsa protinus creatione perfecta sunt, adest Spiritus sanctus; in hoc, ut perficiatur compleaturque illorum substantia, gratiam suam conferens.

39. Cæterum dispensationes circa hominem quæ factæ sunt a magno Deo, et Servatore nostro Jesu Christo juxta bonitatem Dei, quis negabit per Spiritus gratiam esse adimpletas? Sive velis prisca spectare, patriarcharum benedictiones, auxilium per legem datum, figuras, prophetias, fortiter in bellis gesta, miracula per sanctos edita : sive quæ circa Domini in carne adventum dispensata sunt : per Spiritum gesta sunt. Primo enim adfuit ipsi carni Domini, dum factus unctio, et inseparabiliter conjunctus, sicut scriptum est : *Super quem videris Spiritum descendentem, et manentem super eum, hic est Filius meus dilectus*[66]; et, *Jesum a Nazareth, quem unxit Deus Spiritu sancto*[67]. Deinceps omnis actio præsente Spiritu peragebatur. Hic præsens aderat cum et a diabolo tentaretur. *Deductus est* enim, inquit, *Jesus a Spiritu in desertum, ut tentaretur*[68]. Tum edenti miracula indivulse aderat. *Si enim ego*, inquit, *in Spiritu Dei ejicio dæmonia*[69]. Nec deseruit excitatum a mortuis. Dominus enim renovans **34** hominem, eique iterum reddens gratiam, quam ex afflatu Dei acceptam amiserat, cum inspirasset in faciem discipulorum, quid ait? *Accipite Spiritum sanctum. Quorumcunque remiseritis peccata, remittuntur; et quorumcunque retinueritis, retenta sunt*[70]. Jam vero Ecclesiæ ordo et gubernatio nonne palam et citra

A κοσμήσεως, ἀμήχανον τὴν ἔνθεσμον ἐκείνην διαμεῖναι ζωὴν ἄνευ τοῦ Πνεύματος· οὐ μᾶλλόν γε ἢ στρατοπέδου τὴν εὐταξίαν, τοῦ ταξιάρχου μὴ παρόντος (16)· ἢ χοροῦ τὴν συμφωνίαν, τοῦ κορυφαίου μὴ συναρμόζοντος. Πῶς [ἂν] εἴπῃ τὰ σεραφὶμ, *Ἅγιος, ἅγιος, ἅγιος*, μὴ διδαχθέντα παρὰ τοῦ Πνεύματος, ποσάκις ἐστὶν εὐσεβὲς τὴν δοξολογίαν ταύτην ἀναφωνεῖν; Εἴτε οὖν αἰνοῦσι τὸν Θεὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, καὶ αἰνοῦσιν αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ, διὰ τῆς τοῦ Πνεύματος συνεργείας (17)· εἴτε παρεστήκασι χίλιαι χιλιάδες ἀγγέλων, καὶ μύριαι μυριάδες λειτουργούντων (18), ἐν τῇ δυνάμει τοῦ Πνεύματος τὸ οἰκεῖον ἔργον ἀμώμως ἐπιτελοῦσι. Πᾶσαν οὖν τὴν ὑπερουράνιον ἐκείνην καὶ ἄῤῥητον ἁρμονίαν, ἔν τε τῇ λειτουργίᾳ Θεοῦ καὶ τῇ πρὸς ἀλλήλας τῶν ὑπερ-
B κοσμίων δυνάμεων συμφωνίᾳ, ἀδύνατον φυλαχθῆναι [εἰ] μὴ τῇ ἐπιστασίᾳ τοῦ Πνεύματος. Οὕτω μὲν οὖν ἐν δημιουργίᾳ πάρεστι τὸ Πνεῦμα τὸ ἅγιον τοῖς οὐκ ἐκ προκοπῆς τελειουμένοις, ἀλλ' ἀπ' αὐτῆς τῆς κτίσεως εὐθὺς τελείοις, εἰς τὸν ἀπαρτισμὸν καὶ συμπλήρωσιν τῆς ὑποστάσεως αὐτῶν τὴν παρ' ἑαυτοῦ χάριν συνεισφερόμενον.

39. Τὰς δὲ περὶ τὸν ἄνθρωπον οἰκονομίας, τὰς ὑπὸ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὴν ἀγαθότητα τοῦ Θεοῦ (19) γενομένας, τίς ἀντερεῖ μὴ οὐχὶ διὰ τῆς τοῦ Πνεύματος χάριτος πεπληροῦσθαι; Εἴτε βούλει τὰ παλαιὰ σκοπεῖν· τὰς τῶν πατριαρχῶν εὐλογίας, τὴν ἐκ τῆς νομοθεσίας δεδομένην βοήθειαν, τοὺς τύπους, τὰς προφητείας, τὰ ἐν πολέμοις ἀνδραγαθήματα, τὰ διὰ τῶν δικαίων
C σημεῖα· εἴτε τὰ περὶ τὴν ἔνσαρκον τοῦ Κυρίου παρουσίαν οἰκονομηθέντα· διὰ τοῦ Πνεύματος. Πρῶτον μὲν γὰρ αὐτῇ τῇ σαρκὶ τοῦ Κυρίου συνῆν, χρίσμα γενόμενον, καὶ ἀχωρίστως παρὸν κατὰ τὸ γεγραμμένον· *Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός*· καὶ, *Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὃν ἔχρισεν ὁ Θεὸς τῷ Πνεύματι τῷ ἁγίῳ*. Ἔπειτα πᾶσα ἐνέργεια συμπαρόντος τοῦ Πνεύματος ἐνηργεῖτο. Τοῦτο καὶ ὑπὸ τοῦ διαβόλου πειραζομένῳ παρῆν. *Ἀνήχθη* γὰρ, φησὶν, ὁ *Ἰησοῦς ὑπὸ τοῦ Πνεύματος εἰς τὴν ἔρημον τοῦ πειρασθῆναι*. Καὶ ἐνεργοῦντι τὰς δυνάμεις ἀχωρίστως συνῆν (20). *Εἰ γὰρ ἐγὼ*, φησὶν, *ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια*· καὶ ἐκ νεκρῶν ἀναστάντος οὐκ ἀπελεί-
D πετο. Ἀνακαινίζων γὰρ τὸν ἄνθρωπον ὁ Κύριος, καὶ ἣν ἀπώλεσε χάριν ἐκ τοῦ ἐμφυσήματος τοῦ Θεοῦ, ταύτην πάλιν ἀποδιδοὺς, ἐμφυσήσας εἰς τὸ πρόσωπον τῶν μαθητῶν, τί φησι; *Λάβετε Πνεῦμα ἅγιον. Ἄν τινων* (21) *ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται*

[65] Isa. VI, 3. [66] Joan. I, 33. [67] Act. X, 38. [68] Matth. IV, 1. [69] Matth. XII, 28. [70] Joan. XX, 22, 23.

(16) *Μὴ παρόντος*. Duo Regii codices cum Colbert. μὴ παρέχοντος. Reg. quartus μὴ συμπαρόντος.

(17) *Συνεργείας*. Non male in editis ἐνεργείας. Sed sex codicum auctoritas præferenda.

(18) *Λειτουργούντων*. Editi ἀρχαγγέλων λειτουργοῦντες αὐτῷ. Codices ut in contextu, nisi quod unus habet ἀρχαγγέλων. Non multo post iisdem codicibus freti mutavimus quod erat in editis λειτουργίαις et δημιουργίαις.

(19) *Τοῦ Θεοῦ*. Addunt editi καὶ Πατρός, et οὖν ante βούλει, et paulo post iidem habent παρουσίαν τοῦ Χριστοῦ. Codices mss. ut in contextu.

(20) *Συνῆν*. Sic mss. codices : editi συμπαρῆν.

(21) *Ἄν τινων*. Editi ἐάν τινων, idque statim repetunt, et paulo post habent αἱ διακοσμήσεις ἐνεργοῦνται. Secuti sumus in contextu mss. codices.

ται· καὶ ἄν τινων κρατῆτε, κεκράτηνται. Ἡ δὲ τῆς Ἐκκλησίας διακόσμησις οὐχὶ σαφῶς καὶ ἀναντιῤῥήτως διὰ τοῦ Πνεύματος ἐνεργεῖται; *Αὐτὸς γὰρ ἔδωκε*, φησὶ, *τῇ Ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, ἔπειτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν*. Αὕτη γὰρ ἡ τάξις κατὰ τὴν διαίρεσιν τῶν ἐκ τοῦ Πνεύματος δωρεῶν διατέτακται.

40. Εὕροι δὲ ἄν τις, ἀκριβῶς λογιζόμενος, καὶ ἐπὶ τοῦ καιροῦ τῆς προσδοκωμένης ἐπιφανείας τῆς ἐξ οὐρανῶν τοῦ Κυρίου μὴ ἀσυντελὲς τὸ Πνεῦμα τὸ ἅγιον, ὥς τινες οἴονται· ἀλλὰ συμπαρέσται (22) καὶ ἐν τῇ ἡμέρᾳ τῆς ἀποκαλύψεως αὐτοῦ, καθ' ἣν κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ ὁ μακάριος καὶ μόνος δυνάστης. B Τίς γὰρ οὕτως ἀνήκοος τῶν ἡτοιμασμένων παρὰ Θεοῦ ἀγαθῶν τοῖς ἀξίοις, ὡς ἀγνοεῖν, ὅτι καὶ τῶν δικαίων ὁ στέφανος ἡ τοῦ Πνεύματός ἐστι χάρις, δαψιλεστέρα τότε καὶ τελειοτέρα παρεχομένη, κατὰ τὴν ἀναλογίαν τῶν ἀνδραγαθημάτων τῆς πνευματικῆς δόξης διανεμομένης ἑκάστῳ; Ἐν γὰρ ταῖς λαμπρότησι τῶν ἁγίων μοναὶ πολλαὶ παρὰ τῷ Πατρί· τουτέστιν, ἀξιωμάτων διαφοραί. *Ὡς γὰρ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ, οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν*. Οἱ τοίνυν σφραγισθέντες τῷ Πνεύματι τῷ ἁγίῳ εἰς ἡμέραν ἀπολυτρώσεως, καὶ ἣν ἔλαβον ἀπαρχὴν τοῦ Πνεύματος (23) ἀκέραιον καὶ ἀμείωτον διασώσαντες, οὗτοί εἰσιν οἱ ἀκούσοντες· *Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω*. Ὁμοίως δὲ καὶ οἱ λυπήσαντες τὸ Πνεῦμα τὸ ἅγιον τῇ πονηρίᾳ τῶν ἐπιτηδευμάτων αὐτῶν, ἢ οἱ C μὴ ἐπεργασάμενοι τῷ δοθέντι, ἀφαιρεθήσονται ὃ εἰλήφασιν, εἰς ἑτέρους μετατιθεμένης τῆς χάριτος· ἢ, κατά τινα τῶν εὐαγγελιστῶν, καὶ διχοτομηθήσονται παντελῶς· τῆς διχοτομίας νοουμένης κατὰ τὴν εἰς τὸ παντελὲς ἀπὸ τοῦ Πνεύματος ἀλλοτρίωσιν. Οὔτε γὰρ σῶμα διαιρεῖται, ὡς τὸ μὲν παραδίδοσθαι τῇ κολάσει, τὸ δὲ ἀφίεσθαι· μυθικὸν γὰρ τοῦτό γε, καὶ οὐ κατὰ δίκαιον κριτὴν, ὅλου ἡμαρτηκότος, ἐξ ἡμισείας εἶναι τὴν κόλασιν· οὔτε ψυχὴ διχῇ τέμνεται (24), ὅλη δι' ὅλου τὸ ἁμαρτωλὸν φρόνημα κεκτημένη, καὶ συγκατεργαζομένη τῷ σώματι τὸ κακόν. Ἀλλὰ διχοτομία, ὥσπερ ἔφην, ἡ ἀπὸ τοῦ Πνεύματος εἰς τὸ διηνεκὲς τῆς ψυχῆς ἀλλοτρίωσις. Νῦν μὲν γὰρ, εἰ καὶ μὴ ἀνακέκραται τοῖς ἀναξίοις, ἀλλ' οὖν παρεῖναι δοκεῖ πως τοῖς ἅπαξ ἐσφραγισμένοις, D τὴν ἐκ τῆς ἐπιστροφῆς σωτηρίαν αὐτῶν ἀναμένον (25)· τότε δὲ ἐξ ὅλου τῆς βεβηλωσάσης αὐτοῦ τὴν χάριν ψυχῆς

A contradictionem per Spiritum sanctum peragitur? *Ipse enim*, inquit, *dedit Ecclesiæ primum apostolos, deinde prophetas, tertio doctores: ad hæc virtutes, præterea dona sanationum, subsidia, gubernationes, genera linguarum* [71]. Hic enim ordo juxta distributionem donorum Spiritus digestus est

40. Quin, si quis accuratius perpendat, comperiet, ne in tempore quidem illo, quo exspectata Domini apparitio fiet de cœlo, otiosum fore Spiritum sanctum, ut quidam arbitrantur: sed simul aderit in illo etiam die revelationis illius, quo judicaturus est orbem terrarum in justitia ille beatus et solus potens. Quis enim adeo ignarus est bonorum, quæ Deus præparavit dignis, ut nesciat justorum coronam esse Spiritus gratiam, quæ largius tunc perfectiusque dabitur, spirituali gloria cuique pro recte gestis distributa: In splendoribus enim sanctorum mansiones multæ sunt apud Patrem [72], hoc est, dignitatis discrimina. *Sicut enim stella a stella differt in claritate, ita et resurrectio mortuorum* [73]. Itaque qui consignati sunt Spiritu sancto in diem redemptionis, quique Spiritus primitias, quas accepere, puras et integras servaverint, ii sunt qui audient: *Euge, serve bone et fidelis, super pauca fuisti fidelis, super multa te constituam* [74]. Similiter et qui contristaverint Spiritum sanctum pravitate studiorum suorum, aut qui non fecerint lucrum e sorte data, ab iis auferetur id quod acceperunt, beneficio in alios translato; aut, secundum aliquem ex evangelistis [75], etiam penitus discindentur: dissectio siquidem intelligenda est in hoc, quod prorsus a Spiritu sancto alienabuntur. Neque enim corpus dividitur, ut una pars tradatur supplicio, altera absolvatur. Nam id quidem fabulosum, neque justo dignum judice, cum totum peccaverit, dimidium addici pœnæ. Nec anima in duas partes secatur, cum tota per totum habuerit peccandi affectum, simulque cum corpore malum operetur. Sed dissectio, ut dixi, perpetua est animæ a Spiritu alienatio. Nunc enim, tametsi non admiscetur indignis, attamen aliquo pacto videtur adesse semel baptizatis, exspectans ut salutem per conversionem consequantur; tum vero in totum ab anima, quæ gratiam ipsius profanaverit, resecabitur. Eoque non est in inferno qui confitea-

[71] I Cor. XII, 28. [72] Joan. XIV, 2. [73] I Cor. XV, 41, 42. [74] Matth. XXV, 21. [75] Matth. XXIV, 51.

Ibidem duo codices habent ἀφίενται αὐτοῖς. Deest καί in plerisque codicibus ante has voces ἄν τινων κρατῆτε.

(22) *Συμπαρέσται*. Ita sex codices mss. Editi συμπαρεστάναι.

(23) *Πνεύματος*. Hic ut sæpe alias editi addunt ἁγίου. Varia sequentium vocum scriptura in codicibus mss. Quidam habent ἀκεραίαν, Colbertinus ἀμίαντον pro ἀμείωτον, Regius secundus διασώζοντες.

(24) *Διχῇ τέμνεται*. Quidam codices δίχα.

(25) *Ἀναμένον*. Vitiose quidam codices cum editis ἀναμένων. Non absimilis sententia legitur in proœmio Commentarii *in Isaiam* prophetam. *Nam omnibus quidem*, ait auctor, *adest Spiritus sanctus: sed iis, qui puri sunt affectibus, peculiarem exhibet virtutem: at vero iis, quorum mens peccati maculis turbatur, minime.* Sæpe idem docet Origenes, inprimis Tractatu 30 et 31 *in Matth.*

tur, neque in morte qui memor sit Dei [76], cum jam non adsit sancti Spiritus adjutorium. Quomodo igitur intelligi potest absque Spiritu sancto fieri judicium, cum Scriptura **35** declaret ipsum esse et justorum præmium [77], quando pro arrhabone exhibebitur quod perfectum est; et primam peccatorum condemnationem, cum eo etiam quod habere videntur, spoliati fuerint? Porro maximum argumentum conjunctionis illius, quam Spiritus cum Patre et Filio habet, illud est, quod eodem modo dicitur habere se erga Deum, quo erga unumquemque nostrum se habet spiritus, qui est in nobis. *Quis enim*, inquit, *hominum novit ea quæ sunt hominis, nisi spiritus qui est in ipso? Sic et quæ Dei sunt, nemo novit, nisi Spiritus qui ex Deo est* [78]. Et hæc quidem hactenus.

CAPUT XVII.

Adversus eos qui dicunt non connumerari Patri ac Filio sanctum Spiritum, sed subnumerari: ubi et de pia connumeratione summarius fidei decursus.

41. Cæterum subnumerationem quid dicant, aut in cujus rei significationem vocem hanc usurpent, ne cogitare quidem facile est. Nam et hanc nobis e mundi sapientia fuisse invectam, notum est omnibus et perspectum. An vero aliquam habeat propriam rationem ad id quod nunc agitur, hoc consideremus. Aiunt igitur qui rerum inanium periti sunt, quædam nomina esse communia, quorum significatio multa complectitur: alia magis propria, et alia aliis vim habere magis peculiarem. Exempli causa, commune nomen est essentia, quod pariter de omnibus prædicatur, sive inanimis sive animatis. Peculiarius autem animal, quod de paucioribus quidem prædicatur quam illud prius, sed tamen ejus contemplatio magis extenditur, quam eorum quæ illi subjecta sunt. Nam in eo rationalium simul et irrationalium natura comprehenditur. Rursum magis speciale nomen est homo, quam animal: item vir specialius est nomen quam homo, et viro specialius est hic aut ille vir, puta Petrus, aut Paulus, aut Joannes. An igitur hoc subnumerationem esse sentiunt, rei communis in ea quæ subjecta sunt divisionem? At non crediderim illos ad tantum stuporem devenisse, ut dicant Deum universorum, velut communitatem quamdam, ratione sola intelligibilem, nulla autem in hypostasi subsistentem, in subjecta dividi: deinde hanc subdivisionem etiam subnumerationem dici. Istud sane ne insani quidem dixerint. Nam præter impietatem etiam sermonem instituunt, cum eo quod

A ἀποτμηθήσεται. Διὰ τοῦτο οὐκ ἔστιν ἐν τῷ ᾅδῃ ὁ ἐξομολογούμενος, οὐδὲ ἐν τῷ θανάτῳ ὁ μνημονεύων Θεοῦ, οὐκέτι τῆς βοηθείας τοῦ Πνεύματος συμπαρούσης. Πῶς οὖν δυνατὸν νοῆσαι χωρὶς τοῦ ἁγίου Πνεύματος ἐπιτελεῖσθαι τὴν κρίσιν, ὅπου γε ὁ λόγος δείκνυσιν, ὅτι αὐτό ἐστι καὶ τὸ τῶν δικαίων βραβεῖον, ὅταν ἀντὶ τοῦ ἀῤῥαβῶνος παρασχεθῇ τὸ τέλειον· καὶ ἡ πρώτη τῶν ἁμαρτωλῶν καταδίκη, ὅταν καὶ ὃ δοκοῦσιν ἔχειν ἀφαιρεθῶσι; Τὸ δὲ μέγιστον τεκμήριον τῆς πρὸς Πατέρα καὶ Υἱὸν τοῦ Πνεύματος συναφείας, ὅτι οὕτως ἔχειν λέγεται πρὸς Θεὸν, ὡς πρὸς ἕκαστον ἔχει τὸ πνεῦμα τὸ ἐν ἡμῖν. *Τίς γὰρ οἶδε*, φησὶν, *ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τὸ ἐν αὐτῷ; Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν, εἰ μὴ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ*. Καὶ ταῦτα μὲν
B εἰς τοσοῦτον

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Πρὸς τοὺς λέγοντας μὴ συναριθμεῖσθαι Πατρὶ καὶ Υἱῷ τὸ ἅγιον Πνεῦμα, ἀλλ' ὑπαριθμεῖσθαι· ἐν ᾧ καὶ περὶ τῆς εὐσεβοῦς συναριθμήσεως (26) *κεφαλαιώδης ἐπιδρομὴ τῆς πίστεως.*

41. Τὴν δὲ ὑπαρίθμησιν ὅ τι καὶ λέγουσι, καὶ κατὰ τίνος σημαινομένου τὴν φωνὴν ταύτην ἄγουσιν, οὐδὲ ἐπινοῆσαι ῥᾴδιον. Ὅτι μὲν γὰρ ἐκ τῆς τοῦ κόσμου σοφίας καὶ αὐτὴ ἡμῖν ἐπεισήχθη (27), παντὶ γνώριμον· εἰ δὲ ἔχει τινὰ οἰκεῖον λόγον πρὸς τὰ προκείμενα, τοῦτο ἐπισκεψώμεθα. Φασὶ τοίνυν οἱ δεινοὶ τὰ μάταια, τὰ μὲν κοινὰ εἶναι τῶν ὀνομάτων, καὶ ἐπὶ πολὺ διήκειν ταῖς σημασίαις· τὰ δὲ ἰδικώτερα· καὶ ἄλλα ἄλλων μερικωτέραν ἔχειν τὴν δύ-
C ναμιν. Οἷον, κοινὸν μὲν ὄνομα ἡ οὐσία, πᾶσιν ἐπιλεγομένη, καὶ ἀψύχοις καὶ ἐμψύχοις ὁμοίως· ἰδικώτερον δὲ τὸ ζῶον· ἐπ' ἔλαττον μὲν τοῦ προτέρου λεγόμενον, ἐπὶ πλέον δὲ τῶν ὑπ' αὐτὸ θεωρούμενον. Καὶ γὰρ καὶ λογικῶν (28) αὐτῷ καὶ ἀλόγων φύσις ἐμπεριέχεται. Πάλιν ἰδικώτερόν ἐστι τοῦ ζῴου ὁ ἄνθρωπος, καὶ τούτου ὁ ἀνὴρ, καὶ τοῦ ἀνδρὸς ὁ καθ' ἕκαστον, Πέτρος ἢ Παῦλος ἢ Ἰωάννης. Ἆρα οὖν τοῦτο νοοῦσι τὴν ὑπαρίθμησιν, τὴν τοῦ κοινοῦ (29) εἰς τὰ ὑπεσταλμένα διαίρεσιν; Ἀλλ' οὐκ ἂν πιστεύσαιμι εἰς τοσοῦτον αὐτοὺς παραπληξίας ἐλαύνειν, ὥστε φάναι τὸν Θεὸν τῶν ὅλων, ὥσπερ κοινότητά τινα, λόγῳ μόνῳ θεωρητὴν, ἐν οὐδεμιᾷ δὲ ὑποστάσει τὸ εἶναι ἔχουσαν, εἰς τὰ ὑποκείμενα διαιρεῖσθαι· εἶτα
D τὴν ὑποδιαίρεσιν ταύτην καὶ ὑπαρίθμησιν λέγεσθαι. Ἢ τοῦτο μὲν οὐδ' ἂν μελαγχολῶντες εἴποιεν. Πρὸς γὰρ τῇ ἀσεβείᾳ καὶ τὸν ἐναντίον λόγον τῆς οἰκείας ἑαυτῶν προαιρέσεως κατασκευάζουσι. Τὰ γὰρ ὑποδιαιρούμενα τῆς αὐτῆς ἐστιν ἐκείνοις (30) οὐσίας ἀφ' ὧν διῄρηνται. Ἀλλ' ἐοίκαμεν διὰ πολλὴν τῆς ἀτοπίας ἐνάργειαν ἀπορεῖν λόγων, καὶ οὐκ ἔχειν πῶς

[76] Psal. VI, 6. [77] I Petr. I, 12. [78] I Cor. II, 11.

(26) *Συναριθμήσεως*. Ita mss. tres, quos eo libentius sequimur, quod vulgata scriptura ὑπαριθμήσεως confutetur a Basilio, ejusque judicio impietatis notam effugere non possit.

(27) *Ἐπεισήχθη*. Regius tertius et Colb. ὑπεισήχθη. Paulo post editi οἱ δεινοὶ περὶ τὰ μάταια, et deinde εἰδικώτερα. Sed hæc mutavimus auctoritate codicum mss.

(28) *Καὶ λογικῶν*. Conjunctionem addidimus ex tribus codicibus.

(29) *Τοῦ κοινοῦ*. Reg. tertius τοῦ ὁμοίου.

(30) *Ἐκείνοις*. Sic omnes codices: editi ἐκείνης. Mox ἐνέργειαν in editis et duobus antiquis codicibus; sed multo melius alii quatuor ut in contextu.

τῆς ἀλογίας αὐτῶν καθαψόμεθα· ὥστε δοκοῦσί μοί τι κερδαίνειν παρὰ τὴν ἄνοιαν. Ὡς γὰρ πρὸς τὰ μαλακὰ καὶ ὑπείκοντα τῶν σωμάτων (31), τῷ μὴ ἔχειν ἀντέρεισιν, οὐκ ἔστι γενναίαν τὴν πληγὴν ἐνεγκεῖν· οὕτως οὐδὲ τῶν προδήλων εἰς ἄνοιαν δυνατὸν ἐλέγχῳ νεανικῷ καθικέσθαι. Λείπεται οὖν σιωπῇ τὸ βδελυκτὸν αὐτῶν τῆς ἀσεβείας παραδραμεῖν. Ἀλλ' οὐκ ἐᾷ τὴν ἡσυχίαν τῶν ἀδελφῶν ἡ ἀγάπη, καὶ ἡ βαρύτης τῶν ἐναντίων.

proponunt pugnantem: siquidem quæ subdividuntur, ejusdem sunt essentiæ, cujus sunt illa a quibus dividuntur. Sed ob magnam absurditatis evidentiam videmur oratione destitui, nec habere quibus verbis illorum stultitiam reprehendamus; adeo ut mihi videantur propter amentiam aliquid lucrifacere. Quemadmodum enim in corpora mollia cedentiaque non possis egregiam **36** plagam impingere, eo quod obsistere contraque niti non queant: ita eos qui palam insaniunt non possis forti ac virili redargutione percellere. Superest igitur ut abominandam illorum impietatem silentio prætereamus. At non patitur silere me nec fratrum charitas, nec adversariorum improbitas.

42. Τί γὰρ λέγουσιν; Ὁρᾶτε αὐτῶν τῆς ἀλαζονείας τὰ ῥήματα. Ἡμεῖς τοῖς μὲν ὁμοτίμοις φαμὲν τὴν συναρίθμησιν πρέπειν· τοῖς δὲ πρὸς τὸ χεῖρον παρηλλαγμένοις τὴν ὑπαρίθμησιν. Καὶ τοῦτο τί ποτε λέγετε; Οὐ γὰρ συνίημι ὑμῶν τῆς ἀλλοκότου σοφίας. Πότερον ὅτι χρυσὸς μὲν χρυσῷ συναριθμεῖται, ὁ δὲ μόλυβδος οὐκέτι τῆς συναριθμήσεως ἄξιος, ἀλλὰ διὰ τὸ τῆς ὕλης εὔωνον ὑπαριθμηθήσεται τῷ χρυσῷ; Καὶ τοσαύτην δύναμιν τῷ ἀριθμῷ μαρτυρεῖτε, ὡς ἢ τῶν εὐτελῶν τὴν ἀξίαν ὑπεραίρειν, ἢ τῶν πολυτιμήτων (32) τὸ σεμνὸν καταβάλλειν; Οὐκοῦν πάλιν καὶ τὸν χρυσὸν τοῖς βαρυτίμοις τῶν λίθων ὑπαριθμήσεις, κἀκείνων τοῖς εὐανθεστέροις καὶ μείζοσι τοὺς ἀλαμπεστέρους καὶ μικροτέρους. Ἀλλὰ τί οὐκ ἂν εἴποιεν οἱ εἰς μηδὲν ἄλλο εὐκαιροῦντες, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον; Ὀνομαζέσθωσαν λοιπὸν μετὰ Στωϊκῶν καὶ Ἐπικουρείων οἱ διαψηφισταὶ τῆς ἀσεβείας. Τίς γὰρ ἂν καὶ γένοιτο πρὸς τὰ πολύτιμα τῶν ἀτιμοτέρων ἡ ὑπαρίθμησις; Ὁ χαλκοῦς ὀβολὸς τῷ χρυσῷ στατῆρι πῶς ὑπαριθμηθήσεται; Ὅτι οὐ λέγομεν, φησὶ, δύο κεκτῆσθαι νομίσματα· ἀλλ' ἓν καὶ ἕν. Πότερον οὖν τούτων ποτέρῳ ὑπαριθμεῖται; Ἐκφωνεῖται μὲν γὰρ ὁμοίως ἑκάτερον. Ἐὰν μὲν οὖν καθ' ἑαυτὸ (33) ἕκαστον ἀριθμήσῃς, ὁμοτιμίαν ποιεῖς ἐν τῷ ὁμοίῳ τρόπῳ τῆς ἀριθμήσεως (34)· ἐὰν δὲ συνάψῃς αὐτὰ, πάλιν ἑνοῖς τὴν ἀξίαν, συναριθμῶν ἀλλήλοις ἀμφότερα. Εἰ δὲ ὅπερ ἂν δεύτερον ἀριθμηθῇ (35), τοῦτο ἕξει τὴν ὑπαρίθμησιν, ἐν τῷ ἀριθμοῦντί ἐστιν ἀπὸ τοῦ χαλκοῦ νομίσματος τῆς ἀριθμήσεως ἄρξασθαι. Ἀλλὰ τῆς ἀμαθίας τὸν ἔλεγχον ὑπερθέμενοι, ἐπὶ τὰ συνέχοντα τὸν λόγον τρέψωμεν.

42. Quid igitur dicunt? Videte quanta sit in dictis illorum arrogantia. Nos, inquiunt, profitemur, iis qui honore pares sunt convenire connumerationem; iis vero qui inferioris sunt conditionis, subnumerationem. Et istud cur tandem dicitis? Neque enim intelligo absurdam vestram sapientiam. An quod aurum auro connumeratur, plumbum vero non item erit dignum quod connumeretur, sed ob materiæ vilitatem subnumerabitur auro? Atque etiam vimne tantam tribuitis numero, ut is vel rerum vilium pretium attollere, vel pretiosarum rerum dignitatem dejicere valeat? Ergo rursus aurum pretiosis lapidibus subnumerabis; atque in his ipsis, elegantioribus ac majoribus subnumerabis minus lucidos ac minores. Sed quid non dicant, qui ad nihil aliud vacant, nisi aut ad dicendum, aut audiendum aliquid novi? Posthac cum Stoicis et Epicureis nominentur qui impietatem inita subductaque ratione docent. Quæ namque vel possit fieri rerum viliorum ad pretiosiores subnumeratio? Æreus obolus aureo stateri quomodo subnumerabitur? Quoniam non dicimus, inquiunt, duo possideri numismata, sed unum et unum. Utrum igitur utri horum subnumeratur? Nam utrumque similiter profertur. Itaque si quodque per se numeres, facis æqualitatem pretii eodem numerandi modo: sin autem ea conjunxeris, rursus unam et eamdem facis dignitatem, utrumque alteri connumerans. Quod si quidquid in numerando posteriore loco posueris, id habebit subnumerationem, numeranti in manu est ab æreo numismate numerationem incipere. Sed imperitiæ confutationem in aliud tempus rejicientes, ad ea quæ rem causamque continent, orationem vertamus.

43. Καὶ τὸν Υἱὸν ὑπαριθμεῖσθαι τῷ Πατρὶ λέγετε, καὶ τὸ Πνεῦμα τῷ Υἱῷ, ἢ τῷ Πνεύματι μόνῳ τὴν ὑπαρίθμησιν ἀφορίζετε; Εἰ μὲν γὰρ καὶ τὸν Υἱὸν ὑπαριθμεῖτε, πάλιν τὸν αὐτὸν λόγον τῆς ἀσεβείας ἀνακαινίζετε, τὸ ἀνόμοιον τῆς οὐσίας, τὴν τοῦ ἀξιώματος ταπεινότητα, τὴν ἐν ὑστέρῳ γένεσιν, καὶ ἁπαξαπλῶς πάσας ὁμοῦ τὰς εἰς τὸν Μονογενῆ βλασφημίας δι' ἑνὸς τούτου ῥήματος ἀνακυκλοῦντες ἐπιδειχθήσεσθε· οἷς ἀντιλέγειν μακρότερον ἢ κατὰ τὴν

43. Etiamne Filium dicitis subnumerari Patri, ac Spiritum Filio; an soli Spiritui tribuitis subnumerationem? Etenim si Filium quoque subnumeratis, rursus eamdem impietatis doctrinam instauratis, dissimilitudinem essentiæ, dignitatis dejectionem, nativitatem tempore posteriorem, et in summa, omnes simul blasphemias in Unigenitum unico isto verbo revolvere ostendemini: quibus contradicere prolixius est, quam pro præsenti instituto, præser-

(31) *Τῶν σωμάτων*. Desunt hæ voces in plerisque codicibus. Mox editi ἐπενεγκεῖν. Sex codices ut in contextu. Iisdem auctoribus paulo post delevimus conjunctionem ante λέγουσιν.

(32) *Πολυτιμήτων*. Regius quartus πολυτίμων.

(33) *Ἐὰν μὲν οὖν καθ' ἑαυτό*. Sic tres Regii cum Colbert. Editi Ἀλλ' ἐὰν μὲν καθ' ἑαυτόν.

(34) *Ἀριθμήσεως*. Reg. secundus ὑπαριθμήσεως.

(35) *Ἀριθμηθῇ*. Unus ex Regiis ἀριθμηθείη, alius ἀριθμῇς. Mox Reg. quartus ἀπαριθμήσεως.

tim cum aliis in locis impietas a nobis pro viribus refutata sit. Quod si soli Spiritui putant convenire subnumerationem, discant Spiritum eodem modo pronuntiari cum Domino, quomodo et Filius pronuntiatur cum Patre. Nomen enim Patris et Filii et Spiritus sancti similiter editum est. Itaque quemadmodum se habet Filius ad Patrem, ita ad Filium sese habet Spiritus, secundum traditum in baptismo verborum ordinem [79]. Quod si Spiritus Filio junctus est, **37** Filius autem Patri; liquet ipsum etiam Spiritum Patri adjungi. Quem igitur locum habet, ut dicant alterum connumerari, alterum subnumerari, cum in una eademque serie nomina sint ordinata? In summa porro, quæ res ex omni rerum genere unquam a sua ipsius natura excidit dum numeratur? Nonne potius quæ numerantur, talia perseverant qualia sunt ab initio; numerus autem adhibetur a nobis ceu signum, quo declaratur multitudo suppositorum? Nam ex corporibus alia numeramus, alia metimur, alia libramus; et quorum continua est natura, ea mensura comprehendimus; quorum discreta, numero subjicimus, exceptis iis quæ ob tenuitatem rursus fiunt etiam mensurabilia; quæ vero gravia sunt, libræ momento discernimus. Non itaque quoniam nobis ipsis signa ad quantitatis notitiam excogitavimus, protinus etiam naturam eorum quæ signata sunt, immutavimus. Quemadmodum igitur quæ libra expendimus, ea non sublibramus inter sese, etiamsi unum sit aurum, alterum stannum; neque submetimur quæ mensura dijudicantur: ita nec ea quæ numerantur, ullo modo subnumerabimus. Quod si in cæteris nihil est, quod subnumerationem recipiat, qua fronte dicunt Spiritui competere subnumerationem? At hi ethnico morbo laborantes, existimant quæ dignitatis gradu aut naturæ ac substantiæ submissione inferiora sunt, iis convenire subnumerationem.

A παροῦσαν ὁρμήν, ἄλλως τε καὶ ἐν ἄλλοις κατὰ δύναμιν ὑφ' ἡμῶν τῆς ἀσεβείας διελεγχθείσης· εἰ δὲ τῷ Πνεύματι πρέπειν οἴονται μόνῳ τὴν ὑπαρίθμησιν, μανθανέτωσαν, ὅτι κατὰ τὸν αὐτὸν τρόπον συνεκφωνεῖται τῷ Κυρίῳ (36) τὸ Πνεῦμα, καθ' ὃν καὶ ὁ Υἱὸς τῷ Πατρί. Τὸ γὰρ ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ὁμοίως ἐκδέδοται. Ὡς τοίνυν ἔχει ὁ Υἱὸς πρὸς τὸν Πατέρα, οὕτω πρὸς τὸν Υἱὸν τὸ Πνεῦμα κατὰ τὴν ἐν τῷ βαπτίσματι παραδεδομένην τοῦ λόγου σύνταξιν. Εἰ δὲ τὸ Πνεῦμα τῷ Υἱῷ συντέτακται, ὁ δὲ Υἱὸς τῷ Πατρί, δηλονότι (37) καὶ τὸ Πνεῦμα τῷ Πατρί. Τίνα οὖν ἔχει χώραν τὸ μὲν συναριθμεῖσθαι, τὸ δὲ ὑπαριθμεῖσθαι λέγειν, ἐν μιᾷ καὶ τῇ αὐτῇ συστοιχίᾳ κατατεταγμένων τῶν ὀνομάτων; Ὅλως δέ, τί τῶν πάντων ἐξέστη ποτὲ τῆς ἑαυτοῦ φύσεως
B ἀριθμούμενον; Ἀλλ' οὐχὶ τὰ μὲν ἀριθμητὰ διαμένει οἷα πέφυκεν ἐξ ἀρχῆς, ὁ δὲ ἀριθμὸς σημεῖον γνωριστικὸν τοῦ πλήθους τῶν ὑποκειμένων παρ' ἡμῶν ἐφαρμόζεται; Τῶν γὰρ σωμάτων τὰ μὲν ἀριθμοῦμεν, τὰ δὲ μετροῦμεν, τὰ δὲ σταθμώμεθα· καὶ ὧν μὲν συνεχὴς ἡ φύσις, μέτρῳ καταλαμβάνομεν, ὧν δὲ διωρισμένη, τῷ ἀριθμῷ ὑποβάλλομεν, πλὴν ὅσα διὰ λεπτότητα καὶ αὐτὰ πάλιν μετρητὰ γίνεται· τὰ δὲ βάρη ταῖς ἐπὶ τοῦ ζυγοῦ ῥοπαῖς διακρίνομεν. Οὐ τοίνυν, ἐπειδὴ ἑαυτοῖς σημεῖα πρὸς τὴν τοῦ ποσοῦ γνῶσιν ἐπενοήσαμεν, ἤδη καὶ τὴν φύσιν τῶν σημειωθέντων ἠλλάξαμεν. Ὥσπερ οὖν οὐχ ὑποσταθμώμεθα ἀλλήλοις τὰ σταθμητά, κἂν τὸ μὲν χρυσός, τὸ δὲ κασσίτερος ᾖ, οὐδὲ ὑπομετροῦμεν τὰ μετρητά· οὕτως οὐδὲ τὰ ἀριθμητὰ πάντως ὑπαριθμήσομεν. Εἰ δὲ οὐδὲν τῶν
C ἄλλων τὴν ὑπαρίθμησιν δέχεται, πῶς τῷ Πνεύματί φασι προσήκειν ὑπαριθμεῖσθαι; Ἀλλὰ τὰ Ἑλληνικὰ νοσοῦντες οἴονται τὰ κατὰ βαθμὸν ἀξιωμάτων (38) ἢ κατὰ οὐσίας ὕφεσιν ὑποβαίνοντα, ταῦτα προσήκειν ὑπαριθμεῖσθαι.

CAPUT XVIII.

Quomodo in professione trium hypostaseon pium monarchiæ dogma servamus, ubi et eorum, qui dicunt Spiritum subnumerari, refutatio.

44. Cum Patrem et Filium et Spiritum sanctum traderet Dominus, non cum numero simul tradidit [80]. Non enim dixit, In primum et secundum et tertium, neque, In unum et duo et tria : sed per sancta nomina cognitionem fidei ad salutem perducentis largitus est. Quare quod nos salvos facit, fides est. Numerus vero, signum declarans quot sint supposita, excogitatus est. Sed qui undelibet sibi ipsis noxas contrahunt, etiam numerandi facultate adversus fidem abutuntur : qui quidem

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'

Πῶς ἐν τῇ ὁμολογίᾳ τῶν τριῶν ὑποστάσεων τὸ εὐσεβὲς τῆς μοναρχίας δόγμα διατηροῦμεν, ἐν ᾧ καὶ ὁ (39) κατὰ τῶν τὸ Πνεῦμα ὑπαριθμεῖσθαι φασκόντων ἔλεγχος.

44. Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα παραδιδοὺς ὁ Κύριος, οὐ μετὰ τοῦ ἀριθμοῦ συνεξέδωκεν. Οὐ γὰρ
D εἶπεν, ὅτι Εἰς πρῶτον καὶ δεύτερον καὶ τρίτον, οὐδέ, Εἰς ἓν καὶ δύο καὶ τρία· ἀλλὰ δι' ὀνομάτων ἁγίων τὴν γνῶσιν τῆς πρὸς σωτηρίαν ἀγούσης πίστεως ἐχαρίσατο. Ὥστε τὸ μὲν σῶζον ἡμᾶς ἡ πίστις ἐστίν· ὁ δὲ ἀριθμὸς σημεῖον γνωριστικὸν τοῦ ποσοῦ τῶν ὑποκειμένων ἐπινενόηται. Ἀλλ' οἱ πανταχόθεν ἑαυτοῖς τὰς βλάβας ἐπισυνάγοντες καὶ τῇ τοῦ ἀριθμεῖν δυνάμει κατὰ τῆς πίστεως κέχρηνται· οἵ γε, οὐδενὸς

[79] Matth. xxviii, 19. [80] ibid.

(36) *Τῷ Κυρίῳ.* Colbert. τῷ Υἱῷ, sed secunda manu.

(37) *Δηλονότι.* Legitur in editis δῆλον, ὅτι καὶ τὸ Πνεῦμα. Maluimus sequi mss. codices.

(38) *Ἀλλὰ τὰ... ἀξιωμάτων.* Sic Regius primus : sic etiam quatuor alii, nisi quod non habent articulum ante has voces, κατὰ βαθμόν. Editi Ἀλλ' οὗτοι τὰ... ἀξιώματα.

(39) *Ἐν ᾧ καὶ ὁ*, etc. Hæc desunt in plerisque codicibus.

τῶν ἄλλων ἐκ τῆς τοῦ ἀριθμοῦ προσθήκης ἀλλοιουμένου, οὗτοι ἐπὶ τῆς θείας φύσεως εὐλαβοῦνται τὸν ἀριθμὸν, μὴ δι' αὐτοῦ (40) τῆς ὀφειλομένης τῷ Παρακλήτῳ τιμῆς ὑπερβῶσι τὸ μέτρον. Ἀλλ', ὦ σοφώτατοι, μάλιστα μὲν ὑπὲρ ἀριθμὸν ἔστω τὰ ἀνέφικτα· ὡς ἡ παλαιὰ τῶν Ἑβραίων εὐλάβεια ἰδίοις σημείοις τὸ ἀνεκφώνητον ὄνομα τοῦ Θεοῦ διεχάρασσε (41), καὶ ἐκ τούτου τὴν κατὰ πάντων ὑπεροχὴν παριστῶσα· εἰ δὲ ἄρα δεῖ καὶ ἀριθμεῖν, μήτοιγε καὶ ἐν τούτῳ κακουργεῖν τὴν ἀλήθειαν. Ἢ γὰρ σιωπῇ τιμάσθω τὰ ἄῤῥητα, ἢ εὐσεβῶς ἀριθμείσθω τὰ ἅγια. Εἷς Θεὸς (42) καὶ Πατὴρ, καὶ εἷς μονογενὴς Υἱὸς, καὶ ἓν Πνεῦμα ἅγιον. Ἑκάστην τῶν ὑποστάσεων μοναχῶς ἐξαγγέλλομεν· ἐπειδὰν δὲ συναριθμῆσαι δέῃ, οὐχὶ ἀπαιδεύτῳ ἀριθμήσει πρὸς πολυθεΐας ἔννοιαν ἐκφερόμεθα.

45. Οὐ γὰρ κατὰ σύνθεσιν ἀριθμοῦμεν, ἀφ' ἑνὸς εἰς πλῆθος ποιούμενοι τὴν παραύξησιν, ἓν καὶ δύο καὶ τρία λέγοντες, οὐδὲ πρῶτον, καὶ δεύτερον, καὶ τρίτον. *Ἐγὼ γὰρ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα*. Δεύτερον δὲ Θεὸν οὐδέπω καὶ τήμερον ἀκηκόαμεν· Θεὸν γὰρ ἐκ Θεοῦ προσκυνοῦντες, καὶ τὸ ἰδιάζον τῶν ὑποστάσεων ὁμολογοῦμεν, καὶ μένομεν ἐπὶ τῆς μοναρχίας, εἰς πλῆθος ἀπεσχισμένον (43) τὴν θεολογίαν μὴ σκεδαννύντες, διὰ τὸ μίαν ἐν Θεῷ Πατρὶ καὶ Θεῷ μονογενεῖ τὴν οἱονεὶ μορφὴν θεωρεῖσθαι, τῷ ἀπαραλλάκτῳ τῆς θεότητος ἐνεικονιζομένην (44). Υἱὸς γὰρ ἐν τῷ Πατρὶ, καὶ Πατὴρ ἐν τῷ Υἱῷ· ἐπειδὴ καὶ οὗτος τοιοῦτος, οἷος ἐκεῖνος, κἀκεῖνος οἷόσπερ οὗτος· καὶ ἐν τούτῳ τὸ ἕν. Ὥστε κατὰ μὲν τὴν ἰδιότητα τῶν προσώπων εἷς καὶ εἷς, κατὰ δὲ τὸ κοινὸν τῆς φύσεως ἓν οἱ ἀμφότεροι. Πῶς οὖν, εἴπερ εἷς καὶ εἷς, οὐχὶ δύο Θεοί; Ὅτι βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκὼν, καὶ οὐ δύο βασιλεῖς. Οὔτε γὰρ τὸ κράτος σχίζεται, οὔτε ἡ δόξα διαμερίζεται (45). Ὡς γὰρ ἡ κρατοῦσα ἡμῶν ἀρχὴ καὶ ἡ ἐξουσία μία, οὕτω καὶ ἡ παρ' ἡμῶν δοξολογία μία, καὶ οὐ πολλαί· διότι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. Ὃ οὖν ἐστιν ἐνταῦθα μιμητικῶς ἡ εἰκὼν, τοῦτο ἐκεῖ φυσικῶς ὁ Υἱός. Καὶ ὥσπερ ἐπὶ τῶν τεχνικῶν (46) κατὰ τὴν μορφὴν ἡ ὁμοίωσις, οὕτως ἐπὶ τῆς θείας καὶ ἀσυνθέτου φύσεως ἐν τῇ κοινωνίᾳ τῆς θεότητός ἐστιν ἡ ἕνωσις. Ἓν δὲ καὶ τὸ ἅγιον Πνεῦμα, καὶ αὐτὸ μοναδικῶς ἐξαγγελλόμενον,

[81] Isa. XLIV, 6.

A cum nulla alia res ob numeri accessionem immutetur, tamen in divina natura numerum metuunt, ne scilicet per eum honoris Paracleto debiti modum excedant. Sed, o sapientissimi, sint maxime supra numerum, quæ non possumus assequi; quemadmodum prisca Hebræorum pietas propriis ac peculiaribus notis ineffabile Dei nomen exarabat, inde etiam ejus supra omnia eminentiam declarans. Quod si et numerus adhibendus est, nequaquam et per eum depravanda veritas. Aut enim silentio honorentur ineffabilia, aut pie numerentur sancta. Unus **38** Deus et Pater, et unus unigenitus Filius, et unus Spiritus sanctus. Unamquamque hypostasim singulariter efferimus; cum autem connumerare opus fuerit, haudquaquam inducte B numerando ad plurium deorum notionem efferimur.

45. Neque enim juxta compositionem numeramus, ab uno ad plura facientes incrementum, ut dicamus unum, duo, tria, neque primum, secundum ac tertium. *Ego enim Deus primus, et ego post hæc* [81]. Secundum autem Deum nunquam hactenus audivimus: quippe Deum ex Deo adorantes, etiam proprietatem profitemur hypostaseon, manemusque in uno principatu, non dissipantes theologiam in scissam multitudinem, eo quod unam in Deo Patre et Deo Unigenito formam, ut ita loquar, contemplamur, in una et omnino simili deitate expressam. Filius enim in Patre, et Pater in Filio: quandoquidem hic talis est, qualis ille, et ille qualis hic; atque in hoc unum sunt. Itaque C juxta personarum proprietatem, unus sunt et unus; at juxta communem naturam, unum sunt. Quomodo igitur, si unus et unus sunt, non sunt duo Dii? Quoniam rex dicitur et regis imago, non autem duo reges. Neque enim potestas scinditur, neque gloria dividitur. Quemadmodum enim principatus ac potestas nobis dominans una est: sic et glorificatio quam illi deferimus una est, non multæ; nam imaginis honor ad exemplar transit. Quod igitur hic est per imitationem imago, hoc illic natura Filius. Et quemadmodum in iis quæ arte fiunt, similitudo est secundum formam; ita in divina incompositaque natura, in communione deitatis est unio. Unus autem est et Spiritus san-

(40) *Δι' αὐτοῦ*. Reg. quartus διὰ τούτου.

(41) *Διεχάρασσε*. Legendum putat Combefisius οὐ διεχάρασσε, *non exarabat*, quia videlicet Dei nomini propriæ motiones ascriptæ non erant. Sed repugnant omnes mss., nec necessaria conjectura. Perspicua est enim Basilii sententia, Dei nomen apud Hebræos, non ut alia nomina, sed singulari quadam ratione scribi solere.

(42) *Εἷς Θεός*. Hic incipit caput 18 in plerisque codicibus.

(43) *Ἀπεσχισμένον*. Sic libri veteres, non ut editi ὑπεσχισμένον.

(44) *Ἐνεικονιζομένην*. Sic quatuor codices. Editi, Reg. secundus et secunda manu Colbert. ἐνιζομένην, *unitam*. Cornarius et Scultetus videntur legisse ἐνιζανομένην· sic enim reddunt, *impermuta-* D *bili Deitati insidentem*.

(45) *Διαμερίζεται*. Tres codices μερίζεται. Sic etiam paulo post in tribus Regiis codicibus et edit. Basil. ἀναβαίνει pro διαβαίνει. Observat Ducæus codicem Anglicanum habere διαβαίνει, atque ita etiam legi in synodo septima, act. 3, et in Synodico Theodori patriarchæ Hierosolymorum, p. 454 edit. Romanæ, ubi hæc Basilii sententia laudatur. Confirmat eamdem scripturam vir doctissimus ex libro Adriani papæ *De imaginibus*, cap. 8, p. 164, ubi citatur illud Basilii, *quod imaginis honor in primam formam transit*.

(46) *Τεχνικῶν*. Hæc scriptura, etsi in uno tantum reperitur Reg. tertio, longe tamen præferenda vulgatæ τεχνιτῶν. Ibidem editi οὕτω καὶ ἐπί. Codices mss. ut in contextu.

ctus, atque ipse singulariter enuntiatur, per unum Filium uni Patri copulatus, ac per se complens glorificandam super omnia ac beatam Trinitatem: cujus cum Patre et Filio consortium satis illud declarat, quod in turba creaturarum positus non est, sed solitarie profertur. Neque enim unus est de multis; sed unus est. Quemadmodum enim unus est Pater, et unus Filius: ita et unus est Spiritus sanctus. Et vero a creaturarum natura tantum semovetur, quantum par est id quod singulare est, a collectivis et multitudinem habentibus distare. Patri autem ac Filio in tantum unitus est, quantum consortii habet unitas cum unitate.

46. Sed nec hinc solum probatur naturæ communio, verum illinc quoque, quod ex Deo esse dicitur; non sicut ex Deo sunt omnia, sed tanquam ex Deo procedens; non per generationem, quemadmodum Filius, sed tanquam Spiritus oris ejus. Omnino autem nec os membrum est, nec Spiritus est flatus resolubilis; sed et os, prout Deo convenit, dicitur, et Spiritus essentia vivens, sanctificationis domina, ita ut consortium quidem inde declaretur, modus autem exsistentiæ ineffabilis servetur. **39** Quin et Spiritus Christi dicitur, tanquam illi natura conjunctus. Eoque, *Si quis Christi Spiritum non habet, hic non est ejus* [82]. Unde solus Spiritus digne glorificat Dominum. *Ille enim*, inquit, *me glorificabit* [83], non ut creatura, sed tanquam Spiritus veritatis, dilucide in se ipso declarans veritatem; et tanquam Spiritus sapientiæ, Christum qui est Dei virtus et Dei sapientia, in sua magnitudine revelans. Denique tanquam Consolator in seipso exprimit Consolatoris, a quo missus est, bonitatem: et in sua propria dignitate ejus a quo processit, majestatem exhibet. Est igitur gloria, alia quidem naturalis, veluti gloria solis est lumen; alia externa, quæ ex libera voluntate cum judicio dignis defertur. At hæc rursum gemina est. *Filius enim*, inquit, *glorificat patrem, et servus dominum suum* [84]. Itaque ex his duabus, ea quæ servilis est, a creatura defertur; altera vero quæ, ut ita loquar, contubernalis est, a Spiritu præstatur. Quemadmodum enim de seipso dixit: *Ego te glorificavi super terram, opus perfeci quod dedisti mihi ut perficerem* [85]; sic et de Paracleto dictum est: *Ille me glorificabit, quoniam de meo accipiet, et annuntiabit vobis* [86]. Et quemadmodum Filius glorificatur a Patre, qui ait, *Et glorificavi*,

A δι' ἑνὸς Υἱοῦ τῷ ἑνὶ Πατρὶ συναπτόμενον, καὶ δι' ἑαυτοῦ συμπληροῦν τὴν πολυύμνητον καὶ μακαρίαν Τριάδα· οὗ τὴν πρὸς Πατέρα καὶ Υἱὸν οἰκείωσιν ἱκανῶς ἐμφαίνει τὸ μὴ ἐν τῷ πλήθει τῆς κτίσεως τετάχθαι, ἀλλὰ μοναχῶς ἐκφωνεῖσθαι. Οὐ γὰρ ἓν τῶν πολλῶν ἐστιν· ἀλλ' ἕν ἐστιν. Ὡς γὰρ εἷς Πατὴρ (47), καὶ εἷς Υἱὸς, οὕτω καὶ ἓν Πνεῦμα ἅγιον. Τῆς μὲν οὖν κτιστῆς φύσεως τοσοῦτον ἀποκεχώρηκεν, ὅσον εἰκὸς τὸ μοναδικὸν τῶν συστηματικῶν καὶ πληθυσμὸν ἐχόντων· Πατρὶ δὲ καὶ Υἱῷ κατὰ τοσοῦτον ἥνωται, καθόσον ἔχει μονὰς πρὸς μονάδα τὴν οἰκειότητα.

46. Καὶ οὐχ ἐντεῦθεν μόνον τῆς κατὰ τὴν φύσιν
B κοινωνίας αἱ ἀποδείξεις (48), ἀλλ' ὅτι καὶ ἐκ τοῦ Θεοῦ εἶναι λέγεται· οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ, ἀλλ' ὡς ἐκ τοῦ Θεοῦ προελθόν· οὐ γεννητῶς ὡς ὁ Υἱὸς, ἀλλ' ὡς Πνεῦμα στόματος αὐτοῦ. Πάντως δὲ οὔτε τὸ στόμα μέλος, οὔτε πνοὴ λυομένη τὸ Πνεῦμα· ἀλλὰ καὶ τὸ στόμα θεοπρεπῶς, καὶ τὸ Πνεῦμα οὐσία ζῶσα, ἁγιασμοῦ κυρία· τῆς μὲν οἰκειότητος δηλουμένης ἐντεῦθεν, τοῦ δὲ τρόπου τῆς ὑπάρξεως ἀῤῥήτου (49) φυλασσομένου. Ἀλλὰ καὶ Πνεῦμα Χριστοῦ λέγεται, ὡς ᾠκειωμένον κατὰ τὴν φύσιν αὐτῷ. Διὰ τοῦτο (50) *Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ*. Ὅθεν μόνον ἀξίως δοξάζει τὸν Κύριον. *Ἐκεῖνος γὰρ ἐμὲ δοξάσει*, φησὶν, οὐχ ὡς ἡ κτίσις (51), ἀλλ' ὡς Πνεῦμα τῆς ἀληθείας, τρανῶς ἐκφαῖνον ἐν ἑαυτῷ τὴν ἀλήθειαν· καὶ ὡς Πνεῦμα σοφίας τὸν
C Χριστὸν, τὴν τοῦ Θεοῦ δύναμιν, καὶ τὴν τοῦ Θεοῦ σοφίαν ἐν τῷ ἑαυτοῦ μεγέθει ἀποκαλύπτον. Καὶ ὡς Παράκλητος δὲ ἐν ἑαυτῷ χαρακτηρίζει τοῦ ἀποστείλαντος αὐτὸν Παρακλήτου τὴν ἀγαθότητα· καὶ ἐν τῷ ἑαυτοῦ ἀξιώματι τὴν μεγαλωσύνην ἐμφαίνει τὴν τοῦ ὅθεν προῆλθεν. Ἔστιν οὖν δόξα ἡ μέν τις φυσικὴ, ὡς δόξα ἡλίου τὸ φῶς· ἡ δέ τις ἔξωθεν, ἡ ἐκ προαιρέσεως, κεκριμένως (52) τοῖς ἀξίοις προσαγομένη. Διπλῆ δὲ καὶ αὕτη. *Υἱὸς γὰρ*, φησὶ, *δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ*. Τούτων τοίνυν ἡ μὲν δουλικὴ παρὰ τῆς κτίσεως προσάγεται· ἡ δὲ, ἵν' οὕτως εἴπω, οἰκειακὴ παρὰ τοῦ Πνεύματος ἐκπληροῦται. Ὡς γὰρ περὶ ἑαυτοῦ ἔλεγεν· *Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι ἵνα ποιήσω*· οὕτω καὶ περὶ τοῦ Παρακλή-
D του· *Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται* (53), *καὶ ἀναγγελεῖ ὑμῖν*. Καὶ ὡς δοξάζεται Υἱὸς παρὰ τοῦ Πατρὸς, λέγοντος· *Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω*· οὕτω δοξάζεται τὸ Πνεῦμα διὰ τῆς

[82] Rom. VIII, 9. [83] Joan. XVI, 14. [84] Malach. I, 6. [85] Joan. XVII, 4. [86] Joan. XVI, 14.

(47) *Ὡς γὰρ εἷς Πατήρ*. Vocula γάρ addita ex veteribus libris Paulo post tres codices τὸ μοναδικόν, melius quam editi τὸν μοναδικόν.

(48) *Αἱ ἀποδείξεις*. Sic ex omnibus codicibus pro eo quod erat in editis ἡ ἀπόδειξις. Paulo post iidem codices οὐ γεννητῶς, editi οὐδὲ γεννητῶς.

(49) *Ἀῤῥήτου*. Unus ex Regiis cum Colbert. ἀῤῥήτως. Paulo post Regius quartus οἰκειούμενον.

(50) *Διὰ τοῦτο*. Editio Paris. addit φησίν, quod abest a codicibus mss. et edit. Basil.

(51) *Ἡ κτίσις*. Sic sex mss. codices: editi ἡ γεννητὴ φύσις. Ex iisdem codicibus paulo post legimus bis ἑαυτοῦ, cum editi haberent αὐτοῦ.

(52) *Κεκριμένως*. Reg. tertius ὡς κεχριμένως. Ibidem Reg. tertius τοῖς ἁγίοις προσαγομένη.

(53) *Λήψεται*. Tres Regii codices cum Colbert. λαμβάνει. Paulo post unus ex Regiis cum Colbert. καὶ ἐγὼ ἐδόξασά σε. Infra Reg. secundus δι' ἀοράτου δυνάμεως φωτιστικῆς.

πρὸς Πατέρα καὶ Υἱὸν κοινωνίας, καὶ διὰ τῆς τοῦ Μονογενοῦς μαρτυρίας, λέγοντος· *Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται ὑμῖν τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται.*

47. Ἐπειδὴ δὲ διὰ δυνάμεως φωτιστικῆς τῷ κάλλει τῆς τοῦ Θεοῦ τοῦ ἀοράτου εἰκόνος ἐνατενίζομεν, καὶ δι' αὐτῆς ἀναγόμεθα ἐπὶ τὸ ὑπέρκαλον τοῦ ἀρχετύπου θέαμα, αὐτοῦ πού πάρεστιν ἀχωρίστως τὸ τῆς γνώσεως (54) Πνεῦμα, τὴν ἐποπτικὴν τῆς εἰκόνος δύναμιν ἐν ἑαυτῷ παρεχόμενον τοῖς τῆς ἀληθείας φιλοθεάμοσιν, οὐκ ἔξωθεν τὴν δεῖξιν ποιούμενον, ἀλλ' ἐν ἑαυτῷ εἰσάγον πρὸς τὴν ἐπίγνωσιν. Ὡς γὰρ οὐδεὶς οἶδε τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, οὕτως οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰ μὴ ἐν Πνεύματι ἁγίῳ. Οὐ γὰρ, Διὰ Πνεύματος, εἴρηται, ἀλλ', *Ἐν Πνεύματι*· καὶ, ***Πνεῦμα ὁ Θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν***· καθὼς γέγραπται· *Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς*· τουτέστιν, ἐν τῷ φωτισμῷ τοῦ Πνεύματος, ***Φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον***. Ὥστε ἐν ἑαυτῷ δείκνυσι τὴν δόξαν τοῦ Μονογενοῦς, καὶ τοῖς ἀληθινοῖς προσκυνηταῖς ἐν ἑαυτῷ τὴν τοῦ Θεοῦ γνῶσιν παρέχεται. Ἡ τοίνυν ὁδὸς τῆς θεογνωσίας ἐστὶν ἀπὸ ἑνὸς Πνεύματος διὰ τοῦ ἑνὸς Υἱοῦ ἐπὶ τὸν ἕνα Πατέρα. Καὶ ἀνάπαλιν, ἡ φυσικὴ ἀγαθότης, καὶ ὁ κατὰ φύσιν ἁγιασμὸς, καὶ τὸ βασιλικὸν ἀξίωμα ἐκ Πατρὸς διὰ τοῦ Μονογενοῦς ἐπὶ τὸ Πνεῦμα διήκει. Οὕτω καὶ αἱ ὑποστάσεις ὁμολογοῦνται, καὶ τὸ εὐσεβὲς δόγμα τῆς μοναρχίας οὐ διαπίπτει. Οἱ δὲ τὴν ὑπαρίθμησιν ἐν τῷ πρῶτον καὶ δεύτερον καὶ τρίτον λέγειν τιθέμενοι γνωριζέσθωσαν τὸ πολύθεον τῆς Ἑλληνικῆς πλάνης τῇ ἀχράντῳ θεολογίᾳ τῶν Χριστιανῶν ἐπεισάγοντες. Εἰς οὐδὲν γὰρ ἕτερον φέρει τῆς ὑπαριθμήσεως τὸ κακούργημα, ἢ ὥστε πρῶτον καὶ δεύτερον Θεὸν (55) καὶ τρίτον ὁμολογεῖν. Ἀλλ' ἡμῖν ἀρκοῦσα ἡ παρὰ τοῦ Κυρίου ἐπιτεθεῖσα ἀκολουθία, ἣν ὁ συγχέων οὐκ ἔλαττον τῆς τούτων ἀσεβείας παρανομήσει. Ὅτι μὲν οὖν οὐδὲν, ὡς οὗτοι πεπλάνηνται, ἡ κατὰ τὴν φύσιν κοινωνία τῷ τρόπῳ τῆς ὑπαριθμήσεως παραλύεται, ἱκανῶς εἴρηται. Ἀλλὰ συνέλθωμεν τῷ φιλονείκῳ καὶ ματαιόφρονι, καὶ δῶμεν τὸ δεύτερόν (56) τινος καθ' ὑπαρίθμησιν ἐκείνου λέγεσθαι. Ἴδωμεν τοίνυν τί τὸ ἐκβαῖνον ἀπὸ τοῦ λόγου. *Ὁ πρῶτος*, φησὶν, ***ἄνθρωπος ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ***· καὶ ἐν ἄλλοις, ***Οὐ πρῶτον***, φησὶ, *τὸ πνευματικὸν, **ἀλλὰ** τὸ ψυχικὸν, ἔπειτα τὸ πνευματικόν*. Εἰ τοίνυν τῷ πρώτῳ ὑπαριθμεῖται τὸ δεύτερον, τὸ δὲ ὑπαριθμούμενον ἀτιμότερόν ἐστι τοῦ πρὸς ὃ ἔχει τὴν ὑπαρίθμησιν· ἀτιμότερος οὖν καθ' ὑμᾶς τοῦ ψυχικοῦ ὁ πνευματικὸς, καὶ τοῦ χοϊκοῦ ἀνθρώπου ὁ ἐπουράνιος

A *et iterum glorificabo* [87] : sic glorificatur Spiritus per consortium quod habet cum Patre et Filio, et per Unigeniti testimonium, dicentis : *Omne peccatum et blasphemia remittetur vobis hominibus, sed in Spiritum blasphemia non remittetur* [88].

47. Cum autem per vim illuminatricem intendimus oculos in pulchritudinem imaginis Dei invisibilis, perque hanc subvehimur ad pulcherrimum spectaculum archetypi ; ibi videlicet adest inseparabiliter cognitionis Spiritus, vim imaginis speculativam in seipso exhibens iis, qui veritatis contemplatione delectantur ; non foris ostendens, sed in seipso inducens ad agnitionem. Quemadmodum enim nemo novit Patrem nisi Filius [89] : sic nullus potest dicere Dominum Jesum, nisi in
B Spiritu sancto [90]. Non enim dictum est, Per Spiritum, sed, *In Spiritu* ; et, *Spiritus est Deus ; et qui adorant eum, in Spiritu et veritate oportet adorare* [91]; sicut scriptum est : *In lumine tuo videbimus lumen* [92] ; hoc est, in illustratione Spiritus, *Lumen verum, quod illuminat omnem hominem venientem in mundum* [93]. Itaque in seipso ostendit Unigeniti gloriam, et veris adoratoribus in seipso Dei cognitionem præbet. Proinde via ad Dei cognitionem est ab uno Spiritu, per unum Filium ad unum Patrem. Ac rursus, nativa bonitas et naturalis sanctimonia et regalis dignitas ex Patre per Unigenitum ad Spiritum permanat. Ad hunc modum et hypostases profitemur, nec pium monarchiæ dogma labefactatur. Cæterum qui subnumeratio-
C nem ponunt, dicentes primum, secundum ac tertium, sciant sese deorum multitudinem, juxta gentium errorem, in illibatam Christianorum **40**
theologiam inducere. Ad nihil enim aliud tendit subnumerationis dolosa inventio, quam ut profiteamur Deum primum, secundum ac tertium. Sed nobis sufficit a Domino præscriptus ordo, quem qui confundet non minus peccabit, quam peccat istorum impietas. Quod ergo naturalis communio nequaquam modo subnumerationis dissolvitur, velut isti errando putant, satis dictum est. Sed concedamus pertinaci et inaniter sapienti, demusque id quod aliquo posterius est, sic exprimi, ut ei subnumeretur. Videamus jam quid ex hoc ser-
D mone consequatur. *Primus*, inquit, *homo, de terra terrenus : secundus homo Dominus, de cœlo* [94] ; et alibi, *Non primum*, inquit, *quod spirituale est, sed quod animale, deinde quod spirituale* [95]. Ergo si primo subnumeratur secundum, id autem quod subnumeratur, vilius est eo cui subnumeratur : igitur secundum vos vilior est spiritualis animali, et homine terreno cœlestis.

[87] Joan. XII, 28. [88] Matth. XII, 31. [89] Matth. XI, 27. [90] I Cor. XII, 3. [91] Joan. IV, 24. [92] Psal. XXXV, 10. [93] Joan. I, 9. [94] I Cor. XV, 47. [95] ibid. 46.

(54) *Τῆς γνώσεως*. Colb. τῆς χάριτος.
(55) *Δεύτερον Θεόν*. Editi transferunt Θεόν post τρίτον. Codices mss. ut in contextu. Ibidem Reg. tertius Ἀλλ' ἡμῖν ἀρκέσει. Subinde Reg. quartus ἱκανῶς ἀποδέδεικται.
(56) *Δεύτερον*. Sic libri veteres : editi δευτερεῦον.

CAPUT XIX.

A

Adversus eos qui dicunt non esse glorificandum Spiritum.

48. Sit ita, inquiunt, at ea gloria nullo pacto debetur Spiritui, ut a nobis glorificationibus sit extollendus. Unde igitur probaturi sumus Spiritus dignitatem intellectum omnem superantem, si Patris et Filii communio visa est istis minime sufficiens ad id testificandum? Sane possumus et ad ea quæ nominibus significantur respicientes, et ad operationum ejus magnitudinem, et ad beneficia quæ in nos, imo quæ in omnem creaturam confert, pro modulo nostro naturæ illius sublimitatem ac potentiam incomprehensibilem percipere. Spiritus vocatus est, ut est illud, *Spiritus Deus* [66]; et, *Spiritus vultus nostri, Christus Dominus* [67]. Sanctus B dicitur, quemadmodum sanctus Pater, et sanctus Filius. Creaturæ siquidem inducta est aliunde sanctimonia; Spiritui vero sanctitas completiva est naturæ. Ideoque non sanctificatur, sed sanctificat. Bonus item dicitur sicut Pater bonus est, et sicut bonus est is qui ex bono natus est: cui bonitas est ipsa essentia. Rectus vocatur, ut rectus Dominus Deus [68], eo quod per se sit ipsa veritas, et ipsa justitia, nec in hanc nec in illam partem se vertens aut flectens, propter naturæ immutabilitatem. Paracletus nuncupatur velut Unigenitus: sicut ipse ait, *Ego rogabo Patrem meum, et dabit vobis alium Paracletum* [69]. Hoc pacto communia sunt nomina Patri, Filio et Spiritui sancto, qui has appellationes ex naturæ consortio habet. Unde enim aliunde? C Rursum Spiritus principalis, et Spiritus veritatis, et Spiritus sapientiæ dictus est. *Spiritus divinus qui me fecit* [1]; et, *Beseleel*, inquit, *implevit Deus* **41** *Spiritu divino sapientiæ et intellectus et scientiæ* [2]. Talia igitur nomina eximia illa quidem et magna, nec tamen, quod ad gloriam attinet, exaggerationem ullam habentia.

49. At operationes quales sunt? Ineffabiles quidem ob magnitudinem, innumerabiles vero ob multitudinem. Nam quo pacto intelligemus ea quæ fuerunt ante sæcula? quæ erant illius operationes ante creaturam intelligibilem? quanta autem ab illo beneficia in creaturam? ad hæc, quæ potestas ad ventura sæcula? Erat enim, et ante erat, et simul D aderat cum Patre et Filio ante sæcula. Quare etiamsi quid cogitaris ante sæcula, hoc tamen repe-

ΚΕΦΑΛ. ΙΘ'.

Πρὸς τοὺς λέγοντας μὴ εἶναι δοξαστὸν τὸ Πνεῦμα.

48. Ἔστω ταῦτα, φησὶν, ἀλλ' οὐχὶ καὶ δόξα πάντως ὀφειλομένη ἐστὶ τῷ Πνεύματι, ὥστε δοξολογίαις ἀνυψοῦσθαι παρ' ἡμῶν. Πόθεν ἂν οὖν τῆς ὑπερεχούσης πάντα νοῦν ἀξίας τοῦ Πνεύματος τὰς ἀποδείξεις λάβοιμεν (57), εἴπερ ἡ Πατρὸς καὶ Υἱοῦ κοινωνία μὴ ἀξιόπιστος αὐτοῖς πρὸς μαρτυρίαν ἀξιώματος ἐνομίσθη; Ἔξεστί γε μὴν πρός τε τὰ ἐκ τῶν ὀνομάτων ἀποβλέψαντας σημαινόμενα, καὶ πρὸς τὰ τῶν ἐνεργειῶν αὐτοῦ μεγέθη, καὶ πρὸς τὰς εἰς ἡμᾶς, μᾶλλον δὲ εἰς πᾶσαν τὴν κτίσιν χορηγουμένας εὐεργεσίας (58), τῆς μεγαλοφυΐας αὐτοῦ καὶ τῆς ἀνεφίκτου δυνάμεως ἐπὶ ποσὸν γοῦν ἐν περινοίᾳ γενέσθαι. Πνεῦμα ὠνόμασται· ὡς, *Πνεῦμα ὁ Θεός*· καὶ, *Πνεῦμα τοῦ προσώπου ἡμῶν, Χριστὸς Κύριος*. Ἅγιον· ὡς ἅγιος ὁ Πατὴρ, καὶ ἅγιος ὁ Υἱός. Τῇ μὲν γὰρ κτίσει ἑτέρωθεν ἐπεισήχθη ὁ ἁγιασμός· τῷ δὲ Πνεύματι συμπληρωτικὴ τῆς φύσεώς ἐστιν ἡ ἁγιότης. Διόπερ οὐχὶ ἁγιαζόμενόν ἐστιν, ἀλλ' ἁγιάζον. Ἀγαθόν· ὡς ἀγαθὸς ὁ Πατὴρ, καὶ ἀγαθὸς ὁ ἐκ τοῦ ἀγαθοῦ γεννηθείς· οὐσίαν ἔχον (59) τὴν ἀγαθότητα. Εὐθές· ὡς εὐθὴς Κύριος ὁ Θεός· τῷ εἶναι αὐτοαλήθεια, καὶ αὐτοδικαιοσύνη, παρεκτροπὰς ἐπὶ θάτερα καὶ ἐκκλίσεις οὐκ ἔχον, διὰ τὸ ἄτρεπτον τῆς οὐσίας. Παράκλητος· ὡς ὁ Μονογενής· καθὼς αὐτός (60) φησιν, ὅτι *Ἐγὼ ἐρωτήσω τὸν Πατέρα μου, καὶ δώσει ὑμῖν ἄλλον Παράκλητον*. Οὕτω κοινὰ τὰ ὀνόματα πρὸς Πατέρα καὶ Υἱὸν τῷ Πνεύματι, ἐκ τῆς κατὰ τὴν φύσιν οἰκειότητος τῶν προσηγοριῶν τούτων τυχόντι. Πόθεν γὰρ ἄλλοθεν; Πάλιν ἡγεμονικὸν, καὶ Πνεῦμα τῆς ἀληθείας, καὶ Πνεῦμα σοφίας ὠνόμασται. *Πνεῦμα θεῖον τὸ ποιῆσάν με*. Καὶ, *Τὸν Βεσελεὴλ δὲ*, φησὶν, *ἐνέπλησεν ὁ Θεὸς Πνεῦμα θεῖον σοφίας καὶ συνέσεως καὶ ἐπιστήμης*. Τὰ μὲν οὖν ὀνόματα τοιαῦτα (61) ὑπερφυῆ καὶ μεγάλα· οὐμενοῦν ἔχοντά τινα εἰς δόξαν ὑπερβολήν.

49. Αἱ δὲ ἐνέργειαι τίνες; Ἄρρητοι μὲν διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆθος. Πῶς μὲν γὰρ νοήσομεν τὰ τῶν αἰώνων ἐπέκεινα; τίνες ἦσαν αὐτοῦ πρὸ τῆς νοητῆς κτίσεως αἱ ἐνέργειαι; πόσαι δ' ἀπ' αὐτοῦ περὶ τὴν κτίσιν (62) χάριτες; τίς δὲ ἡ πρὸς τοὺς αἰῶνας τοὺς ἐπερχομένους δύναμις; Ἦν μὲν γὰρ, καὶ προῆν (63), καὶ συμπαρῆν τῷ Πατρὶ καὶ τῷ Υἱῷ πρὸ τῶν αἰώνων. Ὥστε, κἂν τι νοήσῃς τῶν αἰώνων ἐπέκεινα, τοῦτο εὑρήσεις τοῦ Πνεύματος

[66] Joan. IV, 24. [67] Thren. IV, 20. [68] Psal. XCI, 16. [69] Joan. XIV, 16. [1] Job XXXIII, 4. [2] Exod. XXXI, 3.

(57) *Λάβοιμεν*. Ita quatuor Regii cum Colbertino, melius multo quam in editis λάβοιεν. Unde Erasmus parum apte reddiderat: *Unde igitur probaturi sunt*, etc.

(58) *Εὐεργεσίας*. Sic legere maluimus cum sex codicibus, quam cum editis ἐνεργείας.

(59) *Οὐσίαν ἔχον*. Sic quatuor mss. codices: editi οὐσίαν ἔχων. Ibidem editio Paris. cum uno tantum codice ms. εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν. Alii codices mss. ut in contextu.

(60) *Καθὼς αὐτός*. Sic mss. codices. Editio Paris. et Basil. secunda Καθὼς καὶ αὐτός. Non multo post ex iisdem codicibus legimus τυχόντι, non ut in editis τυγχάνοντι.

(61) *Τοιαῦτα*. Post hanc vocem editi addunt καί, quod in veteribus libris non legitur.

(62) *Περὶ τὴν κτίσιν*. Sic mss. codices: ἐπὶ τὴν κτίσιν in editis.

(63) *Προῆν*. Legitur in duobus Regiis codicibus καὶ πρώην, *erat et pridem*. Quam scripturam mirum arridere Combefisio.

κατωτέρω. Ἐάν τε τὴν κτίσιν ἐνθυμηθῇς, ἐστερεώθησαν αἱ τῶν οὐρανῶν δυνάμεις παρὰ τοῦ Πνεύματος· τῆς στερεώσεως δηλονότι ἐπὶ τὸ δυσμετάπτωτον τῆς ἀπὸ τῶν ἀγαθῶν ἕξεως νοουμένης. Ἡ γὰρ πρὸς Θεὸν οἰκείωσις, καὶ τὸ πρὸς κακίαν ἄτρεπτον, καὶ τὸ ἐν μακαριότητι διαρκὲς, παρὰ τοῦ Πνεύματος ταῖς δυνάμεσι (64). Χριστοῦ ἐπιδημία· καὶ τὸ Πνεῦμα προτρέχει. Ἔνσαρκος παρουσία· καὶ τὸ Πνεῦμα ἀχώριστον. Ἐνεργήματα δυνάμεων, χαρίσματα ἰαμάτων, διὰ τοῦ Πνεύματος τοῦ ἁγίου. Δαίμονες ἀπηλαύνοντο ἐν τῷ Πνεύματι τοῦ Θεοῦ. Διάβολος κατηργεῖτο συμπαρόντος (65) τοῦ Πνεύματος. Ἁμαρτιῶν ἀπολύτρωσις ἐν τῇ χάριτι τοῦ Πνεύματος. *Ἀπελούσασθε γὰρ καὶ ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ* (66). Οἰκείωσις πρὸς Θεὸν διὰ τοῦ Πνεύματος. *Ἐξαπέστειλε γὰρ ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν, κρᾶζον· Ἀββᾶ ὁ Πατήρ*. Ἡ ἐκ νεκρῶν ἐξανάστασις, τῇ ἐνεργείᾳ τοῦ Πνεύματος. *Ἐξαποστελεῖς γὰρ τὸ Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς*. Εἴτε τὴν κτίσιν τις ἐκλαμβάνοι ἐπὶ τῆς τῶν διαλυθέντων ἀναβιώσεως, πῶς οὐ μεγάλη τοῦ Πνεύματος ἡ ἐνέργεια, τοῦ οἰκονομοῦντος ἡμῖν τὸν ἐξ ἀναστάσεως βίον, καὶ πρὸς τὴν πνευματικὴν ἐκείνην ζωὴν τὰς ψυχὰς ἡμῶν μεταρρυθμίζοντος; Εἴτε λέγοιτο κτίσις ἡ ἐνταῦθα τῶν ἐξ ἁμαρτίας διαπεπτωκότων ἐπὶ τὸ βέλτιον (67) μετακόσμησις (λέγεται γὰρ καὶ οὕτω κατὰ τὴν συνήθειαν τῆς Γραφῆς, ὡς ὅταν Παῦλος λέγῃ· *Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις*), καὶ ὁ ἐνταῦθα τοίνυν ἀνακαινισμὸς, καὶ ἡ ἀπὸ τῆς γηΐνης καὶ ἐμπαθοῦς ζωῆς ἐπὶ τὴν οὐράνιον πολιτείαν μεταβολὴ, διὰ τοῦ Πνεύματος ἡμῖν γινομένη, ἐπὶ πᾶσαν ὑπερβολὴν θαύματος τὰς ψυχὰς ἡμῶν ἀνάγει. Ἐπὶ τούτοις πότερον φοβηθῶμεν μὴ τὴν ἀξίαν ὑπερβῶμεν ταῖς ὑπερβολαῖς τῶν τιμῶν· ἢ τὸ ἐναντίον, μὴ εἰς ταπεινὸν (68) κατάγωμεν τὴν περὶ αὐτοῦ ἔννοιαν, κἂν τὰ μέγιστα δόξωμεν ἐπ' αὐτῷ τῶν ἐξ ἀνθρωπίνης διανοίας καὶ γλώττης προφερομένων φθέγγεσθαι; Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς τάδε λέγει Κύριος· *Κατάβηθι, καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος, διότι ἐγὼ αὐτοὺς ἀπέσταλκα*. Μὴ ταπεινοῦ ταῦτα καὶ κατεπτηχότος τὰ ῥήματα; *Ἀφορίσατε δή μοι Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς*. Μὴ δοῦλος οὕτω φθέγγεται; Καὶ ὁ Ἡσαΐας· *Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ*· καὶ, *Κατέβη Πνεῦμα παρὰ Κυρίου, καὶ*

A rias Spiritu esse posterius. Quod si creationem reputes, consolidatæ sunt cœlorum virtutes a Spiritu, ita ut consolidationem intelligas firmitatem, quæ non facile bonorum habitu excidat. Etenim quod Deo conjunctæ sunt, quodque ad malitiam verti non queunt, quodque in beatitudine perpetuo perseverant virtutes, id illis a Spiritu accedit. Christi adventus; Spiritus præcurrit. In carne adventus, et Spiritus inseparabilis. Operationes virtutum, dona sanationum; sed per Spiritum sanctum. Dæmones expulsi in Spiritu Dei. Diabolus spoliatus est imperio simul præsente Spiritu. Peccatorum facta remissio, sed in gratia Spiritus. *Abluti enim estis et sanctificati in nomine Domini nostri Jesu Christi, et in Spiritu sancto* [3]. Conjunctio cum Deo B fit per Spiritum. *Misit enim Deus Spiritum Filii sui in corda nostra, clamantem, Abba Pater* [4]. Resurrectio a mortuis, Spiritus virtute. *Emittes siquidem Spiritum tuum, et creabuntur, et renovabis faciem terræ* [5]. Sive quis creationem accipiat de exstinctorum reviviscentia; an non magna Spiritus operatio, qui nobis suppeditat vitam ex resurrectione, et ad spiritualem illam vitam animas nostras adaptat? Sive creatio dicatur esse eorum, qui hic per peccatum lapsi sunt, in meliorem statum mutatio (nam ita quoque nonnunquam usurpatur juxta Scripturæ consuetudinem, velut cum Paulus dicit, *Si qua in Christo nova creatura* [6]), renovatio quæ hic fit, et a vita terrestri ac turbulentis affectibus C obnoxia ad cœlestem conversationem transmutatio, quæ fit in nobis per Spiritum, ad summam admirationem deducit animos nostros. In his utrum metuere debemus, ne dignitatem immodicis honoribus transgrediamur? an contra, ne illius notionem ad humilia deprimamus, etiamsi videamur maxima de eo loqui, quæ quidem humana mente concipi, humanaque lingua proferri possunt? Hæc dicit Spiritus sanctus, sicut hæc dicit Dominus: *Descende, et perge cum illis, nihil hæsitans, quoniam ego misi illos* [7]. Num hæc sunt abjecti ac metu consternati verba? *Separate mihi Barnabam et Saulum in opus ad* **42** *quod accersivi illos* [8]. Num servus ita loquitur? Et Isaias: *Dominus misit me, et Spiritus ejus* [9]; et, *Descendit Spiritus a Domino, et deduxit illos* [9*]. At ne rursus mihi deduD ctionem accipias pro humili ministerio. Nam hoc opus etiam Dei esse testatur Scriptura. *Deduxisti*, inquit, *sicut oves populum tuum* [10]; et, *Qui deducis velut ovem Joseph* [11]; et, *Deduxit eos in spe, et non*

[3] I Cor. VI, 11. [4] Galat. IV, 6. [5] Psal. CIII, 30. [6] II Cor. V, 17. [7] Act. X, 20. [8] Act. XIII, 2. [9] Isa. XLVIII, 16. [9*] Isa. LXIII, 14. [10] Psal. LXXVI, 21. [11] Psal. LXXIX, 1.

(64) *Δυνάμεσι*. Editi addunt προσγέγονε. Reg. secundus γίνεται. Neutrum occurrit in aliis quinque codicibus. Sed hæc videntur addidisse librarii, ut explerent quod mancum et imperfectum non erat, sed esse videbatur.

(65) *Συμπαρόντος*. Sic codices mss. omnes: editi ἐμπαρόντος.

(66) *Τῷ ἁγίῳ*. Addunt duo codices τοῦ Θεοῦ ἡμῶν. Mox Regii quartus et quintus καρδίαις ἡμῶν. Nec multo post editio Paris. Εἴτε οὖν τήν. Mss. Εἴτε τήν, et Basil. edit.

(67) *Βέλτιον*. Sic omnes mss. codices: editi τὸ βέλτιστον.

(68) *Εἰς ταπεινόν*. Reg. tertius cum Colbert. εἰς ταπεινότητα. Aliquanto post editi ὅτι ἐγὼ ἀπέσταλκα αὐτούς. Codices mss. ut in contextu. Subinde trium codicum scripturam prætulimus vulgatæ τόν τε Βαρνάβαν καὶ τὸν Παῦλον. Aliquanto infra Reg. secundus Πνεῦμα Κυρίου.

timuerunt [12]. Proinde cum audieris, *Cum venerit Paracletus, ille vobis suggeret, ac vos ducet in omnem veritatem* [13] : cogita deductionem, sicuti doctus es; ne calumnieris cogitatum.

A ὡδήγησεν αὐτούς. Καὶ μή μοι τὴν ὁδηγίαν πάλιν εἰς ταπεινὴν διακονίαν ἐκλάβῃς. Τοῦτο γὰρ καὶ Θεοῦ ἔργον εἶναι ὁ λόγος διαμαρτύρεται. *Ὡδήγησας*, φησὶν, *ὡς πρόβατα τὸν λαόν σου*· καὶ, *Ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ*· καὶ, *Ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν*. Ὥστε ὅταν ἀκούσῃς, ὅτι *Ὅταν ἔλθῃ ὁ Παράκλητος, ἐκεῖνος ὑμᾶς ἀναμνήσει καὶ ὁδηγήσει* (69) *πρὸς πᾶσαν τὴν ἀλήθειαν*, τὴν ὁδηγίαν, ὡς ἐδιδάχθης, νόει· μὴ συκοφάντει τὴν ἔννοιαν.

50. At, inquies, *Etiam interpellat pro nobis* [14] : proinde quantum is qui supplex est, beneficii auctore inferior est, tantum quoque Spiritus ratione dignitatis a Deo remotus. At tu nondum audisti de Unigenito, quod is est in dextera Dei, et interpellat pro nobis [15]? Itaque quia Spiritus in te est, si tamen omnino in te est, et quia nos excæcatos ad eligendum quod utile est, docet, deducitque, ne eam ob causam piam ac sanctam de eo opinionem amittas. Nam profecto summus fuerit ingrati animi gradus, benefacientis humanitatem ad ingrati animi occasionem vertere. Nolite igitur contristare Spiritum sanctum [16]. Audite quid dicat martyrum primitiæ, Stephanus, inobedientiam ac rebellionem exprobrans populo. *Vos*, inquit, *semper Spiritui sancto resistitis* [17]. Et rursum Isaias : *Exacerbaverunt Spiritum sanctum, et versus est illis in inimicitiam* [18]. Et alibi, *Domus Jacob irritavit Spiritum Domini* [19]. Audite, inquam, an non hæc summam potentiam declarent? Judicio legentium permitto, quas tandem oporteat eos, qui hæc audiunt, opiniones concipere; utrum tanquam de instrumento, deque obediente, et parem conditionem cum creatura sortito, denique nobis conservo sentire; an gravissimum vel verbo solo hanc blasphemiam piorum aures subire? Servum dicis Spiritum? Sed servus, inquit, non novit quid faciat dominus ipsius [20] : Spiritus autem non aliter novit quæ sunt Dei, quam spiritus hominis novit quæ in ipso sunt [21].

50. Ἀλλὰ *Καὶ ἐντυγχάνει*, φησὶν, *ὑπὲρ ἡμῶν*· Ὥστε ὅσον ἱκέτης τοῦ εὐεργέτου λείπεται, τοσοῦτον τὸ Πνεῦμα κατὰ τὴν ἀξίαν ἀποπέπτωκε τοῦ Θεοῦ. Σὺ δὲ οὔπω ἤκουσας περὶ τοῦ Μονογενοῦς, ὅτι ἐστὶν ἐν δεξιᾷ τοῦ Θεοῦ, καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν; Μὴ οὖν ὅτι τὸ Πνεῦμα ἐν σοὶ (εἴπερ δὴ ὅλως ἐν σοὶ), μηδ' ὅτι ἀποτυφλωθέντας ἡμᾶς πρὸς τὴν ἐκλογὴν τοῦ συμ-
B φέροντος διδάσκει, καὶ ὁδηγεῖ, τούτου ἕνεκεν τὴν εὐσεβῆ καὶ ὁσίαν περὶ αὐτοῦ δόξαν (70) ζημιωθῇς. Ὑπερβολὴ γὰρ ἀγνωμοσύνης τοῦτό γε, τὴν φιλανθρωπίαν τοῦ εὐεργέτου ἀφορμὴν ἀχαριστίας ποιεῖσθαι. Μὴ οὖν λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον. Ἀκούσατε τί φησιν ἡ ἀπαρχὴ τῶν μαρτύρων Στέφανος, τὸ δυσπειθὲς καὶ ἀνυπότακτον τῷ λαῷ ὀνειδίζων. *Ὑμεῖς*, φησὶν, *ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε*. Καὶ πάλιν ὁ Ἡσαΐας· *Παρώξυναν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν*· καὶ ἑτέρωθι· *Ὁ οἶκος τοῦ Ἰακὼβ παρώργισε* (71) *τὸ Πνεῦμα Κυρίου*· εἰ μὴ ἐξουσιαστικῆς δυνάμεως παραστατικὰ τὰ τοιαῦτα; Τῇ τῶν ἐντυγχανόντων κρίσει παρίημι, ταῦτα ἀκούοντας ὁποίας τινὰς χρὴ
C τὰς ὑπολήψεις ἔχειν· ὡς περὶ ὀργάνου, καὶ ὑπηκόου, καὶ ὁμοτίμου τῇ κτίσει, καὶ ἡμῖν ὁμοδούλου; ἢ βαρύτατον καὶ ῥήματι μόνῳ τὴν βλασφημίαν ταύτην ὑποδῦναι τοῖς εὐσεβέσι; Δοῦλον λέγεις τὸ Πνεῦμα; Ἀλλ' ὁ δοῦλος, φησὶν, οὐκ οἶδε τί ποιεῖ ὁ κύριος αὐτοῦ· τὸ δὲ Πνεῦμα οὕτως οἶδε τὰ τοῦ Θεοῦ, ὡς καὶ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὰ ἐν αὐτῷ (72).

CAPUT XX.

Adversus eos, qui dicunt Spiritum nec in servili, nec in herili conditione esse, sed in conditione liberorum.

51. Neque servus, inquit, neque dominus, sed liber. O mirum stuporem, o miserandam audaciam ista loquentium! Quid amplius deplorem? utrum inscitiam, an blasphemiam istorum? qui quidem de Deo dogmata humanis exemplis dedecorant; ac hominum consuetudinem, per quam dispar est dignitatum excellentia, ad divinam et ineffabilem naturam accommodare nituntur : haud reputantes apud homines quidem nullum esse natura servum. Aut enim po-

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Πρὸς τοὺς λέγοντας μήτε ἐν δουλικῇ τάξει μήτε ἐν δεσποτικῇ εἶναι τὸ Πνεῦμα, ἀλλ' ἐν τῇ τῶν ἐλευθέρων.

51. Οὔτε δοῦλόν φησιν, οὔτε δεσπότην, ἀλλ' ἐλεύθερον. Ὢ τῆς δεινῆς ἀναλγησίας, ὢ τῆς ἐλεεινῆς
D ἀφοβίας τῶν ταῦτα λεγόντων! Τί πλέον αὐτῶν ὀδύρωμαι; τὸ ἀμαθὲς (73), ἢ τὸ βλάσφημον; οἵ γε τὰ τῆς θεολογίας δόγματα ἀνθρωπίνοις παραδείγμασι καθυβρίζουσι, καὶ τὴν ὧδε συνήθειαν, παρηλλαγμένην ἔχουσαν τῶν ἀξιωμάτων τὴν διαφορὰν, τῇ θείᾳ καὶ ἀῤῥήτῳ φύσει προσαρμόζειν ἐπιχειροῦσιν· οὐκ ἐννοοῦντες, ὅτι παρὰ μὲν ἀνθρώποις τῇ φύσει δοῦλος οὐδείς. Ἢ γὰρ καταδυναστευθέντες

[12] Psal. LXXVII, 53. [13] Joan. XIV, 26; XVI, 13. [14] Rom. VIII, 34. [15] ibid. [16] Ephes. IV, 30. [17] Act. VII, 51. [18] Isa. LXIII, 10. [19] Psal. CV, 32. [20] Joan. XV, 15. [21] I Cor. II, 11.

(69) *Καὶ ὁδηγήσει*. Hæc addita e sex codicibus.
(70) *Καὶ ὁσίαν περὶ αὐτοῦ δόξαν*. Sic codices omnes : editi καὶ θείαν δόξαν περὶ τούτου.
(71) *Παρώργισε*. Sic codices mss. omnes, pro eo quod est in editis παρώξυνε. Caput vicesimum in nonnullis codicibus incipit ab his verbis, Δοῦλον λέγεις τὸ Πνεῦμα. Imo etiam supra in uno codice ab istis, ἀλλὰ καὶ ἐντυγχάνει.
(72) *Τὰ ἐν αὐτῷ*. Codices nonnulli τὸ ἐν αὐτῷ.
(73) *Τὸ ἀμαθές*. Reg. quartus τὸ ἀπειθές.

ὑπὸ ζυγὸν δουλείας ἤχθησαν (74), ὡς ἐν αἰχμαλωσίαις· ἢ διὰ πενίαν κατεδουλώθησαν, ὡς οἱ Αἰγύπτιοι τῷ Φαραώ· ἢ κατά τινα σοφὴν καὶ ἀπόῤῥητον οἰκονομίαν οἱ χείρους τῶν παίδων ἐκ τῆς τῶν πατέρων φωνῆς τοῖς φρονιμωτέροις καὶ βελτίοσι δουλεύειν κατεδικάσθησαν· ἣν οὐδὲ καταδίκην, ἀλλ' εὐεργεσίαν εἴποι τις ἂν δίκαιος τῶν γινομένων ἐξεταστής. Τὸν γὰρ δι' ἔνδειαν τοῦ φρονεῖν οὐκ ἔχοντα ἐν ἑαυτῷ τὸ κατὰ φύσιν ἄρχον, τοῦτον ἑτέρου κτῆμα γενέσθαι λυσιτελέστερον, ἵνα, τῷ τοῦ κρατοῦντος λογισμῷ διευθυνόμενος, ὅμοιος ᾖ ἅρματι ἡνίοχον ἀναλαβόντι, καὶ πλοίῳ κυβερνήτην ἔχοντι ἐπὶ οἰάκων καθήμενον. Διὰ τοῦτο Ἰακὼβ κύριος τοῦ Ἠσαῦ ἐκ τῆς εὐλογίας τοῦ πατρὸς, ἵνα καὶ μὴ βουλόμενος παρὰ τοῦ φρονίμου εὐεργετῆται ὁ ἄφρων, οὐκ ἔχων τὸν οἰκεῖον κηδεμόνα τὸν νοῦν. Καὶ Χαναὰν παῖς οἰκέτης (75) ἔσται τοῖς ἀδελφοῖς, ἐπειδὴ ἀδίδακτος ἦν τῆς ἀρετῆς, ἀσύνετον ἔχων τὸν ἑαυτοῦ πατέρα τὸν Χάμ. Ὧδε μὲν οὖν οὕτως οἱ δοῦλοι· ἐλεύθεροι δὲ, οἱ διαφυγόντες πενίαν ἢ πόλεμον, ἢ τῆς ἑτέρων κηδεμονίας ἀπροσδεεῖς. Ὥστε κἂν ὁ μὲν δεσπότης, ὁ δὲ οἰκέτης λέγηται, ἀλλ' οὖν πάντες καὶ κατὰ τὴν πρὸς ἀλλήλους ὁμοτιμίαν, καὶ ὡς κτήματα (76) τοῦ πεποιηκότος ἡμᾶς, ὁμόδουλοι. Ἐκεῖ δὲ τί δύνασαι τῆς δουλείας ὑπεξαγαγεῖν; Ὁμοῦ τε γὰρ ἐκτίσθη, καὶ τὸ δοῦλον (77) εἶναι συγκατεσκεύασται. Ἀλλήλων μὲν γὰρ οὐ κατάρχουσιν, ἐπειδὴ πλεονεξίας ἄμοιρα τὰ οὐράνια· Θεῷ δὲ πάντα ὑποκύπτει, καὶ ὡς δεσπότῃ τὸν ὀφειλόμενον φόβον, καὶ ὡς δημιουργῷ τὴν ἐπιβάλλουσαν δόξαν ἀποδιδόντα. *Υἱὸς γὰρ δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ* (78). Καὶ ἀπαιτεῖ πάντως τῶν δύο τὸ ἕτερον ὁ Θεός. *Εἰ γὰρ Πατήρ εἰμι ἐγὼ, ποῦ ἐστι*, φησὶν, *ἡ δόξα μου; καὶ εἰ Κύριός εἰμι ἐγὼ, ποῦ ἐστιν ὁ φόβος μου;* Ἢ πάντων ἂν εἴη ἐλεεινοτάτη ζωὴ (79), μὴ ὑπὸ τὴν ἐπισκοπὴν τοῦ Δεσπότου κειμένη. Ὁποῖαί εἰσιν αἱ ἀποστατικαὶ δυνάμεις, αἱ διὰ τὸ τραχηλιάσαι κατὰ Θεοῦ παντοκράτορος ἀφηνιάζουσαι τῆς δουλείας· οὐ τῷ ἑτέρως πεφυκέναι, ἀλλὰ τῷ ἀνυποτάκτως ἔχειν πρὸς τὸν ποιήσαντα. Τίνα οὖν λέγεις ἐλεύθερον; Τὸν ἀβασίλευτον; τὸν μήτε ἄρχειν ἑτέρου δύναμιν ἔχοντα, μήτε ἄρχεσθαι καταδεχόμενον; Ἀλλ' οὔτε ἔστι τις τοιαύτη φύσις ἐν τοῖς οὖσι, καὶ τοῦτο (80) ἐννοῆσαι κατὰ τοῦ Πνεύματος ἀσέβεια περιφανής. Ὥστε εἰ μὲν ἔκτισται, δουλεύει δηλαδὴ μετὰ πάντων· *Τὰ γὰρ σύμπαντα*, φησὶ, *δοῦλα σά*· εἰ δὲ ὑπὲρ τὴν κτίσιν ἐστὶ, τῆς βασιλείας ἐστὶ κοινωνόν.

tentia oppressi, sub jugum servitutis **43** inducti sunt, velut in bello capti: aut ob pauperatem in servitutem adacti sunt, velut Ægyptii Pharaoni: aut juxta sapientem quamdam et arcanam dispensationem, qui inter filios deteriores sunt, parentum voce, sapientioribus ac melioribus in servitutem addicti sunt; quam haudquaquam condemnationem, sed beneficium potius dixerit æquus rerum æstimator. Nam qui ob sensus inopiam, non habet in sese id quod natura imperat, huic utilius est alterius fieri mancipium, ut dum dominantis prudentia dirigitur, similis sit currui qui aurigam recepit, aut navi quæ nauclerum habet clavo assidentem. Hanc ob causam Jacob dominus Esau ex benedictione patris [21], ut stultus a sapiente vel invitus beneficio afficeretur, quippe non habens proprium curatorem, videlicet mentem. Et Chanaan filius servus erit fratribus suis [22], quoniam indocilis erat ad virtutem, imprudentem habens patrem, videlicet Cham. Ad hunc igitur modum hic fiunt servi; liberi vero sunt, qui effugerunt paupertatem, aut bellum, aut qui aliorum cura non egent. Itaque quamvis hic herus, ille servus appelletur, omnes tamen et quatenus sumus ejusdem inter nos conditionis, et tanquam illius qui nos condidit mancipia, conservi sumus. Illic porro quid potes e servitute eximere? Nam statim ac condita sunt, simul cum eis condita servitus. Sibi enim invicem non imperant, eo quod cœlestia plus habendi non tenentur desiderio. Deo autem subjecta omnia, ac tanquam domino debitum timorem, ac tanquam conditori debitam gloriam persolvunt. *Filius enim gloria afficit patrem, et servus dominum suum* [23*]. Et ex his duobus alterum omnino Deus requirit. *Nam si Pater*, inquit, *sum ego, ubi est gloria mea? Si Dominus sum ego, ubi est timor meus* [24]? Alioqui vita custodiæ ac inspectioni Domini non subdita, omnium maxime miserabilis foret. Cujusmodi sunt virtutes desertrices, quæ quod cervicem erexerunt adversus Deum omnipotentem, servitutem detrectant, non quod aliter natura comparatæ sint, sed quod subditæ esse nolint Creatori. Quem igitur appellas liberum? Eum qui sine rege est? qui neque imperandi alteri potestatem habet, neque alterius imperium admittit? At nec est istiusmodi natura in rebus conditis, et hoc de Spiritu cogitare aperta impietas est. Quare si Spiritus creatus est, profecto servit cum omnibus. *Omnia enim*, inquit, *serviunt tibi* [25]; sin supra creaturam est, regni quoque consors est.

[21] Gen. XXVII, 37. [22] Gen. IX, 25. [23*] Malach. I, 6. [24] ibid. [25] Psal. CXVI, 91.

(74) *Ἤχθησαν*. Sic omnes codices; editi ἠνέχθησαν. Paulo post quidam mss. codices σοφὴν καὶ ἄῤῥητον.

(75) *Οἰκέτης*, etc. Editi οἰκέτης ἐστὶ τοῖς ἀδελφοῖς αὐτοῦ, ἐπειδὴ ἀδίδακτος. Libri veteres ut in contextu.

(76) *Κτήματα*. Sic mss. quinque. Editi κτῆμα. Mox Reg. secundus τί δύνασθε.

(77) *Δοῦλον*. Ita mss. duo, quibus favent plures alii in quibus legitur δούλῳ. Alius habet δοῦλος. Editi δοῦλα.

(78) *Τὸν κύριον αὐτοῦ*. Colbertinus codex et duo alii a Combefisio citati addunt φοβεῖται. Sed hoc verbum ab ipso Basilio, omnibus mss. consentientibus, omittitur in cap. 18 hujus libri, ubi idem testimonium refertur.

(79) *Ζωή*. Editi post hanc vocem addunt εἰ, sed deest in omnibus codicibus. Ibidem Reg. tertius et Colb. ὑπὸ τὴν σκέπην τοῦ, *Sub tutela Domini*. Paulo post editi ἀφηνιάζουσι, quod auctoritate quinque codicum mutavimus.

(80) *Καὶ τοῦτο*. Sic emendatum ope Regii secundi quod prave in aliis mss. et in editis legebatur καὶ τό.

CAPUT XXI.

Testimonia ex Scripturis Spiritum appellari Dominum.

52. Sed quid opus est ex rebus humilibus pugnantes, doctrinæ turpiter parare victoriam, **44** cum liceat illustriorum appositione, gloriæ excellentiam, cui contradici non possit, demonstrare? Quod si proferemus ea quæ nos Scriptura docuit, forsitan magno vehementique clamore vociferabuntur, et auribus obturatis Pneumatomachi tollentes lapides, aut quidquid forte occurrerit, in arma quisque vertentes, in nos irruent. Sed non est nobis incolumitas anteponenda veritati. Invenimus igitur apud Apostolum : *Dominus autem dirigat corda vestra in dilectionem Dei, et in patientiam Christi pro tribulationibus* [26]. Quis est Dominus dirigens in dilectionem Dei, et in patientiam Christi pro tribulationibus? Respondeant nobis, qui Spiritum in servitutem adigunt. Sive enim de Deo et Patre fuisset sermo, omnino dixisset : *Dominus vos dirigat in dilectionem sui :* sive de Filio, addidisset, *in suam ipsius patientiam.* Quærant igitur quænam sit alia persona, quam Domini vocabulo deceat honorari. Huic affine est et illud, quod alibi positum est : *Dominus vos impleat et abundare faciat charitate, in vos invicem et in omnes, quemadmodum et nos in vos, ad confirmandum corda vestra irreprehensibilia in sanctificatione, coram Deo et Patre nostro, in adventu Domini nostri Jesu Christi cum omnibus sanctis suis* [27]. Quem Dominum precatur, coram Deo et Patre nostro in adventu Domini nostri irreprehensibilia fidelium Thessalonicensium corda, confirmata in sanctitate constabilire? Respondeant nobis, qui cum ministratoriis spiritibus, qui mittuntur ad ministerium, collocant Spiritum sanctum. At non habent quod respondeant. Quapropter audiant et aliud testimonium, evidenter Spiritum sanctum appellans Dominum. *Dominus*, inquit, *Spiritus est* [28]; et rursum : *Tanquam a Domino Spiritu* [29]. Ne vero ulla relinquatur occasio contradicendi, ipsa Apostoli verba proferam in medium : *Usque ad hodiernum enim diem idem velamen in lectione Veteris Testamenti manet, non revelatum, quod in Christo abrogatur. Cum autem conversus fuerit ad Dominum, tolletur velamen. Dominus autem Spiritus est* [30]. Cur hoc dicit? Quoniam qui nudo intellectui litteræ assidet, et illic circa legales observationes occupatus

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'

Μαρτυρίαι ἐκ τῶν Γραφῶν τοῦ κυριολογεῖσθαι τὸ Πνεῦμα.

A 52. Καὶ τί δεῖ, ἐκ τῶν ταπεινῶν ἀπομαχομένους, αἰσχρῶς τὴν νίκην κατακτᾶσθαι τῷ λόγῳ, ἐξὸν τῇ παραθέσει τῶν σεμνοτέρων ἀναντίῤῥητον τὴν ὑπερβολὴν τῆς δόξης ἐπιδεικνύναι; Εἰ δὲ λέγοιμεν ἃ παρὰ τῆς Γραφῆς ἐδιδάχθημεν, τάχα που μέγα καὶ σφοδρὸν ἀνακράξονται, καὶ συσχόντες τὰ ὦτα, ἀράμενοι λίθους, ἢ ὅ τι ἂν τύχοι παραφανὲν, τοῦτο τῶν Πνευματομάχων ἕκαστος ὅπλον ποιησάμενος, ἐφ' ἡμᾶς ἥξουσιν. Οὐ μὴν πρό γε τῆς ἀληθείας τιμητέα ἡμῖν ἡ ἀσφάλεια. Εὕρομεν τοίνυν παρὰ τῷ Ἀποστόλῳ (81)· *Ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ*
B *Χριστοῦ ὑπὲρ τῶν θλίψεων* (82). Τίς ὁ κατευθύνων Κύριος εἰς τὴν τοῦ Θεοῦ ἀγάπην, καὶ εἰς τὴν ὑπὲρ τῶν θλίψεων τοῦ Χριστοῦ ὑπομονήν; Ἀποκρινάσθωσαν ἡμῖν οἱ τὸ Πνεῦμα καταδουλούμενοι. Εἴτε γὰρ περὶ τοῦ Θεοῦ καὶ Πατρὸς (83) ὁ λόγος, πάντως ἂν εἴρητο· *Ὁ δὲ Κύριος ὑμᾶς κατευθύναι εἰς τὴν ἑαυτοῦ ἀγάπην*· εἴτε περὶ τοῦ Υἱοῦ (84), προσέκειτο ἂν, *εἰς τὴν ἑαυτοῦ ὑπομονήν.* Ζητείτωσαν οὖν τί ἐστιν ἄλλο πρόσωπον, ὃ τῇ προσηγορίᾳ τοῦ Κυρίου τιμᾶσθαι ἄξιον. Παραπλήσιον δὲ τούτῳ (85) καὶ τὸ ἑτέρωθι κείμενον, τό· *Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς, εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιω-*
C *σύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.* Ποῖον Κύριον εὔχεται ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν ἀμέμπτους τὰς καρδίας ἐστηριγμένας ἐν ἁγιωσύνῃ τῶν ἐν Θεσσαλονίκῃ πιστῶν στηρίξαι; Ἀποκρινάσθωσαν ἡμῖν οἱ μετὰ τῶν λειτουργικῶν πνευμάτων τῶν πρὸς διακονίαν ἀποστελλομένων τὸ ἅγιον Πνεῦμα τιθέντες. Ἀλλ' οὐκ ἔχουσι. Διόπερ ἀκουέτωσαν καὶ ἑτέρας μαρτυρίας διαῤῥήδην καὶ αὐτῆς κυριολογούσης τὸ Πνεῦμα. *Ὁ δὲ Κύριος*, φησὶ, *τὸ Πνεῦμά ἐστι*· καὶ πάλιν· *Καθάπερ ἀπὸ Κυρίου Πνεύματος.* Ὥστε δὲ μηδεμίαν (86) ἀντιλογίας ἀφορμὴν καταλιπεῖν, αὐτὴν παραθήσομαι τοῦ Ἀποστόλου τὴν λέξιν· *Ἄχρι γὰρ τῆς*
D *σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅ τι ἐν Χριστῷ καταργεῖται. Ὅταν δὲ ἐπιστρέψῃ*

[26] II Thess. III, 5. [27] I Thess. III, 12, 13. [28] II Cor. III, 17. [29] ibid. 18. [30] ibid. 14, 16, 17.

(81) *Τῷ Ἀποστόλῳ.* Addunt editi ἐν τῇ πρὸς Θεσσαλονικεῖς δευτέρᾳ, sed hæc nullo prorsus in codice ms. leguntur.

(82) *Ὑπὲρ τῶν θλίψεων.* Fatendum est hæc verba neque in sacro contextu legi, et in tribus hujus libri mss. codicibus deesse. Quin etiam in Regio quinto non occurrunt nisi secunda manu. Sed tamen cum paulo post a Basilio repetantur, ut e sacro contextu desumpta; nolim ea delere; ac verisimilius est ex codicibus, in quibus desunt, ob eam causam fuisse sublata, quia non legebantur apud Apostolum, quam sine causa in alios codices, in quibus occurrunt, injecta.

(83) *Περὶ τοῦ Θεοῦ καὶ Πατρός.* Ita mss. tres, melius quam in editis περὶ τοῦ Θεοῦ Πατρὸς καὶ ὁ.

(84) *Περὶ τοῦ Υἱοῦ.* Duo codices περὶ τοῦ Χριστοῦ.

(85) *Τούτῳ*, etc. Editi τοῦτο καὶ τὸ ἐν ἑτέρωθι, quod trium mss. ope emendavimus. Mox Regius secundus περισσεύσαι ἐν ἀγάπῃ, et paulo post τὰς καρδίας ἀμέμπτως ἐν ἁγιασμῷ.

(86) *Μηδεμίαν.* Ita mss. tres, pro eo quod erat in editis μηδεμιᾶς.

πρὸς Κύριον, περιαιρεῖται (87) *τὸ κάλυμμα. Ὁ Κύριος τὸ Πνεῦμά ἐστι.* Τί τοῦτο λέγων; Ὅτι ὁ ψιλῇ τῇ διανοίᾳ τοῦ γράμματος προσκαθήμενος, καὶ αὐτοῦ που περὶ τὰ νομικὰ παρατηρήματα διατρίβων, οἱόν τινι παραπετάσματι τῇ Ἰουδαϊκῇ τοῦ γράμματος ἐκδοχῇ τὴν καρδίαν ἑαυτοῦ συγκεκάλυπται· καὶ τοῦτο πάσχει παρὰ τὸ ἀγνοεῖν, ὅτι ἡ σωματικὴ τοῦ νόμου τήρησις ἐν τῇ ἐπιδημίᾳ (88) τοῦ Χριστοῦ καταργεῖται, τῶν τύπων λοιπὸν μεταληφθέντων εἰς τὴν ἀλήθειαν. Ἀργοῦσι γὰρ λύχνοι τῇ τοῦ ἡλίου παρουσίᾳ· καὶ σχολάζει ὁ νόμος, καὶ προφητεῖαι (89) κατασιγάζονται, τῆς ἀληθείας ἀναφανείσης. Ὁ μέντοι δυνηθεὶς ἐπὶ τὸ βάθος διακύψαι τῆς νομικῆς ἐννοίας, καὶ τὴν ἐκ τοῦ γράμματος ἀσάφειαν, οἱόν τι καταπέτασμα, διασχὼν, εἴσω γενέσθαι τῶν ἀποῤῥήτων, οὗτος ἐμιμήσατο τὸν Μωϋσῆν ἐν τῷ διαλέγεσθαι τῷ Θεῷ περιαιροῦντα τὸ κάλυμμα, ἐπιστρέφων καὶ αὐτὸς ἀπὸ τοῦ γράμματος πρὸς τὸ (90) πνεῦμα. Ὥστε ἀναλογεῖν τῷ μὲν ἐπὶ τοῦ προσώπου Μωϋσέως καλύμματι τὴν τῶν νομικῶν διδαγμάτων ἀσάφειαν, τῇ δὲ ἐπιστροφῇ τῇ πρὸς τὸν Κύριον τὴν πνευματικὴν θεωρίαν. Ὁ οὖν ἐν τῇ ἀναγνώσει τοῦ νόμου περιελὼν τὸ γράμμα ἐπιστρέφει πρὸς τὸν Κύριον (ὁ δὲ Κύριος νῦν τὸ Πνεῦμα λέγεται), καὶ ὅμοιος γίνεται Μωϋσεῖ ἐκ τῆς ἐπιφανείας τοῦ Θεοῦ τὸ πρόσωπον δεδοξασμένον ἔχοντι. Ὡς γὰρ τὰ τοῖς ἀνθηροῖς χρώμασι παρακείμενα ἐκ τῆς περιῤῥεούσης αὐγῆς καὶ αὐτὰ καταχρώννυται (91)· οὕτως ὁ ἐναργῶς ἐνατενίσας τῷ Πνεύματι ἐκ τῆς ἐκείνου δόξης μεταμορφοῦταί πως πρὸς τὸ φανότερον, οἱόν τινι φωτὶ, τῇ ἐκ τοῦ Πνεύματος ἀληθείᾳ τὴν καρδίαν καταλαμπόμενος. Καὶ τοῦτό ἐστι τὸ, μεταμορφοῦται ἀπὸ τῆς δόξης τοῦ Πνεύματος εἰς τὴν οἰκείαν δόξαν, οὐ μικρολόγως, οὐδὲ ἀμυδρῶς· ἀλλ' ἐπὶ τοσοῦτον, ἐφ' ὅσον ἐστὶν εἰκὸς τὸν ἀπὸ τοῦ Πνεύματος φωτιζόμενον. Οὐ δυσωπῇ, ἄνθρωπε, τὸν Ἀπόστολον λέγοντα, ὅτι *Ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;* Ἆρα τὸ δουλικὸν οἰκητήριον κατεδέξατο ἄν ποτε τῇ τοῦ ναοῦ προσηγορίᾳ τιμῆσαι; Τί δὲ ὁ θεόπνευστον τὴν Γραφὴν ὀνομάζων, διὰ τῆς ἐπιπνοίας τοῦ ἁγίου Πνεύματος συγγραφεῖσαν, μὴ τοῖς τοῦ καθυβρίζοντος καὶ κατασμικρύνοντος αὐτὸ προσρήμασι κέχρηται (92);

est, Judaica litteræ interpretatione quasi velo tectum habet cor: atque id illi accidit, eo quod ignoret corporalem legis observationem in adventu Christi abolitam esse, jam figuris ad veritatem translatis. Sunt enim supervacaneæ lucernæ solis adventu; et cessat lex, et prophetiæ silent, simul ut illuxit veritas. At qui potuit ad profunda **45** legalis sensus penetrare, ac discussa legis obscuritate, ceu velamento, introire ad arcana, hic Mosen imitatus est, velamen, dum loquitur cum Deo, tollentem [31]; ipse se etiam convertens a littera ad spiritum. Quare velamini quod impositum est super faciem Mosi, respondet legalium documentorum obscuritas; conversioni autem ad Dominum respondet spiritualis intelligentia. Ergo qui in lectione legis aufert litteram, convertit sese ad Dominum (Dominus autem nunc Spiritus dicitur), ac similis redditur Mosi, ex apparitione Dei faciem glorificatam habenti. Sicut enim quæ juxta floridos colores posita sunt, e splendore promanante colorantur et ipsa: sic qui evidenter intendit oculos in Spiritum, ex illius gloria quodammodo transformatur ut fiat illustrior, dum veritate a Spiritu promanante, ceu luce quadam, corde illuminatur. Et hoc est transformari a gloria Spiritus ad propriam gloriam, haud parce, neque tenuiter, sed in tantum, quantum par est illustrari eum qui a Spiritu illuminatur. Non vereris, o homo, Apostolum dicentem [32]: *Templum Dei estis, et Spiritus Dei habitat in vobis* [32]? Num potuisset unquam servile domicilium appellatione templi honorare? Quid qui Scripturam divinitus inspiratam appellat, eo quod afflatu Spiritus scripta sit, num contumeliosis et Spiritum attenuantibus verbis utitur?

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Σύστασις τῆς κατὰ τὴν φύσιν κοινωνίας τοῦ Πνεύματος, ἐκ τοῦ ὁμοίως εἶναι Πατρὶ καὶ Υἱῷ πρὸς θεωρίαν δυσέφικτον.

53. Οὐ μόνον δὲ ἐξ ὧν τὰς αὐτὰς προσηγορίας ἔχει, καὶ κοινωνόν (93) ἐστι τῶν ἐνεργειῶν Πατρὶ καὶ Υἱῷ, τὸ ὑπερέχον αὐτοῦ τῆς φύσεως γνώριμον, ἀλλὰ καὶ ἐξ ὧν ὁμοίως ἐστὶ πρὸς θεωρίαν δυσέφικτον. Ἃ γὰρ περὶ τοῦ Πατρός φησιν, ὡς ἐπέκεινα ὄντος ἀνθρωπίνης ἐννοίας, καὶ ἃ περὶ τοῦ Υἱοῦ, ταῦτα ὁ Κύριος καὶ περὶ τοῦ ἁγίου Πνεύματος λέγει· *Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω·* τὸν

CAPUT XXII.

Confirmatio naturalis communionis Spiritus, eo quod æque ac Pater et Filius incomprehensibilis est.

53. Non solum autem ex hoc quod easdem habet appellationes, et in operationibus consors est Patri et Filio, dilucet naturæ illius excellentia; verum etiam ex eo quod pariter incomprehensibilis est intellectu. Quæ enim de Patre loquitur, quod sit supra cogitationem humanam, quæque de Filio, eadem Dominus et de Spiritu sancto dicit: *Pater juste, et mundus te non cognovit* [34]; mundum appel-

[31] Exod. xxxiv, 34. [32] I Cor. iii, 16. [33] II Tim. iii, 16. [34] Joan. xvii, 25.

(87) *Περιαιρεῖται.* Reg. secundus περιελεῖται. Nec multo post idem cod. νομικὰ διατηρήματα.

(88) *Ἐν τῇ ἐπιδημίᾳ.* Editi ἐπὶ τῇ ἐπιδημίᾳ κατήργηται... οἱ λύχνοι. Libri veteres ut in textu.

(89) *Προφητεῖαι.* Hæc scriptura in duobus tantum legitur codicibus mss. et in alio quodam secunda manu, sed tamen eam cum Combefisio prætulimus vulgatæ προφῆται, ut verbis Apostoli, ad quæ respicit Basilius, magis congruentem.

(90) *Πρὸς τό.* Sic mss. Editi ἐπὶ τό.

(91) *Καταχρώννυται.* Ita codices antiquiores. Alii et editi καταχρώννυνται.

(92) *Κέχρηται.* Ita libri veteres. Editi χρῆται.

(93) *Κοινωνόν.* Ita mss. non pauci. Editi κοινόν.

lans hic non globum e cœlo et terra constantem, sed caducam hanc innumerisque mutationibus obnoxiam vitam. Ac de seipso loquens, *Adhuc modicum*, inquit, *et mundus me jam non videt, vos autem videtis me*[35]. Rursus hic eos qui materiali carnalique vita devincti sunt, et oculis tantum expendunt veritatem, mundum appellans, qui non amplius oculis cordis visuri erant Dominum nostrum, eo quod resurrectionem non crederent. Hæc autem eadem dixit et de Spiritu : *Spiritum*, inquit, *veritatis, quem mundus non potest accipere, quod* **46** *non videat illum, neque cognoscat eum : vos autem cognoscitis illum, quod apud vos manet*[36]. Carnalis siquidem homo mentem habens ad contemplationem haud exercitatam, imo vero totam in affectu carnis velut in cœno defossam gerens, non potest ad spirituale lumen veritatis attollere oculos. Quapropter mundus, hoc est, carnis cupiditatibus addicta vita, velut oculus imbecillis non ferens radii solaris lumen, Spiritus gratiam non recipit. At Dominus cum hoc discipulis testimonium dedisset, quod mundæ essent vitæ ob doctrinam ipsius, dat etiam, ut jam ad speculationem contemplationemque Spiritus sint idonei. *Jam enim*, inquit, *vos mundi estis propter sermonem quem locutus sum vobis*[37]. *Unde mundus quidem non potest illum accipere, quandoquidem non videt illum : vos autem novistis eum, quoniam apud vos manet*[38]. Eadem dicit et Isaias : *Qui stabilivit terram, et quæ in ea sunt, deditque spirationem populo, qui est super illam, et Spiritum calcantibus eam*[39]. Nam qui conculcant terrena, iisque superiores evaserunt, digni prædicati sunt dono Spiritus sancti. Quem ergo mundus capere non potest, quique a solis sanctis per cordis puritatem videri potest, qualem esse existimandum est, aut quales illi honores competere ?

CAPUT XXIII.

Spiritus glorificationem esse enumerationem eorum quæ illi adsunt.

54. Et reliquæ quidem virtutes singulæ in loco circumscripto esse creduntur. Nam angelus qui astabat Cornelio[40], non in eodem momento astatabat et Philippo[41] : neque qui locutus est Zachariæ ab altari[42], per idem tempus etiam in cœlo suam implebat stationem. At Spiritus creditur simul[43] et in Abacuc et in Daniele in Babylonia ope-

A κόσμον λέγων (94) νῦν οὐχὶ τὸ ἐξ οὐρανοῦ καὶ γῆς σύστημα, ἀλλὰ τὴν ἐπίκηρον ταύτην καὶ μυρίαις μεταβολαῖς ὑποκειμένην ζωήν. Καὶ περὶ ἑαυτοῦ διαλεγόμενος, *Ἔτι μικρὸν*, φησὶ, *καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ* (95), *ὑμεῖς δὲ θεωρεῖτέ με*. Πάλιν ἐνταῦθα τοὺς τῇ ὑλικῇ καὶ σαρκικῇ προσδεδεμένους ζωῇ, καὶ μόνοις ὀφθαλμοῖς τὴν ἀλήθειαν ἐπιτρέποντας, κόσμον προσαγορεύων, οἳ τῇ ἀπιστίᾳ τῆς ἀναστάσεως οὐκέτι ἔμελλον τοῖς ὀφθαλμοῖς τῆς καρδίας τὸν Κύριον ἡμῶν ὄψεσθαι. Τὰ δὲ αὐτὰ καὶ περὶ τοῦ Πνεύματος εἶπε· *Τὸ Πνεῦμα*, φησὶ, *τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ, οὐδὲ γινώσκει αὐτό. Ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει*. Ὁ μὲν γὰρ σάρκινος (96) ἄνθρωπος, ἀγύμναστον ἔχων πρὸς θεωρίαν τὸν νοῦν,
B μᾶλλον δὲ ὅλον, ὥσπερ ἐν βορβόρῳ, τῷ φρονήματι τῆς σαρκὸς κατορωρυγμένον φέρων (97), ἀδυνατεῖ πρὸς τὸ πνευματικὸν φῶς τῆς ἀληθείας ἀναβλέψαι. Διὸ ὁ κόσμος, τουτέστιν, ἡ τοῖς πάθεσι τῆς σαρκὸς δεδουλωμένη ζωὴ, οἷον ὀφθαλμὸς ἀσθενὴς φῶς ἡλιακῆς ἀκτῖνος, τὴν τοῦ Πνεύματος χάριν οὐχ ὑποδέχεται. Τοῖς μέντοι μαθηταῖς ἑαυτοῦ (98) καθαρότητα ζωῆς ἐκ τῶν διδαγμάτων αὐτοῦ μαρτυρήσας ὁ Κύριος, τὸ καὶ ἐποπτικοῖς ἤδη εἶναι καὶ θεωρητικοῖς τοῦ Πνεύματος ἀποδίδωσιν. *Ἤδη γὰρ*, φησὶν, *ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. Ὅθεν ὁ μὲν κόσμος οὐ δύναται λαβεῖν· οὐ γὰρ θεωρεῖ αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει*. Ταυτὰ λέγει καὶ Ἠσαΐας· *Ὁ στερεώ-*
C *σας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς* (99) *πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ Πνεῦμα τοῖς πατοῦσιν αὐτήν*. Οἱ γὰρ καταπατοῦντες τὰ γήϊνα καὶ ὑπεράνω αὐτῶν γενόμενοι, ἄξιοι τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος μεμαρτύρηνται. Τὸ οὖν ἀχώρητον μὲν τῷ κόσμῳ, τοῖς ἁγίοις δὲ μόνοις διὰ καθαρότητα τῆς καρδίας θεωρητὸν, τί χρὴ νομίζεσθαι, ἢ ποταπὰς (1) τιμὰς συμμέτρους ὑπάρχειν αὐτῷ;

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Ὅτι δοξολογία Πνεύματός ἐστιν ἡ τῶν προσόντων αὐτῷ ἀπαρίθμησις.

54. Τῶν μὲν οὖν (2) ἄλλων ἑκάστη δυνάμεων ἐν περιγράπτῳ τόπῳ τυγχάνειν πεπίστευται. Ὁ γὰρ τῷ Κορνηλίῳ ἐπιστὰς ἄγγελος οὐκ ἦν ἐν ταυτῷ καὶ παρὰ τῷ Φιλίππῳ, οὐδὲ ὁ ἀπὸ τοῦ θυσιαστηρίου τῷ
D Ζαχαρίᾳ διαλεγόμενος κατὰ τὸν αὐτὸν καιρὸν καὶ ἐν οὐρανῷ τὴν οἰκείαν στάσιν ἐπλήρου. Τὸ μέντοι Πνεῦμα ὁμοῦ τε ἐν Ἀββακοὺμ ἐνεργεῖν καὶ ἐν Δα-

[35] Joan. xiv, 19. [36] ibid. 17. [37] Joan. xv, 3. [38] Joan. xiv, 17. [39] Isa. xlii, 5. [40] Act. x, 3. [41] Act. viii, 26. [42] Luc. i, 11. [43] Dan. xiv, 33.

(94) *Λέγων*. Editi addunt ὁ Υἱός, sed hæc veteres libri non habent.

(95) *Θεωρεῖ*. Combefisius reddendum putat, *videbit*, et paulo post, *videbitis*.

(96) *Σάρκινος*. Ita mss. codices. Editi, σαρκικός.

(97) *Φέρων*. Reg. primus ἔχων. Ibidem quatuor mss. ἀδύνατος πρός. Nihil tamen mutandum videtur.

(98) *Ἑαυτοῦ*. Ita nostri codices mss. Editi αὐτοῦ. Paulo post editi διδαγμάτων ἑαυτοῦ, quinque mss. αὐτοῦ. Ibidem Regius quartus διαταγμάτων.

(99) *Καὶ διδούς*. Tres codices καὶ δούς. Mox totidem παντὶ τῷ λαῷ.

(1) *Ἢ ποταπάς*. Corrupte in editis ἢ τὰς παντοδαπάς, quod ope sex codicum emendavimus, quorum tamen nonnulli habent τὰς ποδαπάς.

(2) *Τῶν μὲν οὖν*. Caput vicesimum tertium, quod in editis incipit ad hæc verba, ἐγὼ δὲ οὐδὲ ἄλλο, hic apponendum censuimus, cum plures mss. codices, tum etiam ipsam sermonis seriem et continuationem secuti. Liquet enim hic Basilium ad aliud argumentum transire.

νιὴλ ἐπὶ τῆς Βαβυλωνίας πεπιστευται· καὶ ἐν τῷ A καταῤῥάκτῃ εἶναι (3) μετὰ Ἱερεμίου, καὶ μετὰ Ἰεζεκιὴλ ἐπὶ τοῦ Χοβάρ. *Πνεῦμα γὰρ Κυρίου πεπλήρωκε τὴν οἰκουμένην·* καὶ, *Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;* καὶ ὁ προφήτης· *Διότι ἐγὼ* (4) *μεθ' ὑμῶν εἰμι, λέγει Κύριος· καὶ τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν.* Τὸ δὲ πανταχοῦ ὂν, καὶ Θεῷ συμπαρὸν, τῆς ποίας προσήκει νομίζειν φύσεως; τῆς πάντα περιεχούσης, ἢ τῆς μερικοῖς (5) ἐμπεριειλημμένης χωρίοις, ὁποίαν τὴν τῶν ἀγγέλων ὁ λόγος ἔδειξεν; Ἀλλ' οὐκ ἄν τις εἴποι. Τὸ οὖν θεῖον τῇ φύσει, τὸ ἀχώρητον τῷ μεγέθει, τὸ δυνατὸν ἐν ταῖς ἐνεργείαις, τὸ ἀγαθὸν ἐν ταῖς εὐεργεσίαις μὴ ὑπερυψώσομεν (6); μὴ δοξάσομεν; Ἐγὼ δὲ οὐδὲ ἄλλο (7) τι τὴν δόξαν τίθεμαι ἢ τῶν προσόντων αὐτῷ θαυμά- B των τὴν ἐξαρίθμησιν. Ὥστε ἢ οὐδὲ μεμνῆσθαι ἡμᾶς τῶν παρ' αὐτοῦ ἀγαθῶν ἐπιτάξουσιν οὗτοι, ἢ πάντως ἡ τῶν προσόντων διέξοδος τῆς μεγίστης δοξολογίας ἐστὶ πλήρωσις. Οὐδὲ γὰρ τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἄλλως δοξάζειν ἔχομεν, ἢ τῷ κατὰ τὴν ἡμετέραν δύναμιν διεξιέναι αὐτοῦ τὰ θαύματα.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Ἔλεγχος τῆς ἀτοπίας τῶν μὴ δοξαζόντων τὸ Πνεῦμα ἐκ τῆς πρὸς τὰ ἐν τῇ κτίσει δοξαστὰ παραθέσεως.

55. Εἶτα δόξῃ μὲν καὶ τιμῇ ἐστεφάνωται ὁ κοινὸς ἄνθρωπος (8), καὶ δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ (9) τῷ ποιοῦντι τὸ ἀγαθὸν ἐν ἐπαγγελίαις ἀπόκειται. C Ἔστι δέ τις καὶ ἰδίως τοῦ Ἰσραὴλ δόξα· ὧν ἡ υἱοθεσία, φησὶ, καὶ ἡ δόξα, καὶ ἡ λατρεία. Καὶ ἑαυτοῦ τινα δόξαν ὁ Ψαλμῳδὸς λέγει· *Ὅταν ψάλῃ σοι ἡ δόξα μου·* καὶ πάλιν· *Ἐξεγέρθητι, ἡ δόξα μου.* Ἔστι δέ τις (10) δόξα ἡλίου, καὶ σελήνης, καὶ ἀστέρων· κατὰ δὲ τὸν Ἀπόστολον καὶ ἡ διακονία τῆς κατακρίσεως διὰ δόξης. Τοσούτων οὖν δοξαζομένων, τὸ Πνεῦμα μόνον τῶν πάντων ἀδόξαστον εἶναι βούλει; Καίτοιγε *Ἡ διακονία τοῦ Πνεύματος,* φησὶν, *ἐστὶν ἐν δόξῃ.* Πῶς οὖν αὐτὸ ἀνάξιον τοῦ δοξάζεσθαι (11); Καὶ μεγάλη μὲν ἡ δόξα τοῦ δι-

rari; et cum Jeremia in catarrhacta [44], et cum Ezechiele super Chobar versari [45]. *Spiritus enim Domini replevit orbem terrarum* [46]; et, *Quo ibo a Spiritu tuo, et a facie tua quo fugiam* [47]? Et propheta, *Quoniam ego vobiscum sum, dicit Dominus: et Spiritus meus stat in medio vestri* [48]. Eum vero qui ubique est, ac una cum Deo adest, cujus esse naturæ credere oportet? utrum omnia complectentis, an particularibus arctatæ locis, qualem esse naturam angelorum patet ex dictis? Verum hoc dixerit nemo. Igitur qui natura divinus est, qui magnitudine incomprehensus, qui potens in operationibus, qui bonus in beneficentiis, hunc non supra modum efferemus? non supra modum glorificabimus? Ego vero nihil aliud intelligo gloriam, quam enumerationem mirabilium, quæ illi adsunt. Itaque aut isti interdicent nobis, ne prorsus mentionem faciamus bonorum, quæ ab **47** illo accipimus, aut omnino ea quæ illi adsunt commemorasse, est summam glorificationem implesse. Nam ne Deum quidem et Patrem Domini nostri Jesu Christi et unigenitum illius Filium aliter glorificare possumus, quam pro virili nostra illius prodigia recensendo.

CAPUT XXIV

Redargutio absurditatis eorum qui non glorificant Spiritum, ex collatione eorum quæ in creaturis gloria afficiuntur.

55. Deinde vero gloria et honore coronatus est quilibet homo, et gloria et honor et pax cuivis facienti bonum [49] in promissis reposita sunt. Est autem et peculiaris quædam Israelitici populi gloria, quorum, inquit, est adoptio et gloria et cultura [50]: et suam ipsius gloriam quamdam commemorat Psalmorum cantor: *Dum cantaverit tibi gloria mea* [51]; et rursus, *Exsurge, gloria mea* [52]. Est autem quædam gloria solis, lunæ et stellarum [53]. Ac juxta Apostolum fit etiam administratio damnationis cum gloria [54]. Itaque cum tam multa sint quæ gloria potiuntur, vis Spiritum unum ex omnibus inglorium esse? Et tamen *Ministratio*, inquit, *Spiritus est in gloria* [55]. Qui fit igitur ut ille indignus

[44] Jerem. xx, 2, apud LXX. [45] Ezech. I, 1. [46] Sap. I, 7. [47] Psal. cxxxviii, 7. [48] Agg. II, 5, 6. [49] Rom. II, 10. [50] Rom. IX, 4. [51] Psal. xxix, 13. [52] Psal. cvii, 2. [53] I Cor. xv, 41 [54] II Cor. III, 9. [55] ibid. 8.

(3) *Εἶναι.* Editi εἴρηται εἶναι. Prima vox inutilis, D nec legitur in codicibus mss.

(4) *Ἐγώ.* Editio Paris. addit φησί, quod in veteribus libris non legitur, nec in edit. Basil.

(5) *Ἢ τῆς μερικοῖς... εἴποι.* Sic nostri codices mss. Editi τοῖς μερικοῖς... εἴπῃ.

(6) *Ὑπερυψώσομεν.* Duo mss. ὑπερυψώσωμεν; μὴ δοξάσωμεν. Non male in codice Anglicano μὴ ὑπερδοξάσομεν.

(7) *Οὐδὲ ἄλλο.* Reg. secundus οὐδὲν ἄλλο.

(8) *Κοινὸς ἄνθρωπος. Quilibet homo:* vituperat Erasmum Combefisius ob hanc interpretationem, ac vertendum putat, *communis homo, purus homo.* Verum hæc interpretatio, *quilibet homo*, non est Erasmi, qui ita reddiderat, *plebeius homo*, sed Ducæi, qui Billii observationem secutus ita posuit in editione Parisiensi. Non belle autem vituperatur hæc interpretatio; nam κοινὸς ἄνθρωπος hoc loco dicitur is, in quo sola natura consideratur humana, et distinguitur ab eo qui facit bonum. Similiter Basilius in caput quintum Isaiæ, pag. 498, κοινὸν ἄνθρωπον vocat eum, qui solis naturæ dotibus instructus est, eumque opponit iis, qui aliquos habent in virtute progressus.

(9) *Παντί.* Editi παντὶ τῷ ἀνθρώπῳ contra codicum mss. fidem. Paulo post Reg. quartus ὅπως ἂν ψάλῃ. Quidam codices ψάλλῃ.

(10) *Ἔστι δέ τις.* Postrema vocula addita ex duobus mss.

(11) *Τοῦ δοξάζεσθαι.* Post hanc vocem editi addunt τίθεσθε, quod deest in mss. Requiruntur pariter in veteribus libris duo Psalmorum loca, quorum unum saltem videtur in animo habuisse Basilius, ac neutrum citasse. Nimirum post has voces

sit qui glorificetur? Et magna quidem est gloria Justi juxta Psalmorum cantorem [86]. At gloria Spiritus juxta tuam opinionem nulla est. Annon igitur evidens periculum est ne talibus dictis inevitabile crimen in nosmetipsos accersamus? Si homo qui salvus fit ex operibus justitiæ, etiam timentes Dominum glorificat, multo minus Spiritum debita gloria fraudabit. Sit, inquiunt, glorificandus, sed non cum Patre et Filio. Et qui consentaneum est rationi, alium locum imaginatione designare Spiritui, eo relicto, quem statuit Dominus; et gloriæ consortio spoliare eum qui ubique conjunctus est divinitati, in professione fidei, in baptismate redemptionis, in operatione virtutum, in inhabitatione sanctorum, in beneficiis in subditos conferendis? Neque enim est ullum omnino donum absque sancto Spiritu ad creaturam perveniens; quando ne simplex quidem verbum in defensionibus pro Christo quis possit dicere, nisi adjuvante Spiritu, quemadmodum in Evangeliis a Domino et Servatore nostro didicimus [87]. Porro ut his omnibus neglectis, atque ea communione, quam in omnibus habet, oblivioni tradita, a Patre et Filio ipsum avellamus, nescio an quisquam sancti Spiritus particeps assensurus sit. In quo igitur ordine illum collocabimus? creaturarum? At universa creatura servit: Spiritus **48** autem liberum reddit: *Ubi enim Spiritus Domini, ibi libertas* [88]. Atque cum multa sint quæ possim hic commemorare, quam non conveniat Spiritum sanctum annumerare rebus creatis, de his dicere nunc supersedebo. Nam si incipiam pro argumenti dignitate, et quæ pro nobis faciunt, probationes adducere, et quæ ab adversariis objiciuntur, diluere, prolixo sermone erit opus, loquacitateque voluminis deterrebimus lectores. Idcirco, hoc alteri proprio tractatui reservato, propositis adhæreamus.

56. Consideremus igitur singulatim. Natura bonus est, ut bonus Pater, et bonus Filius. Creatura vero per electionem ejus quod bonum est, particeps est bonitatis. Profunda Dei novit: sed creatura per Spiritum accipit arcanorum reserationem. Vivificat cum Deo qui vivificat omnia, cum Filio qui dat vitam. *Qui enim excitavit*, inquit, *Christum a mortuis, vivificabit et mortalia corpora vestra, per ipsius Spiritum qui inhabitat in vobis* [89]; atque

A καίου, κατὰ τὸν Ψαλμῳδόν· δόξα δὲ τοῦ Πνεύματος, κατὰ σὲ, οὐδεμία. Πῶς οὖν οὐ πρόδηλος ὁ κίνδυνος ἐκ τῶν τοιούτων λόγων τὴν ἄφυκτον ἁμαρτίαν ἐφ' ἑαυτοὺς ἐπισπᾶσθαι; Εἰ ὁ (12) σωζόμενος ἐκ τῶν τῆς δικαιοσύνης ἔργων ἄνθρωπος, καὶ τοὺς φοβουμένους τὸν Κύριον δοξάζει, τοσούτου ἂν δέοι τὸ Πνεῦμα τῆς ὀφειλομένης δόξης ἀποστερεῖν. Ἔστω, φησὶ (13), δοξαστὸν, ἀλλ' οὐχὶ μετὰ Πατρὸς καὶ Υἱοῦ. Καὶ τίνα ἔχει λόγον ἑτέραν χώραν ἐπινοεῖν τῷ Πνεύματι, τὴν παρὰ τοῦ Κυρίου τεταγμένην καταλιπόντας, καὶ τῆς κατὰ τὴν δόξαν κοινωνίας ἀποστερεῖν τὸ πανταχοῦ συνκαναληφθὲν (14) τῇ θεότητι, ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως, ἐν τῷ βαπτίσματι τῆς ἀπολυτρώσεως, ἐν τῇ ἐνεργείᾳ τῶν δυνάμεων, ἐν τῇ ἐνοικήσει τῶν ἁγίων, ἐν ταῖς εἰς τὸ ὑπήκοον χά- B ρισιν; Οὐδὲ γάρ ἐστιν ὅλως δωρεά τις ἄνευ τοῦ ἁγίου Πνεύματος εἰς τὴν κτίσιν ἀφικνουμένη· ὅπου γε οὐδὲ ῥῆμα ψιλὸν ἐν ταῖς ὑπὲρ Χριστοῦ ἀπολογίαις δυνατὸν λαλῆσαι μὴ συνεργουμένους παρὰ τοῦ Πνεύματος, ὡς ἐν Εὐαγγελίοις παρὰ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν μεμαθήκαμεν. Ἅπαντα δὲ ταῦτα παριδόντας, καὶ τῆς ἐν πᾶσι κοινωνίας ἐπιλαθομένους, ἀπὸ Πατρὸς καὶ Υἱοῦ διασπᾷν, οὐκ οἶδα εἴ τις μέτοχος Πνεύματος ἁγίου συνθήσεται. Ποῦ τοίνυν φέροντες αὐτὸ τάξομεν; μετὰ τῆς κτίσεως; Ἀλλ' ἡ κτίσις πᾶσα δουλεύει· τὸ δὲ Πνεῦμα ἐλευθεροῖ. *Οὗ γὰρ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.* Καὶ πολλῶν ἐνόντων εἰπεῖν, ὅπως οὐ προσήκει τῇ κτιστῇ φύσει τὸ Πνεῦμα τὸ ἅγιον συγκαταριθμεῖν, τὸν περὶ τούτων νῦν (15) ὑπερθήσομαι λόγον. C Εἰ γὰρ μέλλοιμεν πρὸς ἀξίαν τοῦ προβλήματος τάς τε παρ' ἑαυτῶν κατασκευὰς ἐπάγειν, καὶ τὰ παρὰ τῶν ἐναντίων προβαλλόμενα διαλύειν, πολλῶν ἡμῖν δεήσει λόγων, καὶ ἀποκναίσαιμεν (16) τῇ πολυφωνίᾳ τῆς βίβλου τοὺς ἐντυγχάνοντας. Διόπερ ἰδίᾳ πραγματείᾳ ἐκεῖνο ταμιευσάμενοι, τῶν προκειμένων ἐχώμεθα.

56. Σκεψώμεθα οὖν τὰ καθέκαστον. Φύσει ἐστὶν ἀγαθὸν, ὡς ἀγαθὸς ὁ Πατὴρ, καὶ ἀγαθὸς ὁ Υἱός. Ἡ κτίσις δὲ ἐν τῇ ἐκλογῇ τοῦ ἀγαθοῦ μέτοχός ἐστι τῆς ἀγαθότητος. Οἶδε τὰ βάθη τοῦ Θεοῦ (17)· ἡ κτίσις δὲ λαμβάνει τὴν φανέρωσιν τῶν ἀποῤῥήτων διὰ τοῦ Πνεύματος. Ζωοποιεῖ μετὰ τοῦ Θεοῦ τοῦ τὰ πάντα ζωογονοῦντος, μετὰ (18) τοῦ Υἱοῦ τοῦ διδόν- D τος ζωήν. *Ὁ γὰρ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει*, φησὶ, *καὶ τὰ θνητὰ ὑμῶν* (19) *σώματα*

[86] Psal. xx, 6. [87] Matth. x, 19. [88] II Cor. iii, 17. [89] Rom. viii, 11.

Κατὰ τὸν Ψαλμῳδόν, addunt editi: *Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου· καὶ πάλιν· Τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει. Magna est gloria ejus in salutari tuo*; et rursus: *Timentes autem Dominuglom rificat.*

(12) *Εἰ ὁ.* Hæc desunt in quinque mss., at leguntur in Reg. secundo. Editi ὡς ὅ γε. Paulo post conjunctio addita ex sex mss. ante τοὺς φοβουμένους.

(13) *Φησί.* Regius secundus φασί.

(14) *Συνκαναληφθέν.* Sic mss. quinque. Legitur συμπαραληφθὲν in editione Parisiensi. Aliæ cum mss. consentiunt.

(15) *Τούτων νῦν.* Vocula addita ex Reg. secundo.

(16) *Ἀποκναίσαιμεν.* Ita cod. Colbert. et editio Basil. Legitur in Paris. editione ἀποκναίσομεν. Paulo post iidem editi ἐκεῖνα. Libri veteres ἐκεῖνο.

(17) *Τοῦ Θεοῦ.* Editio Paris. addit τὸ Πνεῦμα, quod deest in quinque mss. et edit. Basil.

(18) *Ζωογονοῦντος, μετά.* Ita sex mss. Editi ζωοποιοῦντος καὶ μετά. Paulo post editi addunt Ἰησοῦν post Χριστόν. Sed deest ea vox in omnibus mss.

(19) *Θνητὰ ὑμῶν.* Reg. secundus θνητὰ σώματα ἡμῶν. Paulo post editi ἀκούουσι, quod auctoritate plurium mss. mutavimus.

διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ *Πνεύματος ἐν ὑμῖν*· καὶ πάλιν· *Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς*. Ἀλλὰ καὶ τὸ Πνεῦμα, φησὶ, ζωοποιεῖ. Καὶ πάλιν· *Τὸ δὲ Πνεῦμα*, φησὶ, *ζωὴ διὰ δικαιοσύνην* (20). Καὶ ὁ Κύριος μαρτυρεῖ τὸ Πνεῦμα εἶναι τὸ ζωοποιοῦν· *Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν*. Πῶς οὖν, τῆς ζωοποιοῦ δυνάμεως ἀποξενώσαντες τὸ Πνεῦμα, τῇ ἐπιδεομένῃ τῆς ζωῆς φύσει προσοικειώσομεν; Τίς οὕτω δύσερις, τίς οὕτω δωρεᾶς ἐπουρανίου ἀμέτοχος, καὶ τῶν καλῶν τοῦ Θεοῦ ῥημάτων ἄγευστος, τίς οὕτως ἐλπίδων αἰωνίων (21) ἄμοιρος, ὡς τῇ κτίσει συντάξαι τὸ Πνεῦμα, τῆς Θεότητος ἀποστήσας;

A iterum : *Oves meæ vocem meam audiunt, et ego vitam æternam do illis* [60]. Sed Spiritus quoque vivificat, inquit [61]. Ac rursum : *Spiritus autem*, inquit, *vita propter justitiam* [62]. Quin et Dominus testatur Spiritum esse qui vivificat. *Caro non prodest quidquam* [63]. Quomodo igitur Spiritum a vivificandi potestate submoventes eum naturæ conjungemus, quæ ipsa vita egeat? Quis adeo contentiosus, quis adeo exsors doni cœlestis, et absque gustu bonorum Dei verborum, quis adeo spei æternæ expers, ut Spiritum a Deitate distractum creaturæ copulet?

57. Ἐν ἡμῖν, φησὶ, τὸ Πνεῦμα, ὡς δῶρόν ἐστι παρὰ τοῦ Θεοῦ. Οὐ δήπου δὲ τὸ δῶρον ταῖς ἴσαις τιμαῖς τῷ δεδωκότι σεμνύνεται. Δῶρον μὲν οὖν Θεοῦ τὸ Πνεῦμα, ἀλλὰ δῶρον ζωῆς. *Ὁ γὰρ νόμος*, φησὶ, *τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσεν ἡμᾶς* (22). Καὶ δῶρον δυνάμεως· *Λήψεσθε γὰρ δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς*. Ἆρ' οὖν διὰ τοῦτο εὐκαταφρόνητον; ἢ οὐχὶ καὶ τὸν Υἱὸν ἐχαρίσατο τοῖς ἀνθρώποις; *Ὅς γε*, φησὶ, *τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται*; Καὶ ἑτέρωθι· *Ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν*· περὶ τοῦ μυστηρίου τῆς ἐνανθρωπήσεως λέγων. Ὥστε πῶς οἱ ταῦτα λέγοντες οὐχὶ τὴν Ἰουδαϊκὴν ἀγνωμοσύνην παρεληλύθασι, τὴν ὑπερβολὴν τῆς χρηστότητος ἐφόδιον εἰς βλασφημίαν (23) λαμβάνοντες; Ἐγκαλοῦσι γὰρ τῷ Πνεύματι, ὅτι παῤῥησίαν ἡμῖν δίδωσι καλεῖν πατέρα ἑαυτῶν τὸν Θεόν. *Ἐξαπέστειλε γὰρ ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον*, Ἀββᾶ *ὁ Πατὴρ*, ἵνα ᾖ ἐκείνου φωνὴ τῶν δεξαμένων ἰδία γένηται.

57. In nobis, inquiunt, Spiritus est tanquam donum a Deo. At donum nequaquam iisdem B honoribus afficitur, quibus is qui dedit. Donum quidem Dei Spiritus est, sed donum vitæ. *Lex enim*, inquit, *Spiritus vitæ liberavit nos* [64]. Et donum potentiæ : *Accipietis enim virtutem Spiritus sancti supervenientis in vos* [65]. Num igitur ob id contemnendus est? Annon et Filium dedit hominibus? *Qui*, inquit, *proprio Filio non pepercit, sed pro nobis omnibus tradidit illum, quomodo etiam non una cum eo omnia nobis donabit* [66]? Et alibi : *Ut sciamus quæ a Deo nobis donata sunt* [67], de mysterio assumpti hominis loquens. Itaque qui ista loquuntur, annon Judæorum ingratum animum amentiamque superant, qui scilicet excellentiam divinæ bonitatis vertant in occasionem blasphemiæ? Accusant enim C Spiritum, quod nobis dat fiduciam Deum appellandi patrem nostrum. *Emisit enim Deus Spiritum Filii sui in corda nostra clamantem, Abba, Pater* [68], ut illius vox propria fiat eorum qui ipsum acceperunt.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ὅτι τῇ « ἐν » συλλαβῇ ἀντὶ τῆς « σὺν (24) *» ἡ Γραφὴ κέχρηται· ἐν ᾧ καὶ ὅτι ἡ « καὶ » ἰσοδυναμεῖ τῇ « σύν. »*

49 CAPUT XXV.

Quod Scriptura hac syllaba « in » pro « cum » utatur : ubi etiam probatur « et » idem pollere quod « cum. »

58. Πῶς οὖν, φησὶν, ἡ Γραφὴ οὐδαμοῦ συνδοξαζόμενον Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα παρέδωκεν, ἀλλὰ πεφυλαγμένως ἐξέκλινε τὸ, *σὺν τῷ Πνεύματι*, εἰπεῖν; πανταχοῦ δὲ τὸ ἐν αὐτῷ δοξάζειν ὡς ἁρμοδιώτερον προετίμησεν; Ἐγὼ δὲ οὐδ' ἂν αὐτὸς φαίην ἀτιμοτέρας εἶναι διανοίας παραστατικὴν τὴν *ἐν* συλλαβὴν, ἀλλ' ὑγιῶς ἐκλαμβανομένην πρὸς τὸ μέγιστον ὕψος ἀνάγειν τὰς διανοίας· ὅπου γε καὶ ἀντὶ τῆς *σὺν* πολλαχοῦ κειμένην αὐτὴν τετηρήκαμεν. Ὡς τὸ, *Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλο-*

58. Qui fit igitur, inquiunt, ut Scriptura nusquam tradat Spiritum glorificari cum Patre et Filio, sed studiose vitet ne dicat, *cum Spiritu*, ac ubique malit glorificare in ipso, quasi hoc congruentius judicet? At ego nequaquam dixerim hanc D syllabam *in* exhibere sensum minus honorificum, imo potius, si sane accipiatur, ad maximam celsitudinem erigere mentem, quandoquidem observavimus hanc frequenter usurpari pro *cum*. Quod genus est illud, *Ingrediar domum tuam in holocau-*

[60] Joan. x, 27. [61] Joan. vi, 64. [62] Rom. viii, 10. [63] Joan. vi, 64. [64] Rom. viii, 2. [65] Act. i, 8. [66] Rom. viii, 32. [67] I Cor. ii, 12. [68] Galat. iv, 6.

(20) *Δικαιοσύνην*. Regius quartus δικαιοσύνης, per justitiam.

(21) *Αἰωνίων*. Sic mss. quinque. Editi οὐρανίων. Paulo post tres mss. ἐν ἡμῖν, φασί.

(22) *Ἠλευθέρωσεν ἡμᾶς*. Ita mss. quatuor. Habent alii duo ὑμᾶς. Editio Paris. ἠλευθέρωσέ με, Basil. ἠλευθέρωσέ σε. Ibidem editi Λήψεσθε γὰρ, φησί. Sed postrema vox deest in mss. Paulo post Regius tertius et Colb. χαρίζεται.

(23) *Εἰς βλασφημίαν*. Reg. tertius et Colbert. τῆς βλασφημίας.

(24) *Ἀντὶ τῆς σύν*. Quatuor codices ἀντὶ τῆς *καί*. Sed eos sequi hac in re non possumus, quia Basilius præpositionem *in*, idem valere probat ac, *cum*. Ibidem editi, ἐν ᾧ ὅτι, *καί*, ἰσοδυναμεῖ. Quatuor mss. ut in textu.

tomatibus [69] : pro his vocibus, *cum holocautomatibus. Et eduxit eos in argento et auro* [70], hoc est, *cum argento et auro*. Item illud, *Non egredieris in virtutibus nostris* [71], pro, *cum virtutibus nostris*, aliaque hujus generis innumerabilia. Omnino lubens ab ista nova sapientia didicero, qualem glorificationem Apostolus absolverit per hanc dictionem *in*, juxta formam quam isti nunc tanquam e Scriptura proferunt. Nusquam enim inveni dictum : Tibi Patri honor et gloria per unigenitum Filium tuum in Spiritu sancto : qui sermo nunc istis usitatior est ipsa, ut ita loquar, respiratione. Horum quidem singula separatim invenire licet, conjunctim vero posita in hac constructione nusquam poterunt ostendere. Itaque si exacte urgent ea quæ in Scripturis habentur, ostendant unde ista dicant. Quod si concedunt consuetudini, neque nos ab ea excludant.

59. Nos enim ambas dictiones in fidelium usu deprehendentes, ambabus utimur : gloriam quidem Spiritui ex æquo per utramque persolvi rati, eis vero qui depravant veritatem, credimus magis os obturari per eam præpositionem, quæ cum sensum in Scripturis similem habeat, non ita facile ab adversariis expugnari potest (est autem ipsa illa cui nunc ab istis contradicitur) utpote quæ pro *et* conjunctione sumatur. Nam idem est dicere, *Paulus et Silvanus, et Timotheus* [72], atque, Paulus cum Timotheo et Silvano. Nominum enim connexio, utraque pronuntiatione similiter servatur. Itaque si cum Dominus dixerit Patrem et Filium et sanctum Spiritum, ipse dicam, Patrem et Filium cum Spiritu sancto; aliudne, quod ad sententiæ vim attinet, dixero? Porro per conjunctionem *et* connecti nomina, multis testimoniis probari potest. *Gratia enim*, inquit, *Domini nostri Jesu Christi, et charitas Dei, et communic Spiritus sancti* [73]; ac rursus, *Obsecro autem vos per Dominum nostrum Jesum Christum, et per charitatem Spiritus* [74]. Itaque si **50** pro conjunctione *et* voluerimus uti præpositione *cum*, quid fecerimus diversi? Ego sane non video, nisi quis ob frigidas grammaticæ regulas conjunctionem tanquam copulativam, ac majorem unionem facientem præferens, præpositionem rejiciat, quasi non obtineat parem vim. Sed si de his a nobis ratio exposceretur, forte multis verbis non opus esset nobis ad respondendum.

A *καυτώμασιν*· ἀντὶ τοῦ, *μετὰ ὁλοκαυτωμάτων. Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ*, τουτέστι, *μετὰ ἀργυρίου καὶ χρυσίου*· καὶ τὸ, *Οὐκ ἐξελεύσῃ* (25) *ἐν ταῖς δυνάμεσιν ἡμῶν*, ἀντὶ τοῦ, *σὺν ταῖς δυνάμεσιν ἡμῶν*, καὶ μυρία τοιαῦτα. Ὅλως δὲ ἡδέως ἂν μάθοιμι παρὰ τῆς νέας σοφίας, ποίαν δοξολογίαν ὁ Ἀπόστολος διὰ τοῦ, *ἐν*, ῥήματος ἀπεπλήρωσε, κατὰ τὸν τύπον ὃν οὗτοι νῦν ὡς ἐκ τῆς Γραφῆς ἀναφέρουσιν. Οὐδαμοῦ γὰρ εὗρον λεγόμενον τὸ, Σοὶ τῷ Πατρὶ ἡ τιμὴ καὶ ἡ δόξα διὰ τοῦ μονογενοῦς σου Υἱοῦ ἐν τῷ ἁγίῳ Πνεύματι· ὅπερ τούτοις ἐστὶ νῦν καὶ αὐτῆς, ὡς εἰπεῖν, τῆς ἀναπνοῆς συνηθέστερον. Διεσπασμένως μὲν γὰρ τούτων ἕκαστον ἔστιν εὑρεῖν· συνημμένως δὲ ἐν τῇ συντάξει (26) ταύτῃ οὐδαμοῦ δεικνύειν ἕξουσιν. Ὥστε εἰ μὲν ἀκριβολογοῦνται περὶ τὰ ἔγγραφα, δειξάτωσαν πόθεν λέγουσιν· εἰ δὲ συγχωροῦσι τῇ συνηθείᾳ, μηδὲ ἡμᾶς ἐξειργέτωσαν. B

59. Ἡμεῖς γὰρ, ἀμφοτέρας ἐν τῇ τῶν πιστῶν χρήσει καταλαμβάνοντες (27) τὰς ῥήσεις, ἀμφοτέραις κεχρήμεθα· τὴν μὲν δόξαν τῷ Πνεύματι ὁμοίως ἀφ' ἑκατέρας πληροῦσθαι πεπιστευκότες, τοὺς δὲ κακουργοῦντας τὴν ἀλήθειαν ἐπιστομίζεσθαι μᾶλλον διὰ τῆς προκειμένης λέξεως, ἥτις, τὴν δύναμιν τῶν Γραφῶν παραπλησίαν ἔχουσα, οὐκέτι ἐστὶν ὁμοίως τοῖς ἐναντίοις εὐεπιχείρητος (ἔστι δὲ αὕτη ἡ ἀντιλεγομένη νῦν παρὰ τούτων) ἀντὶ τοῦ *καὶ* συνδέσμου παρειλημμένη. Ἴσον γάρ ἐστιν εἰπεῖν· *Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος*, καὶ, Παῦλος σὺν Τιμοθέῳ καὶ Σιλουανῷ. Ἡ γὰρ συμπλοκὴ τῶν ὀνομάτων δι' ἑκατέρας ὁμοίως τῆς ἐκφωνήσεως σώζεται. Εἰ τοίνυν, C τοῦ Κυρίου εἰπόντος Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, αὐτὸς εἴποιμι Πατέρα καὶ Υἱὸν σὺν τῷ ἁγίῳ Πνεύματι, ἄλλο τι (28) εἰρηκὼς κατὰ τὴν δύναμιν ἔσομαι; Τῆς δὲ διὰ τοῦ *καὶ* συνδέσμου συμπλοκῆς τῶν ὀνομάτων πολλὰ τὰ μαρτύρια. *Ἡ χάρις γὰρ*, φησὶ, *τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος*· καὶ πάλιν· *Παρακαλῶ δὲ ὑμᾶς* (29) *διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος*. Εἰ τοίνυν ἀντὶ τῆς *καὶ* τῇ *σὺν* ἐθελήσαιμεν χρήσασθαι, τί διάφορον πεποιηκότες ἐσόμεθα; Ἐγὼ μὲν οὐχ ὁρῶ, πλὴν εἰ μὴ ψυχραῖς γραμματικαῖς τις τὸν μὲν σύνδεσμον ὡς συμπλεκτικὸν καὶ πλείονα ποιοῦντα τὴν ἕνωσιν προτιμῷν, τὴν δὲ D πρόθεσιν, ὡς οὐκ ἔχουσαν τὴν ἴσην δύναμιν, ἀποπέμποιτο. Ἀλλ' εἴ γε περὶ τούτων τὰς εὐθύνας ὑπείχομεν, ἴσως οὐκ ἂν (30) πολλοῦ λόγου πρὸς τὴν

[69] Psal. LXV, 13. [70] Psal. CIV, 37. [71] Psal. XLIII, 10 [72] I Thess. I, 1. [73] II Cor. XIII, 13. [74] Rom. XV, 30.

(25) *Ἐξελεύσῃ*. Editi addunt ὁ Θεός, sed hæc nullo in veteri libro reperiuntur. Ibidem illud, ἀντὶ τοῦ... ἡμῶν, addidimus ex tribus libris antiquis.

(26) *Συντάξει*. Ita libri veteres. Editi τάξει.

(27) *Καταλαμβάνοντες*. Ita mss. quinque. Editi καταλαβόντες. Mox iidem editi ἐφ' ἑκατέρας. Sed mss. ut in textu. Non multo post Reg. secundus ὅτι τὴν δύναμιν.

(28) *Ἄλλο τι*. Editi οὐκ ἄλλο τι. Negatio deest in sex mss. et a typographis videtur addita, eo quod non adverterent interrogationis notam, quam hoc loco agnoscunt veteres libri.

(29) *Ὑμᾶς*. Editi addunt ἀδελφοί, quod in nostris mss. non reperitur. Paulo post editi ἐθελήσοιμεν. Mss. ut in textu. Subinde editio Paris. ψυχρὸς γραμματικός τις τὸν μὲν καὶ... τὴν δὲ σύν. Summo consensu vetusti codices et edit. Basil. utraque ut edendum curavimus, nisi quod in secunda legitur ψυχρὸς γραμματικός, unde error in Parisiensem, ut sæpe alias, fluxit.

(30) *Ἴσως οὐκ ἄν*. Sic ope quinque mss. emendavimus quod prave in editis legebatur τέως, οὐκ ἄν.

ἀπολογίαν ἐπεδείχθημεν. Νῦν δὲ οὐ περὶ συλλαβῶν, οὐδὲ περὶ τοιοῦδε ἢ τοιοῦδε φωνῆς ἤχου ὁ λόγος αὐτοῖς, ἀλλὰ περὶ πραγμάτων ἐν δυνάμει καὶ ἀληθείᾳ μεγίστην ἐχόντων διαφοράν. Ὧν ἕνεκεν, ἀπαρατηρήτου τῆς χρήσεως τῶν συλλαβῶν οὔσης, οὗτοι τὰς μὲν ἐγγράφειν, τὰς δὲ ἀποδιώκειν τῆς Ἐκκλησίας ἐπιχειροῦσιν. Ἐγὼ δὲ, εἰ καὶ ἐκ τῆς πρώτης ἀκοῆς ἐναργὲς ἔχει τὸ χρήσιμον, ἀλλ' οὖν καὶ τὸν (31) λόγον παρέξομαι καθ' ὃν οἱ πατέρες ἡμῶν οὐκ ἀργῶς συμπαρέλαβον τὴν χρῆσιν τῆς προθέσεως ταύτης. Πρὸς γὰρ τῷ τὸ τοῦ Σαβελλίου κακὸν ἰσοσθενῶς τῇ *καὶ* συλλαβῇ διελέγχειν, καὶ παραπλησίως ἐκείνῃ τὸ τῶν ὑποστάσεων ἴδιον παριστᾷν, ὡς τό· *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα*· καὶ τό· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*· ἐξαίρετον ἔχει τῆς ἀϊδίου κοινωνίας καὶ ἀπαύστου (32) συναφείας τὸ μαρτύριον. Ὁ γὰρ εἰπὼν σὺν τῷ Πατρὶ τὸν Υἱὸν εἶναι ὁμοῦ τήν τε τῶν ὑποστάσεων ἰδιότητα καὶ τὸ ἀχώριστον τῆς κοινωνίας ἔδειξεν. Ὅπερ καὶ ἐπὶ τῶν ἀνθρωπίνων ἔστιν ἰδεῖν (33)· ὁ μὲν *καὶ* σύνδεσμος τὸ κοινὸν τῆς ἐνεργείας παρίστησιν· ἡ δὲ *σὺν* πρόθεσις τὴν κοινωνίαν πως συνενδείκνυται. Οἷον, Ἔπλευσαν εἰς Μακεδονίαν Παῦλος καὶ Τιμόθεος· ἀλλὰ καὶ Τυχικὸς καὶ Ὀνήσιμος ἀπεστάλησαν Κολοσσαεῦσιν· ἐκ τούτων, ὅτι μὲν ταυτὸν ἐνήργησαν, μεμαθήκαμεν· ἐὰν δὲ ἀκούσωμεν, ὅτι συνέπλευσαν καὶ συναπεστάλησαν, ὅτι καὶ μετ' ἀλλήλων τὴν πρᾶξιν ἐπλήρωσαν προσεδιδάχθημεν. Οὕτω τὸ τοῦ Σαβελλίου κακὸν, ὡς οὐδεμία τῶν ἄλλων φωνῶν καταλύουσα, προστίθησιν ἐκείνοις (34) καὶ τοὺς κατὰ διάμετρον ἀσεβοῦντας. Λέγω δὴ τούτους οἳ χρονικοῖς διαστήμασι τοῦ μὲν Πατρὸς τὸν Υἱὸν, τοῦ δὲ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον διαιροῦσι.

60. Πρὸς δὲ τὴν *ἐν* συλλαβὴν ἐκεῖνο μάλιστα τὸ διάφορον ἔχει, ὅτι ἡ μὲν *σὺν* τὴν πρὸς ἀλλήλους συνάφειαν τῶν κοινωνούντων παρίστησιν, οἷον τῶν συμπλεόντων, ἢ συνοικούντων, ἢ ὁτιοῦν τῶν πάντων κοινῶς ἐκτελούντων· ἡ δὲ *ἐν* τὴν σχέσιν τὴν πρὸς τὸ ἐν ᾧ τυγχάνουσιν ἐνεργοῦντες δηλοῖ. *Ἐμπλέουσι* γὰρ καὶ *ἐνοικοῦσιν* ἀκούσαντες, τὸ σκάφος καὶ τὴν οἰκίαν εὐθὺς ἐννοήσαμεν. Κατὰ μὲν οὖν τὴν κοινὴν χρῆσιν, ἡ πρὸς ἀλλήλας αὐτῶν διαφορὰ τοιαύτη, καὶ ἐπὶ πλεῖον ἂν (35) εὑρεθείη παρὰ τῶν φιλοπόνων. Οὐ γὰρ ἐμοὶ σχολὴ τὰ περὶ τῶν συλλαβῶν ἐξετάζειν. Ἐπεὶ οὖν δέδεικται ἡ *σὺν* εὐσημότατα ἀποδιδοῦσα τῆς συναφείας τὴν ἔννοιαν, γενέσθω ὑμῖν ἔνσπονδος, εἰ δοκεῖ, καὶ παύσασθε τοῦ χαλεποῦ πρὸς αὐτὴν καὶ ἀκηρύκτου πολέμου. Ὅμως μέντοι οὕτως εὐσήμου (36)

A Nunc vero neque de syllabis, neque hoc aut illo dictionis sono disputant, sed de rebus juxta vim ac veritatem maximo inter se discrimine dissidentibus. Qua de causa, cum indifferens sit syllabarum usus, isti has quidem admittere, illas vero ab Ecclesia submovere moliuntur. Ego vero etsi primo statim auditu præpositio evidentem utilitatem habet, attamen etiam rationem reddam, juxta quam patres nostri non otiose illius quoque usum amplexi sint. Nam præterquam quod hæc idem valet quod *et*, ad refellendam Sabellii malitiam, similiterque atque illa conjunctio hypostaseon proprietatem declarat, velut, *Ego et Pater veniemus*[75], et: *Ego et Pater unum sumus*[76]; præterea eximium habet sempiternæ communionis ac perpetuæ conjunctionis testimonium. B Nam qui dixit, cum Patre Filium esse, simul et hypostaseon proprietatem et inseparabile consortium expressit. Quod idem etiam in rebus humanis videre est, in quibus *et* conjunctio declarat communem operationem: et præpositio *cum* quodammodo etiam significat communionem. Quod genus est, Navigarunt in Macedoniam Paulus et Timotheus, sed et Tychicus et Onesimus missi sunt Colossensibus: ex his discimus illos rem eamdem fecisse. Sed si audierimus, connavigarunt, et simul missi sunt, etiam illud addiscimus, alterum cum altero actionem absolvisse. Ita Sabellii errorem destruens hæc vox ut C non alia æque, addit illis et eos qui directe opposito impietatis genere insaniunt. De his loquor, qui temporalibus intervallis Filium a Patre, et Spiritum sanctum a Filio distrahunt.

60. Cæterum a syllaba *in* eo maxime differt, quod præpositio *cum* mutuam conjunctionem eorum qui communiter aliquid agunt exhibet, velut connavigantium, aut cohabitantium, aut quidvis aliud communiter perficientium: at præpositio *in* declarat relationem ad id in quo sunt operantes. Siquidem cum audimus, *innavigant*, aut *inhabitant*; protinus cogitamus scapham aut domum. Itaque juxta communem usum, harum syllabarum talis est inter ipsas differentia, majorque inveniri poterit a studiosis. Neque enim D mihi vacat de ratione syllabarum exquirere. Quoniam igitur demonstratum est præpositionem *cum* significantissime reddere conjunctionis intelligentiam, inducias a vobis, si videtur, impetret,

[75] Joan. XIV, 23. [76] Joan. X, 30.

(31) Ἀλλ' *οὖν καὶ τόν*. Ita Reg. secundus. Editi ὅμως καὶ τόν. Quatuor mss. minus accurate χρήσιμον, καὶ τόν.

(32) Ἀπαύστου. Sic dudum monuit Ducæus legendum esse ex uno veteri codice. Eadem scriptura in quatuor aliis mss. reperta. Editi ἀπ' αὐτοῦ.

(33) *Ἔστιν ἰδεῖν*. Hæ voces additæ ex Reg. secundo.

(34) *Ἐκείνοις*. Sic mss. codices et prima Basileensis editio, pro eo quod erat in edit. Paris. et Basil. secunda ἐκείνῳ.

(35) *Ἐπὶ πλεῖον ἄν*. Ita mss. tres. Alius ἔτι πλέον. Editi εἴ τι πλέον εὑρεθείη.

(36) *Εὐσήμου*. Quamvis hæc scriptura ex uno tantum eruta sit codice ms., eam tamen prætulimus vulgatæ εὐφήμου, *boni ominis*, ut vertit Erasmus. Non hic agitur quam boni ominis sit illa vox, sed quam apta ad significandum. Hinc paulo ante dicebat Basilius eam *significantissime reddere conjunctionis intelligentiam*. Ibidem male in duobus mss. τῆς, *ἐν*, φωνῆς. Non enim de præpositione *in*, loquitur Basilius, sed de præpositione *cum*.

ac desistite atrox et implacabile bellum cum illa gerere. Sed tamen quamvis hæc vox tam 51 apta sit ad significandum, si cui cordi fuerit in glorificationibus per syllabam *et* nomina connectere et glorificare, quemadmodum in Evangeliis, ubi de baptismate, didicimus, Patrem et Filium et Spiritum sanctum; etiam ita fiat, nemo contradicturus est. Hac conditione, si videtur, inter nos consentiamus. Sed isti citius abjecerint linguas, quam hanc vocem recipiant. Hoc igitur est, quod nobis acerrimum ac irreconciliabile bellum excitat. In Spiritu sancto, inquiunt, danda est gloria Deo, non autem et Spiritui: atque acerrime huic voci tanquam Spiritum deprimenti adhærescunt. De qua non inutile fuerit prolixius dicere. Quæ cum audierint isti, demirabor, si non eam ut proditricem et ad Spiritus gloriam ultro transfugam repudiabunt.

A τῆς φωνῆς ὑπαρχούσης, εἴ τῳ φίλον ἐν δοξολογίαις (37) τῇ *καὶ* συλλαβῇ συνδεῖν τὰ ὀνόματα καὶ δοξάζειν, ὡς ἐν Εὐαγγελίοις ἐπὶ τοῦ βαπτίσματος μεμαθήκαμεν, Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα· καὶ οὕτω γινέσθω, οὐδεὶς ἀντερεῖ. Ἐπὶ τούτοις, εἰ δοκεῖ, καταθώμεθα. Ἀλλὰ τὰς γλώσσας ἂν πρόοιντο μᾶλλον, ἢ τὴν φωνὴν ταύτην δέξαιντο. Τοῦτο μὲν οὖν ἐστιν, ὃ τὸν ἀκήρυκτον ἡμῖν καὶ ἄσπονδον πόλεμον ἐπεγείρει. Ἐν τῷ Πνεύματι, φησὶ, τῷ ἁγίῳ τὴν δοξολογίαν ἀποδοτέον τῷ Θεῷ, οὐχὶ δὲ καὶ τῷ Πνεύματι· καὶ ἐκθυμότατα τῆς φωνῆς ταύτης ὡς ταπεινωτικῆς (38) τοῦ Πνεύματος περιέχονται. Περὶ ἧς οὐκ ἄχρηστον καὶ διὰ μακροτέρων εἰπεῖν. Ὧν ἀκούσαντες οὗτοι, θαυμάσαιμεν ἂν, εἰ μὴ ὡς προδότιν αὐτὴν, καὶ πρὸς τὴν τοῦ Πνεύματος δόξαν αὐτομολοῦσαν ἀποκηρύ- B ξωσιν.

CAPUT XXVI.

Quot modis dicitur « in, » totidem modis de Spiritu accipi.

61. Mihi igitur consideranti videtur, etsi simplex ac brevis est hujus syllabæ pronuntiatio, multa et varia per eam significari. Quot enim modis dicitur *in*, totidem modis invenimus eam syllabam conceptibus de Spiritu subservire. Nam forma dicitur esse in materia, et potentia in eo quod ejus capax est, et habitus in eo qui secundum illum affectus est, aliaque hujus generis multa. Itaque quatenus Spiritus sanctus vim habet perficiendi creaturam rationalem, absolvens illius fastigium, formæ rationem obtinet. Nam qui jam non vivit secundum carnem, sed Spiritu Dei agitur, ac Filius Dei nominatur, et conformis imagini Filii Dei factus est, spiritualis dicitur. Et sicut cernendi vis est in oculo sano, sic operatio Spiritus in anima purgata. Eoque Paulus optat Ephesiis, ut oculos habeant illuminatos in Spiritu sapientiæ[77]. Et quemadmodum ars est in eo qui illam adeptus est, ita gratia Spiritus in eo qui recepit eam, semper quidem præsens, at non perpetuo operans. Nam et ars potentia quidem est in artifice; actu vero tum, cum secundum illam operatur: itidem Spiritus semper quidem adest dignis, sed operatur prout opus est, aut in prophetiis, aut in sanationibus, aut in aliis miraculorum operationibus. Præterea sicut in corporibus est sanitas, aut calor, aut in genere affectiones facile mobiles; sic et in anima frequenter est Spiritus, in iis qui propter mentis stabilitatem facile gratiam acceptam expellunt,

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

Ὅτι ὁσαχῶς λέγεται τὸ « ἐν, » τοσαυταχῶς καὶ ἐπὶ τοῦ Πνεύματος λαμβάνεται.

61. Ἐμοὶ τοίνυν σκοπουμένῳ δοκεῖ, ἁπλῆς καὶ συντόμου τῆς ἐκφωνήσεως οὔσης, πολλὰ καὶ ποικίλα εἶναι τὰ δι' αὐτῆς σημαινόμενα. Ὁσαχῶς γὰρ λέγεται τὸ *ἐν*, τοσαυταχῶς εὑρίσκομεν ταῖς περὶ τοῦ Πνεύματος ἐννοίαις ὑπηρετούμενον. Λέγεται μὲν οὖν τὸ εἶδος ἐν τῇ ὕλῃ εἶναι, καὶ ἡ δύναμις ἐν τῷ δεκτικῷ, καὶ ἡ ἕξις ἐν τῷ κατ' αὐτὴν διακειμένῳ, καὶ πολλὰ τοιαῦτα. Οὐκοῦν, καθὸ μὲν τελειωτικὸν τὸ C ἅγιον Πνεῦμα τῶν λογικῶν, ἀπαρτίζον αὐτῶν τὴν ἀκρότητα, τὸν τοῦ εἴδους λόγον ἐπέχει. Ὁ γὰρ μηκέτι κατὰ σάρκα ζῶν, ἀλλὰ Πνεύματι Θεοῦ ἀγόμενος, καὶ υἱὸς Θεοῦ χρηματίζων, καὶ σύμμορφος τῆς εἰκόνος τοῦ Υἱοῦ τοῦ Θεοῦ γενόμενος, πνευματικὸς ὀνομάζεται. Καὶ ὡς ἡ δύναμις τοῦ ὁρᾷν ἐν τῷ ὑγιαίνοντι ὀφθαλμῷ, οὕτως ἡ ἐνέργεια τοῦ Πνεύματος ἐν τῇ κεκαθαρμένῃ ψυχῇ. Διὸ καὶ Παῦλος εὔχεται Ἐφεσίοις, πεφωτισμένους ὀφθαλμοὺς αὐτῶν εἶναι ἐν τῷ Πνεύματι τῆς σοφίας. Καὶ ὡς ἡ τέχνη ἐν τῷ ἀναλαβόντι αὐτὴν, οὕτως ἡ χάρις τοῦ Πνεύματος ἐν τῷ ὑποδεξαμένῳ, ἀεὶ μὲν συμπαροῦσα, οὐχὶ δὲ καὶ ἐνεργοῦσα διηνεκῶς. Ἐπεὶ καὶ ἡ τέχνη δυνάμει μὲν ἐν τῷ τεχνίτῃ ἐστίν· ἐνεργείᾳ δὲ τότε, ὅταν κατ' αὐτὴν ἐνεργῇ. Οὕτω καὶ τὸ Πνεῦμα ἀεὶ μὲν συμπάρεστι D τοῖς ἀξίοις, ἐνεργεῖ δὲ κατὰ τὴν χρείαν, ἢ ἐν προφητείαις, ἢ ἐν ἰάμασιν, ἢ ἐν ἄλλοις τισὶ δυνάμεων ἐνεργήμασιν. Ἔτι ὡς ἐν σώμασιν ὑγίεια, ἢ θερμότης, ἢ ὅλως αἱ εὐκίνητοι διαθέσεις· οὕτω καὶ ἐν ψυχῇ πολλάκις ὑπάρχει τὸ Πνεῦμα, τοῖς διὰ τὸ τῆς γνώμης ἀνίδρυτον εὐκόλως, ἣν ἐδέξαντο χάριν ἀπωθουμένοις, μὴ παραμένον (39), οἷος ἦν ὁ Σαοὺλ, καὶ

[77] Ephes. I, 17, 18.

(37) *Ἐν δοξολογίαις*. Sic ope veterum codicum emendavimus quod prave in editis legebatur ἐνδοξολογῆσαι. Non multo post Regius secundus τὴν δόξαν ἀποδοτέον.

(38) *Ταπεινωτικῆς*. Sic veteres libri pro eo quod erat in editis ταπεινῆς. Mox editi θαυμάσαιμ' ἄν. Reg. secundus ut in textu.

(39) *Μὴ παραμένον*. Hæc addidimus ex Regio secundo, ac prorsus necessaria sunt ad Basilii sensum.

αἱ ἑβδομήκοντα πρεσβύτεροι τῶν υἱῶν Ἰσραὴλ, πλὴν τοῦ Ἐλδὰδ καὶ Μωδὰδ (τούτοις γὰρ μόνοις ἐκ πάντων φαίνεται παραμεῖναν τὸ Πνεῦμα), καὶ ὅλως εἴ τις τούτοις τὴν προαίρεσιν παραπλήσιος. Καὶ ὡς ὁ λόγος δὲ ἐν ψυχῇ, ποτὲ μὲν ὡς τὸ ἐγκάρδιον (40) νόημα, ποτὲ δὲ ὡς ὁ προφερόμενος διὰ γλώσσης, οὕτω τὸ Πνεῦμα τὸ ἅγιον· νῦν μὲν ὅταν συμμαρτυρῇ τῷ Πνεύματι, καὶ ὅταν κράζῃ ἐν ταῖς καρδίαις ἡμῶν· *Ἀββᾶ ὁ Πατήρ*· νῦν δὲ ὅταν λαλῇ ὑπὲρ ἡμῶν, κατὰ τὸ εἰρημένον, ὅτι *Οὐχ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς τὸ λαλοῦν ἐν ὑμῖν.* Ἤδη δὲ καὶ ὡς ὅλον ἐν μέρεσι, νοεῖται τὸ Πνεῦμα κατὰ τὴν τῶν χαρισμάτων διανομήν. Πάντες γὰρ ἀλλήλων ἐσμὲν μέλη, ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν ἡμῖν διάφορα. Διὰ τοῦτο *Οὐ δύναται ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, Χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί, Χρείαν ὑμῶν οὐκ ἔχω.* Ἀλλὰ πάντα μὲν ὁμοῦ συμπληροῖ τὸ σῶμα τοῦ Χριστοῦ ἐν τῇ ἑνότητι τοῦ Πνεύματος· ἀλλήλοις δὲ ἀναγκαίαν τὴν ἐκ τῶν χαρισμάτων ἀντιδίδωσιν ὠφέλειαν. Ὁ μὲν γὰρ Θεὸς ἔθετο τὰ μέλη ἐν τῷ σώματι, ἓν ἕκαστον αὐτῶν καθὼς ἠθέλησε. Τὰ μέντοι μέλη τὸ αὐτὸ μεριμνῶσιν ὑπὲρ ἀλλήλων, κατὰ τὴν πνευματικὴν κοινωνίαν τῆς συμπαθείας αὐτοῖς ὑπαρχούσης. Διόπερ *Εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη.* Καὶ ὡς μέρη δὲ ἐν ὅλῳ, οἱ καθ' ἕνα ἐσμὲν ἐν τῷ Πνεύματι· ὅτι οἱ πάντες ἐν ἑνὶ σώματι, εἰς ἓν Πνεῦμα ἐβαπτίσθημεν.

62. Ὃ δὲ παράδοξον μὲν εἰπεῖν, ἀληθὲς δὲ οὐδενὸς ἔλαττον (41), ὅτι καὶ ὡς χώρα τῶν ἁγιαζομένων πολλάκις τὸ Πνεῦμα λέγεται. Καὶ φανήσεται οὐδὲ οὗτος ὁ τρόπος (42) κατασμικρύνων τὸ Πνεῦμα, ἀλλὰ μᾶλλον δοξάζων. Τὰ γάρ τοι σωματικὰ τῶν ὀνομάτων καὶ ἐπὶ τὰς πνευματικὰς ἐννοίας ἐναργείας ἕνεκεν πολλάκις ὁ λόγος μετακομίζει. Τετηρήκαμεν οὖν καὶ ἐπὶ τοῦ Θεοῦ τὸν Ψαλμῳδὸν λέγοντα· *Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με.* Περὶ δὲ τοῦ Πνεύματος, *Ἰδοὺ τόπος*, φησί, *παρ' ἐμοί, καὶ στῆθι ἐπὶ τῆς πέτρας*· τί ἄλλο λέγων τὸν τόπον ἢ τὴν ἐν Πνεύματι θεωρίαν, ἐν ᾗ γενόμενος, ἐδύνατο ἰδεῖν γνωστῶς ἐμφανιζόμενον αὐτῷ τὸν Θεὸν ὁ Μωϋσῆς; Οὗτός ἐστιν ὁ τόπος ὁ τῆς ἀληθινῆς λατρείας ἴδιος (43). *Πρόσεχε γάρ*, φησί, *μὴ ἀνενέγκῃς τὰ ὁλοκαυτώματά σου ἐν παντὶ τόπῳ, ἀλλ' ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου.* Ποῖον οὖν ἐστιν ὁλοκαύτωμα πνευματικόν; Ἡ θυσία τῆς αἰνέσεως. Ἐν ποίῳ δὲ

A nequaquam permanens: qualis erat Saul, et septuaginta seniores filiorum Israel, præter Eldad et Modad [78] (nam apud hos solos ex omnibus Spiritum mansisse apparet), et in genere, si quis est istis animi proposito consimilis. Item quemadmodum verbum est in animo, interdum ut in corde cogitatum, interdum ut lingua prolatum: sic et Spiritus sanctus, vel **52** cum testimonium præbet spiritui nostro, et clamat in cordibus nostris, *Abba, Pater* [79], vel cum loquitur pro nobis, juxta id quod dictum est, *Non vos estis qui loquimini, sed Spiritus Patris, qui loquitur in vobis* [80]. Jam vero et ut totum in partibus, Spiritus intelligitur juxta donorum distributionem. B Omnes enim invicem sumus membra, sed habentes dona secundum Dei gratiam nobis datam diversa. Ea propter *Non potest dicere oculus manui: Non opus habeo te; aut rursus caput pedibus: Non est mihi vobis opus* [81]. Sed omnia quidem simul complent corpus Christi in unitate Spiritus; necessariam autem utilitatem sibi invicem reddunt ex donis. Deus enim posuit membra in corpore, unumquodque illorum ut voluit. Membra autem eamdem habent pro se mutuo sollicitudinem, juxta spiritualem mutuæ affectionis ipsis insitæ communionem. Eoque *Sive patitur unum membrum, una cum eo patiuntur omnia membra: sive glorificatur unum membrum, simul gaudent omnia membra* [82]. Rursus quemad- C modum partes sunt in toto, ita singuli sumus in Spiritu, eo quod omnes in uno corpore in unum Spiritum baptizati sumus.

62. Porro quod mirum dictu videbitur, nihilo tamen minus verum est; etiam veluti locus eorum qui sanctificantur, sæpenumero dicitur Spiritus. Et constabit ne hoc quidem loquendi genere diminui Spiritum, sed glorificari potius. Nam nomina corporalia etiam ad spirituales intelligentias, evidentiæ gratia, frequenter Scriptura transfert. Observavimus igitur et Psalmodum de Deo loquentem, *Esto mihi in Deum protectorem, et in locum munitum, ut salvum me facias* [83]. De Spiritu vero, *Ecce locus*, inquit, *apud me, et sta super petram* [84]: quid aliud appellans lo- D cum, nisi visionem in Spiritu, in qua cum esset Moyses, potuit videre Deum evidenter ipsi apparentem? Hic est locus veræ adorationis proprius. *Attende enim*, inquit, *ne offeras holocautomata tua in quovis loco, sed in loco quemcunque elegerit Dominus Deus tuus* [85]. Quod igitur est holocautoma spirituale? Sacrificium laudis [86].

[78] Num. XI, 25, 26. [79] Rom. VIII, 16, 15. [80] Matth. X, 20. [81] I Cor. XII, 21. [82] ibid. 26. [83] Psal. XXX, 3. [84] Exod. XXXIII, 21. [85] Deut. XII, 13. [86] Psal. XLIX, 14.

(40) *Ἐγκάρδιον*. Ita mss. codices. Editi ἐν καρδίᾳ. Mox editi addunt ἡμῶν post Πνεύματι, quæ vox deest in omnibus nostris mss. nec necessaria videtur, cum paulo post repetatur.

(41) *Οὐδενὸς ἔλαττον*. Duo codices οὐδὲν ἔλαττον.

(42) *Ὁ τρόπος*. Sic mss. sex. Editi ὁ λόγος. Mox editi τὰ μέντοι, et paulo post ἐνεργείας ἕνεκεν. Mss. ut in textu.

(43) *Ἴδιος*. Editio Basileensis ἀΐδιος, quod recte emendatum in Parisiensi. Mox editi μὴ ἐνέγκῃς τὸ ὁλοκαύτωμα, et ἐν τῷ τόπῳ, τῷ ἐάν. Codices mss. ut in textu.

Quo in loco hoc offeremus, nisi in Spiritu sancto? Ubi hoc didicimus? Ab ipso Domino dicente, *Veri adoratores adorabunt Patrem in Spiritu et veritate* [87]. Hunc locum cum vidisset Jacob dixit: *Dominus est in loco hoc* [88]. Itaque Spiritus vere locus est sanctorum. Sanctus itidem, locus est Spiritui proprius, ac præbet seipsum ut inhabitet cum Deo, ac templum illius vocatur. Sicut enim in Christo loquitur Paulus, *Coram Deo*, inquit, *in Christo loquimur* [89]: et Christus in Paulo, velut ipse ait, *An experimentum quæritis qui loquitur in me Christi* [90]? sic et in Spiritu loquitur mysteria, ac Spiritus rursum loquitur in eo.

63. In rebus ergo conditis ad hunc modum multifariam variisque rationibus dicitur Spiritus
53 inesse: verum magis pium est dicere, eum esse cum Patre et Filio, quam illis inesse. Nam gratia ab eo manans, habitante in iis qui digni sunt, ac suas operationes in illis exercente, recte dicitur inesse iis qui sunt illius capaces. At illius subsistentia quæ fuit ante sæcula, ac perpetuitas nunquam desitura cum Filio et Patre considerata, sempiternæ conjunctionis requirit appellationes. Nam *coesse* proprie ac vere dicitur de iis, quæ sibi invicem inseparabiliter adsunt. Nam calorem ferro quidem ignito inesse dicimus: at una simul cum ipso igne esse. Item corpori sanitatem inesse dicimus, vitam autem simul cum anima esse. Quare ubi propria et connaturalis atque inseparabilis communio est, hæc vox *cum* significantior est, ut quæ inseparabilis conjunctionis cogitationem suggerat intellectui. Ubi autem gratia ab ipso proficiscens, accedere ac rursus decedere potest, proprie et vere inesse dicitur; etiamsi illius gratia in iis qui receperunt, sæpenumero propter affectus in bono perseverantiam perpetua permaneat. Proinde quoties propriam Spiritus dignitatem intelligimus, cum Patre et Filio ipsum contemplamur: ubi vero gratiam in eos, qui illius sunt participes, operantem reputamus, in nobis esse Spiritum dicimus. Et quæ a nobis defertur glorificatio in Spiritu, non habet professionem dignitatis illius, sed nostræ ipsorum imbecillitatis confessionem, dum ostendimus nos ex nobis ipsis ad glorificandum sufficientes non esse, sed sufficientiam nostram esse in Spiritu sancto, in quo corroborati, pro beneficiis acceptis Deo nostro gratias absolvimus: juxta quod a malitia purgati sumus; quippe alius alio plus aut minus, auxilio Spiritus adjuti ad offerendum

A τόπῳ ταύτην προσφέρομεν, ἢ (44) ἐν τῷ Πνεύματι τῷ ἁγίῳ; Ποῦ τοῦτο μεμαθήκαμεν; Παρ' αὐτοῦ τοῦ Κυρίου λέγοντος, ὅτι *Οἱ ἀληθινοὶ προσκυνηταὶ ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκυνήσουσι τῷ Πατρί*. Τοῦτον τὸν τόπον ἰδὼν ὁ Ἰακὼβ, ἔφη, ὅτι *Κύριος ἐν τῷ τόπῳ τούτῳ*. Ὥστε τὸ Πνεῦμα τόπος ἀληθῶς τῶν ἁγίων. Καὶ ὁ ἅγιος τόπος οἰκεῖος (45) τῷ Πνεύματι ἐμπαρέχων ἑαυτὸν πρὸς ἐνοίκησιν τὴν μετὰ Θεοῦ, καὶ ναὸς αὐτοῦ χρηματίζων. Ὡς γὰρ ἐν Χριστῷ λαλεῖ Παῦλος· *Κατενώπιον γὰρ*, φησὶ, *Θεοῦ ἐν Χριστῷ λαλοῦμεν*· καὶ Χριστὸς ἐν Παύλῳ, ὡς αὐτὸς λέγει· *Ἢ δοκιμὴν* (46) *ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ*; οὕτω καὶ ἐν Πνεύματι λαλεῖ τὰ μυστήρια, καὶ τὸ Πνεῦμα πάλιν λαλεῖ ἐν αὐτῷ.

63. Ἐν μὲν οὖν τοῖς γεννητοῖς (47) οὕτω πολυμερῶς
B καὶ πολυτρόπως ἐνεῖναι λέγεται τὸ Πνεῦμα· Πατρὶ δὲ καὶ Υἱῷ οὐχὶ ἐνεῖναι μᾶλλον, ἀλλὰ συνεῖναι εἰπεῖν εὐσεβέστερον. Ἡ μὲν γὰρ παρ' αὐτοῦ χάρις οἰκοῦντος ἐν τοῖς ἀξίοις, καὶ ἐνεργοῦντος τὰ ἑαυτοῦ, καλῶς ἐνυπάρχειν τοῖς δεκτικοῖς αὐτοῦ λέγεται· ἡ δὲ προαιώνιος ὕπαρξις, καὶ ἄπαυστος διαμονὴ, μεθ' Υἱοῦ καὶ Πατρὸς θεωρουμένη, τὰς τῆς ἀϊδίου συναφείας (48) προσηγορίας ἐπιζητεῖ. Τὸ γὰρ κυρίως καὶ ἀληθῶς *συνυπάρχειν* ἐπὶ τῶν ἀχωρίστως ἀλλήλοις συνόντων λέγεται. Τὴν γὰρ θερμότητα τῷ μὲν πυρακτωθέντι σιδήρῳ ἐνυπάρχειν φαμέν· αὐτῷ δὲ τῷ πυρὶ συνυπάρχειν. Καὶ τὴν μὲν ὑγίειαν τῷ σώματι ἐνυπάρχειν, τὴν δὲ ζωὴν τῇ ψυχῇ συνυπάρχειν. Ὥστε ὅπου μὲν οἰκεία καὶ συμφυὴς καὶ ἀχώριστος ἡ κοινωνία, σημαντικωτέρα φωνὴ ἡ *σὺν* (49), τῆς ἀχω-
C ρίστου κοινωνίας τὴν διάνοιαν ὑποβάλλουσα· ὅπου δὲ προσγίνεσθαι ἡ ἀπ' αὐτοῦ χάρις καὶ πάλιν ἀπογίνεσθαι πέφυκεν, οἰκείως καὶ ἀληθῶς τὸ ἐνυπάρχειν λέγεται, κἂν τοῖς δεξαμένοις πολλάκις διὰ τὸ ἑδραῖον τῆς περὶ τὸ καλὸν διαθέσεως ἡ ἀπ' αὐτοῦ χάρις διαρκὴς παραμένῃ. Ὥστε ὅταν μὲν τὴν οἰκείαν ἀξίαν τοῦ Πνεύματος ἐννοῶμεν, μετὰ Πατρὸς καὶ Υἱοῦ αὐτὸ θεωροῦμεν· ὅταν δὲ τὴν εἰς τοὺς μετόχους ἐνεργουμένην χάριν ἐνθυμηθῶμεν, ἐν ἡμῖν εἶναι τὸ Πνεῦμα λέγομεν. Καὶ ἥ γε προσαγομένη δοξολογία παρ' ἡμῶν ἐν τῷ Πνεύματι οὐχὶ τῆς ἐκείνου ἀξίας ὁμολογίαν ἔχει, ἀλλὰ τῆς ἡμετέρας αὐτῶν ἀσθενείας ἐξομολόγησιν· δεικνύντων, ὅτι οὔτε δοξάσαι ἀφ' ἑαυτῶν ἱκανοί ἐσμεν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐν τῷ Πνεύματι τῷ ἁγίῳ, ἐν ᾧ δυναμωθέντες, τὴν ὑπὲρ ὧν εὐηργε-
D τήθημεν, τῷ Θεῷ ἡμῶν εὐχαριστίαν ἀποπληροῦμεν· κατὰ τὸ μέτρον τῆς ἀπὸ κακίας καθαρότητος, ἕτερος ἑτέρου (50) πλέον ἢ ἔλαττον τῆς ἐκ τοῦ Πνεύματος βοηθείας μεταλαμβάνοντες, εἰς τὸ προσφέρειν τὰς θυσίας τῆς αἰνέσεως τῷ Θεῷ. Καθ' ἕνα μὲν οὖν τρό-

[87] Joan. IV, 23. [88] Gen. XXVIII, 16. [89] II Cor. II, 17. [90] II Cor. XIII, 3.

(44) *Προσφέρομεν ἤ*. Vocula addita ex quatuor mss.

(45) *Τόπος οἰκεῖος*. Pro his vocibus, quæ in nostris sex codicibus leguntur, habebant editi καὶ οἶκος.

(46) *Ἢ δοκιμήν*. Ita mss. quinque. Editi εἰ δοκιμήν.

(47) *Γεννητοῖς*. Sic mss. codices. Editi γενητοῖς. Sed discrimen illud parvi momenti.

(48) *Ἀϊδίου συναφείας*. Editi ἀϊδίου δυνάμεως καὶ συναφείας. Quod erratum ope veterum codicum sustulimus.

(49) *Φωνὴ ἡ σύν*. Postrema vocula ex Regio secundo addita.

(50) *Ἕτερος ἑτέρου*. Editi Ἕτερος γὰρ ἑτέρου... μεταλαμβάνομεν, quod auctoritate veterum codicum freti mutavimus.

πον οὕτως εὐσεβῶς ἐν Πνεύματι τὴν εὐχαριστίαν ἀποπληροῦμεν. Καίτοι καὶ τοῦτο οὐκ ἀβαρὲς, αὐτόν τινα ἑαυτῷ μαρτυρεῖν, ὅτι Πνεῦμα Θεοῦ ἐν ἐμοὶ, καὶ διὰ τῆς ἀπ' αὐτοῦ χάριτος σοφισθεὶς ἀναφέρω τὴν δόξαν. Παύλῳ γὰρ πρέπουσα ἡ φωνή· *Δοκῶ γὰρ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν·* καὶ πάλιν· *Τὴν καλὴν παρακαταθήκην φύλαξον διὰ Πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν·* καὶ περὶ τοῦ Δανιήλ· ὅτι Πνεῦμα Θεοῦ ἅγιον ἐν αὐτῷ· καὶ εἴ τις ἐκείνοις τὴν ἀρετὴν παραπλήσιος.

A hostias laudis Deo. Secundum unum igitur modum sic pie gratiarum actionem in Spiritu persolvimus. Quanquam et hoc invidia non caret, ut aliquis de seipso testificetur, dicatque : Spiritus Dei in me est, et per gratiam illius sapiens factus refero gloriam. Nam hæc vox Paulum decet : *Videor et mihi Spiritum Dei habere* [91] ; et rursus, *Egregium depositum serva per Spiritum sanctum qui habitat in nobis* [92]. Item de Daniele legimus [93], quod Spiritus Dei sanctus fuerit in eo; et si quis illis assimilis sit virtute.

64. Δεύτερος δὲ νοῦς, οὐδὲ αὐτὸς ἀπόβλητος· ὅτι ὥσπερ ἐν τῷ Υἱῷ ὁρᾶται ὁ Πατὴρ, οὕτως ὁ Υἱὸς ἐν τῷ Πνεύματι. Ἡ τοίνυν ἐν τῷ Πνεύματι προσκύνησις τὴν ὡς ἐν φωτὶ γινομένην τῆς διανοίας ἡμῶν ἐνέργειαν ὑποβάλλει, ὡς ἐκ τῶν πρὸς τὴν Σαμαρεῖτιν εἰρημένων ἂν μάθοις. Ἐν τόπῳ γὰρ εἶναι τὴν προσκύνησιν ἐκ τῆς ἐγχωρίου συνηθείας ἠπατημένην ὁ Κύριος ἡμῶν μεταδιδάσκων, ἐν Πνεύματι καὶ ἀληθείᾳ χρῆναι προσκυνεῖν ἔφησεν, ἑαυτὸν λέγων δηλαδὴ τὴν ἀλήθειαν. Ὥσπερ οὖν ἐν τῷ Υἱῷ προσκύνησιν λέγομεν, τὴν ὡς ἐν εἰκόνι τοῦ Θεοῦ καὶ Πατρὸς, οὕτω καὶ ἐν τῷ Πνεύματι, ὡς ἐν ἑαυτῷ δεικνύντι τὴν τοῦ Κυρίου θεότητα. Διὸ καὶ ἐν τῇ προσκυνήσει ἀχώριστον ἀπὸ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Ἔξω μὲν γὰρ ὑπάρχων αὐτοῦ, οὐδὲ προσκυνήσεις τὸ παράπαν· ἐν αὐτῷ δὲ γενόμενος οὐδενὶ τρόπῳ (51) ἀποχωρίσεις ἀπὸ Θεοῦ· οὐ μᾶλλόν γε, ἢ τῶν ὁρατῶν ἀποστήσεις τὸ φῶς· ἀδύνατον γὰρ ἰδεῖν τὴν εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου, μὴ ἐν τῷ φωτισμῷ τοῦ Πνεύματος. Καὶ τὸν ἐνατενίζοντα τῇ εἰκόνι ἀμήχανον τῆς εἰκόνος ἀποχωρίσαι τὸ φῶς. Τὸ γὰρ τοῦ ὁρᾷν αἴτιον ἐξ ἀνάγκης συγκαθορᾶται τοῖς ὁρατοῖς. Ὥστε οἰκείως καὶ ἀκολούθως διὰ μὲν τοῦ φωτισμοῦ τοῦ Πνεύματος τὸ ἀπαύγασμα τῆς δόξης τοῦ Θεοῦ καθορῶμεν· διὰ δὲ τοῦ χαρακτῆρος ἐπὶ τὴν οὗ ἐστιν ὁ χαρακτὴρ καὶ ἡ ἰσότυπος σφραγὶς ἀναγόμεθα.

64. Alter autem intellectus est, nec ipse rejiciendus, quod sicut in Filio cernitur Pater, sic Filius cernitur in Spiritu. Itaque adoratio quæ sit in Spiritu, mentis nostræ operationem ut in luce B factam indicat, ut discere licet ex iis quæ Samaritanæ dicta sunt. Nam cum illa consuetudine regionis decepta existimaret in loco esse adorationem; Dominus eam dedocens dixit in Spiritu et veritate adorare oportere [94] : nimirum seipsum appellans veritatem. Quemadmodum igitur in Filio dicimus adorationem, velut in imagine Dei ac Patris : sic et in Spiritu tanquam in seipso Domini divinitatem exprimente. Unde et in adoratione inseparabilis est a Patre et Filio Spiritus sanctus. Nam si sis extra illum, nullo pacto es adoraturus : contra, si **54** in illo fueris, nullo modo eum separabis a Deo, nihilo profecto magis quam lumen separabis ab iis quæ visui patent : impossibile siquidem est C cernere imaginem Dei invisibilis, nisi in lumine Spiritus. Et qui intuetur imaginem, hunc impossibile est lumen ab imagine separare. Quod enim ut videas in causa est, id necesse est, ut simul cum iis quæ cernuntur, videatur. Itaque proprie et congruenter per illuminationem Spiritus conspicimus splendorem gloriæ Dei; per characterem autem ad eum, cujus est character et æquale sigillum, subvehimur.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Πόθεν ἡ « σὺν » ἤρξατο συλλαβὴ, καὶ ποίαν δύναμιν ἔχει, ἐν ᾧ καὶ τὰ περὶ τῶν ἀγράφων τῆς Ἐκκλησίας νομίμων.]

CAPUT XXVII.

Unde initium habet syllaba, «cum,» et quam vim habeat, ubi et de Ecclesiæ legibus nullo scripto proditis.

65. Τίνος οὖν ἕνεκεν, φασὶν, ἰδίως προσηκούσης τῷ Πνεύματι τῆς *ἐν* συλλαβῆς, καὶ εἰς πᾶσαν ἡμῖν τὴν περὶ αὐτοῦ ἔννοιαν ἐξαρκούσης, τὴν καινὴν ταύτην ὑμεῖς συλλαβὴν ἐπεισηγάγετε, *σὺν τῷ* (52) *Πνεύματι* λέγοντες, καὶ οὐχ, *ἐν τῷ Πνεύματι τῷ ἁγίῳ*, οὔτε ἄλλως ἀναγκαῖα, οὔτε νενομισμένα ταῖς Ἐκκλησίαις φθεγγόμενοι; Ὡς μὲν οὖν οὐχὶ ἀποκληρωτικῶς τῷ ἁγίῳ Πνεύματι ἡ *ἐν* συλλαβὴ διενήνοχεν, ἀλλὰ κοινὴ Πατρός ἐστι καὶ Υἱοῦ, ἐν τοῖς κατόπιν εἴρηται. Οἶμαι δὲ κἀκεῖνο ἀρκούντως εἰρῆσθαι, ὅτι οὐ μόνον οὐκ ἀφαιρεῖταί τι τῆς ἀξίας τοῦ Πνεύματος, ἀλλὰ καὶ πρὸς τὸ μέγιστον ὕψος τῶν μὴ πάντη

65. Quam igitur ob causam, inquiunt, cum proprie conveniat hæc syllaba, *in*, Spiritui, ac nobis D ad exprimendum quemvis de Spiritu intellectum sufficiat, vos novam istam syllabam induxistis, qui dicitis, *Cum Spiritu*, non, *In Spiritu sancto;* alioquin nec necessariis, nec ab Ecclesia probatis vocibus utentes? Quod igitur hæc syllaba, *in*, Spiritui sancto non in sortem proprie cessit, sed Patris Filiique communis est, in superioribus dictum est. Arbitror autem et illud satis demonstratum, quod *in* non solum nihil detrahit dignitati Spiritus, verum etiam ad summam celsitudinem erigit cogita-

[91] I Cor. VII, 40. [92] II Tim. I, 14. [93] Dan. V, 11. [94] Joan. IV, 24.

(51) *Οὐδενὶ τρόπῳ... ἢ τῶν.* Sic mss. sex. Editi οὐδενὶ τρόπῳ...

(52) *Σὺν τῷ.* Editi οἱ σὺν τῷ. Sed primus ille articulus abest a veteribus libris.

tiones eorum, qui non prorsus mente corrupti sunt. Superest autem disserere de syllaba *cum*, unde cœperit, et quam vim habeat, et quomodo Scripturæ concordet.

66. Ex asservatis in Ecclesia dogmatibus et prædicationibus, alia quidem habemus e doctrina scripto prodita; alia vero nobis in mysterio tradita recepimus ex traditione apostolorum : quorum utraque vim eamdem habent ad pietatem; nec iis quisquam contradicet : nullus certe, qui vel tenui experientia noverit quæ sint Ecclesiæ instituta. Nam si consuetudines quæ scripto proditæ non sunt, tanquam haud multum habentes momenti aggrediamur rejicere, imprudentes Evangelium in ipsis rebus præcipuis lædemus, imo potius prædicationem ad nudum nomen contrahemus. Verbi gratia, ut ejus quod primum est et vulgatissimum primo loco commemorem : ut signo crucis eos qui spem collocant in Christo signemus, quis scripto docuit? Ut ad Orientem versi precemur, quæ nos docuit Scriptura? Invocationis verba cum conficitur panis **55** Eucharistiæ et poculum benedictionis, quis sanctorum in scripto nobis reliquit? Nec enim his contenti sumus, quæ commemorat Apostolus aut Evangelium, verum alia quoque et ante et post dicimus, tanquam multum habentia momenti ad mysterium, quæ ex traditione non scripta accepimus. Benedicimus autem et aquam baptismatis, et oleum unctionis, imo ipsum etiam qui baptismum accipit. Ex quibus scriptis? Nonne a tacita secretaque traditione? Ipsam vero olei unctionem, quis sermo scripto proditus docuit? Jam ter immergi hominem, unde haustum? Reliqua autem quæ fiunt in baptismo, veluti renuntiare Satanæ, et angelis ejus, ex qua scriptura habemus? Nonne ex minime publicata et arcana hac doctrina, quam patres nostri silentio quieto minimeque curioso servarunt? Quippe illud probe didicerant, mysteriorum reve-

A ἐνδιαστρόφων τοὺς λογισμοὺς ἐπανάγει. Λειπόμενον δέ ἐστι περὶ τῆς *σὺν*, ὁπόθεν ἤρξατο, καὶ τίνα δύναμιν ἔχει, καὶ ὅπως (53) σύμφωνός ἐστι τῇ Γραφῇ, διηγήσασθαι.

66. Τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ κηρυγμάτων τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα· ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν. Καὶ τούτοις οὐδεὶς ἀντερεῖ, οὐκοῦν (54) ὅστις γε κατὰ μικρὸν γοῦν θεσμῶν ἐκκλησιαστικῶν πεπείραται. Εἰ γὰρ ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια ζημιοῦντες τὸ Εὐαγγέλιον· μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν περιιστῶντες
B τὸ κήρυγμα. Οἷον [ἵνα τοῦ πρώτου καὶ κοινοτάτου πρῶτον μνησθῶ (55)] τῷ τύπῳ τοῦ σταυροῦ τοὺς εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠλπικότας κατασημαίνεσθαι τίς ὁ διὰ γράμματος διδάξας; Τὸ πρὸς ἀνατολὰς τετράφθαι κατὰ τὴν προσευχὴν ποῖον ἐδίδαξεν ἡμᾶς γράμμα; Τὰ τῆς ἐπικλήσεως ῥήματα ἐπὶ τῇ ἀναδείξει (56) τοῦ ἄρτου τῆς Εὐχαριστίας καὶ τοῦ ποτηρίου τῆς εὐλογίας τίς τῶν ἁγίων ἐγγράφως ἡμῖν καταλέλοιπεν; Οὐ γὰρ δὴ τούτοις ἀρκούμεθα, ὧν ὁ Ἀπόστολος ἢ τὸ Εὐαγγέλιον ἐπεμνήσθη, ἀλλὰ καὶ προλέγομεν καὶ ἐπιλέγομεν ἕτερα, ὡς μεγάλην ἔχοντα πρὸς τὸ μυστήριον τὴν ἰσχὺν, ἐκ τῆς ἀγράφου διδασκαλίας παραλαβόντες. Εὐλογοῦμεν δὲ τό τε ὕδωρ τοῦ βαπτίσματος, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ
C προσέτι αὐτὸν τὸν βαπτιζόμενον. Ἀπὸ ποίων ἐγγράφων; Οὐχ ἀπὸ τῆς σιωπωμένης καὶ μυστικῆς παραδόσεως; Τί δέ; αὐτὴν (57) τοῦ ἐλαίου τὴν χρίσιν τίς λόγος γεγραμμένο· ἐδίδαξε· Τὸ δὲ τρὶς βαπτίζεσθαι τὸν ἄνθρωπον πόθεν, Ἄλλα δὲ ὅσα περὶ τὸ βάπτισμα, ἀποτάσσεσθαι τῷ Σατανᾷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐκ ποίας ἐστὶ γραφῆς; Οὐχ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ ἀποῤῥήτου διδασκαλίας, ἣν ἐν ἀπολυπραγμονήτῳ καὶ ἀπεριεργάστῳ (58) σιγῇ οἱ πατέρες ἡμῶν ἐφύ-

(53) *Καὶ ὅπως*. Ita mss. Editi καὶ πῶς.

(54) *Οὐκοῦν*. Hoc additum est pluribus mss. Editi ὅστις γε κἄν. Ibidem nonnulli codices habent θεσμῶν Ἐκκλησίας.

(55) *Μνησθῶ*. Unus codex μνησθῶμεν. Ibidem duo codices τοῦ τύπῳ.

(56) *Ἐπὶ τῇ ἀναδείξει*. Non respicit Basilius ad ritum ostensionis Eucharistiæ, ut multi existimarunt, sed potius ad verba, Liturgiæ ipsi ascriptæ, cum petit sacerdos, ut veniat Spiritus sanctus ἁγιάσαι καὶ ἀναδεῖξαι τὸν μὲν ἄρτον τοῦτον αὐτὸ τὸ τίμιον σῶμα τοῦ Κυρίου. Hæc autem verba, ἐπὶ τῇ ἀναδείξει, sic reddit Erasmus, *cum ostenditur*. Vituperat eum Ducæus, sicque ipse vertit, *cum conficitur*, atque hanc interpretationem multis exemplis confirmat. Videtur tamen nihil prorsus vitii habitura hæc interpretatio, *Invocationis verba cum ostenditur panis Eucharistiæ*, id est cum panis non jam panis est, sed panis Eucharistiæ, sive corpus Christi ostenditur; et in liturgia, *Ut sanctificet et ostendat hunc quidem panem, ipsum pretiosum corpus Domini*. Nam 1° Cur eam vocem reformidemus, qua Latini uti non dubitant, ubi de Eucharistia loquuntur? quale est illud Cypriani in epistola 63 ad Cæcilium : *Vino Christi sanguis ostenditur*. Sic etiam Tertullianus, I *Marc.*, c. 14 : *Panem quo ipsum corpus suum repræsentat*. 2° Ut Græce, ἀναδεῖξαι, ἀποφαίνειν, ita etiam Latine, *ostendere*, corpus Christi præsens in Eucharistia significatione quodam modo exprimit. Hoc enim verbum non solum panem fieri corpus Domini significat, sed etiam fidem nostram excitat, ut illud corpus sub specie panis videndum, tegendum, adorandum ostendi credamus. Quemad-
D modum Irenæus, cum ait lib. IV, cap. 33 : *Accipiens panem suum corpus esse confitebatur, et temperamentum calicis suum sanguinem confirmavit*, non solum mutationem panis et vini in corpus et sanguinem Christi exprimit, sed ipsam etiam Christi asseverationem, quæ hanc nobis mutationem persuadet : sic qui corpus Christi in Eucharistia ostendi et repræsentari dicunt, non modo jejune et exiliter loqui non videntur, sed etiam acriores Christi præsentis adorandi stimulos subjicere. Poterat ergo retineri interpretatio Erasmi; sed quia viris eruditis displicuit, satius visum est quid sentirem in hac nota exponere. — Vide Addenda.

(57) *Τί δέ; αὐτήν*. Reg. secundus Τίς δὲ αὐτοῦ τοῦ ἐλαίου τὴν χρίσιν λόγος, etc. Duo mss. τὴν χρῆσιν, *olei usum*. Mox unus codex ἄλλα τε ὅσα.

(58) *Ἀπεριεργάστῳ*. Duo mss. ἀπεριέργῳ. Mox editi ἐκεῖνοι. Quatuor mss. ut in textu.

λαξαν, καλῶς ἐκεῖνο δεδιδαγμένοι, τῶν μυστηρίων τὸ σεμνὸν (59) σιωπῇ διασώζεσθαι; Ἃ γὰρ οὐδὲ ἐποπτεύειν ἔξεστι τοῖς ἀμυήτοις, τούτων πῶς ἂν ἦν εἰκὸς τὴν διδασκαλίαν ἐκθριαμβεύειν ἐν γράμμασιν; ἢ τίποτε βουλόμενος ὁ μέγας Μωϋσῆς, οὐ πᾶσι βάσιμα εἶναι τὰ τοῦ ἱεροῦ πάντα πεποίηκεν; ἀλλ' ἔξω μὲν ἁγίων ἔστησε περιβόλων τοὺς βεβήλους, τὰς δὲ πρώτας αὐλὰς τοῖς καθαρωτέροις ἀνεὶς, τοὺς Λευΐτας μόνους ἀξίους ἔκρινε τοῦ θείου θεραπευτάς· σφάγια δὲ, καὶ ὁλοκαυτώσεις, καὶ τὴν λοιπὴν ἱερουργίαν τοῖς ἱερεῦσιν ἀποκληρώσας, ἕνα τῶν πάντων ἔκκριτον (60) εἰς τὰ ἄδυτα παραδέχεται· καὶ οὐδὲ τοῦτον διὰ παντὸς, ἀλλὰ κατὰ μίαν μόνην τοῦ ἐνιαυτοῦ ἡμέραν, καὶ ταύτης ὥραν τακτὴν εἰσιτητὸν αὐτῷ καταστήσας, ὥστε διὰ τὸ ἀπεξενωμένον καὶ ἄηθες θαμβούμενον ἐποπτεύειν τὰ Ἅγια τῶν ἁγίων· εὖ εἰδὼς ὑπὸ σοφίας τῷ μὲν πεπατημένῳ καὶ αὐτόθεν ληπτῷ πρόχειρον οὖσαν τὴν καταφρόνησιν, τῷ δὲ ἀνακεχωρηκότι καὶ σπανίῳ φυσικῶς πως παρεζευγμένον τὸ περισπούδαστον. Κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ τὰ περὶ τὰς Ἐκκλησίας (61) ἐξαρχῆς διαθεσμοθετήσαντες ἀπόστολοι καὶ Πατέρες ἐν τῷ κεκρυμμένῳ καὶ ἀφθέγκτῳ τὸ σεμνὸν τοῖς μυστηρίοις ἐφύλασσον. Οὐδὲ γὰρ ὅλως μυστήριον τὸ εἰς τὴν δημώδη καὶ εἰκαίαν ἀκοὴν ἐκφέρον. Οὗτος ὁ λόγος τῆς τῶν ἀγράφων παραδόσεως, ὡς μὴ καταμεληθεῖσαν (62) τῶν δογμάτων τὴν γνῶσιν εὐκαταφρόνητον τοῖς πολλοῖς γενέσθαι διὰ συνήθειαν. Ἄλλο γὰρ δόγμα, καὶ ἄλλο κήρυγμα. Τὸ μὲν γὰρ σιωπᾶται (63), τὰ δὲ κηρύγματα (64) δημοσιεύεται. Σιωπῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια, ᾗ κέχρηται ἡ Γραφὴ, δυσθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές. Τούτου χάριν πάντες μὲν ὁρῶμεν κατ' ἀνατολὰς ἐπὶ τῶν προσευχῶν· ὀλίγοι δὲ ἴσμεν, ὅτι τὴν

A rentiam silentio conservari. Nam quæ nec intueri fas est non initiatis, qui conveniebat horum doctrinam scriptis vulgari? aut quid tandem sibi voluit magnus ille Moyses, qui non omnia quæ erant in templo passus sit omnibus esse pervia [95]? sed profanos extra sacros cancellos statuit; ac priora quidem atria purioribus permittens, Levitas solos dignos censuit numinis ministerio [96]: mactationes autem holocautomatumque oblationes, et reliqua quæ ad rem sacram pertinent sacerdotibus assignavit [97]; atque unum ex omnibus selectum in adyta admisit [98], et ne hunc quidem semper, sed uno tantum die quotannis: quin et hujus diei certam horam qua fas esset ingredi, præstituit, quo propter novitatem et insolentiam, cum stu- B pore intueretur Sancta sanctorum [99]: probe sciens pro sua sapientia, res usu tritas et ex se obvias, expositas esse contemptui: rebus vero quæ sepositæ sunt ac raræ quodammodo naturaliter conjunctam esse summam admirationem ac studium. Ad eumdem profecto modum, et qui initio certos Ecclesiæ ritus præscripserunt apostoli et Patres, in occulto silentioque mysteriis suam servavere dignitatem. Neque enim omnino mysterium est, quod ad populares ac vulgares aures effertur. Hæc est ratio, cur quædam citra scriptum tradita sint, ne dogmatum notitia neglecta, propter assuetudinem vulgo veniret in contemptum. Aliud utique est dogma, aliud prædicatio. Nam dogmata C silentur, prædicationes vero publicantur. Est autem silentii species etiam obscuritas qua utitur Scriptura, **56** intellectu difficilem reddens dogmatum sententiam, idque ad legentium utilitatem. Hanc ob causam omnes spectamus ad Orientem,

[95] Num. IV, 20. [96] Num. XVIII, 21, 22. [97] ibid. 7. [98] Exod. XXX, 10. [99] Levit. XVI, 2.

(59) *Τὸ σεμνόν*. Sic mss. sex. Editi τὰ σεμνά. Paulo post editi θριαμβεύειν. Scriptura quam in textu posuimus, visa est potior, ac trium codicum auctoritate nititur.

(60) *Ἔκκριτον*. Ita editi et duo mss. Alii ἔγκριτον. Habent duo codices ἕνα τὸν πάντων. Paulo post editi μίαν μόνον. Sed mss. ut in textu.

(61) *Περὶ τὰς Ἐκκλησίας*. Tres codices περὶ τῆς Ἐκκλησίας.

(62) *Καταμεληθεῖσαν*. Sic mss. tres, melius quam editi καταμελετηθεῖσαν.

(63) *Τὸ μὲν γὰρ σιωπᾶται*. Sic duo codices mss. quibus favent alii quatuor, in quibus legitur τὰ μὲν σιωπᾶται. Editi τὰ μὲν δόγματα σιωπᾶται. Mirum autem videri possit, cur dicat Basilius dogmata sileri; cum constet catholici dogmatis prædicationem in omnibus semper Ecclesiis viguisse. Sed observandum est, id quod postea pluribus probabitur, Basilium de Scripturis potissimum loqui, in quibus plura dogmata, traditione ad nos transmissa, aut sileri ait, aut obscuritate, quæ est *silentii species*, involvi. In ipsa etiam ecclesia catechumenis multa abscondi solebant; non statim admittebantur in ecclesiam, nec admissis statim tradebatur Symbolum, ut ait Origenes lib. III *contra Celsum*, pag. 142. Idem Origenes, cum Christiana doctrina vocaretur a Celso κρύφιον δόγμα, *clancularium dogma*, respondet prædicationem Christianorum toti orbi notiorem esse, quam placita philosophorum; sed tamen fatetur, ut apud philosophos, ita etiam apud Christianos nonnulla esse veluti interiora, quæ post exteriorem et propositam omnibus doctrinam tradantur, lib. I, pag. 7. In libro autem III, pag. 143, ait, quæ maxime præclara et divina sunt, palam et aperte prædicari, si adsint prudentes auditores; sin autem lacte indigeant, profundiora illis abscondi et sileri.

(64) *Τὰ δὲ κηρύγματα*. Videntur hoc nomine designari leges ecclesiasticæ, et canonum decreta, D quæ promulgari in ecclesia mos erat, ut neminem laterent. Basilius in epist. alias 241, κήρυγμα vocat canonem a se in raptores editum. Eodem nomine designantur in epist. al. 72, quæ Eustathius adversus Evippium et alios Arianos in litteris ad omnem fraternitatem missis scripserat. Κήρυγμα dicitur jejunii Quadragesimæ per totum orbem promulgatio, Homil. II *De jejunio*, p. 11. Erant tamen κηρύγματα sive prædicationes nonnullæ, quarum cognitio non omnibus pateret. Preces liturgiæ, quibus non intererant catechumeni, vocantur prædicationes in epist. al. 241: *Meministi enim procul dubio*, inquit Basilius, *prædicationum ecclesiasticarum, fidelis cum sis Dei gratia, in quibus et pro fratribus peregre constitutis precamur*, etc. Dicebat initio hujus capitis ex dogmatibus et prædicationibus ecclesiasticis alia ex Scripturis, alia ex arcana apostolorum traditione ad nos pervenisse.

cum precamur, pauci tamen novimus, quod id faciontes antiquam requirimus patriam, videlicet paradisum, quem plantavit Deus in Eden ad Orientem [1]. Erecti itidem perficimus deprecationes in una Sabbati, sed rationem non omnes novimus. Non enim solum quod veluti simul cum Christo resuscitati, quæ sursum sunt quærere debeamus, in die resurrectionis datæ nobis gratiæ stando precantes nosmetipsos commonefacimus, sed quod is dies videatur aliquo modo imago venturi sæculi. Eoque cum sit principium dierum, non primus a Moyse, sed unus appellatus est. *Facta est enim*, inquit, *vespera, et factum est mane, dies unus* [2] : tanquam qui sæpe recurrat. Igitur unus est idem et octavus, unum illum singularem ac verum octavum, cujus et Psalmista in quibusdam Psalmorum inscriptionibus meminit [3], per se significans, statum videlicet hoc tempus secuturum, diem non desiturum, vesperæ nescium, successoris expertem, ævum; illud nunquam finiendum nec unquam senescens. Necessario igitur in hoc die Ecclesia suos alumnos docet, preces suas stando absolvere, ut assidua commonitione vitæ illius nunquam desituræ, non negligamus ad eam demigrationem parare viaticum. Quin et totum illud quinquaginta dierum tempus admonitio est resurrectionis, quam in altero sæculo exspectamus. Nam unus ille et primus dies septies multiplicatus, septem sacræ Pentecostes hebdomadas absolvit. A primo enim incipiens, in eumdem desinit, per similes, qui in medio intercedunt, dies quinquagies evolutus. Unde et æternitatem similitudine refert, dum velut in motu circulari, ab iisdem orsus signis in eadem desinit. Quo in die, corporis erecto habitu precari potius nos Ecclesiæ ritus docuerunt, nimirum per evidentem commonitionem quasi transferentes mentem nostram a præsentibus ad futura. Insuper et quoties genua flectimus, et rursus erigimur, ipso facto ostendimus, quod ob peccatum in terram delapsi sumus, et per humanitatem ejus qui creavit nos in cœlum revocati sumus.

67. Deficiet me dies, si Ecclesiæ mysteria ci-

A ἀρχαίαν ἐπιζητοῦμεν πατρίδα, τὸν παράδεισον, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ κατ' ἀνατολάς. Ὀρθοὶ μὲν πληροῦμεν τὰς εὐχὰς ἐν τῇ μιᾷ τοῦ Σαββάτου· τὸν δὲ λόγον οὐ πάντες οἴδαμεν. Οὐ γὰρ μόνον ὡς συναναστάντες Χριστῷ, καὶ τὰ ἄνω ζητεῖν ὀφείλοντες, ἐν τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς δεδομένης ἡμῖν χάριτος διὰ τῆς κατὰ τὴν προσευχὴν στάσεως ἑαυτοὺς ὑπομιμνήσκομεν· ἀλλ' ὅτι δοκεῖ πως τοῦ προσδοκωμένου αἰῶνος εἶναι εἰκών. Διὸ καὶ ἀρχὴ οὖσα ἡμερῶν, οὐχὶ πρώτη παρὰ Μωϋσέως, ἀλλὰ μία ὠνόμασται. *Ἐγένετο γὰρ*, φησὶν, *ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία*· ὡς τῆς αὐτῆς ἀνακυκλουμένης πολλάκις. Καὶ μία τοίνυν ἡ αὐτὴ, καὶ ὀγδόη, τὴν μίαν ὄντως ἐκείνην καὶ ἀληθινὴν ὀγδόην, ἧς καὶ ὁ B Ψαλμῳδὸς ἔν τισιν ἐπιγραφαῖς τῶν ψαλμῶν ἐπεμνήσθη, δι' ἑαυτῆς ἐμφανίζουσα, τὴν μετὰ τὸν χρόνον τοῦτον κατάστασιν, τὴν ἄπαυστον ἡμέραν, τὴν ἀνέσπερον, τὴν ἀδιάδοχον, τὸν ἄληκτον ἐκεῖνον καὶ ἀγήρω αἰῶνα. Ἀναγκαίως οὖν τὰς ἐν αὐτῇ προσευχὰς ἑστῶτας ἀποπληροῦν τοὺς ἑαυτῆς τροφίμους ἡ Ἐκκλησία παιδεύει, ἵνα τῇ συνεχεῖ ὑπομνήσει τῆς ἀτελευτήτου ζωῆς τῶν πρὸς τὴν μετάστασιν ἐκείνην ἐφοδίων μὴ ἀμελῶμεν. Καὶ πᾶσα δὲ ἡ πεντηκοστὴ τῆς ἐν τῷ αἰῶνι (65) προσδοκωμένης ἀναστάσεώς ἐστιν ὑπόμνημα. Ἡ γὰρ μία ἐκείνη καὶ πρώτη ἡμέρα, ἑπτάκις ἑπταπλασιασθεῖσα, τὰς ἑπτὰ τῆς ἱερᾶς πεντηκοστῆς ἑβδομάδας ἀποτελεῖ. Ἐκ πρώτης γὰρ ἀρχομένη, εἰς τὴν αὐτὴν καταλήγει, δι' ὁμοίων τῶν ἐν τῷ μέσῳ ἐξελιττομένη πεντηκοντάκις. Διὸ C καὶ αἰῶνα (66) μιμεῖται τῇ ὁμοιότητι, ὥσπερ ἐν κυκλικῇ κινήσει ἀπὸ τῶν αὐτῶν ἀρχομένη σημείων, καὶ εἰς τὰ αὐτὰ καταλήγουσα. Ἐν ᾗ τὸ ὄρθιον σχῆμα τῆς προσευχῆς προτιμᾶν οἱ θεσμοὶ τῆς Ἐκκλησίας ἡμᾶς ἐξεπαίδευσαν, ἐκ τῆς ἐναργοῦς ὑπομνήσεως οἱονεὶ μετοικίζοντες ἡμῶν τὸν νοῦν ἀπὸ τῶν παρόντων ἐπὶ τὰ μέλλοντα. Καὶ καθ' ἑκάστην δὲ γονυκλισίαν καὶ διανάστασιν ἔργῳ δείκνυμεν, ὅτι διὰ (67) τῆς ἁμαρτίας εἰς γῆν κατεῤῥύημεν, καὶ διὰ τῆς φιλανθρωπίας τοῦ κτίσαντος ἡμᾶς εἰς οὐρανὸν ἀνεκλήθημεν.

67. Ἐπιλείψει με ἡ ἡμέρα, τὰ ἄγραφα (68) τῆς

[1] Gen. II, 8. [2] Gen. I, 5. [3] Psal. VI et XII.

(65) Ἐν τῷ αἰῶνι. Editio Paris. ἐν τῷ μέλλοντι αἰῶνι. Sed hoc additamentum nec necessarium videtur, nec in ullo ex nostris codicibus reperitur, nec in edit. Basil.

(66) Αἰῶνα. Reg. secundus αἰῶνας.

(67) Ὅτι διά. Tres mss. ὅτι καὶ διά.

(68) Τὰ ἄγραφα. Id est, in Scripturis sacris non præscripta. Non enim hoc loco statuit Basilius, quod ab eo eruditorum nonnulli, in his præstantissimus scriptor Eusebius Renaudot Liturg. Orient., dissert. 1, cap. 2, doceri existimant, Eucharistiæ et baptismi et aliorum sacramentorum preces et ritus ne in ecclesiis quidem ad sacerdotum usum scripta servari. Merito illud quidem ex hoc capite colligitur, summam olim adhibitam fuisse cautionem, ne quid de mysteriis non solum ad gentiles, sed etiam ad catechumenos permaneret; ac recte observat scri- D ptor modo laudatus, mysteria initiandis viva voce exponi, initiatis breviter et obscuriuscule in concionibus indicari solita, cum hac ἀποσιωπήσεως formula, *Norunt initiati*. Perincommode enim fuissent vulgata, quæ catechumenis spectare non licebat; nec leve periculum erat, ne vilescerent mysteria, si violata arcani sanctitas fuisset. Sed tamen Basilius dum scripta negat hæc instituta, non de veterum scriptorum libris, non de Liturgiis scripto consignatis, sed de Scripturis sanctis loquitur. Liquet 1° Pneumatomachos, dum glorificandi modum ὡς ἄγραφον rejiciunt, hoc tantum nomine argutias suas prætexuisse, quod in Scripturis non legeretur *cum sancto Spiritu*. Hinc Basilius illis instituta non scripta opponit; in primis invocationis verba, quæ quidem negat ab ullo sanctorum fuisse scripta, quia nec apud Basilium ἄγραφα dicuntur, quæ non ex-

Ἐκκλησίας μυστήρια διηγούμενον. Ἐῶ τἄλλα· αὐτὴν δὲ τὴν ὁμολογίαν τῆς πίστεως (69) εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ἐκ ποίων γραμμάτων ἔχομεν; Εἰ μὲν γὰρ ἐκ τῆς τοῦ βαπτίσματος παραδόσεως, κατὰ τὸ τῆς εὐσεβείας ἀκόλουθον, ὡς βαπτιζόμεθα οὕτω καὶ πιστεύειν ὀφείλοντες, οὐσίαν τῷ βαπτίσματι (70) τὴν ὁμολογίαν κατατιθέμεθα, συγχωρησάτωσαν καὶ ἡμῖν ἐκ τῆς αὐτῆς ἀκολουθίας ὁμοίαν τῇ πίστει τὴν δόξαν ἀποδιδόναι· εἰ δὲ τὸν τρόπον τῆς δοξολογίας ὡς ἄγραφον παραιτοῦνται, δότωσαν ἡμῖν τῆς τε κατὰ τὴν πίστιν ὁμολογίας καὶ τῶν λοιπῶν, ὧν ἀπηριθμησάμεθα, ἐγγράφους τὰς ἀποδείξεις. Εἶτα τοσούτων ὄντων ἀγράφων, καὶ τοσαύτην ἐχόντων τὴν ἰσχὺν εἰς τὸ τῆς εὐσεβείας μυστήριον, μίαν λέξιν ἡμῖν ἐκ πατέρων εἰς ἡμᾶς ἐλθοῦσαν οὐ συγχωρήσουσιν, ἣν ἡμεῖς ἐκ τῆς ἀνεπιτηδεύτου συνηθείας ταῖς ἀδιαστρόφοις τῶν Ἐκκλησιῶν ἐναπομείνασαν εὕρομεν, οὐ μικρὸν τὸν λόγον ἔχουσαν, οὐδὲ βραχεῖαν συντέλειαν εἰς τὴν τοῦ μυστηρίου δύναμιν εἰσφερομένην (71);

68. Εἴρηται μὲν οὖν τίς ἡ δύναμις ἑκατέρας τῆς ἐκφωνήσεως. Εἰρήσεται δὲ καὶ πάλιν, ὅπη τε συμφωνοῦσιν ἀλλήλαις, καὶ ὅπη διΐστανται· οὐκ ἀπομαχόμεναι πρὸς ἐναντίωσιν, ἀλλ' ἴδιον ἑκατέρα τὸν νοῦν εἰσφερομένη πρὸς τὴν εὐσέβειαν. Ἡ μὲν γάρ, *ἐν*, τὰ πρὸς ἡμᾶς παρίστησι μᾶλλον· ἡ δὲ, *σὺν*, τὴν πρὸς Θεὸν κοινωνίαν τοῦ Πνεύματος ἐξαγγέλλει. Διόπερ ἀμφοτέραις κεχρήμεθα ταῖς φωναῖς· τῇ μὲν τὸ ἀξίωμα τοῦ Πνεύματος παριστῶντες, τῇ δὲ τὴν χάριν τὴν παρ' ἡμῖν διαγγέλλοντες (72). Οὕτω καὶ ἐν τῷ Πνεύματι τὴν δόξαν προσάγομεν τῷ Θεῷ, καὶ σὺν τῷ Πνεύματι· οὐδὲν ἡμέτερον λέγοντες, ἀλλ' ὥσπερ ἀπὸ κανόνος, τῆς τοῦ Κυρίου διδασκαλίας, ἐπὶ τὰ προσεχῆ καὶ ἀλλήλων ἐχόμενα, καὶ ἀναγκαίαν ἐν τοῖς μυστηρίοις (73) τὴν συνάφειαν ἔχοντα, τὴν φωνὴν μεταφέροντες. Τὸ γὰρ ἐπὶ τοῦ βαπτίσματος συναριθμηθὲν ἀναγκαίως ᾠήθημεν δεῖν καὶ ἐπὶ τῆς πίστεως συναρμόσαι. Τὴν δὲ ὁμολογίαν τῆς πίστεως οἷον ἀρχήν τινα καὶ μητέρα τῆς δοξολογίας ἐποιησάμεθα. Ἀλλὰ τί χρὴ ποιεῖν; Νῦν γὰρ ἡμᾶς διδασκέτωσαν, μὴ βαπτίζειν ὡς παρελάβομεν· ἢ μὴ πιστεύειν, ὡς ἐβαπτίσθημεν· ἢ μὴ δοξάζειν, ὡς πεπιστεύκαμεν. Δεικνύτω γάρ τις ἢ ὡς οὐκ ἀναγκαία καὶ ἄῤῥηκτος ἡ πρὸς ἄλληλα τούτων ἀκολουθία, ἢ ὡς οὐχὶ ἡ ἐν τούτοις καινοτομία τοῦ παντός ἐστι κατάλυσις. Ἀλλ' οὐ παύονται ἄνω καὶ κάτω θρυλ-

A tra scriptum tradita pergam recensere. Omitto 57 cætera : ipsam fidei professionem in Patrem et Filium et Spiritum sanctum, e quibus habemus scriptis? Etenim si quoniam ex baptismi traditione, juxta pietatis consecutionem, ut baptizamur, ita et credere debemus, similem baptismo professionem exhibemus : concedant etiam nobis, ut juxta eamdem consequentiam glorificationem fidei consimilem persolvamus. Quod si glorificandi modum veluti scripto non traditum rejiciunt, proferant nobis et professionis fidei et cæterorum quæ commemoravimus probationem e Scripturis. Adhæc cum tam multa sint quæ scripto prodita non sunt, et tantum habent momenti ad pietatis mysterium, unicam dictiunculam quæ a majo- B ribus ad nos devenit, non concedent, quam nos ex inaffectata consuetudine in Ecclesiis, quæ perversæ et corruptæ non sunt, permanentem invenimus, haud mediocrem rationem habentem, neque mediocre adjumentum ad mysterii vim afferentem?

68. Dictum quidem est quæ sit vis utriusque pronuntiationis. Dicetur autem et rursum ubi concordent inter sese, et ubi differant : non quod inter se pugnent per contrarietatem, sed quod utraque peculiarem afferat intellectum ad pietatem. Nam præpositio *in*, ea quæ ad nos spectant magis declarat : at præpositio *cum*, exprimit communionem Spiritus cum Deo. Quapropter vocibus ambabus utimur, altera quidem dignitatem C Spiritus exprimentes, altera gratiam quæ in nobis est enuntiantes. Sic et in Spiritu et cum Spiritu offerimus gloriam Deo : nihil ex nobis dicentes, sed ex tradita a Domino doctrina, velut e regula, ad ea quæ conjuncta sunt, sibique invicem cohærent, ac necessariam in mysteriis copulationem habent, dictionem transferentes. Nam eum qui in baptismate connumeratus est, necessario judicamus et in fide oportere copulari. Professionem autem fidei, velut initium quoddam ac matrem glorificationis fecimus. Sed quid faciendum est? Nunc enim doceant nos, ne baptizemus, quemadmodum accepimus, aut ne credamus, quemadmodum baptizati sumus, aut ne glorificemus, quemadmodum credimus. Demonstret enim aliquis, aut non esse D necessariam et indivulsam horum inter se consequentiam, aut in hisce novitatem non esse totius

stant nominatim in Scripturis. In libro sive epistola De fide, Moralibus præfixa, cum quidam ab eo postulassent ὁμολογίαν ἔγγραφον, *confessionem ex Scripturis petitam*, p. 223, profitetur se non usurum verbis ἀγράφοις, id est, quæ in Scripturis non leguntur. Unde Consubstantiale in illa fidei confessione non reperitur. Ariani apud Athanasium lib. De decret. Nic. queruntur quod Nicæni Patres ἀγράφοις λέξεις, *dictiones non scriptas* admisissent. 2° Nihil veri dixisset Basilius, si confessionem fidei in Patrem et Filium et Spiritum sanctum, et alia ejusmodi instituta, quæ vocat ἄγραφα, nullo prorsus scripto consignata esse contendisset. Horum enim non infrequens apud antiquos scriptores mentio. Quin etiam ipse Basilius glorificandi modum, quem inter ἄγραφα instituta numerandum fatetur, in scriptis veterum Patrum sæpe occurrere demonstrat cap. 29. Frustra ergo sententiæ suæ præsidium a Basilio petunt, qui preces Liturgiæ sero admodum contendunt litteris mandatas fuisse.

(69) *Τῆς πίστεως*. Editi addunt πιστεύειν, quod sua sponte incommodum, ac in tribus mss. deest.

(70) *Τῷ βαπτίσματι*. Male in editione Paris. ἐν τῷ βαπτίσματι, quod ope veterum librorum emendavimus. Paulo post tres mss. ἐκ τῆς αὐτῆς ταύτης.

(71) *Εἰσφερομένην*. Ita mss. sex. Editi φερομένην.

(72) *Διαγγέλλοντες*. Ita omnes nostri codices mss. Editi ἐξαγγέλλοντες.

(73) *Ἐν τοῖς μυστηρίοις*. Præpositio addita ex mss.

destructionem. At non desinunt isti sursum deorsum jactare, glorificationem cum sancto Spiritu carere testimonio, carere Scriptura, et alia hujusmodi. Dictum est quidem nihil referre ad sensum, sive dicas, Gloria Patri et Filio et Spiritui sancto, sive dicas, Gloria Patri et Filio cum sancto Spiritu. Non igitur fas est cuiquam syllabam *et*, ex ore Domini profectam rejicere aut expungere : nec quidquam vetat alteram quæ idem pollet, recipere : quæ quomodo cum illa vel conveniat vel discrepet, superius demonstravimus. Confirmat autem sententiam nobis et Apostolus, **58** indifferenter utraque voce utens interdum ita loquens : *In nomine Domini Jesu Christi, et in Spiritu Dei nostri* [4] ; ac rursus, *Congregatis vobis et meo Spiritu cum virtute Domini Jesu* [5] ; nihil interesse ratus, sive conjunctione, sive præpositione ad nominum conjunctionem utaris.

CAPUT XXVIII.

Quod quæ de hominibus dicit Scriptura tanquam una cum Christo regnantibus, ea de Spiritu dici non concedunt adversarii.

69. Videamus porro an defensionem aliquam patribus nostris super hujusmodi usu possimus excogitare. Nam qui nobis ita loquendi fuerunt auctores, magis quam nos hærent in crimine. Paulus igitur Colossensibus scribens : *Et vos*, inquit, *cum essetis mortui delictis ac præputio, vivificavit simul cum Christo* [6]. Num igitur toti populo et Ecclesiæ donavit Deus vitam quæ est cum Christo, sancto autem Spiritui non est vita cum Christo? Quod si istud vel animo concipere impium est, annon pium fuerit, ut habet natura, ita etiam professionem conjunctim persolvere? Adhæc, annon extremi stuporis est, fateri sanctos esse cum Christo (siquidem Paulus peregrinans a corpore præsens est apud Dominum [7] ; et ubi emigravit, jam cum Christo est) : hos vero Spiritui, quantum quidem in ipsis est, neque hoc tribuere, ut æque saltem atque homines cum Christo sit? Quin et Paulus seipsum Dei cooperatorem appellat in administratione Evangelii : sed Spiritum sanctum, per quem in omni creatura quæ sub cœlo est, fructificat Evangelium, si cooperatorem appellemus, hic quoque impietatis nos reos peragent? Et ut videtur, vita sperantium in Domino abscondita est cum Christo in Deo, cumque Christus apparuerit vita nostra, tum et ipsi cum eo apparebunt in gloria [8] : ipse autem Spiritus vitæ, qui liberavit nos a lege peccati [9], nequaquam est cum

A λοῦντες τὴν ἀμάρτυρον καὶ ἄγραφον, καὶ ὅσα τοιαῦτα, τὴν σὺν τῷ Πνεύματι τῷ ἁγίῳ δοξολογίαν. Εἴρηται μὲν οὖν, ὅτι ταυτόν ἐστι πρὸς διάνοιαν εἰπεῖν, Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ Δόξα Πατρὶ καὶ Υἱῷ σὺν τῷ ἁγίῳ Πνεύματι. Οὔτε οὖν τὴν *καὶ* συλλαβὴν ἐξ αὐτῆς τοῦ Κυρίου φωνῆς προελθοῦσαν ἀθετῆσαί τινι ἢ διαγράφειν οἷόν τε, καὶ τὴν ἰσοδυναμοῦσαν αὐτῇ οὐδὲν τὸ κωλύον καταδεχθῆναι (74)· ἣν ὅπως ἔχει πρὸς ἐκείνην διαφορᾶς τε καὶ ὁμοιότητος, ἐν τοῖς κατόπιν ἐδείξαμεν. Βεβαιοῖ δὲ ἡμῖν τὸν λόγον καὶ ὁ Ἀπόστολος ἀδιαφόρως ἑκατέρᾳ τῇ φωνῇ κεχρημένος, νῦν μὲν λέγων, *Ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν*· πάλιν δὲ, *Συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ Πνεύματος σὺν τῇ δυνάμει τοῦ Κυρίου* B *Ἰησοῦ*· οὐδὲν διαφέρειν ἡγούμενος τῷ συνδέσμῳ ἢ τῇ προσθέσει πρὸς τὴν τῶν ὀνομάτων συμπλοκὴν ἀποχρήσασθαι.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Ὅτι ἃ περὶ τῶν ἀνθρώπων λέγει ἡ Γραφὴ ὡς συμβασιλευόντων Χριστῷ, ταῦτα περὶ τοῦ Πνεύματος οὐ συγχωροῦσιν οἱ ἀντιλέγοντες.

69. Ἴδωμεν δὲ καὶ εἴ τινα ἀπολογίαν τοῖς πατράσιν ἡμῶν τῆς χρήσεως ταύτης ἐπινοήσομεν. Οἱ γὰρ τὴν ἀρχὴν παρασχόντες τῷ λόγῳ μᾶλλον ἡμῶν ὑπόκεινται τοῖς ἐγκλήμασι. Παῦλος τοίνυν Κολοσσαεῦσι γράφων· *Καὶ ὑμᾶς*, φησὶ, *νεκροὺς ὄντας τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ, συνεζωοποίησε τῷ Χριστῷ* (75). Ἆρα οὖν λαῷ μὲν ὅλῳ καὶ Ἐκκλησίᾳ C ἐχαρίσατο ὁ Θεὸς τὴν σὺν Χριστῷ ζωὴν, τῷ δὲ ἁγίῳ Πνεύματι οὐχὶ σὺν Χριστῷ ἡ ζωή; Εἰ δὲ τοῦτο καὶ (76) διανοίᾳ λαβεῖν ἀσεβὲς, πῶς οὐχ ὅσιον, ὡς ἔχει φύσεως, οὕτω καὶ τὴν ὁμολογίαν συνημμένως ἀποδιδόναι; Εἶτα, πῶς οὐ τῆς ἐσχάτης ἀναλγησίας τοὺς μὲν ἁγίους ὁμολογεῖν σὺν Χριστῷ εἶναι (εἴπερ δὴ Παῦλος ἐκδημήσας ἀπὸ τοῦ σώματος (77) ἐνδημεῖ πρὸς τὸν Κύριον, καὶ ἀναλύσας σὺν Χριστῷ ἐστιν ἤδη), τῷ δὲ Πνεύματι τούτους μηδὲ τοῖς ἀνθρώποις ἐξ ἴσου μετὰ Χριστοῦ εἶναι, τόγε εἰς αὐτοὺς ἧκον, μεταδιδόναι; Καὶ Παῦλος Θεοῦ μὲν συνεργὸν ἑαυτὸν ἐν τῇ οἰκονομίᾳ τοῦ Εὐαγγελίου καλεῖ· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, δι' οὗ ἐν πάσῃ κτίσει τῇ ὑπὸ τὸν οὐρανὸν καρποφορεῖται τὸ Εὐαγγέλιον, ἐὰν συνεργὸν εἴπωμεν, κἀνταῦθα (78) ἀσεβείας γραφὴν καθ' ἡμῶν ἀπενέγ- D καιντο; Καὶ ὡς ἔοικεν, ἡ μὲν ζωὴ τῶν ἠλπικότων ἐπὶ Κύριον κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ· καὶ ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ αὐτοὶ σὺν αὐτῷ φανερωθήσονται ἐν δόξῃ· αὐτὸ δὲ τὸ Πνεῦμα τῆς ζωῆς, τὸ ἐλευθερῶσαν ἡμᾶς ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας, οὐδαμῶς ἐστι σὺν Χριστῷ, οὔτε

[4] I Cor. VI, 11. [5] I Cor. V, 4. [6] Coloss. II, 13. [7] II Cor. V, 8. [8] Coloss. III, 3, 4. [9] Rom. VIII, 2.

(74) *Καταδεχθῆναι*. Reg. secundus παραδεχθῆναι. Paulo post idem codex ἐν τοῖς κατόπιν ἐδιδάξαμεν.

(75) *Τῷ Χριστῷ*. Editi σὺν τῷ Χριστῷ, quæ præpositio deest in duobus melioris notæ codicibus.

(76) *Εἰ δὲ τοῦτο καί*. Sic iidem duo codices modo citati. Quatuor alii Εἰ δὲ καὶ τοῦτο. Editi Εἰ δὲ καὶ τοῦτο *καί*. Paulo post editi πῶς οὐχὶ καὶ τῆς ἐσχάτης. Veteres libri ut in textu.

(77) *Ἀπὸ τοῦ σώματος*. Ita mss. codices. Editi ἐκ τοῦ σώματος. Paulo post editi οἷον τόγε εἰς αὐτοὺς... καὶ ἐν πάσῃ τῇ. Codices mss. ut in textu et prima Basileensis editio.

(78) *Κἀνταῦθα*. Hanc vocem, quæ deerat in editis, addidimus ex mss. codicibus.

ἐν λανθανούσῃ καὶ κεκρυμμένῃ σὺν αὐτῷ ζωῇ, οὔτε ἐν τῇ φανερώσει τῆς δόξης, ἣν ἡμεῖς ἐπὶ τοῖς ἁγίοις ἐκφανήσεσθαι προσδοκῶμεν; Κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι Χριστοῦ ἡμεῖς· τὸ δὲ Πνεῦμα ἀπόκληρον καὶ ἄμοιρον τῆς κοινωνίας τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ; Καὶ αὐτὸ μὲν τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ· ἡμεῖς δὲ τῷ Πνεύματι οὐδὲ ἣν παρὰ τοῦ Κυρίου μεμαθήκαμεν τῆς πρὸς Θεὸν κοινωνίας τὴν μαρτυρίαν κατατιθέμεθα; Τὸ δὲ κεφάλαιον τῆς ἀνοίας, ἡμεῖς μὲν διὰ τῆς εἰς Χριστὸν πίστεως τῆς ἐν Πνεύματι συνεγερθήσεσθαι αὐτῷ καὶ συγκαθεδεῖσθαι (79) ἐν τοῖς ἐπουρανίοις ἐλπίζομεν, ὅταν μετασχηματίσῃ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν ἀπὸ τοῦ ψυχικοῦ πρὸς τὸ πνευματικόν· τῷ δὲ Πνεύματι οὐ συνεδρίας, οὐ δόξης, οὐκ ἄλλου τινὸς, ὧν ἔχομεν παρ' αὐτοῦ, μεταδίδομεν; ἀλλ' ὧν ἑαυτοὺς ἀξίους εἶναι, κατὰ τὴν ἀψευδῆ τοῦ ἐπαγγειλαμένου δωρεὰν, πεπιστεύκαμεν, τούτων οὐδενὸς τῷ Πνεύματι τῷ ἁγίῳ ὡς ὑπερβαίνοντος αὐτοῦ τὴν ἀξίαν παραχωροῦμεν; Καὶ σοὶ μὲν κατὰ τὴν ἀξίαν ἐστὶ πάντοτε εἶναι σὺν τῷ Κυρίῳ, καὶ προσδοκᾷς, ἁρπαγεὶς ἐν νεφέλαις εἰς ἀπάντησιν εἰς ἀέρα, πάντοτε συνέσεσθαι τῷ Κυρίῳ· τὸ δὲ Πνεῦμα νῦν ἀντιλέγεις (80) εἶναι σὺν τῷ Χριστῷ; ὅς γε τὸν συναριθμοῦντα αὐτὸ καὶ συντάσσοντα Πατρὶ καὶ Υἱῷ ἐξόριστον τίθεσαι, ὡς ἀφόρητα δυσσεβοῦντα.

70. Αἰσχύνομαι ἐπαγαγεῖν τὰ λειπόμενα, ὅτι σὺ μὲν συνδοξασθήσεσθαι Χριστῷ προσδοκᾷς (εἴπερ γὰρ συμπάσχομεν ἵνα καὶ συνδοξασθῶμεν)· τὸ δὲ Πνεῦμα τῆς ἁγιωσύνης οὐ συνδοξάζεις Χριστῷ, ὡς οὐδὲ σοὶ τῶν ἴσων τυγχάνειν ἄξιον (81). Καὶ σὺ μὲν ἐλπίζεις συμβασιλεύειν· τὸ δὲ Πνεῦμα τῆς χάριτος ἐνυβρίζεις, τὴν δούλου αὐτῷ καὶ ὑπηρέτου τάξιν ἀποκληρῶν. Καὶ ταῦτα λέγω, οὐχ ἵνα τοσοῦτον δείξω ὀφειλόμενον εἶναι εἰς δοξολογίαν τῷ Πνεύματι· ἀλλ' ἵνα τὴν ἀγνωμοσύνην ἐλέγξω τῶν μηδὲ τοσοῦτον διδόντων, ἀλλ' ὡς ἀσέβειαν φευγόντων τὴν τοῦ Πνεύματος πρὸς Υἱὸν καὶ Πατέρα κοινωνίαν τῆς δόξης. Τίς δύναται ταῦτα ἀστενακτὶ παρελθεῖν; Ἢ γὰρ οὐχὶ προδήλως (82), ὥστε κἂν παιδὶ γενέσθαι γνώριμον, τὴν ἀπειληθεῖσαν τῆς πίστεως ἔκλειψιν προοιμιάζονται τὰ παρόντα; Ἀμφίβολα γέγονε τὰ ἀναντίῤῥητα. Πιστεύομεν εἰς τὸ Πνεῦμα· καὶ ταῖς ἡμετέραις αὐτῶν ὁμολογίαις ἐναντιομαχοῦμεν. Βαπτιζόμεθα· καὶ πάλιν μαχόμεθα. Ὡς ἀρχηγὸν τῆς ζωῆς ἐπικαλούμεθα· καὶ ὡς ὁμόδουλον καταφρονοῦμεν. Μετὰ Πατρὸς καὶ Υἱοῦ παρελάβομεν· καὶ ὡς μέρος τῆς κτίσεως ἀτιμάζομεν. Οἱ δὲ, τί προσεύξονται μὴ εἰδότες, ἐάν τι καὶ φθέγξασθαι σεμνὸν περὶ τοῦ Πνεύματος (83) προαχθῶσιν, ὡς

A Christo, neque in vita latente et abscondita cum illo, neque in manifestatione gloriæ, quam nos in sanctis patefaciendam esse exspectamus? Hæredes Dei et cohæredes Christi nos sumus [10] : Spiritus vero exhæres est, et exsors communionis Dei et Christi ejus? Et ipse quidem Spiritus testimonium perhibet spiritui nostro, quod simus filii Dei [11] : nos vero Spiritui, ne ejus quidem societatis, quam illi cum Deo esse a Domino didicimus, testimonium præbemus? Porro quod est amentiæ caput, nos per fidem in Christum quæ est in Spiritu, resurrecturos cum illo et simul cum illo sessuros esse in supercœlestibus speramus, cum transformaverit corpus humilitatis nostræ ab animali ad spirituale; Spiritui vero non consessum, non gloriam, non aliud quid- B quam eorum quæ ab ipso habemus, impertimus? sed quibus nos **59** ipsos esse dignos, ex ejus qui promisit non mendaci munere, credimus, horum nihil Spiritui sancto, quasi superent illius dignitatem concedimus? Et tibi quidem pro merito licet semper esse cum Domino : et exspectas, ut raptus in nubibus in occursum in aerem, semper sis cum Domino [12] : Spiritum autem nunc esse cum Christo negas? Qui scilicet eum, qui ipsum cum Patre ac Filio numerat ac locat, expellis et ejicis, velut qui impietatem non ferendam admiserit.

70. Pudet reliqua adjungere; quod tu quidem exspectas fore, ut cum Christo glorificeris : siquidem simul affligimur, ut simul quoque glorificemur [13] : Spiritum autem sanctificationis non glorificas simul C cum Christo, quasi ne pari quidem tecum honore dignum. Et tu quidem speras te cum eo regnaturum, Spiritum vero gratiæ afficis contumelia, servi famulique locum illi assignans. Atque hæc dico, non ut duntaxat ostendam tantumdem honoris deberi Spiritui in glorificatione, sed ut illorum dementiam redarguam, qui ne hoc quidem illi concedunt, sed velut impietatem horrent, Spiritus cum Patre et Filio in gloria consortium. Quis potest hæc absque gemitu commemorare? Annon manifestum est, ita ut vel puer intelligat, ea quæ nunc fiunt prooemia esse defectionis fidei, quam minatus est Dominus? Quibus contradici fas non erat, ea facta sunt ambigua. Credimus in Spiritum, et nostris D ipsorum professionibus repugnamus. Baptizamur, et rursum pugnamus. Ut vitæ auctorem invocamus, et ut conservum despicimus. Cum Patre et Filio Spiritum accepimus, et eum ut creaturæ partem contemptui habemus. Isti autem, quid orare de-

[10] Rom. VIII, 17. [11] ibid. 16. [12] I Thess. IV, 16. [13] Rom. VIII, 17.

(79) *Συγκαθεδεῖσθαι*. Sic veteres libri pro eo quod erat in editis συγκαθέζεσθαι.

(80) *Νῦν ἀντιλέγεις*. Vocula ex veteribus mss. et prima Basileensi editione addita. Paulo post editi ὥστε... τίθεσθαι. Quinque mss. ut in textu, quorum tamen in duobus legitur τίθεσθαι. Mox editi ἐπάγειν; mss. ut in textu.

(81) *Ἄξιον*. Male in editis ἀξιῶν contra veterum codicum fidem. Paulo post Regius secundus συμβασιλεύσειν.

(82) *Προδήλως*. Hæc scriptura in duobus tantum reperta codicibus; sed quia paulo post quatuor alii habent προοιμιάζονται, et Reg. secundus προοιμιάζεται, non ut editi προοιμιάζεσθαι, idcirco satis fuit legere προδήλως, quam ut editi πρόδηλον.

(83) *Περὶ τοῦ Πνεύματος*. Sic mss. codices quatuor. Non male in editis παρὰ τοῦ Πνεύματος, *si quid etiam magnifice loqui a Spiritu impellantur*. Paulo post Reg. secundus τοῦ λόγου τῷ δοκεῖν ὑποπίπτον

beant nescientes [14], si eo adducuntur, ut aliquid etiam magnifice loquantur de Spiritu, perinde quasi dignitatem ipsius assequantur; quod in dictis modum excedit, reprimunt. Quos suam infirmitatem deplorare oportebat : quoniam idonei non sumus, qui pro beneficiis, quibus reipsa afficimur, verbis gratias agamus. Superat enim omnem intellectum ac sermonis naturam redarguit, cum ea ne minimam quidem dignitatis illius partem adæquet, juxta verba libri qui inscribitur Sapientia : *Exaltate enim*, inquit, *quantumcunque potueritis : superat enim et adhuc; et exaltantes eum multiplicate. Nolite laborare : non enim assequemini* [15]. Profecto terribiles vobis istiusmodi sermonum reddendæ rationes qui a Deo mentiri nescio audistis, irremissibilem esse blasphemiam in Spiritum sanctum [16].

A ἐφικνούμενοι τῆς ἀξίας, κολάζουσι τοῦ λόγου τὸ ὑπερπῖπτον τὴν συμμετρίαν. Οὓς ἐχρῆν ὀδύρεσθαι τὴν ἀσθένειαν· ὅτι ὧν ἔργῳ πάσχομεν, λόγοις ἀντιπληροῦν τὴν χάριν οὐκ ἐξαρκοῦμεν. Ὑπερέχει γὰρ πάντα νοῦν, καὶ λόγου φύσιν ἐλέγχει, οὐδὲ πολλοστῷ μέρει τῆς ἀξίας παρισουμένην (84) κατὰ τὸν λόγον τῆς ἐπιγραφομένης Σοφίας· *Ὑψώσατε γάρ*, φησί, *καθόσον ἂν δύνησθε· ὑπερέχει γὰρ καὶ ἔτι· καὶ ὑψοῦντες αὐτὸν πληθύνατε. Μὴ κοπιᾶτε· οὐ γὰρ μὴ ἐφίκησθε.* Ἦ που φοβεραὶ ὑμῖν αἱ ὑπὲρ τῶν τοιούτων λόγων εὐθῦναι τοῖς παρὰ τοῦ ἀψευδοῦς ἀκηκοόσι Θεοῦ ἀσυγχώρητον εἶναι τὴν εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημίαν.

CAPUT XXIX.

Enumeratio virorum in Ecclesia illustrium, qui in scriptis suis usi sunt hac voce, « cum. »

71. Sane contra id quod dicunt, glorificationem *cum Spiritu* carere testimonio, nec in Scripturis exstare, illud dicimus : si 60 nihil aliud est receptum absque Scripturis, ne hoc quidem recipiatur; sin plurima arcana citra scriptum recepta sunt nobis, cum aliis pluribus et hoc recipiemus. Arbitror autem apostolicum esse, etiam non scriptis traditionibus inhærere. *Laudo enim*, inquit, *vos, quod omnia mea meministis, et quemadmodum tradidi vobis, traditiones tenetis* [17]. Et illud, *Tenete traditiones quas accepistis sive per sermonem sive per epistolam* [18] : quarum una est et hæc de qua nunc agimus, quam qui ab initio præscripserunt, tradideruntque posteris, usu semper simul cum tempore progrediente, ipsam longa consuetudine in Ecclesiis irradicarunt. Ergo si velut in tribunali, probationibus e scripto destituti, multos vobis testes producamus, nonne sententiam absolventem a vobis consequemur? Ego quidem arbitror : *In ore siquidem duorum ac trium testium stabit omne verbum* [19]. Quod si etiam temporis diuturnitatem pro nobis facientem vobis evidenter ostendamus, annon videbimur vobis probabilia dicere, non posse litem istam jure nobis intendi? Veneranda enim sunt quodammodo vetusta dogmata, quæ ob antiquitatem, ceu canitiem quamdam, habent quiddam reverendum. Enumerabo itaque vobis hujus dictionis patronos vindicesque (simul enim æstimatur in eo, quod tacetur, etiam tempus); neque enim ex nobis primum initium sumpsit. Qui potuit? Nimirum nos revera hesterni sumus, quemadmodum dicit Job [20], sal-

B

ΚΕΦΑΛΑΙΟΝ ΚΘʹ.

Ἀπαρίθμησις τῶν ἐν τῇ Ἐκκλησίᾳ διαφανῶν, ὅσοι ἐχρήσαντο ἐν τοῖς συγγράμμασιν ἑαυτῶν τῇ φωνῇ « σύν. »

71. Πρός γε μὴν τὸ ἀμάρτυρον καὶ ἄγραφον εἶναι τὴν *σὺν τῷ Πνεύματι* δοξολογίαν ἐκεῖνο λέγομεν· ὅτι, εἰ μὲν μηδὲν ἕτερον ἄγραφον, μηδὲ τοῦτο παραδεχθήτω· εἰ δὲ τὰ πλεῖστα τῶν μυστικῶν ἀγράφως ἡμῖν ἐμπολιτεύεται, μετὰ πολλῶν τῶν ἑτέρων καὶ τοῦτο παραδεξόμεθα (85). Ἀποστολικὸν δὲ οἶμαι καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι παραμένειν. *Ἐπαινῶ γάρ*, φησὶν, *ὑμᾶς, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε·* καὶ τὸ, *Κρατεῖτε τὰς παραδόσεις ἃς παρελάβετε εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς·* ὧν μία (86) C ἐστὶ καὶ ἡ παροῦσα αὕτη, ἣν οἱ ἐξ ἀρχῆς διαταξάμενοι παραδιδόντες τοῖς ἐφεξῆς, συμπροϊούσης ἀεὶ τῷ χρόνῳ τῆς χρήσεως, διὰ μακρᾶς τῆς συνηθείας ταῖς Ἐκκλησίαις ἐγκατερρίζωσαν. Ἆρ' οὖν εἰ, ὡς ἐν δικαστηρίῳ τῆς διὰ τῶν ἐγγράφων ἀποδείξεως ἀποροῦντες, μαρτύρων ὑμῖν πλῆθος παραστησαίμεθα (87), οὐκ ἂν τῆς ἀφιείσης παρ' ὑμῶν ψήφου τύχοιμεν; Ἐγὼ μὲν οὕτως οἶμαι· *Ἐπὶ στόματος γὰρ δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.* Εἰ δὲ καὶ τὸν πολὺν χρόνον πρὸς ἡμῶν ὄντα ἐναργῶς ὑμῖν ἐπεδείκνυμεν, οὐκ ἂν ἐδόξαμεν ὑμῖν εἰκότα λέγειν, μὴ εἶναι καθ' ἡμῶν τὴν δίκην εἰσαγώγιμον ταύτην; Δυσωπητικὰ γάρ πως τὰ παλαιὰ τῶν δογμάτων, οἱονεὶ πολιᾷ τινι τῇ ἀρχαιότητι τὸ αἰδέσιμον ἔχοντα. Ἀπαριθμήσομαι οὖν ὑμῖν τοὺς προστάτας τοῦ λόγου D (συμπαραμετρεῖται δὲ πάντως κατὰ τὸ σιωπώμενον καὶ ὁ χρόνος)· οὐ γὰρ ἐξ ἡμῶν ὥρμηται πρῶτον. Πόθεν (88); χθιζοί τινες ὄντως ἡμεῖς, κατὰ τὸν τοῦ Ἰὼβ λόγον, πρός γε τοσοῦτον χρόνον, τὸν τῆς συνηθείας ταύτης ἡλικιώτην. Ἐγὼ μὲν οὖν αὐτὸς, εἰ χρὴ

[14] Rom. VIII, 26. [15] Eccli. XLIII, 33, 34. [16] Luc. XII 10. [17] I Cor. XI, 2. [18] II Thess. II, 14. [19] Deut. XIX, 15. [20] Job VIII, 9.

(84) *Παρισουμένην*. Ita mss. quinque. Editi παρισουμένης.

(85) *Παραδεξόμεθα*. Ita Reg. secundus. Quod quidem, ut Basilii consuetudini loquendi magis appositum, secuti sumus, quamvis alii quatuor mss. habeant καταδεξόμεθα. Unus cum editis καταδεξώμεθα.

(86) *Ὧν μία*. Ita mss. quinque. Editi ὧν μάλιστα μία.

(87) *Παραστησαίμεθα*. Ita veteres libri quatuor. Editi παρεστησάμεθα. Non multo post mss. tres ἐπιδείκνυμεν.

(88) *Πόθεν*. Reg. secundus Πόθεν γάρ; ἐπεὶ χθιζοί.

με τοὐμὸν ἴδιον εἰπεῖν, ὥσπερ τινὰ κλῆρον πατρῷον A τὴν φωνὴν ταύτην διαφυλάττω, παραλαβὼν παρὰ ἀνδρὸς μακρὸν ἐν τῇ λειτουργίᾳ τοῦ Θεοῦ διαζήσαντος χρόνον, δι' οὗ καὶ ἐβαπτίσθην, καὶ τῇ ὑπηρεσίᾳ τῆς Ἐκκλησίας προσήχθην (89). Ἀναζητῶν δὲ κατ' ἐμαυτὸν εἴ τις ἄρα τῶν παλαιῶν καὶ μακαρίων ἀνδρῶν ἐχρήσατο ταύταις ταῖς νῦν ἀντιλεγομέναις φωναῖς, πολλοὺς εὗρον καὶ τῇ ἀρχαιότητι τὸ ἀξιόπιστον ἔχοντας, καὶ τῇ τῆς γνώσεως ἀκριβείᾳ οὐ κατὰ τοὺς νῦν ὄντας· ὧν οἱ μὲν τῇ προθέσει, οἱ δὲ τῷ συνδέσμῳ κατὰ τὴν δοξολογίαν τὸν λόγον ἑνώσαντες, οὐδὲν διάφορον δρᾷν, ὥς γε πρὸς τὴν ὀρθὴν τῆς εὐσεβείας ἔννοιαν, ἐνομίσθησαν (90).

72. Εἰρηναῖος ἐκεῖνος, καὶ Κλήμης ὁ Ῥωμαῖος, B καὶ Διονύσιος ὁ Ῥωμαῖος, καὶ ὁ Ἀλεξανδρεὺς Διονύσιος, ὃ καὶ παράδοξον ἀκοῦσαι, ἐν τῇ δευτέρᾳ πρὸς τὸν ὁμώνυμον ἑαυτοῦ ἐπιστολῇ *Περὶ ἐλέγχου καὶ ἀπολογίας* (91) οὕτω τὸν λόγον ἀνέπαυσε. Γράψω δὲ ὑμῖν αὐτὰ τοῦ ἀνδρὸς τὰ ῥήματα. *Τούτοις*, φησὶ, *πᾶσιν ἀκολούθως καὶ ἡμεῖς, καὶ δὴ παρὰ τῶν πρὸ ἡμῶν πρεσβυτέρων τύπον καὶ κανόνα παρειληφότες, ὁμοφώνως αὐτοῖς προσευχαριστοῦντες· καὶ δὴ καὶ νῦν ὑμῖν ἐπιστέλλοντες καταπαύομεν* (92). *Τῷ δὲ Θεῷ Πατρὶ καὶ Υἱῷ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.* Καὶ ταῦτα οὐκ ἄν τις εἴποι μεταγεγράφθαι. Οὐ γὰρ ἂν οὕτω διετείνατο, τύπον καὶ κανόνα παρειληφέναι C λέγων, εἴπερ *ἐν τῷ Πνεύματι* (93) εἰρηκὼς ἦν· ταύτης γὰρ τῆς φωνῆς ἡ χρῆσις πολλή. Ἀλλ' ἐκεῖνο ἦν τὸ τῆς ἀπολογίας δεόμενον. Ὅς γε καὶ κατὰ μέσον που τῆς γραφῆς, οὕτως εἴρηκε πρὸς τοὺς Σαβελλιανούς· *Εἰ, τῷ τρεῖς εἶναι τὰς ὑποστάσεις, μεμερισμένας εἶναι λέγουσι, τρεῖς εἰσι, κἂν μὴ θέλωσιν· ἢ τὴν θείαν Τριάδα παντελῶς ἀνελέτωσαν·* καὶ πάλιν· *Θειοτάτη γὰρ διὰ τοῦτο μετὰ τὴν μονάδα καὶ ἡ Τριάς.* Ἀλλὰ καὶ ὁ Κλήμης ἀρχαϊκώτερον (94), *Ζῇ*, φησὶν, *ὁ Θεὸς, καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον.* Εἰρηναῖος δὲ (95), ὁ ἐγγὺς τῶν ἀποστόλων γενόμενος, πῶς ἐμνήσθη τοῦ Πνεύματος ἐν τῷ πρὸς τὰς αἱρέσεις λόγῳ, ἀκούσωμεν. *Τοὺς δὲ ἀχαλιναγωγήτους*, φησὶ, *καὶ καταφερομένους εἰς τὰς ἑαυτῶν ἐπιθυμίας, μηδεμίαν ἔχον-*

tem si tam longi temporis, quod huic consuetudini æquale est, habeatur ratio. Equidem ipse, si modo par sit me quod mihi proprium est dicere, vocem hanc tanquam paternam quamdam hæreditatem conservo, acceptam a viro multum temporis in servitio Dei versato, per quem et baptizatus sum, et Ecclesiæ ministerio admotus. Cæterum cum apud me reputo, an quis veterum ac beatorum virorum his, quibus nunc reclamatur vocibus, usus sit; multos reperio, et ob antiquitatem fide dignos, et accurata, non secundum hos homines, scientia ornatos; quorum alii præpositione, alii conjunctione in glorificatione sermonem copulantes, nihil diversum sane quod ad rectam attinet pietatis intelligentiam, existimati sunt facere.

72. Irenæus ille, et Clemens Romanus, et Dionysius Romanus, et Alexandrinus Dionysius, id quod etiam auditu mirum est, in secunda ad sibi cognominem epistola *De accusatione ac defensione*, hunc in modum finivit sermonem. Transcribam autem vobis ipsa hominis verba. *His omnibus*, inquit, *congruenter et nos*, *forma etiam ac regula a presbyteris, qui ante nos vixerunt, accepta*, *concordibus vocibus cum illis gratias agentes*, *tandem nunc vobis scribere desinimus. Deo autem Patri et Filio Domino nostro Jesu Christo cum sancto Spiritu gloria et imperium in sæcula sæculorum, amen.* Nec quisquam **61** dicere possit hæc correcta fuisse ac immutata. Neque enim ita sermonem confirmasset, dicens videlicet accepisse se formam ac regulam, si *in Spiritu* dixisset: Hujus enim vocis usus creber est. At illud erat, quod egebat defensione. Qui quidem et in medio scripti, sic loquitur adversus Sabellianos: *Si eo quod tres sunt hypostases*, *divisas esse dicunt*, *tres sunt etiamsi nolint: aut divinam Trinitatem prorsus e medio tollant.* Ac rursum, *Divinissima enim ob id etiam post unitatem Trinitas est.* Sed et Clemens simplicius, *Vivit*, inquit, *Deus et Dominus Jesus Christus et Spiritus sanctus.* Irenæus autem, qui vicinus fuit apostolorum temporibus, quomodo faciat mentionem Spiritus, disputans adversus hæreses, audiamus. *Eos vero*, inquit, *qui effrenes sunt*, *et feruntur ad suas concupiscentias*, *nullum habentes divini Spiritus desiderium*, *merito Apostolus carnales vocat* [21]. Et

[21] I Cor. III, 3.

(89) *Προσήχθην*. Ita mss. quatuor. Editi προήχθην. D

(90) *Ἐνομίσθησαν*. Editio Basileensis ἐνομοθέτησαν, quæ lectio nullo prorsus reperitur in codice ms., sed tamen eam secuti sunt Erasmus et Cornarius. Paulo post editi παράδοξον ἀκοῦσθαι. Libri veteres ut in textu.

(91) *Ἀπολογίας*. Post hanc vocem addit Regius secundus γράφων. Ibidem Regii primus et secundus γράψω pro eo quod erat in editis γράφω.

(92) *Καταπαύομεν*. Ita quatuor mss. Editi καταπαύσομεν.

(93) *Ἐν τῷ Πνεύματι*. Editio Parisiensis ἐν τῷ ἁγίῳ Πνεύματι. Sed repugnant mss. codices.

(94) *Ἀρχαϊκώτερον*. Sic mss. codices et editio prima Basileensis. Aliæ ἀρχαϊκώτερος.

(95) *Εἰρηναῖος δέ*. Editi addunt ἐκεῖνος, quod in veteribus libris non legitur. Mox Regii tertius et quartus καταφερομένους εἰς τὰς ἑαυτῶν αἰσχύνας, *in sua ipsorum dedecora*. Sed repugnant alii codices et vetus interpres Irenæi, qui sic reddit: *dejiciuntur in sua desideria*. Cum autem idem interpres ibidem habeat, *nullam habentes aspirationem divini Spiritus*; merito observarunt eruditi viri eum legisse ἐπίπνοιαν, non, ut apud Basilium, ἐπιθυμίαν. Ibidem duo codices σαρκίνους. Primum autem hoc testimonium legitur in libro quinto Irenæi cap. 8, n. 2; alterum, cap. 9 ejusdem libri, n. 3.

alibi dicit idem : *Ne expertes facti divini Spiritus, frustremur regno cœlorum, inclamat Apostolus* [31], *quod caro non possit hæreditatem capere regni cœlorum.* Quod si cui et Eusebius Palæstinus propter multiplicem experientiam idoneus videtur, cui habeamur fides; et ex illo voces easdem ostendimus in dubitationibus de priscorum multiplici conjugio. Loquitur enim hunc in modum, se ad dicendum excitans : *Sanctum prophetarum Deum lucis auctorem per Salvatorem nostrum Jesum Christum cum sancto Spiritu invocantes.*

73. Jam vero et Origenem in multis Psalmorum expositionibus deprehendimus, cum sancto Spiritu gloriam deferentem Deo, virum qui non omnino sanas habet in omnibus de Spiritu opiniones; nihilominus et hic multis in locis reveritus consuetudinis robur, pias voces emisit de Spiritu : qui quidem in sexto, ni fallor, libro *Enarrationum in Evangelium Joannis*, etiam adorandum Spiritum evidenter pronuntiat, ita scribens ad verbum : *Quoniam aquæ lavacrum significat purgationem animæ ab omnibus malitiæ sordibus ablutæ, nihilo tamen minus et per seipsum ei qui seipsum præbet divinitati adorandæ Trinitatis, per virtutem invocationum, donorum principium ac fontem habet.* Ac rursus in commentariis, quibus exponit Epistolam ad Romanos, *Sacræ*, inquit, *virtutes capaces sunt Unigeniti et sancti Spiritus deitatis.* Ad hunc modum, opinor, traditionis vis sæpe compulit homines etiam suis ipsorum dogmatibus contradicere. At nec Africanum historicum talis glorificandi forma præteriit. Siquidem constat in quinto libro *de temporibus Epitomes*, et ipsum ad hunc loqui modum : *Nos enim qui et illorum* **62** *verborum modum didicimus, nec ignoramus fidei gratiam, gratias agimus Patri, qui nobis suis creaturis præbuit universorum Salvatorem ac Dominum nostrum Jesum Christum, cui gloria, majestas cum sancto Spiritu in sæcula.* At de cæteris fortassis dubitari possit, aut credi possint immutata eam rationem habere, ut fraus ægre deprehendi possit, cum in unica syllaba positum sit discrimen. Verum quæ pluribus verbis dicta citavimus, ea nec insidias admittunt, et ab ipsis libris paratum habent testimonium. Porro quod alioqui fortassis humilius foret, quam ut in medium adducatur, sed ei tamen qui de novitate accusatur, perutile propter temporis antiquitatem,

A τας ἐπιθυμίαν θείου Πνεύματος, δικαίως ὁ Ἀπόστολος σαρκικοὺς καλεῖ. Καὶ ἐν ἄλλοις ὁ αὐτός φησιν· *Ἵνα μὴ, ἄμοιροι θείου Πνεύματος γενόμενοι, ἀποτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, ἐπεβόησεν ὁ Ἀπόστολος, μὴ δύνασθαι τὴν σάρκα βασιλείαν οὐρανῶν κληρονομῆσαι.* Εἰ δέ τῳ καὶ ὁ Παλαιστινὸς Εὐσέβιος ἀξιόπιστος διὰ πολυπειρίαν, κἀκείνου τὰς αὐτὰς φωνὰς ἐπιδείκνυμεν ἐν τοῖς ἐπαπορήμασι περὶ τῆς τῶν ἀρχαίων πολυγαμίας. Λέγει γὰρ οὕτω παρορμῶν ἑαυτὸν ἐπὶ τὸν λόγον· *Τὸν τῶν προφητῶν ἅγιον Θεὸν φωταγωγὸν διὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σὺν ἁγίῳ Πνεύματι καλέσαντες* (96).

73. Ἤδη δὲ καὶ Ὠριγένην ἐν πολλαῖς τῶν εἰς τοὺς Ψαλμοὺς διαλέξεων εὕρομεν (97) σὺν τῷ ἁγίῳ Πνεύματι τὴν δόξαν ἀποδιδόντα, ἄνδρα οὐδὲ πάνυ τι ὑγιεῖς B περὶ τοῦ Πνεύματος τὰς ὑπολήψεις ἐν πᾶσιν ἔχοντα· πλὴν ἀλλὰ πολλαχοῦ καὶ αὐτὸς, τῆς συνηθείας τὸ ἰσχυρὸν δυσωπούμενος, τὰς εὐσεβεῖς φωνὰς ἀφῆκε περὶ τοῦ Πνεύματος. Ὅς γε, κατὰ τὸ ἕκτον, οἶμαι, τῶν εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον Ἐξηγητικῶν, καὶ προσκυνητὸν αὐτὸ φανερῶς ἀπεφήνατο, οὑτωσὶ γράφων κατὰ λέξιν· *Ὅτι τὸ τοῦ ὕδατος λουτρὸν σύμβολον τυγχάνει καθαρσίου ψυχῆς, πάντα ῥύπον τὸν ἀπὸ κακίας ἀποπλυνομένης* (98)· *οὐδὲν δὲ ἧττον καὶ καθ' ἑαυτὸ τῷ ἐμπαρέχοντι ἑαυτὸν τῇ θεότητι τῆς προσκυνητῆς Τριάδος διὰ τῆς δυνάμεως τῶν ἐπικλήσεων χαρισμάτων ἀρχὴν ἔχει καὶ πηγήν.* Καὶ πάλιν ἐν τοῖς εἰς τὴν πρὸς Ῥωμαίους Ἐπιστολὴν ἐξηγητικοῖς, *Αἱ ἱεραὶ*, C φησὶ, *δυνάμεις χωρητικαὶ τοῦ Μονογενοῦς καὶ τῆς τοῦ ἁγίου Πνεύματος θεότητος.* Οὕτως, οἶμαι, τὸ τῆς παραδόσεως ἰσχυρὸν ἐνῆγε πολλάκις τοὺς ἄνδρας καὶ τοῖς οἰκείοις αὐτῶν (99) δόγμασιν ἀντιλέγειν. Ἀλλ' οὐδὲ Ἀφρικανὸν τὸν ἱστοριογράφον τὸ τοιοῦτον εἶδος τῆς δοξολογίας παρέλαθε. Φαίνεται γὰρ ἐν τῷ πέμπτῳ τῆς τῶν χρόνων Ἐπιτομῆς οὕτω καὶ αὐτὸς λέγων· *Ἡμεῖς γὰρ οἱ κἀκείνων τῶν ῥημάτων* (1) *τὸ μέτρον ἐπιστάμενοι, καὶ τῆς πίστεως οὐκ ἀγνοοῦντες τὴν χάριν, εὐχαριστοῦμεν τῷ παρασχομένῳ τοῖς ἰδίοις ἡμῖν Πατρὶ* (2) *τὸν τῶν ὅλων Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ᾧ ἡ δόξα, μεγαλωσύνη σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας.* Τὰ μὲν οὖν ἄλλα τυχὸν καὶ ἀπιστηθῆναι δύναται, ἢ καὶ μεταγραφέντα δυσφώρατον D ἔχειν τὴν κακουργίαν, ἐν μιᾷ συλλαβῇ τῆς διαφορᾶς ὑπαρχούσης· ἃ δὲ διὰ μακροτέρας τῆς λέξεως παρεθέμεθα, καὶ τὴν ἐπιβουλὴν διαφεύγει, καὶ τὴν μαρτυρίαν ἀπ' αὐτῶν τῶν συγγραμμάτων εὐαπόδεικτον ἔχει. Ὃ δὲ

[31] I Cor. xv, 50.

(96) *Καλέσαντες*. Reg. quartus παρακαλέσαντες.

(97) *Εὕρομεν*. Reg. quartus εὕραμεν, et δόξαν ἀποπληροῦντα. Paulo post editi ἐν ἅπασιν. Codices mss. ut in textu. Locus autem Origenis quem citat Basilius non in sexto, sed in octavo libro invenitur, sive memoria effluxerit Basilio, sive alia fuerit olim horum distributio librorum.

(98) *Ἀποπλυνομένης*. Ita mss. ac ipse etiam Origenis contextus. Editi ἀποπλυναμένης.

(99) *Αὐτῶν*. Ita codices nostri mss. Editi ἑαυτῶν.

(1) *Τῶν ῥημάτων*. Tres mss. τῶν ῥητῶν.

(2) *Ἡμῖν Πατρί*. Sic mss. quinque. Editi ἡμῶν πατράσι. *Qui præbuit nostris patribus omnium Servatorem*, etc. Ibidem hæ voces, καὶ Κύριον ἡμῶν, desunt in tribus mss. Mox editi καὶ ἡ μεγαλωσύνη. Codices mss. ut in textu. Paulo post Reg. secundus τὰ μὲν ἄλλα... δυσφορωτάτη ἔχειν.

ἄλλως μὲν ἴσως μικροπρεπὲς ἦν εἰς μέσον ἄγεσθαι, τῷ δὲ καινοτομίαν ἐγκαλουμένῳ ἀναγκαῖον εἰς μαρτυρίαν διὰ τοῦ χρόνου τὴν ἀρχαιότητα, τοῦτο δὴ καὶ προσθήσω. Ἔδοξε τοῖς πατράσιν ἡμῶν μὴ σιωπῇ τὴν χάριν τοῦ ἑσπερινοῦ φωτὸς (3) δέχεσθαι, ἀλλ' εὐθὺς φανέντος εὐχαριστεῖν. Καὶ ὅστις μὲν ὁ πατὴρ τῶν ῥημάτων ἐκείνων τῆς ἐπιλυχνίου εὐχαριστίας, εἰπεῖν οὐκ ἔχομεν· ὁ μέντοι λαὸς ἀρχαίαν ἀφίησι τὴν φωνήν, καὶ οὐδενὶ πώποτε ἀσεβεῖν ἐνομίσθησαν οἱ λέγοντες· *Αἰνοῦμεν Πατέρα, καὶ Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεοῦ*. Εἰ δέ τις καὶ τὸν ὕμνον Ἀθηνογένους ἔγνω, ὃν ὥσπερ τι ἀλεξητήριον (4) τοῖς συνοῦσιν αὐτῷ καταλέλοιπεν, ὁρμῶν ἤδη πρὸς τὴν διὰ πυρὸς τελείωσιν, οἶδε καὶ τὴν τῶν μαρτύρων γνώμην ὅπως εἶχον περὶ τοῦ Πνεύματος. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

74. Γρηγόριον δὲ τὸν Μέγαν, καὶ τὰς ἐκείνου φωνὰς ποῦ θήσομεν; ἆρ' οὐχὶ μετὰ τῶν ἀποστόλων καὶ προφητῶν; ἄνδρα τῷ αὐτῷ Πνεύματι ἐκείνοις περιπατήσαντα (5), καὶ τοῖς τῶν ἁγίων ἴχνεσι διὰ παντὸς τοῦ βίου στοιχήσαντα, καὶ τῆς εὐαγγελικῆς πολιτείας τὸ ἀκριβὲς διὰ πάσης αὐτοῦ τῆς ζωῆς κατορθώσαντα. Ἐγὼ μὲν τοῦτό φημι· Ἦ ἀδικήσομεν τὴν ἀλήθειαν, μὴ τοῖς ᾠκειωμένοις Θεῷ τὴν ψυχὴν ἐκείνην συναριθμοῦντες, οἷόν τινα λαμπτῆρα περιφανῆ μέγαν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ διαλάμψαντα· ὃς φοβερὸν μὲν εἶχεν ἐκ τῆς τοῦ Πνεύματος συνεργίας κατὰ δαιμόνων τὸ κράτος· τοσαύτην δὲ ἔλαβε τοῦ λόγου τὴν χάριν εἰς ὑπακοὴν πίστεως ἐν τοῖς ἔθνεσιν, ὥστε, ἑπτακαίδεκα μόνους Χριστιανοὺς παραλαβών, ὅλον τὸν λαὸν τόν τε ἀστικὸν καὶ τὸν χωριτικὸν διὰ τῆς ἐπιγνώσεως προσήγαγε τῷ Θεῷ. Ἐκεῖνος καὶ ποταμῶν (6) ῥεῖθρα μετέστησεν, ἐπιτάξας αὐτοῖς ἐν τῷ ὀνόματι τῷ μεγάλῳ τοῦ Χριστοῦ· καὶ λίμνην ἐξήρανεν ὑπόθεσιν πολέμου φέρουσαν ἀδελφοῖς πλεονέκταις. Αἱ δὲ τῶν μελλόντων προαγορεύσεις τοιαῦται, ὡς μηδὲν τῶν ἄλλων ἀποδεῖν προφητῶν. Καὶ ὅλως μακρὸν ἂν εἴη τοῦ ἀνδρὸς διηγεῖσθαι τὰ θαύματα, ὃς τῇ ὑπερβολῇ τῶν ἐν αὐτῷ χαρισμάτων, τῶν ἐνεργουμένων ὑπὸ τοῦ Πνεύματος ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι, δεύτερος Μωϋσῆς παρ' αὐτῶν τῶν ἐχθρῶν τῆς ἀληθείας ἀνηγορεύετο (7). Οὕτως αὐτῷ ἐν παντὶ λόγῳ καὶ ἔργῳ

A hoc quoque nunc adjicimus. Visum est patribus nostris, vespertini luminis gratiam haudquaquam silentio accipere, sed mox ut apparuit agere gratias. Quis autem fuerit auctor illorum verborum, quæ dicuntur in gratiarum actione ad lucernas, dicere non possumus. Populus tamen antiquam profert vocem, neque cuiquam unquam visi sunt impietatem committere, qui dicunt, *Laudamus Patrem et Filium et Spiritum sanctum Dei*. Quod si quis etiam novit Athenogenis hymnum, quem tanquam aliquod amuletum discipulis suis reliquit, festinans jam ad consummationem per ignem; is novit et martyrum sententiam de Spiritu. Et hæc quidem hactenus.

B 74. Cæterum Gregorium Magnum, et illius voces quo loco ponam? annon cum apostolis et prophetis? virum qui eodem Spiritu quo illi versatus, quique sanctorum vestigiis per omnem vitam inhæsit, quique evangelicæ conversationis vigorem, quandiu vixit, præstitit. Equidem hoc dixerim: Injuria affecerimus veritatem, si non animam illam annumeremus iis qui Deo juncti sunt, qui velut insignis magnaque lucerna in Ecclesia Dei resplenduit, qui e Spiritus ope tremendam habuit adversus dæmones potestatem; tantam vero sermonis gratiam acceperat ad obedientiam fidei inter gentes, ut acceptis non plus septemdecim Christianis universum populum et urbanum et rusticanum per agnitionem adjunxerit Deo. C Ille et fluminum aquas in diversum vertit, præcipiens illis in magno nomine Christi, et paludem exsiccavit, belli causam præbentem fratribus avaris. Cæterum prædictiones de futuris ejusmodi sunt, ut nihilo sit inferior cæteris prophetis. Sed omnino perlongum fuerit viri percensere miracula: qui propter donorum excellentiam quæ in ipso operabatur Spiritus in omni virtute et signis ac prodigiis, ab ipsis veritatis hostibus alter Moses **63** appellabatur. In tantum in illo in omnibus tum dictis tum factis, quæ per gratiam peragebantur, veluti lumen quoddam refulgebat, cœlestis virtutis indicium, quæ ex occulto

(3) *Τοῦ ἑσπερινοῦ φωτός*. E regione horum verborum scriptum est in margine Regii quinti περὶ τοῦ φωτὸς ἱλαροῦ, quod in ipsum contextum Regii tertii irrepsit.

(4) *Ὥσπερ τι ἀλεξητήριον*. Habent editi ὥσπερ τι ἄλλο ἐξιτήριον. Quatuor mss. ὥσπερ ἄλλο τι ἐξιτήριον, *tanquam aliud aliquod valedictionis donum*. Si cui magis arrideat vulgata scriptura, litem non movebo. Sed tamen longe potior videtur scriptura Regii primi, quam in contextum recepimus. Basilius supra cap. 10 professionem fidei, quæ fit in baptismo, servandam esse docet instar tutissimi præsidii, ὡς ἀσφαλοῦς φυλακτηρίου. Idem dicit de his verbis, *In principio erat Verbum*, homil. 16, p. 158. Præterea Ducæus, cui lectio codicis Regii placet, illud ἐξιτήριον minus commode usurpari observat, nisi addatur δῶρον. Sic Basilius in epist. al. 77, ait Christum dedisse discipulis ἐξιτήριον δῶρον, *extremum munus*, nempe pacem suam. Hunc autem Athenogenem Baronius in Martyrol. 16 Jul. et Tillemontius tom. II, p. 672, eumdem esse suspicantur ac Athenagoram, qui apologiam obtulit M. Aurelio. Nititur hæc conjectura levi nominum D similitudine. Libentius crediderim eumdem hic memorari, quem Martyrologia ad diem 16 Julii cum aliis nonnullis Sebastiæ sub Diocletiano passum esse testantur. Exstant etiam illius acta apud Surium. Parvi refert, quod his in actis capite plexus, apud Basilium igne consumptus dicitur. Sunt enim acta illa prorsus insincera, nec fidem merentur. — Vide Addenda.

(5) *Περιπατήσαντα*. Duo codices ἐμπεριπατήσαντα. Paulo post illud ἦ ante ἀδικήσομεν non reperitur in quatuor mss., sed quia Basilio familiare est, ac præterea Regius secundus illud habet, nihil visum est mutandum.

(6) *Ποταμῶν*. Regius tertius ποταμοῦ.

(7) *Ἀνηγορεύετο*. Ita quatuor mss., quorum tamen in uno legitur ἀνηγόρευτο. Editi προσηγορεύετο. Ibidem Reg. secundus ἐχθρῶν τῆς Ἐκκλησίας. Paulo post editi ἐπουρανίου. Tres mss. οὐρανίου. Quibus favent duo alii in quibus legitur οὐρανίας.

assectabatur illum. Hujus adhuc etiamnum magna A est apud ejus regionis homines admiratio, novaque ac semper recens memoria sic infixa est Ecclesiis, ut nullo tempore obsolescat. Itaque non factum aliquod, non dictum, non ritum ullum mysticum, ultra quam ille reliquit, Ecclesiæ adjecerunt. Quapropter etiam multa ex his quæ apud illos aguntur, imperfecta esse videntur, propter institutionis antiquitatem. Nam qui in Ecclesiarum administrationem successerant, nihil ex his quæ post illum excogitata sunt, loco additamenti voluerunt recipere. Unum itaque ex Gregorii institutis est, etiam ille ipse glorificationis modus, cui nunc contradicitur, ex illius traditione in Ecclesia custoditus. Nec multum fuerit negotii, ei, qui iter breve susceperit, super his certitudinem accipere. Hanc fidem B et Firmiliano nostro fuisse, testantur libri quos reliquit. Insuper et Meletium illum admirandum in eadem fuisse sententia, narrant qui cum illo vixerunt. Sed quid opus est vetera commemorare? sed et nunc in Oriente, nonne hoc uno potissimum eos qui pie sentiunt agnoscunt, hac voce veluti quodam signo suos ab alienis dijudicantes? Ut autem ego e quodam Mesopotamio audivi, viro et linguæ perito, et sententia incorrupto, ne fieri quidem potest ut aliter lingua vernacula loquantur, etiamsi velint: sed necesse illis est ut per syllabam *et*, vel potius per voces quæ idem pollent quod illa, juxta proprietatem linguæ regionis illius glorificationem proferant. Quin et Cappadoces sic C juxta regionis morem loquimur, jam tum in linguarum divisione, dictionum utilitatem providente Spiritu. Quid porro Occidens totus, propemodum ab Illyrico usque ad fines nostri orbis? nonne hanc vocem tuetur?

75. Qui fit igitur, ut ego sim innovator, et recentiorum verborum architectus? cum totas nationes, civitates, et consuetudinem omni hominum memoria vetustiorem, insuper et viros Ecclesiæ columnas, omni scientia ac virtute Spiritus claros, duces ac patronos hujus vocis exhibeam? Ob hæc hostilis illa acies adversus nos commota est, omnisque civitas, vicus, et omnes extremi fines pleni sunt nos calumniantium vocibus. Molesta quidem hæc ac lugenda cordibus quærentium pacem: verum quo- D niam est magna patientiæ merces, toleratas pro fide afflictiones secutura, præter hæc et gladius splendescat, et securis acuatur, et ignis ardeat Babylonico illo vehementius, et omnia supplicio-

τῶν ἐπιτελουμένων διὰ τῆς χάριτος οἷόν τι φῶς ἐπέλαμπε, μήνυμα τῆς οὐρανίου δυνάμεως, τῆς ἐκ τοῦ ἀφανοῦς παρεπομένης αὐτῷ. Τούτου μέγα ἔτι καὶ νῦν τοῖς ἐγχωρίοις τὸ θαῦμα, καὶ νεαρὰ καὶ ἀεὶ πρόσφατος ἡ μνήμη ταῖς Ἐκκλησίαις ἐνίδρυται, οὐδενὶ χρόνῳ ἀμαυρουμένη. Οὐκοῦν οὐ πρᾶξίν τινα, οὐ λόγον, οὐ τύπον τινὰ μυστικὸν, παρ' ὃν ἐκεῖνος (8) κατέλιπε, τῇ Ἐκκλησίᾳ προσέθηκαν. Ταύτῃ τοι καὶ πολλὰ τῶν παρ' αὐτοῖς τελουμένων ἐλλειπῶς ἔχειν δοκεῖ διὰ τὸ τῆς καταστάσεως ἀρχαιότροπον. Οὐδὲν γὰρ ἠνέσχοντο οἱ κατὰ διαδοχὴν τὰς Ἐκκλησίας οἰκονομήσαντες τῶν μετ' ἐκεῖνον ἐφευρεθέντων παραδέξασθαι εἰς προσθήκην. Ἓν τοίνυν τῶν Γρηγορίου καὶ ὁ νῦν ἀντιλεγόμενος τρόπος τῆς δοξολογίας ἐστὶν, ἐκ τῆς ἐκείνου παραδόσεως τῇ Ἐκκλησίᾳ πεφυλαγμένος. Καὶ οὐ πολὺς ὁ πόνος μικρὸν κινηθέντι τὴν ἐπὶ τούτοις πληροφορίαν λαβεῖν. Ταύτην καὶ Φιρμιλιανῷ τῷ ἡμετέρῳ μαρτυροῦσι τὴν πίστιν οἱ λόγοι οὓς καταλέλοιπε (9). Καὶ Μελέτιον (10) τὸν πάνυ ἐπὶ ταύτης εἶναι τῆς γνώμης οἱ συγγεγονότες φασί. Καὶ τί δεῖ τὰ παλαιὰ λέγειν; ἀλλὰ νῦν ἐπὶ τῆς ἑῴας (11) οὐχ ἐνὶ μάλιστα τούτῳ τοὺς εὐσεβοῦντας γνωρίζουσιν, οἷόν τινι σημείῳ τῇ φωνῇ ταύτῃ φιλοκρινοῦντες; Ὡς δὲ ἐγώ τινος (12) τῶν ἐκ Μεσοποταμίας ἤκουσα, ἀνδρὸς καὶ τῆς γλώσσης ἐμπείρως ἔχοντος, καὶ ἀδιαστρόφου τὴν γνώμην, οὐδὲ δυνατὸν ἑτέρως εἰπεῖν τῇ ἐγχωρίῳ φωνῇ, κἂν ἐθέλωσιν, ἀλλὰ διὰ τῆς, *καί*, συλλαβῆς, μᾶλλον δὲ τῶν ἰσοδυναμουσῶν αὐτῇ φωνῶν, κατά τι ἰδίωμα πάτριον, ἀνάγκην αὐτοῖς εἶναι τὴν δοξολογίαν προφέρειν. Καὶ Καππαδόκαι δὲ οὕτω λέγομεν ἐγχωρίως, ἔτι τότε ἐν τῇ τῶν γλωσσῶν διαιρέσει τὸ ἐκ τῆς λέξεως χρήσιμον προβλεψαμένου τοῦ Πνεύματος. Τί δὲ ἡ δύσις ἅπασα, μικροῦ δεῖν, ἀπὸ τοῦ Ἰλλυρικοῦ μέχρι τῶν ὅρων τῆς καθ' ἡμᾶς οἰκουμένης; οὐχὶ τὴν φωνὴν ταύτην πρεσβεύει;

75. Πῶς οὖν καινοτόμος ἐγὼ, καὶ νεωτέρων ῥημάτων δημιουργὸς, ἔθνη ὅλα καὶ πόλεις, καὶ ἔθος πάσης μνήμης ἀνθρωπίνης πρεσβύτερον, καὶ ἄνδρας στύλους τῆς Ἐκκλησίας, ἐν πάσῃ γνώσει καὶ δυνάμει Πνεύματος διαπρεπεῖς, ἀρχηγοὺς καὶ προστάτας τῆς φωνῆς παρεχόμενος; Ἐπὶ τούτοις (13) τὸ πολεμικὸν τοῦτο καθ' ἡμῶν συγκεκίνηται στῖφος. Πᾶσα δὲ πόλις καὶ κώμη, καὶ ἐσχατιαὶ πᾶσαι, πλήρεις τῶν ἡμετέρων διαβολῶν. Λυπηρὰ μὲν οὖν ταῦτα καὶ ὀδυνηρὰ ταῖς καρδίαις τῶν ζητούντων τὴν εἰρήνην· ἀλλ' ἐπειδὴ μεγάλοι τῆς ὑπομονῆς οἱ μισθοὶ τῶν ὑπὲρ τῆς πίστεως παθημάτων εἰσὶ (14), πρὸς τούτοις καὶ ξίφος στιλβούσθω, καὶ πέλεκυς ἀκονάσθω, καὶ πῦρ καιέσθω τοῦ Βαβυλωνίου σφοδρότερον, καὶ πᾶν κινείσθω

(8) *Ἐκεῖνος*. Sic libri veteres. Editi ἐκείνοις.

(9) *Καταλέλοιπε*. Ita mss. Editi κατέλιπε.

(10) *Μελέτιον*. Cocus dum tuetur Erasmi sententiam, qui Basilio magnam partem hujus libri, nempe a capite decimo quinto abjudicaverat, hoc inter alia commento utitur, quod Meletius, qui Basilii æqualis, et Basilio superstes fuit, inter antiquos numeretur. Sed jamdudum explosæ ab omnibus fuerunt inanes nugæ, nec quisquam ignorat Meletium hic memorari Ponticarum regionum episcopum, quem Eusebius *Hist.* lib. VII, cap. 32, mel Atticum vocari solitum, ac plurimis sanctitatis et doctrinæ ornamentis præditum fuisse dicit; seque illius consuetudine, dum persecutionem fugiens in Palæstina degeret, totis septem annis usum fuisse.

(11) *Ἐπὶ τῆς ἑῴας*. Editi οἱ ἐπὶ τῆς ἑῴας, sed articulus nullo legitur in codice ms.

(12) *Ἐγώ τινος*. In margine duorum codicum observatur Basilium loqui de S. Ephrem Syro.

(13) *Ἐπὶ τούτοις*. Hic incipit caput trigesimum in quatuor mss. Mox editi πᾶσαι δὲ πόλεις καὶ κῶμαι. Mss. ut in textu.

(14) *Εἰσί*. Hanc vocem addidimus ex quatuor mss.

ἐφ' ἡμᾶς ὄργανον κολαστήριον· ὡς ἔμοιγε οὐδὲν φοβερώτερον τοῦ μὴ φοβεῖσθαι τὰς ἀπειλὰς, ἃς ὁ Κύριος τοῖς τὸ Πνεῦμα βλασφημοῦσιν ἐπανετείνατο. Πρὸς μὲν οὖν τοὺς εὐγνώμονας τῶν ἀνθρώπων ἱκανὴ ἀπολογία τὰ εἰρημένα, ὅτι δεχόμεθα φωνὴν οὕτω μὲν φίλην καὶ προσήγορον (15) τοῖς ἁγίοις, τοσούτῳ δὲ ἔθει βεβαιωθεῖσαν· διότι ἀφ' οὗ κατηγγέλη τὸ Εὐαγγέλιον μέχρι τοῦ νῦν, ἐμπολιτευομένη ταῖς Ἐκκλησίαις δείκνυται· καὶ τὸ μέγιστον, εὐσεβῶς καὶ ὁσίως κατὰ τὴν ἔννοιαν ἔχουσα. Πρὸς δὲ τὸ μέγα κριτήριον, τίνα τὴν ἀπολογίαν ἑαυτοῖς εὐτρεπίσαιμεν; Ὅτι ἐνῆγεν (16) ἡμᾶς πρὸς τὴν δόξαν τοῦ Πνεύματος πρῶτον μὲν ἡ παρὰ τοῦ Κυρίου τιμὴ, συμπαραλαβόντος ἑαυτῷ καὶ τῷ Πατρὶ πρὸς τὸ βάπτισμα· ἔπειτα ἡ ἑκάστου ἡμῶν διὰ τῆς τοιαύτης μυσταγωγίας πρὸς τὴν θεογνωσίαν εἰσαγωγή· ἐφ' ἅπασι δὲ ὁ φόβος τῶν ἀπειληθέντων, ἀπείργων τὴν ἔννοιαν πάσης ἀναξίας καὶ ταπεινῆς ὑπολήψεως. Οἱ δὲ ἐναντίοι τί καὶ ἐροῦσι; ποίαν ἀπολογίαν τῆς βλασφημίας ἕξουσι; μήτε τὰς τιμὰς (17) τοῦ Κυρίου καταιδεσθέντες, μήτε τὰς ἀπειλὰς αὐτοῦ φοβηθέντες. Οὗτοι μὲν οὖν κύριοι βουλεύσασθαι περὶ τῶν κατ' αὐτοὺς, ἢ καὶ μεταβουλεύσασθαι ἤδη. Αὐτὸς δ' ἂν εὐξαίμην μάλιστα μὲν δοῦναι τὸν ἀγαθὸν Θεὸν τὴν ἑαυτοῦ εἰρήνην βραβεύουσαν ἐν ταῖς καρδίαις ἁπάντων, ὥστε τοὺς σφριγῶντας καθ' ἡμῶν τούτους, καὶ συντεταγμένους (18) σφοδρῶς, ἐν Πνεύματι πραότητος καὶ ἀγάπης κατασταλῆναι· εἰ δ' ἄρα παντελῶς ἐξηγρίωνται καὶ ἀτιθασσεύτως ἔχουσιν, ἀλλ' ἡμῖν γε δοῦναι μακροθύμως φέρειν τὰ παρ' αὐτῶν. Πάντως δὲ, τοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐν ἑαυτοῖς ἔχουσιν οὐ τὸ παθεῖν ὑπὲρ τῆς πίστεως ἀλγεινὸν, ἀλλὰ τὸ μὴ ἐναθλῆσαι αὐτῇ (19) δυσφορώτατον· ἐπεὶ καὶ τοῖς ἀθληταῖς οὐ τοσοῦτον πληγὰς λαβεῖν ἀγωνιζομένοις βαρὺ, ὅσον μηδὲ παραδεχθῆναι (20) τὴν ἀρχὴν εἰς τὸ στάδιον. Ἢ τάχα οὗτος ἦν ὁ καιρὸς τοῦ σιγᾷν, κατὰ τὸν σοφὸν Σολομῶντα. Τί γὰρ ὄφελος τῷ ὄντι κεκραγέναι πρὸς ἄνεμον, οὕτω βιαίας ζάλης κατεχούσης τὸν βίον, ὑφ' ἧς πᾶσα μὲν διάνοια τῶν τὸν λόγον κατηχουμένων, οἷον ὀφθαλμὸς κονιορτοῦ τινος, τῆς ἐκ τῶν παραλογισμῶν ἀπάτης ἀναπλησθεῖσα, συγκέχυται· πᾶσα δὲ ἀκοὴ βαρυτάτοις καὶ ἀήθεσι ψόφοις καταχτυπεῖται· δονεῖται δὲ πάντα, καὶ ἐν κινδύνῳ ἐστὶ τοῦ πτώματος;

A rum instrumenta in nos moveantur; quod ad me quidem attinet, nihil arbitror formidabilius, quam non formidare minas, quas Dominus in Spiritum blasphemias jacientibus **64** intentavit. Igitur apud cordatos homines ad purgationem mei sufficiunt hæc quæ dicta sunt, quod recipimus vocem adeo gratam ac familiarem sanctis, insuper et tam diutino usu confirmatam. Nam ex quo tempore est annuntiatum Evangelium usque ad præsens, ostenditur in Ecclesiis usitata fuisse: et quod est omnium maximum, pium ac religiosum sensum habere demonstratur. Cæterum apud magnum illud tribunal, quam nobis excusationem apparaverimus? Nimirum quod induxit nos ad gloriam Spiritus primum honos illi habitus a Domino, in baptismate B Spiritum adjungente sibi et Patri [23]: præterea, quod quisque nostrum per talem initiationem ad Dei cognitionem institutus est: super omnia vero terror minarum arcens omnem indignitatis et humilioris opinionis cogitationem. Adversarii porro quid tandem dicturi sunt? quam blasphemiæ excusationem afferent? qui neque honorem, quem Dominus tribuit Spiritui, reveriti sunt, nec minis illius deterriti. Istis quidem liberum est de suo consultare negotio, aut etiam mutare consilium. Ipse vero optarim maxime quidem, ut Deus bonus det suam pacem, quæ ita in cordibus omnium præsideat, ut isti qui in nos fremunt, et in nos atrociter conglomerati insurgunt, in Spiritu lenitatis C et charitatis compescantur. Quod si prorsus efferati sunt, nec mansuescere possunt, certe det nobis illorum facta toleranter ferre. In summa, qui mortis sententiam in sese habent, his molestum non est pro fide affligi: sed maxime intolerabile est pro ea non certasse, quandoquidem athletis non perinde grave est in certamine plagas accipere, quam ne admitti quidem omnino in stadium. Aut fortassis hoc erat silentii tempus, juxta sapientem Salomonem [24]. Nam quid prodest revera clamare adversus ventum, cum tempestas adeo violenta vitam occupet, a qua mens quælibet eorum qui verbo initiati sunt, ut oculus in quo pulveris aliquid insidet, ita ratiocinationum falsarum errore oppleta, confusa est; quælibet aures gravissimis et insolitis D sonis obtunduntur, turbine vero circumaguntur omnia, suntque in periculo ruinæ?

ΚΕΦΑΛ. Λ'.

Διήγησις τῆς παρούσης τῶν Ἐκκλησιῶν καταστάσεως.

76. Τίνι οὖν ὁμοιώσομεν τὴν παροῦσαν κατάστα-

CAPUT XXX.

Expositio præsentis Ecclesiarum status.

76. Cui igitur comparabimus præsentem statum?

[23] Matth. XXVIII, 19. [24] Eccle. III, 7.

(15) *Καὶ προσήγορον*. Reg. quartus καὶ εὐπροσήγορον.

(16) *Ἐνῆγεν*. Reg. quartus ἐνήγαγεν, et paulo post idem codex ἑαυτῷ καὶ τὸ Πνεῦμα πρὸς τὸ βάπτισμα.

(17) *Τὰς τιμάς*. Legitur τὰς φωνάς in uno codice ms.

(18) *Συντεταγμένους*. Ita nostri codices mss. Editi συντεταμένους. Confirmatur nostra emendatio ex Epist. al. 79, ubi Basilius eadem voce utitur, ut mala adversariorum consilia designet.

(19) *Αὐτῇ*. Editi ἐν αὐτῇ. Sed deest præpositio in veteribus libris.

(20) *Μηδὲ παραδεχθῆναι*. Sic codices mss. Editi μὴ δεχθῆναι.

Profecto similis prælio navali, quod ex veteribus offensis viri quidam bellis nauticis assueti ac bellaces, dum multum inter sese odium alunt, suscitarunt. Nunc igitur in hac imagine mihi specta classem utrinque adverso impetu horrendum in modum ingruentem, mox ira jam eo erumpente ut sit immedicabilis, congressos dimicare. Pone, si vis, violento turbine circumagi classem, caliginemque densam e nubibus incumbere, adeoque obscurare omnes rerum visibilium species, ut nulla
65 jam sit amicorum et hostium discretio, propterea quod ob confusionem symbola militaria sint ignota. Huic imagini evidentiæ ergo addamus etiam mare intumescere, atque ab imo sursum ferri, ac vehementem imbrem e nubibus deorsum erumpere, horribilemque procellam ingentibus ac decumanis fluctibus exsurgere: post hæc ventis undique concursantibus, totam classem inter se cum fragore collidi, atque ex iis qui in acie stant, alios quidem castra sua prodere, atque flagrante prælio transfugere; alios vero cogi, ut pariter et scaphas impellant a ventis actas, et occurrant irrumpentibus, seseque mutuo per seditionem trucident: quam seditionem partim invidia adversus præstantiores, partim quæ singulis adest vincendi cupiditas excitavit. Ad hæc cogita confuso quodam et indiscreto sonitu universum illud mare compleri, partim e ventorum strepitu, partim e collisione navium, partim ex undarum impetu ferventium, partim ex vociferatione præliantium, varias voces ob ingruentia mala emittentium, ut neque naucleri, neque gubernatoris exaudiatur vox, sed sit ingens quædam perturbatio confusioque, incredibili quadam malorum magnitudine, ob vitæ desperationem, omnem eis peccandi licentiam afferente. Adjice iisdem et immedicabilem quemdam morbum, gloriæ adipiscendæ insanam cupiditatem, adeo ut nave jam in fundum prolabente, ipsi vectores de primatus contentione nihil remittant.

77. Transi jam ab imagine ad ipsum mali exemplar. Annon olim videbatur quodammodo Arianum schisma, in adversariam Ecclesiæ Dei partem separatum, in hostium acie ipsum per se solum obsistere? Verum posteaquam e longa atrocique contentione usque ad manifestum certamen in nos instructi sunt, tum denique bellum in multas partes juxta modos innumerabiles dissectum est, sic ut partim ob communem simultatem, partim ob privatam suspicionem omnibus odium implacabile esset. Hæc vero tempestas Ecclesiarum qua

A σιν; Ἦ που ὁμοία ἐστὶ πολέμῳ τινὶ ναυτικῷ, ὃν ἐκ παλαιῶν προσκρουσμάτων, πολὺν κατ' ἀλλήλων τὸν θυμὸν θρέψαντες, ναυμάχοι τινὲς ἄνδρες (21) καὶ φιλοπόλεμοι συνεστήσαντο. Ὅρα δὴ οὖν μοι ἐν τῇ εἰκόνι ταύτῃ φοβερῶς ἑκατέρωθεν ἀντεφορμῶντα τὸν στόλον, εἶτα εἰς τὸ ἀνήκεστον τῆς ὀργῆς ἐκραγείσης, συμπεσόντας διαγωνίζεσθαι. Ὑπόθου, εἰ βούλει, καὶ λαίλαπι βιαίᾳ κλονεῖσθαι τὸ ναυτικὸν, καὶ ζόφον ἀθρόως ἐκ νεφῶν ἐπισχόντα μελαίνειν πᾶν τὸ ὁρώμενον, ὡς μηδεμίαν ἔτι εἶναι φίλων καὶ πολεμίων διάκρισιν, τῶν συμβόλων αὐτοῖς ἀγνοηθέντων διὰ τὴν σύγχυσιν. Ἔτι προσθήσωμεν δι' ἐνάργειαν τῇ εἰκόνι καὶ θάλασσαν οἰδοῦσαν (22) καὶ ἄνω στρεφομένην ἐκ τῶν βυθῶν, καὶ λάβρον ἐκ νεφῶν ὕδωρ καταῤῥηγνύμενον, καὶ φοβερὸν ἐπαν-
B ιστάμενον ἐκ τρικυμίας τὸν κλύδωνα· εἶτα πανταχόθεν τῶν πνευμάτων εἰς ταυτὸν συμπεσόντων, πάντα τὸν στόλον συναρασσόμενον, καὶ τῶν ἐπὶ παρατάξεως τοὺς μὲν καταπροδιδόντας, καὶ παρ' αὐτὴν τὴν ἀγωνίαν αὐτομολοῦντας· τοὺς δὲ ἀνάγκην ἔχειν ὁμοῦ τε διωθεῖσθαι τὰ σκάφη ἐκ τῶν ἀνέμων ἐπιφερόμενα, καὶ ἀντεπιέναι τοῖς ἐφορμῶσι (23), καὶ ἀλλήλους καταφονεύειν ὑπὸ τῆς στάσεως, ἣν ὁ πρὸς τὸ ὑπερέχον φθόνος, καὶ ἡ ἐπιθυμία τοῦ αὐτὸν ἕκαστον κρατεῖν ἐνεποίησεν (24). Ἐνθυμήθητι ἐπὶ τούτοις συμμιγῆ τινα καὶ ἄσημον ἦχον πᾶσαν ἐπέχοντα (25) τὴν ἐκεῖ θάλασσαν, ἐκ τῶν περιηχούντων ἀνέμων, καὶ τοῦ πατάγου τῶν πλοίων, καὶ τοῦ ῥοθίου ζέοντος, καὶ ἐκ τῆς βοῆς τῶν πολεμούντων,
C παντοδαπὰς φωνὰς ἐπὶ τοῖς πάθεσιν ἀφιέντων· ὡς μήτε ναυάρχου, μήτε κυβερνήτου φωνὴν εἰσακούεσθαι, ἀλλὰ δεινήν τινα εἶναι (26) ἀταξίαν καὶ σύγχυσιν, τῆς τῶν κακῶν ὑπερβολῆς, διὰ τὴν πρὸς τὸ ζῆν ἀπόγνωσιν, ἅπασαν αὐτοῖς τοῦ ἁμαρτάνειν ἄδειαν ἐμποιούσης. Πρόσθες αὐτοῖς καὶ ἀμήχανόν τινα νόσον δοξομανίας (27)· ὥστε, τῆς νεὼς (28) ἤδη εἰς βυθὸν φερομένης, τοὺς ἐπιβάτας ἀλλήλοις (29) τῆς τῶν πρωτείων ἔριδος μὴ ὑφίεσθαι.

77. Μετάβα δή μοι ἀπὸ τῆς εἰκόνος ἐπ' αὐτὸ τοῦ κακοῦ τὸ ἀρχέτυπον. Οὐχὶ πάλαι μέν πως ἐδόκει τὸ Ἀρειανὸν σχίσμα, εἰς ἀντίπαλον μοῖραν ἀποκριθὲν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, ἐν πολεμίων τάξει αὐτὸ καθ' ἑαυτὸ μόνον ἀντικαθέζεσθαι; Ὅτε δὲ ἐκ τῆς
D μακρᾶς καὶ χαλεπῆς ἔριδος εἰς προφανῆ ἡμῖν ἀγῶνα ἀντικατέστησαν, τότε δὴ εἰς πολλὰ μέρη κατὰ μυρίους τρόπους ὁ πόλεμος διεσχίσθη· ὥστε καὶ διὰ τὸ κοινὸν ἔχθος, καὶ διὰ τὸ ἰδίως ὕποπτον, ἀδιάλλακτον πᾶσιν ὑπάρχειν τὸ μῖσος. Ὁ δὲ σάλος οὗτος τῶν Ἐκκλησιῶν τίνος οὐκ ἔστι θαλασσίου κλύδωνος

(21) *Ἄνδρες*. Hanc vocem addidimus ex mss. codicibus. Mox quatuor codices ἀντεφορμοῦντα. Paulo post editi ἐπελθόντα μελαίνειν πως. Quinque mss. ut in textu.

(22) *Προσθήσωμεν... οἰδοῦσαν*. Ita quinque mss. Editi προσθέσομεν... οἰδαίνουσαν. Mox editi ἀναστρεφομένην. Sed melior visa est scriptura Regii quarti quem secuti sumus

(23) *Ἐφορμῶσι*. Codices nonnulli ἐφορμοῦσι.

(24) *Ἐνεποίησεν*. Ita mss. codices. Editi ἀνεποίησεν

(25) *Ἐπέχοντα*. Ita mss. quinque. Editi ἀπηχοῦντα.

(26) *Εἶναι*. Hanc vocem ex veteribus libris addidimus. Paulo post editi πᾶσαν αὐτοῖς. Libri veteres ut in textu.

(27) *Δοξομανίας*. Reg. quartus δοξομανίαν.

(28) *Τῆς νεώς*. Tres mss. τῆς νηός.

(29) *Ἀλλήλοις*. Hanc vocem addidimus ex veteribus libris, in quibus etiam legitur paulo post ἐπ' αὐτό, pro eo quod erat in editis ἐπ' αὐτοῦ. Mox Regius tertius τῆς Ἐκκλησίας τοῦ Θεοῦ

ἀγριώτερος; ἐν ᾧ πᾶν μὲν ὅριον Πατέρων κεκίνηται, πᾶς δὲ θεμέλιος, καὶ εἴ τι ὀχύρωμα δογμάτων διασεσάλευται. Κλονεῖται δὲ πάντα καὶ κατασείεται σαθρᾷ τῇ βάσει ἐπαιωρούμενα· ἀλλήλοις δὲ ἐμπίπτοντες, ὑπ' ἀλλήλων ἀνατρεπόμεθα. Κἂν μὴ φθάσῃ βαλὼν ὁ πολέμιος, ὁ παραστάτης ἔτρωσε. Κἂν πέσῃ βληθείς, ὁ συνασπιστὴς ἐπέβη (30). Τοσοῦτον ἀλλήλοις κοινωνοῦμεν, ὅσον κοινῇ τοὺς ἐναντίους μισεῖν. Ἐπειδὰν δὲ παρέλθωσιν οἱ πολέμιοι, ἀλλήλους ἤδη βλέπομεν πολεμίους. Ἐπὶ τούτοις, τῶν ναυαγίων τὸ πλῆθος τίς ἂν ἐξαριθμήσαιτο; τῶν μὲν ἐκ τῆς τῶν πολεμίων προσβολῆς καταδύντων, τῶν δὲ ἐκ τῆς λαθραίας τῶν συμμαχούντων ἐπιβουλῆς, ἄλλων ἐκ τῆς ἀπειρίας τῶν εὐθυνόντων· ὅπου γε αὔτανδροι Ἐκκλησίαι, οἷον ὑφάλοις τισὶ τοῖς αἱρετικοῖς δόλοις προσαραχθεῖσαι διεφθάρησαν, ἄλλοι δὲ τῶν ἐχθρῶν τοῦ σωτηρίου πάθους (31), παραλαβόντες τοὺς οἴακας, περὶ τὴν πίστιν ἐναυάγησαν. Αἱ δὲ ἐκ τῶν ἀρχόντων τοῦ κόσμου τούτου ἐπαγόμεναι ταραχαὶ ποίας οὐχὶ θυέλλης καὶ καταιγίδος σφοδρότερον (32) τοὺς λαοὺς ἀνατρέπουσι; Κατηφὴς δέ τις ὄντως (33) καὶ στυγνὴ σκοτόμαινα τὰς Ἐκκλησίας ἐπέχει, τῶν λαμπτήρων τοῦ κόσμου, οὓς ἔθετο ὁ Θεὸς τὰς ψυχὰς τῶν λαῶν φωτίζειν, ἐξοικισθέντων. Τὸ δὲ ὑπερβάλλον αὐτοῖς τῆς πρὸς ἀλλήλους φιλονεικίας, ἐπικρεμαμένου ἤδη τοῦ φόβου τῆς τοῦ παντὸς διαλύσεως, παραιτεῖται (34) τὴν αἴσθησιν. Τοῦ γὰρ κοινοῦ καὶ δημοσίου πολέμου πλεῖόν ἐστι τὸ ἴδιον δυσμενὲς, τῆς ἐκ τοῦ κρατῆσαι τῶν ἐναντίων δόξης τοῦ κοινῶς πᾶσι λυσιτελοῦντος προτιθεμένης, οἷς τὸ παραυτίκα τῆς φιλοτιμίας τερπνὸν τῶν εἰς ὕστερον ἀποκειμένων μισθῶν προτιμότερον. Διόπερ πάντες ὁμοίως, καθ' ὃν ἂν ἕκαστος δύνηται τρόπον, τὰς φονικὰς χεῖρας ἀλλήλοις ἀντεπιφέρουσι. Τραχεῖα δέ τις κραυγὴ τῶν ἐξ ἀντιλογίας παρατριβομένων ἀλλήλοις, καὶ βοὴ ἄσημος, καὶ δύσκριτος ἦχος ἐκ τῶν ἀσιγήτων θορύβων, πᾶσαν ἤδη σχεδὸν Ἐκκλησίαν πεπλήρωκεν, ἐπὶ ὑπερβολὰς καὶ ἐλλείψεις τὸ εὐθὲς δόγμα τῆς εὐσεβείας παρατρεπόντων. Οἱ μὲν γὰρ ἐπὶ Ἰουδαϊσμὸν διὰ τῆς συγχύσεως τῶν προσώπων, οἱ δὲ ἐπὶ Ἑλληνισμὸν διὰ τῆς τῶν φύσεων ἐναντιότητος παραφέρονται· οὔτε τῆς θεοπνεύστου Γραφῆς μεσιτεύειν αὐτοῖς ἐξαρκούσης, οὔτε τῶν ἀποστολικῶν παραδόσεων τὰς πρὸς ἀλλήλους αὐτοῖς διαλλαγὰς βραβευουσῶν. Εἷς δὲ ὅρος φιλίας, τὸ καθ' ἡδονὴν εἰπεῖν· καὶ ἔχθρας ἀρκοῦσα πρόφασις, τὸ μὴ συμβῆναι ταῖς δόξαις. Πάσης δὲ συνωμοσίας πιστότερον πρὸς κοινωνίαν στάσεως ἡ τοῦ σφάλματος ὁμοιότης. Θεολόγος δὲ πᾶς, καὶ ὁ μυρίαις κηλῖσι τὴν ψυχὴν στιγματίας (35). Ἐντεῦθεν τοῖς νεωτεροποιοῖς εὐπορία τῶν συστασιαζόντων πολλή. Τοιγαροῦν αὐτοχειροτόνη-

A tandem marina procella non est atrocior? In qua ut omnes Patrum termini loco moti sunt, ita omne fundamentum, et si quod dogmatum munimentum, convulsum est. Volvuntur insuper et quassantur omnia, putri basi innitentia, dumque alii in alios vicissim impetum facimus, alii ab aliis subvertimur. Et si te prior non percusserit hostis, is qui auxiliatur, vulnerat. Quod si ille ceciderit ictus, commilito jam insurgit. Tantum inter nos habemus societatis, quantum communi odio adversarios prosequimur. Ubi porro præterierint hostes, jam nos inter nos hostes videmus esse. His de causis quis enumerare possit naufragiorum multitudinem, vel eorum qui hostium impressione demerguntur, vel qui ex occultis sociorum insidiis occidunt, vel qui B per imperitiam ducum pereunt; cum Ecclesiæ una cum ipsis hominibus, hæreticorum dolis velut 66 sub aqua latentibus scopulis illisæ, perditæ sint: alii vero ex hostibus salutiferæ passionis, qui gubernacula occuparunt, circa fidem naufragium fecerint? Cæterum turbæ ab hujus mundi principibus proficiscentes, qua non procella, quo non turbine horribilius subvertunt populos? Ecclesias vero caligo quædam adeo plane tristis ac mœsta occupat, videlicet luminaribus mundi, quæ Deus posuerat ad illuminandas populorum animas, domo profligatis. Porro immodica jam inter ipsos vincendi contentio, cum jam immineat terror minitans ruinam universi, adimit mali sensum. Nam privata C simultas plus est quam commune publicumque bellum, dum adversarios vincendi gloria præfertur publicæ omnium utilitati, quibus præsens temporariaque gloriæ voluptas prior ac potior est præmiis in posterum repositis. Eoque omnes pariter quocunque possunt modo interfectrices manus sibi invicem afferunt. Acerbus autem quidam clamor eorum, qui ex contentione sese mutuo collidunt, confusaque vociferatio, indistinctus sonitus e nunquam silentibus tumultibus, totam prope jam Ecclesiam implevit, per excessus ac defectus rectum pietatis dogma subvertentibus. Nam alii quidem ad Judaismum, ob personarum confusionem, alii contra, ad paganismum per naturarum contrarietatem deferuntur: adeo ut nec divinitus inspirata Scriptura D inter illos sequestram agere possit, nec apostolicæ traditiones illos inter se conciliare valeant. Sed unicus amicitiæ finis est ad gratiam loqui: ac sufficiens est inimicitiæ causa, opinionibus dissentire. Porro erroris similitudo res est quavis conjuratione firmior ad seditionis societatem. Theologus vero quilibet est, is etiam, qui maculis innumerabilibus animam habeat notatam. Hinc rerum novatoribus

(30) *Ἐπέβη*. Ita Regius secundus, multo melius quam editi ἐπανέβη. Tres alii codices ἐπενέβη.

(31) *Σωτηρίου πάθους*. Ita ope Regii secundi emendavimus quod in editis legebatur σωτηρίου Πνεύματος, non ex stylo et more Basilii, qui Spiritum sanctum σωτήριον nusquam appellat. Unde Combefisius legendum putabat σωτηρίου κηρύγματος.

(32) *Σφοδρότερον*. Reg. secundus βαρύτερον.

(33) *Ὄντως*. Ita mss. codices. Editi οὕτως.

(34) *Παραιτεῖται*. Reg. secundus παραιρεῖται. Paulo post editi κρατεῖσθαι. Mss. ut in textu. Subinde Reg. secundus τῆς φιλονεικίας τερπνόν

(35) *Στιγματίας*. Ita mss. quatuor. Editi στιγματίσας.

multa copia simul excitantium seditionem. Itaque qui seipsos suis elegere suffragiis, quique affectant principatum, ii Ecclesiarum præfecturas sortiuntur, repulsa sancti Spiritus administratione. Jamque prorsus evangelicis ritibus ob sublatum rerum ordinem confusis, ineffabilis est ad præfecturas irruptio, unoquoque eorum qui ambitione laborant, sese in dignitates per vim intrudente. Jam vero gravis quædam anarchia ab hoc principatus amore populos invasit: unde irritæ sunt prorsus ac inanes præfectorum exhortationes, dum nemo se magis alteri auscultare, quam aliis imperare debere, ob fastum ex inscitia conceptum existimat.

78. Has ob res silere utilius judicavi, quam loqui, tanquam hominis vox per tantos tumultus exaudiri non possit. Nam si vera sunt quæ dixit Ecclesiastes [25], verba sapientum in quiete audiri, plurimum abest, ut in hoc statu rerum de his loqui conveniat. Me vero etiam illud propheticum dictum reprimit: *Intelligens in tempore illo tacebit: eo quod tempus malum est* [26], in quo alii quidem supplantant, alii vero insultant lapso, alii vero applaudunt; sed qui **67** labascenti manum ex misericordia porrigat, nullus est; quanquam juxta legem veterem [27], ne is quidem qui vel jumentum inimici sub onere collapsum præterierit, caret reprehensione. Sed non itidem fit hisce temporibus. Quinam fieret? quando refrigerata omnium charitate, sublata est fratrum conspiratio, concordiæ vero etiam nomen ignoratur; sublatæ sunt autem etiam amicæ admonitiones, nusquam viscera Christiana, nusquam lacryma ex commiseratione. Non est qui infirmum in fide suscipiat, sed tantum odium inter tribules exarsit, ut quisque magis de proximi lapsibus, quam de propriis recte factis exsultet. Quemadmodum autem in contagiis pestilentiarum etiam ii qui summa cura servant victus rationem, tamen iisdem morbis quibus alii laborant, dum ob consuetudinem eorum qui corrupti sunt, opplentur ipsi ægrotatione: itidem nunc omnes similes inter nos facti sumus, a contentione, quæ nostros animos occupavit, ad malorum æmulationem perducti. Hinc implacabiles et amari sedent erratorum examinatores, iniqui vero et malevoli recte factorum judices: ac tantum, ut videtur, malum nobis insedit, ut ratione destituamur magis, quam ipsa animalia bruta: siquidem illa quæ sunt ejusdem generis, inter sese consociantur, at nobis atrocissimum bellum est adversus domesticos.

[25] Eccle. IX, 17. [26] Amos V, 13. [27] Ezech. XXIII, 5.

A τοι καὶ σπουδαρχίδαι τῶν Ἐκκλησιῶν τὰς προστασίας διαλαγχάνουσι, τὴν οἰκονομίαν τοῦ ἁγίου Πνεύματος παρωσάμενοι. Καὶ παντελῶς ἤδη τῶν εὐαγγελικῶν θεσμῶν ἐξ ἀκοσμίας συγκεχυμένων, ἀμύθητος ὠθισμὸς ἐπὶ τὰς προεδρίας ἐστὶ, τῶν φανητιώντων ἑκάστου ἑαυτὸν εἰσποιεῖν τῇ προστασίᾳ βιαζομένου. Ἀναρχία δέ τις δεινὴ ἀπὸ τῆς φιλαρχίας ταύτης τοῖς λαοῖς ἐπεκώμασεν· ὅθεν ἄπρακτοι παντελῶς καὶ ἀργαὶ τῶν ἐπιστατούντων αἱ παρακλήσεις, οὐ μᾶλλον ἀκούειν τινὸς, ἢ αὐτῷ (36) ἄρχειν ἑτέρων ὀφειλόμενον εἶναι ἑκάστου διὰ τὸν ἐξ ἀμαθίας τῦφον λογιζομένου.

78. Διὰ ταῦτα λυσιτελεστέραν τοῦ λόγου τὴν σιωπὴν
B ἐτιθέμην, ὡς οὐ δυναμένης φωνῆς ἀνθρώπου διὰ τοσούτων θορύβων εἰσακουσθῆναι. Εἰ γὰρ ἀληθῆ τὰ τοῦ Ἐκκλησιαστοῦ ῥήματα, ὅτι Λόγοι σοφῶν ἐν ἀναπαύσει ἀκούονται, πολλοῦ ἂν δέοι πρέπειν τῇ νῦν καταστάσει τὸ περὶ τούτων λέγειν. Ἐμὲ δὲ καὶ τὸ προφητικὸν ἐκεῖνο κατέχει λόγιον, ὅτι *Ὁ συνιὼν ἐν τῷ καιρῷ ἐκείνῳ* (37) *σιωπήσεται· διότι ὁ καιρὸς πονηρός ἐστιν*· ἐν ᾧ οἱ μὲν ὑποσκελίζουσι νῦν, οἱ δὲ ἐνάλλονται τῷ πεσόντι, ἄλλοι δὲ ἐπικροτοῦσιν· ὁ δὲ τῷ ὀκλάσαντι χεῖρα ὀρέγων ἐκ συμπαθείας οὐκ ἔστι· καίτοιγε, κατὰ τὸν παλαιὸν νόμον, οὐδ' ὁ τὸ ὑποζύγιον τοῦ ἐχθροῦ πεπτωκὸς ὑπὸ τὸν γόμον (38) παραδραμὼν ἀκατάγνωστος. Ἀλλ' οὐχὶ τανῦν τοιαῦτα. Πόθεν; ὅπου γε, διὰ πάντων τῆς ἀγάπης ψυγείσης, ἀνῄρηται μὲν ἀδελφῶν σύμπνοια, ὁμονοίας
C δὲ ἀγνοεῖται καὶ τοὔνομα· ἀνῄρηνται δὲ ἀγαπητικαὶ νουθεσίαι· οὐδαμοῦ σπλάγχνον Χριστιανὸν (39), οὐδαμοῦ δάκρυον συμπαθές. Οὐκ ἔστιν ὁ τὸν ἀσθενοῦντα τῇ πίστει προσλαμβανόμενος, ἀλλὰ τοσοῦτον μῖσος τοῖς ὁμοφύλοις πρὸς ἀλλήλους ἐκκέκαυται, ὥστε μᾶλλον τοῖς πλησίον πτώμασιν ἢ τοῖς οἰκείοις ἕκαστος κατορθώμασιν ἐπαγάλλονται. Ὥσπερ δὲ ἐν ταῖς λοιμικαῖς συμπαθείαις καὶ οἱ κατὰ πᾶσαν ἀκρίβειαν διαιτώμενοι τὰ ἴσα τοῖς ἄλλοις κάμνουσιν, ἐκ τῆς πρὸς τοὺς διεφθαρμένους ὁμιλίας τῆς ἀῤῥωστίας (40) ἀναπιμπλάμενοι· οὕτω καὶ νῦν πάντες ἀλλήλοις γεγόναμεν ὅμοιοι, ὑπὸ τῆς κατασχούσης τὰς ψυχὰς ἡμῶν φιλονεικίας πρὸς τὸν τῶν κακῶν ζῆλον ὑπενεχθέντες. Ἐντεῦθεν ἀσύγγνωστοι μὲν καὶ πικροὶ κάθηνται τῶν ἀποτυγχανομένων ἐξετασταὶ, ἀγνώμονες
D δὲ καὶ δυσμενεῖς τῶν κατορθουμένων κριταί· καὶ τοσοῦτον, ὡς ἔοικε, τὸ κακὸν ἡμῖν ἐνίδρυται, ὥστε καὶ τῶν ἀλόγων γεγόναμεν ἀλογώτεροι· εἴ γε ἐκεῖνα μὲν τὰ ὁμόφυλα ἀλλήλοις συναγελάζεται, ἡμῖν δὲ ὁ χαλεπώτατος πόλεμος πρὸς τοὺς οἰκείους ἐστί.

(36) *Ἡ αὐτῷ*. Ita codices nostri omnes. Editi ἢ αὐτόν.

(37) *Ἐν τῷ καιρῷ ἐκείνῳ*. Hæc desunt in tribus mss. Legitur etiam in nonnullis codicibus καιρὸς πονηρῶν ἐστιν.

(38) *Τὸν γόμον*. Sic mss. codices. Editi τῶν γόμων.

(39) *Χριστιανόν*. Sic veteres libri. Editi χρηστόν.

(40) *Ἀῤῥωστίας*. Duo Regii codices addunt πάσης. Non multo post editi ὑπαχθέντες. Codices mss. ut in textu.

79. Τούτων μὲν οὖν πάντων ἕνεκεν σιωπᾷν ἔδει, ἀλλ' ἀνθεῖλκε (41) γὰρ ἑτέρωθεν ἡ ἀγάπη, οὐ ζητοῦσα τὸ ἑαυτῆς, καὶ νικᾷν ἀξιοῦσα πᾶσαν καιρῶν καὶ πραγμάτων δυσχέρειαν. Ἐδίδαξαν δὲ ἡμᾶς καὶ οἱ ἐπὶ τῆς Βαβυλωνίας παῖδες, καὶ μηδενὸς ὄντος τοῦ συντιθεμένου τῇ εὐσεβείᾳ, καθ' ἑαυτοὺς τὸ ἐπιβάλλον ἐκτελεῖν· οἵ γε ἐκ μέσης τῆς φλογὸς τὸν Θεὸν ἀνύμνουν, μὴ λογιζόμενοι τὸ πλῆθος τῶν τὴν ἀλήθειαν ἀθετούντων, ἀλλ' ἀλλήλοις ἀρκούμενοι, τρεῖς ὄντες. Διόπερ οὐδὲ ἡμῖν ὄκνον ἐνεποίησε τῶν πολεμίων τὸ νέφος, ἀλλὰ τὴν ἐλπίδα θέμενοι ἐπὶ τὴν βοήθειαν τοῦ Πνεύματος, ἐν πάσῃ παῤῥησίᾳ κατηγγείλαμεν τὴν ἀλήθειαν. Ἢ πάντων ἂν ἦν σχετλιώτατον, τοὺς μὲν βλασφημοῦντας τὸ Πνεῦμα οὕτως εὐκόλως πρὸς τὸν εὐσεβῆ (42) λόγον ἀποθρασύνεσθαι· ἡμᾶς δὲ, τηλικοῦτον ἔχοντας συνασπιστὴν καὶ συνήγορον, ὀκνεῖν τὸν λόγον διακονεῖν (43), τὸν ἐκ τῆς τῶν πατέρων παραδόσεως πρὸς ἡμᾶς ἀκολουθίᾳ μνήμης διασωθέντα. Ἐπὶ πλεῖον δὲ ἡμῶν ἐπήγειρε τὴν ὁρμὴν τῆς τε ἀνυποκρίτου σου ἀγάπης τὸ διάπυρον καὶ τὸ τοῦ τρόπου ἐμβριθὲς καὶ ἡσύχιον, ἐγγυώμενον μὴ εἰς πολλοὺς ἐξοίσειν τὰ ῥηθησόμενα· οὐχ ὡς ἄξια κατακρύπτεσθαι, ἀλλ' ὥστε μὴ ῥίπτεσθαι τοῖς χοίροις τοὺς μαργαρίτας. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Σοὶ δὲ, εἰ μὲν ἀρκούντως ἔχει τὰ εἰρημένα, τοῦτο πέρας ἔστω τοῦ περὶ τούτων λόγου. Εἰ δὲ ἐλλιπῶς ἔχειν δόξει, φθόνος οὐδεὶς φιλοπόνως προσεδρεύοντα τῇ ζητήσει, δι' ἐρωτήσεως ἀφιλονείκου προστιθέναι τῇ γνώσει. Δώσει γὰρ ὁ Κύριος ἢ δι' ἡμῶν, ἢ δι' ἑτέρων (44), τῶν λειπομένων τὴν πλήρωσιν κατὰ τὴν ἐπιχορηγουμένην τοῖς ἀξίοις αὐτοῦ γνῶσιν ὑπὸ τοῦ Πνεύματος.

79. Itaque propter has omnes causas silendum erat, sed in diversam partem retraxit charitas, non quærens quod ipsius est [28], ac vincere cupiens omnem temporum ac rerum difficultatem. Quin et pueri qui fuerunt in Babylonia docuerunt nos, etiamsi nemo sit qui pietati suffragetur, tamen privatim quod officii nostri est peragere : qui quidem ex incendio medio canebant hymnos Deo, haud reputantes multitudinem aspernantium veritatem, sed sibi invicem sufficientes, cum essent tres [29]. Quapropter ne nos quidem deterruit hostium nubes, sed fixa spe in præsidio Spiritus, cum omni fiducia veritatem annuntiavimus. Alioqui foret omnium miserrimum, eos qui conviciis incessunt Spiritum, tam facile adversus piam doctrinam animo efferri ac insolescere : nos vero qui talem habemus protectorem ac patronum, non audere doctrinam tradere, quæ ex majorum traditione perpetua memoriæ serie ad nos usque servata fuit. Magis tamen excitavit impetum nostrum igneus charitatis tuæ non fictæ fervor, morumque tuorum gravitas ac taciturnitas : quæ res spondebant fore, ut ea quæ dicturi essemus non prodirent in vulgus : non quod digna sint quæ celentur, sed ne margaritæ projiciantur porcis. Et hæc quidem hactenus. Quod si tibi de his satis dictum videtur, sit hic sermonis finis : sin minus, nulla invidia est, studiose insidentem inquisitioni, per interrogationem a contentione alienam aliquid addere cognitioni. Dabit enim Dominus aut per nos aut per alios, eorum quæ desunt complementum, juxta scientiam quæ dignis subministratur a Spiritu.

[28] I Cor. XIII, 5. [29] Dan. III 12.

(41) *Ἀνθεῖλκε* Sic mss. codices. Editi ἀνθεῖλε.
(42) *Εὐσεβῆ*. Sic omnes nostri codices, exceptis tamen Regio secundo et Colbertino, in quibus desunt aliquot folia. Contra in editis legebatur ἀσεβῆ.
(43) *Διακονεῖν*. Deest ea vox in quatuor illis codicibus; sic tamen ut in ora Regii quarti legatur.
(44) *Ἢ δι' ἡμῶν, ἢ δι' ἑτέρων*. Ita nostri codices mss. Editi δι' ἡμῶν, ἢ καὶ δι' ἑτέρων. Mox duo codices τῶν λειπόντων, alii duo τῶν λοιπῶν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΒΑΣΙΛΕΙΟΥ
ΕΠΙΣΤΟΛΑΙ.

SANCTI PATRIS NOSTRI BASILII
EPISTOLÆ

68-69 SECUNDUM ORDINEM TEMPORUM NUNC PRIMUM DISPOSITÆ ET IN TRES CLASSES DISTRIBUTÆ.

CLASSIS I. Continet epistolas ante episcopatum scriptas ab anno 357 ad annum 370. Quibus adduntur nonnullæ dubiæ, quia videntur ad hoc tempus pertinere.

II. Quas episcopus scripsit ab anno 370 ad annum 378.

III. Epistolas nulla temporis nota signatas, cum pluribus dubiis et spuriis nonnullis.

CLASSIS PRIMA.

EPISTOLA I^a.

Fingit Basilius sese, dum Eustathium frustra quærit in variis regionibus, pene dubitasse annon fato aut fortuna omnia fiant, sed illius litteris recreatum mutasse sententiam; hæc, inquam, fingit ut refellat acutius, et providentiam statuat.

Eustathio philosopho.

A Jam me animo deficientem ob illatas ab ea quæ dicitur fortuna injurias, a qua semper aliquid impedimenti exstitit, quominus tecum congrederer, litteris miro quodam modo recreasti ac consolatus es. Jam enim apud me ipse quodam modo versabam, annon forte verum sit, quod a pluribus dictitatur, necessitate quadam ac fato res nostras sive parvas sive magnas regi, nec ullius rei nos homines esse dominos; aut si res ita se non habet, fortuna quadam humanam vitam prorsus agitari. Atque his cogitationibus plurimam dabis veniam, ubi causas, quibus ad eas adductus sim, didiceris. Ego reliqui Athenas ob tuæ philosophiæ famam, contemptis quæ illic

ΕΠΙΣΤΟΛΗ Α'.

Εὐσταθίῳ φιλοσόφῳ (45).

Ἀπειρηκότα με ἤδη πρὸς τὰς παρὰ τῆς λεγομένης (46) τύχης ἐπηρείας, παρ' ἧς ἀεί τι πρὸς τὸ μὴ συγγενέσθαι σοι ἐμπόδιον γέγονε, θαυμαστῶς πως ἀνεκαλέσω καὶ παρεμυθήσω τοῖς γράμμασι. Καὶ γάρ πως ἤδη καὶ κατ' ἐμαυτὸν ἔστρεφον, μή ποτε ἀληθές ἐστι τὸ παρὰ τῶν πολλῶν θρυλλούμενον, ὅτι ἀνάγκη τίς ἐστι καὶ εἱμαρμένη ἡ καὶ τὰ μικρὰ καὶ τὰ μείζω τῶν ἡμετέρων ἄγουσα· αὐτοὶ δὲ οὐδενός ἐσμεν οἱ ἄνθρωποι κύριοι· ἢ εἰ μὴ τοῦτο, τύχη τις πάντως τὸν ἀνθρώπινον ἐλαύνει βίον. Καὶ τούτων πολλὴν συγγνώμην ἕξεις τῶν λογισμῶν, ἐπειδὰν τὰς αἰτίας, ὑφ' ὧν εἰς αὐτοὺς προήχθην, μάθῃς. Ἐγὼ κατέλιπον τὰς Ἀθήνας κατὰ φήμην τῆς σῆς φιλοσοφίας, ὑπεριδὼν τῶν ἐκεῖ. Παρέδραμον δὲ τὴν ἐφ'

B

Alias CLXV. Scripta anno 357.

(45) *Εὐσταθίῳ φιλοσόφῳ*. Codex Reg. primus sic habet: Πρὸς τὸν Εὐστάθιον πρεσβύτερον Ἀντιοχείας, *Ad Eustathium presbyterum Antiochiæ*. Codex Vaticanus et Coislinianus recentior, et Regius secundus: Πρὸς Εὐστάθιον φιλόσοφον ἀπὸ Ἀντιοχείας, πρὸ τοῦ πρεσβύτερον κατασταθῆναι, *Ad Eustathium philosophum ab Antiochia, priusquam presbyter crearetur*, Basilius videlicet. Inde videtur derivata codicis Harlæani mendosa lectio: Εὐσταθίῳ φιλοσόφῳ Ἀντιοχείας περὶ τοῦ πρεσβυτερίου, *Eustathio philosopho Antiochiæ de sacerdotio*. Sed his titulis parum hoc loco tribuendum. Nam nec presbyter erat Eustathius ille, sed ethnicus, ut indicant hæc Basilii verba: *Hæc, quæso, nonne sunt opera fati, uti tu dixeris, nonne necessitatis?* Neque etiam Antiochia ortus videtur fuisse, sed Cappadocia, ubi spes illius videndi et antea Basilium Athenis redeuntem tenuerat, et tunc etiam Alexandriæ ægrotantem tenebat. Unde merito idem esse creditur Eustathio illi, quem pluribus laudat Eunapius, et Cappadocia ortum testatur. Si quis autem his verbis ἀπὸ Ἀντιοχείας significari velit Basilium Antiochiæ scripsisse: ne id quidem verum erit. Tunc enim, ut ipse declarat, Alexandriæ morabatur. Id unum ex citatis codicibus erui potest, Basilium hæç scripsisse antequam presbyter crearetur.

(46) *Λεγομένης* deest in quinque codicibus mss. non vetustissimis.

A Ἑλλησπόντῳ πόλιν, ὡς οὐδεὶς Ὀδυσσεὺς Σειρήνων μέλη. Καὶ τὴν Ἀσίαν ἐθαύμασα μὲν, πρὸς δὲ τὴν μητρόπολιν (47) τῶν ἐν αὐτῇ καλῶν ἠπειγόμην. Ἐπεὶ δὲ κατέλαβον τὴν πατρίδα, καὶ σε ἐν αὐτῇ τὸ μέγα ὄφελος ζητήσας οὐχ εὗρον, ἐντεῦθέν μοι λοιπὸν αἱ πολλαὶ καὶ ποικίλαι ἀφορμαὶ τῶν ἀδοκήτων ἐπιγεγόνασι κωλυμάτων. Ἢ γὰρ ἀσθενεῖν πάντως ἔδει, καὶ διὰ τοῦτο ἀπολείπεσθαι· ἢ ἐπὶ τὴν ἑῴαν βαδίζοντι συναπαίρειν μὴ δύνασθαι· ὀψὲ δέ ποτε μυρίοις πόνοις τὴν Συρίαν καταλαβόντα, οὐκ ἔχειν συνεῖναι τῷ φιλοσόφῳ πρὸς Αἰγυπτίους ἀπάραντι. Πάλιν οὖν ἔδει Αἴγυπτόνδ' ἰέναι (48), δολιχὴν ὁδὸν ἀργαλέην τε· καὶ οὐδ' ἐνταῦθα τὸ σπουδαζόμενον ἔχειν. Ἀλλ' οὕτω δύσερως ἦν, ὥστε ἢ τὴν ἐπὶ Πέρσας βαδίζειν ἔδει, καὶ συμπροϊέναι εἰς ὅτι μήκιστον τῆς βαρβάρων B (ἦλθες γὰρ δὴ κἀκεῖσε· τοσαύτη τις ἦν φιλονεικία τοῦ δαίμονος), ἢ αὐτοῦ καθῆσθαι ἐπὶ τῆς (49) Ἀλεξάνδρου, ὅπερ οὖν καὶ συνέβη. Δοκῶ γάρ μοι, εἰ μὴ, ὥσπερ τι θρέμμα, θαλλῷ προδεικνυμένῳ ἑπόμενος ἀπηγόρευσα, ἐπέκεινα ἄν σε (50) καὶ Νύσσης τῆς Ἰνδικῆς ἐλθεῖν ἀγόμενον, καὶ εἴ τι ἔσχατον τῆς καθ' ἡμᾶς οἰκουμένης χωρίον, καὶ τούτῳ ἐπιπλανηθῆναι. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; Ἀλλὰ τὸ τελευταῖον νῦν ἐπὶ τῆς πατρίδος (51) διάγοντι συγγενέσθαι οὐκ ἐξεγένετο, μακραῖς ἀῤῥωστίαις ἐξειργομένῳ· αἳ εἰ μὴ τοῦγε λοιποῦ μετριώτεραι γένοιντο, οὐδὲ κατὰ τὸν χειμῶνα τῇ λογιότητί σου συνεσόμεθα. Ταῦτα οὐχ εἱμαρμένης ἔργα, ὡς ἂν αὐτὸς εἴποις; ταῦτα οὐκ ἀνάγκης; ταῦτα οὐχὶ, μικροῦ δεῖν, καὶ τοὺς τῶν ποιητῶν ἐπὶ Ταντάλῳ μύθους ὑπερεβάλετο (52); C Ἀλλ', ὅπερ ἔφην, ῥᾴων γέγονα τοῖς γράμμασι, καὶ οὐκέτι ἐπὶ τῆς αὐτῆς εἰμι γνώμης. Φημὶ δὲ χρῆναι (53), διδόντι μὲν τὰ ἀγαθὰ τῷ Θεῷ χάριν εἰδέναι, ταμιευομένῳ δὲ μὴ δυσχεραίνειν. Καὶ δὴ οὖν καὶ ἡμῖν εἰ μὲν παράσχοιτο (54) συνεῖναί σοι, ταῦτ' ἄριστά τε ὁμοῦ καὶ ἥδιστα ἡγησόμεθα· εἰ δὲ ἀναβάλοιτο, πρᾴως οἴσομεν τὴν ζημίαν. Ἄμεινον γάρ που πάντως, ἢ ὡς ἂν ἡμεῖς προελοίμεθα (55), διοικεῖ τὰ ἡμέτερα.

sunt. Præterii autem citius Hellesponti civitatem, quam quisquam Ulysses Sirenum cantus. Et Asiam quidem admiratus sum; sed ad bonorum, quæ in ea sunt, metropolim properabam. Postquam autem veni in patriam, teque ingens lucrum in ea quæsitum non inveni; hinc **70** mihi deinceps multæ variæque occasiones inopinatorum obortæ sunt impedimentorum. Vel enim ægrotandum prorsus fuit, teque idcirco carendum; vel necesse fuit tecum abeunte in Orientem proficisci non posse, et cum tandem aliquando innumeris laboribus in Syriam pervenissem, philosophi, qui in Ægyptum abierat, congressum non assequi. Rursus igitur proficiscendum fuit in Ægyptum, longo et difficili itinere, ac ne illic quidem assequendum quod erat in optatis. Sed tam infausto amore capiebar, ut aut ad Persas eundum mihi esset, et ad extremos usque barbaros simul proficiscendum (siquidem illuc etiam veneras: usque adeo obsistebat dæmon), aut hic sedendum Alexandriæ: id quod et contigit. Puto enim nisi pecudis instar præmonstratum ramum sequendo defatigatus essem, futurum fuisse ut vel ultra Nyssam Indicam actus pergeres, ac si quis extremus orbis nostri locus, in eo etiam errares. Sed quid multa opus est referre? Nunc postremo cum in patria verseris, tecum esse non contigit, eo quod diuturnis morbis detinear: qui nisi deinceps mitiores fiant, ne in hieme quidem prudentiam tuam conveniemus. Hæc, quæso, nonne sunt opera fati, uti tu dixeris? nonne necessitatis? hæc nonne propemodum poetarum de Tantalo fabulas superarunt? Sed, ut dixi, ex litteris tuis melius me habui, nec jam amplius in eadem sum sententia. Censeo autem oportere Deo bona largienti gratias agere, procrastinanti vero non succensere. Et sane, si nobis dederit tecum esse, optima hæc simulque jucundissima putabimus: si rem differat, damnum leniter feremus. Nam melius profecto, quam nos ipsi eligere possimus, nostra moderatur.

(47) *Μητρόπολιν*. Liquet urbem in Hellesponto sitam esse Constantinopolim. Asiæ autem metropolim non Ephesum videtur appellare Basilius, sed Cæsaream; illuc enim mente et animo ferebatur; hic illius viæ finis; et dum hunc ei titulum tribuit ob rerum bonarum ornamenta, satis indicat jure debitum non fuisse. Paulo post legimus cum antiquis codicibus ἐπεὶ δέ pro eo quod est in editis ἐπειδὴ δέ.

(48) *Αἴγυπτόνδ' ἰέναι*. Duo codices mss. Αἴγυπτόν τ' ἰέναι, quatuor alii Αἴγυπτόν τε ἰέναι. Paulo post vocula δή addita ex duobus codicibus mss.

(49) *Ἐπὶ τῆς*. Editi ἢ ἐπὶ τῆς. Erratum sustulimus auctoritate codicis Coisliniani antiquioris et Harlæani.

(50) *Ἐπέκεινα ἄν σε*. Sic codices antiqui septem; male in editis ἐπέκεινα ἄν με, quod sententiæ acumen prorsus elidebat.

(51) *Ἐπὶ τῆς πατρίδος*. Sic duo vetustissimi codices Coislinianus et Medicæus. Sic etiam habuit prima manu alius antiquissimus codex, olim bibliothecæ Harlæanæ, nunc Sangermanensis ex dono illustrissimi senatus principis Harlæi. Codex Anglicanus ἐπὶ τῆς αὐτῆς πατρίδος, *in eadem patria*. Editi et alii mss. ἐπὶ τῆς αὐτῆς χώρας, *in eadem regione*, id est, cum in eadem regione verseris, nec jam locum ex loco mutes. Codex Anglicanus, in quo perspicuum est vocem πατρίδος assutam fuisse, D dat conjiciendi copiam, scripsisse Basilium ἐπὶ τῆς αὐτῆς, supplendo χώρας· in nonnullis autem libris additum fuisse χώρας, in aliis vero, cum ad marginem scriptum esset πατρίδος, ut indicaretur quo in loco moraretur Eustathius, hanc vocem in contextum migrasse. Cæterum hanc conjecturam præferre nolui antiquissimis codicibus.

(52) *Ὑπερεβάλετο*. Sic quinque optimi mss. Editi ὑπερεβάλλετο.

(53) *Φημὶ δὲ χρῆναι*. Huc spectabat perelegans Basilii ironia. Nam fingere se in aliquam opinionem inclinasse, sed eam coactum esse rejicere, peracuta est refellendi ratio.

(54) *Παράσχοιτο*. Quatuor codices mss., in his Coisl. primus et Harl., παράσχοι τό, alius παράσχῃ τό.

(55) *Προελοίμεθα*. Quatuor codices mss. nempe Anglicanus et Vaticanus cum Regio secundo et Coisliniano secundo προϊδοίμεθα, *melius quam nos ipsi providere possimus*.

EPISTOLA II*.

ΕΠΙΣΤΟΛΗ Β'.

Gregorio nihil curanti de situ solitudinis Basilii, sed scire aventi, quomodo ibi vivatur, exponit Basilius non quid ipse faciat (humiliter enim fatetur se non multum proficere), sed quid faciendum sit: quanta sint solitudinis ad pietatem adjumenta, quomodo Scripturarum lectioni subjungenda oratio, quid in sermone et in incessu, quid in cibo et potu et vestimento, quid in somno observandum.

Basilius Gregorio.

1. Agnovi epistolam tuam, velut qui amicorum liberos ex apparente in ipsis similitudine cum parentibus cognoscunt. Quod enim ais, loci structuram magni momenti non esse ad ciendum in animo tuo desiderium aliquod vitæ nobiscum agendæ, antequam de instituto ac vivendi ratione aliquid didiceris; sententia vere tua est, tuoque digna animo, **71** qui terrena omnia nihil esse existimas, ad beatitudinem nobis in pollicitationibus repositam. Quid autem ipse in hac solitudine noctu ac interdiu agam, dicere pudet. Reliqui equidem urbis commorationes, ut innumerabilium malorum causas: at me ipse nondum relinquere potui. Sed similis sum hominibus in mari summa difficultate, eo quod navigandi insolentes sint, laborantibus et nauseantibus, qui navigii magnitudinem, ut vehementius succutientem ægre ferunt, indeque in lembum aut naviculam transeuntes, ubique nauseant et in angustiis versantur: una enim cum ipsis transit nausea ac bilis. Ad hunc igitur modum se quoque nostræ res habent. Nam insitos animi morbos circumferentes, ubique iisdem perturbationibus sumus obnoxii. Quare non magnopere adjuti sumus hac solitudine. Quæ autem facta oporteret, et unde nobis daretur inhærere vestigiis ejus qui salutis dux fuit (*Si quis enim*, inquit, *vult post me venire, abneget semetipsum, et tollat crucem suam, et sequatur me*[80]), hæc sunt.

2. Enitendum est, ut mentem pacatam ac quietam habeamus. Quemadmodum enim oculus continenter circumactus, et nunc quidem in obliqua deflexus, nunc vero sursum ac deorsum frequenter contortus, clare ac perspicue rem objectam cernere non potest; sed aciem in rem visam defigi oportet, si modo perspicua futura est visio: ita et humana mens sexcentis mundi curis distra-

Βασίλειος Γρηγορίῳ (56).

1. Ἐπέγνων σου τὴν ἐπιστολὴν, ὥσπερ οἱ τοὺς τῶν φίλων παῖδας ἐκ τῆς ἐπιφαινομένης αὐτοῖς ὁμοιότητος πρὸς τοὺς τεκόντας ἐπιγινώσκουσι (57). Τὸ γὰρ μὴ μέγα εἶναι φῆσαι τὴν τοῦ τόπου κατασκευὴν (58) πρὸς τὸ ἐμποιῆσαι ὁρμήν τινα τῇ ψυχῇ σου εἰς τὸν μεθ' ἡμῶν βίον, πρὶν ἂν περὶ τοῦ τρόπου τι μάθῃς καὶ τῆς διαγωγῆς, σὸν ἦν ὄντως τὸ διανόημα, καὶ τῆς σῆς ψυχῆς ἄξιον (59), τῆς πάντα τὰ τῇδε μηδὲν τιθεμένης, πρὸς τὴν ἐν ἐπαγγελίαις ἡμῖν ἀποκειμένην μακαριότητα. Ἐγὼ δὲ ἃ μὲν ποιῶ αὐτὸς ἐπὶ τῆς ἐσχατιᾶς ταύτης νυκτὸς καὶ ἡμέρας, γράφειν αἰσχύνομαι. Κατέλιπον μὲν γὰρ τὰς ἐν ἄστει διατριβὰς, ὡς μυρίων κακῶν ἀφορμὰς, ἐμαυτὸν δὲ οὔπω ἀπολιπεῖν ἠδυνήθην. Ἀλλ' ὅμοιός εἰμι τοῖς ἐν θαλάσσῃ ὑπὸ τῆς κατὰ τὸν πλοῦν ἀπειρίας ἀπορουμένοις (60) καὶ ναυτιῶσιν· οἳ τῷ μεγέθει τοῦ πλοίου δυσχεραίνουσιν, ὡς πολὺν τὸν σάλον παρεχομένῳ, κἀκεῖθεν ἐπὶ τὸν λέμβον ἢ τὸ ἀκάτιον μεταβαίνοντες, πανταχοῦ ναυτιῶσι καὶ ἀποροῦνται· συμμετέρχεται γὰρ αὐτοῖς ἡ ἀηδία (61) καὶ ἡ χολή. Τοιοῦτον οὖν τι καὶ τὸ ἡμέτερον. Τὰ γὰρ ἔνοικα πάθη συμπεριφέροντες, πανταχοῦ μετὰ τῶν ὁμοίων θορύβων ἐσμέν· ὥστε οὐδὲν μέγα τῆς ἐρημίας ἀπωνάμεθα ταύτης. Ἃ μέντοι ποιεῖν ἔδει, καὶ ὅθεν ὑπῆρξεν ἂν ἡμῖν τῶν ἰχνῶν ἔχεσθαι τοῦ πρὸς σωτηρίαν καθηγησαμένου (*Εἴ τις γὰρ*, φησὶ, *θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι*), ταῦτά ἐστιν.

2. Ἐν ἡσυχίᾳ (62) τὸν νοῦν ἔχειν πειρᾶσθαι προσήκει. Ὡς γὰρ ὀφθαλμὸν περιαγόμενον συνεχῶς, καὶ νῦν μὲν ἐπὶ τὰ πλάγια περιφερόμενον, νῦν δὲ πρὸς τὰ ἄνω καὶ κάτω πυκνὰ μεταστρεφόμενον, ἰδεῖν ἐναργῶς τὸ ὑποκείμενον (63) οὐχ οἷόν τε, ἀλλὰ χρὴ προσερεισθῆναι τὴν ὄψιν τῷ ὁρωμένῳ, εἰ μέλλοι ἐναργῆ αὐτοῦ ποιεῖσθαι τὴν θέαν· οὕτω καὶ νοῦν ἀνθρώπου ὑπὸ μυρίων τῶν κατὰ τὸν κόσμον φροντίδων περιελ-

[80] Matth. xvi, 24.

* Alias I. Scripta initio secessus.

(56) *Βασίλειος Γρηγορίῳ*. Hunc titulum eruimus ex duobus vetustissimis codicibus, Harlæano et Coisliniano primo. Legitur in nonnullis Γρηγορίῳ ἑταίρῳ, *Gregorio sodali*.

(57) *Ἐπιγινώσκουσι*. Ita vetustissimi quique codices. Editi ἐκγινώσκουσιν. Unus ex Regiis ἐπιγινώσκοντες. Subinde veteres aliquot libri τι μάθοις.

(58) Vide Addenda.

(59) *Ἄξιον*. Hanc vocem addidimus ex tribus vetustissimis codicibus, Harl., Coisl. primo et Medicæo. Sic etiam habet Regius secundus.

(60) *Ἀπορουμένοις*. Ope eorumdem quatuor codicum emendavimus quod in editis legebatur κατὰ πλοῦν... ἀπολλυμένοις.

(61) *Ἀηδία*. Sic editio Basileensis, Coisl. primus, Vaticanus et alius a Combefisio citatus. Editio Parisiensis ἀκηδία. Sed mss. codices δειλία, *pavor*, quæ vox minus commoda videtur Combefisio. Paulo post codices nonnulli μέγα ἐκ τῆς. Sed Basilius præpositionem post hoc verbum apponere non solet. Subinde plerorumque codicum auctoritate addidimus voculam ἂν, et delevimus ἡμῖν post σωτηρίαν.

(62) *Ἐν ἡσυχίᾳ*. Ante has voces legitur in editis πρῶτον μέν, quod, cum ab omnibus nostris absit codicibus mss., expungendum duximus.

(63) *Καὶ κάτω... ἐναργῶς τὸ ὑποκείμενον*. Sic veteres libri magno consensu. Editi καὶ τὰ κάτω... ἐναργῶς οὐχ οἷόν τε. Habent etiam καὶ κάτω editiones Haganoensis et Basileensis. Mox tres codices τῷ ὁρατῷ. Ibidem deest αὐτοῦ post ἐναργῆ in codice Vaticano et uno ex Combefisianis.

νόμενον ἀμήχανον ἐναργῶς ἐνατενίσαι (64) τῇ ἀληθείᾳ. Ἀλλὰ τὸν μὲν οὔπω τοῖς δεσμοῖς τοῦ γάμου συνεζευγμένον λυσσώδεις ἐπιθυμίαι καὶ ὁρμαὶ δυσκάθεκτοι καὶ ἔρωτές τινες δυσέρωτες ἐκταράσσουσι· τὸν δὲ ἤδη κατειλημμένον (65) ὁμοζύγῳ ἕτερος θόρυβος φροντίδων ἐκδέχεται· ἐν ἀπαιδίᾳ παίδων ἐπιθυμία· ἐν τῇ κτήσει (66) τῶν παίδων παιδοτροφίας μέριμνα· γυναικὸς φυλακὴ, οἴκου ἐπιμέλεια, οἰκετῶν προστασίαι, αἱ κατὰ τὰ συμβόλαια βλάβαι, οἱ πρὸς τοὺς γείτονας διαπληκτισμοὶ, αἱ ἐν τοῖς δικαστηρίοις συμπλοκαὶ, τῆς ἐμπορίας οἱ κίνδυνοι, αἱ τῆς γεωργίας διαπονήσεις. Πᾶσα ἡμέρα ἰδίαν ἥκει φέρουσα τῆς ψυχῆς ἐπισκότησιν· καὶ αἱ νύκτες, τὰς μεθημερινὰς φροντίδας παραλαμβάνουσαι (67), ἐν ταῖς αὐταῖς φαντασίαις ἐξαπατῶσι τὸν νοῦν. Τούτων δὲ μία φυγὴ, ὁ χωρισμὸς ἀπὸ τοῦ κόσμου παντός. Κόσμου δὲ ἀναχώρησις οὐ τὸ ἔξω αὐτοῦ γενέσθαι σωματικῶς, ἀλλὰ τῆς πρὸς τὸ σῶμα συμπαθείας τὴν ψυχὴν ἀποῤῥῆξαι, καὶ γενέσθαι ἄπολιν, ἄοικον, ἀνίδιον, ἀφιλέταιρον, ἀκτήμονα, ἄβιον, ἀπράγμονα, ἀσυνάλλακτον, ἀμαθῆ τῶν ἀνθρωπίνων διδαγμάτων· ἕτοιμον ὑποδέξασθαι τῇ καρδίᾳ τὰς ἐκ τῆς θείας διδασκαλίας ἐγγινομένας διατυπώσεις. Ἑτοιμασία δὲ καρδίας ἡ ἀπομάθησις τῶν ἐκ πονηρᾶς συνηθείας προκατασχόντων αὐτὴν διδαγμάτων. Οὔτε γὰρ ἐν κηρῷ γράψαι δυνατὸν, μὴ προκαταλεάναντα (68) τοὺς ἐναποκειμένους χαρακτῆρας· οὔτε ψυχῇ δόγματα θεῖα παραθέσθαι, μὴ τὰς ἐκ τοῦ ἔθους προλήψεις αὐτῆς ἐξελόντα. Πρὸς δὴ τοῦτο μέγιστον ὄφελος ἡμῖν ἡ ἐρημία παρέχεται, κατευνάζουσα ἡμῶν τα πάθη, καὶ σχολὴν διδοῦσα τῷ λόγῳ παντελῶς αὐτὰ τῆς ψυχῆς ἐκτεμεῖν. Ὡς γὰρ τὰ θηρία εὐκαταγώνιστά ἐστι καταψηχθέντα (69), οὕτως ἐπιθυμίαι καὶ ὀργαὶ καὶ φόβοι καὶ λῦπαι, τὰ ἰοβόλα τῆς ψυχῆς κακὰ, κατευνασθέντα διὰ τῆς ἡσυχίας (70), καὶ μὴ ἐξαγριαινόμενα τῷ συνεχεῖ ἐρεθισμῷ, εὐκαταγωνιστότερα τῇ δυνάμει τοῦ λόγου γίνεται. Ἔστω τοίνυν τὸ χωρίον τοιοῦτον, οἷονπέρ ἐστι καὶ τὸ ἡμέτερον, ἐπιμιξίας ἀνθρώπων ἀπηλλαγμένον, ὡς ὑπὸ μηδενὸς (71) τῶν ἔξωθεν τὸ συνεχὲς τῆς ἀσκήσεως διακόπτεσθαι. Ἄσκησις δὲ εὐσεβείας τὴν ψυχὴν τρέφει τοῖς θείοις διανοήμασι. Τί οὖν μακαριώτερον τοῦ τὴν ἀγγέλων χορείαν ἐν γῇ μιμεῖσθαι; εὐθὺς μὲν (72) ἀρχομένης ἡμέρας εἰς εὐχὰς ὁρμῶντα, ὕμνοις καὶ ᾠδαῖς γεραίρειν τὸν κτίσαντα; εἶτα

A cta, veritatem claré conspicere non potest. Sed eum quidem qui nondum nuptiarum vinculis constrictus est, rapidæ cupiditates, ac impetus non facile superabiles, et amores perditissimi conturbant : conjugio autem illigatum alius curarum tumultus excipit; in orbitate desiderium prolis, susceptis liberis, de his educandis sollicitudo : uxoris custodia, domus cura, servorum gubernatio, accepta contractis in rebus damna, contentiones cum vicinis, forenses concertationes, negotiationis alea, agriculturæ labores. Unaquæque dies oritur suam ferens animi caliginem : quin et noctes diurnas curas excipientes, iisdem rerum speciebus mentem fallunt. Horum autem una vitatio est, secessus a toto mundo. Verum
B secessus a mundo, non est corpore extra ipsum esse, sed animam ab affectionum cum corpore consensione avellere, ac sine civitate esse, sine domo, sine propriis rebus, sine amicorum societate, sine possessionibus, sine rebus ad victum necessariis, sine negotiis, nullas res contrahentem, humanarum disciplinarum expertem, paratum ad suscipiendas corde informationes, quæ ex doctrina divina ducuntur. Est autem cordis præparatio, documentorum ex prava consuetudine **72** illud præoccupantium oblivio. Nam nec in cera scribere potest, qui jam insitas litteras non deleverit : nec animo divina dogmata mandare, qui anticipatas e consuetudine opiniones ex co
C non sustulerit. Ad id autem plurimum affert adjumenti solitudo, quæ vitiosos animi nostri motus consopit, ac rationi otium dat eos ex animo penitus exscindendi. Quemadmodum enim belluæ, si demulceantur, facile vinci possunt; ita libidines, iræ, pavores, mœrores, venenata illa animæ mala, solitudine sopita, nec irritamento jugi efferata, vi rationis facilius superantur. Esto igitur locus aliquis hujusmodi, qualis hic noster, ita ab hominum commercio liber, ut religiosæ exercitationis continuatio a nullo extraneo intercidatur. Pietatis autem exercitatio animam divinis cogitationibus alit. Ecquid igitur beatius, quam in terra concentum angelorum imitari; statim quidem ac dies incipit ad preces surgentem,
D hymnis et canticis Creatorem venerari; exinde

(64) *Ἐνατενίσαι.* Ita mss. sex et editio Hagamoensis Editiones aliæ ἀτενίσαι.

(65) ***Κατειλημμένον.*** Nonnulli codices συγκατειλημμένον, alii συγκατειργμένον, unus a Combefisio citatus *κατειργασμένον*. Sic etiam nonnulli habent ὁμόζυγι, alii ὁμοζυγίᾳ.

(66) ***Ἐν τῇ κτήσει,*** etc. Sic mss. sex; nisi quod in duobus legitur μέριμναι, et παίδων ἐπιθυμίαι. Editi ἐν παίδων κτήσει περὶ τροφῆς φροντίς.

(67) ***Παραλαμβάνουσαι.*** Hæc scriptura, quæ est codicum Coisl. primi, Vaticani et duorum quos citat Combefisius, visa est præferenda vulgatæ παραλαβοῦσαι. Mox legitur in codicibus Harl., Med. et duobus Regiis ὁ δρασμὸς ἀπὸ τοῦ κόσμου παντός. Vulgata lectio apposita ad marginem codicis Medicæi manu recentiore.

(68) ***Προκαταλεάναντα.*** Ita septem mss. codices. Editi *καταλεάναντα*. Paulo post in codice Medicæo *ἐρημία χαρίζεται*. Sic etiam in ora Coisl. primi.

(69) ***Καταψηχθέντα.*** Tres codices a Combefisio citati *καταψυχθέντα*. Sic etiam Harlæanus secunda manu. Coisl. primus *καταψησθέντα*, sed pariter secunda manu.

(70) ***Διὰ τῆς ἡσυχίας.*** Codex Remigianus διὰ τῆς συνηθείας, et sic legit auctor interpretationis, quæ est in editionibus Græcis et Latinis.

(71) ***Ὡς ὑπὸ μηδενός.*** Sic mss. codices plerique. Editi ὡς μὴ ὑπὸ μηδενός.

(72) ***Εὐθὺς μέν.*** Sic mss. codices septem. Editi εὐθὺ μέν. Ibidem unus ex Regiis codicibus ἀγγέλων πολιτείαν. Mox ibidem editi καὶ ὕμνοις. Voculam *καί* perincommode positam sustulimus auctoritate trium mss.

sole jam clare dilucescente, ad opera conversum, comitante ubique oratione, hymnis etiam opera tanquam sale condire? Siquidem hilarem jucundamque animæ æquabilitatem hymnorum solatia conferunt. Quies igitur principium expurgationis animæ, nec lingua loquente res humanas, nec oculis nitidos corporum colores aut concinnitates circumspicientibus; nec auditu animæ vigorem dissolvente per acromata modorum ad voluptatem compositorum, aut per hominum facetorum ac ridiculorum verba: id quod maxime animi vim frangere solet. Mens enim, quæ ad externa non dissipatur, neque per sensus in mundum diffunditur, redit quidem ad se ipsa; per se autem ad Dei cogitationem ascendit; atque decore illo illustrata ipsius etiam naturæ obliviscitur, nec jam cibi cura distrahitur aut amictus sollicitudine; sed terrenis curis vacua, omne suum studium ad æterna bona adispiscenda transfert; quomodo colat temperantiam atque fortitudinem, quomodo justitiam, ac prudentiam, ac reliquas virtutes, quæ, sub hæc genera distributæ, singula decenter in vita peragenda viro probo suggerunt.

ἡλίου καθαρῶς διαλάμψαντος, ἐπ' ἔργα τρεπόμενον, πανταχοῦ αὐτῷ (73) τῆς εὐχῆς συμπαρούσης, καὶ τοῖς ὕμνοις, ὥσπερ ἅλατι, παραρτύειν τὰς ἐργασίας; Τὸ γὰρ ἱλαρὸν καὶ ἄλυπον τῆς ψυχῆς κατάστημα αἱ τῶν ὕμνων παρηγορίαι χαρίζονται. Ἡσυχία οὖν ἀρχὴ καθάρσεως τῇ ψυχῇ, μήτε γλώττης λαλούσης τὰ τῶν ἀνθρώπων, μήτε ὀφθαλμῶν εὐχροίας σωμάτων καὶ συμμετρίας περισκοπούντων, μήτε ἀκοῆς τὸν τόνον τῆς ψυχῆς ἐκλυούσης ἐν ἀκροάμασι (74) μελῶν πρὸς ἡδονὴν πεποιημένων, μήτε ῥήμασιν εὐτραπέλων καὶ γελοιαστῶν ἀνθρώπων, ὃ μάλιστα λύειν τῆς ψυχῆς τὸν τόνον πέφυκε. Νοῦς μὲν γὰρ μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ὑπὸ τῶν αἰσθητηρίων ἐπὶ τὸν κόσμον διαχεόμενος (75), ἐπάνεισι μὲν πρὸς ἑαυτόν· δι' ἑαυτοῦ δὲ πρὸς τὴν περὶ Θεοῦ ἔννοιαν (76) ἀναβαίνει· κἀκείνῳ τῷ κάλλει περιλαμπόμενος, καὶ αὐτῆς τῆς φύσεως λήθην λαμβάνει· μήτε πρὸς τροφῆς φροντίδα, μήτε πρὸς περιβολαίων μέριμναν τὴν ψυχὴν καθελκόμενος, ἀλλὰ σχολὴν ἀπὸ τῶν γηίνων φροντίδων ἄγων, τὴν πᾶσαν ἑαυτοῦ (77) σπουδὴν ἐπὶ τὴν κτῆσιν τῶν αἰωνίων ἀγαθῶν μετατίθησι· πῶς μὲν κατορθωθῇ αὐτῷ ἡ σωφροσύνη καὶ ἡ ἀνδρία· πῶς δὲ ἡ δικαιοσύνη καὶ ἡ φρόνησις, καὶ αἱ λοιπαὶ ἀρεταί, ὅσαι ταῖς γενικαῖς ταύταις ὑποδιαιρούμεναι, καθηκόντως ἕκαστα (78) ἐπιτελεῖν τῶν κατὰ τὸν βίον ὑποβάλλουσι τῷ σπουδαίῳ.

3. Maxima autem via ad officii investigationem est et Scripturarum divinitus inspiratarum meditatio. In his enim et rerum agendarum præcepta reperiuntur, et beatorum hominum res gestæ litteris traditæ, veluti animata quædam vitæ secundum Deum institutæ simulacra, ad bonorum operum imitationem proponuntur. Ac proinde quacunque **73** in re quisque mendose sese ipse habere senserit; in illam imitationem assidue incumbens, tanquam ex communi quadam medicinæ officina, appositum suæ infirmitati medicamentum invenit. Ac castitatis quidem amator historiam Josephi assidua lectione evolvit, atque ab eo actiones temperantiæ plenas ediscit, non solum a voluptatibus continentem illum reperiens, sed etiam habitu in virtute firmum. Fortitudinem vero discit a Jobo, qui, rebus suis retro sublapsis, ac egens ex divite, orbus ex pulchræ prolis parente temporis momento factus, non solum idem permansit, infractos animi sensus ubique retinens; sed ne amicis quidem, qui ad consolandum venerant, insultantibus et dolores conjunctim intendentibus, ira commotus est.

3. Μεγίστη δὲ ὁδὸς πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν καὶ ἡ μελέτη τῶν θεοπνεύστων Γραφῶν. Ἐν ταύταις γὰρ καὶ αἱ τῶν πράξεων ὑποθῆκαι εὑρίσκονται, καὶ οἱ βίοι τῶν μακαρίων ἀνδρῶν ἀνάγραπτοι παραδεδομένοι, οἷον εἰκόνες τινὲς ἔμψυχοι τῆς κατὰ Θεὸν πολιτείας, τῷ μιμήματι τῶν ἀγαθῶν ἔργων πρόκεινται. Καὶ τοίνυν περὶ ὅπερ ἂν ἕκαστος (79) ἐνδεῶς ἔχοντος ἑαυτοῦ αἰσθάνηται, ἐκείνῳ προσδιατρίβων, οἷον ἀπό τινος κοινοῦ ἰατρείου, τὸ πρόσφορον εὑρίσκει τῷ ἀῤῥωστήματι φάρμακον. Καὶ ὁ μὲν ἐραστὴς τῆς σωφροσύνης τὴν περὶ τοῦ Ἰωσὴφ ἱστορίαν συνεχῶς ἀνελίσσει, καὶ παρ' αὐτοῦ τὰς σωφρονικὰς ἐκδιδάσκεται πράξεις, εὑρίσκων αὐτὸν οὐ μόνον ἐγκρατῶς πρὸς ἡδονὰς ἔχοντα, ἀλλὰ καὶ ἑκτικῶς πρὸς ἀρετὴν διακείμενον· ἀνδρίαν δὲ παιδεύεται παρὰ τοῦ (80) Ἰὼβ, ὃς οὐ μόνον, πρὸς τὰ ἐναντία τοῦ βίου μεταπεσόντος αὐτῷ, πένης ἐκ πλουσίου καὶ ἄπαις ἀπὸ καλλίπαιδος ἐν μιᾷ καιροῦ ῥοπῇ γενόμενος, διέμεινεν ὁ αὐτὸς, ἀταπείνωτον πανταχοῦ τὸ τῆς ψυχῆς φρόνημα διασώζων· ἀλλ' οὔτε τῶν φίλων τῶν εἰς παραμυθίαν ἡκόντων, ἐπεμβαινόντων αὐτῷ (81) καὶ συνεπιτεινόντων τὰ ἀλγεινά, παρωξύνθη. Πάλιν σκοπῶν (82) τις πῶς ἂν πρᾶος ἐν

(73) *Αὐτῷ*. Ita Harl., Med., Cois. primus, Vat., et alii plures. Editi αὐτοῦ.

(74) *Ἐν ἀκροάμασι*. Sic iidem mss. codices. Editi ἐν ἀκροάσει. Ibidem unus ex Regiis ἐν ῥήμασιν.

(75) *Διαχεόμενος*. Duo mss. διαφορούμενος.

(76) *Τὴν περὶ Θεοῦ ἔννοιαν*. Sic mss. octo. Editi τὴν τοῦ Θεοῦ ἔννοιαν. Mox editi περιλαμπόμενός τε καὶ ἐλλαμπόμενος. Emendavimus ope unius ex Combefisianis codicibus, et codicis Harlæani, qui prima manu habuit, ut edendum curavimus.

(77) *Ἑαυτοῦ*. Ita Harl., Coisl. primus et plures alii. Editi αὐτοῦ.

(78) *Ἕκαστα*. Duo mss. ἕκαστον.

(79) *Ἕκαστος*. Editio Parisiensis addit ἡμῶν, quod deest in vetustis editionibus et omnibus nostris mss.

(80) *Παρὰ τοῦ*. Editi παρὰ τῷ, repugnantibus mss. plerisque omnibus.

(81) *Αὐτῷ*. Vitiose in editis ἑαυτῷ contra omnium mss. fidem.

(82) *Σκοπῶν τις*. Deest vocula in codicibus Medicæo, Harl. et aliis nonnullis; non tamen in Coisliniano primo.

ταυτῷ καὶ μεγαλόθυμος γένοιτο, ὥστε τῷ μὲν θυμῷ A κατὰ τῆς ἁμαρτίας κεχρῆσθαι, τῇ δὲ πραότητι πρὸς τοὺς ἀνθρώπους, εὑρήσει (83) τὸν Δαβὶδ γενναῖον μὲν ἐν τοῖς κατὰ πόλεμον ἀνδραγαθήμασι, πρᾶον δὲ καὶ ἀκίνητον ἐν ταῖς τῶν ἐχθρῶν ἀντιδόσεσι. Τοιοῦτος (84) καὶ Μωσῆς, μεγάλῳ μὲν τῷ θυμῷ κατὰ τῶν εἰς Θεὸν ἐξαμαρτανόντων διανιστάμενος, πραείᾳ δὲ τῇ ψυχῇ τὰς καθ' ἑαυτοῦ διαβολὰς ὑποφέρων. Καὶ πανταχοῦ, ὥσπερ οἱ ζωγράφοι, ὅταν ἀπὸ εἰκόνων εἰκόνας γράφωσι (85), πυκνὰ πρὸς τὸ παράδειγμα ἀποβλέποντες, τὸν ἐκεῖθεν χαρακτῆρα πρὸς τὸ ἑαυτῶν σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα· οὕτω δεῖ καὶ τὸν ἐσπουδακότα ἑαυτὸν πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς ἀπεργάσασθαι (86) τέλειον, οἱονεὶ πρὸς ἀγάλματά τινα κινούμενα (87) καὶ ἔμπρακτα, τοὺς βίους τῶν ἁγίων ἀποβλέπειν, καὶ τὸ ἐκείνων ἀγαθὸν οἰ- B κεῖον ποιεῖσθαι διὰ μιμήσεως.

4. Εὐχαὶ πάλιν τὰς ἀναγνώσεις διαδεχόμεναι νεαρωτέραν τὴν ψυχὴν καὶ ἀκμαιοτέραν τῷ πρὸς Θεὸν πόθῳ κεκινημένην παραλαμβάνουσιν. Εὐχὴ δὲ καλὴ ἡ ἐναργῆ ἐμποιοῦσα τοῦ Θεοῦ ἔννοιαν τῇ ψυχῇ (88). Καὶ τοῦτό ἐστι Θεοῦ ἐνοίκησις, τὸ διὰ τῆς μνήμης ἐνιδρυμένον ἔχειν ἐν ἑαυτῷ τὸν Θεόν. Οὕτω γινόμεθα ναὸς Θεοῦ, ὅταν μὴ φροντίσι γηΐναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται, μηδὲ τοῖς ἀπροσδοκήτοις πάθεσιν ὁ νοῦς ἐκταράττηται, ἀλλὰ πάντα ἀποφυγὼν ὁ φιλόθεος ἐπὶ Θεὸν ἀναχωρῇ, ἐξελαύνων τὰ προσκαλούμενα (89) αὐτὸν εἰς ἀκρασίαν πάθη, καὶ τοῖς πρὸς ἀρετὴν ἄγουσιν ἐπιτηδεύμασιν ἐνδιατρίβῃ. C

5. Καὶ πρῶτόν γε πάντων σπουδάζειν προσήκει περὶ τὴν τοῦ λόγου χρῆσιν μὴ ἀμαθῶς ἔχειν, ἀλλ' ἐρωτᾷν μὲν ἀφιλονείκως, ἀποκρίνεσθαι δὲ καὶ ἀφιλοτίμως (90), μὴ διακόπτοντα τὸν προσδιαλεγόμενον, ὅταν τι χρήσιμον λέγῃ, μηδὲ ἐπιθυμοῦντα τὸν ἑαυτοῦ λόγον ἐπιδεικτικῶς παρεμβάλλειν, μέτρα ὁρίζοντα λόγῳ καὶ ἀκοῇ· μανθάνειν δὲ ἀνεπαισχύντως, καὶ διδάσκειν ἀνεπιφθόνως· καὶ εἴ τι παρ' ἑτέρου δεδίδακται, μὴ ἐπικρύπτειν (91) ὥσπερ αἱ φαῦλαι τῶν γυναικῶν, αἱ τὰ νόθα ὑποβαλλόμεναι· ἀλλὰ κηρύσσειν εὐγνωμόνως τὸν πατέρα τοῦ λόγου. Τόνος δὲ φωνῆς ὁ μέσος προτιμητέος, ὡς μήτε διαφεύγειν τὴν ἀκοὴν ὑπὸ σμικρότητος, μήτε φορτικὸν εἶναι τῷ μεγέθει τῆς διατάσεως. Προεξετάσαντα ἐν ἑαυτῷ τὸ ῥηθησόμενον, οὕτω δημοσιεύειν D τὸν λόγον. Εὐπροσήγορον ἐν ταῖς ἐντεύξεσι, γλυκὺν

A Rursus quis reputans quomodo clemens simul et magnanimus esse possit, ita ut animo in peccatum, clementia erga homines utatur; inveniet Davidem generosum quidem in bellicis facinoribus, clementem vero et placidum in inimicis ulciscendis. Talis et Moses, ingenti quidem ille animo in eos insurgens, qui in Deum peccaverant, sed leniter inflictas sibi calumnias perferens. Ac omnino, ut pictores, cum imagines ex imaginibus pingunt, crebro ad exemplar respicientes, inde formam in suum opus transferre conantur: sic etiam qui sese omnibus virtutis partibus absolutum perficere studet, ad sanctorum vitas, velut ad simulacra quædam viva et actuosa, respicere debet, et quod illis inest boni suum imitando facere.

4. Preces rursus lectionibus succedentes vegetiorem ac fortiorem animam amore in Deum concitatam excipiunt. Est autem oratio illa præclara, quæ perspicuam Dei notionem animæ imprimit: idque Dei inhabitatio est, insidentem intus Deum memoria complecti. Sic Dei efficimur templum; cum nec terrenis curis perpetuus memoriæ tenor interpellatur, nec improvisis commotionibus perturbatur intellectus; sed omnia fugiens Dei cultor ad Deum secedit, repellens provocantes ad libidinem affectiones, ac in studiis ad virtutem ducentibus immoratur.

5. Atque illud quidem imprimis studio esse debet, sermone non inscite uti, sed interrogare sine litigandi studio, respondere sine ambitione; non interpellare disserentem, si quid dicat utile, neque cupidum esse proprii sermonis ostentationis causa interserendi; modum tenere loquendi et audiendi; discere etiam sine verecundia, docere liberaliter, nec occultare si 74 quid ab alio didiceris; velut improbæ mulieres facere solent, quæ spurios partus subjiciunt; sed grato animo parentem doctrinæ prædicare. Vocis vero sonus mediocris præferendus est, ut nec exilior auditum præterfugiat, nec nimia contentione importunus sit. Expendendum tecum prius quid dicturus sis, atque ita demum edendum et vulgandum. Adeuntibus affabilem esse oportet, atque in col-

(83) *Εὑρήσει*. Ita mss. summo consensu. Editi εὑρίσκει.

(84) *Τοιοῦτος*. Editi addunt ἦν, quod deest in codicibus Harl., Med., Vat. et quatuor Regiis. Legitur tamen in Coisl. primo.

(85) *Εἰκόνας γράφωσι*. Ita Harl. et Coisl. primus cum tribus aliis. Editio Parisiensis εἰκόνα γράφουσι. Basileensis prima et Haganoensis γράφωσι. Legitur in nonnullis mss. εἰκόνος εἰκόνα.

(86) *Ἀπεργάσασθαι*. Sic mss. summo consensu. Editi ἀπεργάσεσθαι.

(87) *Ἀγάλματά τινα κινούμενα*. Sic editiones antiquæ cum omnibus mss. Editio Parisiensis ἀγάλματα κοινούμενα.

(88) *Τῇ ψυχῇ*. Editi ἐν τῇ ψυχῇ. Præpositio in nostris octo mss. deest et in editione Hagan. Paulo post editi ἔχειν ἐνιδρυμένον ἐν αὐτῷ. Codices mss. summo consensu ut in textu.

(89) *Τὰ προσκαλούμενα*, etc. Secuti sumus hoc loco Coislinianum primum, Harl. et duos Regios. Habet etiam Medicæus τὰ προσκαλούμενα αὐτόν. Vaticanus et alii nonnulli τὰ προσκαλούμενα ἡμᾶς εἰς κακίαν. Editi τὰ προσκαλούμενα ἡμᾶς εἰς ἀκρασίας πάθη.

(90) *Ἀφιλοτίμως*. Sic veteres editiones et mss. Editio Paris. φιλοτίμως. Paulo post addidimus τι ex septem mss.

(91) *Μὴ ἐπικρύπτειν*. Coisl. primus et Med. cum duobus Regiis μὴ ἐπικρυπτόμενον.

loquiis suavem; nec voluptatem facetis sermonibus aucupari; sed benigna adhortatione lenitatem obtinere. Ubique asperitas, etiamsi objurgandum sit, rejicienda. Si enim prior te ipse per humilitatem abjeceris, hoc pacto ei, cui curatione opus est, acceptus eris. Plerumque vero utilis nobis et illa increpationis ratio a propheta adhibita, qui cum David peccasset, non a semetipso sententiam induxit condemnationis, sed accersita persona utens, ipsum proprii judicem peccati constituit; ita ut cum in se ipse sententiam dixisset, nihil jam succenseret arguenti.

6. Consentaneus autem humili ac demisso sensui tristis oculus atque deorsum vergens, habitus neglectus, squalida coma, vestis sordida; adeo ut quæ lugentes data opera faciunt, ea sua sponte nobis inesse videantur. Tunica cingulo ad corpus astricta sit: cinctus neque ilia exsuperet, id enim muliebre; neque laxus ita ut tunica diffluat; id enim molle. Incessus esto nec segnis, nec animum dissolutum arguat; nec rursus vehemens ac superbus, ne stolidos animi impetus indicet. Unus vestimenti scopus, ut idoneum sit carnis ad hiemem et æstatem operimentum. Neque vero in colore floridum exquiratur, neque in opere tenue ac molle. Etenim in veste pigmentorum lautitias consectari, non absimile est venustatis studio, quo mulieres ducuntur, dum genas et crines alieno flore inficiunt. Sed et eo usque crassa tunica sit, ut socia opus non habeat, ad eum qui induitur calefaciendum. Calcearium autem pretio quidem vili, sed cui nihil desit ad usum explendum. Et ut semel omnia uno verbo complectar, ut in veste necessarium præcipue sectandum: ita in cibo panis explebit necessitatem, aqua sedabit sitim recte valenti; quibus accedent quæcunque ex leguminibus pulmenta corpori vires ad necessarios usus conservare possunt. Edere autem decet non belluantium speciem præbentes, sed ubique modestiam et mansuetudinem atque in voluptatibus continentiam retinentes, ne tum quidem animam a Dei cogitatione habentes otiosam, sed ex ipsa alimentorum natura, et corporis ea suscipientis structura, divinarum laudum materiam ducentes, quod varia ciborum genera qualitati corporum accommodata, ab eo qui omnia moderatur, inventa sint. Preces ante cibum fiant, quæ donis
75 Dei dignæ sint, tum quæ nunc largitur, tum quæ in futurum recondidit. Preces etiam post cibum, quæ et gratiarum actionem pro acceptis

A ἐν ταῖς ὁμιλίαις· οὐ διὰ τῆς εὐτραπελίας τὸ ἡδὺ θηρώμενον, ἀλλὰ διὰ τῆς εὐμενοῦς παρακλήσεως τὸ προσηνὲς ἔχοντα. Πανταχοῦ τὸ τραχὺ, κἂν ἐπιτιμῆσαι δέῃ (92), ἀπωθούμενον. Προκαταβαλὼν (93) γὰρ ἑαυτὸν διὰ ταπεινοφροσύνης, οὕτως εὐπαράδεκτος ἔσῃ τῷ δεομένῳ τῆς θεραπείας. Πολλάκις δὲ χρήσιμος ἡμῖν καὶ ὁ τοῦ προφήτου τρόπος τῆς ἐπιπλήξεως, ὃς τῷ Δαβὶδ ἁμαρτόντι οὐ παρ' ἑαυτοῦ ἐπήγαγε τὸν ὅρον τῆς καταδίκης, ἀλλ' ὑποβολῇ προσώπου χρησάμενος, αὐτὸν ἐκεῖνον (94) τοῦ ἰδίου δικαστὴν ἐκάθισεν ἁμαρτήματος· ὥστε αὐτὸν καθ' ἑαυτοῦ προεξενεγκόντα τὴν κρίσιν, μηδὲν ἔτι μέμψασθαι τὸν ἐλέγξαντα.

6. Ἕπεται δὲ τῷ ταπεινῷ καὶ καταβεβλημένῳ φρονήματι ὄμμα στυγνὸν καὶ εἰς γῆν συννενευ-
B κὸς (95), σχῆμα ἠμελημένον, κόμη αὐχμηρὰ, ἐσθὴς ῥυπῶσα· ὥστε ἃ ποιοῦσιν οἱ πενθοῦντες κατ' ἐπιτήδευσιν, ταῦτα ἐκ τοῦ αὐτομάτου ἡμῖν ἐπιφαίνεσθαι. Χιτὼν διὰ ζώνης προσεσταλμένος (96) τῷ σώματι· τὸ μέντοι ζῶσμα μήτε ἄνω τῶν λαγόνων, γυναικῶδες γάρ· μήτε χαῦνον, ὥστε διαῤῥεῖν τὸν χιτῶνα· βλακικὸν γάρ· καὶ τὸ βάδισμα μήτε νωθρὸν, ὡς ἔκλυσιν τῆς ψυχῆς κατηγορεῖν· μηδ' αὖ σφοδρὸν καὶ σεσοβημένον, ὡς ἐμπλήκτους αὐτῆς τὰς ὁρμὰς ὑποφαίνειν. Σκοπὸς ἐσθῆτος εἷς, κάλυμμα εἶναι σαρκὸς πρὸς χειμῶνα καὶ θέρος αὔταρκες. Μήτε δὲ ἐν χρώματι (97) τὸ ἀνθηρὸν διωκέσθω, μήτε ἐν τῇ κατασκευῇ τὸ λεπτὸν καὶ μαλακόν. Τὸ γὰρ τὰς ἐν ἐσθῆτι εὐχροίας περισκοπεῖν ἴσον ἐστὶ γυναικείῳ καλλωπισμῷ, ὃν ἐκεῖναι ἐπιτηδεύουσιν, ἀλλοτρίῳ ἄνθει
C παρειὰς καὶ τρίχας ἑαυτῶν καταβάπτουσαι. Ἀλλὰ μὴν καὶ παχύτητος οὕτως ἔχειν ὁ χιτὼν ὀφείλει, ὡς μὴ δεῖσθαι κοινωνοῦ πρὸς τὸ θάλπειν τὸν ἐνδυόμενον. Ὑπόδημα δὲ τὸ εὐτελὲς μὲν κατὰ τὴν ἀξίαν, ἀνενδεῶς δὲ τὴν χρείαν ἀποπληροῦν. Καὶ ἁπαξαπλῶς, ὡς ἐν τῷ ἐνδύματι ἡγεῖσθαι προσήκει τὸ χρειῶδες, οὕτω καὶ ἐν τροφῇ ἄρτος ἐκπληρώσει τὴν χρείαν, καὶ ὕδωρ θεραπεύσει τὴν δίψαν τῷ ὑγιαίνοντι, καὶ ὅσα ἐκ σπερμάτων παροψήματα πρὸς τὰς ἀναγκαίας χρείας τὴν ἰσχὺν τῷ σώματι δύναται διασώσασθαι. Ἐσθίειν δὲ μὴ λυσσώδη γαστριμαργίαν ἐμφαίνοντα (98), ἀλλὰ πανταχοῦ τὸ εὐσταθὲς καὶ πρᾶον καὶ περὶ τὰς ἡδονὰς ἐγκρατὲς διασώζοντα· μηδὲ τότε τὸν νοῦν ἀργὸν ἐν τῇ περὶ Θεοῦ ἐννοίᾳ ἔχοντα, ἀλλ' αὐτὴν τῶν βρωμάτων τὴν φύ-
D σιν, καὶ τὴν τοῦ ὑποδεχομένου σώματος κατασκευὴν, ἀφορμὴν ποιεῖσθαι δοξολογίας· πῶς ποικίλα εἴδη τροφῶν τῇ ἰδιότητι τῶν σωμάτων ἁρμόζοντα παρὰ τοῦ πάντα οἰκονομοῦντος ἐπινενόηται. Εὐχαὶ πρὸ τῆς τροφῆς ἀξίως γινέσθωσαν τῶν τοῦ Θεοῦ παροχῶν, ὧν τε νῦν δίδωσι, καὶ ὧν πρὸς τὸ

(92) *Ἐπιτιμῆσαι δέῃ*. Ita Harl., Coisl. primus et Regii tres. Legitur δέοι in editis.

(93) *Προκαταβαλών*. Ita mss. septem. Editi προκαταλαβών.

(94) *Ἐκεῖνον*. Hanc vocem, quæ deest in editis, habent magno consensu codices mss. Ibidem editi κριτήν. Mss. ut in textu. Eadem de Nathan verba legimus in Commentario *in Isaiam* p. 479, n. 143. Paulo post editi μέμφεσθαι. Antiquissimi quique codices ut in textu.

(95) *Συννενευκός*. Quatuor mss. non tamen vetustissimi νενευκός.

(96) *Προσεσταλμένος* Unus ex codicibus Combefisianis περιεσταλμένος. Duo alii προεσταλμένος.

(97) *Ἐν χρώματι*. Unus ex Combefisianis codicibus ἐν χρώμασι.

(98) *Ἐμφαίνοντα*. Unus ex codicibus Combefisianis ὑποφαίνοντα. Duo alii ἐπιφαίνοντα.

μᾶλλον ἐταμιεύσατο. Εὐχαὶ μετὰ τροφὴν (99) εὐχαριστίαν τῶν δεδομένων ἔχουσαι καὶ αἴτησιν τῶν ἐπηγγελμένων. Ὥρα μία τροφῆς ἀποτεταγμένη, ἡ αὐτὴ κατὰ περίοδον ἀπαντῶσα· ὡς ἐκ τῶν εἴκοσι τεσσάρων ὡρῶν τοῦ ἡμερονυκτίου μίαν (1) εἶναι μόλις ταύτην τὴν προσαναλισκομένην τῷ σώματι· τὰς δὲ λοιπὰς ἐν τῇ κατὰ νοῦν ἐνεργείᾳ ἀπασχολεῖσθαι τὸν ἀσκητήν. Ὕπνοι δὲ κοῦφοι καὶ εὐαπάλλακτοι, φυσικῶς ἀκολουθοῦντες τῷ λεπτῷ (2) τῆς διαίτης· κατ' ἐπιτήδευσιν δὲ ταῖς περὶ τῶν μεγάλων μερίμναις διακοπτόμενοι. Τὸ γὰρ βαθεῖ κάρῳ κατακρατεῖσθαι, λυομένων αὐτοῦ (3) τῶν μελῶν, ὥστε σχολὴν ἀλόγοις (4) φαντασίαις παρέχειν, ἐν καθημερινῷ θανάτῳ ποιεῖ τοὺς οὕτω καθεύδοντας. Ἀλλ' ὅπερ τοῖς ἄλλοις ὁ ὄρθρος ἐστὶ, τοῦτο τοῖς ἀσκηταῖς τῆς εὐσεβείας τὸ μεσονύκτιον, μάλιστα σχολὴν τῇ ψυχῇ τῆς νυκτερινῆς ἡσυχίας χαριζομένης, οὔτε ὀφθαλμῶν οὔτε ὤτων βλαβερὰς ἀκοὰς ἢ θέας ἐπὶ καρδίαν παραπεμπόντων, ἀλλὰ μόνου (5) καθ' ἑαυτὸν τοῦ νοῦ τῷ Θεῷ συνόντος, καὶ διορθουμένου μὲν ἑαυτὸν τῇ μνήμῃ τῶν ἡμαρτημένων, ὅρους δὲ ἑαυτῷ τιθέντος πρὸς τὴν ἔκκλισιν τοῦ κακοῦ, καὶ τὴν παρὰ Θεοῦ συνεργίαν εἰς τὴν τελείωσιν τῶν σπουδαζομένων ἐπιζητοῦντος (6).

A bonis et promissorum petitionem habeant. Hora una capiendo cibo destinata, eademque per circuitum revertens; adeo ut ex viginti quatuor horis diei ac noctis, vix illa una ad curandum corpus insumatur: reliquas asceta in animi exercitatione transigat. Somni leves sint, ejusque modi, qui excuti facile possint, naturalem cum tenui victus ratione necessitudinem habentes: imo vero de industria magnarum rerum curis interrumpantur. Nam altiore correptum esse sopore, membris solutis, ita ut facilis pateat aditus imaginibus a ratione alienis, id quotidianæ morti addicit ita dormientes. Sed quod aliis diluculum, id pietatis cultoribus media nox: B cum maxime nocturna quies otium animæ largiatur, neque oculis, neque auribus quidquam visu aut auditu exitiosum in cor immittentibus, sed mente sola per se cum Deo rationem habente, seque corrigente per peccatorum recordationem et regulas sibi ipsi præscribente ad vitia declinanda, ac Dei auxilium ad ea, quæ studio habet, perficienda implorante.

ΕΠΙΣΤΟΛΗ Γ'

EPISTOLA III*.

Laudat Basilius Candidiani in honorum perfunctione moderationem animi et litterarum studium: ejus præsidium implorat adversus violentiam agrestis cujusdam, qui ipsius ædes invaserat et expilaverat.

Κανδιδιανῷ.

1. Ὅτε εἰς χεῖρας ἔλαβον τὴν ἐπιστολήν σου, ἔπαθόν τι ἀκοῆς ἄξιον. Εὐλαβήθην αὐτὴν, ὥς τι δημόσιον προσαγγέλλουσαν, καὶ παρ' ὃν ἐξέλυον καιρὸν τὸν κηρὸν, ἐφοβούμην προσβλέπων (7), ὡς οὐδεὶς ἐν αἰτίαις ὢν Σπαρτιάτης Λακωνικὴν σκυτάλην. Ἐπεὶ δὲ ἔλυσα, καὶ ἕκαστα ἐπεξῆλθον, γελάσαι μοι ἐπῆλθε· τοῦτο μὲν ὑφ' ἡδονῆς, τοῦ μηδὲν ἀκοῦσαι νεώτερον, τοῦτο δὲ πρὸς τὰ Δημοσθένους τὰ σὰ κρίναντι. Ὅτι ὁ μὲν, ἐπειδὴ ὀλίγοις τισὶ χορευταῖς καὶ αὐληταῖς ἐχορήγει, οὐκέτι ἠξίου Δημοσθένης, ἀλλὰ χορηγὸς ὀνομάζεσθαι· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ χορηγῶν καὶ μή· χορηγῶν μέντοι (8) πλείοσι μυ-

Candidiano.

1. Cum in manus sumpsi epistolam tuam, contigit mihi quiddam auditu dignum. Reveritus sum C illam quasi publicum quidpiam annuntiantem; dumque ceram resolverem, intuens extimui, quantum nullus Spartiata reus Laconicam scytalem. Sed postquam solvi ac singula perlegi, subiit mihi ridere, partim quidem præ gaudio, quod nihil audirem novi; partim vero quod cum Demosthenis rebus tuas compararem. Nimirum posteaquam ille paucis quibusdam saltatoribus tibicinibusque suppeditasset, non amplius Demosthenes, sed choragus vocari voluit: tu vero idem ipse es, sive suppedites,

(99) *Μετὰ τροφήν*. Nonnulli codices mss. μετὰ τροφάς.

(1) *Μίαν*. Hanc vocem addidimus ex septem mss. Paulo post legitur ἐνεργείᾳ in Harl., Med., Coisl. primo et duobus aliis. Editi ἐργασίᾳ. Ibidem editi ἀποσχολεῖσθαι. Harl. et Vat., et alii nonnulli ἀπασχολεῖσθαι. Legitur in Coisl. primo et Med. ἀπασχολεῖν. In alio ἀποπληροῦν.

(2) *Τῷ λεπτῷ*. Ita Harl., Med. et plures alii. Editi τῷ συμμέτρῳ. Statim Remigianus μερίμναις διαβοσκόμενοι. Unde interpres *pascantur*.

(3) *Αὐτοῦ*. Deest in uno ex Regiis, nec incommode expungeretur. Legitur αὐτῷ in nonnullis mss.

(4) *Ἀλόγοις*. Ita Harl., Med., Coisl. primus et Reg. secundus. Editi ἀτόποις.

(5) *Μόνου*. Editi μόνον, et paulo post ἑαυτοῦ, repugnantibus vetustissimis quibusque codicibus.

(6) In codice Cæsareo num. LXXVI insignito (*a*) est ea epistola aliquanto auctior desinitque hoc modo... : ἐπιζητοῦντος. Ταῦτά σοι παρ' ἡμῶν, ὦ φίλη κεφαλὴ, ἀδελφικῆς ἀγάπης διηγήματα. Αὐτὸς δὲ ἡμᾶς ταῖς ὁσίαις σου εὐχαῖς ἀμείβεσθαι καταξίωσον, ὅπως ῥυσθείημεν ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ καὶ ἀπὸ τῶν ἀτόπων ἀνθρώπων, καὶ ἀπαλλαγέντες πάσης ἁμαρτίας, μᾶλλον δὲ αὐτοῦ τοῦ ἐχθροῦ καὶ ἐπιβούλου τῆς ζωῆς ἡμῶν χωρισθέντες, καθαρᾷ τῇ καρδίᾳ τὸν Θεὸν τῶν ὅλων ἐν ἐπιγνώσει ὀψόμεθα διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. D Ἀμήν. *Hæc tibi a nobis, o dulce caput, fraternæ charitatis narratio. Tu autem pro nobis tua vice sanctas preces tuas offerre dignare, ut liberemur ex hoc corrupto præsenti sæculo, et ex malis hominibus; tunc ab omni peccato expediti, præsertimque ab hoste et insidiatore vitæ nostræ separati, corde puro Deum omnium manifesto videbimus, gratia Domini nostri Jesu Christi cui gloria et potentia in sæcula sæculorum. Amen.*

(7) *Προσβλέπων*. Coisl. uterque et Reg. secundus, προβλέπων. Paulo post editi τὰ τοῦ Δημοσθένους, sed deest alter articulus in veteribus libris. Ibidem in tribus codicibus recentioribus legitur κρίνοντι.

(8) *Μέντοι*. Sic codices mss. Editi μὲν τοῖς. Ibidem tres vetustissimi codices Harl., Coisl. primus et Medicæus cum Vaticano et Regio primo habent πλείονα μυριάσι.

* Alias CLXXIII. Scripta in secessu.

(*a*) Lambecius, *Commentar. de bibliotheca Vindobonensi* ed. Kollar. tom. III, p. 372.

sive non (suppeditas autem pluribus militum denis millibus, quam quot ille hominibus necessaria subministrabat), qui quidem nobis non pro dignitate[1] scribis, sed consueto more, nec quidquam remittis de litterarum studio ; sed, ut ait Plato, in ipsa tempestate ac æstu negotiorum, veluti sub murum quemdam validum abscedens, nullo prorsus tumultu mentę turbaris : imo nec alios, quantum in te est, perturbari sinis. Ac res quidem tuæ tales, magnæ profecto et admirandæ his qui perspicere possunt ; **76** rursus autem minime admirandæ, si quis eas cum toto vitæ instituto comparet. Jam vero nostras audi, quæ et mirabiles sunt, et merito nobis acciderunt.

2. Agrestis quidam ex iis qui nobiscum Annesis commorantur, mortuo famulo meo, non se negotii quidquam cum illo habuisse dixit, non ad me accessit, non conquestus est, non rogavit ut a volente acciperet, non minatus est se vim facturum, nisi acciperet ; sed subito cum nonnullis ipsi temeritate similibus domum nostram invasit, mulieresque quæ eam custodiebant verberibus contudit, ac effractis foribus exportavit omnia, partim sibi ipse rapiens, partim ad diripiendum cuilibet proponens. Itaque, ne extremus nos infirmitatis terminus simus, videamurque omnibus ad injurias idonei ; quod studium omnibus nostris in rebus ostendisti, hoc idem nunc ut impendas exorari te sine. Hac enim una re tranquillitas nobis servetur, si strenuo tuo præsidio instructi simus. Erimus autem multa hac contenti, si a pagi præposito comprehensus, brevi tempore in carcere includatur. Etenim non ob ea solum quæ perpessi sumus, indignamur : sed in posterum etiam securitate indigemus.

A ριάσι στρατιωτῶν, ἢ ὅσοις ἀνδράσιν ἐκεῖνος παρέσχε τὰ ἐπιτήδεια· ὅς γε οὔθ' ἡμῖν ἀπὸ τοῦ σχήματος ἐπιστέλλεις, ἀλλὰ τὸν εἰωθότα τρόπον· καὶ τῆς περὶ λόγους σπουδῆς οὐδὲν ὑφίεσαι· ἀλλὰ τὸ τοῦ Πλάτωνος, ἐν χειμῶνι καὶ ζάλῃ (9) πραγμάτων, οἷον ὑπὸ τείχει τινὶ καρτερῷ ἀποστὰς, οὐδενὸς θορύβου τὴν ψυχὴν ἀναπίμπλασαι· μᾶλλον δὲ οὐδὲ ἑτέρους ἐᾷς, τό γε σαυτοῦ μέρος. Καὶ τὰ μὲν σὰ τοιαῦτα, μεγάλα καὶ θαυμαστὰ τοῖς συνορᾷν δυναμένοις, καὶ πάλιν οὐ θαυμαστὰ τῷ πρὸς τὴν ὅλην (10) προαίρεσιν τοῦ βίου κρίνοντι. Ἄκουε δὴ καὶ τὰ ἡμέτερα, παράδοξά τε ὄντα, καὶ ἀκολούθως ἡμῖν ἀπαντῶντα.

2. Ἀνήρ τις ἄγροικος τῶν συνοικούντων ἡμῖν ἐν B Ἀννήσοις (11), οἰκέτου μου τελευτήσαντος, οὐ συμβόλαιόν τι (12) πρὸς αὐτὸν εἰπὼν ἐσχηκέναι, οὐ προσελθών μοι, οὐκ ἐπαιτιασάμενος, οὐ παρ' ἑκόντος ἀξιώσας λαβεῖν, οὐκ ἀπειλήσας εἰ μὴ λάβοι βιάσασθαι, ἀθρόον μετά τινων ὁμοίων αὐτῷ τὴν ἀπόνοιαν ἐπιθέμενος ἡμῶν τῇ οἰκίᾳ, τά τε γύναια τὰ φυλάττοντα συνέτριψε τύπτων, καὶ καταῤῥήξας τὰς θύρας, ἐξεφόρησεν ἅπαντα, τὰ μὲν αὐτὸς λαβὼν, τὰ δὲ εἰς διαρπαγὴν τοῖς βουλομένοις προθείς. Ἵν' οὖν μὴ ὁ ἔσχατος ὅρος ἡμεῖς τῆς ἀσθενείας ὦμεν, καὶ παντὶ δόξωμεν ἐπιτήδειοι πρὸς ἐπιχείρησιν, ἣν ἐν πᾶσι τοῖς πράγμασιν ἡμῶν σπουδὴν ἐπιδέδειξαι, καὶ νῦν εἰσενέγκασθαι παρακλήθητι. Μόνως γὰρ ἂν ἡμῖν οὕτω τὸ ἄπραγμον σώζοιτο, εἰ τῷ σῷ δραστηρίῳ (13) συντεταγμένοι εἴημεν. Γένοιτο δ' ἂν ἡμῖν ἀρκοῦσα C δίκη, εἰ, διὰ τοῦ παγάρχου (14) συλληφθεὶς, ἐν τῷ δεσμωτηρίῳ βραχὺν κατακλεισθείη χρόνον. Καὶ γὰρ οὐχ ὑπὲρ ὧν πεπόνθαμεν ἀγανακτοῦμεν μόνον, ἀλλὰ καὶ τῆς πρὸς τὸ λοιπὸν ἀσφαλείας δεόμεθα.

EPISTOLA IV[a].

ΕΠΙΣΤΟΛΗ Δ'.

Olympio, qui dona miserat, perurbane gratias agit Basilius, incusans quod contubernalem suam pauperiem expulerit.

Olympio.

Ecquid agis, o præclare, qui amicam nobis paupertatem et philosophiæ nutricem solitudine expellis? Arbitror enim fore, ut ipsa tibi judicium intenderet unde vi, si qua ei loquendi facultas

Ὀλυμπίῳ.

Οἷα ποιεῖς, ὦ θαυμάσιε, τὴν φίλην ἡμῖν πενίαν, καὶ φιλοσοφίας τροφὸν, τῆς ἐσχατιᾶς ἀπελαύνων; Οἶμαι γὰρ ἂν σε καὶ ἐξούλης γραφὴν ὑπ' αὐτῆς φεύγειν (15), εἴ τις αὐτῇ προσγένοιτο λόγος· ὅτι

[a] Alias CLXIX. Scripta in secessu.

(9) *Καὶ ζάλῃ.* Vat. et Reg. primus καὶ χαλάζῃ. Ibidem Vat., Coisl. secundus et Reg. uterque ὑπὸ τεῖχός τι καρτερόν. Paulo post iidem codices οὕτω μεγάλα, excepto tamen Vaticano.

(10) *Ὅλην.* Hanc vocem addidimus ex Coisl. utroque, Med. et utroque Regio.

(11) *Ἐν Ἀννήσοις.* Codex perantiquus Coisl. ἐν Ἀνήσοις· alius ex eadem bibliotheca et unus ex Regiis ἐν Ἀννίσοις.

(12) *Οὐ συμβόλαιόν τι.* Deest negatio in editis et in pluribus mss. codicibus. Legitur in duobus aliis et secunda manu in Harlæano ; ac prorsus necessaria videtur ad orationis seriem ; quippe cum agrestis ille ante facinus ediderit, quam ullam consilii sui significationem dedisset. Ibidem deest εἰπών in tribus vetustissimis codicibus.

(13) *Δραστηρίῳ.* Sic Harlæanus cum Regio utroque et Coisl. secundo. Editi δικαστηρίῳ. Sed hæc D posterior scriptura minus probabilis ; non enim judicium a Candidiano petit Basilius, sed patrocinium apud præpositum pagi. Confirmatur nostra interpretatio ex his verbis Gregorii Naz. Orat. 25, p. 441 : Οἶδα τίνι ἀπεταξάμην καὶ τίνι συνεταξάμην. *Scio cui renuntiavi et cui me adjunxi.* Vide Addenda.

(14) *Παγάρχου.* Sic septem mss. codices. Editi admodum mendose πυράρχου. Hi autem pagorum præpositi suas administrandæ militaris annonæ partes sustinebant, ut patet ex cod. Theod. lib. VII, tit. 4, leg. 1, et lib. XII, tit. 6, leg. 8. Unde non mirum si Basilius ad Candidianum, cujus magna apud pagi præpositum erat auctoritas, confugit.

(15) *Φεύγειν.* Miror Combefisium censuisse legendum οὐ φεύγειν, cum notum sit et pervulgatum φεύγειν γραφὴν idem sonare ac accusari. Paulo post in quatuor mss. ὅτι Τούτῳ μέν.

Τούτῳ συνοικεῖν εἰλόμην ἐγὼ, νῦν μὲν τὸν Ζήνωνα ἐπαινοῦντι, ὃς, ναυαγίῳ πάντα ἀποβαλὼν, οὐδὲν ἀγεννὲς ἐφθέγξατο· ἀλλ', Εὖγε, εἶπεν, ὦ τύχη, συνελαύνεις (16) ἡμᾶς εἰς τὸ τριβώνιον· νῦν δὲ τὸν Κλεάνθην, μισθῷ ὕδωρ τοῦ φρέατος ἀπαντλοῦντα, ὅθεν αὐτός τε διέζη, καὶ τοῖς διδασκάλοις μισθοὺς ὑπετέλει. Τὸν δὲ Διογένην οὐδὲ ἐπαύσατό ποτε θαυμάζων, τοῖς παρὰ τῆς φύσεως μόνοις ἀρκεῖσθαι φιλοτιμούμενον· ὡς καὶ τὸ κισσύβιον ἀποῤῥῖψαι (17), ἐπειδήπερ παρὰ παιδὸς ἐδιδάχθη κοίλαις ταῖς χερσὶν ἐπικύπτων πίνειν. Ταῦτα ἄν σοι καὶ τὰ τοιαῦτα ἡ σύνοικος ἡμῶν (18) πενία μέμψαιτο, ταῖς μεγαλοδωρεαῖς ἐξοικισθεῖσα νῦν. Προσθείη δὲ καὶ ἀπειλήν τινα· ὅτι, Εἴ σε ἐνταῦθα πάλιν λάβοιμι, Σικελικὴν ἢ Ἰταλιῶτιν τρυφὴν ἀποδείξω τὰ πρότερα· οὕτω σε ἀκριβῶς τοῖς παρ' ἐμαυτῆς ἀμυνοῦμαι. Καὶ ταῦτα μὲν δὴ τοιαῦτα. Ἥσθην δὲ ἀκούσας ἦρχθαί σε τῆς θεραπείας ἤδη· καὶ εὔχομαί σε (19) δνασθαι αὐτῆς. Πρέποι δ' ἂν τῇ ἱερᾷ σου ψυχῇ ἄλυπος ὑπηρεσία σώματος.

A accederet : Volui ego cum hoc homine una degere, nunc quidem Zenonem laudante, qui amissis naufragio omnibus nihil non virile locutus est, sed, Euge, dixit, o fortuna, redigis nos ad detritum pallium : nunc vero Cleanthem mercede aquam ex puteo haurientem, unde et ipse victitabat, et magistris æra persolvebat. Quin et Diogenem nunquam intermisit admirari, id sibi laudi habentem, ut solis naturæ rebus contentus esset; adeo ut poculum etiam projecerit, postquam a puero didicit cavis manibus inclinans bibere. His te et talibus contubernalis nostra incusaret, nunc magnificis donis expulsa. Adjiceret autem et aliquid minarum : Si hic te iterum deprehendero, Siculas aut Italicas delicias priora exstitisse ostendam : B ita te accurate copiis meis ulciscar. Sed de his hactenus. Gavisus autem sum, cum audivi te jam remedia aggressum esse; teque his juvari precor. Sacræ 77 autem tuæ animæ convenerit sollicitudinum et molestiarum expers corporis curatio.

ΕΠΙΣΤΟΛΗ Ε'.

EPISTOLA V*.

Consolatur Nectarium Basilius unici filii morte afflictum.

Νεκταρίῳ παραμυθητική (20).

Οὔπω εἶχον τρίτην ἢ τετάρτην ἡμέραν πληγεὶς ἐπὶ τῇ ἀκοῇ τοῦ ἀφορήτου πάθους, καὶ ἔτι ἀμφίβολος ὢν, διὰ τὸ μηδὲ σαφῶς δυνηθῆναι ἡμῖν τῶν ἀνιαρῶν τὸν μηνυτὴν τὸ συμβὰν διηγήσασθαι, καὶ τῷ (21) ἀπεύχεσθαι ἀληθῆ εἶναι, δυσπαραδέκτως ἔχων πρὸς τὰ θρυλλούμενα, ἐδεξάμην γράμμα τοῦ ἐπισκόπου ἀκριβῶς σημαῖνον τὴν ἀπευκτὴν ἀγγελίαν. Ἐφ' ᾧ ὅσον μὲν ἐστέναξα, καὶ ὅσον ἀφῆκα δάκρυον, τί χρὴ καὶ λέγειν; Καὶ γὰρ τίς οὕτω λίθινος τὴν καρδίαν, ἢ ἔξω παντελῶς τῆς ἀνθρωπίνης φύσεως, ὥστε ἀπαθῶς ἐνεγκεῖν τὸ συμβὰν, ἢ μετρίῳ πάθει (22) τὴν ψυχὴν καταληφθῆναι; Οἴχου λαμπροῦ διαδοχὴ, ἔρεισμα γένους, πατρίδος ἐλπὶς, γονέων εὐσεβῶν βλάστημα ὑπὸ μυρίαις εὐχαῖς ἐντραφὲν, ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας ὂν, ἐκ μέσου (23) τῶν πατρικῶν χειρῶν ἀναρπασθεὶς οἴχεται. Ταῦτα ποίαν ἀδάμαντος φύσιν οὐχ ἱκανὰ ἐκλῦσαι, καὶ εἰς συμπάθειαν ἀγαγεῖν; Ὥστε οὐδὲν μέγα, εἰ καὶ ἡμῶν διὰ βάθους ἥψατο τὸ κακὸν, ὁλοκλήρως ἐξ ἀρχῆς προσπεφυκότων ὑμῖν, καὶ τάς τε εὐφροσύνας ὑμῶν καὶ τὰς λύπας ἰδίας ἑαυτῶν ποιουμένων. Καίτοιγε ἐδόκει, τόν γε μέχρι τοῦ παρόντος χρόνον (24), ὀλίγα εἶναι τὰ λυποῦντα ὑμᾶς, ἐν τοῖς

Ad Nectarium consolatoria.

1. Nondum tertium aut quartum diem traduxeram intolerabilis casus auditione perculsus; et cum adhuc ambigerem, quia ne clare quidem potuerat nobis molestæ rei nuntius id quod acciderat enarrare; cumque rumorem vix reciperem C quia falsum esse optabam; accepi litteras episcopi, quibus accurate infausta res significabatur. In quo quidem quantum ingemuerim, quantumque effuderim lacrymarum, quid attinet vel dicere? Quis enim adeo corde lapideo, aut omnino humanæ naturæ expers, ut in ejusmodi eventu nihil patiatur, aut modicum dolorem animo accipiat? Domus splendidæ successio, fulcimentum generis, patriæ spes, parentum piorum germen cum innumeris votis educatum, in ipso ætatis flore ex mediis patris manibus ereptum abit. Hæc quam adamantis naturam non valeant dissolvere, et ad commiserationem adducere? Quare nihil est magni, si et nos penitus hoc infortunium perculit, qui D vobis prorsus sumus ab initio addicti; et gaudia vestra et molestias nostra facimus. Atque hactenus quidem pauca esse videbantur quæ vobis molestiam afferrent, imo pleraque ex sententia

(16) *Συνελαύνεις*. Ante hanc vocem legitur ὅτι in duobus mss.

(17) *Ἀποῤῥῖψαι*. Editio Parisiensis addit ποτέ, quæ vox deest in aliis editionibus et omnibus mss. Paulo post ἐπικύπτων legitur in tribus antiquissimis codicibus, Harl., Med. et Coisl. Editi ἐγκύπτων.

(18) *Ἡμῶν*. Sic Anglicanus codex cum Harl. et Med. Editi ἡμῖν. Πενία elegantius deest in Anglicano, nec invitus hanc vocem delerem.

(19) *Εὔχομαί σε*. Sic septem antiqui codices. Editi εὔχομαί σοι.

(20) *Παραμυθητική*. Sic Coisl. antiquior et editi. Addit Harl. ἐπὶ τῷ υἱῷ. Quatuor alii codices sic habent : Πρὸς Νεκτάριον τὸν υἱὸν ἀποβαλόντα, *Ad Nectarium qui filium amiserat*.

(21) *Καὶ τῷ*. Sic duo mss. et Harl. secunda manu.

(22) *Μετρίῳ πάθει*. Nonnulli codices μετριοπαθῆ... καταλειφθῆναι.

(23) *Ὂν, ἐκ μέσου*. Editi ὢν, κὰκ μέσου. Codices omnes mss. ut in textu, nisi quod in quatuor legitur ὤν.

(24) *Τόν γε μέχρι τοῦ παρόντος χρόνον*. Ita Coisl. primus, Harl. et unus ex Regiis. Codex Vat. habet ἐδόκει μέχρι τοῦ, etc. Quidam alii τὰ μέχρι τοῦ, etc. Editi τό γε... χρόνου.

* Alias CLXXXVIII. Scripta in secessu.

vobis fluere, sed subito dæmonis invidia evanuit tota illa domus felicitas et animarum hilaritas; ac hominibus tristis historia facti sumus. Igitur si ob ea quæ acciderunt lugere, et lacrymas effundere volumus, tempus vitæ nobis non sufficiet; nec si homines omnes nobiscum gemant, infortunio planctum adæquare poterunt: imo etiamsi fluviorum aquæ lacrymæ fiant, nequibunt casus illius lamenta explere.

2. Sed si velimus Dei donum, quod cordibus nostris indidit, nunc promere, rationem dico sobriam, quæ et in rebus secundis modum novit animabus nostris præstituere, et in tristioribus casibus res humanas in memoriam revocare, nosque admonere eorum, quæ et vidimus et audivimus, vitam videlicet infortuniis hujusmodi esse refertam, ac multa calamitatum humanarum esse exempla, et præter hæc omnia mandatum Dei esse, ut qui in Christum credunt, non lugeant mortuorum causa, ob spem resurrectionis; ac patientiæ magnæ magnas esse apud certaminum judicem coronas gloriæ repositas: si igitur rationi permiserimus ut hæc nobis occinat, licebit fortasse modicum aliquod mali lenimen **78** invenire. Quare adhortor te, ut strenuum athletam, ut contra plagæ magnitudinem obtendaris, nec succumbas ponderi doloris, neque absorbearis animo: persuasum habens, etsi rationes eorum quæ a Deo dispensantur, nos latent; at profecto quod a sapiente nosque amante dispensatur, accipiendum, etiamsi molestum sit. Novit enim ipse, quomodo unicuique dividat quod utile est, et quam ob causam inæquales vitæ terminos nobis præstituat. Est enim causa aliqua hominibus indeprehensa, ob quam alii quidem citius hinc abripiuntur, alii vero diutius in hac calamitosa vita ad ærumnas perferendas relinquuntur. Itaque in omnibus adorare illius in nos amorem debemus, nec ægre ferre: memores magnæ illius et celeberrimæ vocis, quam magnus ille athleta Job emisit, cum in uno convivio liberos decem exiguo temporis momento oppressos vidit: *Dominus dedit, Dominus abstulit; sicut Domino visum, ita et factum est*[31]. Admirabilem illam vocem nostram faciamus: par merces a justo judice paria præclare facta designantibus. Non sumus filio orbati: sed restituimus ei qui mutuo dederat: neque exstincta est filius vita, sed in melius transmutata: nec humus dilectum nostrum obtexit, sed cœlum suscepit. Paulisper exspectemus, et una cum eo quem desideramus, erimus. Neque longum est tempus se-

A πλείστοις δὲ κατὰ ῥοῦν ὑμῖν τὰ πράγματα φέρεσθαι· ἀλλ' ἀθρόως βασκανίᾳ δαίμονος πᾶσα ἐκείνη τοῦ οἴκου (25) ἡ εὐθηνία καὶ τῶν ψυχῶν ἡ φαιδρότης ἠφάνισται, καὶ ἐγενόμεθα τῷ βίῳ διήγημα σκυθρωπόν. Ἐὰν μὲν οὖν ποτνιᾶσθαι ἐπὶ τοῖς συμβᾶσι καὶ δακρύειν βουλώμεθα, οὐκ ἐξαρκέσει ἡμῖν ὁ χρόνος τοῦ βίου· πάντες δὲ ἄνθρωποι, μεθ' ἡμῶν στένοντες, παρισῶσαι τῷ πάθει τὸν ὀδυρμὸν οὐ δυνήσονται· ἀλλὰ κἂν τὰ τῶν ποταμῶν ῥεύματα (26) δάκρυον γένηται, ἐκπληρῶσαι τῶν συμβάντων τὸν θρῆνον οὐκ ἐξαρκέσει.

2. Ἐὰν μέντοι θελήσωμεν τὸ τοῦ Θεοῦ δῶρον ὃ ἐναπέθετο ταῖς καρδίαις (27) ἡμῶν προενεγκεῖν νῦν· τὸν λογισμὸν λέγω τὸν σώφρονα, ὃς καὶ ἐν ταῖς εὐημερίαις μέτρα οἶδε ταῖς ψυχαῖς ἡμῶν ὁρίζειν, B καὶ ἐν ταῖς κατηφεστέραις περιστάσεσιν εἰς ὑπόμνησιν ἄγειν τῶν ἀνθρωπίνων, καὶ ὑποβάλλειν ἡμῖν, ἅ τε εἴδομεν, ἅ τε ἠκούσαμεν, ὅτι γέμει ὁ βίος τῶν τοιούτων παθῶν, καὶ πολλὰ τῶν ἀνθρωπίνων συμφορῶν ἐστι τὰ ὑποδείγματα· καὶ ἐπὶ πᾶσιν, ὅτι πρόσταγμα Θεοῦ ἐστι τὸ μὴ λυπεῖσθαι ἐπὶ τοῖς κεκοιμημένοις τοὺς εἰς Χριστὸν πεπιστευκότας διὰ τὴν ἐλπίδα τῆς ἀναστάσεως· καὶ ὅτι τῆς μεγάλης ὑπομονῆς μεγάλοι παρὰ τῷ ἀθλοθέτῃ στέφανοι δόξης ἀπόκεινται· ἐὰν ἐπιτρέψωμεν τῷ λογισμῷ ταῦτα ἡμῖν κατεπᾴδειν, τάχα ἂν εὕροιμέν τινα μετρίαν τοῦ κακοῦ λύσιν. Διὸ παρακαλῶ σε, ὡς γενναῖον ἀγωνιστὴν, στῆναι πρὸς τὸ μέγεθος τῆς πληγῆς, καὶ μὴ ὑποπεσεῖν τῷ βάρει τῆς λύπης, μηδὲ καταποθῆναι τὴν ψυχήν· ἐκεῖνο πεπεισμένον, ὅτι, κἂν C οἱ λόγοι τῶν παρὰ Θεοῦ οἰκονομουμένων διαφεύγωσιν ἡμᾶς, ἀλλὰ πάντως γε τὸ παρὰ τοῦ σοφοῦ καὶ ἀγαπῶντος ἡμᾶς οἰκονομηθὲν ἀπόδεκτόν ἐστι, κἂν ἐπίπονον ᾖ. Αὐτὸς γὰρ οἶδε πῶς ἑκάστῳ διατίθησι τὸ συμφέρον, καὶ διὰ τί ἄνισα τίθησιν (28) ἡμῖν τοῦ βίου τὰ πέρατα. Ἔστι γάρ τις αἰτία ἀνθρώποις ἀκατάληπτος, δι' ἣν οἱ μὲν θᾶττον ἐντεῦθεν ἀπάγονται, οἱ δὲ ἐπὶ πλεῖον προσταλαιπωρεῖν τῷ ὀδυνηρῷ τούτῳ βίῳ καταλιμπάνονται. Ὥστε ἐπὶ πᾶσι προσκυνεῖν αὐτοῦ τὴν φιλανθρωπίαν ὀφείλομεν, καὶ μὴ δυσχεραίνειν· μεμνημένοι τῆς μεγάλης ἐκείνης καὶ ἀοιδίμου φωνῆς, ἣν ὁ μέγας ἀθλητὴς Ἰὼβ ἀνεφθέγξατο, ἐπὶ μιᾶς τραπέζης ἰδὼν δέκα παῖδας ἐν βραχείᾳ καιροῦ ῥοπῇ συντριβέντας· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ* D *ἐγένετο*. Ἡμέτερον ποιησώμεθα τὸ θαῦμα τοῦτο· ἴσος ὁ μισθὸς παρὰ τοῦ δικαίου κριτοῦ τοῖς τὰ ἴσα ἐπιδεικνυμένοις ἀνδραγαθήματα. Οὐκ ἀπεστερήθημεν τοῦ παιδὸς, ἀλλ' ἀπεδώκαμεν τῷ χρήσαντι· οὐδὲ ἠφανίσθη αὐτοῦ ἡ ζωὴ, ἀλλ' ἐπὶ τὸ βέλτιον διημείφθη· οὐ γῆ κατέκρυψε τὸν ἀγαπητὸν ἡμῶν, ἀλλ' οὐρανὸς ὑπεδέξατο. Μικρὸν ἀναμείνωμεν, καὶ

[31] Job I, 21.

(25) *Ἐκείνη τοῦ οἴκου*. Sic tres antiquissimi codices pro eo quod erat in editis τοῦ οἴκου ἐκείνου. In iisdem codicibus legitur καὶ τῶν ψυχῶν, quod in editis deerat.

(26) *Τὰ... ῥεύματα*. Sex codices habent τὸ... ῥεῦμα. Sed cum vulgata lectio exstet in tribus aliis vetustissimis, nihil mutandum censuimus.

(27) *Ταῖς καρδίαις*. Editi addunt ἐν, quod deest in mss.

(28) *Τίθησιν*. Deest hoc verbum in tribus codicibus, nec necessarium est.

συνεσόμεθα τῷ ποθουμένῳ. Οὐδὲ πολὺς ὁ χρόνος τῆς A διαστάσεως (29), πάντων ὥσπερ ἐν ὁδῷ τῷ βίῳ τούτῳ πρὸς τὸ αὐτὸ καταγώγιον ἐπειγομένων· ἐν ᾧ ὁ μὲν προκατέλυσεν, ὁ δὲ ἐπῆλθεν, ὁ δὲ ἐπείγεται, πάντας δὲ ἓν ὑποδέξεται τέλος. Εἰ γὰρ καὶ θᾶττον τὴν ὁδὸν προκατέλυσεν, ἀλλὰ πάντες τὴν αὐτὴν (30) πορευσόμεθα· καὶ πάντας τὸ αὐτὸ ἀναμένει κατάλυμα. Μόνον γένοιτο ἡμᾶς δι' ἀρετῆς τῇ καθαρότητι ἐκείνου ὁμοιωθῆναι· ἵνα διὰ τὸ ἄδολον τοῦ ἤθους τῆς αὐτῆς ταῖς ἐν Χριστῷ νηπίοις ἀναπαύσεως ἐπιτύχωμεν (31).

junctionis, cum omnes in hac vita tanquam in via ad idem diversorium contendant: in quod hic jam advenit, ille supervenit, alter festinat: finis autem unus omnes excipiet. Etsi enim citius viam confecit, eamdem omnes ingrediemur, omnesque idem manet diversorium. Tantum nobis contingat illius puritati per virtutem assimilari, ut moribus doli expertibus eamdem, ac qui in Christo infantes sunt, requiem consequamur.

ΕΠΙΣΤΟΛΗ Ϛ'.

EPISTOLA VI*.

Basilius Nectarii uxorem similiter consolatur.

Πρὸς τὴν ὁμόζυγον (32) Νεκταρίου παραμυθητική. B

Nectarii conjugi consolatoria.

1. Ἔμελλον ἀποσιωπᾶν πρὸς τὴν κοσμιότητά σου, λογιζόμενος, ὅτι, ὥσπερ ὀφθαλμῷ φλεγμαίνοντι καὶ τὸ ἁπαλώτατον τῶν παρηγορημάτων ἀνίαν (33) ἐμποιεῖ, οὕτω καὶ ψυχῇ ὑπὸ θλίψεως βαρείας κεκακωμένῃ, κἂν πολλὴν παράκλησιν φέρῃ ὁ λόγος, ὀχληρός πως εἶναι δοκεῖ, ἐν τῇ περιωδυνίᾳ προσφερόμενος. Ἐπεὶ δέ με (34) εἰσῆλθεν, ὅτι πρὸς Χριστιανήν μοι ὁ λόγος ἔσται, πάλαι πεπαιδευμένην τὰ θεῖα, καὶ ἐμπαράσκευον οὖσαν πρὸς τὰ ἀνθρώπινα, οὐκ ἐνόμισα δίκαιον εἶναι παραλιπεῖν τὸ ἐπιβάλλον μοι. Οἶδα ποταπὰ τῶν μητέρων τὰ σπλάγχνα· καὶ ὅταν ἰδίως τὸ σὸν περὶ πάντας χρηστὸν καὶ ἥμερον ἐνθυμηθῶ, λογίζομαι πόσην εἰκὸς ἐπὶ τοῖς παροῦσιν εἶναι τὴν ἀλγηδόνα. Παῖδα ἐζημιώθης, ὃν περιόντα C μὲν ἐμακάρισαν πᾶσαι μητέρες, καὶ ηὔξαντο τοὺς ἑαυτῶν τοιούτους εἶναι· ἀποθανόντα δὲ ἐστέναξαν, ὡς ἑκάστη τὸν ἑαυτῆς γῇ καταχρύψασα. Ἐκείνου ὁ θάνατος πληγὴ ἐγένετο πατρίδων δύο (35), τῆς τε ἡμετέρας καὶ τῆς Κιλίκων. Ἐκείνῳ τὸ μέγα καὶ περιφανὲς γένος συγκατέπεσεν, ὥσπερ ἐρείσματος ὑφαιρεθέντος κατασεισθέν. Ὢ συνάντημα πονηροῦ δαίμονος, πόσον ἴσχυσε κακὸν ἐξεργάσασθαι! Ὢ γῆ, τοιοῦτον ἀναγκασθεῖσα ὑποδέξασθαι πάθος! Ἔφριξε τάχα καὶ ὁ ἥλιος, εἴ τις αἴσθησις αὐτῷ, τὸ σκυθρωπὸν ἐκεῖνο θέαμα. Καὶ τί ἄν τις τοσοῦτον εἴποι, ὅσον ἡ ἀμηχανία τῆς ψυχῆς ὑποβάλλει;

1. Nolebam alloqui dignitatem tuam, considerans, ut oculo inflammato lenimentum vel tenerrimum dolorem affert, ita animæ gravi mœrore afflictæ, etiamsi multum solatii ferat oratio, molestam tamen quodammodo videri, in ipso doloris articulo adhibitam. At ubi mihi in mentem venit, sermonem mihi cum Christiana futurum, jampridem in rebus divinis instituta, nec ad humanos casus imparata; non existimavi æquum esse ut officio meo deessem. Novi qualia sint matrum viscera; cumque peculiariter considero tuam in omnes benignitatem atque mansuetudinem, conjicio quantum probabile sit in præsentibus malis dolorem esse. Filium amisisti **79**, quem viventem matres omnes prædicabant beatum, talesque suos esse optabant: mortuum vere perinde luxerunt, ac si suum quæque humo contexisset. Illius mors plaga exstitit provinciarum duarum, et nostræ, et Cilicum. Cum illo magnum et illustre genus concidit, veluti fulcro sublato concussum. O incursum mali dæmonis, quantum potuit mali patrare! O terra talem coacta suscipere casum! Horruit forte ipse sol, si quis in eo sensus, triste illud spectaculum. Et quis tantum dicere poterit, quantum inops consilii animus suggerit?

2. Ἀλλ' οὐ γὰρ ἀπρονόητα τὰ ἡμέτερα, ὡς μεμαθήκαμεν ἐν τῷ Εὐαγγελίῳ, ὅτι οὐδὲ στρουθίον πίπτει ἄνευ θελήματος τοῦ Πατρὸς ἡμῶν. Ὥστε, εἴ τι γέγονε, θελήματι γέγονε τοῦ Κτίσαντος ἡμᾶς. D Τῷ δὲ βουλήματι τοῦ Θεοῦ τίς ἀνθέστηκε; Καταδεξώμεθα (36) τὸ συμβάν· δυσανασχετοῦντες γὰρ οὔτε τὸ

2. Verum nostra non fiunt citra providentiam, quemadmodum in Evangelio didicimus, ne passerem quidem cadere sine voluntate Patris nostri [33]. Quare si quid contigit, voluntate contigit Conditoris nostri. Quis autem Dei voluntati resistit? Suscipiamus quod accidit; moleste enim ferentes, neque id quod factum

[33] Matth. x, 29.

(29) *Οὐδὲ πολὺς... ὑποδέξεται τέλος*. Deest tota hæc verborum complexio in Vat. et Coisl. recentiore, et in duobus Regiis. Huic autem et sequenti epistolæ multa insunt indicia hominis a rhetorum exercitationibus recentis. Nonnulla etiam, quæ Basilius apte ad religionem Christianam accommodat, in Plutarchi libro *De consolatione* leguntur. Is enim docet vitam mutuo datam esse hominibus, nec mirum videri debere, si reddenda sit: hanc vitam esse veluti viam, qua omnes ad idem diversorium tendimus: non lugendos esse, quos brevi sequemur.

(30) *Τὴν αὐτήν*. Editi addunt αὐτῷ, quod deest in septem veteribus libris.

(31) *Ἐπιτύχωμεν*. Ita tres vetustissimi codices. Editi τύχωμεν.

(32) *Ὁμόζυγον*. Sic Harl., Vat. et quinque alii. Coislinianus primus et editi ὁμόζυγα.

(33) *Ἀνίαν*. Sic Harl., Coisl. primus et quinque alii, melius quam in editis ἀνιᾶν.

(34) *Ἐπεὶ δέ με*. Sic codices antiqui septem, duo alii Ἐπεὶ δέ μοι. Editi ἐπειδή μοι. Statim Bigot. καὶ εὐπαράσκευον.

(35) *Δύο*. Sic mss. septem. Editi δυοῖν.

(36) *Καταδεξώμεθα*. Editi addunt γοῦν, sed hæc vocula deest in septem mss. codicibus.

* Alias CLXXXIX. Scripta eodem tempore.

est reparamus, ac præterea nosmetipsos perdimus. Ne culpemus justum Dei judicium. Nimium imperiti sumus, quam ut arcana illius judicia exploremus. Tunc Dominus amoris in se tui periculum facit. Tibi nunc tempus est, ut per patientiam partem martyrum consequare. Machabæorum mater septem filiorum mortem conspexit, nec ingemuit, nec ignobiles lacrymas effudit; sed gratias agens Deo, quod videret eos igne et ferro et acerbissimis verberibus e vinculis carnis exsolvi. Deo quidem probata fuit, celebris vero habita est apud homines [33]. Afflictio magna, fateor et ego: sed et magna a Domino præmia patientibus reposita. Mater cum effecta es, puerumque vidisti, ac gratias egisti Deo; plane sciebas mortalem a te, cum mortalis sis, genitum esse. Quid igitur mirum, si mortuus est mortalis? Sed dolet nobis, quod præter tempus. Incertum, utrum hoc non fuerit tempestivum: nos siquidem eligere quæ animabus utilia sunt, et præfinire terminos humanæ vitæ non novimus. Circumspice totum terrarum orbem, in quo habitas; et cogita omnia mortalia esse quæ videntur, omnia corruptioni obnoxia. Respice ad cœlum; et illud ipsum aliquando dissolvetur; ad solem, ne ille quidem permanebit. Stellæ omnes, animalia terrestria et aquatilia, terræ ornatus, terra ipsa, omnia corruptioni obnoxia, omnia paulo post non amplius futura. Horum cogitatio sit casus solatium. Cave calamitatem seipsa metiaris, ita enim tibi videbitur intolerabilis sed eam cum omnibus rebus humanis comparans, inde reperies illius solatium. His autem omnibus illud validissimum addendum habeo: parce marito; alter alteri solamen estote; ne facias ei graviorem calamitatem, dolore te ipsa conficiens. Omnino autem arbitror sermonem solatio imparem esse: sed precibus in re præsenti opus esse censeo. Precor itaque ipsum Dominum, ut sua non enarrabili potentia **80** tangens cor tuum, cogitationibus bonis animum tuum illustret, ut in teipsa consolationis habeas argumenta.

A γενόμενον διορθούμεθα, καὶ ἑαυτοὺς προσαπόλλυμεν. Μὴ κατηγορήσωμεν τῆς δικαίας κρίσεως τοῦ Θεοῦ. Ἀμαθεῖς ἐσμεν, ὥστε τὰ ἄῤῥητα αὐτοῦ κρίματα δοκιμάζειν. Νῦν σου λαμβάνει τὴν δοκιμὴν ὁ Κύριος τῆς πρός αὐτὸν ἀγάπης. Νῦν σοι πάρεστι καιρὸς διὰ τῆς ὑπομονῆς τὴν μερίδα τῶν μαρτύρων λαβεῖν. Ἡ τῶν Μακκαβαίων μήτηρ ἑπτὰ παίδων εἶδε θάνατον, καὶ οὐκ ἐστέναξεν, οὐδὲ ἀφῆκεν ἀγεννὲς δάκρυον· ἀλλ' εὐχαριστοῦσα τῷ Θεῷ, ὅτι ἔβλεπεν αὐτοὺς πυρὶ καὶ σιδήρῳ, καὶ ταῖς χαλεπωτάταις αἰκίαις, τῶν δεσμῶν τῆς σαρκὸς λυομένους, εὐδόκιμος μὲν παρὰ Θεῷ, ἀοίδιμος δὲ παρὰ ἀνθρώποις ἐκρίθη. Μέγα τὸ πάθος, φημὶ κἀγώ· ἀλλὰ μεγάλοι καὶ οἱ παρὰ τοῦ Κυρίου μισθοὶ τοῖς ὑπομένουσιν ἀποκείμενοι. Ὅτε ἐγένου μήτηρ, καὶ εἶδες τὸν παῖδα, καὶ B ηὐχαρίστησας τῷ Θεῷ, ᾔδεις πάντως, ὅτι θνητὴ οὖσα θνητὸν ἐγέννησας. Τί οὖν παράδοξον, εἰ ἀπέθανεν ὁ θνητός; Ἀλλὰ λυπεῖ ἡμᾶς τὸ παρὰ καιρόν. Ἄδηλον, εἰ μὴ εὔκαιρον τοῦτο· ἐπειδὴ ἡμεῖς ἐκλέγεσθαι τὰ συμφέροντα ταῖς ψυχαῖς, καὶ ὁρίζειν προθεσμίας ἀνθρωπίνῃ ζωῇ (37) οὐκ ἐπιστάμεθα. Περίβλεψαι τὸν κόσμον ἅπαντα, ἐν ᾧ κατοικεῖς· καὶ ἐννόησον, ὅτι πάντα θνητὰ τὰ ὁρώμενα, καὶ πάντα φθορᾷ ὑποκείμενα. Ἀνάβλεψον πρὸς τὸν οὐρανόν (38)· καὶ οὗτός ποτε λυθήσεται· πρὸς τὸν ἥλιον· οὐδὲ οὗτος (39) διαμενεῖ. Οἱ ἀστέρες σύμπαντες, ζῶα χερσαῖα καὶ ἔνυδρα, τὰ περὶ γῆν κάλλη, αὐτὴ ἡ γῆ, πάντα φθαρτὰ, πάντα μικρὸν (40) ὕστερον οὐκ ἐσόμενα. Ἡ τούτων ἔννοια παραμυθία ἔστω τοῦ συμβεβηκότος. Μὴ καθ' ἑαυτὸ μέτρει τὸ πάθος· ἀφόρητον C γὰρ οὕτω φανεῖταί σοι· ἀλλὰ τοῖς ἀνθρωπίνοις πᾶσι συγκρίνουσα, ἐντεῦθεν εὑρήσεις αὐτοῦ τὴν παραμυθίαν. Ἐπὶ πᾶσι δὲ ἐκεῖνο εἰπεῖν ἰσχυρὸν ἔχω, φεῖσαι τοῦ ὁμοζύγου· ἀλλήλοις γένεσθε (41) παραμυθία· μὴ ποιήσῃς αὐτῷ χαλεπωτέραν τὴν συμφορὰν, τῷ πάθει ἑαυτὴν καταναλίσκουσα (42). Ὅλως δὲ οὐκ οἶμαι λόγον ἐξαρκεῖν εἰς παράκλησιν, ἀλλ' εὐχῆς ἡγοῦμαι χρείαν εἶναι πρὸς τὰ παρόντα. Εὔχομαι οὖν αὐτὸν τὸν Κύριον, τῇ ἀφάτῳ αὐτοῦ δυνάμει ἐφαψάμενόν σου τῆς καρδίας, ἐμποιῆσαι φῶς τῇ ψυχῇ σου διὰ τῶν ἀγαθῶν λογισμῶν, ἵν' οἴκοθεν ἔχῃς τῆς παραμυθίας τὰς ἀφορμάς.

EPISTOLA VII*.

ΕΠΙΣΤΟΛΗ Ζ'.

Basilius significat futurum se providisse, ut penuriæ verborum accusaretur, nec tamen idcirco consulentibus respondendum non esse. Hortatur Gregorium, ut totum se tradat veritatis defensioni, nec se consulat.

Gregorio sodali.

Ne tum quidem ignorabam, cum scriberem

D *Γρηγορίῳ ἑταίρῳ* (43).

Οὐδὲ τότε (44) ἠγνόουν, ὅτε ἐπέστελλον τῇ λογιό-

[33] II Mach. VII, 1 seqq.

* Alias II. Scripta videtur in secessu.

(37) *Ἀνθρωπίνῃ ζωῇ*. Duo vetustissimi codices, Harl., et Coisl. ἀνθρωπίνης ζωῆς.

(38) *Πρὸς τὸν οὐρανόν*. Harl., et Medicæus εἰς τὸν οὐρανόν.

(39) *Οὐδὲ οὗτος*. Sic Harl., et Coisl. primus cum tribus aliis. Editi οὐδὲ αὐτός.

(40) *Πάντα μικρόν*. Sic Harl., Coisl. uterque et tres Regii. Editi καὶ πάντα μικροῦ.

(41) *Ἀλλήλοις γένεσθε*. Sic tres vetustissimi codices Harl., Coisl. et Med. Editi ἀλλήλοις ἐστέ.

(42) *Καταναλίσκουσα*. Quinque codices, non tamen vetustissimi, ἀναλίσκουσα.

(43) *Γρηγορίῳ*. Ita codex Vaticanus et Coisl. primus qui tamen addit ἐπισκόπῳ. Codices omnes Gregorio Nazianzeno hanc epistolam inscribunt, sed in codice vetustissimo Coisliniano post titulum legitur eadem manu γρ. Εὐαγρίῳ πρεσβυτέρῳ. *scriptum invenitur, Evagrio presbytero.* Sed tanti non est ejusmodi observatio, ut hæc epistola Evagrio presbytero scripta potius videatur, quam Gregorio, cui et veterum codicum testimonio et sua sponte optime congruit. Signata est enim manifestis notis mutuæ illius operæ, quam sibi Gregorius et Basilius in sacris litteris illustrandis tradebant.

(44) *Οὐδὲ τότε*. Sic quinque mss. codices. Editi οὐδέποτε. Ad hæc verba in codice Regio, quo usus

τητί σου, ὅτι πᾶσα θεολογικὴ φωνὴ ἐλάττων μέν ἐστι τῆς διανοίας τοῦ λέγοντος, ἐλάττων δὲ τῆς τοῦ ἐπιζητοῦντος ἐπιθυμίας· διότι ὁ λόγος ἀσθενέστερόν πως πέφυκε διακονεῖσθαι τοῖς νοουμένοις. Εἰ οὖν ἀσθενὴς ἡμῶν ἡ διάνοια, ἐλάττων δὲ ταύτης ἡ γλῶσσα, τί ἐχρῆν προσδοκᾷν ἡμᾶς ἐπὶ τοῖς εἰρημένοις, καὶ οὐχὶ πενίαν ἐγκληθήσεσθαι λόγων; Οὐ μὴν τούτου γε ἕνεκεν δυνατὸν ἦν σιωπῇ παρελθεῖν τὸ ἐπιζητούμενον (45). Κίνδυνος γὰρ προδοσίας, ἐν τῷ μὴ προχείρως ἀποδιδόναι τὰς περὶ Θεοῦ ἀποκρίσεις τοῖς ἀγαπῶσι τὸν Κύριον. Ἐκεῖνα μὲν οὖν, εἴτε ἀρκούντως ἔχειν δοκεῖ, εἴτε καὶ ἀκριβεστέρας τινὸς προσθήκης δεῖται, καιροῦ ἰδίου πρὸς διόρθωσιν χρήζει. Τὸ δὲ νῦν ἔχον, παρακαλοῦμέν σε, ὃ καὶ παρεκαλέσαμεν ἤδη, χρῆσαι σεαυτὸν ὁλοκλήρως τῇ συνηγορίᾳ τῆς ἀληθείας, καὶ ταῖς (46) παρὰ τοῦ Θεοῦ ἐγγινομέναις τῇ διανοίᾳ σου ὁρμαῖς πρὸς τὴν τοῦ ἀγαθοῦ σύστασιν, ταύταις ἀρκούμενον· καὶ παρ' ἡμῶν μηδὲν ἐπιζητοῦντα πλέον· οἳ, πολλῷ ἐλάττους ὄντες τῆς ὑπονοίας, βλάπτομεν μᾶλλον τῇ παρ' ἑαυτῶν ἀσθενείᾳ τὸν λόγον, ἢ τινα ἰσχὺν διὰ τῆς συνηγορίας τῇ ἀληθείᾳ προστίθεμεν.

prudentiæ tuæ, vocem omnem theologicam imparem esse cogitationi dicentis, imparem interrogantis desideriis; propterea quod sermo imbecillius nescio quomodo solet cogitatis rebus inservire. Si ergo infirma cogitatio nostra, et cogitatione inferior lingua; quid exspectandum nobis fuit in iis quæ disseruimus, nisi penuriam verborum objectum iri? Neque tamen idcirco potui silentio prætermittere quod quærebatur. Nam proditionis periculum est, si non libenter dentur de Deo responsa his qui Dominum diligunt. Illa igitur, sive satis esse videantur, sive etiam accuratiore quodam additamento indigeant, tempus proprium, ut emendentur, postulant. Quod autem nunc ad rem attinet, hortamur te, uti jam etiam hortati sumus, ut totum te veritatis defensioni, ac motibus menti tuæ ad bonum stabiliendum a Deo impressis tradas, his contentus nec amplius quidquam a nobis requirens : qui cum multo inferiores simus quam quis suspicari possit, imbecillitate nostra doctrinam lædimus magis, quam roboris aliquid patrocinio nostro addimus veritati.

ΕΠΙΣΤΟΛΗ Η'.

EPISTOLA VIII*.

Perculsus casu inopinato Basilius, cum se ad Gregorium recepisset, desiderium suorum his litteris lenit, eosque admonet ut caveant ab Arianis. Deum Patrem, Deum Filium, Deum Spiritum sanctum confiteri oportere statuit. Tres deos affingentibus respondet. Deum natura, non numero unum dici : simile et dissimile rejicit, identitatem substantiæ requirit, ac Filium Patri esse consubstantialem declarat. Plura explanat Scripturæ loca ab adversariis objecta. Denique sancti Spiritus divinitatem probat.

Τοῖς Καισαρεῦσιν (47) *ἀπολογία περὶ τῆς ἀποχωρήσεως, καὶ περὶ πίστεως.*

1. Πολλάκις ἐθαύμασα, τί ποτε πρὸς ἡμᾶς πεπόνθατε, καὶ πόθεν τοσοῦτον ἡττᾶσθε (48) τῆς ἡμετέρας βραχύτητος, τῆς μικρᾶς καὶ ὀλίγης καὶ οὐδὲν ἴσως ἐχούσης ἐράσμιον, καὶ λόγοις ἡμᾶς προτρέπεσθε, φιλίας τε καὶ πατρίδος ὑπομιμνήσκοντες, ὥσπερ φυγάδας τινὰς πατρικοῖς σπλάγχνοις πρὸς ἑαυτοὺς πάλιν ἐπιστρέφειν (49) πειρώμενοι. Ἐγὼ δὲ τὸ μὲν φυγὰς γεγονέναι ὁμολογῶ, καὶ οὐκ ἀρνηθείην· τὴν δὲ αἰτίαν μάθοιτ' ἂν ἤδη ποθοῦντες. Μάλιστα μὲν τῷ ἀδοκήτῳ τότε πληγεὶς, καθάπερ οἱ τοῖς αἰφνιδίοις ψόφοις ἀθρόως καταπλαγέντες, οὐ κατέσχον τοὺς λογισμοὺς, ἀλλ' ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην χρόνον ἱκανὸν ἀφ' ὑμῶν, ἔπειτα δὲ καὶ πό-

Apologia de secessu ad Cæsarienses, et de fide pertractatio.

1. Sæpe miratus sum, cur eo sitis in me animo affecti, et unde vos tenuitas nostra, eaque exigua et modica ac fortasse nihil habens amabile, tantopere capiat; nosque sermonibus adhortemini, amicitiam et patriam commemorantes, veluti profugos quosdam paternis visceribus ad vos rursus conantes revocare. **81** Ego autem profugum me esse fateor, neque negaverim : sed jam causam, si cupitis, ediscetis. Maxime quidem re inopinata tunc perculsus, quemadmodum qui ob repentinos strepitus illico expavescunt, non cohibebam cogitationes, sed elongavi fugiens, ac tempore multo a vobis abfui. Deinde vero et desiderium quoddam

est Combefisius, scholium quoddam declarat Basilium hac sententia uti, sed fusius, in Homilia, quæ inscribitur, *Christi generatio*. Legitur hæc homilia tom. II, p. 59; et quod in scholio indicatum est, reperitur, n. 1 et 2.

(45) *Τὸ ἐπιζητούμενον*. Quatuor mss. non antiquissimi τὸ ζητούμενον.

(46) *Καὶ ταῖς*. Deest καί in duobus mss. Regiis. Videtur deletum fuisse in Harlæano codice, in quo hæc epistola recentiore manu scripta est. Ὁρμαῖς, *motibus*. Melius forte, si reddatur, *præsidiis*. Paulo post legimus ex quinque mss. πολλῷ ἐλάττους pro πολλῶν. Duo mss. codices habent ἀσθενείᾳ τῶν λόγων.

(47) *Τοῖς Καισαρεῦσιν*. Quamvis hic titulus Basilii sententiæ ac verbis repugnet, eum tamen retinuimus, propterea quod reperitur in duobus codicibus mss. Reg. et Harl., exceptis ultimis verbis, καὶ περὶ πίστεως, quæ desunt. Porro hæc epistola non ad Cæsarienses, sed ad monasterium, cui præerat Basilius, scripta; nec Basilius ex urbe in solitudinem, ut eruditi viri hactenus crediderunt, sed potius in urbem ex solitudine discesserat. Petit enim ut sibi aliquandiu liceat abesse, *non quod in urbe commorationem*, inquit, *ambiamus, sed quod versari cum sanctis longe utilissimum judicemus*. Erat ergo in aliqua urbe, videlicet Nazianzi cum Gregorio. Quod autem addit, homines urbium desiderio a maligno decipi, non congruebat hæc admonitio civibus Cæsariensibus, sed potius monachis, quos sæpe diabolus hoc artificio retrahere e solitudine tentabat, ut perspici potest infra ex Epistola ad Chilonem.

(48) *Ἡττᾶσθε*. Sic Reg. et Harl. Editi ἥττησθε. Sic etiam Gregorius Naz. qui hujus epistolæ exordio utitur pro suo in oratione 27.

(49) *Ἐπιστρέφειν*. Patriam vocat Basilius locum in quo educatus fuerat. Vide Not. ad epist. 57. Paulo post editi ἐπειστῆσι; mss. ut in textu.

* Alias CXLI. Scripta anno 360.

subiit mihi sacrorum dogmatum, et philosophiæ quæ circa illa versatur. Quomodo enim possim, aiebam, habitantem in nobis malitiam domare? Quis mihi fiat Laban, liberans me ab Esau atque ad supernam philosophiam deducens? Quoniam autem, Deo dante, voti compotes, quantum licuit, facti sumus, electionis invento vase et puteo profundo, dico autem Christi os Gregorium: nobis parumper, quæso, parum, rogamus, concedite temporis; non quod in urbe commorationem ambiamus (neque enim ignoramus, homines hoc pacto a maligno decipi), sed quod versari cum sanctis longe utilissimum esse judicemus. Dum enim de divinis dogmatibus aliquid dicitur, auditurque frequentius, contemplationum quemdam habitum, qui ægre amittatur, suscipimus. Et res quidem nostræ ita se habent.

2. Vos autem, o divina et omnium mihi charissima capita, cavete Philistinorum pastores, ne quis puteos vestros clanculum obstruat, et puram eorum, quæ ad fidem pertinent, cognitionem obturbet. Hoc enim eis semper studio est, non ex Scripturis sacris docere animas simpliciores, sed sapientia extranea veritatem circumvenire. Qui enim *ingenitum* et *genitum* in nostram fidem introducit, docetque eum qui semper est, aliquando non fuisse, eumque qui natura ac semper Pater est, patrem fieri, et Spiritum sanctum non esse sempiternum, nonne ille palam Philistæus est, invidens patriarchæ nostri ovibus, ne ex pura et in vitam æternam saliente aqua bibant [31], sed illud prophetæ oraculum trahant in semetipsos: *Me dereliquerunt fontem aquæ vivæ, ac foderunt sibi ipsis cisternas obtritas, quæ non poterunt aquam continere* [32]; cum confiteri oporteat Deum Patrem, Deum Filium, Deum Spiritum sanctum, uti eloquia divina, et qui ea sublimius intellexere, docuerunt. Cæterum ad eos qui tres deos nobis exprobrant, illud dicatur: unum nos Deum non numero, sed natura confiteri. Quidquid enim unum numero dicitur, id vere unum non est, neque natura simplex: Deum vero simplicem et incompositum confitentur omnes. Non igitur unus numero est Deus. Quod autem dico, est ejusmodi. Unum numero mundum esse dicimus, non tamen unum natura, neque simplicem illum quemdam. Dividimus enim ipsum in elementa ex quibus constat, in ignem, aquam, aerem et terram. Rursus homo unus numero dicitur. Unum enim hominem sæpe dicimus, sed non simplex quidam ille est, cum ex corpore et anima constet. Similiter et angelum unum numero dicimus, sed non unum **82**

[31] Joan. IV, 14. [32] Jerem. II, 13.

A θος τις ὑπεισῄει μου τῶν θείων δογμάτων, καὶ τῆς περὶ ἐκεῖνα φιλοσοφίας. Πῶς γὰρ ἂν δυναίμην (50), ἔφην ἐγὼ, κρατῆσαι τῆς συνοικούσης ἡμῖν κακίας; Τίς δ' ἄν μοι γένηται Λάβαν, ἀπαλλάττων με τοῦ Ἡσαῦ, καὶ πρὸς τὴν ἀνωτάτω φιλοσοφίαν παιδαγωγῶν; Ἀλλ' ἐπειδὴ σὺν Θεῷ τοῦ σκοποῦ κατὰ δύναμιν τετυχήκαμεν, εὑρόντες σκεῦος ἐκλογῆς καὶ φρέαρ βαθὺ, λέγω δὲ τὸ τοῦ Χριστοῦ στόμα Γρηγόριον· ὀλίγον ἡμῖν, παρακαλῶ, ὀλίγον συγχωρήσατε χρόνον, αἰτούμεθα· οὐ τὴν ἐν ταῖς πόλεσι διατριβὴν ἀσπαζόμενοι· οὐδὲ γὰρ λέληθεν ἡμᾶς ὁ πονηρὸς διὰ τῶν τοιούτων τὴν ἀπάτην τοῖς ἀνθρώποις προσμηχανώμενος· ἀλλὰ τὴν συντυχίαν τὴν πρὸς τοὺς ἁγίους ἐπωφελῆ μάλιστα κρίνοντες (51). Ἐν γὰρ τῷ λέγειν τι περὶ τῶν θείων δογμάτων, καὶ ἀκούειν πυκνότε-
B ρον, ἕξιν δυσαπόβλητον θεωρημάτων λαμβάνομεν. Καὶ τὰ μὲν καθ' ἡμᾶς τοῦτον ἔχει τὸν τρόπον.

2. Ὑμεῖς δὲ, ὦ θεῖαί μοι καὶ προσφιλέσταται πασῶν κεφαλαὶ, φυλάττεσθε τοὺς τῶν Φυλιστιαίων ποιμένας, μή τις λαθὼν ἐμφράξῃ ὑμῶν τὰ φρέατα, καὶ τὸ καθαρὸν τῆς γνώσεως τῆς περὶ τὴν πίστιν ἐπιθολώσῃ. Τοῦτο γὰρ αὐτοῖς ἀεί ἐστιν ἐπιμελὲς, μὴ ἐκ τῶν θείων Γραφῶν διδάσκειν τὰς ἀκεραιοτέρας ψυχὰς, ἀλλ' ἐκ τῆς ἔξωθεν σοφίας παραχαράσσεσθαι τὴν ἀλήθειαν. Ὁ γὰρ *ἀγέννητον* καὶ *γεννητὸν* ἐπεισάγων ἡμῶν τῇ πίστει, καὶ τὸν ἀεὶ ὄντα μὴ ὄντα ποτὲ δογματίζων, καὶ τὸν φύσει καὶ ἀεὶ Πατέρα πατέρα γινόμενον, καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἀΐδιον, οὐκ ἄντικρύς ἐστι Φυλιστεύς (52); βα-
C σκαίνων τοῖς τοῦ πατριάρχου ἡμῶν προβάτοις, ἵνα μὴ πίνωσιν ἐκ τοῦ καθαροῦ καὶ ἁλλομένου εἰς ζωὴν αἰώνιον ὕδατος, ἀλλὰ τὸ τοῦ προφήτου λόγιον πρὸς ἑαυτοὺς ἐπισπάσωνται (53), τό· *Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συσχεῖν*· δέον ὁμολογεῖν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱὸν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον· ὡς οἱ θεῖοι λόγοι, καὶ οἱ τούτους (54) ὑψηλότερον νενοηκότες ἐδίδαξαν. Πρὸς δὲ τοὺς ἐπηρεάζοντας ἡμῖν τὸ τρίθεον ἐκεῖνο λεγέσθω, ὅτιπερ ἡμεῖς ἕνα Θεὸν οὐ τῷ ἀριθμῷ, ἀλλὰ τῇ φύσει ὁμολογοῦμεν. Πᾶν γὰρ τὸ ἓν ἀριθμῷ λέγεται, τοῦτο οὐχ ἓν ὄντως, οὐδ' ἁπλοῦν τῇ φύσει ἐστίν· ὁ δὲ Θεὸς ἁπλοῦς καὶ ἀσύνθετος παρὰ πᾶσιν ὁμολογεῖται. Οὐκ ἄρα εἷς ἀριθμῷ ἐστιν ὁ
D Θεός. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. Ἓν ἀριθμῷ τὸν κόσμον εἶναί φαμεν, ἀλλ' οὐχ ἕνα τῇ φύσει, ἀλλ' οὐδ' ἁπλοῦν τινα τοῦτον. Τέμνομεν γὰρ αὐτὸν εἰς τὰ ἐξ ὧν συνέστηκε στοιχεῖα, εἰς πῦρ καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν. Πάλιν ὁ ἄνθρωπος εἷς ἀριθμῷ ὀνομάζεται. Ἕνα γὰρ ἄνθρωπον πολλάκις λέγομεν. Ἀλλ' οὐχ ἁπλοῦς τις οὗτός ἐστιν, ἐκ σώματος καὶ ψυχῆς συνεστώς. Ὁμοίως δὲ καὶ ἄγγελον ἕνα ἀριθμῷ ἐροῦ-

(50) *Δυναίμην.* Editi iterum addunt Πῶς γὰρ ἄν. Sed hæc melius absunt a duobus codicibus mss. Plures non habuimus.

(51) *Κρίνοντες.* Sic mss. Editi κρίναντες.

(52) *Φυλιστεύς.* Harl. Φυλιστιαῖος.

(53) *Ἐπισπάσωνται.* Sic Reg. et Harl. Editi ἐπισπάσονται.

(54) *Τούτους.* Sic Harl. Editi τούτων. Paulo post ex duobus mss. legimus ἐπηρεάζοντας ἡμῖν. Editi ἡμῶν.

μεν, ἀλλ' οὐχ ἕνα τῇ φύσει, οὐδὲ ἁπλοῦν· οὐσίαν γὰρ μεθ' ἁγιασμοῦ τὴν τοῦ ἀγγέλου ὑπόστασιν ἐννοοῦμεν. Εἰ τοίνυν πᾶν τὸ ἓν ἀριθμῷ ἓν τῇ φύσει οὐκ ἔστι, καὶ τὸ ἓν τῇ φύσει καὶ ἁπλοῦν ἓν ἀριθμῷ οὐκ ἔστιν, ἡμεῖς δὲ λέγομεν ἕνα τῇ φύσει Θεόν· πῶς ἐπεισάγουσιν ἡμῖν τὸν ἀριθμὸν, αὐτὸν πάντη ἡμῶν ἐξοριζόντων τῆς μακαρίας ἐκείνης (55) καὶ νοητῆς φύσεως; Ὁ γὰρ ἀριθμός ἐστι τοῦ ποσοῦ· τὸ δὲ ποσὸν τῇ σωματικῇ φύσει συνέζευκται· ὁ γὰρ (56) ἀριθμὸς τῆς σωματικῆς φύσεως. Σωμάτων δὲ δημιουργὸν τὸν Κύριον ἡμῶν εἶναι πεπιστεύκαμεν. Διὸ καὶ πᾶς ἀριθμὸς ἐκεῖνα σημαίνει τὰ ἔνυλον καὶ περιγραπτὴν ἔχειν λαχόντα τὴν φύσιν· ἡ δὲ μονὰς καὶ ἑνὰς τῆς ἁπλῆς καὶ ἀπεριλήπτου οὐσίας ἐστὶ σημαντική (57). Ὁ τοίνυν ἀριθμὸν ἢ κτίσμα ὁμολογῶν τὸν Υἱὸν τοῦ Θεοῦ ἢ τὸ Πνεῦμα τὸ ἅγιον λανθάνει ἔνυλον καὶ περιγραπτὴν φύσιν εἰσάγων. Περιγραπτὴν δὲ λέγω οὐ μόνον τὴν περιεχομένην ὑπὸ τόπου, ἀλλ' ἥνπερ καὶ τῇ προγνώσει ἐμπεριείληφεν ὁ μέλλων αὐτὴν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγειν, ἣν καὶ (58) ἐπιστήμῃ περιλαβεῖν δυνατόν ἐστι. Πᾶν οὖν ἅγιον, ὃ περιγραπτὴν ἔχει τὴν φύσιν, καὶ ἐπίκτητον ἔχει τὴν ἁγιότητα, οὐκ ἀνεπίδεκτόν ἐστι κακίας. Ὁ δὲ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, πηγή ἐστιν ἁγιασμοῦ, ὑφ' ἧς πᾶσα ἡ λογικὴ κτίσις κατ' ἀναλογίαν τῆς ἀρετῆς ἁγιάζεται.

3. Καίτοι ἡμεῖς, κατὰ τὸν ἀληθῆ λόγον, οὔτε ὅμοιον οὔτε ἀνόμοιον λέγομεν τὸν Υἱὸν τῷ Πατρί. Ἑκάτερον γὰρ αὐτῶν ἐπίσης ἀδύνατον. Ὅμοιον γὰρ καὶ ἀνόμοιον κατὰ τὰς ποιότητας λέγεται· ποιότητος δὲ τὸ θεῖον ἐλεύθερον. Ταυτότητα δὲ τῆς φύσεως ὁμολογοῦντες, καὶ τὸ ὁμοούσιον ἐκδεχόμεθα, καὶ τὸ σύνθετον φεύγομεν, τοῦ κατ' οὐσίαν Θεοῦ καὶ Πατρὸς τὸν κατ' οὐσίαν Θεὸν καὶ Υἱὸν γεγεννηκότος. Ἐκ γὰρ τούτου τὸ ὁμοούσιον δείκνυται. Ὁ γὰρ κατ' οὐσίαν Θεὸς τῷ κατ' οὐσίαν Θεῷ ὁμοούσιός ἐστιν. Ἐπεὶ δὲ λέγεται θεὸς καὶ ὁ ἄνθρωπος (59)· ὡς τὸ, *Ἐγὼ εἶπα· Θεοί ἐστε*· καὶ ὁ δαίμων θεὸς, ὡς τὸ, *Οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια*· ἀλλ' οἱ μὲν κατὰ χάριν ὀνομάζονται, οἱ δὲ κατὰ ψεῦδος. Ὁ δὲ Θεὸς μόνος κατ' οὐσίαν ἐστὶ Θεός. *Μόνος* δὲ ὅταν εἴπω, τὴν οὐσίαν τοῦ Θεοῦ τὴν ἁγίαν καὶ ἄκτιστον δηλῶ. Τὸ γὰρ *μόνος* λέγεται καὶ ἐπί τινος ἀνθρώπου, καὶ ἐπὶ φύσεως ἁπλῶς τῆς καθόλου. Ἐπί τινος μὲν, οἷον, φέρε εἰπεῖν, ἐπὶ Παύλου, ὅτι μόνος ἡρπάγη ἕως τρίτου οὐρανοῦ, καὶ ἤκουσεν ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι· ἐπὶ φύσεως δὲ τῆς καθόλου, ὡς ὅταν λέγῃ (60) Δαβίδ· *Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ.* Ἐνταῦθα γὰρ οὐ τόν τινα ἄνθρωπον, ἀλλὰ τὴν καθόλου φύσιν δηλοῖ. Πᾶς γὰρ ἄνθρωπος πρόσκαιρος καὶ θνητός. Οὕτω κἀκεῖνα νοοῦμεν ἐπὶ τῆς φύσεως εἰρημένα· τὸ, *Ὁ μόνος*

natura, neque simplicem: siquidem essentiam cum sanctimonia hypostasim angeli intelligimus. Itaque si quidquid unum est numero, unum natura non est, et quod natura unum ac simplex est, unum numero non est, nos autem Deum natura unum dicimus; quomodo nobis numerum affingunt, quem prorsus a beata illa ac spirituali natura amovemus? Numerus enim pertinet ad quantitatem: quantitas vero corporali naturæ conjuncta est; numerus ergo corporeæ est naturæ. At Dominum nostrum corporum opificem esse credimus. Quapropter et numerus omnis ea designat, quæ materialem ac circumscriptam naturam sortita sunt: monas vero et unitas simplicis ac incomprehensibilis essentiæ insigne. Quisquis igitur numerum aut creaturam confitetur Filium Dei, aut Spiritum sanctum, imprudens materialem ac circumscriptam naturam inducit. Circumscriptam autem dico, non modo eam quæ loco continetur, sed etiam quam prænotione comprehendit is, qui ipsam e nihilo producturus est, quæque scientia comprehendi potest. Quidquid igitur sanctum est, habet autem naturam circumscriptam, et adventitiam sanctitatem, obnoxium esse potest malitiæ. Filius autem, et Spiritus sanctus, fons est sanctimoniæ, unde rationalis quæque creatura pro virtutis ratione sanctificatur.

3. Nos, secundum veram doctrinam, neque similem, neque dissimilem Patri Filium dicimus. Nam æque utrumque horum repugnat. Enimvero simile et dissimile, qualitatum habita ratione dicuntur: Deus autem liber est a qualitate. Verum identitatem naturæ confitentes et consubstantiale admittimus, et compositionem fugimus; cum is qui secundum essentiam Deus et Pater est, Deum secundum essentiam et Filium genuerit. Ex hoc enim consubstantiale ostenditur. Nam Deus secundum essentiam Deo secundum essentiam consubstantialis. Siquidem et homo dicitur deus, velut in hoc loco, *Ego dixi: Dii estis*[36]. Quin etiam dæmon appellatur deus, secundum illud, *Dii gentium dæmonia*[37]. Sed illi quidem ex dono, hi vero ex mendacio nomen accipiunt. Deus vero solus est secundum essentiam Deus. Cum autem dico, *solus*, essentiam Dei sanctam et increatam significo. Nam vox, *solus*, et de uno aliquo homine, et de universa prorsus natura dicitur. De uno aliquo, velut cum verbi gratia dicitur de Paulo, solum raptum esse ad tertium usque cœlum, et audisse arcana verba, quæ non liceat homini loqui[38]: de natura vero universa, velut cum David dicit: *Homo, sicut fenum dies ejus*[39]. Hic enim non hominem aliquem, sed universam naturam indicat: nam omnis homo

[36] Psal. LXXXI, 6. [37] Psal. XCV, 5. [38] II Cor. XII, 4. [39] Psal. CII, 15.

(55) *Ἐκείνης*. Hanc vocem addidimus ex duobus mss.

(56) *Ὁ γάρ*. Lege Ὁ γοῦν.

(57) *Σημαντική*. Sic uterque codex. Editi σημαντικόν.

(58) *Ἣν καί*. Mss. et edit. Basil. ὃ καὶ

(59) *Ὁ ἄνθρωπος*. Articulus additus ex mss. deest in editis. Ibidem duo codices mss. Ἐπειδὴ δέ.

(60) *Λέγῃ*. Sic mss. Editi λέγει

temporarius et mortalis. Sic intelligimus de natura dicta esse et illa : *Qui solus habet immortalitatem* [40]; et, *Soli sapienti Deo* [41]; et, *Nemo bonus, nisi unus Deus* [42]. Hic enim *unus* significat idem, quod *solus*. Et, *Qui extendit cœlum solus* [43]; et rursus, *Dominum Deum tuum adorabis, et illi soli servies* [44]; et, *Non est Deus præter me* [45]. Nam *unus* et *solus* de Deo dicuntur **83** in Scriptura non ad distinctionem a Filio aut Spiritu sancto, sed adversus eos qui cum dii non sint, dii tamen falso nominantur, ut est illud : *Dominus solus duxit eos, et non erat cum eis deus alienus* [46]; et, *Everterunt filii Israel Baalim, et nemora Astaroth, et serviebant Domino soli* [47]. Et iterum Paulus : *Sicut sunt dii multi, et domini multi, nobis tamen unus Deus, Pater, ex quo omnia, et unus Dominus Jesus Christus, per quem omnia* [48]. Verum hic quærimus, quomodo cum dixisset, *Unus Deus*, ea voce non fuerit contentus (diximus enim, cum *solus* et *unus* de Deo dicuntur, significari naturam), sed et vocem *Pater* apposuerit, et Christi fecerit mentionem. Suspicor itaque existimasse hoc loco vas electionis Paulum, satis non esse tantummodo Deum Filium, et Deum Spiritum sanctum prædicare; id quod per dictionem, *Unus Deus*, declaraverat, nisi præterea per adjectionem *Patris*, eum ex quo omnia sunt, exprimeret; et per mentionem Domini, Verbum per quod omnia sunt, significaret, et rursus, per Jesu Christi adjunctionem, incarnationem annuntiaret, et passionem poneret ob oculos : et resurrectionem commonstraret. Nam illud, Jesus Christus, notiones tales nobis indicat. Quapropter etiam Dominus ante passionem non vult dici Jesus Christus, et discipulis præcipit, ut ne cuiquam dicant ipsum esse Jesum Christum [49]. Propositum enim illi erat post absolutam dispensationem ac resurrectionem ex mortuis, et in cœlos assumptionem, tum demum ipsis committere, ut eum Jesum Christum prædicarent. Ejusmodi est et illud : *Ut cognoscant te solum verum Deum, et quem misisti Jesum Christum* [50]; illud itidem : *Creditis in Deum, et in me credite* [51] : ubique cogitationem nostram præmuniente Spiritu sancto; ne accedentes ad alterum, altero excidamus; neve theologiæ intenti negligamus dispensationem; atque in impietatem, dum in aliquo offendimus, incidamus.

4. Verba autem divinæ Scripturæ, quæ arrepta adversarii, et ad suam ipsorum sententiam detorta, nobis ad eversionem majestatis Unigeniti objiciunt, simili modo expendamus, notionem eorum

ἔχων ἀθανασίαν· καὶ, *Μόνῳ σοφῷ Θεῷ*, καὶ τὸ, *Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός*. Τὸ γὰρ εἷς ἐνταῦθα τῷ *μόνος* ταυτὸν δηλοῖ· καὶ τὸ, *Ὁ τανύσας τὸν οὐρανὸν μόνος*· καὶ πάλιν· *Κυρίῳ τῷ Θεῷ σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις*· καὶ τὸ, *Οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ*. Τὸ γὰρ εἷς καὶ μόνος ἐπὶ Θεοῦ (61) ἐν τῇ Γραφῇ οὐ πρὸς ἀντιδιαστολὴν τοῦ Υἱοῦ ἢ τοῦ ἁγίου Πνεύματος λέγεται, ἀλλὰ πρὸς τοὺς μὴ ὄντας θεοὺς, ὀνομαζομένους δὲ ψευδῶς· ὡς τὸ, *Κύριος μόνος ἦγεν αὐτούς*· καὶ, *Οὐκ ἦν μετ' αὐτῶν Θεὸς ἀλλότριος*· καὶ τὸ, *Περιεῖλον υἱοὶ* (62) *Ἰσραὴλ τὰ Βααλεὶμ, καὶ τὰ ἄλση Ἀσταρὼθ, καὶ ἐδούλευον Κυρίῳ μόνῳ*· καὶ πάλιν ὁ Παῦλος· *Ὥσπερ εἰσὶ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοὶ, ἀλλ' ἡμῖν εἷς Θεὸς, ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος, Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα*. Ἀλλὰ ζητοῦμεν ἐνταῦθα, πῶς, *Εἷς Θεὸς* (63) εἰρηκὼς, οὐκ ἠρκέσθη τῇ φωνῇ (ἔφαμεν γὰρ, ὅτι *μόνος* καὶ τὸ *εἷς* ἐπὶ Θεοῦ τὴν φύσιν δηλοῖ), ἀλλὰ καὶ τὸ *Πατὴρ* προσέθηκε, καὶ τοῦ Χριστοῦ ἐμνημόνευσεν. Ὑπονοῶ τοίνυν, ὅτι οὐκ ἐξαρκεῖν ᾠήθη νῦν ὁ Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, κηρύσσειν μόνον Θεὸν τὸν Υἱὸν, καὶ Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, ὅπερ διὰ τῆς *Εἷς Θεὸς* ἐδήλωσε ῥήσεως, ἐὰν μὴ καὶ διὰ τῆς προσθήκης τοῦ Πατρὸς τὸν ἐξ οὗ τὰ πάντα δηλώσῃ· καὶ διὰ τῆς μνήμης τοῦ Κυρίου, τὸν Λόγον τὸν δι' οὗ τὰ πάντα σημάνῃ· καὶ πάλιν, διὰ τῆς Ἰησοῦ Χριστοῦ συμπαραλήψεως τὴν ἐνανθρώπησιν παραγγείλῃ (64), καὶ τὸ πάθος παραστήσῃ, καὶ τὴν ἀνάστασιν φανερώσῃ. Τὸ γὰρ, Ἰησοῦς Χριστὸς, τὰς τοιαύτας ἐννοίας ἡμῖν ἐμφαίνει. Διὸ καὶ πρὸ τοῦ πάθους παραιτεῖται ὁ Κύριος Ἰησοῦς Χριστὸς καταγγέλλεσθαι· καὶ διαστέλλεται τοῖς μαθηταῖς, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν Ἰησοῦς ὁ Χριστός. Πρόκειται γὰρ αὐτῷ τελειώσαντι τὴν οἰκονομίαν, μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν, ἐπιτρέψαι αὐτοῖς κηρύσσειν αὐτὸν τὸν Ἰησοῦν τὸν Χριστόν. Τοιοῦτόν ἐστι καὶ τὸ, *Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν*· καὶ τὸ, *Πιστεύετε εἰς Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε*· πανταχοῦ τὴν ἔννοιαν ἡμῶν ἀσφαλιζομένου τοῦ Πνεύματος τοῦ ἁγίου, ἵνα μὴ, θατέρῳ προσβαίνοντες, θατέρου ἐκπίπτωμεν· καὶ τῇ θεολογίᾳ προσέχοντες, τῆς οἰκονομίας καταφρονῶμεν· καὶ γένηται ἡμῖν κατὰ τὸ ἐλλεῖπον ἡ ἀσέβεια.

4. Τὰ δὲ ῥήματα τῆς θείας Γραφῆς, ἅπερ λαμβάνοντες οἱ ἀντικείμενοι καὶ διαστρέφοντες πρὸς τὴν οἰκείαν συνείδησιν εἰς καθαίρεσιν τῆς δόξης τοῦ Μονογενοῦς ἡμῖν προφέρουσιν, οὕτως ἐξετάσωμεν (65),

[40] I Tim. vi, 16. [41] Rom. xvi, 27. [42] Luc. xviii, 19. [43] Job ix, 8. [44] Deut. vi, 13. [45] Deut. xxxii, 39. [46] ibid. 12. [47] I Reg. vii, 4. [48] I Cor. viii, 5, 6. [49] Matth. xvi, 20. [50] Joan. xvii, 3. [51] Joan. xiv, 1.

(61) Ἐπὶ Θεοῦ. Editi addunt articulum, sed deest in mss.

(62) Υἱοί. Hanc vocem addimus ex Reg. Paulo post duo mss. ὥσπερ. Editi εἴπερ.

(63) Εἷς Θεός. Primam vocem addimus ex mss. Paulo post in cod. Reg. legitur τὸ Πνεῦμα προσέθηκε.

(64) Παραγγείλῃ. Duo mss. ἀπαγγείλῃ.

(65) Ἐξετάσωμεν. Sic Reg. et prima manu Harl. Editi ἐξετάσομεν. Ibidem editi ἀναπτύσσοντες αὐτά. Duo veteres libri ut in textu.

κατὰ τὸ δυνατὸν ἡμῖν ἀναπτύσσοντες αὐτῶν τὴν διάνοιαν. Καὶ πρῶτον ἡμῖν προτιθέσθω τὸ, *Ἐγὼ ζῶ διὰ τὸν Πατέρα*. Τοῦτο γάρ ἐστιν ἓν τῶν βελῶν τῶν εἰς οὐρανὸν πεμπομένων ὑπὸ τῶν ἀσεβῶς (66) αὐτῷ κεχρημένων. Ἐνταῦθα δὲ τὸ ῥητὸν οὐ τὴν προαιώνιον, ὡς οἶμαι, ζωὴν ὀνομάζει (πᾶν γὰρ τὸ δι' ἕτερον ζῶν αὐτοζωὴ εἶναι οὐ δύναται, ὡς οὐδὲ τὸ ὑφ' ἑτέρου θερμανθὲν αὐτοθερμότης εἶναι· ὁ δὲ Χριστὸς καὶ Θεὸς ἡμῶν εἴρηκεν· *Ἐγώ εἰμι ἡ ζωή*), ἀλλὰ ζωὴν ταύτην τὴν ἐν σαρκὶ, καὶ ἐν τῷ χρόνῳ τούτῳ γεγενημένην, ἣν ἔζησε διὰ τὸν Πατέρα. Βουλήσει γὰρ αὐτοῦ ἐπιδεδήμηκε τῷ βίῳ τῶν ἀνθρώπων· καὶ οὐκ εἶπεν, Ἐγὼ ἔζησα διὰ τὸν Πατέρα· ἀλλ', *Ἐγὼ ζῶ διὰ τὸν Πατέρα*, σαφῶς τὸν παρόντα προσημαίνων χρόνον. Δύναται δὲ καὶ ζωὴν λέγειν, ἣν ζῇ ὁ Χριστὸς, τὸν Λόγον τοῦ Θεοῦ ἔχων ἐν ἑαυτῷ. Καὶ ὅτι τοῦτό ἐστι τὸ δηλούμενον, ἐκ τοῦ ἐπιφερομένου εἰσόμεθα. *Καὶ ὁ τρώγων με*, φησὶ, *ζήσεται δι' ἐμέ*. Τρώγομεν γὰρ αὐτοῦ τὴν σάρκα, καὶ πίνομεν αὐτοῦ τὸ αἷμα, κοινωνοὶ γινόμενοι διὰ τῆς ἐνανθρωπήσεως καὶ τῆς αἰσθητῆς ζωῆς τοῦ Λόγου καὶ τῆς σοφίας. Σάρκα γὰρ καὶ αἷμα πᾶσαν αὐτοῦ τὴν μυστικὴν ἐπιδημίαν ὠνόμασε, καὶ τὴν ἐκ πρακτικῆς καὶ φυσικῆς καὶ θεολογικῆς συνεστῶσαν διδασκαλίαν ἐδήλωσε, δι' ἧς τρέφεται ψυχὴ, καὶ πρὸς τὴν τῶν ὄντων τέως θεωρίαν παρασκευάζεται. Καὶ τοῦτό ἐστι τὸ ἐκ τοῦ ῥητοῦ ἴσως δηλούμενον.

5. Καὶ πάλιν· *Ὁ Πατήρ μου μείζων μού ἐστι*. Κέχρηται (67) γὰρ καὶ τούτῳ τῷ ῥητῷ τὰ ἀχάριστα κτίσματα, τὰ τοῦ πονηροῦ γεννήματα. Ἐγὼ δὲ καὶ ἐκ ταύτης τῆς φωνῆς τὸ ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρὶ δηλοῦσθαι πεπίστευκα. Τὰς γὰρ συγκρίσεις οἶδα κυρίως ἐπὶ τῶν τῆς αὐτῆς φύσεως γινομένας. Ἄγγελον γὰρ, ἀγγέλου λέγομεν μείζονα, καὶ ἄνθρωπον ἀνθρώπου δικαιότερον, καὶ πτηνὸν πτηνοῦ ταχύτερον. Εἰ τοίνυν αἱ συγκρίσεις ἐπὶ τῶν ὁμοειδῶν γίνονται, μείζων δὲ κατὰ σύγκρισιν εἴρηται ὁ Πατὴρ τοῦ Υἱοῦ· ὁμοούσιος τῷ Πατρὶ ὁ Υἱός. Ἔστι δέ τις καὶ ἄλλη ἔννοια ἐναποκειμένη τῷ ῥητῷ. Τί γὰρ θαυμαστὸν, εἰ μείζονα ἑαυτοῦ τὸν Πατέρα ὡμολόγησε, Λόγος ὢν καὶ σὰρξ γεγονὼς, ὁπόταν καὶ ἀγγέλων ὤφθη κατὰ τὴν δόξαν ἐλάττων, καὶ ἀνθρώπων κατὰ τὸ εἶδος; *Ἠλάττωσας γὰρ αὐτὸν*, φησὶ, *βραχύ τι παρ' ἀγγέλους*· καὶ πάλιν· *Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον*· καὶ τὸ, *Εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἐκλεῖπον παρὰ πάντας τοὺς ἀνθρώπους*. Τούτων δὲ πάντων ἠνέσχετο διὰ τὴν πολλὴν αὐτοῦ περὶ τὸ πλάσμα φιλανθρωπίαν, ἵνα τὸ ἀπολωλὸς πρόβατον ἀνασώσηται (68), καὶ τὸ σωθὲν καταμίξῃ, καὶ τὸν κατελθόντα ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, καὶ διὰ τοῦτο περιπεσόντα λῃσταῖς, εἰς τὴν οἰκείαν ὑγιαίνοντα πάλιν ἐπαναγάγῃ πατρίδα. Ἦ καὶ τὴν φάτνην αὐτῷ

A pro viribus explicantes. Ac primum nobis proponatur illud: *Ego vivo propter Patrem* [53]. Hoc enim unum est ex jaculis, quæ in cœlum vibrantur ab his, qui eo impie utuntur. Illud autem dictum hoc loco non ipsam ante sæcula, ut arbitror, vitam designat (quidquid enim propter alterum vivit, vita ipsa esse nequit; quemadmodum neque quod ab alio calefactum est, calor ipse esse potest: Christus autem et Deus noster dixit: *Ego sum vita* [54]), sed vitam hanc in carne, et in hoc tempore factam, quam propter Patrem vixit. Nam ipso volente in vitam hominum advenit: neque dixit, Ego vixi propter Patrem; sed, *Ego vivo propter Patrem*, aperte præsens tempus significans. Potest autem et vitam dicere, quam vivit Christus, Verbum Dei B habens in seipso. Atque id ipsum esse, quod significatur, ex his quæ sequuntur videbimus. *Et qui* **84** *manducat me*, inquit, *vivit propter me* [55]. Edimus enim ipsius carnem, et bibimus ipsius sanguinem, participes facti, per incarnationem et sensibilem vitam, Verbi et sapientiæ. Carnem enim et sanguinem totam suam mysticam in carne conversationem vocavit, et doctrinam ex practica et naturali et theologica notione constantem declaravit: per quam et nutritur anima, et ad eorum quæ sunt contemplationem interim præparatur. Et hæc est fortasse illius dicti sententia.

5. Ac rursus, *Pater meus major me est* [56]. Utuntur enim et hoc dicto ingratæ creaturæ, mali proC genies. Ego vero ex hac etiam voce consubstantialem esse Filium Patri credo demonstrari. Comparationes enim scio proprie inter ea quæ ejusdem naturæ sunt fieri. Angelum namque angelo dicimus majorem, et hominem homine justiorem, et volucrem volucri velociorem. Itaque si comparationes inter ea quæ ejusdem speciei sunt, instituuntur; Pater autem secundum comparationem dictus est Filio major; consubstantialis Patri Filius. Inest autem et alia notio his verbis. Quid enim mirum, si majorem seipso Patrem confessus est, qui Verbum est et caro factus est [57]: cum et angelis visus sit secundum gloriam minor, et hominibus secundum speciem? *Minuisti enim eum*, inquit, *paulo minus ab angelis* [58]; et iterum: *Eum autem qui moD dico quam angeli minoratus est* [59]; item, *Vidimus eum, et non habebat speciem, neque decorem: sed species ejus deficiens præ omnibus hominibus* [60]. Hæc autem omnia sustinuit propter multam suam in opus suum benignitatem, ut perditam ovem recuperaret, et introduceret servatam, et eum, qui ab Jerosolymis Jerichunta descenderat, ob idque inciderat in latrones, ad propriam rursus patriam sanum incolumemque reduceret. An etiam præsepe

[53] Joan. vi, 58. [54] Joan. xi, 25. [55] Joan. vi, 58. [56] Joan. xiv, 28. [57] Joan. i, 14. [58] Psal. viii, 6. [59] Hebr. ii, 9. [60] Isa. liii, 2, 3.

(66) *Ἀσεβῶς*. Sic mss. Editi ἀσεβῶν. Habent iidem codices οὐ τὴν προαιώνιον. Editi οὐκ αὐτὴν, etc. Paulo post mss. pro αὐτοζωὴ habent αὐτοζῶν.

(67) *Κέχρηται*. Sic mss. Editi κέχρηνται.

(68) *Ἀνασώσηται*. Sic libri veteres. Editi ἀνασώσῃ. Paulo post ex iisdem mss. codicibus legimus ἀπαναγάγῃ pro ἐπεισαγάγῃ.

ei exprobrabit hæreticus, per quod cum esset ratione destitutus, a Verbo nutritus est? an objiciet paupertatem, quod lectulus defuit fabri filio? Propterea Patre minor Filius, quod tua causa factus est mortuus, ut te a mortalitate liberaret, et cœlestis participem vitæ faceret. Velut si quis et medicum accuset, quod demittens se ad morbos, particeps fetoris fiat, ut sanet ægrotantes.

6. Propter te et horam et diem judicii ignorat, quanquam nihil sapientiam veram latet ; omnia enim per ipsam facta sunt [59]. Hominum autem nemo unquam quod fecit ignorat. Verum id ita dispensat ob tuam infirmitatem, ut neque ii qui peccaverunt, ob præfiniti temporis angustiam in desperationem adducantur, quasi non relictum sit pœnitentiæ tempus : neque rursus ii qui diu cum adversaria potestate pugnant, ob temporis diuturnitatem aciem deserant. Itaque consulit utrisque **85** per ignorationem quam præ se fert ; alteri quidem ob præclarum certamen tempus contrahens, alteri vero propter peccata pœnitentiæ tempus reservans. Quanquam cum se ipse in Evangeliis inter eos qui ignorant, ob multorum, uti dixi, infirmitatem, numeravit [60] ; in Actis apostolorum velut perfectos seorsum alloquens, non sine sui ipsius exceptione dicit : *Non est vestrum nosse tempora vel momenta, quæ Pater posuit in sua potestate* [61]. Atque hæc quidem prima aggressione dicta sint rudius. Sed jam inquirenda sublimior dicti intelligentia, et pulsandæ fores scientiæ, si quo modo possim patremfamilias excitare, qui spirituales panes petentibus se largitur ; quandoquidem amici sunt et fratres quos convivio excipere cupimus.

7. Sancti discipuli Salvatoris nostri, cum ad summum contemplationis, quantum hominibus fas est, pervenissent, et Christi sermone expurgati fuissent, finem quærunt, et beatitudinem extremam nosse desiderant ; id quod et a suis angelis et a seipso ignorari Dominus pronuntiavit, diem appellans accuratam omnem eorum, quæ de Deo cogitantur, comprehensionem : horam vero,

A ὀνειδίσει αἱρετικὸς, δι' ἧς ἄλογος ὢν ἐτράφη ὑπὸ τοῦ Λόγου (69) ; καὶ τὴν πενίαν προοίσει, ὅτι κλινιδίου οὐκ ηὐπόρησεν ὁ τοῦ τέκτονος υἱός; Διὰ τοῦτο Πατρὸς ἐλάττων ὁ Υἱὸς, ὅτι διὰ σὲ γέγονε νεκρὸς, ἵνα σε τῆς νεκρότητος ἀπαλλάξῃ, καὶ ζωῆς μέτοχον ἐπουρανίου ποιήσῃ. Ὥσπερ ἄν, εἴ τις καὶ τὸν ἰατρὸν (70) αἰτιῷτο, ὅτι συγκύπτων ἐπὶ τὰ πάθη, τῆς δυσωδίας συναπολαύῃ, ἵνα τοὺς πεπονθότας (71), ἰάσηται.

6. Διὰ σὲ καὶ τὴν ὥραν καὶ τὴν ἡμέραν τῆς κρίσεως ἀγνοεῖ· καίτοι οὐδὲν λανθάνει τὴν ὄντως σοφίαν· πάντα γὰρ δι' αὐτῆς ἐγένετο. Οὐδεὶς δὲ ἀνθρώπων πώποτε ὃ πεποίηκεν ἀγνοεῖ. Ἀλλὰ τοῦτο οἰκονομεῖ διὰ τὴν σὴν ἀσθένειαν, ἵνα μήτε τῷ στενῷ τῆς προθεσμίας οἱ ἁμαρτήσαντες τῇ ἀθυμίᾳ καταπέσω-
B σιν, ὡς οὐχ ὑπολελειμμένου καιροῦ μετανοίας· μηδ' αὖ πάλιν οἱ πολεμοῦντες μακρὰν τῇ ἀντικειμένῃ δυνάμει διὰ τὸ μῆκος τοῦ χρόνου λειποταχτήσωσιν. Ἑκατέρους τοίνυν διὰ τῆς προσποιητῆς (72) ἀγνοίας οἰκονομεῖ· τῷ μὲν διὰ τὸν καλὸν ἀγῶνα συντέμνων τὸν χρόνον, τῷ δὲ διὰ τὰς ἁμαρτίας καιρὸν μετανοίας ταμιευόμενος. Καίτοι ἐν τοῖς Εὐαγγελίοις ἑαυτὸν συγκαταριθμήσας τοῖς ἀγνοοῦσι διὰ τὴν τῶν πολλῶν, ὡς ἔφην, ἀσθένειαν· ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων ὡς τελείοις κατ' ἰδίαν διαλεγόμενος, καθ' ὑπεξαίρεσιν ἑαυτοῦ φησιν· *Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ*. Καὶ ταῦτα μὲν κατὰ τὴν προτέραν ἐπιβολὴν εἰρήσθω (73) παχύτερον. Ἤδη δὲ ἐξεταστέον ὑψηλότερον τὴν διάνοιαν
C τοῦ ῥητοῦ, καὶ κρουστέον τὴν θύραν τῆς γνώσεως, εἴ πως (74) δυνηθείην ἐξεγεῖραι τὸν οἰκοδεσπότην, τὸν τοὺς πνευματικοὺς ἄρτους διδόντα τοῖς αἰτοῦσιν αὐτὸν, ἐπειδὴ φίλοι καὶ ἀδελφοί εἰσιν, οὓς ἑστιᾶσαι σπουδάζομεν.

7. Οἱ ἅγιοι μαθηταὶ τοῦ Σωτῆρος ἡμῶν ἐπέκεινα θεωρίας, ὡς ἔνι ἀνθρώποις, ἐλθόντες, καὶ καθαρθέντες ἀπὸ τοῦ λόγου (75), τὸ τέλος ἐπιζητοῦσι, καὶ τὴν ἐσχάτην μακαριότητα γνῶναι ποθοῦσιν, ὅπερ ἀγνοεῖν καὶ τοὺς ἀγγέλους αὐτοῦ καὶ αὐτὸν ὁ Κύριος ἡμῶν ἀπεφήνατο· ἡμέραν (76) μὲν λέγων πᾶσαν τὴν ἀκριβῆ κατάληψιν τῶν ἐπινοιῶν τοῦ Θεοῦ· ὥραν δὲ τὴν ἑνάδος καὶ μονάδος θεωρίαν, ὧν τὴν εἴδησιν μόνῳ

[59] Joan. I, 3. [60] Marc. XIII, 32. [61] Act. I, 7.

(69) *Ἄλογος ὢν ἐτράφη ὑπὸ τοῦ Λόγου*. Sic duo mss. codices. Editi ἄλλος ὢν ἐτράφη ὑπὸ τοῦ Λόγου. Legit Combefisius ὁ Λόγος ὢν ἐτράφη ὑπὸ τοῦ ἀλόγου, ac Regium codicem sic habere testatur, unde concludit sic esse reddendum : *Qui Verbum esset, a bruta nutritus animante est*. Sed vir doctissimus videtur negligentius legisse. Nam eodem codice usi sumus, nec tamen hanc lectionem in eo invenimus. Confirmatur scriptura, quam sequimur, testimonio Gregorii Nazianzeni, qui orat. 38 Basilii vestigiis sic loquitur : Καὶ τὴν φάτνην προσκύνησον, δι' ἣν ἄλογος ὢν ἐτράφης ὑπὸ τοῦ Λόγου : *Et præsepe adora, propter quod, cum rationis expers esses, a Verbo nutritus es*, pag. 623. Combefisii interpretatio hoc etiam vitio laborat, quod nitatur vulgari opinione de Christo inter bovem et asinum
D nota, quæ nondum sæculo quarto prodierat, ut demonstrat Tillemontius adversus Baronium, tom. I, p. 447.

(70) *Τὸν ἰατρόν*. Eodem exemplo ac iisdem verbis refellit Gregorius Nazianzenus inimicos Incarnationis in oratione modo citata, p. 621.

(71) *Πεπονθότας*. Sic mss. Editi πεπτωκότας. Paulo post ex iisdem codicibus legimus λανθάνει et δι' αὐτῆς. Editi ἐλάνθανε et δι' αὐτοῦ.

(72) *Προσποιητῆς*. Sic mss. Editi προσποιητικῆς.

(73) *Εἰρήσθω*. Sic Reg. Editi εἰρῆσθαι

(74) *Εἴ πως*. Reg. εἴ που, Harl. εἴ πη.

(75) *Ἀπὸ τοῦ λόγου*. Respicit ad Christi verba. Joan. XV, 3 : *Jam vos mundi estis propter sermonem quem locutus sum vobis*.

(76) *Ἡμέραν*. Sic mss. Editi ἡμέρας.

προσένειμε τῷ Πατρί. Ὑπονοῶ τοίνυν, ὅτι ἐκεῖνο λέγεται περὶ ἑαυτοῦ εἰδέναι ὁ Θεὸς, ὅπερ ἐστί· κἀκεῖνο μὴ εἰδέναι ὅπερ οὐκ ἔστι. Δικαιοσύνην μὲν γὰρ καὶ σοφίαν λέγεται εἰδέναι ὁ Θεὸς, αὐτοδικαιοσύνη (77) καὶ σοφία ὑπάρχων· ἀδικίαν δὲ καὶ πονηρίαν ἀγνοεῖν· οὐ γάρ ἐστιν ἀδικία καὶ πονηρία ὁ κτίσας ἡμᾶς Θεός. Εἰ τοίνυν ἐκεῖνο λέγεται περὶ ἑαυτοῦ εἰδέναι ὁ Θεὸς ὅπερ ἐστὶ, κἀκεῖνο μὴ εἰδέναι ὅπερ οὐκ ἔστιν· οὐκ ἔστι δὲ ὁ Κύριος ἡμῶν κατὰ τὴν τῆς ἐνανθρωπήσεως ἐπίνοιαν, καὶ παχυτέραν διδασκαλίαν, τὸ ἔσχατον ὀρεκτόν· οὐκ ἄρα οἶδεν (78) ὁ Σωτὴρ ἡμῶν τὸ τέλος καὶ τὴν ἐσχάτην μακαριότητα. *Ἀλλ' οὐδὲ οἱ ἄγγελοι*, φησὶν, *ἴσασι*· τουτέστιν, οὐδὲ ἡ ἐν αὐτοῖς θεωρία καὶ οἱ λόγοι τῶν διακονιῶν εἰσι τὸ ἔσχατον ὀρεκτόν. Παχεῖα γὰρ καὶ τούτων ἡ γνῶσις συγκρίσει τοῦ (79) πρόσωπον πρὸς πρόσωπον. Μόνος δὲ ὁ Πατὴρ, φησὶν, ἐπίσταται· ἐπεὶ καὶ αὐτός ἐστι τὸ τέλος, καὶ ἡ ἐσχάτη μακαριότης. Ὅταν γὰρ μηκέτι Θεὸν ἐν τοῖς κατόπτροις, μηδὲ διὰ τῶν ἀλλοτρίων ἐπιγινώσκωμεν, ἀλλ' αὐτῷ ὡς μόνῳ καὶ ἑνὶ προσέλθωμεν· τότε καὶ τὸ ἔσχατον τέλος εἰσόμεθα. Χριστοῦ γὰρ βασιλείαν φασὶν εἶναι πᾶσαν τὴν ἔνυλον γνῶσιν· τοῦ δὲ Θεοῦ καὶ Πατρὸς τὴν ἄϋλον, καὶ ὡς ἂν εἴποι τις, αὐτῆς τῆς θεότητος θεωρίαν. Ἔστι δὲ καὶ ὁ Κύριος ἡμῶν καὶ αὐτὸς τὸ τέλος, καὶ ἡ ἐσχάτη μακαριότης, κατὰ τὴν τοῦ Λόγου ἐπίνοιαν. Τί γάρ φησιν ἐν τῷ Εὐαγγελίῳ; *Κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ*· ἀνάστασιν λέγων τὴν ἀπὸ τῆς ἐνύλου γνώσεως ἐπὶ τὴν ἄϋλον θεωρίαν μετάβασιν (80), ἐσχάτην δὲ ἡμέραν τὴν γνῶσιν ταύτην εἰπὼν, μεθ' ἣν οὐκ ἔστιν ἑτέρα. Τηνικαῦτα γὰρ ὁ νοῦς ἡμῶν ἐξανίσταται, καὶ πρὸς ὕψος μακάριον διεγείρεται, ὁπηνίκα ἂν θεωρήσῃ τὴν ἑνάδα καὶ μονάδα τοῦ Λόγου. Ἀλλ' ἐπειδὴ παχυνθεὶς ἡμῶν ὁ νοῦς τῷ χοΐ συνεδέθη, καὶ τῷ πηλῷ συμφύρεται, καὶ ψιλῇ τῇ θεωρίᾳ ἐνατενίζειν ἀδυνατεῖ, διὰ τῶν συγγενῶν τοῦ σώματος αὐτοῦ κόσμων (81) ποδηγούμενος· τὰς ἐνεργείας τοῦ κτίστου κατανοεῖ, καὶ ταῦτα ἐκ τῶν ἀποτελεσμάτων τέως ἐπιγινώσκει, ἵν' οὕτω κατὰ μικρὸν αὐξηθεὶς ἰσχύσῃ ποτὲ καὶ αὐτῇ γυμνῇ προσελθεῖν τῇ θεότητι. Κατὰ ταύτην δὲ οἶμαι τὴν ἐπίνοιαν εἰρῆσθαι καὶ τὸ, *Ὁ Πατήρ μου μείζων μου ἐστί*· καὶ τὸ,

A unitatis ac monadis contemplationem, quarum scientiam soli Patri attribuit. Suspicor igitur Deum dici id quod est de seipso scire, et id nescire quod non est. Justitiam enim et sapientiam nosse dicitur Deus, cum ipse justitia et sapientia sit; injustitiam vero et malitiam ignorare; non enim est injustitia neque malitia, qui condidit nos Deus. Itaque si dicitur Deus, id quod est de seipso nosse, atque id nescire quod non est: non est autem Dominus noster secundum incarnationis considerationem, et crassiorem doctrinam, extremum illud bonum desiderabile: non igitur cognovit Salvator noster finem et extremam beatitudinem. *Sed neque angeli*, inquit, *sciunt* [61]: hoc est, neque contemplatio quæ in ipsis est, neque rationes mi- B nisteriorum sunt extremum illud bonum desiderabile. Nam horum etiam scientia crassa est, si comparetur cum ea, quæ est facie ad faciem. Solus autem Pater, inquit, novit [62]: quippe et ipse est finis, et extrema beatitudo. Cum enim non amplius Deum in speculis, neque per aliena cognoscemus [63], sed ad ipsum veluti solum et unum accedemus; tunc et extremum finem sciemus. Nam Christi regnum esse ferunt omnem materialem cognitionem; Dei vero et Patris, immaterialem, et, ut ita dixerim, ipsius divinitatis contemplationem. Atque etiam Dominus noster et ipse finis est, et extrema beatitudo secundum Verbi considerationem. Quid enim ait in Evangelio? *Et ego resuscitabo eum in novissimo die* [64]: resurrectionem di- C cens transitum a materiali cognitione ad immortalem contemplationem; **86** diem autem novissimum appellans eam cognitionem, post quam non est alia. Tunc enim mens nostra excitatur, et ad beatam sublimitatem erigitur, cum Verbi unitatem ac monada contemplata fuerit. Sed quoniam mens nostra crassior effecta terræ illigata est, et luto admiscetur, et contemplationi nudæ intenta esse non potest; per cognatas corpori ipsius pulchritudines manu ducta, conditoris operationes considerat, eaque interim ex effectibus cognoscit, ut ita paulatim aucta, possint aliquando ad ipsam etiam

[61] Marc. XIII, 32. [62] ibid. [63] I Cor. XIII, 12. [64] Joan. VI, 40.

(77) *Αὐτοδικαιοσύνη*. Sic mss. Male in editis αὐτῆς καὶ δικαιοσύνη.

(78) *Οἶδεν*. Sic libri veteres pro εἶδεν, et paulo post ἴσασι pro οἴδασι.

(79) *Συγκρίσει τοῦ*, etc. Tota hæc explicandi ratio non sua sponte deducta, sed vi pertracta multis videbitur. Sed illud ad excusandum difficilius, quod ait Basilius angelorum scientiam crassam esse, si comparetur cum ea quæ est facie ad faciem. Videtur subtilis explicatio, quam hic sequitur, necessitatem ei imposuisse ita de angelis sentiendi. Nam cum diem et horam idem esse statueret, ac extremam beatitudinem; illud Scripturæ, *Sed neque angeli sciunt*, cogebat illis visionem illam, quæ fit facie ad faciem, denegare; quia idem de illis non poterat dici ac de Filio, eos de seipsis scire id quod sunt, nescire quod non sunt. Quod si hanc hausit opinionem ex Origenis fontibus, qui pluribus locis eam insinuat, certe cito deposuit D Ait enim tom. II, p. 320, angelos in divinam faciem continenter intentos oculos habere. Idem docet in Commentario *in Isaiam* p. 515, n. 185, et in libro *De Spiritu sancto*, cap. 16.

(80) *Μετάβασιν*. Hanc vocem addimus ex mss. Ex iisdem legimus ἡμέραν δὲ τὴν pro τὴν ἡμέραν τήν.

(81) *Κόσμων*. Ait Combefisius: *Dura mihi hic vox: sit pro στοιχείων, per cognata corpori elementa.* Sed hac in re minus vidit vir eruditus; non enim idem sonat illa vox ac *mundi*, quasi plures ejusmodi mundos admittat Basilius; sed idem prorsus ac ornatus, sive ut ait Basilius in epist. 6: Τὰ περὶ γῆν κάλλη, *pulchritudines quæ sunt circa terram.* In Commentario *in Isaiam* n. 58, p. 422, Ecclesia dicitur πρέπουσιν ἑαυτῇ κόσμοις κεκοσμημένη, *convenientibus sibi ornamentis instructa.* Eadem voce utitur Gregorius Nazianzenus epist. 107.

nudam divinitatem accedere. In eamdem autem A arbitror sententiam dictum fuisse et illud : *Pater major me est* [65] : illud itidem, *Non est meum dare, sed quibus paratum est a Patre* [66]. Hoc enim est quod et Christus regnum tradere dicitur Deo et Patri [67] ; cum primitiæ, non finis sit, secundum rudiorem, ut dixi, doctrinam, quæ nostri non ipsius Filii respectu intelligitur. Quod autem hæc ita se habent, rursus discipulis in Actis apostolorum interrogantibus, *Quando restitues regnum Israel*, respondit, *Non est vestrum nosse tempora vel momenta, quæ Pater posuit in propria potestate* [68]. Hoc est, non eorum est, qui carni et sanguini illigati sunt, talis regni cognitio. Posuit enim Pater contemplationem istam in propria potestate : potestatem dicens eos, qui sub ipsius B sunt potestate ; proprios vero eos, quos rerum inferiorum ignoratio non tenet. Nolim autem intelligas tempora et momenta sensibilia, sed quædam cognitionis intervalla a sole intelligibili facta. Oportet enim istam Domini nostri precationem ad finem perduci ac impleri. Jesus enim est qui precatus est : *Da eis, ut et ipsi in nobis unum sint, sicut ego et tu, Pater, unum sumus* [69]. Deus enim cum unus sit, si in singulis fuerit, omnes unum efficit ; et accedente unitate, perit numerus. Atque equidem sic aggressus sum hoc dictum secundo tentamine. Quod si quis meliora dicat, aut nostra pie emendet ; et dicat, et emendet, et eum pro nobis remunerabit Dominus. Nulla enim apud nos C habitat invidia, ut qui nec contentionis, nec inanis gloriæ studio ad hanc verborum investigationem accesserimus ; sed propter fratrum utilitatem, ne testacea vasa thesaurum Dei habentia ab hominibus saxeo corde præditis et incircumcisis, qui ex stulta sapientia armati sunt, circumveniri videantur.

8. Rursus per sapientem Salomonem in Proverbiis creatus est. *Dominus enim*, inquit, *creavit me* [70]. Et initium viarum evangelicarum nominatur, quæ nos ad regnum cœlorum ducunt ; non secundum essentiam creatura, sed secundum dispensationem factus via. Nam *factum esse*, et *creatum esse*, idem significant. Factus est enim quatenus via et janua et pastor et nuntius et ovis, ac D rursus pontifex et apostolus ; nominibus aliis pro alia considerandi ratione positis. Rursus quid dicat hæreticus **87** de non subjecto Deo, et propter nos facto peccato? Scriptum namque est : *Cum subjecta fuerint illi omnia, tunc et ipse Filius subjectus erit ei, qui subjecit sibi omnia* [71]. Non times, o homo, cum Deus non subjectus appellatur! Tuam enim subjectionem, suam facit ; et

A *Οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ Πατρός.* Τοῦτο γάρ ἐστι καὶ τὸ παραδοῦναι τὴν βασιλείαν τὸν Χριστὸν τῷ Θεῷ καὶ Πατρί· ἀπαρχὴν ὄντα καὶ οὐ τέλος, κατὰ τὴν παχυτέραν, ὡς ἔφην, διδασκαλίαν, ἥτις ὡς πρὸς ἡμᾶς, καὶ οὐ πρὸς αὐτὸν τὸν Υἱὸν θεωρεῖται. Ὅτι δὲ ταῦθ' οὕτως ἔχει, πάλιν ἐρωτήσασι τοῖς μαθηταῖς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων τό· *Πότε ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ*, φησίν· *Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς* (82), *οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.* Τουτέστιν, οὐ τῶν συνδεδεμένων σαρκὶ καὶ αἵματι τῆς τοιαύτης βασιλείας ἡ γνῶσις. Ταύτην γὰρ τὴν θεωρίαν ὁ Πατὴρ ἐναπέθετο τῇ ἰδίᾳ ἐξουσίᾳ· ἐξουσίαν λέγων τοὺς ἐξουσιαζομένους, ἰδίους δὲ, οὓς μὴ κατέχει (83) ἄγνοια τῶν κατωτέρω πραγμάτων. B Χρόνους δὲ καὶ καιροὺς μή μοι νόει αἰσθητοὺς, ἀλλὰ διαστήματά τινα γνώσεως ὑπὸ τοῦ νοητοῦ ἡλίου γινόμενα. Δεῖ γὰρ τὴν προσευχὴν ἐκείνην ἐπὶ πέρας ἀχθῆναι τοῦ Δεσπότου ἡμῶν. Ἰησοῦς γάρ ἐστιν ὁ προσευξάμενος· *Δὸς αὐτοῖς, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι, καθὼς ἐγὼ καὶ σὺ ἕν ἐσμεν, Πάτερ.* Εἷς γὰρ ὢν ὁ Θεὸς, ἐν ἑκάστῳ γινόμενος, ἑνοῖ τοὺς πάντας· καὶ ἀπόλλυται ὁ ἀριθμὸς τῇ τῆς μονάδος ἐπιδημίᾳ. Κἀγὼ μὲν οὕτως ἐπέβαλον τῷ ῥητῷ (84) κατὰ τὴν δευτέραν ἐπιχείρησιν. Εἰ δέ τις βέλτιον λέγοι, ἢ διορθοίη εὐσεβῶς τὰ ἡμέτερα, καὶ λεγέτω καὶ διορθούσθω, καὶ ὁ Κύριος ἀνταποδώσει ὑπὲρ ἡμῶν. Οὐδεὶς γὰρ παρ' ἡμῖν αὐλίζεται φθόνος, ὅτι μηδὲ φιλονεικίας ἕνεκεν ἢ κενοδοξίας (85) ἐπὶ τήνδε τὴν ἐξέτασιν τῶν C ῥημάτων κεχωρήκαμεν· ἀλλ' ὠφελείας ἕνεκεν τῶν ἀδελφῶν, ὑπὲρ τοῦ μὴ δοκεῖν παρακρούεσθαι τὰ ὀστράκινα σκεύη, τὰ τὸν θησαυρὸν ἔχοντα τοῦ Θεοῦ, ὑπὸ τῶν λιθοκαρδίων καὶ ἀπεριτμήτων ἀνθρώπων, τῶν ἐκ τῆς μωρᾶς ὡπλισμένων σοφίας.

8. Πάλιν διὰ τοῦ σοφοῦ Σολομῶντος ἐν Παροιμίαις ἔκτισται. *Κύριος γὰρ*, φησὶν, *ἔκτισέ με.* Καὶ ἀρχὴ ὁδῶν εὐαγγελικῶν ὀνομάζεται, ἀγουσῶν ἡμᾶς πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν, οὐ κατ' οὐσίαν κτίσις, ἀλλὰ κατὰ τὴν οἰκονομίαν ὁδὸς γεγονώς. Τὸ γὰρ *γεγονέναι*, καὶ τὸ *ἐκτίσθαι*, ταυτὸν δηλοῖ. Ὡς γὰρ ὁδὸς γέγονε, καὶ θύρα, καὶ ποιμὴν, καὶ ἄγγελος, καὶ πρόβατον, D καὶ πάλιν ἀρχιερεὺς καὶ ἀπόστολος· ἄλλων (86) κατ' ἄλλην ἐπίνοιαν τῶν ὀνομάτων κειμένων. Τί ἂν εἴποι πάλιν ὁ αἱρετικὸς περὶ τοῦ ἀνυποτάκτου Θεοῦ, καὶ τοῦ δι' ἡμᾶς ἁμαρτίαν γεγενημένου; Γέγραπται γάρ· *Ὅταν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα.* Οὐ φοβῇ, ἄνθρωπε, τὸν Θεὸν ἀνυπότακτον ὀνομαζόμενον; Τὴν γὰρ σὴν ὑποταγὴν ἰδίαν ποιεῖται, καὶ ἐν τῷ ἀντιτείνειν σε πρὸς

[65] Joan. XIV, 28. [66] Matth. XX, 30. [67] I Cor. XV, 24. [68] Act. I, 6, 7. [69] Joan. XVII, 21. [70] Prov. VIII, 22. [71] I Cor. XV, 28.

(82) *Ἢ καιρούς.* Sic mss. Editi καὶ καιρούς.
(83) *Οὓς μὴ κατέχει.* Mss. ὧν μὴ μετέχει.
(84) *Ἐπέβαλον τῷ ῥητῷ.* Melior videtur hæc veterum codicum scriptura quam vulgata ἀπέλαβον τὸ ῥητόν.

(85) *Κενοδοξίας.* Sic mss. Editi φιλοδοξίας. Paulo post cod. Reg. μὴ δοκεῖν περικρούεσθαι.
(86) *Ἄλλων.* Editi addunt δέ, sed deest in mss. Paulo post ἁμαρτία γεγενημένου in cod. Reg.; ἁμαρτίας Harl.

τὴν ἀρετὴν, ἀνυπότακτον ἑαυτὸν ὀνομάζει. Οὕτω A ποτὲ καὶ ἑαυτὸν ἔφη εἶναι τὸν διωκόμενον. *Σαῦλε* γὰρ, φησὶ, *Σαῦλε, τί με διώκεις;* ἡνίκα ἐπὶ Δαμασκὸν ἔτρεχε (87), τοὺς μαθητὰς τοῦ Χριστοῦ συνδῆσαι βουλόμενος. Καὶ πάλιν ἑαυτὸν γυμνὸν ὀνομάζει, ἑνός τινος τῶν ἀδελφῶν γυμνητεύοντος. *Γυμνὸς* γὰρ, φησὶν, *ἤμην, καὶ περιεβάλετέ με.* Καὶ ἄλλου ἐν φυλακῇ ὄντος, ἑαυτὸν ἔφη εἶναι τὸν καθειργμένον. Αὐτὸς γὰρ τὰς ἁμαρτίας ἡμῶν ἦρε, καὶ τὰς νόσους ἐβάστασε. Μία δὲ τῶν ἀσθενειῶν ἐστι καὶ ἡ ἀνυποταξία· καὶ ταύτην ἐβάστασε. Διὸ καὶ τὰ συμβαίνοντα ἡμῖν περιστατικὰ ἰδιοποιεῖται ὁ Κύριος, ἐκ τῆς πρὸς ἡμᾶς κοινωνίας τὰ ἡμέτερα πάθη ἀναδεχόμενος.

9. Ἀλλὰ καὶ τὸ, *Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ'* B *ἑαυτοῦ οὐδὲν*, λαμβάνουσιν οἱ θεομάχοι ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. Ἐμοὶ δὲ καὶ τοῦτο τὸ ῥητὸν μάλιστα καταγγέλλει τῆς αὐτῆς φύσεως εἶναι τὸν Υἱὸν τῷ Πατρί. Εἰ γὰρ ἕκαστον τῶν λογικῶν κτισμάτων δύναταί τι ποιεῖν ἀφ' ἑαυτοῦ, αὐτεξούσιον ἔχον (88) τὴν ἐπὶ τὸ χεῖρόν τε καὶ κρεῖττον ῥοπὴν, ὁ δὲ Υἱὸς οὐ δύναταί τι ποιεῖν ἀφ' ἑαυτοῦ· οὐ κτίσμα ὁ Υἱός. Εἰ δὲ μὴ κτίσμα, ὁμοούσιος τῷ Πατρί. Καὶ πάλιν, οὐδὲν τῶν κτισμάτων τὰ ὅσα βούλεται δύναται. Ὁ δὲ Υἱὸς ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς πάντα ὅσα ἠθέλησεν, ἐποίησεν· οὐκ ἄρα κτίσμα ὁ Υἱός. Καὶ πάλιν, πάντα τὰ κτίσματα ἢ ἐκ τῶν ἐναντίων συνέστηκεν, ἢ τῶν ἐναντίων ἐστὶ δεκτικά. Ὁ δὲ Υἱὸς αὐτοδικαιοσύνη, καὶ ἄϋλός ἐστιν· οὐκ ἄρα κτισμα ὁ C Υἱός. Εἰ δὲ μὴ τοῦτο, ὁμοούσιος τῷ Πατρί.

Ὁ ἐφικτὴν εἶναι λέγων τῶν ὄντων τὴν εὕρεσιν ὁδῷ τινι πάντως καὶ ἀκολουθίᾳ διὰ τῆς τῶν ὄντων γνώσεως προέβαλεν (48) ἑαυτοῦ τὴν διάνοιαν· καὶ τοῖς εὐλήπτοις τε καὶ μικροτέροις ἐγγυμνασθεὶς διὰ τῆς (49) καταλήψεως, οὕτω καὶ εἰς τὴν ἐπέκεινα πάσης ἐννοίας προήγαγεν ἑαυτοῦ καταληπτικὴν φαντασίαν. Οὐκοῦν ὁ τὴν περὶ τῶν ὄντων εἴδησιν κατειληφέναι μεγαλαυχούμενος, τὸ σμικρότατον τῶν προφαινομένων, ὅπως ἔχει φύσεως, ἑρμηνευσάτω, καὶ τίς ἡ τοῦ μύρμηκος φύσις, εἰπάτω· εἰ πνεύματι καὶ ἄσθματι συνέχεται αὐτοῦ ἡ ζωή· εἰ ὀστέοις τὸ σῶμα (50) διείληπται· εἰ νεύροις καὶ συνδέσμοις τὰς ἁρμονίας τετόνωται· εἰ μυῶν περιβολῇ καὶ ἀδένων ἡ τῶν νεύρων περικρατεῖται θέσις (51)· εἰ τοῖς νω- C τιαίοις σπονδύλοις ἐκ τοῦ βρέγματος ἐπὶ τὸ οὐραῖον ὁ μυελὸς συμπαρατείνεται· εἰ τῇ περιοχῇ (52) τοῦ νευρώδους ὑμένος, τοῖς κινουμένοις μέλεσι τὴν ὁρμητικὴν ἐνδίδωσι δύναμιν· εἰ ἔστιν ἐν αὐτῷ τὸ ἧπαρ, καὶ τὸ χοληδόχον ἀγγεῖον ἐπὶ τοῦ ἥπατος· νεφροί τε καὶ καρδία, καὶ ἀρτηρίαι, καὶ φλέβες, ὑμένες καὶ διαφράγματα· εἰ ψιλόν ἐστιν, ἢ τετρίχωται· εἰ μονώνυχόν (53) ἐστιν, ἢ πολυσχιδεῖς ἔχει τὰς βάσεις· πόσον δὲ βιοῖ τὸν χρόνον, καὶ τίς αὐτοῖς ὁ

* Alias CLXVIII. Scripta imperante Juliano

(44) *Προσφθέγγεσθαι*. Reg. secundus προσφθέγξασθαι.

(45) *Λαβεῖν δέ ποτε*. Hæc verba ad Basilium necessario referuntur, qui optabat ut cives rebus feliciter gestis redeuntes exciperet. Verum ista, ἡμέρως ἰδεῖν καὶ ἀποπέμψασθαι, *placide aspicere et dimittere*, ad Arcadium spectant, et cum totum hunc locum penitus deforment, nec possint, incolumi sententia, retineri; ea ex interpretatione, ut perperam in contextum injecta, eliminavi, non tamen ex ipso textu, quia non favent codices mss. Confirmatur hæc explicatio ex epist. 148, quam similiter concludit Basilius sibique ait in optatis esse, ut eum, quem Trajano commendabat, ipsius laudes videat prædicantem.

(46) *Καὶ αὐτούς*. Conjunctio addita ex Med. Coisl. utroque et Reg. secundo.

(47) *Πρὸς Εὐνόμιον τὸν αἱρετικόν*. Sic mss. sex, nisi quod in duobus τόν deest. Editi Εὐνομίῳ. Titulus quem exhibent mss. codices congruit mirifice ipsi epistolæ, quam perspicitur adversus Eunomium scriptam esse, vel ex aliqua Basilii adversus Eunomium elucubratione excerptam fuisse. Addunt Reg. secundus et Coisl. recentior: Ὅτι, μηδὲ τὴν τοῦ μύρμηκος φύσιν ἐπιστάμενος, τὴν πάντα νοῦν ὑπερέχουσαν δύναμιν φυσιολογεῖν ἐπεχείρησεν. *Quod, cum ne formicæ quidem naturam cognoscat, de potestatis omnem intellectum superantis natura disserere tentaverit.*

D

(48) *Προέβαλεν*. Ita Harl. et Med. Editi παρέβαλεν.

(49) *Διὰ τῆς*. Ita tres vetustissimi codices cum duobus aliis. Editi διὰ ταύτης

(50) *Τὸ σῶμα*. Tres codices vetustissimi τῷ σώματι.

(51) *Θέσις*. Sic mss. septem. Editi φυσις.

(52) *Τῇ περιοχῇ*. Sic mss. sex pro eo quod erat in editis ἡ περιοχή.

(53) *Εἰ μονώνυχον*. Conjunctio addita ex pluribus [illegible] Paulo post editi ἐπεὶ πόσον. Mss. ut in textu

τρόπος τῆς ἐξ ἀλλήλων γεννήσεως· ἐπὶ πόσον δὲ κυΐσκεται τὸ τικτόμενον, καὶ πῶς οὔτε πεζοὶ πάντες οἱ μύρμηκες, οὔτε ὑπόπτεροι πάντες, ἀλλ' οἱ μὲν τῶν χαμαὶ ἐρχομένων εἰσὶν, οἱ δὲ διαέριοι φέρονται. Ὁ τοίνυν τῶν ὄντων τὴν γνῶσιν ἐπικομπάζων τέως τὴν τοῦ μύρμηκος φύσιν εἰπάτω· εἶθ' οὕτω φυσιολογείτω τὴν πάντα νοῦν ὑπερέχουσαν δύναμιν. Εἰ δὲ τοῦ βραχυτάτου μύρμηκος οὔπω περιέλαβες τῇ γνώσει τὴν φύσιν, πῶς τὴν ἀκατάληπτον τοῦ Θεοῦ δύναμιν μεγαλαυχεῖς φαντάζεσθαι·

A quomodo aliæ alias gignant; quandiu gestetur fetus, et quomodo neque omnes formicæ pedestres sint, neque omnes alatæ, sed repentibus humi aliis, aliæ per aerem ferantur. Qui ergo de eorum quæ sunt cognitione gloriatur, interim formicæ nobis explicet naturam; atque ita demum ejus potestatis, quæ intellectum omnem superat, naturam scrutetur. Quod si minutissimæ formicæ naturam nondum cognitione apprehendisti, quomodo incomprehensibilem Dei naturam imaginatione tua comprehensam esse gloriaris?

ΕΠΙΣΤΟΛΗ ΙΖ'.

EPISTOLA XVII*.

Laudat Basilius Origenis scripta et susceptam veritatis defensionem: persecutorum prædicit exitium: Origeni ejusque filiis prospera omnia precatur.

Ὠριγένει (54).

Καὶ ἀκουόμενος εὐφραίνεις, καὶ ἀναγινωσκόμενος δι' ὧν γράφεις ἐνεργεστέρας (55) ἡμῖν παρέχεις εὐφροσύνας. Καὶ χάρις πολλὴ τῷ ἀγαθῷ Θεῷ, τῷ μηδὲν ἐλαττωθῆναι ποιήσαντι τὴν ἀλήθειαν ἐν τῇ προδοσίᾳ τῶν δῆθεν ὑπερκρατούντων, ἀλλὰ δι' ὑμῶν (56) τὴν συνηγορίαν τοῦ λόγου τῆς εὐσεβείας ἀναπληρώσαντι. Ἐκεῖνοι μὲν οὖν, ὡς τὸ κώνειον, ἢ τὸ ἀκόνιτον, καὶ εἴ τις ἄλλη ἀνδροφόνος βοτάνη, πρὸς ὀλίγον ἀνθήσαντες, ταχὺ ἀποξηρανθήσονται. Ὑμῖν δὲ ἀνθηρὸν καὶ ἀεὶ νέον ὁ Κύριος τὸν μισθὸν τῶν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ λαληθέντων παρέξει. Ἀνθ' ὧν καὶ παράσχοι ὑμῖν ὁ Κύριος πᾶσαν εὐθηνίαν οἴκου, καὶ εἰς παῖδας παίδων τὴν εὐλογίαν διαβιβάσαι. Τὰ δὲ εὐγενέστατα παιδία, τοὺς ἐναργεῖς τῆς σῆς χρηστότητος χαρακτῆρας, εἶδον ἡδέως καὶ περιεπτυξάμην, καὶ εὔχομαι αὐτοῖς ὅσα ἂν αὐτὸς ὁ πατὴρ εὔξῃ.

Origeni.

B Et dum audiris, oblectas; et dum legeris, per scripta majori nos afficis lætitia. Ac Deo quidem optimo gratiæ multæ, qui fecit, ut nihil detrimenti acciperet veritas ex eorum proditione, qui summam videlicet potestatem habent: sed per vos defensionem doctrinæ veritatis **96** implevit. Illi quidem velut cicuta aut aconitum, et si qua est alia exitialis herba, brevi tempore cum floruerint, illico exarescent. Vobis vero Dominus mercedem efflorescentem ac semper novam ob ea, quæ pro ipsius nomine locuti estis, largietur. Propter quæ det vobis Dominus et prosperitatem omnem domesticam, et in filios filiorum benedictionem transmittat. Cæterum liberos tuos nobilissimos, expressam bonitatis tuæ effigiem, vidi libenter atque amplexus C sum, precorque illis quidquid ipse pater precetur.

ΕΠΙΣΤΟΛΗ ΙΗ'.

EPISTOLA XVIII**.

Hortatur Basilius Macarium et Joannem, ut spe regni cœlestis quæ sola non fallit, nec potentium minis, nec falsorum amicorum vituperiis a pietate deterreantur.

Μακαρίῳ (57) καὶ Ἰωάννῃ.

Οὔτε γεωργοὺς οἱ κατὰ γεωργίαν ξενίζουσι πόνοι, οὔτε ναύταις ὁ κατὰ θάλασσαν χειμὼν ἀπροσδόκητος, οὔτε τοῖς μισθαρνοῦσιν ὁ θερινὸς (58) ἱδρὼς παράδοξος, οὔτε μὴν τοῖς εὐσεβῶς ζῆν ἑλομένοις αἱ κατὰ τὸν ἐνεστῶτα κόσμον θλίψεις ἀμελέτητοι (59). Ἀλλ' ἑκάστῳ τῶν εἰρημένων οἰκεῖος καὶ γνώριμος τοῖς μετιοῦσι συνέζευκται πόνος· οὐ δι' ἑαυτὸν αἱρετὸς, ἀλλὰ δι' ἀπόλαυσιν ἀγαθῶν προσδοκωμένων. Ἐλπίδες γὰρ, πάντα τὸν τῶν ἀνθρώπων συνέχουσαι καὶ συγκροτοῦσαι βίον, τὴν ἐφ' ἑκάστῳ τούτων παραμυθοῦνται δυσκολίαν. Τῶν μὲν οὖν ὑπὲρ γῆς καρπῶν (60), ἢ τῶν κατὰ γῆν πονούντων οἱ μὲν παντάπασιν ἐψεύ-

Macario et Joanni.

Neque agricolis agriculturæ novi sunt labores, neque nautis pelagi tempestas inexspectata, neque operariis mercede conductis æstivus sudor insolitus; nec profecto his, qui piam vitam elegerunt, mundi hujus afflictio improvisa. Sed unicuique eorum, quos diximus, proprius ac notus artem exercentibus adjunctus est labor; non ille quidem propter se eligendus, sed ad bonorum exspectatorum D perfruitionem. Spes siquidem, quæ hominum omnem continent ac consociant vitam, insitam unicuique harum rerum difficultatem consolantur. Atque ex iis quidem, qui pro terræ fructibus aut rebus

(54) Ὠριγένει. Editi addunt πρόῤῥησις, quæ vox deest in sex mss. et corrupte in codice insignis Ecclesiæ Parisiensis sic legitur πρόσῤῥησις.

(55) Ἐνεργεστέρας. Sic uterque Coisl., Harl. et duo alii. Editi ἐναργεστέρας.

(56) Δι' ὑμῶν. Δι' ἡμῶν Harl. et Coisl. primus.

(57) Μακαρίῳ. Quinque codices, nempe Harl., Reg. secundus, Vat., Paris., Coisl. secundus Μαχρίνῳ. Reg. primus Μαχρίνῳ. Sed tamen quia vulgata scriptura exstat in antiquissimis codicibus Coisliniano primo et Medicæo, nihil mutavimus.

(58) Θερινός. Hanc vocem addidimus ex codicibus Coisl. primo, Med. et Clarom., sicque legit Scultetus.

(59) Αἱ... θλίψεις ἀμελέτητοι. Harl. et tres codices recentiores ἡ... θλίψις ἀμελέτητος. Sic etiam paulo post retinuimus has voces, τοῖς μετιοῦσι, quæ desiderantur quidem in codice Harl. et quatuor recentioribus; at in vetustissimis Coisl. et Med. non desunt.

(60) Ὑπὲρ γῆς καρπῶν. Displicet Combefisio postrema vox, ac legit καμνόντων, sed prorsus immerito.

* Alias CCCLXXXIV. Scripta imperante Juliano.

** Alias CCXI. Scripta videtur sub Juliano.

terrenis desudant, alios spes omnino frustratæ sunt, cum cogitatione tenus exspectatis potiti essent: quibus autem etiam ex sententia processit eventus, iis spe altera iterum opus fuit, præterlabente ac marcescente celeriter priore. Verum iis solis qui pro pietate laborant, nec mendacium abolevit exspectationem, nec finis labores labefactavit, stabili ac firmo excipiente cœlorum regno. Vos ergo non conturbet mendax calumnia, nec minæ terreant eorum, qui summam potestatem habent; non risus contristet aut contumelia familiarium, nec condemnatio ab hominibus curam et studium præ se ferentibus, a quibus fortissima ad decipiendum esca prætenditur, simulata adhortatio, quandiu veritatis doctrina nobis patrocinabitur. His autem omnibus obluctetur recta ratio, defensorem sibi advocans et adjutorem, magistrum pietatis Dominum nostrum Jesum Christum, pro quo et pati dulce est, et mori lucrum [1].

A σθησαν τῶν ἐλπίδων, μέχρι μόνης φαντασίας τῶν προσδοκωμένων τὴν ἀπόλαυσιν ἔχοντες· οἷς δὲ καὶ κατὰ γνώμην ἐκβῆναι συνέβη τὸ τέλος, δευτέρας ἐδέησε πάλιν ἐλπίδος, παραδραμούσης καὶ μαρανθείσης ἐν τάχει τῆς προτέρας. Μόνοις δὲ τοῖς ὑπὲρ εὐσεβείας καμοῦσιν οὐ ψεῦδος ἠφάνισε (61) τὰς ἐλπίδας, οὐ τέλος ἐλυμήνατο τοὺς ἄθλους (62), βεβαίας καὶ μονίμου διαδεχομένης τῆς τῶν οὐρανῶν βασιλείας. Μὴ τοίνυν ὑμᾶς ταραττέτω διαβολὴ ψευδὴς, μηδὲ φοβείτω τῶν κρατούντων (63) ἀπειλή· μὴ γέλως λυπείτω καὶ ὕβρις τῶν γνωρίμων, μηδὲ κατάγνωσις παρὰ τῶν κήδεσθαι προσποιουμένων, ἰσχυρότατον πρὸς ἀπάτην δέλεαρ προβαλλομένων (64) παραινέσεως προσποίησιν, ἕως ἂν ὁ τῆς ἀληθείας ἡμῖν συναγωνίζηται (65) λόγος. B Ἀντιμαχέσθω δὲ τοῖς πᾶσι λογισμὸς ὀρθὸς, σύμμαχον παρακαλῶν γενέσθαι καὶ βοηθὸν αὐτῷ τὸν τῆς εὐσεβείας διδάσκαλον τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, δι' ὃν καὶ τὸ κακοπαθεῖν ἡδὺ, καὶ τὸ ἀποθανεῖν κέρδος.

EPISTOLA XIX*.

ΕΠΙΣΤΟΛΗ ΙΘ'.

Per Petrum Basilius rescribit Gregorio, cujus Laconicas in epistolas jocatur.

97 *Gregorio sodali.*

Litteræ venerunt mihi non ita pridem a te, plane tuæ, non tam indiciis manus, quam propriis epistolæ notis. Pauca enim erant verba sententiam uberem exhibentia. Ad quas statim non respondimus, quod nos quidem peregre essemus; tabellarius vero, cum epistolam uni familiarium nostrorum dedisset, propere discesserit. Sed nunc per Petrum alloquimur te, simul et salutationis persolventes debitum, et occasionem alterius epistolæ præbentes. Omnino autem nullus labor epistolæ Laconicæ, quales sunt, quæ a te subinde ad nos perveniunt.

Γρηγορίῳ ἑταίρῳ.

Γράμμα ἦλθέ μοι πρώην παρὰ σοῦ, ἀκριβῶς σὸν, οὐ τοσοῦτον τῷ χαρακτῆρι τῆς χειρὸς, ὅσον τῷ τῆς ἐπιστολῆς ἰδιώματι. Ὀλίγα γὰρ ἦν τὰ ῥήματα πολλὴν διάνοιαν παριστῶντα. Πρὸς ἃ εὐθὺς μὲν οὐκ ἀπεκρινάμεθα, διότι αὐτοὶ μὲν ἀπεδημοῦμεν· ὁ δὲ γραμματοφόρος (66), ἑνὶ τῶν ἐπιτηδείων ἡμῖν ἐπιδοὺς C τὴν ἐπιστολὴν, ἀπιὼν ᾤχετο. Ἀλλὰ νῦν διὰ Πέτρου προσφθεγγόμεθά σε, ὁμοῦ μὲν ἀποτιννύντες τῆς προσηγορίας τὸ χρέος, ὁμοῦ δὲ ἀφορμὴν δευτέρων γραμμάτων παρέχοντες. Πάντως δὲ οὐδεὶς πόνος Λακωνικῆς ἐπιστολῆς, ὁποῖαί εἰσιν αἱ παρὰ σοῦ ἑκάστοτε πρὸς ἡμᾶς ἀφικνούμεναι.

EPISTOLA XX**.

ΕΠΙΣΤΟΛΗ Κ'.

Amice objurgat Leontium Basilius, quod raro scribat; eumque probat inexcusabilem esse utpote nunquam carentem occasionibus scribendi, ac præterea sophistam; sibi vero excusationem petit, tum ex crebris occupationibus, tum quia non jam eo utitur dicendi genere, quod placeat sophistis. Mittit sua adversus Eunomium opera.

Leontio sophistæ.

Raræ quidem tibi et a nobis litteræ; non tamen rariores quam tuæ; idque, cum multi continenter a vobis ad nos venerint; quibus singulis si ordine litteras commisisses, nihil impediret quominus videremur una tecum esse, teque perinde frui, ac

Λεοντίῳ σοφιστῇ.

Χρόνια μέν σοι καὶ τὰ παρ' ἡμῶν γράμματα· οὐ μὴν χρονιώτερα τῶν αὐτόθεν, καὶ ταῦτα πολλῶν καὶ συνεχῶν D ἐπιδημησάντων ἡμῖν ἀπὸ τῆς ὑμετέρας· οἷς εἰ πᾶσιν ἐφεξῆς γράμματα (67) ἐπετίθης, οὐδὲν ἦν τὸ κωλύον αὐτῷ σοι δοκεῖν συνεῖναι ἡμᾶς, καὶ οἱονεὶ

[1] Philipp. I, 21.

* Alias III. Scripta videtur Cæsareæ, cum esset presbyter.

** Alias LXXXIII. Scripta anno 364.

(61) *Ἠφάνισε.* Παρηφάνισε Coisl. primus et Med.

(62) *Τοὺς ἄθλους.* Sic Coisl. primus et Medicæus et Clarom. in margine; alii τοῖς ἄθλοις. Editi τοῖς ἄλλοις. Paulo post editi μηδὲ γέλως. Harl., Coisl. primus et Med. et alii nonnulli ut in textu.

(63) *Τῶν κρατούντων.* Sæpe alias Basilius hac voce imperatorem designat.

(64) *Προβαλλομένων.* Sic uterque Coisl., Harl., Paris. et unus ex Regiis. Editi προσβαλλομένων. Ibidem προσποιήσει in tribus mss.

(65) *Ἡμῖν συναγωνίζηται.* Editi ὑμῖν συναγωνίζεται. Secuti sumus antiquos codices, Coisl. et Med. et Harl. cum pluribus aliis. Statim legimus cum quinque mss., quorum in numero Harlæanus et prima manu Coislinianus antiquior, αὐτῷ τὸν τῆς, etc. Editi αὐτόν. Desunt in quatuor mss. hæ voces, καὶ βοηθόν.

(66) *Γραμματοφόρος.* Γραμματηφόρος quatuor mss.

(67) *Γράμματα.* Ita sex libri veteres. Editi γράμμα.

παρόντας καὶ συνόντας ἀπολαύειν· οὕτω συνεχὲς ἦν τὸ πλῆθος τῶν πρὸς ἡμᾶς ἀφικνουμένων. Ἀλλὰ τί οὐκ ἐπιστέλλεις; καίτοιγε οὐδὲν ἔργον σοφιστῇ (68), ἢ τὸ γράφειν· μᾶλλον δὲ εἰ καὶ τῆς χειρὸς ἔχεις ἀργῶς, οὐδὲ γράφειν δεήσει· ἄλλος γάρ σοι διακονήσει. Γλώττης δὲ χρεία μόνης· ἣ, κἂν ἡμῖν μὴ διαλέγηται, ἀλλ' ἑνί γε πάντως τῶν συνόντων λαλήσει· κἂν μηδεὶς παρῇ, ἐφ' ἑαυτῆς διαλέξεται· σιωπήσει δὲ οὐδαμῶς, σοφιστική τε οὖσα καὶ Ἀττική· οὐ μᾶλλόν γε ἢ αἱ ἀηδόνες, ὅταν τὸ ἔαρ αὐτὰς πρὸς ᾠδὴν ἀναστήσῃ. Ἡμῖν μὲν γὰρ τὸ πυκνὸν (69) τῆς ἀσχολίας τοῦτο, ἐν ᾧ νῦν ἐσμεν, κἂν παραίτησιν ἐνέγκοι τυχὸν πρὸς τὴν ἔνδειαν τῶν πραγμάτων· καὶ τὸ ὥσπερ ἐρρυπῶσθαι λοιπὸν τῇ καταχορεῖ συνηθείᾳ (70) πρὸς ἰδιωτισμὸν ὄκνον εἰκότως ἐμποιεῖ προσφθέγγεσθαι ὑμᾶς τοὺς σοφιστάς· οἳ, εἰ μή τι ἄξιον τῆς B ὑμετέρας αὐτῶν σοφίας ἀκούσεσθε, δυσχερανεῖτε, καὶ οὐκ ἀνέξεσθε. Σὲ δέ που τὸ ἐναντίον εἰκὸς ἐπὶ πάσης προφάσεως δημοσιεύειν σαυτοῦ τὴν φωνὴν, ἐπιτηδειότατον ὄντα εἰπεῖν, ὧν αὐτὸς οἶδα Ἑλλήνων· οἶδα γὰρ, ὡς οἶμαι, τοὺς ὀνομαστοτάτους τῶν ἐν ὑμῖν· ὥστε οὐδεμία παραίτησις σιωπῶντι. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Ἀπέστειλα δὲ καὶ τὰ πρὸς Εὐνόμιον· ἃ εἴτε παιδιὰν χρὴ καλεῖν, εἴτε μικρῷ παιδιᾶς σπουδαιότερα, αὐτῷ σοι κρίνειν παρίημι· ὃς πρὸς μὲν (71) τὰ οἰκεῖα σαυτοῦ οὐκέτι, οἶμαι, χρῄζεις· πρὸς δὲ τῶν ἐνδιαστρόφων τοὺς ἐντυγχάνοντας οὐκ ἀγεννές σοι ὅπλον ἔσεσθαι προσδοκῶ· οὐ τῇ δυνάμει τοῦ συντάγματος καταπιστεύοντες τοσοῦτον, ἀλλ' ἀκριβῶς γνωρίζοντες ἀπὸ ὀλίγων ἀφορμῶν ἐπὶ πολλά σε ὄντα εὑρετικόν. Ἐὰν δέ τί σοι καὶ ἀσθενέστερον ἔχειν τῆς C χρείας καταφανῇ, μὴ κατοκνήσῃς ἐλέγξαι. Τούτῳ γὰρ (72) μάλιστα φίλος κόλακος διενήνοχε, τῷ τὸν μὲν πρὸς ἡδονὴν ὁμιλεῖν, τὸν δὲ μηδὲ τῶν λυπούντων ἀπέχεσθαι.

A si adessemus, et tecum versaremur : adeo continua fuit multitudo ad nos venientium. At cur non scribis, cum quidem negotium nullum sit sophistæ scribere? Imo si manus pigra est, ne scribere quidem opus erit; alius enim tibi dabit operam. Lingua autem sola opus est, quæ etiamsi nos non alloquatur, at profecto unum ex iis qui tecum sunt, alloquetur. Quod si nemo adsit, secum ipsa loquetur; tacebit autem nequaquam, cum sit et sophistica et Attica : non magis, quam lusciniæ, quando eas vernum tempus ad canendum excitaverit. Nobis enim crebræ illæ occupationes, quibus nunc distinemur, excusationem fortasse afferant, si litteris desimus : et quædam veluti sordes ex continuæ vulgaris sermonis usu jam contractæ non immerito B deterrent, quominus vos sophistas alloquamur; qui nisi sapientia vestra dignum aliquid audieritis, indignabimini, nec perferetis. Te vero contra æquum est tuam vocem ad omnem occasionem promulgare, cum sis maxime omnium quos novi Græcorum ad dicendum idoneus : novi enim, ut puto, qui inter vos sunt celeberrimi : quare nulla excusatio tacenti. Atque hæc quidem hactenus. Misi autem et scripta adversus Eunomium, quæ quidem utrum lusus dicenda sint, an lusu paulo graviora, tibi ipsi judicandum relinquo: qui quod attinet quidem ad tuam ipsius personam, his, opinor, **98** non amplius indiges : sed adversus perversos, in quos incideris, telum tibi non infirmum futurum spero; non quod ita multum scripti robore confidamus, C sed quod probe sciamus idoneum te esse, qui ex paucis argumentis multa invenias. Quod si quid tibi infirmius, quam esse oportebat, videbitur, redarguere ne pigreris. Hoc enim potissimum amicus ab adulatore differt, quod hic quidem ad delectationem loquitur, ille vero ne molesta quidem prætermittit.

ΕΠΙΣΤΟΛΗ ΚΑ'.

EPISTOLA XXI*.

Accusatus in superiore epistola Leontius, quod non scriberet, videtur in ipsum Basilium crimen convertisse, et Julianum accusasse quod litteras suas non reddidisset. Unde perurbane Basilius et se et Julianum defendit.

Λεοντίῳ σοφιστῇ.

Ἔοικέ τι τῆς κοινῆς καταστάσεως καὶ εἰς τὰ ἰδιωτικὰ πράγματα ὁ χρηστὸς Ἰουλιανὸς ἀπολαύειν. D Ἀπαιτεῖται γὰρ καὶ αὐτὸς, καὶ ἐγκαλεῖται σφοδρῶς, ἐπειδὴ πάντα νῦν ἀπαιτουμένων καὶ ἐγκαλουμένων γέμει. Πλὴν ὅσον οὐχὶ εἰσφορῶν ἐλλείμματα, ἀλλ' ἐπιστολῶν. Καίτοι πόθεν (73) αὐτῷ ἐλλέλειπται, ἀγνοῶ· ἔδωκε γὰρ ἀεὶ ἐπιστολὴν, τὴν δὲ ἐκομίσατο· εἰ μή τί που καὶ παρὰ σοὶ ἡ πολυθρύλλητος αὐτὴ

Leontio sophistæ.

Videtur aliquid ex communi rerum statu in propriis suis bonus Julianus percipere. Reposcitur enim et ipse, et accusatur vehementer, quando quidem nunc omnia iis, a quibus exigitur, quique accusantur, redundant. Non tamen tributorum debitiones sunt, sed epistolarum. Quanquam, quomodo debitor sit, ignoro. Semper enim epistolam dedit, atque hanc detulit. Nisi forte et apud te cele-

(68) *Σοφιστῇ*. Ita septem mss. et editio Haganoensis. Aliæ editiones σοφιστοῦ. Cum autem in omnibus codicibus mss. et editis legatur ἢ τὸ γράφειν· *cum quidem negotium nullum sit sophistæ, nisi ut scribat*; nihil equidem in contextu mutavi. Sed tamen, quia pugnat hæc sententia cum his quæ sequuntur, vel delendum illud ἢ, vel scribendum ᾗ.

(69) *Τὸ πυκνόν*. Quamvis non male in editis legatur τὸ πικρόν, *molestia occupationis*, præferenda tamen septem codicum mss. et editionis Haganoensis scriptura, quam in contextum induximus.

(70) *Καταχορεῖ συνηθείᾳ*. Pro his vocibus legitur καταχορίᾳ in Coisl. utroque, Vat. et Regio primo.

(71) *Ὃς πρὸς μέν*. Coisl. primus ὅσον πρὸς μέν.

(72) *Τούτῳ γάρ*. Editio Parisiensis Ἐν τούτῳ γάρ. Sed præpositio deest in quinque mss. et vetustis editionibus.

(73) *Καίτοι πόθεν*. Sic mss. Editi καὶ τὸ πόθεν.

* Alias CCCLXXIII. Scripta anno 364.

berrimum illud quadruplum primas obtinet. Neque enim tanti æstimavere Tetractyn Pythagoræi, quanti nunc quadruplum qui pecunias publicas colligunt. Et forte contrarium fieri par erat, ut qui sophista es, ac tanta dicendi copia affluis, mihi ipse quadruplo solvendo obstrictus esses. Nec me existimes hæc succensentem scribere. Oblector enim tuis etiam reprehensionibus; siquidem a pulchris aiunt omnia cum pulchritudinis accessione fieri; adeo ut et dolere et irasci non eos dedeceat. Libentius sane viderit quis amicum irascentem, quam alium colentem. Nunquam igitur desinas talia incusare. Litteræ enim erunt ipsæ criminationes, quibus mihi nullus sermo carior, quique majorem ferat voluptatem.

τετραπλῆ (74) προτετίμηται. Οὐδὲ γὰρ οἱ Πυθαγόριοι (75) τοσοῦτον προετίμησαν τὴν τετρακτὺν, ὅσοι οἱ νῦν ἐκλέγοντες τὰ δημόσια τὴν τετραπλῆν. Καίτοιγε ἴσως τὸ ἐναντίον εἰκὸς ἦν, σοφιστὴν ὄντα, καὶ εὐποροῦντα λόγων τοσούτων, αὐτὸν ἡμῖν εἰς τὴν τῶν τετραπλασίων ἔκτισιν ὑποκεῖσθαι. Καὶ μὴ οἴου ταῦτα δυσχεραίνοντας ἡμᾶς γράφειν. Χαίρω γάρ σου καὶ ταῖς μέμψεσιν· ἐπειδὴ τοῖς καλοῖς φασι πάντα μετὰ τῆς τοῦ καλοῦ προσθήκης γίνεσθαι· ὥστε καὶ λύπας αὐτοῖς καὶ ὀργὰς ἐπιπρέπειν (76). Ἥδιον γοῦν ἄν τις ἴδοι ὀργιζόμενον τὸν ἀγαπώμενον ἢ θεραπεύοντα ἕτερον. Μήποτε οὖν ἀνῇς ἐγκαλῶν τὰ τοιαῦτα. Γράμματα γάρ που ἔσται αὐτὰ τὰ ἐγκλήματα, ὧν ἐμοὶ οὐδὲν ἄκουσμα τιμιώτερον, οὐδὲ πλείονα φέρον τὴν ἡδονήν.

EPISTOLA XXII*.

ΕΠΙΣΤΟΛΗ ΚΒʹ.

Monasticæ vitæ officia breviter exponit Basilius non appositis Scripturæ testimoniis, sed hac pertractandi ratione in aliud tempus dilata.

De perfectione vitæ monasticæ.

1. Multa cum sint, quæ divinitus inspirata Scriptura iis, qui Deo student placere, observanda declarat; de his solis interim, de quibus nunc apud vos commota quæstio est, ut didici ex ipsa sacra Scriptura, brevem admonitionem **99** subjicere necessarium esse duxi; ita ut de quaque re testimonium, haud sane ad percipiendum difficile, agnoscendum iis relinquam, qui in legendo exercentur et alios submonere poterunt. Oportet Christianum ea quæ vocatione cœlesti digna sunt, sentire, ac dignam Evangelio Christi vitam degere. Non oportet Christianum animo evagari, neque ulla re a recordatione Dei, ejusque placitorum et judiciorum abduci. Oportet Christianum, justificationes legis in omnibus transcendentem, neque jurare, neque mentiri. Non oportet blasphemare, non contumelia afficere: non pugnare, non semetipsum ulcisci, non malum pro malo reddere, non irasci. Oportet quæcunque læsum injuria patientem esse, atque tempestive eum qui læsit redarguere, non propriæ vindictæ studio, sed correctionis fraternæ secundum manda-

Περὶ τελειότητος (77) βίου μοναχῶν.

1. Πολλῶν ὄντων τῶν ὑπὸ τῆς θεοπνεύστου Γραφῆς δηλουμένων (78), τῶν κατορθοῦσθαι ὀφειλόντων τοῖς ἐσπουδακόσιν εὐαρεστῆσαι τῷ Θεῷ, περὶ μόνων τέως τῶν ἐπὶ τοῦ παρόντος κινηθέντων παρ' ὑμῖν, ὡς ἔμαθον ἐξ αὐτῆς τῆς θεοπνεύστου Γραφῆς, ἐν συντόμῳ ὑπομνήσει εἰπεῖν ἀναγκαίως προεθυμήθην, τὴν περὶ ἑκάστου μαρτυρίαν εὔληπτον οὖσαν καταλείψας ἐπιγινώσκειν τοῖς περὶ τὴν ἀνάγνωσιν ἀπασχολουμένοις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους ὑπομιμνήσκειν. Ὅτι δεῖ τὸν Χριστιανὸν ἄξια τῆς ἐπουρανίου κλήσεως φρονεῖν, καὶ ἀξίως τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθαι. Ὅτι οὐ δεῖ τὸν Χριστιανὸν μετεωρίζεσθαι, οὐδὲ ἀφέλκεσθαι ὑπό τινος ἀπὸ τῆς μνήμης τοῦ Θεοῦ, καὶ τῶν αὐτοῦ θελημάτων καὶ κριμάτων. Ὅτι δεῖ τὸν Χριστιανὸν, κρείττονα τῶν κατὰ τὸν νόμον δικαιωμάτων γενόμενον ἐν πᾶσι, μήτε ὀμνύειν, μήτε ψεύδεσθαι. Ὅτι οὐ δεῖ βλασφημεῖν· ὅτι οὐ δεῖ ὑβρίζειν, ὅτι οὐ δεῖ μάχεσθαι· ὅτι οὐ δεῖ ἑαυτὸν ἐκδικεῖν· ὅτι οὐ δεῖ κακὸν ἀντὶ κακοῦ ἀποδιδόναι· ὅτι οὐ δεῖ ὀργίζεσθαι. Ὅτι δεῖ μακροθυμεῖν, πᾶν (79) ὁτιοῦν πάσχοντα, καὶ ἐλέγχειν εὐ-

* Alias CCCCXI. Scripta videtur anno 364.

(74) *Τετραπλῇ*. Suspicatur Gothofredus tetraplam sive quadruplum, de quo Basilius in hac epistola, esse pensionem quadrimenstruam, vel *quadrupli pœnam ob non soluta tributa, vel potius ob superexactionem*. Sed liquet hic litteras non redditas cum tributis non solutis comparari; sicque Basilium cum Leontio jocari, quasi is quadruplum litterarum reposceret, ut quadruplum debitorum tunc passim reposcebatur. Lucem afferet Ammianus Marcellinus, quo teste, Petronius socer Valentis: *Ad nudandos sine discretione cunctos immaniter flagrans, nocentes pariter et insontes post exquisita tormenta quadrupli nexibus vinciebat, debita jam inde a temporibus principis Aureliani perscrutans et impendio mœrens, si quemquam absolvisset indemnem*; lib. XXVI, cap. 6. Est ergo quadruplum hoc loco non quadrimenstrua pensio, non superexactio, sed debitorum, quæ soluta non fuerant, crudelis inquisitio, et quadrupli pœna his, qui non solverant, imposita.

(75) *Πυθαγόριοι*. Ita Harl., Coisl. primus et alii nonnulli cum Clemente Alex., *Strom.* I, p. 303 et 304. Coisl. secundus Πυθαγόρεοι, quod positum errore librarii pro Πυθαγόραιοι. Editi Πυθαγόρειοι.

(76) *Ἐπιπρέπειν*. Multo aptior hæc scriptura codicis Regii primi et Bigot. quam vulgata ἐπιτρέπειν.

(77) *Περὶ τελειότητος*. Exstat hic titulus in uno ex Regiis codicibus et in Coisl. primo, nisi quod in Coisl. legitur μοναδικοῦ. Aliter in Coisliniano secundo et tribus a Combefisio citatis: ἀνεπίγραφος. Κανὼν ἀκριβὴς τῆς κατὰ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ ἀσκητικῆς πολιτείας, *Sine inscriptione. Accurata regula ascetici secundum Christi Evangelium instituti.*

(78) *Δηλουμένων*. Post hanc vocem delevi καὶ auctoritate cod. Reg. et Bigot. Paulo post in Coisl. secundo et uno ex Regiis ἐν συντόμῳ ὑπομνῆσαι προεθυμήθην. In primo Coisl. deest εἰπεῖν, unde conjici posset hanc vocem additam fuisse, postquam librarii posuerant ὑπομνήσει pro ὑπομνῆσαι.

(79) *Πᾶν*. Duo mss πάντοτε. Paulo post ἑαυτοῦ in duobus Regiis. Editi αὐτοῦ.

καίρως τὸν ἀδικοῦντα, οὐ μὴν ἐν πάθει τῆς ἑαυτοῦ ἐκδικήσεως, ἀλλ' ἐν ἐπιθυμίᾳ τῆς τοῦ ἀδελφοῦ διορθώσεως, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου. Ὅτι οὐ δεῖ κατὰ ἀπόντος ἀδελφοῦ λέγειν τι σκοπῷ τοῦ διαβάλλειν αὐτὸν, ὅπερ ἐστὶ καταλαλιὰ, κἂν ἀληθῆ ᾖ τὰ λεγόμενα. Ὅτι δεῖ τὸν καταλαλοῦντα ἀδελφοῦ ἀποστρέφεσθαι. Ὅτι οὐ δεῖ εὐτράπελα φθέγγεσθαι. Ὅτι οὐ δεῖ γελᾷν, οὐδὲ γελοιαστῶν ἀνέχεσθαι. Ὅτι οὐ δεῖ ἀργολογεῖν, λαλοῦντά τι, ὃ μήτε πρὸς ὠφέλειαν τῶν ἀκουόντων ἐστὶ, μήτε πρὸς τὴν ἀναγκαίαν καὶ συγκεχωρημένην ἡμῖν ὑπὸ (80) τοῦ Θεοῦ χρείαν· ὥστε καὶ τοὺς ἐργαζομένους σπουδάζειν, καθ' ὅσον δυνατὸν, μετὰ ἡσυχίας ἐργάζεσθαι· καὶ αὐτοὺς δὲ τοὺς ἀγαθοὺς λόγους πρὸς ἐκείνους κινεῖν, τοὺς πεπιστευμένου; μετὰ δοκιμασίας οἰκονομεῖν τὸν λόγον πρὸς οἰκοδομὴν τῆς πίστεως, ἵνα μὴ λυπῆται τὸ B Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ. Ὅτι οὐ δεῖ τῶν ἐπεισερχομένων τινὰ ἐπ' ἐξουσίας ἐγγίζειν (81) ἢ λαλεῖν τινι τῶν ἀδελφῶν, πρὶν ἂν οἱ ἐπιτεταγμένοι τὴν φροντίδα τῆς ἐν πᾶσιν εὐταξίας δοκιμάσωσι πῶς ἀρέσκει Θεῷ πρὸς τὸ κοινῇ συμφέρον. Ὅτι οὐ δεῖ οἴνῳ δεδουλῶσθαι· οὔτε περὶ κρέα ἐμπαθῶς ἔχειν· καθόλου περὶ οὐδὲν βρῶμα ἢ πόμα φιλήδονον εἶναι· ὁ γὰρ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. Ὅτι τῶν διδομένων ἑκάστῳ εἰς χρῆσιν οὐδὲν ὡς ἴδιον ἔχειν δεῖ, ἢ ταμιεύεσθαι· ἐν μέντοι τῇ φροντίδι πᾶσιν ὡς δεσποτικοῖς προσέχοντα, μηδὲν τῶν παραῤῥιπτομένων ἢ ἀμελουμένων, ἂν οὕτω τύχῃ, παρορᾷν. Ὅτι οὐ δεῖ, οὔτε αὐτὸν ἑαυτοῦ κύριον εἶναί τινα, ἀλλ' ὡς ὑπὸ Θεοῦ παραδεδομένον εἰς δουλείαν τοῖς ὁμοψύχοις C ἀδελφοῖς, οὕτω καὶ φρονεῖν πάντα καὶ ποιεῖν, ἕκαστον δὲ ἐν τῷ ἰδίῳ τάγματι.

2. Ὅτι οὐ δεῖ γογγύζειν, οὔτε ἐν τῇ στενοχωρίᾳ τῶν πρὸς τὴν χρείαν; οὔτε ἐν τῷ καμάτῳ τῶν ἔργων, ἐχόντων τὸ κρῖμα περὶ ἑκάστου τῶν ἐπιτεταγμένων (82) τὴν τούτων ἐξουσίαν. Ὅτι οὐ δεῖ κραυγὴν γίνεσθαι, οὔτε ἄλλο τι σχῆμα, ἢ κίνημα, ἐν ᾧ χαρακτηρίζεται θυμὸς, ἢ μετεωρισμὸς ἀπὸ τῆς πληροφορίας τοῦ παρεῖναι τὸν Θεόν. Ὅτι δεῖ τῇ χρείᾳ συμμετρεῖν τὴν φωνήν. Ὅτι οὐ δεῖ θρασέως ἢ καταφρονητικῶς τινι ἀποκρίνεσθαι, ἢ ποιεῖν τι, ἀλλ' ἐν πᾶσι τὸ ἐπιεικὲς καὶ τὸ τιμητικὸν πρὸς πάντας δεικνύειν. Ὅτι οὐ δεῖ ἐννεύειν ὀφθαλμῷ μετὰ δόλου, ἢ ἄλλῳ τινὶ σχήματι ἢ κινήματι μέλους κεχρῆσθαι, ὃ λυπεῖ τὸν ἀδελφὸν, ἢ καταφρόνησιν ἐμφαίνει. Ὅτι D οὐ δεῖ καλλωπίζεσθαι ἐν ἱματίοις ἢ ὑποδήμασιν, ὅπερ ἐστὶ περπερεία. Ὅτι δεῖ εὐτελέσι κεχρῆσθαι τοῖς πρὸς τὴν χρείαν τοῦ σώματος. Ὅτι οὐ δεῖ ὑπὲρ τὴν χρείαν καὶ πρὸς δαψίλειαν ἀναλίσκειν οὐδὲν, ὅπερ ἐστὶ παράχρησις. Ὅτι οὐ δεῖ τιμὴν ἐπιζητεῖν, ἢ πρωτείων ἀντιποιεῖσθαι. Ὅτι δεῖ ἕκαστον προτιμᾷν ἑαυτοῦ πάντας. Ὅτι οὐ δεῖ ἀνυπότακτον εἶναι. Ὅτι οὐ δεῖ ἀργὸν ἐσθίειν τὸν ἐργάζεσθαι δυνάμενον,

A tum Domini. Non oportet in absentem fratrem quidquam dicere, illius traducendi consilio, quod quidem obtrectatio est, etiamsi vera sint quæ dicuntur. Aversari de fratre detrahentem oportet. Scurrilia non proferenda. Non ridendum, nec perferendi dicaces. Non loquendum otiose, aliquid proferendo, quod nec ad utilitatem audientium pertineat, nec ad necessarium et concessum nobis a Deo usum: adeo ut et laborantes studeant, quantum fieri potest, silentio laborare; bonos autem ipsos sermones iis proponant, quibus commissum est prudenter dispensare sermonem ad ædificationem fidei; ne sanctus Dei Spiritus afficiatur tristitia. Non oportet ut quisquam ex supervenientibus libere accedat ad fratrum aliquem aut colloquatur, antequam ii quibus cura disciplinæ in omnibus servandæ commissa est, expenderint an ita placeat Deo, ut aliis prodesse possit. Non oportet vino inservire, neque carnis teneri desiderio, nec ullo prorsus in cibo aut potu voluptatem quærere; nam qui certat, servat temperantiam in omnibus. Nihil eorum quæ utenda unicuique traduntur, oportet habere ut proprium, aut reservare; sed tamen quod spectat ad curam et sollicitudinem, omnibus, ut ad Dominum pertinentibus, attendentem, nihil eorum quæ projecta aut neglecta sunt, si ita acciderit, prætererire. Non oportet quemquam vel suiipsius dominum esse, sed velut a Deo traditum in servitutem fratribus unanimis, ita et sentire omnia et facere; unumquemque tamen in suo ordine.

2. Non oportet murmurare, nec in rerum necessariarum angustiis, nec in operum labore, quandoquidem unumquodque judicii est eorum, quibus commissa rerum illarum potestas. Nec clamor fieri debet, nec quævis alia species, aut motus ex quo significetur iracundia, aut animi aberratio ab hac persuasione, Deum esse præsentem. Oportet vocem usu metiri. Non oportet petulanter aut contemptim cuiquam respondere, aut quidquam facere, sed in omnibus modestiam atque reverentiam erga omnes ostendere. Non oculis innuendum est cum dolo; nec alia quælibet species **100** adhibenda, aut membri motus qui fratri afferat tristitiam aut contemptum indicet. Ornatus in vestibus aut calceis quæri non debet; quod quidem vana ostentatio est. Viliora quæque adhibenda ad usum corporis. Nihil ultra id quod necessarium est, aut ad magnificentiam insumendum; quod quidem abusus est. Honor exquirendus non est, aut ambiendus primatus. Debet unusquisque cæteros sibi anteferre. Non oportet inobsequentem esse. Non oportet otiosum

(80) *Ἡμῖν ὑπό.* Hæ duæ voces additæ ex Coisl. secundo et uno ex Regiis. Duo Combef. habent ἡμῖν παρά.

(81) *Ἐγγίζειν.* Additur ἔχειν in duobus Combef. et Coisl. secundo et uno ex Regiis. Sed ea vox non legitur in antiquissimis codicibus, nec necessaria est.

(82) *Τῶν ἐπιτεταγμένων.* Cod. Vat. ἐπισταμένων. Forte addendum εἰς, ut paulo infra additur: sed tamen supra legitur οἱ ἐπιτεταγμένοι τὴν φροντίδα.

comedere eum, qui laborare potest: sed et qui occupatur in eorum aliquo, quæ ad Christi gloriam præclare fiunt, vim sibiipsi facere debet ad studium operis pro viribus conficiendi. Oportet unumquemque, præpositis approbantibus, cum ratione et animi persuasione ita omnia facere, usque ad ipsum etiam esum et potum, ut ad Dei gloriam referenda. Non oportet ab uno ad alium laborem transire, citra approbationem eorum qui sunt rebus ejusmodi moderandis præpositi; nisi quempiam ineluctabilis necessitas ad auxilium debilioris subito vocaverit: debet unusquisque manere in eo quod ipsi præscriptum est; nec propriam mensuram transgrediens, aggredi non præscripta; nisi ii, quibus hæc commissa sunt, aliquem auxilio indigere judicaverint. Non oportet reperiri quempiam ab alia officina in aliam abeuntem. Nihil ex contentionis studio aut ex simultate cum aliquo suscepta faciendum.

3. Invidendum non est alterius laudi, neque cujusquam vitiis lætandum. Oportet in charitate Christi dolere et affligi de fratris vitiis, gaudere vero ob illius recte facta. Non oportet indifferentem esse erga peccantes, aut silentio eos tolerare. Oportet ut qui redarguit, cum omni commiseratione redarguat ex Dei timore, et eo consilio ut convertat peccantem. Oportet ut qui redarguitur aut increpatur, libenter id accipiat, suam ipsius in increpatione utilitatem agnoscens. Non oportet ut, cum aliquis accusatur, alius coram illo aut coram aliis nonnullis contradicat accusanti. Quod si quando accusatio videatur alicui a ratione aliena, privatim coarguentem interrogare debet, atque aut persuadere, aut persuaderi. Oportet unumquemque quantum in se est, ei qui adversum se aliquid habuerit, mederi. Non succensendum ei quem peccasse pœnitet, sed ex corde condonandum. Oportet eum qui peccati pœnitere se dicit, non compungi solum ob peccatum admissum, sed fructus etiam pœnitentiæ dignos facere. Qui pro prioribus peccatis correptus est, ac veniam consecutus, is si rursus peccaverit, deterius priore comparat sibimetipsi judicium iræ. Qui post primam et alteram admonitionem permanet in delicto, suo indicandus præposito, si forte eum a pluribus correptum pudeat. Quod si ne sic quidem emendatus fuerit, deinceps exscindendus est, ut scandalum, atque habendus pro ethnico ac publicano ad securitatem eorum qui obedientiam sibi studio habent, secundum id quod dictum est: Impiis cadentibus, justi timore corripiuntur. Sed et deflendus est, ut membrum a corpore **101** abscissum. Non oportet in iracundia fratris solem occidere, ne nox utrumque separet, ac in die judicii crimen ineluctabile re-

A ἀλλὰ καὶ τὸν ἀσχολούμενον περί τι τῶν κατορθουμένων εἰς δόξαν Χριστοῦ, ἐκβιάζεσθαι ἑαυτὸν εἰς τὴν σπουδὴν τοῦ κατὰ δύναμιν ἔργου. Ὅτι δεῖ ἕκαστον δοκιμασίᾳ τῶν προεστώτων (83) μετὰ λόγου καὶ πληροφορίας οὕτω ποιεῖν πάντα, ἄχρι καὶ αὐτοῦ τοῦ φαγεῖν καὶ πιεῖν, ὡς εἰς δόξαν Θεοῦ γινόμενα. Ὅτι οὐ δεῖ ἀφ' ἑτέρου εἰς ἕτερον ἔργον μεταβαίνειν ἄνευ τῆς δοκιμασίας τῶν εἰς τὸ διατυποῦν τὰ τοιαῦτα ἐπιτεταγμένων (84)· ἐκτὸς εἰ μή πού τινα ἀπαραίτητος ἀνάγκη εἰς βοήθειαν τοῦ ἀδυνατήσαντος καλοίη αἰφνίδιον. Ὅτι δεῖ ἕκαστον μένειν ἐν ᾧ ἐτάχθη, καὶ μὴ, ὑπερβαίνοντα τὸ ἴδιον μέτρον, ἐπιβαίνειν τοῖς μὴ ἐπιτεταγμένοις, εἰ μή τι ἂν οἱ ταῦτα πεπιστευμένοι δοκιμάσωσί τινα χρῄζοντα βοηθείας. Ὅτι οὐ δεῖ ἀφ' ἑτέρου ἐργαστηρίου εἰς ἕτερον εὑρί-
B σκεσθαί τινα. Ὅτι οὐ δεῖ κατὰ φιλονεικίαν ἢ ἔριν τὴν πρός τινα ποιεῖν τι.

3. Ὅτι οὐ δεῖ φθονεῖν τῇ ἑτέρου εὐδοκιμήσει, οὔτε ἐπιχαίρειν ἐλαττώμασί τινος. Ὅτι δεῖ ἐν ἀγάπῃ Χριστοῦ λυπεῖσθαι μὲν καὶ συντρίβεσθαι ἐπὶ τοῖς τοῦ ἀδελφοῦ ἐλαττώμασιν, εὐφραίνεσθαι δὲ ἐπὶ τοῖς κατορθώμασιν. Ὅτι οὐ δεῖ ἀδιαφορεῖν ἐπὶ τοῖς ἁμαρτάνουσιν, ἢ ἐφησυχάζειν αὐτοῖς. Ὅτι δεῖ τὸν ἐλέγχοντα μετὰ πάσης εὐσπλαγχνίας φόβῳ (85) Θεοῦ, καὶ σκοπῷ τοῦ ἐπιστρέψαι τὸν ἁμαρτάνοντα, ἐλέγχειν. Ὅτι δεῖ τὸν ἐλεγχόμενον ἢ ἐπιτιμώμενον καταδέχεσθαι προθύμως, γνωρίζοντα τὸ ἑαυτοῦ ὄφελος ἐν τῇ διορθώσει. Ὅτι οὐ δεῖ, ἐγκαλουμένου τινὸς, ἄλλον ἐνώπιον ἐκείνου ἢ ἄλλων τινῶν ἀντιλέγειν τῷ
C ἐγκαλοῦντι. Ἐὰν δὲ ἄρα ποτὲ ἄλογον φανῇ τὸ ἔγκλημά τινι, κατ' ἰδίαν κινεῖν λόγον πρὸς τὸν ἐγκαλοῦντα (86), καὶ ἢ πληροφορεῖν ἢ πληροφορεῖσθαι. Ὅτι δεῖ ἕκαστον, ὅση δύναμις, θεραπεύειν τὸν ἔχοντά τι κατ' αὐτοῦ. Ὅτι οὐ δεῖ μνησικακεῖν τῷ ἁμαρτήσαντι καὶ μετανοοῦντι, ἀλλ' ἐκ καρδίας ἀφεῖναι. Ὅτι δεῖ τὸν λέγοντα μετανοεῖν ἐφ' ἁμαρτήματι μὴ μόνον κατανυγῆναι ἐφ' ᾧ ἥμαρτεν, ἀλλὰ καὶ καρποὺς ἀξίους ποιῆσαι τῆς μετανοίας. Ὅτι ὁ ἐπὶ τοῖς πρώτοις ἁμαρτήμασι παιδευθεὶς, καὶ τῆς ἀφέσεως ἀξιωθεὶς, ἐὰν πάλιν ἁμάρτῃ, χεῖρον τοῦ προτέρου κατασκευάζει ἑαυτῷ τὸ κρῖμα τῆς ὀργῆς. Ὅτι δεῖ τὸν μετὰ τὴν πρώτην καὶ δευτέραν νουθεσίαν ἐπιμένοντα τῷ ἐλαττώματι ἑαυτοῦ φανεροῦσθαι τῷ
D προεστῶτι, ἐὰν ἄρα ὑπὸ πλειόνων ἐπιτιμηθεὶς ἐντραπῇ. Ἐὰν δὲ μηδὲ οὕτω διορθώσηται, ὡς σκάνδαλον ἐκκόπτεσθαι τοῦ λοιποῦ, καὶ ὡς ἐθνικὸν καὶ τελώνην ὁρᾶσθαι πρὸς τὴν ἀσφάλειαν τῶν τὴν σπουδὴν τῆς ὑπακοῆς ἐργαζομένων, κατὰ τὸ εἰρημένον, Ἀσεβῶν καταπιπτόντων, δίκαιοι ἔμφοβοι γίνονται. Δεῖ δὲ καὶ πενθεῖν ἐπ' αὐτῷ, ὡς μέλους ἐκκοπέντος ἐκ τοῦ σώματος. Ὅτι οὐ δεῖ ἐν παροργισμῷ ἀδελφοῦ ἐπιδῦναι τὸν ἥλιον, μή ποτε ἡ νὺξ διαστῇ (87) με-

(83) (Vide Addenda.)

(84) *Τῶν... ἐπιτεταγμένων*. Sic Reg. et Coisl. secundus et duo Combef. Editi τῆς.... ἐπιτεταγμένου. Coisl. primus et alii nonnulli habent ἐπιτεταγμένοι.

(85) *Φόβῳ*. Editi addunt ἐν, sed in nullo cod. ms. reperimus.

(86) (Vide Addenda.)

(87) *Διαστῇ*. Bigot. διαστήσῃ. Coisl. secundus et alii duo a Combefisio citati μεταστήσῃ ἀμφοτέρους· *Ne nox utrumque transferat*. Sed retinenda visa est scriptura vulgata, quæ in antiquissimis exstat codicibus Medicæo et Coisl. primo. Satis est enim ad Basilii sensum, ut metuendum sit, ne vox utrumque

ταξὺ ἀμφοτέρων, καὶ καταλίπῃ ἐν ἡμέρᾳ κρίσεως ἀπαραίτητον ἔγκλημα. Ὅτι οὐ δεῖ καιρὸν ἀναμένειν ἐπὶ τῇ ἑαυτοῦ διορθώσει, διὰ τὸ μὴ ἀσφαλὲς ἔχειν περὶ τῆς αὔριον· ὅτι πολλοὶ πολλὰ βουλευσάμενοι τὴν αὔριον οὐ κατέλαβον. Ὅτι οὐ δεῖ ἀπατᾶσθαι πλησμονῇ κοιλίας, δι' ἧς γίνονται φαντασίαι νυκτεριναί. Ὅτι οὐ δεῖ περισπᾶσθαι εἰς ἄμετρον ἐργασίαν, καὶ ὑπερβαίνειν τοὺς ὅρους τῆς αὐταρκείας, κατὰ τὸν Ἀπόστολον εἰπόντα· *Ἔχοντες δὲ διατροφὰς, καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα*· ὅτι ἡ περισσεία, ἡ ὑπὲρ τὴν χρείαν, εἰκόνα πλεονεξίας ἐμφαίνει, ἡ δὲ πλεονεξία ἀπόφασιν ἔχει εἰδωλολατρείας. Ὅτι οὐ δεῖ φιλάργυρον εἶναι, οὐδὲ θησαυρίζειν εἰς ἀνωφελῆ ἃ μὴ δεῖ. Ὅτι δεῖ τὸν προσερχόμενον Θεῷ ἀκτημοσύνην ἀσπάζεσθαι κατὰ πάντα, καὶ καθηλωμένον εἶναι τῷ φόβῳ τοῦ Θεοῦ, κατὰ τὸν εἰπόντα· *Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην* (88). Δῴη δὲ ὁ Κύριος, μετὰ πάσης πληροφορίας ὑμᾶς ἀναδεξαμένους τὰ εἰρημένα, εἰς δόξαν Θεοῦ καρποὺς ἀξίους τοῦ Πνεύματος ἐπιδείξασθαι Θεοῦ εὐδοκίᾳ καὶ συνεργίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

A linquat. Tempus non protrahendum ad sui emendationem, eo quod non constet de crastina; quippe cum multi post multa consilia, crastinum non adepti sunt. Non oportet ventris satietate decipi, ex qua imagines nocturnæ nascuntur. Non oportet distrahi opere immoderato, nec debet quisquam frugalitatis terminos excedere, secundum Apostolum dicentem: *Habentes autem alimenta, et quibus tegamur, his contenti erimus* [1]; propterea quod copia ultra necessitatem perducta imaginem avaritiæ exhibet, avaritia idololatriæ nomine damnatur [2]. Non oportet argenti cupidum esse, neque thesauros colligere in res inutiles quæ non conveniant. Oportet ut qui ad Deum accedit, paupertatem amplectatur in omnibus, et confixus sit timore Dei, secundum eum B qui dicit: *Confige timore tuo carnes meas; a judiciis enim tuis timui* [3]. Det autem Dominus, ut quæ diximus cum omni animi persuasione suscipientes, ad Dei gloriam dignos fructus Spiritus, Dei beneplacito, atque Domini nostri Jesu Christi auxilio ostendatis. Amen.

ΕΠΙΣΤΟΛΗ ΚΓ'

EPISTOLA XXIII*.

Cum quidam in eo loco, ubi tunc erat Basilius, monasticam vitam amplecti vellet, distulit eum Basilius, volens eum in monasterio suo suscipere; sed nunc mutato consilio eum mittit, ac præcipit ut se non exspectato suscipiatur, eique aliquis, quem ipse elegerit, præficiatur vitæ sanctioris magister.

Παραθετικὴ (89) *πρὸς μονάζοντα.*

Ὁ δεῖνα (90), ὥς λέγει, καταγνοὺς τῆς τοῦ βίου τούτου (91) ματαιότητος, καὶ καταμαθὼν, ὅτι τῆς ζωῆς ταύτης τὰ τερπνὰ ἐνταῦθα τὴν καταστροφὴν ἔχει, ὕλας μόνον κατασκευάζοντα τῷ αἰωνίῳ πυρὶ, ταχεῖαν δὲ ἔχοντα τὴν πάροδον, κατέλαβέ με, βουλόμενος ἀποστῆναι μὲν τῆς μοχθηρᾶς καὶ πολυστενάκτου ζωῆς, καταλιπεῖν δὲ τὰς τῆς σαρκὸς ἡδονὰς, ἐπελθεῖν δὲ λοιπὸν τῇ ὁδῷ τῇ ἀγούσῃ ἐπὶ τὰς μονὰς τοῦ Κυρίου. Ἐπειδὴ οὖν ἀναγκαῖόν ἐστιν, εἰ φύσει (92) ἐν ἐπιθυμίᾳ καθέστηκε τῆς μακαρίας ὄντως διαγωγῆς, καὶ τὸν καλὸν καὶ ἐπαινούμενον ἔρωτα ἔχει ἐν τῇ ἑαυτοῦ ψυχῇ, ἀγαπήσας Κύριον τὸν Θεὸν ἡμῶν ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης ἰσχύος, καὶ ἐξ

Commendatitia ad monachum.

C Ille, ut ait, condemnans vitæ hujus vanitatem, atque exploratum habens præsentis vitæ oblectamenta hic finem habere, materiam duntaxat æterno igni præparantia, et cito transeuntia, convenit me, volens ab hac misera valdeque luctuosa vita secedere, ac relictis carnis voluptatibus deinceps viam ad Domini mansiones deducentem ingredi. Quoniam ergo, si instituti vere beati sincero desiderio tenetur, habetque in sua anima bonum ac laudabilem amorem, diligens Dominum Deum ex toto corde, et ex totis viribus et ex tota mente, necesse est ut illi ob oculos vestra pietas arctæ ac coangustatæ viæ incommoda et asperitates ponat,

[1] I Tim. vi, 8. [2] Coloss. iii, 5. [3] Psal. cxviii, 120.

separet alterutrius morte; nec videtur dixisse metuendum esse, *ne nox utrumque transferat*. Id enim minus naturale ac dictu proclive.

(88) (Vide Addenda.)

(89) *Παραθετική*. Sic omnes codices mss. Editi παραινετική. Sex codices et editi addunt πρὸς μονάζοντα. Harl. ἀποταξαμένῳ τῷ βίῳ καὶ μονάσαντι, *Ei qui sæculo renuntiavit et vitam monasticam amplexus est.* Sed in his titulis diligentiam requiro. Non enim unum aliquem privatim, sed totum monachorum conventum alloquitur Basilius.

(90) *Ὁ δεῖνα*. In interpretanda hac voce, quæ sæpe alias occurret, secutus sum veterem morem. Vituperat Cyprianus, in epist. xi, libellos a confessoribus datos hunc in modum, *Communicet ille cum suis.* Observat Baluzius in Notis sic solitos esse scribere antiquos pro eo, quod posterior ætas litteram N. adhibuit. Epiphanius in Epistola ad Joannem Hierosolymitanum, ex interpretatione Hieronymi, negat se pro Joanne in sacrificio solitum sic precari: *Domine, præsta Joanni ut recte credat,*

D sed in hunc modum: *Custodi illum qui prædicat veritatem*, vel certe ita, *Tu præsta, Domine, et custodi, ut ille verbum prædicet veritatis.* Atque ita quidem antiqui, si quem tacito nomine designarent. Sin autem dominum domus ac præpotentem virum, utebantur hac voce αὐτός, velut Pythagorei de magistro, αὐτὸς ἔφα, *ipse dixit*. Quod idcirco notatum volui, quia ex hac observatione enitescit locus Basilii non difficilis qui tamen torsit interpretes. Is exstat in Comment. *in Isaiam* p. 498, in not. Ubi Basilius observat eos qui in privatis domibus auctoritate præcellunt *ipsos* vocari solere.

(91) *Τούτου*. Deest ea vox in duobus mss.

(92) *Εἰ φύσει*. Designatur hac voce sincerum et simulationis expers desiderium. Sic apud Athanasium in Epistola ad Epictetum, quæ φύσει peraguntur, iis quæ θέσει, φαντασίᾳ, δοκήσει, id est ficte et simulate ac sola specie fiunt, opponuntur.

* Alias CCCLXXXIII. Scripta videtur Cæsareæ cum esset presbyter.

eumque constituat in spe bonorum, quæ nunc nondum videntur, sed in promissionibus reposita sunt his qui **102** Domino digni fuerint; idcirco per epistolam adhortor incomparabilem vestram in Christo perfectionem, ut eum, si fieri potest, instituatis, et sine me renuntiationem illi secundum Dei beneplacitum conficiatis, ac informetur et elementis imbuatur secundum ea quæ a Patribus sanctis statuta et scriptis mandata sunt; deinde ei proponantur omnia quæcunque ad vitæ asceticæ accuratam rationem attinent, et sic admittatur, labores pro pietate sponte suscipiens, ac sese suavi Domini jugo submittens; et ad imitationem illius qui propter nos egenus factus est [5] carnemque gestavit, vitam instituens, ac secundum propositum currens ad vocationis supernæ præmium, laudem a Domino consequatur. Ego enim illum hic amoris erga Deum coronam accipere studentem distuli, volens ipsum cum vestra pietate inungere ad ejusmodi certamina, et unum ex vobis, quem ipse petierit, magistrum ei præficere, qui eum præclare exerceat, et intenta ac beata sollicitudine spectatum athletam efficiat, principem tenebrarum hujus sæculi et spiritualia nequitiæ, quibuscum nobis secundum beatum Apostolum lucta est [6], vulnerantem et prosternentem. Quod ergo volebam vobiscum agere, vestra in Christo dilectio etiam sine me perficiat.

A ὅλης διανοίας, ὑποδειχθῆναι αὐτῷ ὑπὸ τῆς ὑμετέρας θεοσεβείας τὰ δυσχερῆ καὶ δυσάντητα τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ, ἐν ἐλπίδι δὲ αὐτὸν καταστῆσαι (93) τῶν νῦν τέως μὴ βλεπομένων, ἐν ἐπαγγελίαις δὲ ἀποκειμένων ἀγαθῶν τοῖς ἀξίοις τοῦ Κυρίου· διὸ γράφων (94) παρακαλῶ τὴν ἀσύγκριτον ὑμῶν ἐν Χριστῷ τελειότητα, τυπῶσαι εἰ οἷόντε εἴη, καὶ δίχα μου ποιῆσαι τήν τε ἀποταγὴν αὐτῷ (95) κατὰ τὸ ἀρέσκον Θεῷ, καὶ στοιχειωθῆναι (96) αὐτὸν κατὰ τὰ δόξαντα τοῖς ἁγίοις Πατράσι, καὶ ἐγγράφως ὑπ' αὐτῶν ἐκτεθέντα· ἤδη δὲ αὐτῷ προταθῆναι (97) ἅπαντα ὅσα τῇ ἀκριβείᾳ δοκεῖ τῇ ἀσκητικῇ, καὶ οὕτως αὐτὸν προσαχθῆναι τῷ βίῳ (98), αὐθαιρέτως ἀναδεξάμενον τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας, καὶ ὑπαγαγόντα ἑαυτὸν τῷ χρηστῷ τοῦ Κυρίου ζυγῷ, καὶ κατὰ μίμησιν τοῦ B δι' ἡμᾶς πτωχεύσαντος καὶ σάρκα φορέσαντος πολιτευσάμενον, καὶ κατὰ σκοπὸν δραμόντα πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως, τυχεῖν τῆς παρὰ τοῦ Κυρίου ἀποδοχῆς. Ἐγὼ γὰρ σπουδάζοντα αὐτὸν ἐνταῦθα δέξασθαι τὸν τῆς κατὰ Θεὸν ἀγάπης στέφανον ὑπερεθέμην, βουλόμενος μετὰ τῆς ὑμετέρας θεοσεβείας ἀλεῖψαι αὐτὸν πρὸς τοὺς τοιούτους ἄθλους· καὶ ἕνα ὃν ἂν ὑμῶν αὐτὸς ἐπιζητήσῃ ἐπιστῆσαι αὐτῷ ἀλείπτην, καλῶς παιδοτριβοῦντα καὶ παλαιστὴν δόκιμον ἀπεργαζόμενον διὰ τῆς συντόνου καὶ μακαρίας ἐπιμελείας, τιτρώσκοντα καὶ καταβάλλοντα τὸν κοσμοκράτορα τοῦ σκότους τοὺς αἰῶνος (99) τούτου, καὶ τὰ πνευματικὰ δὲ τῆς πονηρίας, πρὸς ἃ ἡμῖν ἐστι κατὰ τὸν μακάριον Ἀπόστολον ἡ πάλη. Ὃ τοίνυν ἐγὼ μεθ' ἡμῶν ἠβουλήθην ποιῆσαι, ἡ ἐν Χριστῷ ὑμῶν ἀγάπη καὶ δίχα μου ποιησάτω.

EPISTOLA XXIV*.

ΕΠΙΣΤΟΛΗ ΚΔ'.

Negat Basilius se calumniis facile credidisse; hortatur Athanasium, ut nullum illis det locum ac liberos, ut par est, diligat.

Athanasio, Athanasii episcopi Ancyræ patri.

Ut hominis vita calumniis superior sit, id ex rebus difficillimis unam esse, ne dicam ex iis quæ fieri non possunt, et mihi persuasum est, et tuæ probitati dubium arbitror non esse. Sed nullam ex se ansam, neque iis qui res accurate observant, neque iis qui injuriæ causa lapsibus nostris

C *Ἀθανασίῳ (1) τῷ πατρὶ Ἀθανασίου τοῦ ἐπισκόπου Ἀγκύρας.*

Ὅτι μὲν κρείττονα εἶναι διαβολῶν ἀνθρώπου βίον τῶν χαλεπωτάτων ἐστὶν, ἵνα μὴ τῶν ἀδυνάτων εἴπω αὐτός τε πέπεισμαι, καὶ τὴν σὴν χρηστότητα νομίζω μὴ ἀμφιβάλλειν· τὸ δὲ (2) μηδεμίαν παρέχειν ἐξ ἑαυτῶν λαβὴν, μήτε τοῖς ἀκριβῶς ἐπιτηροῦσι τὰ πράγματα, μήτε τοῖς κατ' ἐπήρειαν ἐφεδρεύουσιν

[5] I Cor. VIII, 9. [6] Ephes. VI, 12.

* Alias LIV. Scripta ante annum 369.

(93) *Καταστῆσαι.* Ita vetustissimus codex Coisl. Editi καταστῆναι.

(94) *Διὸ γράφων.* Deest διό in vetustissimo codice Coisl. et de industria in Harl. deletum fuit. Paulo post desunt in duobus codicibus hæ voces, ἐν Χριστῷ.

(95) *Αὐτῷ.* Hæc codicis Harlæani scriptura vulgatæ αὐτοῦ visa est præferenda.

(96) *Στοιχειωθῆναι.* Editi addunt Θεῷ, quod recte deest in sex veteribus libris.

(97) *Προταθῆναι.* Ita septem mss. Editi et Coisl. primus προτεθῆναι.

(98) *Προσαχθῆναι τῷ βίῳ.* Cum nonnulla in hanc epistolam irrepserint, suspicor illud, τῷ βίῳ, ex eorum numero esse, quæ perperam addita sunt. Nam is quem commendat Basilius, volebat renuntiare τῷ βίῳ, *sæculo*, ut est in titulo cod. Harl. Quomodo ergo rogat Basilius eum ascribi τῷ βίῳ? Perspicitur autem ex hoc loco professionem virorum in eo sitam fuisse, ut fratrum numero post legitimam probationem ascriberentur. Nihil aliud exigitur in Regulis fusioribus, interrog. X, ubi modus recipiendorum fratrum præscribitur. In canone autem 19 hanc professionem tacitam vocat Basilius; sed satius esse statuit, ut deinceps ipsi etiam viri interrogentur (id D enim non omittebatur in sacris virginibus), et eorum vota conceptis verbis excipiantur.

(99) *Τοῦ αἰῶνος.* Hæc desunt in codice Medicæo et utroque Regio ac utroque Bigot

(1) *Ἀθανασίῳ*, etc. Editi post vocem ἐπισκόπου addunt Ἀγκύρας, quæ vox etsi in nullo codice ms. a nobis inventa, probabilis tamen conjectura est, Athanasium illum episcopum, cujus ad patrem scribit Basilius, non alium esse Athanasio Ancyræ episcopo, quicum Basilius amicitia et familiaritate conjunctus fuit.

(2) *Τὸ δέ.* Multi codices τὸ μέντοι, et paulo post τοῦτο δή. Ibidem sex libri veteres ἐξ ἑαυτῶν. Editi ἐξ αὐτῶν.

ἡμῶν τοῖς ὀλισθήμασι, τοῦτο καὶ δυνατὸν, καὶ ἴδιον τῶν συνετῶς (3) καὶ κατὰ τὸν τῆς εὐσεβείας σκοπὸν τὸν ἑαυτῶν βίον διεξαγόντων. Ἡμᾶς δὲ μὴ οὕτως εὐκόλους οἴου, μηδὲ εὐπαραγώγους εἶναι, ὥστε ἀνεξετάστως τὰς παρὰ τῶν τυχόντων προσίεσθαι καταῤῥήσεις. Μεμνήμεθα γὰρ τοῦ πνευματικοῦ παραγγέλματος, μὴ χρῆναι προσδέχεσθαι ἀκοὴν ματαίαν παρεγγυῶντος. Πλὴν ἀλλ' ἐπειδὴ ὑμεῖς αὐτοί φατε, οἱ περὶ τοὺς λόγους ἐσπουδακότες, τὰ φαινόμενα τῶν ἀφανῶν εἶναι σημεῖα, τοῦτο ἀξιοῦμεν (καὶ μὴ βαρέως δέξῃ, εἴ τι ἐν (4) διδασκαλίας εἴδει λεχθήσεται παρ' ἡμῶν· τὰ γὰρ ἀσθενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεὸς, καὶ δι' αὐτῶν πολλάκις οἰκονομεῖ τὴν σωτηρίαν τῶν σωζομένων)· ὅ γε μὴν λέγω καὶ παραγγέλλω, ἐκεῖνό ἐστι· πάντα μὲν λόγον, πᾶσαν δὲ πρᾶξιν καθήκουσαν περιεσκεμμένως ἐπιτελεῖσθαι· καὶ κατὰ τὸ ἀποστολικὸν παράγγελμα, μηδεμίαν ἐν μηδενὶ διδόναι προσκοπήν. Πρέπον γὰρ εἶναι τίθεμαι, ἀνδρὸς πολλὰ μὲν ἐπὶ μαθήσει λόγων ἱδρώσαντος, ἐθνῶν δὲ καὶ πόλεων ἀρχὰς διευθύναντος, καὶ πρὸς μεγάλην προγόνων ἀρετὴν τὸν ζῆλον ἔχοντος, τὸν βίον προκεῖσθαι εἰς ὑπόδειγμα ἀρετῆς. Τὴν μέντοι περὶ τὰ τέκνα διάθεσιν οὐχὶ λόγῳ νῦν ὀφείλεις δεικνύναι, ὅς γε πάλαι ἔδειξας, ἀφ' οὗ πατὴρ ἐγένου, οὐ μόνον τῇ φυσικῇ στοργῇ κεχρημένος, ἣν καὶ τὰ ἄλογα παρέχεται τοῖς ἐκγόνοις, ὡς αὐτός τε εἶπας καὶ ἡ πεῖρα δείκνυσιν, ἀλλὰ καὶ ἐπιτείνειν τὴν ἀγάπην, δηλονότι ἐκ προαιρέσεως, ὅσῳ ὁρᾷς τοιαῦτα ὄντα, οἷα ἄξια εἶναι πατρικῶν προσευχῶν. Ὥστε οὐχ ἡμᾶς δεῖ περὶ τούτων πείθεσθαι· ἀρκοῦσα γὰρ ἡ ἐξ αὐτῶν τῶν γινομένων ἐστὶ μαρτυρία. Ἐκεῖνό γε μὴν οὐκ ἄκαιρον προσθεῖναι τῆς ἀληθείας ἕνεκεν, ὅτι οὐχ ὁ ἀδελφὸς Τιμόθεός ἐστιν ὁ χωρεπίσκοπος, ὁ ἀνενεγκὼν ἡμῖν τὰ θρυλληθέντα. Οὔτε γὰρ ἐν συντυχίᾳ, οὔτε διὰ γράμματος φαίνεται μικρόν τι ἢ μεῖζον διαβολῆς ἐχόμενον περὶ σοῦ φθεγξάμενος. Ὥστε ἀκηκοέναι μέν τι (5) οὐκ ἀρνούμεθα· οὐ μὴν Τιμόθεον εἶναι τὸν τὰς διαβολάς σοι κατασκευάζοντα. Ἀκούοντες δὲ πάντως, εἰ μή τι ἄλλο, τὸ γοῦν τοῦ Ἀλεξάνδρου ποιήσομεν, τὴν ἑτέραν τῶν ἀκοῶν ἀκεραίαν ταμιευσόμεθα (6) τῷ διαβαλλομένῳ.

A insidiantur, præbere; id et fieri potest, et hominum est prudenter et accommodate ad pietatis normam viventium. Nos autem non adeo faciles esse arbitreris, aut adeo credulos, ut sine examine a quibusvis obtrectationes admittamus. Meminimus enim spiritualis præcepti, vanum rumorem admittendum non esse admonentis[7]. Sed tamen quoniam vos ipsi, qui dicendi arti datis operam, ea quæ apparent non apparentium signa esse dicitis; illud censemus (nec moleste feras, si **103** quid a nobis docentium more dicetur: nam infirma mundi et abjecta elegit Deus[8], ac sæpe per hæc electorum salutem dispensat): quod, inquam, dico admoneoque, illud est: ut sermonem omnem et omnem decoram actionem considerate exsequamur, et secundum Apostoli B præceptum[9], nullam demus ulla in re offensionem. Decere enim arbitror, ut qui multum in doctrina percipienda exsudavit, gentiumque et urbium gubernacula tenuit, ac magnam progenitorum virtutem æmulatur, ipsius vita in virtutis exemplum proponatur. Porro amorem erga liberos non verbis nunc demonstrare debes, qui utique jampridem demonstrasti, ex quo pater factus es; nec naturali solum amore uti, quem etiam bruta animantia fetibus suis exhibent, uti et tu dixisti, et experientia declarat: sed dilectionem etiam animi inductione et voluntate intendere, eo magis quod eos tales esse vides, qui paternis votis digni sint. Quare non opus est hæc C nobis persuaderi, cum satis sit testimonium quod ex rebus ipsis percipitur. Illud autem veritatis causa non intempestivum adjicere, fratrem Timotheum chorepiscopum non esse, qui rumores ad nos detulerit. Nam nec coram, neque per litteras parvi quidquam aut magni, quod calumniæ affine esset, de te locutus deprehenditur. Quamobrem aliquid nos audivisse non negamus: sed affirmamus Timotheum non esse, qui tibi struxerit calumnias. Omnino autem audientes, si nihil aliud, illud certe Alexandri faciemus, ut calumniam patienti alteram aurem integram reservemus.

ΕΠΙΣΤΟΛΗ ΚΕ'.

EPISTOLA XXV*.

Amica et charitatis plena expostulatio cum Athanasio Ancyrano, qui Basilium nec per litteras admonitum, nec per communem aliquem amicum, palam et aperte insectabatur et minabatur, ac omnibus Cæsarea venientibus dicebat noxas quasdam ab eo scribi et componi.

Ἀθανασίῳ (7) *ἐπισκόπῳ Ἀγκύρας.*

D

Athanasio episcopo Ancyræ.

1. Ἀπήγγειλάν μοί τινες τῶν ἐκ τῆς Ἀγκύρας πρὸς ἡμᾶς ἀφικομένων, πολλοὶ δὲ οὗτοι καὶ οὐδὲ (8)

1. Nuntiarunt mihi quidam ex his qui Ancyra ad nos veniunt, multi autem sunt hi, ac ne nume-

[7] Exod. XXIII, 1. [8] I Cor. I, 27. [9] II Cor. VI, 3.

(3) *Συνετῶς*. Sic Harl., Coisl. uterque et uterque Regius. Editi συνετῶν.

(4) *Εἴ τι ἐν*. Sic Harl., Med., Coisl. uterque et Reg. primus. Editi εἴ τι ὡς ἐν. Paulo post sex codices δι' αὐτῶν. Editi διὰ τούτων.

(5) *Μέν τι*. Sic mss. sex. Editi μέντοι.

(6) *Ταμιευσόμεθα*. Sic ope Coisl. 1 et Reg. 2 emendavimus quod erat in editis ταμιευόμεθα.

(7) *Ἀθανασίῳ*. Addunt duo codices Coisl. secundus et Reg. 222, a Combefisio citatus: ὥστε φανερῶσαι αὐτῷ πόθεν ἐκινήθη πρὸς τὴν κατ' αὐτοῦ λύπην. *Ut sibi significet unde commotus fuerit, ut ægritudinem adversum se susciperet.* Initio cod. Vat. ἀνήγγελον.

(8) *Καὶ οὐδέ*. Editi καὶ οὓς οὐδέ. Sed hæc vocula deest in tribus optimis codicibus Harl., Coisl., Med.

* Alias LIII, scripta ante an. 369.

rare quidem facile sit; uno autem ore omnes referentes, te charum caput (quomodo verbis utar lenissimis?) non suavissime nostri meminisse, neque pro tuis moribus. Me vero nihil rerum humanarum, probe scias, percellit, nec cujusquam ex omnibus inexspectata immutatio; cum dudum naturæ imbecillitatem et in contraria mutabilitatem perspexerim. Unde neque, si quid rerum nostrarum retro sublapsum est, et ex pristino honore convicia atque injuriæ nobis nunc fiunt, id magni facio. Sed illud mihi revera præter opinionem et instar monstri visum est, eum te esse qui ita erga nos affectus sis, ut irascaris nobis ac succenseas, imo etiam jam minas aliquas intentes, ut referunt qui audivere. **104** Ac minas quidem omnino (verum enim dicetur) irrisi. Equidem essem omnino puer, si ejusmodi formidarem terricula. Hoc vero mihi et terribile et multa dignum sollicitudine visum est, quod integritas tua, quam inter paucos tum rectæ fidei firmamentum, tum veteris ac veræ dilectionis semen in solatium Ecclesiis servari credimus, usque adeo præsentis rerum status particeps sit, ut quorumlibet hominum calumniæ plus apud te valeant, quam longa nostri experientia, et ad rerum absurdarum suspicionem sine argumentis abducaris. Quanquam, quid dico suspicionem? Qui enim indignatus est ac minatus, ut de te referunt, non suspicantis, sed jam clare et explorate persuasi videtur quodam modo iracundiam declarasse.

2. Sed, ut dixi, in hoc tempus causam rejicimus. Nam quanti laboris erat, o admirande, in brevi epistola, quibus de rebus velles, velut solum cum solo colloqui: aut si litteris res ejusmodi non crederes, nos ad te accersere? Quod si hæc omnino renuntiare oportebat, ac dilationi spatium non dabat difficilis ad coercendum iracundia; at certe unum aliquem ex familiaribus, et ad tegenda arcana idoneis licebat sermonis ad nos perferendi ministrum adhibere. Nunc vero quis est ex iis, qui ad vos qualiumcunque negotiorum causa proficiscuntur, cujus aures hoc sermone non circumsonuerint, noxas quasdam a nobis scribi

A ἀριθμῆσαι ῥᾴδιον, σύμφωνα δὲ πάντες φθεγγόμενοι. σὲ τὴν φίλην κεφαλὴν (πῶς ἂν εὐφήμως εἴποιμι;) οὐχ ὡς ἥδιστα μεμνῆσθαι ἡμῶν, οὐδὲ κατὰ τὸν σεαυτοῦ τρόπον. Ἐμὲ δὲ οὐδὲν ἐκπλήσσει τῶν ἀνθρωπίνων, εὖ ἴσθι, οὐδὲ ἀπροσδόκητός ἐστιν οὐδενὸς τῶν πάντων μεταβολὴ, πάλαι τὸ τῆς φύσεως ἀσθενὲς καὶ τὸ εὐπερίτρεπτον πρὸς τὰ ἐναντία καταμαθόντα (9). Ὅθεν οὔτ' εἴ τι τῶν ἡμετέρων μεταπέπτωκε, καὶ ἐκ τῆς πρότερον τιμῆς λοιδορίαι καὶ ὕβρεις περὶ ἡμᾶς νῦν γίνονται (10), μέγα τοῦτο ποιοῦμαι. Ἀλλ' ἐκεῖνό μοι (11) παράδοξον ὡς ἀληθῶς καὶ ὑπερφυὲς ἐφάνη, τὸ σὲ εἶναι τὸν οὕτω πρὸς ἡμᾶς ἔχοντα, ὥστε ὀργίζεσθαι ἡμῖν καὶ χαλεπαίνειν, ἤδη δέ τι καὶ ἀπειλεῖν, ὡς ὁ τῶν ἀκουσάντων λόγος. Τῶν μὲν οὖν ἀπειλῶν καὶ πάνυ (εἰρήσεται γὰρ τἀληθὲς) κατεγέ- B λασα· ἦ κομιδῇ γ' ἂν παῖς εἴην, τὰ τοιαῦτα μορμολύκεια δεδοικώς· ἐκεῖνο δέ μοι καὶ φοβερὸν καὶ πολλῆς φροντίδος ἄξιον ἔδοξε, τὸ τὴν σὴν ἀκρίβειαν, ἣν ἐν ὀλίγοις ἔρεισμά τε ὀρθότητος, καὶ τῆς ἀρχαίας καὶ ἀληθινῆς ἀγάπης σπέρμα εἰς παραμυθίαν ταῖς Ἐκκλησίαις σώζεσθαι πεπιστεύκαμεν (12), ἐπὶ τοσοῦτον (13) τῆς παρούσης καταστάσεως μετασχεῖν, ὥστε τὰς παρὰ τῶν τυχόντων βλασφημίας κυριωτέρας ποιήσασθαι τῆς μακρᾶς ἡμῶν πείρας, καὶ πρὸς τὴν τῶν ἀτόπων ὑπόνοιαν χωρὶς ἀποδείξεων ὑπαχθῆναι. Καίτοι τί λέγω ὑπόνοιαν; Ὁ γὰρ ἀγανακτήσας καὶ διαπειληθεὶς, ὥς φασιν, οὐχ ὑπονοοῦντος, ἀλλὰ τοῦ ἤδη σαφῶς καὶ ἀναντιῤῥήτως πεισθέντος δοκεῖ πως ὀργὴν ἐνδεδεῖχθαι.

C 2. Ἀλλ', ὅπερ ἔφην, ἐπὶ τὸν καιρὸν τοῦτον ἀναφέρομεν τὴν αἰτίαν. Ἐπεὶ πόσου πόνου ἦν, ὦ θαυμάσιε, ἐν ἐπιστολῇ βραχείᾳ, περὶ ὧν ἐβούλου, οἱονεὶ μόνον μόνῳ διαλεχθῆναι· ἢ, εἰ μὴ ἐπίστευες γραφῇ (14) τὰ τοιαῦτα, πρὸς ἑαυτὸν μεταπέμψασθαι; Εἰ δὲ πάντως ἐξειπεῖν ἔδει, καὶ ἀναβολῇ καιρὸν οὐκ ἐδίδου τὸ δυσκάθεκτον τῆς ὀργῆς· ἀλλ' ἑνί γέ τινι τῶν ἐπιτηδείων, καὶ στέγειν ἀπόῤῥητα πεφυκότων, ἐξῆν δή που τῶν πρὸς ἡμᾶς λόγων χρήσασθαι διακόνῳ. Νυνὶ δὲ τίνος οὐχὶ περιτεθρύλληται τὰ ὦτα τῶν κατ' ὁποιανδήποτε χρείαν ὑμῖν ἐπιφοιτώντων, ὡς ἡμῶν ἄτας τινὰς γραφόντων καὶ συγγραφόντων (15); Τούτῳ γάρ σέ φασι κεχρῆσθαι τῷ ῥήματι

Med., quanquam addita est secunda manu in Harl. Ibidem συμφώνως in editis. Harl., Coisl. uterque et uterque Reg. ut in textu.

(9) *Καταμαθόντα*. Sic edit. Hagan. et prima Basileensis cum Harl., Coisl. primo et tribus aliis. Refertur videlicet hoc participium ad ἐμέ, quod paulo ante præcessit. Edit. Paris. et Basileensis, anni 1551, καταμαθόντι.

(10) *Γίνονται*. Coisl. primus ἐγγίνονται.

(11) *Ἐκεῖνό μοι*. Addunt quatuor mss. τὴν πρώτην, nempe Harl., Vat., Coisl. primus et Reg. secundus.

(12) *Πεπιστεύκαμεν*. Tres mss. πεπιστεύκειμεν, nempe Harl., Coisl. secundus et Reg. secundus.

(13) *Ἐπὶ τοσοῦτον*. Coisl. primus et Med. ἐπὶ τοσούτῳ. Paulo post idem Coisl. χωρὶς ἀποδείξεως. Ibidem Med. Καὶ τί λέγω.

(14) *Γραφῇ... ἐξειπεῖν ἔδει*. Ita septem mss., nisi quod in tribus recentioribus legitur πρὸς σεαυ-

D τόν. Editi γράμμασι πράγματα, πρὸς ἑαυτὸν μεταπέμψασθαι. Εἰ δὲ πάντως καὶ τοῦτο οὐκ ἔδει.

(15) *Καὶ συγγραφόντων*. Ita Harl., Vat., Coisl. secundus et alius a Combefisio citatus. Deleta sunt hæc verba in Coisliniano primo. Editi ἢ συγγραφόντων. Vertendum putat Combefisius, *ac conscribamus*, id est, *ac si aliis socii et adjutores simus*. Fateor mihi non probari hanc interpretationem. Illud enim συγγραφόντων nihil aliud hoc loco designat, nisi libros et pertractationes, et additum videtur ad explanationem præcedentis vocis γραφόντων, quæ cum accipi posset de litteris ad amicos scriptis, aliam adhibebat Athanasius, ut Basilium pateret non incogitantem et imprudentem noxas scribere ut interdum fit in epistolis, sed data opera libros in hoc genere componere. Hinc Basilio hæc audienti subiit vereri, quod ne opus hæreticum nomini suo affictum fuisset. Confirmat hanc interpretationem illud Basilii de Eustathio dictum in epist.

οἱ ἐπὶ λέξεως τὰ σὰ διηγούμενοι. Ἐμὲ δὲ, ἐπὶ πολλὰ τὴν διάνοιαν ἀγαγόντα τὴν ἐμαυτοῦ, οὐδέν τι μᾶλλον τῆς ἀμηχανίας ἀφίησιν. Ὥστε με καὶ τοιοῦτόν τι εἰσῆλθε· μή τις τῶν αἱρετικῶν κακούργως τοῖς ἑαυτοῦ συγγράμμασι τὸ ἐμὸν ὄνομα παραγράψας, ἐλύπησέ σου τὴν ὀρθότητα, καὶ ἐκείνην ἀφεῖναι τὴν φωνὴν προηγάγετο. Οὐ γὰρ δὴ τοῖς γεγραμμένοις ὑφ' ἡμῶν πρὸς τοὺς ἀνόμοιον κατ' οὐσίαν τολμήσαντας εἰπεῖν τὸν Υἱὸν καὶ Θεὸν τῷ Θεῷ καὶ Πατρὶ, ἢ πρὸς τοὺς κτίσμα καὶ ποίημα εἶναι τὸ Πνεῦμα τὸ ἅγιον βλασφημήσαντας, ταύτην ἂν ἐπενεγκεῖν τὴν λοιδορίαν ἠνέσχου, ὁ τοὺς μεγάλους ἄθλους ἐκείνους καὶ περιβοήτους ὑπὲρ τῆς ὀρθοδοξίας διενεγκών. Λύσαις (16) δ' ἂν ἡμῖν τὴν ἀμηχανίαν αὐτὸς, εἰ ἐθελήσειας τὰ κινήσαντά σε πρὸς τὴν καθ' ἡμῶν λύπην φανερῶς ἐξαγγεῖλαι.

A et componi? Nam isto te vocabulo usum esse aiunt, qui totidem verbis tua referunt. Me autem multa animo et cogitatione versantem, nihil quidquam de consilii inopia eximit. Quare et aliquid tale mihi in mentem venit, num quis hæreticus dolose suis ipsius scriptis nomen meum ascribens, rectitudini tuæ molestiam crearit, atque ad vocem istam emittendam adegerit. Non enim iis quæ a nobis scripta sunt adversus eos qui Filium et Deum Deo et Patri secundum essentiam dissimilem dicere ausi sunt, aut adversus eos qui Spiritum sanctum creaturam et opificium esse blasphemo ore docuerunt, contumeliam hanc facere voluisses, qui magna illa ac celebria certamina pro recta fide pertulisti. Liberabis autem nos ab hac sollicitudine, B si modo volueris quæ te ad hanc in nos offensionem commoverint, aperte significare.

ΕΠΙΣΤΟΛΗ ΚϚ'.

105 EPISTOLA XXVI*.

Cæsarium Basilius, in eo terræ motu qui Nicæam evertit, mirabiliter servatum hortatur, ut gratias re et opere Deo persolvat, ac eamdem semper mentem retineat quam in ipso periculi articulo habuerat.

Καισαρίῳ τῷ ἀδελφῷ Γρηγορίου (17).

Χάρις τῷ Θεῷ, τῷ τὰ ἑαυτοῦ θαυμάσια καὶ ἐν σοὶ (18) ἐπιδειξαμένῳ, καὶ ἐκ τοσούτου θανάτου διασώσαντί σε τῇ τε πατρίδι καὶ ἡμῖν τοῖς προσήκουσι. Λείπεται δὴ οὖν μὴ ἀχαρίστους ἡμᾶς ὀφθῆναι, μηδ' ἀναξίους τῆς τοσαύτης εὐεργεσίας, ἀλλὰ κατὰ δύναμιν τὴν ἡμετέραν διαγγέλλειν τοῦ Θεοῦ τὰ παράδοξα· καὶ, ἧς ἔργῳ πεπειράμεθα φιλανθρωπίας, ταύτην ἀνυμνεῖν· καὶ μὴ λόγῳ μόνον ἀποδιδόναι τὴν χάριν, ἀλλὰ καὶ ἔργῳ τοιοῦτον γενέσθαι, οἷον καὶ νῦν εἶναι πειθόμεθα, τεκμαιρόμενοι τοῖς περὶ σὲ θαύμασι. Καὶ ἔτι μειζόνως τῷ Θεῷ δουλεύειν παρακαλοῦμεν, προσθήκαις ἀεὶ τὸν φόβον συναύξοντα, καὶ εἰς τὸ τέλειον προκόπτοντα (19), ἵνα φρόνιμοι οἰκονόμοι τῆς ζωῆς ἡμῶν ἀποδειχθῶμεν, εἰς ἣν ἡμᾶς ἡ ἀγαθότης τοῦ Θεοῦ ἐταμιεύσατο. Εἰ γὰρ καὶ πᾶσιν ἡμῖν πρόσταγμά ἐστι παραστῆσαι ἑαυτοὺς τῷ Θεῷ, ὡσεὶ ἐκ νεκρῶν ζῶντας, πῶς οὐχὶ μᾶλλον τοῖς ὑψωθεῖσιν ἐκ τῶν πυλῶν τοῦ θανάτου; Τοῦτο δ' ἂν μάλιστα, ὡς ἐμαυτὸν πείθω, κατορθωθείη, εἰ βουληθείημεν ἀεὶ τὴν αὐτὴν ἔχειν διάνοιαν, ἣν εἴχομεν ἐπὶ τοῦ καιροῦ τῶν κινδύνων. Πάντως γάρ που εἰσῄει (20) ἡμᾶς τοῦ βίου τὸ μάταιον, καὶ ὡς οὐδὲν πιστὸν τῶν ἀνθρωπίνων, οὔτε πάγιον, οὕτω ῥᾳδίως (21) ἐχόντων τὰς μεταπτώσεις. Καί πού τις μεταμέλεια μὲν ἔκ τε τῶν εἰκότων ἐνεγίνετο ἡμῖν ἐπὶ τοῖς φθάσασιν· ὑπόσχεσις δὲ περὶ τῶν ἐφεξῆς, εἰ περισωθείημεν, Θεῷ δουλεύειν, καὶ

Cæsario Gregorii fratri.

Gratia Deo, qui mirabilia sua et in te ostendit, teque ex tali morte servavit patriæ ac nobis amicis. Reliquum jam est, ut ingrati non videamur, nec indigni beneficio tanto, sed pro viribus enarremus Dei miracula, et quam re experti sumus benignitatem, eam celebremus; nec verbis tantum persolvamus gratias, sed et opere tales simus, qualem C et nunc esse te persuasum habemus, facta ex miris in te editis conjectura. Atque ut adhuc magis Deo servias hortamur, accessionibus semper timorem augens, et ad perfectionem progrediens, ut prudentes dispensatores vitæ nostræ deprehendamur, ad quam nos benignitas Dei reservavit. Nam si omnibus nobis præceptum est, ut exhibeamus nos Deo tanquam ex mortuis viventes [10], quomodo non id magis præceptum iis, qui ex portis mortis erecti sunt? Id autem maxime, ut mihi quidem persuadeo, præstiterimus, si velimus eamdem semper retinere mentem, quam tempore periculorum habebamus. Omnino enim venerat nobis in mentem vitæ vanitas, ac nihil fidum esse in rebus humanis, nihil stabile, ut quæ tam facile mutentur. D Subierat etiam nos, ut verisimile est, quædam præteritorum pœnitentia, et de futuris promissio, Deo, si servaremur, inserviendi, ac nobis ipsis diligentia omni invigilandi. Si quam enim nobis cogitationem mortis periculum imminens injiciat,

[10] Rom. VI, 13.

130: γράψας καθ' ἡμῶν, μᾶλλον δὲ συγγράψας, etc. *Scripsit contra nos vel potius composuit longos sermones convicio omni et calumnia refertos.* Eodem sensu usurpatur illud verbum in epistolis 131, 223, 224, 251.

(16) *Λύσαις.* Sic quinque mss. Editi λύσεις. Paulo post editi καθ' ὑμῶν. Plerique mss. καθ' ἡμῶν.

(17) *Τῷ ἀδελφῷ Γρηγορίου.* Desunt hæc in quinque mss. Leguntur in tribus vetustissimis.

(18) *Καὶ ἐν σοί.* Præpositio addita ex codicibus Harl., Coisl. primo, Med. et nonnullis aliis. Ibidem quinque codices ἐπιδεικνυμένῳ. Sed tres antiquissimi ut in editis.

(19) *Προκόπτοντα.* Sic mss. sex. Editi προκόπτοντας.

(20) *Εἰσῄει.* Sic etiam sex libri veteres. Editi εἴσει.

(21) *Ῥᾳδίως.* Codex Bigotianus a Combefisio laudatus habet ῥᾳδίας, et paulo post idem ὑποσχέσεις.

* Alias CCCLXII, scripta an. 368.

hæc te arbitror, ut his quam simillima cogitasse. Quare necessarii cujusdam debiti solutione obstricti sumus. Hæc simul lætus ob Dei munus, simul et de futuris sollicitus, perfectioni tuæ subjicere ausus sum. Tuum autem est verba nostra æquo et leni animo accipere, quemadmodum et coram in colloquiis solebas.

A ἑαυτῶν ἐπιμέλεσθαι (22) κατὰ πᾶσαν ἀκρίβειαν. Εἰ γάρ τινα ἡμῖν ἔννοιαν ὁ τοῦ θανάτου κίνδυνος ἐπικείμενος ἐνεδίδου, οἶμαί σε ἢ ταῦτα, ἢ ἐγγύτατα τούτων ἀναλογίζεσθαι τηνικαῦτα. Ὥστε ἀναγκαίου ὀφλήματος ἐκτίσει ὑπεύθυνοι καθεστήκαμεν. Ταῦτα ὁμοῦ μὲν περιχαρὴς ὢν τῇ τοῦ Θεοῦ δωρεᾷ, ὁμοῦ δὲ καὶ φροντίδα ἔχων περὶ τῶν μελλόντων (23), ἀπεθάρσησα ὑπομνῆσαι τὴν τελειότητά σου. Σὸν δέ ἐστιν εὐμενῶς καὶ ἡμέρως προσέσθαι ἡμῶν τοὺς λόγους, ὡς καὶ ἐν ταῖς κατ' ὀφθαλμοὺς ὁμιλίαις σοι ἦν σύνηθες (24).

EPISTOLA XXVII*.

ΕΠΙΣΤΟΛΗ ΚΖ'.

Basilius ex morbo sanatus hieme impeditur quominus invisat Eusebium. Properaturum se pollicetur, si per anni tempus et per famem liceat.

Eusebio, episcopo Samosatorum.

Ubi Dei gratia ac præsidio tuarum precum paululum emergere ex morbo visus sum, ac recollegi meas vires, tunc hiems supervenit, domi nos includens, nec loco sinens moveri. Etsi enim solito longe mitior occurrit, mihi tamen satis vehemens fuit ut impediret, quominus non modo eo vigente iter ingredi, sed nec paululum quidem ex cubiculo **106** prospicere possem. Sed neque hoc parvi duco, quod dignus habear, qui cum tua pietate per litteras colloquar, jamque in antecessum spe responsionum acquiescam. Quod si et tempestas sinat, et vitæ nobis adhuc supersit tempus, nec impervium nobis iter fames efficiat; cito sane precum tuarum subsidio voti compotes esse, teque domi invenientes, in multo otio magnis tuæ sapientiæ thesauris exsatiari possimus.

Εὐσεβίῳ ἐπισκόπῳ Σαμοσάτων.

Ὅτε τῇ τοῦ Θεοῦ χάριτι καὶ τῇ βοηθείᾳ τῶν σῶν B προσευχῶν μικρὸν ἀναφέρειν ἐκ τῆς ἀῤῥωστίας ἔδοξα, καὶ ἀνελεξάμην ἐμαυτοῦ τὰς δυνάμεις, τότε ὁ χειμὼν ἐπεγένετο, οἴκοι καθείργων ἡμᾶς, καὶ κατὰ χώραν μένειν συναναγκάζων. Εἰ γὰρ καὶ πολλῷ κουφότερος τῆς συνηθείας ἀπήντησεν· ἀλλ' οὖν ἔμοιγε ἱκανὸς εἰς ἐμπόδιον, οὐχ ὅπως ὁδοιπορεῖν δι' αὐτοῦ (25), ἀλλ' οὐδὲ μικρὸν προκύπτειν τοῦ δωματίου δύνασθαι. Ἔστι δέ μοι οὐδὲ τοῦτο μικρὸν, τὸ καταξιοῦσθαι διὰ γραμμάτων ὁμιλεῖν τῇ θεοσεβείᾳ σου, καὶ τῇ ἐλπίδι τῶν ἀντιδόσεων ἤδη προαναπαύεσθαι. Εἰ δὲ καὶ ὁ καιρὸς ἐνδοίη, καὶ τῆς ζωῆς ἡμῖν ἔτι λείποιτο (26) χρόνος, καὶ μὴ ἄπορον ἡμῖν τὴν ὁδὸν ὁ λιμὸς ἀπεργάσαιτο· ταχὺ ἂν (27) τύχοιμεν τῆς ἐπιθυμίας διὰ τῶν σῶν προσευχῶν· καὶ ἐπὶ τῆς ἑστίας σε καταλαβόντες, κατὰ πᾶσαν σχο- C λὴν τῶν μεγάλων θησαυρῶν τῆς ἐν σοὶ σοφίας ἐμφορηθείημεν.

EPISTOLA XXVIII**.

ΕΠΙΣΤΟΛΗ ΚΗ'.

Consolatur Neocæsarienses morte episcopi sui afflictos, et hortatur ut tranquillum statum, quem curis defuncti acceptum referre debent, nimium lugendo non amittant, sed diligenter caveant a lupis, et pro se quisque conentur pastorem eligere similem iis qui a Gregorii tempore usque ad hunc beatum ecclesiam rexerunt.

Ecclesiæ Neocæsariensi consolatoria.

1. Postulabant quidem quæ acciderunt nostram ipsorum præsentiam, tum ut honorem beato viro vobiscum, qui ei conjunctissimi estis, una persolverem, tum ut mœroris, quem casus attulit, ex ipso rerum tristium spectaculo particeps forem, tum etiam ut de necessariis consiliis vobiscum communicarem. Sed quia corpoream conjunctionem multa interpellant, reliquum erat ut per litteras vobiscum partirer præsentia. Miras igitur viri dotes, propter

Τῇ Ἐκκλησίᾳ Νεοκαισαρείας παραμυθητική.

1. Ἀπῄτει μὲν τὰ συμβάντα τὴν ἡμῶν αὐτῶν παρουσίαν, τοῦ τε τὴν (28-29) τιμὴν τῷ μακαρίῳ τοῖς οἰκειοτάτοις ὑμῖν συνεκπληρῶσαι, καὶ τοῦ τῆς ἐπὶ τῷ πάθει κατηφείας ἀπ' αὐτῆς (30) τῆς θέας τῶν σκυθρωποτέρων συμμετασχεῖν, καὶ ὥστε τῶν ἀναγκαίων βουλευμάτων ὑμῖν κοινωνῆσαι· ἐπεὶ δὲ τὴν σωμα- D τικὴν συνάφειαν πολλὰ τὰ διακωλύοντα, λειπόμενον ἦν διὰ τοῦ γράμματος κοινωνεῖν ὑμῖν τῶν παρόντων. Τὰ μὲν οὖν τοῦ ἀνδρὸς θαύματα, ἐφ' οἷς καὶ μάλιστα

* Alias VI, scripta anno 368.

** Alias LXII, scripta anno 368.

(22) *Ἐπιμέλεσθαι*. Harl. et Coisl. primus ἐπιμελήσεσθαι. Editio Paris. secunda ἐπιμελεῖσθαι.

(23) *Περὶ τῶν μελλόντων*. Duo codices ὑπὲρ τῶν μελλόντων.

(24) *Ἦν σύνηθες*. Vocula deest in quinque mss. codicibus, non tamen in tribus antiquissimis.

(25) *Δι' αὐτοῦ*. Hanc vetustissimi codicis Harl. scripturam, quam tamen recentior manus corrupit addendo ἐμ, substituere non dubitavi subabsurdæ editorum lectioni δι' ἐμαυτοῦ, *per meipsum iter ingredi*.

(26) *Ἔτι λείποιτο*. Sic antiquissimi quinque codices. Editi μὴ ἐπιλείποιτο.

(27) *Ταχὺ ἄν*. Sic antiquissimi codices Harl., Med., Coisl. cum uno ex Regiis. Editi τάχα ἄν.

(28-29) *Τοῦ τε τήν*. Harl. et Med. τῷ τε τὴν, et paulo post καὶ τῷ.

(30) *Ἀπ' αὐτῆς*. Ita Vat. et quatuor alii. Editi et tres vetustissimi codices ἐπ' αὐτῆς. Sed minus recte. Nam locus gemellus in epist. 86 habet ἀπ' αὐτῆς τῆς ἐναργείας τῶν ὁρωμένων. *Ex rerum conspectarum evidentia*. In hac scriptura consentiunt omnes mss. codices.

τὴν ζημίαν ἡμῖν (31) ἀφόρητον ὑπάρχειν λογίζεσθαι, οὔτ' ἂν ἐπιστολῆς μέτρον ὑποδέξαιτο, καὶ ἄλλως ἄωρον ἀνδραγαθημάτων πλήθει τὸν λόγον προσάγειν, οὕτω συμπεπτωκυίας τῆς ψυχῆς ἡμῶν ἐπὶ τῇ λύπῃ. Τί γὰρ τῶν ἐκείνου τοιοῦτον, οἷον ἢ τῆς μνήμης ἡμῶν ἐκπεσεῖν, ἢ σιωπᾶσθαι ἄξιον νομισθῆναι (32); Πάντα μὲν γὰρ ἀθρόως εἰσάπαξ εἰπεῖν ἀμήχανον· τὸ δὲ ἐκ μέρους λέγειν δέδοικα μὴ προδοσίαν ἔχῃ τῆς ἀληθείας. Οἴχεται ἀνὴρ διαφανέστατα δὴ τῶν καθ' ἑαυτὸν πᾶσιν ὁμοῦ τοῖς ἀνθρωπίνοις ὑπερενεγκὼν ἀγαθοῖς, ἔρεισμα πατρίδος, Ἐκκλησιῶν κόσμος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας, στερέωμα τῆς εἰς Χριστὸν πίστεως, οἰκείοις ἀσφάλεια, δυσμαχώτατος τοῖς ὑπεναντίοις, φύλαξ πατρῴων θεσμῶν, νεωτεροποιίας ἐχθρός· ἐν ἑαυτῷ δεικνὺς τὸ παλαιὸν τῆς Ἐκκλησίας σχῆμα, οἷον ἀπό τινος ἱεροπρεποῦς εἰκόνος, τῆς ἀρχαίας καταστάσεως, τὸ εἶδος τῆς ὑπ' αὐτὸν Ἐκκλησίας διαμορφῶν, ὥστε τοὺς αὐτῷ συγγενομένους τοῖς πρὸ διακοσίων ἐτῶν καὶ ἐπέκεινα φωστήρων τρόπον ἐκλάμψασι συγγεγονέναι δοκεῖν. Οὕτως οὐδὲν οἴκοθεν οὐδὲ νεωτέρας (33) φρενὸς εὕρημα προέφερεν ὁ ἀνήρ· ἀλλὰ, κατὰ τὴν Μωϋσέως εὐλογίαν, ᾔδει προκομίζειν ἐκ τῶν ἀδύτων τῆς καρδίας αὐτοῦ ἀγαθῶν θησαυρῶν, παλαιὰ παλαιῶν, καὶ παλαιὰ ἀπὸ προσώπου νέων. Ταύτῃ τοι καὶ τῆς προτιμήσεως οὐ κατὰ τὴν ἡλικίαν ἐν τοῖς συλλόγοις τῶν ὁμοτίμων ἠξιοῦτο, ἀλλ' ὑπὲρ πάντας ἦν τῷ τῆς σοφίας ἀρχαίῳ, ἐκ κοινῆς συγχωρήσεως τὸ πρωτεῖον καρπούμενος. Ὅσον δὲ τῆς τοιαύτης ἀγωγῆς τὸ κέρδος, οὐδεὶς ἂν ἐπιζητήσειε, πρὸς ὑμᾶς ἀποβλέπων. Μόνοι γὰρ, ὧν ἴσμεν, ἢ κομιδῇ γε ἐν ὀλίγοις (34), ἐν χειμῶνι τοσούτῳ καὶ λαίλαπι πραγμάτων ἀκύμαντον τῇ ἐκείνου κυβερνήσει τὴν ζωὴν διηγάγετε. Οὐ γὰρ ἥψατο ὑμῶν αἱρετικῶν πνευμάτων ζάλη, καταποντισμοὺς ἐπάγουσα καὶ ναυάγια ταῖς εὐπεριτρέπτοις ψυχαῖς. Μήτε δὲ ἅψαιτό ποτε, ὦ Δέσποτα τῶν ἁπάντων, ὃς τῷ σῷ θεράποντι Γρηγορίῳ, τῷ ἐξ ἀρχῆς πηξαμένῳ (35) τὴν κρηπῖδα τῆς Ἐκκλησίας, τῆς ἐπὶ μήκιστον ἀταραξίας τὴν χάριν ἔδωκας. Ἣν μὴ προδῶτε ὑμεῖς ἐν τῷ παρόντι καιρῷ· μηδὲ θρήνων ἀμετρίᾳ, καὶ τῷ ἐκδότους ἑαυτοὺς τοῖς λυπηροῖς ποιῆσαι, τοὺς τῶν ἀναγκαίων καιροὺς τοῖς ἐφεδρεύουσι πρόησθε. Ἀλλ' εἰ δεῖ πάντως θρηνεῖν (ὥσπερ οὖν οὔ φημι (36), ἵνα μὴ ὁμοιώθωμεν ἐν τούτῳ (37) τοῖς μὴ ἔχουσιν ἐλπίδα), ὑμεῖς

A quas etiam maxime damnum nobis intolerandum accidisse arbitramur, nec epistolæ mensura capiat, et alioquin intempestivum de præclare factorum multitudine sermonem instituere, cum adeo conciderit animus noster ob mœrorem. Quodnam enim illius factum tale est, quod aut e nostra memoria excidat, aut silentio jure ac merito prætermittatur? Fieri enim non potest, ut semel omnia dicantur acervatim : ex parte autem dicere, vereor ne proditionem habeat veritatis. Interiit vir omnium æqualium in omnibus simul humanis bonis præstantissimus, columen patriæ, Ecclesiarum decus, columna et fulcimentum veritatis, firmamentum fidei in Christum, suorum tutela, adversariis inexpugnabilis, legum paternarum custos, novitatis inimi-B cus, ostendens in seipso priscam Ecclesiæ speciem, ad veterem statum, veluti ad sacram quamdam imaginem, Ecclesiæ sibi commissæ formam effingens, ita ut qui cum eo vixerunt, una cum iis qui ante ducentos annos et amplius luminarium instar resplenduerant, vixisse sibi videantur. Adeo nihil de suo, nec ullum recentioris mentis inventum vir ille promebat : sed, secundum Moysis benedictionem, proferre noverat ex cordis sui arcanis, bonis scilicet thesauris, vetera veterum, et vetera ante faciem novorum [11]. **107** Hinc et primo loco non secundum ætatem in conventibus episcoporum dignus habebatur, sed supra omnes erat sapientiæ antiquitate, primas communi concessu obtinens. Quanta C autem talis institutionis utilitas, nemo requisierit, modo in vos oculos convertat. Nam soli quos noverimus, aut certe cum paucis admodum, in tanta rerum tempestate ac procella tranquillam illius gubernatione vitam egistis. Non enim vos attigit hæreticorum ventorum æstus, submersiones importans et naufragia animabus facile mutabilibus. Neque vero attingat unquam, o universorum Domine, qui famulo tuo Gregorio, a quo basis Ecclesiæ ab initio compacta, tranquillitatis longissimæ munus dedisti. Quam vos hoc tempore amittere nolite, neque immodicis lacrymis, ac totos vos mœrori dedendo, rerum necessariarum opportunitatem insidiantibus prodatis. Quod si omnino lugendum est (ita sane non sentio, ne in hoc iis qui

[11] Levit. xxvi, 10.

(31) *Ἡμῖν*. Edit. Basil. secunda et Paris. ὑμῖν. Aliæ et sex mss. ἡμῖν. Ibidem tres vetustissimi codices et duo Regii habent λογίζεσθαι pro eo quod erat in editis λογιζόμεθα. Illud, ἐφ' οἷς, idem valet ac ὥστε. Simile exemplum habes supra in epist. ad Maximum et infra in ep. 68 ad Athanas. Quod cum librarii non intelligerent, alii ὑπάρχει λογίζεσθαι (sic enim in nonnullis mss. legitur), alii ὑπάρχειν λογιζόμεθα posuerunt. [Quod præstat.]

(32) *Νομισθῆναι*. Addunt editi ἢ συγκομισθῆναι, sed hæc desunt in septem mss. Paulo post editi εἰπεῖν ἀδύνατον et μὴ προδιδῷ τι τῆς ἀληθείας. Codices octo mss. ut in textu.

(33) *Οὐδὲ νεωτέρας*. Οὐδὲν in Vat. et Combef. Paulo post legimus cum septem mss. ἀπὸ προσώπου, editi ἀπὸ προσώπων.

(34) *Ἐν ὀλίγοις*. Ita Harl., Coisl. primus, Vat. et D duo Regii. Editi σὺν ὀλίγοις.

(35) *Πηξαμένῳ*. Editi ante hanc vocem addunt καλῶς, quod in octo mss. desideratur. Statim pro eo quod erat in editis τῆς ἐπιμόνου ἀταραξίας, lectionem octo codicum mss. apposuimus.

(36) *Οὔ φημι*. Deest negatio in tribus mss., sed necessaria videtur ad sententiæ seriem, ac miror eam a Combefisio expungi. Nam perabsurde dixisset Basilius lugendum esse, ne similes simus his qui spem non habent. Paulo post addimus δέ post ὑμεῖς ex codicibus Harl., Med., Coisl. utroque et uno Regio.

(37) *Ἐν τούτῳ*. Sic codices mss. octo. Iidem paulo post habent προστησάμενοι. Editi ἐν τούτοις et περιστησάμενοι. Editiones Hagan. et duæ Basileenses habent προστησάμενοι.

spem non habent, similes simus), vos, si videtur, postquam veluti lugubris quidam chorus proprium vobis ducem præfeceritis, concinnius cum ipso casum deflete.

2. Atque is quidem, etsi ad extremam senectutem non pervenit, at certe quod ad tempus, quo vobis præfuit, attinet, satis vitæ habuit. Corporis autem tantum particeps fuit, quantum necesse erat, ut animi constantiam in illius doloribus perferendis ostenderet. Forte autem vestrum aliquis existimet, tempus commiserationis esse incrementum et amoris accessionem, non autem satietatis occasionem his qui experti sunt, ita ut quanto longiori tempore estis beneficium experti, tanto amplius orbitatem sentiatis; cæterum corporis justi vel umbram apud pios quovis honore dignam esse. Atque optandum quidem ut multi ex vobis sic animo affecti sint (neque enim ego ipse dixerim virum esse negligendum) : sed hoc consilii do, ut dolorem humaniter perferatis. Etenim quæcunque dicere possint qui damnum deplorant, neque a meipso ignorantur. Silet quidem lingua fluviorum in morem aures alluens : cordis autem profundum, a nemine hactenus comprehensum, somniis debilius, quantum sane ad homines attinet, avolavit. Quis illo ad futurum prævidendum acutior? Quis in tam stabili ac firma animi indole idoneus fuit, qui fulgure citius res aggrederetur? O civitas multis quidem jam malis præoccupata : sed tamen nullo prorsus in partibus ad vitam necessariis sic læsa! Nunc defloruit tibi ornatus pulcherrimus, conticuit Ecclesia, conventus tristes sunt, consessus sacer coryphæum desiderat, sermones mystici **108** explanatorem exspectant, pueri patrem, senes æqualem, optimates principem, populus patronum, pauperes nutritorem; omnes nominibus maxime propriis ipsum vocantes, in propria calamitate luctum sibi quisque proprium atque convenientem edunt. Sed quo mihi sermo præ lacrymarum voluptate rapitur? Non evigilabimus? non semetipsos colligemus? non respiciemus ad communem Dominum, qui postquam unumquemque sanctorum ætati suæ sivit inservire, congruis temporibus ad se rursus revocavit? Nunc in tempore illius verborum recordamini, qui cum concionaretur apud vos,

δὲ, εἰ δοκεῖ, οἷόν τις χορὸς πενθήρης τὸν κορυφαῖον ἑαυτῶν προστησάμενοι, ἐμμελέστερον μετ' ἐκείνου τὸ συμβὰν ἀποκλαύσατε.

2. Καίτοιγε εἰ καὶ μὴ ἐπ' ἔσχατον γήρως ἤλαυνεν ὁ ἀνὴρ, ἀλλ' οὖν τοῦ γε χρόνου ἕνεκεν τῆς ὑμετέρας ἐπιστασίας, οὐκ ἐνδεῶς εἶχε τοῦ βίου. Τοῦ τε σώματος τοσοῦτον μετεῖχεν, ὅσον τῆς ψυχῆς τὸ καρτερὸν ἐπὶ ταῖς ἀλγηδόσιν αὐτοῦ δεικνύναι. Τυχὸν δὲ ἄν τις ὑμῶν ὑπολάβοι, ὅτι καὶ ὁ χρόνος αὔξησις συμπαθείας, καὶ προσθήκη φίλτρου, οὐχὶ ἀφορμὴ κόρου τοῖς πειραθεῖσιν ἐγγίνεται (38), ὥστε, ὅσῳ ἐν πλείονι χρόνῳ τῆς εὐεργεσίας πεπείρασθε, τοσούτῳ μᾶλλον τῆς ἀπολείψεως ἐπαισθάνεσθαι (39)· σώματος δὲ δικαίου καὶ σκιὰ τοῦ παντὸς ἀξία τοῖς εὐλαβέσι. Καὶ εἴη γε πολλοὺς ὑμῶν (40) ἐπὶ ταύτης εἶναι τῆς διανοίας (οὐδὲ γὰρ αὐτὸς ἀμελῶς ἔχειν τοῦ ἀνδρός φημι χρῆναι)· ἀλλ' ἀνθρωπίνως συμβουλεύω τὸ λυπηρὸν διαφέρειν. Ἐπεὶ ὅσα γέ ἐστιν εἰπεῖν ἀποκλαιομένους τὴν ζημίαν, οὐδὲ ἐμὲ αὐτὸν διαφεύγει. Σιωπᾷ (41) μὲν γλῶττα, ποταμοῖς ἴσα τὰς ἀκοὰς ἐπικλύζουσα· καρδίας δὲ βάθος, οὐδενὶ τέως (42) καταληπτὸν, ὀνείρων ἀσθενέστερον, ὅσα γε πρὸς ἀνθρώπους, διιπτάμενον οἴχεται. Τίς ὀξύτερον (43) ἐκείνου προϊδέσθαι τὸ μέλλον; τίς ἐν οὕτω σταθερῷ καὶ παγίῳ τῆς ψυχῆς ἤθει ἀστραπῆς τάχιον τοῖς πράγμασιν ἐπελθεῖν ἱκανός; Ὦ πόλις πολλοῖς μὲν ἤδη προειλημμένη πάθεσιν, ὑπ' οὐδενός γε μὴν οὕτως εἰς αὐτὰ τὰ καίρια τοῦ βίου ζημιωθεῖσα! Νῦν ἀπήνθηκέ σοι κόσμος ὁ κάλλιστος· Ἐκκλησία δὲ μέμυκε, καὶ σκυθρωπάζουσι πανηγύρεις, καὶ τὸ ἱερὸν συνέδριον τὸν κορυφαῖον ἐπιποθεῖ, λόγοι δὲ μυστικοὶ τὸν ἐξηγητὴν ἀναμένουσιν, οἱ παῖδες τὸν πατέρα, οἱ πρεσβῦται τὸν ἡλικιώτην, οἱ ἐν τέλει τὸν ἔξαρχον, ὁ δῆμος τὸν προστάτην, οἱ βίου δεόμενοι τὸν τροφέα· πάντες αὐτὸν ἐκ τῶν οἰκειοτάτων ὀνομάτων ἀνακαλούμενοι, ἐπὶ οἰκείῳ πάθει οἰκεῖον αὐτῷ καὶ προσήκοντα ἕκαστος τὸν θρῆνον αἴρουσιν (44). Ἀλλὰ ποῦ μοι ὁ λόγος ὑφ' ἡδονῆς τῶν δακρύων ἐκφέρεται; Οὐκ ἀνανήψομεν; οὐχ ἡμῶν αὐτῶν γενησόμεθα; οὐκ ἀποβλέψομεν πρὸς τὸν κοινὸν Δεσπότην, ὃς, ἕκαστον τῶν ἁγίων τῇ ἰδίᾳ γενεᾷ ἐπιτρέψας ὑπηρετήσασθαι, τοῖς καθήκουσι χρόνοις πρὸς ἑαυτὸν πάλιν ἀνεκαλέσατο; Νῦν ἐν καιρῷ τῶν ἐκείνου φωνῶν ὑπομνήσθητε· ὃς ἐκκλησιάζων ὑμῖν ἀεὶ διετέλετο, *Βλέπετε*, λέγων, *τοὺς κύνας*, *βλέπετε* τοὺς

(38) *Ἐγγίνεται*. Ita Harl. et Coisl. primus. Editi γίνεται.

(39) *Ἐπαισθάνεσθαι*. Ita Harl. et Med. Editi ἐπαισθάνεσθε.

(40) *Ὑμῶν*. Sic mss. sex. Editi ἡμῶν.

(41) *Σιωπᾷ*. Editi addunt μὲν γάρ. Sed postrema vocula abest ab omnibus mss.

(42) *Τέως*. Hæc vocula addita ex octo mss. Ibidem tres vetustissimi ὅσα γε.

(43) *Τίς ὀξύτερον*. Ita tres vetustissimi codices cum aliis quatuor. Subauditur ἱκανός, quod paulo post sequitur; cui quidem cum minus attenderent librarii, credo eos scripsisse, ut est in editis, τίς ὀξύτερος. Quod autem paulo post ait Neocæsaream multis jam malis præoccupatam fuisse, non videtur id referri posse ad famem de qua Basilius in præcedenti epistola. Hoc enim malo contactas non fuisse Ponti civitates conjicimus ex Gregorio Naz., qui famem eo graviorem fuisse dicit, quod non possint Cappadoces, ut maritimæ civitates, et ea quibus abundant exportare, et quibus indigent invehere. Respicit ergo Basilius ad illam potissimum calamitatem qua Neocæsaream Gregorius Nyssenus sua ætate afflictam fuisse testatur, cum ingenti terræ motu ædificia omnia tum publica tum privata ruinas traxerunt, ac solum templum, quod a Gregorio ædificatum fuerat, illæsum et intactum permansit, *Vit. S. Greg.* tom. III, p. 554. Eumdem eventum referunt in *Chronicis* Hieronymus et Theophanes ad annum 344.

(44) *Αἴρουσιν*. Quatuor mss. recentiores ἔρουσι. Sic etiam secunda manu Harl., sed initio habuerat αἴρουσι.

κακοὺς ἐργάτας. Πολλοὶ οἱ κύνες. Τί λέγω κύνες; Λύκοι μὲν οὖν βαρεῖς, ἐν ἐπιφανείᾳ προβάτων τὸ δόλερὸν ὑποκρύπτοντες, πανταχοῦ τῆς οἰκουμένης τὸ Χριστοῦ ποίμνιον διασπῶσιν. Οὓς φυλακτέον ὑμῖν, ἐγρηγορικοῦ τινος ποιμένος ἐπιστασίᾳ. Ὃν ὑμέτερον μὲν αἰτῆσαι, φιλονεικίας πάσης καὶ φιλοπρωτίας τὰς ψυχὰς καθαρεύοντας, τοῦ Κυρίου δὲ ἀναδεῖξαι· ὃς ἀπὸ τοῦ μεγάλου προστάτου τῆς Ἐκκλησίας ὑμῶν Γρηγορίου μέχρι τοῦ μακαρίου τούτου, ἄλλον ἐπ' ἄλλῳ (45) προστιθεὶς καὶ συναρμόζων ἀεὶ, οἷον ἔκ τινος ἁρμοῦ (46) λίθων πολυτελῶν, θαυμαστὸν οἷον κάλλος τῆς Ἐκκλησίας ὑμῶν ἐχαρίσατο. Ὥστε οὐδὲ τῶν ἐφεξῆς ἀπελπιστέον. Οἶδε γὰρ Κύριος τοὺς ὄντας αὐτοῦ· καὶ ἀγάγοι ἂν εἰς τὸ μέσον τοὺς παρ' ἡμῶν τυχὸν οὐ προσδοκωμένους.

A semper admonebat, *Cavete canes*, inquiens, *cavete operarios malos* [11]. Canes non pauci. Quid dico canes? Imo vero lupi graves, qui sub ovium specie dolum contegentes, ubique terrarum gregem Christi divellunt: qui vobis vitandi sunt vigilantis alicujus pastoris præsidio. Hunc vestrum quidem est petere, animis ab omni contentione atque ambitione repurgatis: Domini vero, ostendere, qui a magno illo Ecclesiæ vestræ duce Gregorio usque ad hunc beatum, alterum in alterius locum sufficiens, semperque adaptans, velut ex quadam pretiosorum lapidum commissura, mirum ornamentum Ecclesiæ vestræ largitus est. Quare nec de successuris desperandum est. Novit enim suos Dominus, et proferre in medium potest, quos fortasse non ex-

B spectamus.

3. Πάλαι με θέλοντα τῶν λόγων παύσασθαι ἡ ὀδύνη τῆς καρδίας οὐκ ἐπιτρέπει· ἀλλ' ἐπισκήπτω ὑμῖν πρὸς τῶν Πατέρων, πρὸς τῆς ὀρθῆς πίστεως, πρὸς τοῦ μακαρίου τούτου, διαναστῆναι τὴν ψυχὴν, οἰκεῖον ἕκαστον ἑαυτοῦ τὸ σπουδαζόμενον κρίναντα, καὶ τῆς ἐφ' ἑκάτερα τῶν πραγμάτων ἐκβάσεως πρῶτον αὐτὸν ἀπολαύσειν ἡγούμενον, μηδὲ, τὸ τοῖς πολλοῖς συμβαῖνον, πρὸς τὸν πλησίον τὴν τῶν κοινῶν ἐπιμέλειαν ἀπωθεῖσθαι· εἶτα, ἑκάστου τῇ αὐτοῦ διανοίᾳ τῶν πραγμάτων ὀλιγωροῦντος, λαθεῖν ἅπαντας ἴδιον ἑαυτοῖς κακὸν διὰ τῆς ἀμελείας ἐπισπασαμένους. Ταῦτα εἴτε ὡς γειτόνων συμπάθεια, εἴτε ὡς ὁμοδοξούντων κοινωνία (47), εἴτε καὶ, ὅπερ ἀληθέστερόν ἐστι, τῷ τῆς ἀγάπης πειθομένων νόμῳ, καὶ τὸν ἐκ τοῦ σιωπῆσαι κίνδυνον ἐκκλινόντων, μετὰ πάσης εὐνοίας δέξασθε· πεπεισμένοι, ὅτι καύχημα ἡμῶν ἐστε, καθάπερ καὶ ἡμεῖς ὑμῶν εἰς τὴν ἡμέραν τοῦ Κυρίου, καὶ ὅτι ἐκ τοῦ δοθησομένου ποιμένος ὑμῖν ἢ ἐπὶ πλέον τῷ συνδέσμῳ τῆς ἀγάπης ἑνωθησόμεθα, ἢ πρὸς παντελῆ διάστασιν· ὃ μὴ γένοιτο, μηδὲ ἔσται τῇ τοῦ Θεοῦ χάριτι, οὐδ' ἂν αὐτὸς εἴποιμι νῦν βλάσφημον οὐδέν. Τοῦτο δὲ εἰδέναι ὑμᾶς βουλόμεθα, ὅτι, εἰ καὶ πρὸς τὴν εἰρήνην τῶν Ἐκκλησιῶν συντρέχοντα ἡμῖν οὐκ ἔσχομεν (48) τὸν μακάριον διά τινας, ὡς αὐτὸς ἡμῖν διεβεβαιοῦτο, προλήψεις, ἀλλ' οὖν γε τῆς πρὸς αὐτὸν ὁμοδοξίας, καὶ τοῦ ἀεὶ κοινωνὸν ἐπικαλεῖσθαι τῶν πρὸς τοὺς αἱρετικοὺς ἀγώνων, ὑπὸ μάρτυρι τῷ Θεῷ καὶ ἀνθρώποις τοῖς πεπειραμένοις ἡμῶν οὐδένα καιρὸν ἀπελείφθημεν.

3. Dudum me volentem sermoni finem imponere, dolor cordis non sinit: sed obtestor vos per Patres, per rectam fidem, per hunc beatum, erigatis animum, proprium sibi quisque id quod agitur ducentes, et rerum in utramque partem exitus participes se in primis fore existimantes, ita ut rerum communium curam, ut plerique solent, in proximum non rejiciatis, ac postea unoquoque in animo suo res negligente, omnes sibi ipsi per incuriam proprium malum imprudentes accersant. Hæc autem sive ut vicinorum commiserationem, sive ut idem sentientium communionem, sive etiam, quod verius est, ut charitatis legi obse-

C quentium, et periculum silentii declinantium, omni cum benevolentia excipite; persuasum illud habentes vos esse nostram gloriationem quemadmodum et nos vestra erimus in Domini die: nosque prout pastor vobis dabitur, vel arctius charitatis vinculo vobiscum esse conjungendos, vel prorsus disjungendos, quod quidem absit, neque Dei gratia fiet, neque sane ipse nunc contumeliosi quidquam dixerim. Hoc autem scire vos volumus, etsi beatum illum ad Ecclesiarum pacem concurrentem non habuimus propter quasdam, ut ipse nobis affirmavit, anticipatas opiniones; sed tamen idem cum ipso sentiendi, eumque semper certaminum adversus hæreticos participem advocandi, nos, Deo teste et hominibus qui nostri periculum fece-

D runt, nullum tempus intermisisse.

ΕΠΙΣΤΟΛΗ ΚΘ'.

109 EPISTOLA XXIX*.

Basilius Ancyranis significat acceptum ex morte eorum episcopi Athanasii dolorem, cujus summa de ecclesiis merita prædicat. Hortatur ut caveant, ne rursus in electione episcopi dissensiones nascantur.

Τῇ Ἐκκλησίᾳ Ἀγκύρας παραμυθητική (49).

Πολὺν ἡμῖν χρόνον σιωπὴν ἐνεποίησεν ἡ ἐκπλη-

Ecclesiæ Ancyræ consolatoria.

Diuturnum nobis silentium imposuit animi stu-

[11] Philipp. III, 2.

(45) *Ἐπ' ἄλλῳ*. Sic octo codices mss. Editi ἐπ' ἄλλον.

(46) *Ἁρμοῦ*. Sic sex mss. Editi ὅρμου. Paulo post editio Parisiensis παρ' ὑμῶν. Aliæ editiones et mss. codices septem παρ' ἡμῶν.

(47) *Συμπάθεια... κοινωνία*. Sic vetusti codices, melius quam in editis συμπαθείᾳ .. κοινωνίᾳ. Sed postulat sensus ut legatur συμπάθειαν... κοινωνίαν. Editio Haganoensis consentit cum mss. codicibus.

(48) *Οὐκ ἔσχομεν*. Ita mss. septem. Editi οὐκ εἴχομεν.

(49) *Παραμυθητική*. Hæc vox addita ex sex mss.

* Alias LXVII, scripta anno 368 exeunte.

por ex gravissimo tristis eventus nuntio. Postquam vero paululum quodam modo ex taciturnitate nos recollegimus, quam velut ii, quorum aures vehementi tonitru perculsæ sunt, passi sumus; necessario nunc de eo quod accidit, ingemuimus, et inter luctus epistolam hanc ad vos misimus, non consolandi gratia, (quis enim sermo inveniatur tantæ medicus calamitatis?) sed cordis nostri dolorem, quantum possimus, vobis hac voce significantes. Opus nunc mihi essent Jeremiæ lamentationes, et si quis sane alius ex beatis hominibus calamitatem maximam modo commovendis animis idoneo lamentatus est. Cecidit vir, vere columna et firmamentum Ecclesiæ, vel potius ipse quidem ad beatam vitam sublatus a nobis abiit: non leve autem periculum est, ne multi subtracto hoc fundamento corruant, et quæ in nonnullis putrida sunt, manifesta fiant. Clausum est os, et justa dicendi libertate, et gratiæ verbis ad fratrum ædificationem scatens. Abierunt mentis consilia, quæ vere in Deo commovebatur. O quoties mihi (accusabo enim me ipse) indignari subiit in virum, quod totus in eo desiderio ut discederet, essetque cum Christo, permanere in carne propter nos non prætulerit [13]. Cuinam deinceps Ecclesiarum curam deferemus? quem adjungemus molestiarum socium? quem lætitiæ participem? O gravem tristemque solitudinem! Quomodo plane similes facti sumus solitario pellicano [14]? Sed tamen juncta inter se Ecclesiæ membra, velut ab anima quadam, ab ipsius regimine in unam consensionem et accuratam communionem compacta, et servantur constanter per pacis vinculum ad spiritualem coagmentationem, et servabuntur semper, Deo id largiente, ut firma ac immota maneant beatæ illius animæ opera, quæcunque Ecclesiis Dei exantlavit. Verum certamen non parvum incumbit, ne rursus lites ac discordiæ in præsulis electione nascentes, omnem simul laborem ex qualibet dissensione subvertant.

A ξις τῆς βαρυτάτης ἀγγελίας τοῦ συμβάντος κακοῦ. Ἐπεὶ δὲ μικρόν πως τῆς ἀφασίας ἀνηνέγκαμεν, ἣν ὡς οἱ (50) βροντῇ μεγάλῃ τὰς ἀκοὰς καταπλαγέντες, πεπόνθαμεν· ἀναγκαίως νῦν ἐπεστενάξαμεν τῷ συμβάντι, καὶ μεταξὺ ὀδυρόμενοι τὴν ἐπιστολὴν ὑμῖν ἐξεπέμψαμεν· οὐ παρακλήσεως ἕνεκεν, (τίς γὰρ ἂν καὶ λόγος εὑρεθείη τοσαύτης συμφορᾶς ἰατρός;) ἀλλὰ τὴν ὀδύνην τῆς καρδίας ἡμῶν, καθ' ὅσον δυνατὸν, ἐκ τῆς φωνῆς, ταύτης ὑμῖν διασημαίνοντες. Νῦν ἐδεόμην τῶν Ἱερεμίου θρήνων, καὶ εἰ δή τις ἄλλος τῶν μακαρίων ἀνδρῶν συμφορᾶς μέγεθος (51) ἐμπαθῶς ἀπωδύρατο. Πέπτωκεν ἀνὴρ, στῦλος τῷ ὄντι καὶ ἑδραίωμα τῆς Ἐκκλησίας· μᾶλλον δὲ αὐτὸς μὲν (52) πρὸς τὴν μακαρίαν ζωὴν ἀρθεὶς ἀφ' ἡμῶν οἴχεται· κίνδυνος δὲ οὐ μικρὸς, μὴ πολλοὶ τῷ ἐρεί-
B σματι τούτῳ ὑπεξαιρεθέντι συγκαταπέσωσι, καὶ τὰ σαθρά τινων φανερὰ γένηται. Κέκλεισται στόμα παῤῥησίας τε δικαίας (53) καὶ λόγους χάριτος ἐπ' οἰκοδομῇ τῆς ἀδελφότητος βρύον. Οἴχεται δὲ φρενὸς βουλεύματα, τῆς ὄντως ἐν Θεῷ (54) κινουμένης. Ὢ ποσάκις μοι (κατηγορήσω γὰρ ἐμαυτοῦ) ἐπῆλθεν ἀγανακτῆσαι κατὰ τοῦ ἀνδρός· ὅτι, ὅλως γενόμενος τῆς ἐπιθυμίας τοῦ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, τὸ ἐπιμεῖναι ἐν τῇ σαρκὶ οὐ προετίμησε δι' ἡμᾶς. Πρὸς τίνα λοιπὸν τὰς φροντίδας τῶν Ἐκκλησιῶν (55) ὑπερθώμεθα; τίνα κοινωνὸν τῶν λυπηρῶν λάβωμεν; τίνα μεριστὴν τῆς εὐφροσύνης (56); Ὢ τῆς δεινῆς ὄντως καὶ σκυθρωπῆς ἐρημίας! Πῶς ἀκριβῶς ὡμοιώθημεν πελεκᾶνι ἐρημικῷ; Ἀλλὰ μὴν τά γε συναφθέντα μέλη τῆς Ἐκκλησίας, οἷον ὑπὸ ψυχῆς τινος,
C τῆς ἐκείνου προστασίας, εἰς μίαν συμπάθειαν καὶ ἀκριβῆ κοινωνίαν συναρμοσθέντα, καὶ φυλάσσεται διὰ τοῦ συνδέσμου τῆς εἰρήνης πρὸς τὴν πνευματικὴν ἁρμολογίαν παγίως, καὶ φυλαχθήσεται εἰς ἀεὶ, τοῦτο τοῦ Θεοῦ χαριζομένου, ἑδραῖα μένειν καὶ ἀμετακίνητα τῆς μακαρίας ἐκείνης ψυχῆς τὰ ἔργα, ὅσα ἐνήθλησε ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ. Πλὴν ἀλλ' ὁ ἀγὼν (57) οὐ μικρὸς, μή τινες πάλιν ἔριδες καὶ διχοστασίαι, ἐπὶ τὴν ἐκλογὴν τοῦ προστατοῦντος ἀναφυεῖσαι, πάντα ὁμοῦ τὸν κόπον ἐκ τῆς τυχούσης ἔριδος ἀνατρέψωσιν.

[13] Philipp. I, 23. [14] Psal. CI, 7.

(50) *Ὡς οἱ.* Sic omnes antiqui codices. Editi ὡσεί. Ibidem ἐκπλαγέντες in tribus mss. Νῦν paulo post deest in tribus, nec necessaria est hæc vocula. Paulo post Basilius in his verbis, Τίς γὰρ ἂν καὶ λόγος... ἰατρός, videtur respicere ad versum antiqui poetæ, quem citat Plutarchus initio libri *De consolatione*, ψυχῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι, *Animæ ægrotantis sunt medici sermones.*

(51) *Συμφορᾶς μέγεθος.* Vaticanus codex cum Regio secundo et Coisl. secundo συμφορὰς μεγίστας. Statim in duobus mss. ἑδραίωμα τῆς ἀληθείας, *firmamentum veritatis.*

(52) *Αὐτὸς μέν.* Vocula addita ex Med. et Coisl. primo.

(53) *Παῤῥησίας τε δικαίας*, etc. In his et sequentibus vocibus secuti sumus quinque veteres libros, nempe Reg. utrumque, Coisl. utrumque et Vaticanum. Plures autem quam sex non habuimus. Deest enim hæc epistola in codice Harl. Editi παῤῥησίας τε λόγοις χάριτος ἐπ' οἰκοδομήν. Habet etiam
D Medicæus cod. ἐπ' οἰκοδομῇ.

(54) *Ἐν Θεῷ.* Deest præpositio in duobus vetustissimis codicibus Coisl. et Med. Non multo post Medicæus τῆς ἐπιθυμίας τοῦ ἀναχωρῆσαι, quo ex verbo confirmatur interpretatio quam secuti sumus.

(55) *Τῶν Ἐκκλησιῶν.* Duo codices Regii et Coisl. secundus τῶν ἐκκλησιαστικῶν.

(56) *Εὐφροσύνης.* Sic uterque Reg. et uterque Coisl. Male in editis σωφροσύνης.

(57) *Ἀλλ' ὁ ἀγών.* Sic quinque codices. Editi ἄλλος ἀγών. Ibidem πάλιν additum ex quatuor mss. Legitur paulo post in Vaticano, Regio secundo et Coisl. secundo ἐπὶ τὴν ἐκλογὴν τοῦ μεταστάντος, *lites et discordiæ quæ in defuncti electione exortæ fuerant.* Sed utravis lectio probetur, illud semper ex his verbis, *ne rursus lites*, etc., concludere licet, electionem Athanasii interpellatam dissensionibus fuisse.

ΕΠΙΣΤΟΛΗ Λ'.

110 EPISTOLA XXX*.

Præter morbos, hiemem et negotia, aliæ causæ Basilium promovere ad Eusebium proficisci. Matrem amisit, unde morbus recruduit. Ecclesiis non melius est quam ipsius corpori. Narrat electos fuisse Ancyræ et Neocæsareæ episcopos. Precibus Eusebii acceptum refert, quod inimicorum insidias effugerit.

Εὐσεβίῳ ἐπισκόπῳ Σαμοσάτων.

Εἰ πάσας ἐφεξῆς γράφοιμι τὰς αἰτίας ὑφ' ὧν μέχρι τοῦ παρόντος κατεσχέθην, καὶ πάνυ ὡρμημένος πρὸς τὴν σὴν θεοσέβειαν, ἱστορίας ἂν μῆκος ἀπέραντον ἐκπληρώσαιμι. Νόσους μὲν ἐπαλλήλους καὶ χειμῶνος ἐπάχθειαν (58), καὶ πραγμάτων συνοχὴν παρίημι λέγειν, γνώριμα ὄντα καὶ ἤδη προδεδηλωμένα (59) τῇ τελειότητί σου. Νῦν δὲ καὶ ἣν μόνην εἶχον τοῦ βίου παραμυθίαν τὴν μητέρα, καὶ ταύτην ἀφῃρέθην ὑπὸ τῶν ἁμαρτιῶν μου (60). Καὶ μὴ καταγελάσῃς μου ὡς ἐν τούτῳ τῆς ἡλικίας ὀρφανίαν ἀποδυρομένου· ἀλλὰ σύγγνωθί μοι ψυχῆς χωρισμὸν ἀνεκτῶς μὴ φέροντι. ἧς οὐδὲν ἀντάξιον ἐν τοῖς λειπομένοις ὁρῶ. Πάλιν οὖν μοι ὑπέστρεψε τὰ ἀῤῥωστήματα, καὶ πάλιν ἐπὶ κλίνης κατάκειμαι ἐπὶ μικρᾶς παντελῶς τῆς δυνάμεως σαλεύων, καὶ μόνον (61) οὐκ ἐφ' ἑκάστης ὥρας τὸ ἀναγκαῖον πέρας τῆς ζωῆς ἐκδεχόμενος. Αἱ δὲ Ἐκκλησίαι σχεδόν τι παραπλησίως τῷ σώματί μου διάκεινται, ἀγαθῆς μὲν ἐλπίδος οὐδεμιᾶς ὑποφαινομένης, ἀεὶ δὲ πρὸς τὸ χεῖρον τῶν πραγμάτων ὑποῤῥεόντων. (62) Τέως δὲ ἡ Νεοκαισάρεια καὶ ἡ Ἄγκυρα ἔδοξαν ἔχειν διαδόχους τῶν ἀπελθόντων, καὶ μέχρι τοῦ νῦν ἡσυχάζουσιν. Ἀλλ' οὐδὲ ἡμῖν οἱ ἐπιβουλεύοντες ποιῆσαί τι τοῦ θυμοῦ καὶ τῆς πικρίας ἄξιον μέχρι τοῦ παρόντος συνεχωρήθησαν. Καὶ τούτου τὴν αἰτίαν ταῖς σαῖς ὑπὲρ τῶν Ἐκκλησιῶν πρεσβείαις προδήλως ἡμεῖς ἀνατίθεμεν. Ὥστε μὴ ἀποκάμῃς προσευχόμενος ὑπὲρ τῶν Ἐκκλησιῶν, καὶ δυσωπῶν τὸν Θεόν (63). Τοὺς καταξιωθέντας ἐξυπηρετεῖσθαι τῇ ὁσιότητί σου πάμπολλα πρόσειπε.

Eusebio, episcopo Samosatorum.

Si omnes ordine scriberem causas, quibus in hunc usque diem detentus sum, quanquam ad tuam pietatem proficisci omnino cupiebam, historiæ seriem infinitam pertexerem. Morbos quidem alios aliis succedentes, hiemis molestiam, negotiorum continuitatem omitto dicere, cum nota sint, et jam prius indicata præstantiæ tuæ. Nunc autem, quod unicum habebam vitæ solatium, matrem etiam ob mea peccata amisi. Nec me derideas, qui id ætatis lugeam orbitatem, sed ignosce mihi, separationem animæ patienter non ferenti, cui nihil comparandum in reliquis rebus video. Rursus igitur mihi reversi sunt morbi, rursusque in lecto decumbo, exiguis prorsus viribus fluctuans, et tantum non singulis horis necessarium vitæ finem exspectans. Ecclesiæ autem non alio fere modo ac corpus meum affectæ sunt, bona quidem spe nulla affulgente, rebus vero semper in deterius sublabentibus. Interim Neocæsarea et Ancyra visæ sunt habere successores eorum qui obierunt, et huc usque conquiescunt. Sed nec iis, qui nobis insidiantur, ut aliquid iracundia sua et acerbitate dignum facerent, hactenus concessum est; nosque ejus rei causam tuis pro Ecclesiis precibus palam tribuimus. Quare pro Ecclesiis precando et Deum exorando ne delasseris. Iis qui digni fuere, qui tuæ sanctitati ministrent, dic salutem plurimam.

ΕΠΙΣΤΟΛΗ ΛΑ'

EPISTOLA XXXI**.

Fames nondum sedata Basilium detinet, quominus comitetur Hypatium consanguineum suum. Hunc sanare concessum non fuerat his qui donum curationum habebant. Quamobrem eum commendat Eusebio, ut vel fratres religiosissimos accersat, qui ei medeantur, vel ipsum ad illos cum litteris mittat.

Εὐσεβίῳ (64) ἐπισκόπῳ Σαμοσάτων.

Οὔπω ἡμᾶς ὁ λιμὸς ἀνῆκε· διόπερ ἀναγκαία ἡμῖν ἐστιν ἡ ἐπὶ τῆς πόλεως διαγωγή, ἡ οἰκονομίας (65)

Eusebio, episcopo Samosatorum.

Nondum nos fames reliquit; quapropter in civitate remanere necesse habemus, vel dispensatio-

(58) *Ἐπάχθειαν.* Sic antiqui sex codices. Editi ἀπέχθειαν.

(59) *Προδεδηλωμένα.* Hæc indicaverat in epist. 27: nempe præter hiemem et morbum, ipsam etiam famem, quæ plurimum ei dabat negotii in sublevandis pauperibus.

(60) *Ἁμαρτιῶν μου.* Deest illud pronomen in quatuor mss.

(61) *Μόνον οὐκ.* Tres codices μόνον οὐχί.

(62) Vide Addenda.

(63) *Τὸν Θεόν.* Post has voces editi addunt *καί*, quod deest in sex mss.

(64) *Εὐσεβίῳ.* Quamvis codices sex habeant Εὐσεβωνᾷ, duo autem, nempe Vaticanus et alius insignis Ecclesiæ Parisiensis, πρὸς Εὐσεβωνᾶν ἐπίσκοπον, non tamen mutandum duxi quod in editis legebatur. In codice Medicæo, qui est vetustissimus, recentior manus apposuit illud Εὐσεβωνᾷ. Ex aliorum tamen codicum auctoritate conjici non immerito posset, Eusebium Samosatensem Eusebonam apud Syros suos dictum fuisse. At non dubium quin ad illum scripta fuerit hæc epistola; siquidem Basilius, ut in prioribus, excusat famem, cur ad eum non veniat. In pluribus codicibus mss. conjuncta est epistola cum aliis ad Eusebium scriptis: eam autem proxime in omnibus codicibus sequitur epistola 146, quæ inscripta est τῷ αὐτῷ, nempe eidem Eusebonæ, quamvis ad Antiochum Eusebii fratris aut sororis filium scripta sit.

(65) *Οἰκονομίας.* Id est, ut pauperes adjuvem, vel saltem commiserationem illis impendam. Sæpe apud Basilium οἰκονομία dicitur id quod pauperibus distribuitur. Vituperat in Comment. *in Isa.*, p. 418, præsules qui male partam pecuniam accipiunt vel ad suos usus, ἢ ἐπὶ λόγῳ τῆς τῶν πτωχευόντων ἐν τῇ Ἐκκλησίᾳ οἰκονομίας, *vel per causam distribuendi pauperibus Ecclesiæ.* In epistola 92 Orientales inter mala Ecclesiæ illud etiam deplorant, quod ambitiosi præsules οἰκονομίας πτωχῶν, *pecunias pauperibus destinatas* in suos usus convertant

* Alias VII, scripta anno 369.

** Alias CCLXVII, scripta anno 369.

nis causa, vel commiserationis in afflictatos. Unde ne nunc quidem potui comitem me viæ præbere colendissimo fratri Hypatio, quem non tantum honoris **111** causa fratrem appellare possum, sed propter naturalem quæ inter nos intercedit necessitudinem : consanguinei enim sumus. Quali ille morbo laboret, neque tuam præstantiam fugit. Dolemus autem, quod in eo spes omnis abscissa sit levamenti, quandoquidem iis qui sanationis dona habent, nihil in illo eorum quæ solent, operari concessum est. Quocirca rursus precum tuarum auxilium implorat. Tu autem exorari te sine, ut opem solitam non deneges, tum ob tuam erga ægrotantes commiserationem, tum nostra causa, qui pro eo precamur : et si fieri potest, fratres religiosissimos ad temetipsum accersas, ut in tuis ipsius oculis ei medela afferatur; sin hoc fieri nequit, illum cum litteris dimittere et fratribus ultra commorantibus commendare digneris.

A ἕνεκεν, ἢ συμπαθείας τῶν θλιβομένων. Ὅθεν οὐδὲ νῦν ἠδυνήθην κοινωνῆσαι τῆς ὁδοῦ τῷ αἰδεσιμωτάτῳ ἀδελφῷ Ὑπατίῳ (66), ὃν οὐκ αὐτὸ δὴ τοῦτο εὐφημίας ἕνεκεν ἀδελφὸν ἔχω προσαγορεύειν, ἀλλὰ διὰ τὴν προσοῦσαν ἡμῖν ἐκ φύσεως οἰκειότητα· αἵματος γάρ ἐσμεν τοῦ αὐτοῦ. Ὡς ὁποῖα μὲν κάμνει, οὐδὲ τὴν σὴν ἔλαθε τιμιότητα· λυπεῖ δὲ ἡμᾶς, ὅτι πᾶσα παραμυθίας ἐλπὶς ἐπ' αὐτῷ περικέκοπται, τῶν ἐχόντων τὰ τῆς ἰασέως χαρίσματα οὐδὲν ἐπ' αὐτοῦ τῶν συνήθων ἐνεργῆσαι συγχωρηθέντων. Διὸ πάλιν τῶν σῶν προσευχῶν τὴν βοήθειαν ἐπικαλεῖται. Σὺ δὲ τὰ συνήθη προστῆναι, καὶ διὰ τὴν σεαυτοῦ περὶ τοὺς κάμνοντας εὐσπλαγχνίαν, καὶ δι' ἡμᾶς τοὺς ὑπὲρ αὐτοῦ πρεσβεύοντας, παρακλήθητι· καί, εἰ μὲν οἷόν τε, πρὸς ἑαυτὸν μεταστεῖλαι (67) τοὺς εὐλαβεστάτους B τῶν ἀδελφῶν, ὥστε ὑπὸ ταῖς σαῖς ὄψεσι προσαχθῆναι αὐτῷ τὴν ἐπιμέλειαν· εἰ δὲ τοῦτο ἀδύνατον, μετὰ γραμμάτων αὐτὸν προπέμψαι, καὶ συστῆσαι τοῖς ἔμπροσθεν καταξίωσον.

EPISTOLA XXXII*.

ΕΠΙΣΤΟΛΗ ΛΒ'.

Cum Cæsarius moriens sua omnia pauperibus legasset, ejus pater et frater quidquid reliquum fuit de ipsius bonis, quæ expilata fuerant, id statim in pauperibus sublevandis et debitoribus absolvendis insumpserunt ; sed postea sycophantæ multi prodierunt, qui pecuniam a se Cæsarium accepisse dicerent. Unde Gregorium molestissimis negotiis implicatum Basilius Sophronio commendat.

Sophronio magistro.

1. Particeps est temporis et Deo dilectissimus frater noster Gregorius episcopus. Dolet enim cum omnibus et ipse injuriis continuis, velut inexspectatis quibusdam plagis perculsus. Nam homines Deum non timentes, fortasse etiam et magnitudine malorum coacti, calumnias illi inferunt eo nomine, quod Cæsarius pecunias ab ipsis acceperit. Nec damnum molestum est ; dudum enim didicit pecunias contemnere; sed quia cum exiguam omnino partem acceperint illius bonorum, eo quod res ipsius penes servos essent ac homines servis nihilo indole meliores, qui, liberrime pretiosissima quæque partiti, paucissima omnino eis reservarunt ; hæc illi existimantes nulli obnoxia esse creditori, mox in egenos insumpsere, tum ob suam ipsorum propensionem, tum ob defuncti vocem. Fertur enim dixisse moriens : ***Mea omnia volo esse pauperum.*** Itaque ut dati a Cæsario mandati ministri, statim hæc dispensarunt utiliter. Et nunc

Σωφρονίῳ μαγίστρῳ (68).

1. Ἀπολαύει τοῦ καιροῦ καὶ ὁ θεοφιλέστατος ἀδελφὸς ἡμῶν Γρηγόριος ὁ ἐπίσκοπος. Ὀδυνᾶται γὰρ μετὰ πάντων καὶ αὐτὸς ἐπηρείαις ἀλλεπαλλήλοις (69) ὥσπερ τισὶ πληγαῖς ἀπροσδοκήτοις τυπτόμενος. Ἄν- C θρωποι γὰρ μὴ φοβούμενοι τὸν Θεόν, τάχα που καὶ ὑπὸ τοῦ μεγέθους τῶν κακῶν βιαζόμενοι, ἐπηρεάζουσιν αὐτῷ, ὡς χρήματα Καισαρίου παρ' αὐτῶν εἰληφότος, Καὶ οὐ τὸ τῆς ζημίας βαρύ· πάλαι γὰρ ἔμαθε χρημάτων ὑπερορᾷν· ἀλλ' ὅτι, μικρὰ παντελῶς δεξάμενοι τῶν ἐκείνου, διὰ τὸ ἐπὶ οἰκέταις αὐτοῦ γενέσθαι τὸν βίον καὶ ἀνθρώποις οὐδὲν οἰκετῶν αἱρετωτέροις τὸν τρόπον, οἱ κατὰ πολλὴν ἄδειαν τὰ πλείστου ἄξια διανειμάμενοι, ἐλάχιστα παντελῶς ἀπέσωσαν τούτοις· ἃ νομίζοντες (70) μηδενὶ ὑποκεῖσθαι, εὐθὺς ἀνάλωσαν εἰς τοὺς δεομένους, καὶ διὰ τὴν ἑαυτῶν προαίρεσιν, καὶ διὰ τὴν φωνὴν τοῦ κατοιχομένου. Λέγεται γὰρ τοῦτο εἰπεῖν ἀποθνήσκων, ὅτι *Τὰ ἐμὰ πάντα βούλομαι γενέσθαι τῶν πτωχῶν*. Ὡς οὖν διάκονοι τῆς ἐντολῆς τοῦ Καισαρίου (71),

* Alias LXXXIV, scripta anno 369.

convertant. Hinc in Regulis fusioribus, Interrog. 9, et in epistola proxime sequenti οἰκονομεῖν bona pauperibus.

(66) *Ὑπατίῳ*. Sic citati a Combefisio codices et Harl. et alii plures. Editi Ὑπαθίῳ. Paulo post editi διὰ τὴν ὑποῦσαν. Antiquissimi codices Harl., Med., Coisl. et alii nonnulli ut in textu.

(67) *Μεταστεῖλαι*. In hac voce et alia quæ paulo post occurrit, nempe προπέμψαι, non consentiunt codices mss., aliis accentum in penultima, aliis in antepenultima, ut in imperativo par est fieri, habentibus. Sed imperativo uti minus familiare Basilii, cum præsertim Eusebium alloqueretur, quem in parentis loco reverebatur.

(68) *Σωφρονίῳ μαγίστρῳ*. Addunt Regius secundus et Vaticanus διὰ Γρηγόριον ἐπίσκοπον, *Gregorii episcopi causa*. Initio epistolæ habent omnes codi- D ces ὁ ἐπίσκοπος. Habuimus autem septem in hanc epistolam, nempe Harl., Med., Vat., Coisl. utrumque et Regium utrumque. Sic etiam editi præter articulum. Sed etsi magna codicum mss. auctoritas, quantum tamen illis hoc loco tribuendum sit, examinabimus in *Vita Basilii*.

(69) *Ἀλλεπαλλήλοις*. Reg. secundus et Coisl. recentior ἐπαλλήλοις.

(70) *Τούτοις, ἃ νομίζοντες*. His in verbis et sequentibus usque ad ista, καὶ νῦν περιέστηκε, codices omnes mss. habent pluralem numerum. Editi secum pugnant, dum pluralem numerum sequuntur in his vocibus, διανειμάμενοι, διὰ τὴν ἑαυτῶν προαίρεσιν, singularem vero in istis τούτῳ, νομίζων, ἀνάλωσεν, διάκονος, ᾠκονόμησε.

(71) *Τοῦ Καισαρίου*. Quamvis sex codices habeant τοῦ Κυρίου, Harl. τοῦ Χριστοῦ, nolui tamen mutare vulgatam scripturam. Non enim hic agitur

εὐθὺς αὐτὰ ᾠκονόμησαν συμφερόντως. Καὶ νῦν περιέστηκε πενία μὲν (72) Χριστιανοῦ, πολυπραγμοσύνη δὲ τῶν ἀγοραίων ἑνός. Διὸ ἐπῆλθε τῇ πάντα ἐπαινετῇ σου καλοκἀγαθίᾳ δηλῶσαι· ἵνα καὶ τὸν ἄνδρα τιμῶν, ὃν ἐκ παλαιοῦ γνωρίζεις, καὶ τὸν Κύριον δοξάζων τὸν εἰς ἑαυτὸν ἀναδεχόμενον τὰ τοῖς δούλοις αὐτοῦ γινόμενα, καὶ ἡμᾶς τιμῶν τοὺς ἐξαιρέτους σεαυτοῦ, καὶ διαλεχθῇς (73) τῷ κόμητι τῶν θησαυρῶν περὶ αὐτοῦ τὰ εἰκότα, καὶ τρόπον ἐπινοήσῃς, τῇ μεγάλῃ σαυτοῦ συνέσει, ἀπαλλαγῆς τῶν ἐφυβρίστων τούτων καὶ ἀφορήτων ὀχλήσεων.

2. Πάντως δὲ οὐδεὶς οὕτως ἀγνοεῖ τὸν ἄνδρα, ὥστε περὶ αὐτοῦ τι τῶν ἀπρεπῶν ὑπολαβεῖν, ὡς ἄρα, τῶν χρημάτων περιεχόμενος, σχηματίζεται τὰ τοιαῦτα. Ἐγγύθεν γὰρ τῆς ἐλευθεριότητος αὐτοῦ ἡ ἀπόδειξις. Ἡδέως ἐξίσταται τῶν λειψάνων τῆς οὐσίας αὐτοῦ τῷ ταμείῳ· ὥστε ὑποδεχθῆναι μὲν αὐτοῦ τὴν οὐσίαν, τὸν δὲ συνήγορον τοῦ ταμιείου λέγοντα (74) πρὸς τοὺς ἐπερχομένους, καὶ ἀπαιτεῖν τὰς ἀποδείξεις, διὰ τὸ ἡμέτερον πρὸς τὰ τοιαῦτα ἀνεπιτήδειον. Ἔξεστι γὰρ μαθεῖν τῇ τελειότητί σου, ὅτι, ἕως ἐξῆν (75), οὐδεὶς ἀπῆλθεν ἀποτυχὼν ὧν ἐβούλετο, ἀλλὰ τὸ ἐπιζητούμενον ἀπονητὶ ἕκαστος ἐκομίσατο· ὥστε καὶ μεταμέλειν τοῖς πολλοῖς, διότι μὴ πλέον ᾔτησαν ἀπ' ἀρχῆς· ὃ καὶ μάλιστα πολλοὺς ἐποίησε τοὺς ἐπηρεαστάς. Πρὸς γὰρ τὸ τῶν προλαβόντων ὑπόδειγμα ἀφορῶντες, ἄλλος ἄλλον διαδέχεται συκοφαντῶν. Πρὸς οὖν ταῦτα πάντα (76) τὴν σὴν σεμνότητα παρακαλοῦμεν στῆναι, καὶ ὥσπερ τι ῥεῦμα ἐπισχεῖν καὶ διακόψαι τῶν κακῶν τὴν συνέχειαν. Οἶδας δὲ ὅπως βοηθήσεις τῷ πράγματι, ὥστε μὴ ἀναμένειν παρ' ἡμῶν διδαχθῆναι τὸν τρόπον· οἳ δι' ἀπειρίαν (77) τῶν τοῦ βίου πραγμάτων καὶ αὐτὸ τοῦτο ἀγνοοῦμεν, πῶς ἂν γένοιτο ἡμῖν τῆς ἀπαλλαγῆς τυχεῖν. Καὶ σύμβουλος οὖν καὶ προστάτης αὐτὸς γενοῦ, τὸ εἶδος τῆς βοηθείας διὰ τῆς μεγάλης σεαυτοῦ φρονήσεως ἐξευρών (78).

A circumstat Christiani quidem paupertas, unius autem ex forensibus hominibus negotiorum moles. Quapropter in animum subiit hæc omnia tuæ omnino laudabili probitati indicare, ut et virum honorans, qui tibi jampridem notus est, et Dominum glorificans, qui in se suscipit quæ servis suis fiunt, et honorem nobis habens, qui eximio quodam modo tui sumus, cum ea quæ convenient, de hoc viro dicas Comiti thesaurorum, tum modum excogites summa **112** tua prudentia, quo ab istis contumeliosis et intolerandis molestiis liberetur.

2. Omnino autem nemo virum ita ignorat, ut aliquid de eo suspicetur indecori, quasi pecuniarum amore hæc fingat. Est enim in promptu liberalis illius animi demonstratio. Quod enim reliquum B est de Cæsarii bonis, id libenter cedit ærario, ut opes ipsius illic custodiantur, patronus vero ærarii respondeat iis qui adoriuntur, et probationes requirat, quia nos ejusmodi rebus idonei non sumus. Discere enim potest perfectio tua, neminem, quamdiu licuit, discessisse non compotem eorum quæ volebat, sed nullo quemque negotio consecutum esse quod petebat, ita ut multos etiam pœniteret, quod non plus ab initio petiissent, ex quo etiam maxime plures facti sunt calumniatores. Dum enim ad priorum exemplum respiciunt, alium alius excipit sycophanta. Adhortamur igitur gravitatem tuam, ut his omnibus obsistat, cohibeatque, velut fluentum quoddam, ac intercidat malorum continuitatem. Nosti autem quomodo sis huic rei reme- C dium allaturus, ita ut minime exspectes dum te modum edoceamus : qui cum simus hujus vitæ negotiorum inexperti, hoc ipsum ignoramus, quomodo his liberari possimus. Itaque sis ipse et consiliarius et patronus, auxilii genus summa tua prudentia excogitans.

ΕΠΙΣΤΟΛΗ ΛΓ'. — EPISTOLA XXXIII*.

Idem Gregorii negotium Aburgio commendat.

Ἀβουργίῳ (79). — *Aburgio.*

Καὶ τίς οὕτω παλαιὰν ἑταιρείαν οἶδε τιμᾷν, καὶ ἀρετὴν αἰδεῖσθαι, καὶ κάμνουσι συναλγεῖν, ὡς αὐτὸς

Et quis ita veterem amicitiam novit honorare et virtutem revereri, et cum afflictis dolere, ut tu ipse?

de lege et præcepto Domini, sed de extremo Cæsarii mandato. Duas causas affert Basilius, cur bona Cæsarii statim distribuerint : prima est eorum propensio sive studium implendi de eleemosyna præcepti : altera, Cæsarii morientis voluntas extrema, cui non parere nefas duxerunt. Nemo autem non videt, quam proclive fuerit librariis in his vocibus Κυρίου et Καισαρίου labi et errare.

(72) *Πενία μέν.* Medicæus codex ἐν πενίᾳ μέν. *Et nunc circumstat in Christiani paupertate*, etc.

(73) *Καὶ διαλεχθῇς.* Sic codicum ope emendavimus totum hunc locum, qui sic in editis legebatur : καὶ διαλεχθείς... καὶ τρόπον ἐπινοήσας τῆς μεγάλης αὐτοῦ συνέσεως.

(74) *Λέγοντα.* Ita codices sex mss., editio Hagan. et prima Basileensis. Aliæ λέγειν τε.

(75) *Ἕως ἐξῆν.* Sic iidem sex codices, editio Hagan. et prima Basil. Corrupte in secunda Basil. ἕως ἔζην. Sed multo mendosius editiones Parisienses ἕως ἔζη Καισάριος, *quamdiu vixit Cæsarius*. Re- D pugnat hæc scriptura sententiæ Basilii. Non enim hic agitur de iis qui a Cæsario acceperant, (quomodo enim Cæsarii liberalitas plurimos eo mortuo ad petendum excitasset?) sed potius de iis a quibus Cæsarius mutuo accepisse dicebatur; quos cum Gregorius absolvisset, quamdiu superfuit unde id faceret, illius simplicitas ansam sycophantis ad injuriam dedit.

(76) *Πάντα.* Hanc vocem addidi ex sex mss. Ibidem duo codices antiquissimi Coisl. et Med. τὴν σὴν σεμνοπρέπειαν.

(77) *Δι' ἀπειρίαν.* Ita tres vetustissimi codices cum aliis duobus. Editi δι' ἀπορίαν.

(78) *Ἐξευρών.* Sic Med., Coisl. primus et Harl. Editi ἐξευρίσκων.

(79) *Ἀβουργίῳ.* Ita tres vetustissimi codices cum duobus Regiis, Coisl. secundo et Bigot. Solus Vaticanus cum editis Ἀβουρτίῳ, qui tamen codex ad epist. 193 habet Ἀβουργίῳ.

* Alias CCCLVIII, scripta anno 369.

Cum igitur Deo dilectissimum fratrem nostrum Gregorium episcopum negotia apprehenderint, neque alias tolerabilia, ac maxime moribus ipsius contraria; visum est nobis optimum esse ad tuum confugere patrocinium, et a te aliquam molestiarum solutionem reperire conari. Ærumna enim intolerabilis est, negotia eum cogi tractare, qui ab his et natura et voluntate alienus est; et pecunias a paupere reposci, et in medium protrahi, ac forensem fieri, qui jampridem vitam quietam ducere statuit. Sive igitur Comitem thesaurorum alloqui utile judicaveris, sive quosvis alios, id tuæ sit prudentiæ.

σύ; Ἐπεὶ οὖν τὸν θεοφιλέστατον ἀδελφὸν ἡμῶν Γρηγόριον τὸν ἐπίσκοπον (80) κατέλαβε πράγματα, οὔτε ἄλλως φορητὰ, καὶ μάλιστα τῷ ἤθει αὐτοῦ ὑπεναντία, ἔδοξεν ἡμῖν κράτιστον εἶναι ἐπὶ τὴν σὴν καταφυγεῖν προστασίαν, καὶ παρὰ σοῦ τινα πειραθῆναι (81) εὑρέσθαι λύσιν τῶν λυπηρῶν. Συμφορὰ γάρ ἐστιν ἀφόρητος πραγματα ἀναγκάζεσθαι λέγειν (82) τὸν μὴ πεφυκότα, μηδὲ βουλόμενον· καὶ χρήματα ἀπαιτεῖσθαι τὸν πένητα, καὶ ἕλκεσθαι εἰς τὸ μέσον, καὶ δημοκοπεῖσθαι (83) τὸν πάλαι δι' ἡσυχίας τὸν βίον παρελθεῖν κρίναντα. Εἴτε οὖν τῷ κόμητι τῶν θησαυρῶν διαλεχθῆναι χρήσιμον εἶναι κρίνεις, εἴτε τισὶν ἑτέροις, τῆς σῆς ἂν εἴη συνέσεως.

113 EPISTOLA XXXIV*.

ΕΠΙΣΤΟΛΗ ΛΔ'.

Luget Basilius ecclesiam Tarsensem ab hæreticis, dum episcopi cunctantur, occupatam; sed dolorem lenit Eusebii recordatione, a quo nihil prætermissum ad ecclesiæ utilitatem. Deum precatur, ut eum ecclesiis conservet, sibique rursus cum illo congredi concedat.

Eusebio, episcopo Samosatorum.

Quomodo sileam in hoc rerum statu? aut id a me impetrare non valens, quomodo dignam his quæ eveniunt aliquam orationem reperiam, ut vox nostra non suspirio similis sit, sed lamentationi gravitatem mali abunde significanti? Perit nobis et Tarsus. Neque id solum molestum est, etsi intolerabile: nam illud molestius, civitatem tantam ac tam opportune sitam, ut Isauros, Cilices, Cappadoces, ac Syros per seipsam conjungat, unius aut duorum hominum temeritate, in perniciem nullo negotio conjectam fuisse, dum vos cunctamini, deliberatisque, et vos mutuo respicitis. Optimum igitur fuerit, secundum solertiam medicorum (omnino autem magna mihi copia, ob morbum mecum habitantem, ejusmodi exemplorum), qui cum doloris magnitudo modum excessit, stuporem in laboribus ægrotanti conciliant, ita quoque nostris ipsorum animis, ne intolerandis doloribus corripiantur, stuporem in malis precari. Sed tamen quamvis

Εὐσεβίῳ (84) ἐπισκόπῳ Σαμοσάτων.

Πῶς ἂν σιωπήσαιμεν ἐπὶ τοῖς παροῦσιν; ἢ τοῦτο (85) καρτερεῖν μὴ δυνάμενοι, ἄξιόν τινα λόγον τῶν γινομένων εὕροιμεν, ὥστε μὴ στεναγμῷ προσεοικέναι τὴν φωνὴν ἡμῶν, ἀλλὰ θρήνῳ τοῦ κακοῦ τὸ βάρος ἀρκούντως διασημαίνοντι; Οἴχεται ἡμῖν καὶ ἡ Ταρσός. Καὶ οὐ τοῦτο μόνον δεινὸν, καίπερ ἀφόρητον ὄν· ἔστι γὰρ τούτου χαλεπώτερον, πόλιν τοσαύτην οὕτως ἔχουσαν εὐκαιρίας (86), ὥστε Ἰσαύρους, καὶ Κίλικας, Καππαδόκας τε καὶ Σύρους δι' ἑαυτῆς συνάπτειν, ἑνὸς ἢ δυοῖν ἀπονοίας ἀνθρώπων ὀλέθρου γενέσθαι πάρεργον, μελλόντων ὑμῶν (87), καὶ βουλευομένων, καὶ πρὸς ἀλλήλους ἀποσκοπούντων. Κράτιστον οὖν, κατὰ τὴν τῶν ἰατρῶν ἐπίνοιαν (πάντως δέ μοι πολλὴ ἀφθονία, διὰ τὴν σύνοικον ἀῤῥωστίαν, τῶν τοιούτων παραδειγμάτων), οἳ, ἐπειδὰν τὸ τῆς ὀδύνης μέγεθος ὑπερβάλῃ, ἀναισθησίαν τῶν πόνων ἐπιτεχνῶνται τῷ κάμνοντι, καὶ ταῖς ἡμετέραις αὐτῶν ψυχαῖς, ὡς μὴ ταῖς ἀφορήτοις ὀδύναις συνέχεσθαι, ἀναλγησίαν τῶν κακῶν συνεύξασθαι.

* Alias V, scripta anno 369.

(80) *Τὸν ἐπίσκοπον*. Has voces e margine in contextum irrepsisse probavimus in *Vita S. Basilii*.

(81) *Πειραθῆναι*. Hanc vocem addidimus ex duobus vetustissimis codicibus Harl. et Med., ac prorsus necessaria videtur ad sententiæ nitorem. Ibidem editi λύσιν τῶν συμφορῶν. Tres vetustissimi codices ut in textu.

(82) *Πράγματα... λέγειν*. Prima specie videtur aptior vulgata scriptura πράγματα... ἔχειν, *negotia habere*. Sed ea quam in textum recepimus, nititur auctoritate trium vetustissimorum codicum et aliorum nonnullorum, et explicari potest ex epist. præcedente, ubi rogat Basilius ut advocatus ærarii respondeat iis qui adoriuntur, λέγοντα πρὸς τούς, etc. In Regula brev. 107 vetat Basilius eum qui monasterium ingressus est, res externas λογοποιεῖν, id est, *tractare*. Infra in epist. 41: τὸ λέγειν πρὸς Θεόν, *causam apud Deum dicere*.

(83) *Δημοκοπεῖσθαι*. Idem sonat ea vox ac in epistola præcedente τῶν ἀγοραίων ἑνός.

(84) *Εὐσεβίῳ*. Sic habet cod. Harl.: Εὐσεβίῳ ἐπισκόπῳ πρεσβύτερος ὤν. *Eusebio episcopo cum esset presbyter*. Sic etiam cod. Vat., Reg. secundus ac Coisl. secundus, excepto quod in Vat. legatur Εὐσεβίῳ Σαμοσάτου, non addito episcopi titulo, in Reg. autem et Coisl. post episcopi titulum addatur Σαμοσάτων. Tres illi codices addunt διὰ τὴν Ταρσὸν ἐπιβουλευομένην, *Ob Tarsum insidiis petitam*. Hanc epistolam a Basilio presbytero scriptam fuisse confirmat duorum aliorum codicum corrupta lectio. Nam in Medicæo legitur Εὐσεβίῳ ἐπισκόπῳ πρεσβυτέρῳ, et in Coisl. primo Εὐσεβίῳ ἐπισκόπῳ πρεσβῶν.

(85) *Ἢ τοῦτο*. Sic Medicæus codex, Reg. primus et Coisl. secundus. Legitur in Coisl. primo, Harl., Vat. et Reg. secundo ἢ τό. Editio Hagan. et Basil. prima καὶ τοῦτο, aliæ καὶ πῶς καρτερεῖν.

(86) *Εὐκαιρίας*. Hæc lectio, quæ prima manu in codice Harlæano scripta fuerat, ita ad Basilii sensum videtur apposita, ut eam alteri præferre non dubitem, quæ postea in eumdem codicem inducta est, quæque in aliis exstat et in editis, ubi legitur εὐκληρίας, *felicitatis*.

(87) *Ὑμῶν*. Editi ἡμῶν. Sed prior lectio et sex codicum mss. auctoritate nititur, et Basilii conditioni, qui nondum episcopus erat, melius congruit. Non multo post tres codices non vetustissimi ἀναισθησίαν τῇ ἐπινοίᾳ ἐπιτεχνῶνται. Ibidem Harl. et Coisl. secundus ὑπερβάλλῃ.

Οὐ μὴν ἀλλὰ, καίπερ οὕτως (88) ἀθλίως ἔχοντες, μιᾷ παραμυθίᾳ κεχρήμεθα, πρὸς τὴν σὴν ἀπιδεῖν ἡμερότητα, καὶ ἐκ τῆς σῆς ἐννοίας καὶ μνήμης πραῦναι τῆς ψυχῆς τὸ λυπούμενον. Ὥσπερ γὰρ τοῖς ὀφθαλμοῖς, ἐπειδάν ποτε συντόνως τὰ λαμπρὰ καταβλέψωσι, φέρει τινὰ ῥᾳστώνην πρὸς τὰ κυανὰ καὶ χλοάζοντα τῶν χρωμάτων ἐπανελθεῖν· οὕτω καὶ ταῖς ἡμετέραις ψυχαῖς, οἷον (89) πραεῖά τις ἐπαφὴ τὸ ἀλυπηρὸν ἐξαιροῦσα, ἡ μνήμη τῆς σῆς πραότητος καὶ ἐμμελείας ἐστί· καὶ μάλιστα ὅταν ἐνθυμηθῶμεν, ὅτι τὸ κατὰ σεαυτὸν ἅπαν ἐπλήρωσας. Ἐξ ὧν ἱκανῶς καὶ ἡμῖν τοῖς ἀνθρώποις, ἐὰν εὐγνωμόνως (90) τὰ πράγματα κρίνωμεν, ὡς οὐδὲν ἐκ τῆς σῆς αἰτίας ἀπώλετο ἐνεδείξω· καὶ παρὰ Θεῷ τῆς τῶν καλῶν προθυμίας μέγαν σεαυτῷ τὸν μισθὸν κατεκτήσω. Χαρίσαιτο δέ σε ἡμῖν καὶ ταῖς ἑαυτοῦ ἐκκλησίαις ὁ Κύριος, ἐπ' ὠφελείᾳ τοῦ βίου καὶ διορθώσει τῶν ψυχῶν ἡμῶν, καὶ καταξιώσειε πάλιν τῆς ἐπωφελοῦς συντυχίας σου.

A sic misere afflicti simus, una utimur consolatione, ut respiciamus ad tuam mansuetudinem, ac tui cogitatione et recordatione dolorem animi mitigemus. Quemadmodum enim oculis, posteaquam intente res splendidas conspexere, recreationis aliquid affert ad cæruleos ac virides colores redire; ita quoque animis nostris veluti blanda quædam contrectatio dolorem abigens, recordatio tuæ lenitatis ac diligentiæ est; et maxime cum omnia a te pro virili facta esse consideremus. Ex quibus et abunde nobis hominibus, si de rebus æquo animo judicemus, nihil culpa tua periisse ostendisti; et apud Deum tui bonarum rerum studii magnam tibi mercedem comparasti. Utinam autem concedat te nobis et suis ecclesiis Dominus ad utilitatem vitæ B hominum et emendationem animarum nostrarum, nobisque iterum dignetur tuum perutilem congressum concedere.

ΕΠΙΣΤΟΛΗ ΛΕ'.

EPISTOLA XXXV*.

Commendat Leontium Basilius tanquam alterum seipsum.

Ἀνεπίγραφος, ὑπὲρ Λεοντίου.

Περὶ πολλῶν μὲν, ὡς διαφερόντων μοι, ἐπέστειλά σοι, περὶ πλειόνων δὲ καὶ ἐπιστελῶ. Οὔτε γὰρ τοὺς δεομένους ἐπιλιπεῖν δυνατὸν, οὔτε ἡμᾶς ἀρνεῖσθαι τὴν χάριν οἷόν τε. Οὐ μὴν ἐστί τις οἰκειότερός μοι, οὔτε μᾶλλον ἀναπαῦσαί με ἐφ' οἷς ἂν εὖ τι πάθοι (91) δυνάμενος, τοῦ αἰδεσιμωτάτου ἀδελφοῦ Λεοντίου· οὗ τὴν οἰκίαν οὕτω διάθες, ὡς ἂν εἰ αὐτὸν ἐμὲ καταλάβοις, μὴ ἐν τῇ πενίᾳ ταύτῃ, ἐν ᾗ νῦν εἰμι σὺν Θεῷ, ἀλλ' εὐπορίας τινὸς ἐπειλημμένον, καὶ ἀγροὺς κεκτημένον. Δῆλον γὰρ, ὅτι οὐκ ἂν ἐποίησάς με πένητα, ἀλλ' ἐφύλαξας ἂν τὰ παρόντα, ἢ ἐπέτεινας τὴν εὐπορίαν. Τοῦτο οὖν ποιῆσαί σε καὶ ἐν τῇ προειρημένῃ μοι οἰκίᾳ τοῦ ἀνδρὸς παρακαλοῦμεν. Μισθὸς δέ σοι ὑπὲρ πάντων ὁ συνήθης παρ' ἐμοῦ, εὐχὴ πρὸς τὸν ἅγιον Θεὸν ὑπὲρ ὧν κάμνεις, καλός τε καὶ ἀγαθὸς ὤν, καὶ προλαμβάνων τὰς αἰτήσεις τῶν δεομένων.

Sine inscriptione, de Leontio.

De multis quidem, ut ad me pertinentibus tibi scripsi: sed et de pluribus scribam. Nam nec fieri potest ut indigentes desint; nec mihi beneficia denegare integrum. **114** Non est tamen quisquam mihi conjunctior, et qui me, si quid ei prospere eveniat, magis consolari possit, quam colendissimus frater Leontius: cujus domum ita suscipe, C quasi memetipsum nactus fuisses non in ea paupertate, in qua nunc divino beneficio versor, sed opulentiam quamdam consecutum, et prædia possidentem. Nam palam est fore, ut pauperem me non faceres, sed servares præsentia, aut copiam augeres. Hoc itaque facias etiam prædictæ viri domui rogamus. Erit autem tibi a me pro his omnibus consueta merces, preces ad Deum sanctum pro laboribus, quos suscipis bonum te et probum præbens, ac petitiones indigentium antevertens.

ΕΠΙΣΤΟΛΗ ΛϚ'.

EPISTOLA XXXVI**.

Rogat Basilius, ut presbytero qui cum ipso educatus fuerat eique ad victum labore suo ministrabat, nova peræquatio non noceat.

Ἀνεπίγραφος, ἐπὶ ἐπικουρίᾳ (92). D

Ὁ πρεσβύτερος τοῦ χωρίου τοῦδε, οἶμαι, ὅτι πάλαι ἔγνωσται τῇ εὐγενείᾳ σου, ὅτι ἐστὶν ἐμοὶ σύντροφος. Τί οὖν ἄλλο δεῖ με εἰπεῖν πρὸς τὸ δυσωπῆσαί σου τὴν χρηστότητα, οἰκείως αὐτὸν ἰδεῖν καὶ βοηθῆσαι αὐτῷ εἰς τὰ πράγματα; Εἰ μὲν γὰρ ἐμὲ ἀγαπᾷς, ὥσπερ οὖν ἀγαπᾷς, δηλονότι καὶ οὓς ἀντ'

Sine inscriptione, auxilii causa.

Novisse jamdudum nobilitatem tuam arbitror, loci illius presbyterum una mecum fuisse educatum. Quid igitur aliud dicendum mihi est, quo benignitatem tuam exorem, ut videas illum amice, atque ei ad negotia opem feras? Si enim me amas, ut profecto amas; non dubium quin et quos eodem

(88) *Καίπερ οὕτως.* Sic mss. sex. Editi καίπερ ὄντως.

(89) *Οἷον.* Sic etiam mss. sex. Editi οἷα.

(90) *Ἐὰν εὐγνωμόνως.* Sic mss. sex. Editi κἂν εὐγνωμόνως.

(91) *Ἐφ' οἷς ἂν εὖ τι πάθοι.* Corrupte in editis ἐφ' οἷς ἂν μὴ εὖ τι πάθοιμι. Vulnus sanavimus ope codicum Reg. secundi et Coisliniani secundi. Deest etiam negatio ante εὖ τι in antiquissimo Coisl. et Med., sed uterque habet, ut editi, πάθοιμι.

(92) *Ἐπικουρίᾳ.* Editi ἐπικουρίας contra omnium codicum fidem.

* Alias CCXXXVI, scripta ante episcopatum.

** Alias CCXXVIII, scripta ante episcopatum.

loco ac meipsum habeo, totis viribus recreare coneris. Quid igitur est quod rogo? Ut ei descriptio antiqua servetur. Enimvero non parum laborat, mihi ad victum ministrans, eo quod ego, ut ipse scis, nihil proprium habeam, sed amicorum et propinquorum rebus sustenter. Itaque perinde ut meam, imo ut tuam habe hujus fratris domum, et pro collato in eum beneficio præbebit Deus et tibi, et domui, et toti tuo generi opem consuetam. Scias autem mihi prorsus curæ esse, ut ex peræquatione nulla huic viro injuria inferatur.

A ἐμαυτοῦ (93) ἔχω, ἀναπαῦσαι πάσῃ δυνάμει προαιρῇ. Τί οὖν ἐστιν ὃ παρακαλῶ; Φυλαχθῆναι αὐτῷ τὴν παλαιὰν ἀπογραφήν. Καὶ γὰρ καὶ κάμνει οὐ μετρίως ἡμῖν ὑπηρετῶν πρὸς τὸν βίον, διὰ τὸ ἡμᾶς, ὡς αὐτὸς ἐπίστασαι, μηδὲν κεκτῆσθαι ἴδιον, ἀλλὰ τοῖς τῶν φίλων καὶ συγγενῶν ἀρκεῖσθαι (94). Ὡς οὖν ἐμὸν οἶκον, μᾶλλον δὲ ὡς ἑαυτοῦ, οὕτω θέασαι τὸν τοῦ ἀδελφοῦ τοῦδε· καὶ ἀντὶ τῆς εἰς αὐτὸν εὐποιίας παρέξει Θεὸς καὶ σοὶ, καὶ οἴκῳ, καὶ γένει παντί σου τὴν συνήθη βοήθειαν (95). Γίνωσκε δέ μοι πάνυ ἐπιμελὲς εἶναι, μηδὲν ἐκ τῆς ἐξισώσεως ἐπηρεασθῆναι τὸν ἄνθρωπον.

EPISTOLA XXXVII*.

ΕΠΙΣΤΟΛΗ ΛΖʹ.

Commendatur idem presbyter, eademque de causa.

Sine inscriptione, causa illius qui secum fuerat enutritus.

B *Ἀνεπίγραφος, ὑπὲρ συντρόφου.*

Suspectam jam habeo epistolarum multitudinem. Ac vehementer quidem, nec petentium importunitatem ferens, clamare cogor. Sed tamen scribo, cum aliam mei expediendi viam invenire non possim, quam si dem illis litteras flagitantibus subinde a nobis. Vereor itaque ne, quia multi litteras perferunt, unus e multis existimetur et frater ille. Ego enim multos mihi in patria amicos ac cognatos esse fateor, meque parentis loco constitutum esse propter dignitatem illam, in qua sum a Domino collocatus. Hunc autem collactaneum habeo nutricis meæ unum filium, et precor, ut domus, in qua fui enutritus, in eodem statu permaneat; ne benefica in omnes **115** dignitatis tuæ præsentia, huic viro causa sit et origo molestiæ. Sed quia etiamnum ex eadem domo alor, nihil habens meorum, sed charorum sustentatus facultatibus; precor ut huic domo, in qua nutritus sum, ita parcas, ut mihi alimenti copiam conservaturus. Pro his te Deus æterna requie remuneret. Atque illud etiam, quod omnium verissimum est, dignitati tuæ notum esse volo, servitiorum partem maximam illum a nobis habuisse, hanc mercedem alimentorum meorum parentibus meis suppeditantibus. Merces autem illa non est omnino donum, sed usus per vitam. Quare si quid grave illis acciderit, licet ei illa ad me remittere, et ego via alia tributis ac exactoribus ero obnoxius.

Ὑφορῶμαι λοιπὸν τῶν ἐπιστολῶν τὸ πλῆθος. Βιαίως μὲν, καὶ μὴ φέρων τὴν ἐπάχθειαν τῶν ἀπαιτούντων ἡμᾶς, ἐκφωνεῖν ἀναγκάζομαι. Γράφω δ' οὖν ὅμως, ἄλλον ἀπαλλαγῆς τρόπον ἐπινοεῖν οὐκ ἔχων ἢ διδοὺς αὐτοῖς τὰς ἐπιστολὰς αἰτοῦσιν ἑκάστοτε παρ' ἡμῶν. Φοβοῦμαι τοίνυν μὴ, ἐπειδὴ πολλοὶ προσκομίζουσι γράμματα, εἷς τῶν πολλῶν νομισθῇ καὶ ὁ ἀδελφὸς ὁ δεῖνα. Ἐγὼ γὰρ πολλοὺς φίλους καὶ συγγενεῖς ἔχειν ἐπὶ τῆς πατρίδος ὁμολογῶ, καὶ αὐτὸς εἰς τὴν πατρικὴν τάξιν τετάχθαι, διὰ τὸ σχῆμα τοῦτο εἰς ὃ ἔταξεν ἡμᾶς ὁ Κύριος. Σύντροφον δὲ τῆς θρεψαμένης με υἱὸν τοῦτον ἔχω ἕνα (96), καὶ εὔχομαι τὸν οἶκον, ἐν ᾧ ἀνετράφην, C ἐπὶ τῆς ὁμοίας καταστάσεως διαμεῖναι, ἵνα μή τι ἡ πάντας εὐεργετοῦσα ἐπιδημία τῆς σῆς κοσμιότητος ἀφορμὴ πρὸς λύπην τῷ ἀνδρὶ γένηται. Ἀλλ' ἐπειδὴ ἔτι καὶ νῦν ἐκ τοῦ αὐτοῦ διατρέφομαι οἴκου, οὐδὲν ἔχων τῶν ἐμαυτοῦ, ἀρκούμενος δὲ τοῖς τῶν ἀγαπητῶν, παρακαλῶ οὕτω φείσασθαι τῆς οἰκίας, ᾗ ἐνετράφην, ὡς ἐμοὶ τῆς τροφῆς τὴν χορηγίαν διασώζοντα (97). Καί σε ὁ Θεὸς ἀντὶ τούτων τῆς αἰωνίου ἀναπαύσεως ἀξιώσειεν. Ἐκεῖνό γε μὴν πάντων ἀληθέστατον γινώσκειν σου τὴν κοσμιότητα βούλομαι, ὅτι τῶν ἀνδραπόδων τὰ πλεῖστα παρ' ἡμῶν ὑπῆρξεν αὐτῷ μισθὸς τῆς τροφῆς ἡμῶν, τῶν γονέων ἡμῶν παρασχομένων. Ὁ δὲ μισθὸς οὐ παντελὴς ἐστι δωD ρεὰ, ἀλλὰ χρῆσις διὰ βίου. Ὥστε, ἐάν τι βαρὺ περὶ αὐτὰ γένηται, ἔξεστιν αὐτῷ (98) πρὸς ἡμᾶς ἀποπέμψαι, καὶ ἐσόμεθα ἡμεῖς δι' ἑτέρας ὁδοῦ ὑπεύθυνοι τελέσμασι καὶ ἀπαιτηταῖς πάλιν γινόμενοι.

* Alias CCXLVIII, scripta ante episcopatum.

(93) *Ἐμαυτοῦ*. Sic mss. Editi ἐμοῦ. Paulo post quinque mss. φυλαχθῆναι αὐτῷ. Deest postrema vox in editis.

(94) *Ἀρκεῖσθαι*. Ita codices sex. Editi χρῆσθαι. Paulo post editi ὡς σεαυτοῦ. Mss. ut in textu.

(95) *Τὴν συνήθη βοήθειαν*. Potior videtur hæc scriptura codicum Clarom. et Combefis. quam quod habent alii codices τὴν βοήθειαν.

(96) *Ἔχω ἕνα*. Male in editis ἔχω, ἵνα, quod ex sex mss. emendavimus. Mox iidem editi ἀνετράφη, melius in quatuor mss. ἀνετράφην. Sic enim habent paulo post omnes editi et mss.

(97) *Διασώζοντα*. Sic Med., Coisl. secundus, unus ex Regiis et Clarom. in margine. Idem codex in textu διασωζόντων. Codex Ecclesiæ Paris. διασωζούσης secunda manu; at prima manu habet cum editis διασώζουσαν.

(98) *Αὐτῷ*. Sic quinque mss. Editi αὐτά.

ΕΠΙΣΤΟΛΗ ΛΗ'.

EPISTOLA XXXVIII*.

Cum metueret Basilius, ne Gregorius frater, ut multi alii, essentiam ab hypostasi non satis secerneret, exponit ei quid intersit inter utrumque: ac tres hypostases, unam essentiam in Trinitate defendit, idque illustrat exemplo ex Iride petito. Explicat quo sensu Paulus splendorem gloriæ et figuram hypostasis dixerit.

Γρηγορίῳ (99) ἀδελφῷ περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως.

1. Ἐπειδὴ πολλοὶ τὸ κοινὸν τῆς οὐσίας (1) ἐπὶ τῶν μυστικῶν δογμάτων μὴ διακρίνοντες ἀπὸ τοῦ τῶν ὑποστάσεων λόγου, ταῖς αὐταῖς συνεμπίπτουσιν ὑπονοίαις, καὶ οἴονται διαφέρειν μηδὲν οὐσίαν ἢ ὑπόστασιν λέγειν (ὅθεν καὶ ἤρεσέ τισι τῶν ἀνεξετάστως τὰ τοιαῦτα προσδεχομένων, ὥσπερ μίαν οὐσίαν, οὕτω (2) καὶ μίαν ὑπόστασιν λέγειν· καὶ τὸ ἔμπαλιν, οἱ τὰς τρεῖς ὑποστάσεις παραδεχόμενοι καὶ τὴν τῶν οὐσιῶν διαίρεσιν, κατὰ τὸν ἴσον ἀριθμὸν, ἐκ τῆς ὁμολογίας ταύτης δογματίζειν οἴονται δεῖν)· διὰ τοῦτο, ὡς ἂν μὴ καὶ σὺ τὰ ὅμοια πάθοις (3), ὑπόμνημά σοι διὰ βραχέων τὸν περὶ τούτου λόγον ἐποιησάμην. Ἔστι τοίνυν, ὡς ἐν ὀλίγῳ παραστῆσαι, τοιαύτη τῶν λεγομένων ἡ ἔννοια.

B

2. Πάντων τῶν ὀνομάτων τὰ μὲν ἐπὶ πλειόνων καὶ τῷ ἀριθμῷ διαφερόντων λεγόμενα πραγμάτων (4) καθολικωτέραν τινὰ τὴν σημασίαν ἔχει, οἷον *ἄνθρωπος*. Ὁ γὰρ τοῦτο εἰπὼν, τὴν κοινὴν φύσιν διὰ τοῦ ὀνόματος δείξας, οὐ περιέγραψε τῇ φωνῇ τὸν τινὰ ἄνθρωπον, τὸν ἰδίως ὑπὸ τοῦ ὀνόματος γνωριζόμενον. Οὐ γὰρ μᾶλλον Πέτρος ἄνθρωπός ἐστιν, ἢ καὶ Ἀνδρέας, καὶ Ἰωάννης, καὶ Ἰάκωβος. Ἡ οὖν κοινότης τοῦ σημαινομένου, ὁμοίως ἐπὶ πάντας τοὺς ὑπὸ τὸ αὐτὸ (5) ὄνομα τεταγμένους χωροῦσα, χρείαν ἔχει τῆς ὑποδιαστολῆς, δι' ἧς οὐ τὸν καθόλου ἄνθρωπον, ἀλλὰ τὸν Πέτρον ἢ τὸν Ἰωάννην ἐπιγνωσόμεθα. Τὰ δὲ τῶν ὀνομάτων ἰδικωτέραν ἔχει τὴν ἔνδειξιν, δι' ἧς οὐχ ἡ κοινότης τῆς φύσεως ἐνθεωρεῖται τῷ σημαινομένῳ, ἀλλὰ πράγματός τινος περιγραφὴ, μηδεμίαν ἔχουσα πρὸς τὸ ὁμογενὲς, κατὰ τὸ ἰδιάζον, τὴν κοινωνίαν, οἷον ὁ Παῦλος, ἢ ὁ Τιμόθεος. Οὐκέτι γὰρ ἡ τοιαύτη φωνὴ ἐπὶ τὸ κοινὸν τῆς φύσεως φέρεται, ἀλλὰ χωρίσασα (6) τῆς περιληπτικῆς σημασίας, περιγεγραμμένων τινῶν πραγμάτων ἔμφασιν διὰ τῶν ὀνομάτων παρίστησιν. Ὅταν οὖν δύο ἢ καὶ πλειόνων κατὰ τὸ αὐτὸ ὄντων, οἷον Παύλου καὶ Σιλουανοῦ καὶ Τιμοθέου, περὶ τῆς οὐσίας τῶν ἀνθρώπων ζητῆται λόγος· οὐκ ἄλλον τις ἀποδώσει τῆς οὐσίας ἐπὶ τοῦ Παύλου λόγον, ἕτερον δὲ ἐπὶ τοῦ Σιλουανοῦ, καὶ ἄλλον ἐπὶ τοῦ Τιμοθέου· ἀλλὰ δι' ὧν ἂν λόγων ἡ οὐσία (7) τοῦ

C

A *Gregorio fratri de discrimine essentiæ et hypostasis.*

1. Quoniam multi essentiam, quæ communis est, in mysticis dogmatibus non secernentes ab hypostaseωn ratione, in easdem recidunt notiones, nihilque existimant interesse, utrum essentia an hypostasis dicatur (unde etiam placuit nonnullis sine examine res ejusmodi admittentibus, ut unam essentiam, ita et hypostasim unam dicere: et vice versa, qui hypostases tres profitentur, etiam essentiarum divisionem secundum eumdem numerum ex hac confessione statuendam esse putant): propterea ne tu quoque similia patiaris, brevem ea de re sermonem tibi commentarii loco confeci. Harum igitur vocum, ut paucis rem declarem, notio hæc est.

2. Ex omnibus nominibus alia, de rebus pluribus et numero differentibus dicta, notionem quamdam magis generalem habent, velut *homo*. Qui enim hoc dixit, communi natura per id nomen indicata, non circumscripsit hac voce certum quemdam hominem, proprie isto nomine designatum. Non enim magis Petrus homo est quam et Andreas, et Joannes, et Jacobus. Itaque communitas rei significatæ similiter omnes, qui sub eodem nomine recensentur, comprehendens, subdivisionem postulat, per quam non hominem generatim, sed Petrum aut Joannem cognoscamus. Alia vero nomina magis peculiarem habent **116** notionem, qua non communitas naturæ consideratur in re significata, sed cujusdam rei circumscriptio nullam habens cum eo quod similis est naturæ, in eo quod proprium est, communionem; exempli causa, Paulus, aut Timotheus. Non enim jam ejusmodi vox in naturam communem fertur, sed a generali significatione separans, rerum quarumdam circumscriptarum notionem nominibus declarat. Itaque cum duobus aut etiam pluribus simul conjunctis, puta, Paulo, et Silvano, et Timotheo, inquiritur essentiæ humanæ definitio, non aliam quis in Paulo reddet essentiæ rationem, aliam in Silvano, et aliam in Timotheo: sed quibus verbis Pauli essentia ostensa fuerit, eadem etiam aliis convenient; ac consubstantiales

(99) *Γρηγορίῳ*. Legitur hæc epistola inter Opera Gregorii Nysseni tom. III, p. 28, sub nomine Gregorii Nysseni ad Petrum fratrem *De differentia essentiæ et hypostasis*; sed eam Basilio tribuunt omnes nostri codices mss. Stylus Basilii fetum esse clamitat: ac ipsa etiam synodus Chalcedonensis patentem epistolæ Basilium agnoscit, dum ait, magnum Basilium, gratiæ ministrum in epistola hypostaseon differentiam explanasse, concil. Chalced. part. III, cap. 1, p. 825.

(1) *Τῆς οὐσίας*. Coisl. primus τῆς φύσεως. Paulo post duo mss. συμπίπτουσιν. Gregorii Nysseni contextus in hoc primordio mirum in modum corruptus.

D

(2) *Οὕτω*. Hanc vocem addidimus ex tribus vetustissimis et duobus aliis mss. In tribus aliis οὕτως.

(3) *Ὅμοια πάθοις*. Tres mss. recentiores ὅμοια πάθῃς. Legit statim Combefisius τῶν περὶ τούτου λόγων. Sed hæc emendatio minime necessaria.

(4) *Πραγμάτων*. Ita sex codices mss. Corrupte in editis πράγματα.

(5) *Ὑπὸ τὸ αὐτό*. Sic Harl. et Coisl. primus cum tribus Regiis. Editi ἐπὶ τὸ αὐτό.

(6) *Χωρίσασα*. Ita sex mss. et apud Nyssenum. Editiones Basilii χωρήσασα.

(7) *Λόγων ἡ οὐσία*. Ita mss. omnes et Nyss. Editi λόγων καὶ οὐσία.

* Alias XLIII. Scripta videtur anno 369 aut 370.

inter se sunt, qui eadem essentiæ ratione designantur. Ubi vero quis eo, quod commune est, intellecto, ad proprietatum se converterit considerationem, per quas alterum ab altero separatur; non jam amplius ratio, per quam unumquodque cognoscitur, cum ea ratione, quæ de alio profertur, per omnia consentiet, quamvis in aliquibus communitatem habere comperiatur.

3. Hoc igitur dicimus: quod proprie dicitur, id hypostasis nomine indicari. Qui enim hominem dixit, confusam quamdam ideam per indefinitam significationem auribus intulit, sic ut natura quidem eo nomine ostendatur, subsistens autem res, et proprie nomine designata, minime significetur. Qui autem Paulum dixit, ostendit in re hoc nomine significata subsistentem naturam. Hoc igitur hypostasis est, non indefinita essentiæ notio, quæ ob communitatem rei significatæ nullam sedem reperit, sed quæ quod commune in aliqua re et incircumscriptum est, per conspicuas proprietates restringit ac circumscribit; quemadmodum et Scriptura ipsa solet simile quidpiam facere, cum in multis aliis locis, tum in historia Jobi. Nam quæ ad ipsum attinent narratura, postquam primo id quod commune est commemoravit, et dixit, *homo;* statim dirimit per id quod proprium est, addendo, *quidam*[15]. Sed essentiæ quidem descriptionem, ut sermonis proposito nihil conducentem reticuit: illud autem *quidam* propriis notis indicat, et locum referens et morum indicia, et quæcunque extrinsecus collecta distinctura illum erant, et a communi significatu separatura; adeo ut perspicua in omnibus esset illius, cujus res gestæ narrantur, descriptio, ex nomine, ex loco, ex animi proprietatibus, ex iis quæ extrinsecus in eo conspiciebantur. Quod si essentiæ dedisset rationem, nulla sane fuisset eorum, quæ dicta sunt, in naturæ explicatione mentio. Eadem enim ratio fuisset ac de Baldad Sauchita, deque Sophar Minnæo, et de singulis, quorum ibi mentio fit, hominibus[16]. Quam igitur in nostris rebus agnovisti discriminis rationem inter essentiam et hypostasim, eam et ad divina dogmata transferens, non errabis. De Patris essentia quidquid **117** tibi suggeret cogitatio (fas enim non est ad certam ullam ac definitam cogitationem animum sistere, eo quod persuasum sit hanc essentiam supra omnem esse cogitationem), id et de Filio intelliges, similiter et de Spiritu sancto. Nam ratio increati et incomprehensibilis una et eadem in Patre et in Filio et in Spiritu sancto est. Neque enim aliud magis est incomprehensibile, aut increatum, aliud minus. Quoniam autem oportet per proprias notio-

A Παύλου δειχθῇ, οὗτοι καὶ τοῖς ἄλλοις ἐφαρμόσουσι· καί εἰσιν ἀλλήλοις ὁμοούσιοι, οἱ τῷ αὐτῷ λόγῳ τῆς οὐσίας ὑπογραφόμενοι. Ἐπειδὰν δέ τις, τὸ κοινὸν μαθὼν, ἐπὶ τὰ ἰδιάζοντα τρέψῃ τὴν θεωρίαν, δι' ὧν χωρίζεται τοῦ ἑτέρου τὸ ἕτερον, οὐκέτι ὁ ἑκάστου γνωριστικὸς λόγος τῷ περὶ τοῦ ἄλλου διὰ πάντων συνενεχθήσεται, κἂν ἔν τισιν εὑρεθῇ τὸ κοινὸν ἔχων.

3. Τοῦτο τοίνυν φαμέν· τὸ ἰδίως λεγόμενον τῷ τῆς ὑποστάσεως δηλοῦσθαι ῥήματι. Ὁ γὰρ ἄνθρωπον εἰπὼν ἐσκεδασμένην τινὰ διάνοιαν τῷ ἀορίστῳ τῆς σημασίας τῇ ἀκοῇ ἐνεποίησεν· ὥστε τὴν μὲν φύσιν ἐκ τοῦ ὀνόματος δηλωθῆναι, τὸ δὲ ὑφεστὼς (8) καὶ δηλούμενον ἰδίως ὑπὸ τοῦ ὀνόματος πρᾶγμα μὴ σημανθῆναι. Ὁ δὲ Παῦλον εἰπὼν ἔδειξεν ἐν τῷ B δηλουμένῳ ὑπὸ τοῦ ὀνόματος πράγματι ὑφεστῶσαν τὴν φύσιν. Τοῦτο οὖν ἐστιν ἡ ὑπόστασις, οὐχ ἡ ἀόριστος τῆς οὐσίας ἔννοια, μηδεμίαν ἐκ τῆς κοινότητος τοῦ σημαινομένου στάσιν εὑρίσκουσα, ἀλλ' ἡ τὸ (9) κοινόν τε καὶ ἀπερίγραπτον ἐν τῷ τινὶ πράγματι διὰ τῶν ἐπιφαινομένων ἰδιωμάτων παριστῶσα καὶ περιγράφουσα· ὡς καὶ τῇ Γραφῇ σύνηθες τὸ τοιοῦτον ποιεῖν ἔν ἄλλοις τε πολλοῖς καὶ ἐν τῇ κατὰ τὸν Ἰὼβ ἱστορίᾳ. Ἐπειδὴ γὰρ ἔμελλε τὰ περὶ αὐτοῦ διηγεῖσθαι, πρότερον τοῦ κοινοῦ μνημονεύσασα, καὶ εἰποῦσα, *ἄνθρωπος*, εὐθὺς ἀποτέμνει τῷ ἰδιάζοντι ἐν τῇ προσθήκῃ τοῦ, *τίς*. Ἀλλὰ τῆς μὲν οὐσίας τὴν ὑπογραφὴν, ὡς οὐδὲν φέρουσαν κέρδος πρὸς τὸν προκείμενον τοῦ λόγου σκοπὸν, ἐσιώ- C πησε· τὸν δὲ *τινὰ* διὰ τῶν οἰκείων γνωρισμάτων χαρακτηρίζει, καὶ τόπον λέγουσα καὶ τὰ τοῦ ἤθους γνωρίσματα, καὶ ὅσα τῶν ἔξωθεν συμπαραληφθέντα χωρίζειν αὐτὸν καὶ ἀφιστᾷν ἔμελλε τῆς κοινῆς σημασίας· ὥστε διὰ πάντων ἐναργῆ τοῦ ἱστορουμένου γενέσθαι τὴν ὑπογραφὴν, ἐκ τοῦ ὀνόματος, ἐκ τοῦ τόπου, ἐκ τῶν τῆς ψυχῆς ἰδιωμάτων, ἐκ τῶν ἔξωθεν περὶ αὐτὸν θεωρουμένων. Εἰ δὲ τὸν τῆς οὐσίας ἐδίδου λόγον (10), οὐδεμία ἂν ἐγένετο τῶν εἰρημένων ἐν τῇ τῆς φύσεως ἑρμηνείᾳ μνήμη. Ὁ γὰρ αὐτὸς ἂν ἦν λόγος, ὃς καὶ ἐπὶ τοῦ Βαλδὰδ τοῦ Σαυχίτου, καὶ Σοφὰρ τοῦ Μινναίου, καὶ ἐφ' ἑκάστου τῶν ἐκεῖ μνημονευθέντων ἀνθρώπων. Ὃν τοίνυν ἐν τοῖς καθ' ἡμᾶς ἔγνως διαφορᾶς λόγον ἐπί τε τῆς οὐσίας καὶ τῆς ὑποστάσεως, τοῦτον μεταθεὶς καὶ ἐπὶ τῶν D θείων δογμάτων, οὐχ ἁμαρτήσεις. Πῶς τὸ εἶναι τοῦ Πατρὸς, ὅ τι ποτὲ ὑποτίθεταί σου ἡ ἔννοια (πρὸς οὐδὲν γάρ ἐστιν ἀποτεταγμένον νόημα (11) τὴν ψυχὴν ἐπερείδειν, διὰ τὸ πεπεῖσθαι αὐτὸ ὑπὲρ πᾶν εἶναι νόημα), τοῦτο καὶ ἐπὶ τοῦ Υἱοῦ νοήσεις, τοῦτο ὡσαύτως καὶ ἐπὶ τοῦ Πνεύματος τοῦ ἁγίου. Ὁ γὰρ τοῦ ἀκτίστου καὶ τοῦ ἀκαταλήπτου λόγος εἷς καὶ αὐτὸς ἐπί τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου

[15] Job I, 1. [16] Job II, 11.

(8) Ὑφεστῶς. Duo mss. ὑφεστηκός.

(9) Ἀλλ' ἡ τό. Sic mss. omnes et apud Nyss. Editi ἀλλὰ τό. Infra tres mss. τὸ τοιοῦτο ποιεῖν.

(10) Ἐδίδου λόγον. Coisl. primus ἐδήλου λόγον. Paulo post editi τοῦ Σαγχίτου. Septem codices et Nyss. ut in textu. Subinde editi Πῶς οὖν, sed deest οὖν in nostris codicibus, et editionibus Hagan. et Basileensi prima. Mox duo mss. ὑποτίθεταί σοι.

(11) Νόημα. Deest in Harl. et alio codice, nec necessarium videtur. In iisdem codicibus legitur ἀπερείδειν. Editi ὑπερείδειν. Quinque mss. ut in textu.

Πνεύματός ἐστιν. Οὐ γὰρ τὸ μὲν μᾶλλον ἀκατάληπτόν τε καὶ ἄκτιστον, τὸ δὲ ἧττον. Ἐπεὶ δὲ χρὴ διὰ τῶν ἰδιαζόντων σημείων ἀσύγχυτον ἐπὶ τῆς Τριάδος τὴν διάκρισιν (12) ἔχειν, τὸ μὲν κοινῶς ἐπιθεωρούμενον, οἷον τὸ ἄκτιστον λέγω, ἢ τὸ ὑπὲρ πᾶσαν κατάληψιν, ἢ εἴ τι τοιοῦτον, οὐ συμπαραληψόμεθα εἰς τὴν τοῦ ἰδιάζοντος κρίσιν· ἐπιζητήσομεν δὲ μόνον δι' ὧν ἡ περὶ ἑκάστου ἔννοια τηλαυγῶς καὶ ἀμίκτως τῆς συνθεωρουμένης ἀφορισθήσεται.

4. Καλῶς οὖν ἔχειν μοι δοκεῖ οὕτως ἀνιχνεῦσαι τὸν λόγον. Πᾶν ὅπερ ἂν εἰς ἡμᾶς ἐκ θείας δυνάμεως ἀγαθὸν φθάσῃ, τῆς πάντα ἐν πᾶσιν ἐνεργούσης χάριτος ἐνέργειαν εἶναί φαμεν· καθώς φησιν ὁ Ἀπόστολος, ὅτι *Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.* Ζητοῦντες δὲ εἰ ἐκ μόνου τοῦ ἁγίου Πνεύματος ἡ τῶν ἀγαθῶν χορηγία τὴν ἀρχὴν λαβοῦσα, οὕτω παραγίνεται τοῖς ἀξίοις, πάλιν ὑπὸ τῆς Γραφῆς ὁδηγούμεθα εἰς τὸ τῆς χορηγίας τῶν ἀγαθῶν τῶν διὰ τοῦ Πνεύματος ἡμῖν ἐνεργουμένων ἀρχηγὸν καὶ αἴτιον τὸν μονογενῆ Θεὸν εἶναι πιστεύειν. Πάντα γὰρ δι' αὐτοῦ γεγενῆσθαι, καὶ ἐν αὐτῷ συνεστάναι, παρὰ τῆς ἁγίας Γραφῆς ἐδιδάχθημεν. Ὅταν τοίνυν καὶ πρὸς ἐκείνην ὑψωθῶμεν τὴν ἔννοιαν, πάλιν ὑπὸ τῆς θεοπνεύστου χειραγωγίας ἀναγόμενοι (13) διδασκόμεθα, ὅτι δι' ἐκείνης μὲν πάντα τῆς δυνάμεως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγεται, οὐ μὴν οὐδὲ ἐξ ἐκείνης ἀνάρχως· ἀλλά τίς ἐστι δύναμις ἀγεννήτως καὶ ἀνάρχως ὑφεστῶσα, ἥτις ἐστὶν αἰτία τῆς ἁπάντων τῶν ὄντων αἰτίας. Ἐκ γὰρ τοῦ Πατρὸς ὁ Υἱός, δι' οὗ τὰ πάντα, ᾧ πάντοτε τὸ Πνεῦμα τὸ ἅγιον ἀχωρίστως συνεπινοεῖται. Οὐ γὰρ ἔστιν ἐν περινοίᾳ τοῦ Υἱοῦ γενέσθαι, μὴ προκαταυγασθέντα τῷ Πνεύματι. Ἐπειδὴ τοίνυν τὸ ἅγιον Πνεῦμα, ἀφ' οὗ πᾶσα ἐπὶ τὴν κτίσιν ἡ τῶν ἀγαθῶν χορηγία πηγάζει, τοῦ Υἱοῦ μὲν ἤρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται· τῆς δὲ τοῦ Πατρὸς αἰτίας ἐξημμένον (14) ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπορεύεται· τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ μετὰ τὸν Υἱὸν (15) καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ τὸ ἐκ τοῦ Πατρὸς ὑφεστάναι. Ὁ δὲ Υἱός, ὁ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδεμίαν, κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων, τὴν κοινωνίαν ἔχει πρὸς τὸν Πατέρα ἢ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλὰ τοῖς εἰρημένοις σημείοις μόνος γνωρίζεται. Ὁ δὲ ἐπὶ πάντων Θεὸς ἐξαίρετόν τι γνώρισμα τῆς ἑαυτοῦ ὑποστάσεως, τὸ Πατὴρ εἶναι,

[17] I Cor. xii, 11. [18] Joan. i, 3. [19] Coloss. i, 17.

A nes inconfusam Trinitatis distinctionem habere; quod communiter consideratur, quale est, quod increatum dico, quod est supra omnem cogitationem, aut si quid ejusmodi; id nequaquam una assumemus ad proprietatem dijudicandam, sed requiremus tantum per quæ uniuscujusque notio dilucide et citra admistionem ab ea, quæ simul consideratur, sejuncta sit.

4. Itaque non abs re esse mihi videtur hoc pacto rationem investigare. Quodcunque ad nos ex divina potestate bonum venerit, omnia in omnibus efficientis gratiæ opus esse dicimus, quemadmodum ait Apostolus: *Hæc autem omnia operatur unus*
B *atque idem Spiritus, dividens sigillatim unicuique prout vult* [17]. Inquirentes autem, an a solo sancto Spiritu bonorum largitio originem habens, ita ad dignos perveniat, rursus a Scriptura huc deducimur, ut largitionis bonorum, quæ Spiritus sanctus in nobis efficit, auctorem et causam unigenitum Deum esse credamus. Omnia enim per ipsum facta esse [18], et in ipso consistere [19], a sancta Scriptura didicimus. Cum igitur ad hanc intelligentiam fuerimus evecti, rursus a divinitus inspirato adminiculo ceu manu ducti docemur, omnia ab illa quidem virtute ex nihilo produci, non tamen ab illa sine principio; sed quamdam esse virtutem ingenite et sine principio subsistentem, quæ causa est rerum omnium causæ. Nam ex Patre Filius, per
C quem omnia, quocum semper Spiritus sanctus inseparabiliter intelligitur. Non enim potest quisquam de Filio cogitare, qui non sit prius a Spiritu illustratus. Quoniam igitur Spiritus sanctus, a quo omnis in rem creatam bonorum largitio scaturit, Filio quidem cohæret ac conjunctus est, quicum simul sine ullo intervallo concipitur; habet vero esse ex ea causa, quæ Pater est, connexum, unde et procedit; illius secundum hypostasim proprietas hoc signo declaratur, quod post Filium et cum Filio cognoscitur, et quod ex Patre subsistit. Filius vero qui ex Patre procedentem Spiritum per sese ac secum notum facit; ac solus unigenite ex ingenita luce effulsit, nullam, quod ad signorum, quibus
D dignoscitur, proprietatem attinet, cum Patre aut Spiritu sancto communitatem habet: sed iis, quæ dixi, signis solus agnoscitur. Qui autem est super omnia Deus, præcipuam quamdam **118** suæ hypostasis notam, quod Pater est, et quod nulla

(12) *Διάκρισιν*. Male in editis σύγκρισιν. Mss. omnes ut in textu.

(13) *Ἀναγόμενοι*. Sic mss. et Nyss. Editi ἐναγόμενοι.

(14) *Ἐξημμένον*. Duo mss. ἐξηρτημένον.

(15) *Μετὰ τὸν Υἱόν*. Sic quatuor Regii codices, sic etiam prima manu habuerunt Harl. et Coisl. primus. Editi μετὰ τοῦ Υἱοῦ, quæ scriptura ferri non potest, cum idem prorsus sonet, ac id quod sequitur, καὶ σὺν αὐτῷ. Quo autem sensu post Filium et cum Filio Spiritus sanctus, id infra explicat Basilius cum ait, *Consequenter quidem secundum ordinem, conjuncte vero secundum naturam tres personas cognosci.* Confirmat hanc lectionem scholium ad marginem duorum codicum Regiorum, ut observavit Combefisius. Sed quod in eodem scholio legitur paulo post δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτόν, *per seipsum et post seipsum*, id frustra probatur Combefisio. Repugnat enim omnibus codicibus mss., nec ulla subest contextus immutandi causa.

subsistit ex causa, solus habet; hocque rursus indicio et ipse proprie cognoscitur. Quapropter in essentiæ communitate dicimus nec cohærere, nec communicari posse quæ considerantur in Trinitate indicia, per quæ proprietas constituitur traditarum in fide personarum, unaquaque propriis indiciis discrete intellecta; ita ut ex dictis indiciis differentia hypostaseωn deprehendatur; at vero, quantum attinet ad id quod immensum est, quod comprehendi non potest, quod creatum non est, quod loco nullo circumscribitur, et reliqua ejusmodi omnia, discrimen nullum sit in vivifica natura: in Patre, inquam, et Filio, et Spiritu sancto, sed continua quædam et indivisa societas in ipsis perspiciatur. Atque per quas quis cogitationes majestatem unius earum, quæ in Trinitate creduntur, personarum intellexerit, per easdem sine ullo prorsus discrimine procedet, in Patre, et Filio et Spiritu sancto gloriam atque majestatem cernens: nullo spatio inter Patrem, et Filium, et Spiritum sanctum intercedente, in quo mens velut vacuo obambulet. Nihil enim est, quod inter ipsos medium inseratur: neque præter divinam naturam ulla alia res est subsistens, quæ ipsam a seipsa rei alienæ interpositu dividere queat; neque spatii cujuspiam non subsistentis vacuitas intercedit, quæ divinæ essentiæ harmoniam hiulcam efficiat, continuum interjectu vacui dirimens. Sed qui Patrem intellexit, et eum in seipso intellexit, et Filium animi perceptione simul est complexus. Qui autem percepit Filium, a Filio Spiritum non separavit, sed consequenter quidem secundum ordinem, conjuncte vero secundum naturam, trium simul permistam in seipso fidem expressit. Et qui Spiritum tantum dixit, comprehendit simul hac confessione et eum cujus Spiritus est. Et quia Christi est Spiritus, et ex Deo, quemadmodum dicit Paulus [20]: ut ex catena extremum unum qui apprehendit, alterum etiam extremum simul attraxit; ita qui Spiritum attraxit, ut ait Propheta [21], et Filium et Patrem per ipsum simul traxit. Quin etiam Filium si quis vere apprehenderit, habebit eum utrinque, hinc quidem Patrem suum, illinc vero Spiritum proprium una secum adducentem. Neque enim a Patre qui semper est in Patre abscindi poterit, neque a proprio Spiritu unquam sejungetur qui in ipso efficit omnia. Similiter autem et qui Patrem recepit, simul quoque et Filium et Spiritum potestate recepit. Non enim potest ullo modo sectio aut divisio excogitari, ita ut aut Filius absque Patre intelligatur, aut Spiritus sejungatur a Filio: sed in his ineffabilis quædam et

A καὶ ἐκ μηδεμιᾶς (16) αἰτίας ὑποστῆναι, μόνος ἔχει· καὶ διὰ τούτου πάλιν τοῦ σημείου καὶ αὐτὸς ἰδιαζόντως ἐπιγινώσκεται. Τούτου ἕνεκεν ἐν τῇ τῆς οὐσίας κοινότητι ἀσύμβατά φαμεν εἶναι καὶ ἀκοινώνητα τὰ ἐπιθεωρούμενα τῇ Τριάδι γνωρίσματα, δι' ὧν ἡ ἰδιότης παρίσταται τῶν ἐν τῇ πίστει παραδεδομένων (17) προσώπων, ἑκάστου τοῖς ἰδίοις γνωρίσμασι διακεκριμένως καταλαμβανομένου· ὥστε διὰ τῶν εἰρημένων σημείων τὸ κεχωρισμένον τῶν ὑποστάσεων ἐξευρεθῆναι· κατὰ δὲ τὸ ἄπειρον, καὶ ἀκατάληπτον, καὶ τὸ ἀκτίστως εἶναι, καὶ μηδενὶ τόπῳ περιειλῆφθαι, καὶ πᾶσι τοῖς τοιούτοις, μηδεμίαν εἶναι παραλλαγὴν ἐν τῇ ζωοποιῷ φύσει, ἐπὶ Πατρὸς λέγω καὶ Υἱοῦ καὶ Πνεύματος ἁγίου· ἀλλά τινα συνεχῆ καὶ ἀδιάσπαστον (18) κοινωνίαν ἐν αὐτοῖς θεωρεῖσθαι. Καὶ δι' B ὧν ἄν τις νοημάτων τὸ μεγαλεῖον ἑνός τινος τῶν ἐν τῇ ἁγίᾳ Τριάδι πιστευομένων κατανοήσειε, διὰ τῶν αὐτῶν προσελεύσεται ἀπαραλλάκτως, ἐπὶ Πατρὸς, καὶ Υἱοῦ, καὶ Πνεύματος ἁγίου τὴν δόξαν βλέπων, ἐν οὐδενὶ διαλείμματι μεταξὺ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος τῆς διανοίας κενεμβατούσης. Διότι οὐδέν ἐστι τὸ διὰ μέσου τούτων παρενειρόμενον, οὔτε πρᾶγμα ὑφεστὼς ἄλλο τι παρὰ τὴν θείαν φύσιν, ὡς καταμερίζειν αὐτὴν πρὸς ἑαυτὴν διὰ τῆς τοῦ ἀλλοτρίου παρεμπτώσεως δύνασθαι· οὔτε διαστήματός τινος ἀνυποστάτου κενότης, ἥτις κεχηνέναι ποιεῖ τῆς θείας οὐσίας τὴν πρὸς ἑαυτὴν ἁρμονίαν, τῇ παρενθήκῃ τοῦ κενοῦ τὸ συνεχὲς διαστέλλουσα. Ἀλλ' ὁ τὸν Πατέρα νοήσας αὐτόν τε ἐφ' ἑαυτοῦ ἐνόησε, καὶ τὸν Υἱὸν τῇ διανοίᾳ συμπαρεδέξατο. Ὁ δὲ τοῦτον λαβὼν, C τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐκ ἀπεμέρισεν, ἀλλ' ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν τῶν τριῶν κατὰ ταυτὸν συγκεκραμένην ἐν ἑαυτῷ τὴν πίστιν ἀνετυπώσατο. Καὶ ὁ τὸ Πνεῦμα μόνον εἰπὼν συμπεριέλαβε τῇ ὁμολογίᾳ ταύτῃ καὶ τὸν οὗ ἐστι τὸ Πνεῦμα. Καὶ ἐπειδὴ τοῦ Χριστοῦ ἐστι τὸ Πνεῦμα, καὶ ἐκ τοῦ Θεοῦ, καθώς φησιν ὁ Παῦλος (19)· ὥσπερ ἐξ ἁλύσεως ὁ τοῦ ἑνὸς ἄκρου ἁψάμενος καὶ τὸ ἕτερον ἄκρον συνεπεσπάσατο, οὕτως ὁ τὸ Πνεῦμα ἑλκύσας, καθώς φησιν ὁ Προφήτης, δι' αὐτοῦ καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα συνεφειλκύσατο. Καὶ εἰ τὸν Υἱὸν ἀληθινῶς τις λάβοι, ἕξει αὐτὸν ἑκατέρωθεν, πῇ μὲν τὸν ἑαυτοῦ Πατέρα, πῇ δὲ τὸ ἴδιον Πνεῦμα συνεπαγόμενον. Οὔτε γὰρ τοῦ Πατρὸς ὁ ἀεὶ ἐν τῷ Πατρὶ ὢν ἀποτμηθῆναι D δυνήσεται, οὔτε τοῦ Πνεύματός ποτε διαζευχθήσεται τοῦ ἰδίου ὁ πάντα ἐν αὐτῷ ἐνεργῶν. Ὡσαύτως δὲ καὶ ὁ τὸν Πατέρα δεξάμενος καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα συμπαρεδέξατο τῇ δυνάμει. Οὐ γάρ ἐστιν ἐπινοῆσαι τομὴν ἢ διαίρεσιν κατ' οὐδένα τρόπον, ὡς ἢ Υἱὸν χωρὶς Πατρὸς νοηθῆναι, ἢ τὸ Πνεῦμα τοῦ Υἱοῦ διαζευχθῆναι· ἀλλά τις ἄῤῥητος καὶ ἀκατανόητος ἐν τούτοις καταλαμβάνεται καὶ ἡ κοινωνία καὶ ἡ διάκρι-

[20] Rom. VIII, 9. [21] Psal. CXVIII, 131.

(16) Ἐκ μηδεμιᾶς. Deerat in editis præpositio quæ legitur in omnibus mss.

(17) Παραδεδομένων. Ita omnes mss. et Nyss. Editi παραδιδομένων, excepta tamen editione Haganoensi et Basil. prima.

(18) Ἀδιάσπαστον. Harl. et unus ex Regiis ἀδιάστατον.

(19) Ὁ Παῦλος. Harl. et tres alii ὁ Ἀπόστολος. Paulo post quidam mss. καὶ τὸν Υἱὸν ἀληθῶς λάβοι. Mox editi τὸ ἅγιον Πνεῦμα. Septem mss. et Greg. Nyss. ut in textu.

σις, οὔτε τῆς τῶν ὑποστάσεων διαφορᾶς τὸ τῆς φύσεως συνεχὲς διασπώσης, οὔτε τῆς κατὰ τὴν οὐσίαν κοινότητος τὸ ἰδιάζον τῶν γνωρισμάτων ἀναχεούσης (20). Μὴ θαυμάσῃς δὲ, εἰ τὸ αὐτὸ καὶ συνημμένον καὶ διακεκριμένον εἶναί φαμεν, καί τινα ἐπινοοῦμεν, ὥσπερ ἐν αἰνίγματι, καινὴν καὶ παράδοξον διάκρισίν τε συνημμένην, καὶ διακεκριμένην συνάφειαν. Εἰ γὰρ μή τις ἐριστικῶς καὶ πρὸς ἐπήρειαν ἀκούοι (21) τοῦ λόγου, καὶ ἐν τοῖς αἰσθητοῖς δυνατόν ἐστι τὸ τοιοῦτον εὑρεῖν.

5. Καί μου δέξασθε τὸν λόγον, ὡς ὑπόδειγμα καὶ σκιὰν ἀληθείας, οὐχ ὡς αὐτὴν τὴν τῶν πραγμάτων ἀλήθειαν. Οὐ γὰρ δυνατόν ἐστι διὰ πάντων ἐφαρμοσθῆναι τὸ ἐν τοῖς ὑποδείγμασι θεωρούμενον τοῖς πρὸς ἃ ἡ τῶν ὑποδειγμάτων χρεία παραλαμβάνεται. Πόθεν οὖν φαμεν τὸ διακεκριμένον ἅμα καὶ συναφὲς (22) ἐκ τῶν κατὰ τὴν αἴσθησιν ἡμῖν προφαινομένων ἀναλογίζεσθαι; Ἤδη ποτὲ τοῦ ἐν τῇ νεφέλῃ τόξου τὴν λαμπηδόνα κατὰ τὸ ἔαρ τεθέασαι· ἐκεῖνο λέγω τὸ τόξον, ὅπερ ὁ κοινὸς λόγος ἶριν εἴωθεν ἐπονομάζειν· ὅ φασιν οἱ περὶ ταῦτα δεινοὶ τότε συνίστασθαι, ὅταν ἐγκεκραμένη τις ᾖ πρὸς τὸν ἀέρα νοτὶς, τῆς τῶν πνευμάτων βίας τὸ ἐν τοῖς ἀτμοῖς ὑγρὸν καὶ παχὺ, νεφῶδες ἤδη γενόμενον, εἰς ὑετὸν ἀποθλιβούσης. Συνίστασθαι δὲ λέγουσιν οὕτως. Ἐπειδὰν ἡ τοῦ ἡλίου ἀκτὶς κατὰ τὸ πλάγιον ὑποδραμοῦσα τὸ πυκνόν τε καὶ συνηρεφὲς τῆς νεφώσεως, εἶτα κατὰ τὸ εὐθὺ νέφει τινὶ τὸν ἴδιον κύκλον ἐναπερείσηται, οἷόν τις καμπὴ καὶ ἐπάνοδος τοῦ φωτὸς πρὸς ἑαυτὸ γίνεται, τῆς αὐγῆς πρὸς τὸ ἔμπαλιν ἀπὸ τοῦ ὑγροῦ τε καὶ στίλβοντος ἀναλυούσης (23). Ἐπειδὴ γὰρ φύσις ἐστὶ ταῖς φλογώδεσι μαρμαρυγαῖς, εἴ τινι λείῳ προσπέσοιεν, πρὸς ἑαυτὰς πάλιν ἐπανακλᾶσθαι, κυκλοτερὲς δὲ τοῦ ἡλίου τὸ σχῆμα, τὸ διὰ τῆς ἀκτῖνος ἐν τῷ ὑγρῷ τε καὶ λείῳ τοῦ ἀέρος γινόμενον· ἐξ ἀνάγκης κατὰ τὸ σχῆμα τοῦ ἡλιακοῦ κύκλου καὶ ὁ παρακείμενος τῷ νέφει ἀὴρ διὰ τῆς ἀποστιλβούσης αὐγῆς περιγράφεται. Αὕτη τοίνυν ἡ αὐγὴ καὶ συνεχής ἐστι πρὸς ἑαυτὴν, καὶ διῄρηται. Πολύχροος (24) γάρ τις οὖσα καὶ πολυειδὴς, ἀφανῶς τοῖς ποικίλοις ἄνθεσι τῆς βαφῆς πρὸς ἑαυτὴν κατακιρνᾶται τῶν ἑτεροχροούντων τὴν πρὸς ἄλληλα συμβολὴν ἐκ τῶν ὄψεων ἡμῶν κατὰ τὸ λεληθὸς ὑποκλέπτουσα· ὡς μὴ ἂν ἐπιγνωσθῆναι τοῦ γλαυκοῦ πρὸς τὸ πυραυγὲς τὸν διὰ μέσου τόπον τὸν μιγνύοντα (25) δι' ἑαυτοῦ καὶ χωρίζοντα τὴν τῶν χροιῶν ἑτερότητα, ἢ τοῦ πυραυγοῦς πρὸς τὸ πορφύ-

A incomprehensibilis deprehenditur tum societas, tum distinctio, neque hypostaseωn differentia naturæ conjunctionem divellente, neque essentiæ communitate indiciorum proprietatem confundente. Ne mireris autem si idem et conjunctum et discretum esse dicimus, et quamdam cogitamus, velut in ænigmate, novam **119** et admirabilem discretionem conjunctam, et conjunctionem discretam. Etenim si quis non ex contendendi et calumniandi studio sermonem audit, potest etiam in rebus, quæ sensu percipiuntur, quiddam simile inveniri.

3. Plus autem quam Dominum propinquos tuos non diliges. *Qui enim*, inquit, *patrem, aut matrem, aut fratres supra me diligit, non est me dignus* [35]. Quid vero sibi vult Domini mandatum? *Si quis*, inquit, *non tollit crucem suam, et sequitur me, non potest meus esse discipulus* [36]. Quod si iis qui sanguine tibi conjuncti sunt, una cum Christo mortuus es, quid rursus vis cum illis versari? Sin autem quæ destruxisti propter Christum, rursus ædificas propter cognatos tuos, prævaricatorem teipsum constituis. Ne igitur ob affinium tuorum

3. Πλέον δὲ τοῦ Κυρίου τοὺς οἰκείους σου μὴ ἀγαπήσεις. *Ὁ γὰρ ἀγαπῶν*, φησὶ, *πατέρα ἢ μητέρα, ἢ ἀδελφοὺς ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος*. Τί δὲ βούλεται ἡ τοῦ Κυρίου ἐντολή; *Εἴ τις*, φησὶν, *οὐκ αἴρει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ μοι, οὐ δύναταί μου εἶναι μαθητής*. Εἰ συναπέθανες τῷ D Χριστῷ ἀπὸ τῶν συγγενῶν σου τῶν κατὰ σάρκα, τί πάλιν ἐν αὐτοῖς ἀναστρέφεσθαι θέλεις; Εἰ δὲ ἃ κατέλυσας διὰ Χριστὸν, πάλιν ταῦτα οἰκοδομεῖς διὰ τοὺς συγγενεῖς σου, παραβάτην σεαυτὸν καθιστῇς. Μὴ οὖν διὰ χρέος τῶν συγγενῶν σου ἀναχωρήσῃς

[32] Psal. xvi, 4. [33] Matth. viii, 8. [34] ibid. 13. [35] Matth. x, 37. [36] Luc. xiv, 27.

(87) *Συνήθειαν*. Combefisius intelligit de consuetudine sæcularium et maxime mulierum. At multo satius visum est hæc accipere de vitiorum abolenda consuetudine. Sic infra auctor Epistolæ ad juniores suadet ὀργῆς ἀφανισμόν. Basilius Reg. fus. p. 344: Οὐ μικρὸς δὲ οὗτος ἀγὼν τῆς ἑαυτοῦ συνηθείας περιγενέσθαι. *Non leve autem illud certamen, suam ipsius consuetudinem vincere.*

(88) *Ὑπομονητικός*. Reg. secundus ὑπομονικός.

(89) *Φιλόπιστος*. Percommoda videtur Combefisii emendatio, qui legendum censet φιλόπευστος, *audiendi cupidus.*

(90) *Φιλενδείκτης*. Duo mss. φιλεκδημητής, *peregrinandi cupidus.*

(91) *Εἰπὲ λόγον*. Codex Maz. εἰπὲ λόγῳ.

(92) *Ἐν ᾧ ἦς*. Sic mss. Editi ἐν ᾧ ᾖ. Paulo post editi ταῖς εὐχαῖς et ἀγαπήσῃς. Mss. ut in contextu.

τοῦ τόπου σου· ἀναχωρῶν γὰρ ἐκ τοῦ τόπου σου, ἴσως ἀναχωρήσεις (93) ἐκ τοῦ τρόπου σου. Μὴ ἔσο ὀχλοχαρής, μὴ φιλόχωρος, μὴ φιλοπολίτης, ἀλλὰ φιλέρημος, ἐφ' ἑαυτῷ μένων ἀεὶ ἀμετεωρίστως, τὴν εὐχὴν καὶ τὴν ψαλμῳδίαν ἔργον ἡγούμενος. Μηδὲ τῶν ἀναγνωσμάτων καταλιγωρήσῃς, μάλιστα τῆς Νέας Διαθήκης (94), διὰ τὸ ἐκ τῆς Παλαιᾶς Διαθήκης πολλάκις βλάβην ἐγγίνεσθαι· καὶ οὐχ ὅτι ἐγράφη βλαβερά, ἀλλ' ὅτι ἡ τῶν βλαπτομένων διάνοια ἀσθενής. Πᾶς γὰρ ἄρτος τρόφιμος, ἀλλὰ τοῖς ἀσθενοῦσιν ἐπιβλαβής. Οὕτως οὖν πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος, καὶ οὐδὲν κοινὸν δι' αὐτῆς· εἰ μὴ τῷ λογιζομένῳ κοινὸν εἶναι, ἐκείνῳ (95) κοινόν. Πάντα δὲ δοκίμαζε· τὸ καλὸν κάτεχε· ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχου. *Πάντα γὰρ ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει.* Ἔσο οὖν τοῖς συντυγχάνουσί σοι ἐν πᾶσιν ἀπρόσκοπος, προσχαρής, φιλάδελφος, ἡδύς, ταπεινόφρων, μὴ ἐκπίπτων τοῦ σκοποῦ τῆς φιλοξενίας διὰ βρωμάτων πολυτελείας (96), ἀρκούμενος δὲ τοῖς παροῦσι, τῆς καθημερινῆς χρείας τοῦ μονήρους βίου μηδὲν πλέον ἀπό τινος λάβῃς· καὶ μάλιστα φύγε τὸν χρυσὸν ὡς ψυχῆς ἐπίβουλον καὶ ἁμαρτίας πατέρα, ὑπουργὸν δὲ τοῦ διαβόλου. Μὴ προφάσει τῆς εἰς τοὺς πένητας διακονίας σεαυτὸν ὑπόδικον φιλοχρηματίας καταστήσῃς. Εἰ δέ τις πτωχῶν ἕνεκα κομίσει σοι χρήματα, γνῷς δέ (97) τινας εἶναι λειπομένους· αὐτῷ ἐκείνῳ, ᾧ ὑπάρχει τὰ χρήματα, ἀποκομίσαι τοῖς ὑστερουμένοις (98) ἀδελφοῖς συμβούλευσον, μήποτε μολύνῃ σου τὴν συνείδησιν ἡ τῶν χρημάτων ὑποδοχή.

4. Τὰς ἡδονὰς φεῦγε· τὴν ἐγκράτειαν δίωκε· καὶ τὸ μὲν σῶμα τοῖς πόνοις ἄσκει· τὴν δὲ ψυχὴν τοῖς πειρασμοῖς ἔθιζε (99). Τὴν σώματος καὶ ψυχῆς ἀνάλυσιν ἀπαλλαγὴν παντὸς κακοῦ τιθέμενος, ἐκδέχου τῶν αἰωνίων ἀγαθῶν τὴν ἀπόλαυσιν, ἧς πάντες οἱ ἅγιοι μέτοχοι γεγόνασι. Σὺ δὲ (1), ἀδιαλείπτως ζυγοστατῶν, ἀντιπαρατίθεσο τῇ διαβολικῇ ἐννοίᾳ τὸν εὐσεβῆ λογισμόν, ὥσπερ ἐπὶ τρυτάνης τῇ ῥοπῇ τῆς πλάστιγγος τούτῳ παραχωρῶν· καὶ μάλιστα ὅταν ἐπαναστᾶσα ἡ πονηρὰ ἔννοια λέγῃ· Τί σοι τὸ ὄφελος τῆς ἐν τῷ τόπῳ τούτῳ διαγωγῆς; τί σοι τὸ κέρδος τῆς ἀναχωρήσεως τῆς ἀπὸ τῶν ἀνθρώπων συνηθείας; Ἢ οὐκ ἔγνως τοὺς παρὰ τοῦ Θεοῦ τεταγμένους ἐπισκόπους τῶν τοῦ Θεοῦ Ἐκκλησιῶν τοῖς ἀνδράσι (2) συνήθως συνδιαζῶντας, καὶ τὰς πνευματικὰς ἀδιαλείπτως ἐπιτελοῦντας πανηγύρεις, ἐν αἷς μάλιστά που τοῖς παραγενομένοις γίνεται ὄφελος; Ἐκεῖ γὰρ

A usus a loco tuo recedas: recedens enim a loco tuo, fortasse a moribus tuis recedes. Non amator sis turbæ, non ruris, non civitatum, sed solitudinis: apud temetipsum manens semper citra ullam mentis aberrationem; precationem et psalmodiam opus tuum esse existimans. Neque etiam lectiones negligas, Testamenti Novi maxime, propterea quod sæpe ex Veteri Testamento oritur detrimentum: non quod scriptæ sint res noxiæ, sed quod eorum qui læduntur, mens infirma. Omnis enim panis ad alendum idoneus; sed nocet infirmis. Sic igitur omnis Scriptura divinitus inspirata est atque utilis [37], nec in ea quidquam inquinatum est; nisi quod quis inquinatum esse putat, id ipsi inquinatum est. **128** Omnia autem proba: quod bonum B est, tene: ab omni specie mala abstine [38]. *Omnia enim licent, sed non omnia expediunt* [39]. Itaque his quibuscum versaris nulla in re sis offendiculo, sis lætus, fratrum amans, blandus, humilis, non excidens hospitalitatis proposito per eduliorum lautitiam, sed præsentibus contentus, nihil a quoquam ultra quotidianum solitariæ vitæ usum accipias: ac præsertim fuge aurum velut animæ insidiatorem, et peccati patrem, ac diaboli ministrum. Te ipse avaritiæ obnoxium ne constitueris, obtentu ministerii erga pauperes. Si quis autem egenorum gratia afferat tibi pecunias, et aliquos noveris indigere; ei ipsi, cui sunt pecuniæ, consilium da, ut fratribus indigentibus distribuat, ne forte conscientiam tuam coinquinent acceptæ pe-C cuniæ.

4. Voluptates fuge: prosequere continentiam; ac corpus quidem laboribus exerce: animam vero assuefacito tentationibus. Pro certo tenens corporis et animæ dissolutionem mali cujuscunque esse liberationem, bonorum æternorum exspecta fruitionem, cujus omnes sancti effecti sunt participes. Tu vero indesinenter expendens ac librans, diabolico suggestui oppone piam cogitationem, ei velut in trutina momento lancis præponderanti cedens. Et præsertim cum prava insurgens cogitatio dixerit: Quæ utilitas degendi in hoc loco? quod lucrum secessus ab hominum societate? An ignoras constitutos a Deo episcopos Ecclesiarum Dei cum hominibus ex more vi-D vere, et spirituales indesinenter celebrare conventus, quos qui obeunt plurimum percipiunt utilitatis? Illic enim Proverbiorum aperiuntur

[37] II Tim. III, 16. [38] I Thess. v, 21. [39] I Cor. VI, 12.

(93) *Ἀναχωρήσεις*. Sic unus ex Regiis, melius quam editi ἀναχωρήσῃς. Paulo post editi ἐφ' ἑαυτὸν μένων ἀεὶ ἀμετεώριστος. Mss. ut in textu.

(94) *Μάλιστα τῆς Νέας*. Reg. secundus μάθε τὰ τῆς Νέας.

(95) *Ἐκείνῳ*. Sic unius codicis ope emendatur quod erat in editis ἐκεῖνο.

(96) *Πολυτελείας*. Sic Reg. secundus. Editi πολυτέλειαν.

(97) *Γνῷς δέ*. Sic Reg. secundus, alius γνοίης δέ. Mox editi ὑπάρχῃ. Mss. ut in textu.

(98) *Ὑστερουμένοις*. Sic Reg. secundus pro eo quod est in editis στερουμένοις. Mox duo mss. μολύνῃ, editi μολύνει.

(99) *Ἔθιζε*. Duo codices a Combefisio citati καρτέρει.

(1) *Σὺ δέ*. Editi pro his vocibus habent σεαυτόν, et paulo post τοῦτο παραχωρῶν. Vulnus sanatum ope Reg. secundi, in quo etiam legitur ἀντιπαρατίθει.

(2) *Τοῖς ἀνδράσι*, etc. Editi τοὺς ἄνδρας συνήθως συνοδιάζοντας. Emendavimus ope Regii secundi.

ænigmata, explicantur apostolica documenta, exponuntur evangelicæ sententiæ, theologia auditur; illic congressus fratrum spiritualium, magnam occurrentibus ex vultus aspectu utilitatem præbentium. Tu autem te ipse a tantis bonis effecisti alienum, atque hic desides belluarum in morem efferatus. Vides enim hic solitudinem magnam, inhumanitatem non modicam, penuriam doctrinæ, disjunctionem a fratribus, ac spiritum erga Dei mandatum valde inertem ac socordem. Cum igitur talibus ac tantis te speciosis rationibus prava insurgens cogitatio frangere voluerit; oppone ei per piam ratiocinationem ipsius rei experientiam, dicens: Quandoquidem tu mihi dicis bona esse quæ in mundo sunt, propterea ego illuc transmigravi, indignum meipsum judicans mundi bonis. Sunt enim mundi bonis mala admista, ac longe exsuperant mala. Nam cum aliquando accessissem ad spirituales conventus, in unum fratrem vix tandem incidi, qui Deum timere videbatur; sed is tenebatur **129** sub diabolo; atque ex ipso audivi lepidos sermones, et confictas ad obvios quosque decipiendos fabulas. Multos post ipsum offendi fures, raptores, tyrannos. Vidi ebriorum speciem indecoram; vidi sanguinem oppressorum; vidi quoque mulierum pulchritudinem, qua pudicitia mea torquebatur. Ac fornicationis quidem opus effugi; sed virginitatem meam cordis cogitatione inquinavi. Et multos quidem sermones animæ utiles audivi; sed tamen nullum apud magistrum reperi dignam sermonibus virtutem. Post hoc rursus audivi innumerabiles tragœdias, quæ effeminatis modis animum subibant. Rursus audivi citharam suaviter resonantem, plausum saltantium, scurrarum vocem, stoliditatem multam, facetias, turbæ immensæ clamorem. Vidi lacrymas spoliatorum, dolores eorum qui abducebantur a tyrannide, ejulatum eorum qui torquebantur. Et vidi, et ecce non erat conventus spiritualis, sed mare ventis agitatum ac turbatum, omnes simul fluctibus suis tentans obruere. Dic mihi, o cogitatio mala, et temporariæ voluptatis ac vanæ gloriæ dæmon, quid mihi est lucri, si hæc et spectem et

A ἀποκαλύψεις παροιμιακῶν αἰνιγμάτων, λύσεις ἀποστολικῶν διδαγμάτων, εὐαγγελικῶν νοημάτων (3) ἔκθεσις, θεολογίας ἀκρόασις, ἀδελφῶν πνευματικῶν συντυχίαι (4), μεγάλην τοῖς ἐντυγχάνουσιν ἐκ τῆς θέας τοῦ προσώπου τὴν ὠφέλειαν παρεχόντων. Σὺ δὲ, τοσούτων ἀγαθῶν ἀλλότριον σεαυτὸν καταστήσας, κάθησαι ἐνθάδε ἐξηγριωμένος ἴσως τοῖς θηρσίν. Ὁρᾷς γὰρ ἐνταῦθα ἐρημίαν πολλὴν, ἀπανθρωπίαν οὐκ ὀλίγην, ἀπορίαν διδασκαλίας, ἀδελφῶν ἀλλοτρίωσιν, καὶ τὸ πνεῦμα περὶ τὴν ἐντολὴν τοῦ Θεοῦ ἀργίαν ἔχον πολλήν. Ὅταν οὖν τοιαύταις καὶ τοσαύταις εὐπροφανέσι προφάσεσιν ἐπαναστᾶσα ἡ πονηρὰ ἔννοια καταῤῥῆξαί σε θέλῃ (5), ἀντιπαράθες αὐτῇ διὰ τοῦ εὐσεβοῦς λογισμοῦ τὴν πεῖραν τοῦ πράγματος, λέγων· Ἐπειδὴ σὺ λέγεις μοι καλὰ τὰ ἐν τῷ κόσμῳ
B εἶναι, διὰ τοῦτο ἐγὼ ἐνταῦθα μετῴκησα, ἀνάξιον ἐμαυτὸν κρίνας τῶν τοῦ κόσμου καλῶν. Παραμέμικται γὰρ τοῖς τοῦ κόσμου καλοῖς τὰ κακὰ, καὶ μᾶλλον ὑπεραίρει τὰ κακά. Παραγενόμενος (6) γάρ ποτε ἐν ταῖς πνευματικαῖς πανηγύρεσιν, ἑνὶ μὲν ἀδελφῷ μόλις ποτὲ περιέτυχον, τὸ μὲν δοκεῖν (7) φοβουμένῳ τὸν Κύριον, κρατουμένῳ δὲ ὑπὸ τοῦ διαβόλου, καὶ ἤκουσα παρ' αὐτοῦ λόγους κομψοὺς, καὶ μύθους πεπλασμένους εἰς ἀπάτην τῶν ἐντυγχανόντων. Πολλοῖς δὲ μετ' αὐτὸν (8) συνέτυχον κλέπταις, ἅρπαξι, τυράννοις. Εἶδον μεθυόντων σχῆμα ἄσχημον, τὰ αἵματα (9) τῶν καταπονουμένων. Εἶδον δὲ καὶ κάλλη γυναικῶν, βασανίζον μου τὴν σωφροσύνην. Καὶ τὸ μὲν τῆς πορνείας ἔργον διέφυγον· τὴν δὲ ἐμαυτοῦ παρθενίαν ἐμόλυνα κατὰ διάνοιαν καρδίας. Καὶ πολ-
C λῶν μὲν ἀκήκοα λόγων ψυχωφελῶν· πλὴν παρ' οὐδενὶ τῶν διδασκάλων εὗρον ἀξίαν τῶν λόγων τὴν ἀρετήν. Μετὰ δὲ τοῦτο πάλιν μυρίων ἤκουσα τραγῳδημάτων μέλεσι τεθρυμμένοις ἐνδεδυμένων (10). Πάλιν ἀκήκοα κιθάρας ἡδὺ ἠχούσης, τῶν κρότων (11) τῶν ἀλλομένων, τῆς φωνῆς τῶν γελοιαστῶν, μωρίας πολλῆς καὶ εὐτραπελίας, ὄχλου ἀμυθήτου βοήν. Εἶδον τὰ δάκρυα τῶν συληθέντων, τὰς ὀδύνας τῶν ἀπαγομένων (12) ὑπὸ τῆς τυραννίδος, τὴν οἰμωγὴν τῶν βασανιζομένων. Καὶ εἶδον, καὶ ἰδοὺ οὐκ ἦν πανήγυρις πνευματικὴ, ἀλλὰ θάλασσα ἀνεμιζομένη καὶ ταραττομένη, πάντας ὁμοῦ τοῖς αὐτῆς (13) κύμασι καλύψαι σπουδάζουσα. Λέγε μοι, ὦ κακὴ ἔννοια, καὶ ὁ τῆς προσκαίρου ἡδυπαθείας τε καὶ κενοδοξίας δαίμων, τί μοι

(3) *Νοημάτων*. Reg. secundus διαταγμάτων. Mazarinæus cod. παραγγελμάτων.

(4) *Συντυχίαι*. Reg. secundus Συντυχία μεγάλην τοῖς συντυγχάνουσιν ἐκ τῆς προσούσης αὐτοῖς τοῦ Πνεύματος χάριτος τὴν ὠφέλειαν παρέχουσα: *Fratrum spiritualium congressus magnam congredientibus ex insita illis Spiritus gratia utilitatem ferens.*

(5) *Σε θέλῃ*. Pronomen additum ex Regio secundo.

(6) *Παραγενόμενος*. Sic duo mss. Editi παραγινόμενος.

(7) *Τὸ μὲν δοκεῖν*. Sic Reg. secundus. Editi τῷ μὲν δοκεῖν. Paulo post cod. Maz. πεπλεγμένους.

(8) *Μετ' αὐτόν*. Duo mss. μετ' αὐτοῦ, *cum eo.*

(9) *Τὰ αἵματα*. Auctor hujus epistolæ, quem in Palæstina vixisse non obscure perspicitur, videtur horribili vitiorum pictura hanc potissimum gentem notare. Illius narrationem confirmat Gregorius Nys-
D senus, qui in epistola de iis qui adeunt Hierosolyma, tom. III, p. 653, testatur nullum esse impuritatis genus, quod non in locis Hierosolymitanis perpetretur: adulteria, furta, idololatrias et cædes commemorat, ac nullibi tantum furoris esse ad fundendum sanguinem, non ex rumore aliquo, sed ex oculorum suorum testimonio asseverat.

(10) *Ἐνδεδυμένων*. Post hanc vocem legitur in Reg. secundo ἀπάτην, sed videtur obrepsisse pro πάλιν quod deest in hoc codice.

(11) *Τῶν κρότων*. Ita Reg. secundus. Editi τὸν κρότον. Ibidem duo codices τῶν ὀχουμένων. Paulo post legendum βοῆς, ut hoc nomen cum cæteris præcedentibus consonet.

(12) *Ἀπαγομένων*. Ita duo Regii codices. Editi ἐπαγομένων.

(13) *Τοῖς αὐτῆς*. Ita unus codex: alius τοῖς ἑαυτῆς. Editi τοῖς αὐτοῖς.

τὸ ὄφελος τῆς τούτων θεωρίας τε καὶ ἀκροάσεως, μηδενὶ τῶν ἀδικουμένων βοηθῆσαι ἰσχύοντι, μήτε δὲ τοῖς ἀδυνάτοις ἐπαμῦναι, μήτε τοὺς (14) σφαλλομένους διορθώσασθαι συγχωρουμένῳ· τάχα δὲ μέλλοντι (15) καὶ ἐμαυτὸν προσαπολλύειν; Ὥσπερ γὰρ ὀλίγον ὕδωρ καθαρὸν ὑπὸ πολλῆς ζάλης ἀνέμου καὶ κονιορτοῦ ἀφανίζεται, οὕτως ἃ νομίζομεν καλὰ ἐν τῷ βίῳ ποιεῖν (16), ὑπὸ τοῦ πλήθους τῶν κακῶν καλύπτεται. Αἱ μὲν γὰρ τραγῳδίαι ὥσπερ σκόλοπες τοῖς κατὰ τὸν βίον δι' εὐθυμίας καὶ χαρᾶς ἐν ταῖς καρδίαις αὐτῶν ἐμπήσσονται, ἵνα τῆς ψαλμῳδίας ἐπισκοτίσῃ τὸ καθαρόν· αἱ δὲ οἰμωγαὶ καὶ ὁ ὀδυρμὸς τῶν ἀδικουμένων ἀνθρώπων παρὰ τῶν ὁμοφύλων ἐπάγονται, ἵνα δειχθῇ τῶν πενήτων ἡ ὑπομονή.

5. Τίς οὖν ὠφέλεια ἐμοί, ἢ δηλονότι τῆς ψυχῆς ἡ βλάβη; Διὰ τοῦτο οὖν ἐγὼ μεταναστεύω ἐπὶ τὰ ὄρη ὡς στρουθίον· Ὡς στρουθίον γὰρ ἐῤῥύσθην ἐκ τῆς παγίδος τῶν θηρευόντων. Καὶ γὰρ ἐν ταύτῃ τῇ ἐρήμῳ διάγω, ὦ κακὴ ἔννοια, ἐν ᾗ ὁ Κύριος διέτριβεν. Ἐνταῦθα ἡ δρῦς ἡ Μαμβρή (17)· ἐνταῦθα ἡ οὐρανοφόρος κλίμαξ, καὶ αἱ τῶν ἀγγέλων παρεμβολαί, αἱ τῷ Ἰακὼβ ὀφθεῖσαι· ἐνταῦθα ἡ ἔρημος, ἐν ᾗ ὁ λαὸς ἁγνισθεὶς ἐνομοθετήθη, καὶ οὕτως εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθὼν (18) εἶδε Θεόν. Ἐνταῦθα τὸ ὄρος τὸ Καρμήλιον, ἐν ᾧ Ἠλίας, αὐλιζόμενος τῷ Θεῷ εὐηρέστησεν. Ἐνταῦθα τὸ πεδίον ἐν ᾧ ἀναχωρήσας Ἔσδρας, πάσας τὰς θεοπνεύστους βίβλους προστάγματι Θεοῦ ἐξηρεύξατο. Ἐνταῦθα ἡ ἔρημος, ἐν ᾗ ὁ μακάριος Ἰωάννης, ἀκριδοφαγῶν, μετάνοιαν τοῖς ἀνθρώποις ἐκήρυξεν. Ἐνταῦθα τὸ ὄρος τῶν Ἐλαιῶν, εἰς ὃ ὁ Χριστὸς ἀνερχόμενος προσηύχετο, ἡμᾶς διδάσκων προσεύχεσθαι. Ἐνταῦθα ὁ Χριστὸς ὁ τῆς ἐρήμου φίλος. Φησὶ γάρ· *Ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν* (19). Ἐνταῦθα ἡ στενὴ καὶ τεθλιμμένη ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωήν. Ἐνταῦθα διδάσκαλοι καὶ προφῆται, οἱ ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. Ἐνταῦθα ἀπόστολοι καὶ εὐαγγελισταί, καὶ ὁ τῶν μοναχῶν ἐρημοπολίτης βίος. Ταῦτα τοίνυν ἑκουσίως καταδέδεγμαι, ἵνα λάβω ἅπερ τοῖς μάρτυσι τοῦ Χριστοῦ καὶ τοῖς ἄλλοις πᾶσιν ἁγίοις ἐπήγγελται· ἵνα ἀψευδῶς λέγω· *Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.* Ἔγνων γὰρ τὸν μὲν θεοφιλῆ Ἀβραὰμ τῇ τοῦ Θεοῦ φωνῇ πειθόμενον, καὶ εἰς τὴν ἔρημον μετοικοῦντα· καὶ Ἰσαὰκ καταδυναστευόμενον· καὶ Ἰακὼβ τὸν πατριάρχην ξενιτεύοντα· Ἰωσὴφ τὸν σώφρονα διαπιπρασκόμενον, τοὺς τῆς ἐγκρατείας εὑρετὰς τρεῖς παῖδας πυρομαχοῦντας, Δανιὴλ δεύτερον εἰς λάκκον λεόντων παραβαλλόμενον, τὸν παῤῥη-

A audiam, cum nulli eorum quibus injuria fit, opem ferre queam: neque liceat mihi imbecilles defendere, aut errantes corrigere; imo etiam insuper me ipse forte perditurus sim? Quemadmodum enim paululum aquæ puræ magna venti procella ac pulvere dissipatur; sic quæ nobis videmur præclare in sæculo facere, malorum multitudine obruuntur. Nam tragœdiæ, velut pali, in cordibus eorum qui in sæculo sunt, per lætitiam ac gaudium infiguntur, ut psalmodiæ puritati tenebras offundant. Porro ejulatus gemitusque hominum injuriam a tribulibus patientium proferuntur, ut pauperum ostendatur patientia.

5. Quæ igitur mihi alia utilitas, nisi certe animæ B damnum? Itaque eam ob causam ego velut passer transmigro in montes. Sum enim sicut passer ex laqueo venantium liberatus [40]. Etenim in hac solitudine dego, o mala cogitatio, in qua Dominus versatus est. Hic quercus Mambre: hic scala ferens ad cœlum, et angelorum castra a Jacob conspecta; hic solitudo, in qua populus purificatus legem accepit, et ita demum in terram promissionis ingressus Deum vidit. Hic mons Carmelus, in quo Elias commorans placuit Deo; hic campus, in quem cum Esdras secessisset, omnes libros divinitus inspiratos, Deo jubente, eructavit. Hic solitudo, in qua beatus Joannes, locustas edens, hominibus **130** pœnitentiam prædicavit. C Hic mons Olivarum, in quem cum Christus ascendisset oravit, orare nos docens. Hic Christus solitudinis amator. Ait enim: *Ubi duo sunt aut tres congregati in nomine meo, ibi sum in medio eorum* [41]. Hic angusta et arcta via, quæ ducit ad vitam. Hic doctores et prophetæ, in solitudinibus errantes, ac montibus, speluncisque et foraminibus terræ [42]. Hic apostoli et evangelistæ, et monachorum semota ab urbibus vita. Hæc itaque ultro suscepi, ut consequar quæ Christi martyribus et omnibus aliis sanctis promissa sunt; ut vere ac citra mendacium dicam: *Propter verb. labiorum tuorum ego custodivi vias duras* [43]. Novi enim charum Deo Abraham qui voci Dei obsecutus est, et in solitudinem migravit; et Isaac D potentia oppressum, et Jacob patriarcham peregrinantem; pudicum Joseph divenditum; pueros tres abstinentiæ inventores, qui adversus ignem pugnarunt; Danielem semel et iterum in fossam leonum conjectum; Jeremiam libere loquentem, cœni lacui addictum; Isaiam arcanorum specta-

[40] Psal. cxxiii, 7. [41] Matth. xviii, 20. [42] Hebr. xi, 38. [43] Psal. xvi, 4.

(14) *Μήτε τούς*, etc. Reg. secundus μήτε δὲ τῶν ἀδικούντων τὴν ὁρμὴν ἀνακόψαι δυναμένῳ, μήτε δὲ τοὺς σφαλλομένους, etc. *Cum nec iniquorum impetum repellere valeam.*

(15) *Μέλλοντι... προσαπολλύειν*. Sic duorum codicum ope emendatur quod erat in editis μᾶλλόν τε... προσαπολλύντι.

(16) *Ποιεῖν*. Post hanc vocem addunt Reg. secundus et Maz. ἐνώπιον ἀνθρώπων. *Coram hominibus.*

(17) *Μαμβρή*. Ita mss. Editi Μαβρή.

(18) *Εἰσελθών*. Hoc verbum additum ex Reg. secundo.

(19) *Ἐν μέσῳ αὐτῶν*. Reg. secundus μετ' αὐτῶν.

torem, serra sectum: abductum in captivitatem Israelem; Joannem adulterii objurgatorem, capite truncatum; martyres Christi de medio sublatos. Et quid pluribus moror? ubi et ipse Salvator pro nobis crucifixus est, ut morte sua vivificaret nos, et unumquemque nostrum ad patientiam incitaret ac traheret. Ad hunc festino, et ad Patrem, et ad Spiritum sanctum. Legitimus inveniri conor, indignum memet judicans mundi bonis. Cæterum neque ego propter mundum, sed mundus propter me. Hæc igitur apud temetipsum reputans, eaque diligenter, ut tibi dictum est, exsequens, decerta pro veritate usque ad mortem. Etenim Christus ad mortem usque factus est obediens. Sed et Apostolus dicit: *Videte ne quando sit in ullo vestrum cor pravum, ut desciscat a Deo vivente: sed exhortemini vos invicem, et ædificate singuli singulos, quandiu dicitur dies hodiernus* [44]. Nam dies hodiernus significat totum vitæ nostræ tempus. Sic igitur vivens, frater, te ipse servabis, nosque exhilarabis, et Deum glorificabis in sæcula sæculorum. Amen.

A σιαστὴν (20) Ἱερεμίαν εἰς λάκκον βορβόρου κατα-δικαζόμενον· Ἡσαΐαν τὸν τῶν ἀποκρύφων θεατὴν πριζόμενον· τὸν Ἰσραὴλ αἰχμαλωτιζόμενον· Ἰωάννην τὸν τῆς μοιχείας ἔλεγχον ἀποτεμνόμενον· ἀναιρουμένους τοὺς Χριστοῦ μάρτυρας. Καὶ ἵνα τί μακρολογῶ; ὅπου γε καὶ αὐτὸς ὁ Σωτὴρ ἐσταυρώθη ὑπὲρ ἡμῶν, ἵνα τῷ ἑαυτοῦ θανάτῳ ἡμᾶς ζωοποιήσῃ, καὶ πάντας ἡμᾶς πρὸς τὴν ὑπομονὴν ἀλείψῃ καὶ ἑλκύσῃ. Πρὸς τοῦτον ἐπείγομαι, καὶ πρὸς τὸν Πατέρα. καὶ τὸ Πνεῦμα τὸ ἅγιον (21). Γνήσιος εὑρεθῆναι ἀγωνίζομαι, ἀνάξιον ἐμαυτὸν κρίνας τῶν τοῦ κόσμου καλῶν. Πλὴν ἀλλ' οὐδὲ ἐγὼ διὰ τὸν κόσμον, ἀλλ' ὁ κόσμος δι' ἐμέ. Ταῦτα οὖν ἐν ἑαυτῷ ἐπιλογιζόμενος, καὶ τελῶν αὐτὰ σπουδαίως, κατὰ τὸ εἰρημένον σοι, ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας ἕως θανάτου. Καὶ γὰρ
B ὁ Χριστὸς ὑπήκοος γέγονε μέχρι θανάτου. Ἀλλὰ καὶ ὁ Ἀπόστολός φησι· *Βλέπετε μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ, εἰς τὸ ἀποστῆναι ἀπὸ Θεοῦ* (22) *ζῶντος· ἀλλὰ ἀλλήλους παρακαλεῖτε, καὶ εἰς τὸν ἕνα οἰκοδομεῖτε, ἄχρις οὗ τὸ σήμερον λέγεται.* Τὸ γὰρ σήμερον σημαίνει ὅλον τὸν χρόνον τῆς ζωῆς ἡμῶν. Οὕτως οὖν πολιτευόμενος, ἀδελφὲ, καὶ σεαυτὸν σώσεις, καὶ ἡμᾶς εὐφρανεῖς, καὶ τὸν Θεὸν δοξάσεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

EPISTOLA XLIII*.

ΕΠΙΣΤΟΛΗ ΜΓ'.

Basilius, seu quivis alius epistolæ auctor, evangelica præcepta solitariis breviter exponit.

Admonitio ad juniores.

Disce tu qui solitariam vitam degis, quique fidelis homo ac pietatis cultor es, et edocere evangelicum vivendi genus, corporis in servitutem redactionem, spiritum humilem, mentis puritatem, iræ exstinctionem. Coactus, insuper adde propter Dominum; damno affectus, ne litiges; odio habitus, dilige; persecutione appetitus, sustineto; male audiens, obsecra. Sis peccato mortuus; sis una cum Deo crucifixus; curam omnem transfer in Dominum, **131** ut reperiaris ubi angelorum sunt myriades, primogenitorum conventus, apostolorum throni, prophetarum præcellentes sedes, sceptra patriarcharum, martyrum coronæ, justorum præconia. Inter hos justos ut tu ipse annumereris, concupisce, in Christo Jesu Domino nostro. Ipsi gloria in sæcula. Amen.

Νουθεσία πρὸς τοὺς νέους.

Μάθε σὺ ὁ μονάζων καὶ πιστὸς ἄνθρωπος, καὶ τῆς
C εὐσεβείας ἐργάτης, καὶ διδάχθητι εὐαγγελικὴν πολιτείαν, σώματος δουλαγωγίαν, φρόνημα ταπεινὸν, ἐννοίας καθαρότητα, ὀργῆς ἀφανισμόν. Ἀγγαρευόμενος, προστίθει διὰ τὸν Κύριον· ἀποστερούμενος, μὴ δικάζου· μισούμενος, ἀγάπα· διωκόμενος, ἀνέχου· βλασφημούμενος, παρακάλει. Νεκρώθητι τῇ ἁμαρτίᾳ, σταυρώθητι τῷ Θεῷ· ὅλην τὴν μέριμναν μετάθες ἐπὶ τὸν Κύριον, ἵνα εὑρεθῇς ὅπου ἀγγέλων μυριάδες, πρωτοτόκων πανηγύρεις, ἀποστόλων θρόνοι, προφητῶν προεδρίαι, σκῆπτρα πατριαρχῶν, μαρτύρων στέφανοι, δικαίων ἔπαινοι. Ἐκείνοις σεαυτὸν τοῖς δικαίοις ἐπιθύμησον συναριθμηθῆναι ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

D

EPISTOLA XLIV**.

ΕΠΙΣΤΟΛΗ ΜΔ'.

Lauso monacho auctor epistolæ primum peccati magnitudinem, deinde misericordiam divinam ante oculos ponit, et ut ad se veniat, benigne hortatur.

Ad monachum lapsum.

1. Salutem non dicimus, quia non est salus im-

Πρὸς μοναχὸν ἐκπεσόντα (23).

1. Χαίρειν οὐ λέγομεν, ὅτι οὐκ ἔστι χαίρειν τῷ

[44] Hebr. III, 12, 13.

* Alias II.

** Alias III.

(20) *Παῤῥησιαστήν*. Quæ ab hac voce usque ad Ἡσαΐαν leguntur, addita sunt ex duobus mss. a Combefisio citatis.

(21) *Τὸ Πνεῦμα τὸ ἅγιον*. Ita Reg. secundus. Editi τὸ ἅγιον Πνεῦμα. Ex eodem codice legimus γνήσιος, editi γνησίως. Idem habet ἀγωνιζόμενος. Mox Πλὴν ἀλλ' ex duobus mss. Prima vox deest in editis.

(22) Ἀπὸ *Θεοῦ*. Sic duo mss. Deest præpositio in editis.

(23) *Πρὸς μοναχὸν ἐκπεσόντα*. Addit Regius cod. 1908, sed manu recentiore, Ἀλέξιον, *Ad monachum lapsum Alexium*. Cod. Colbert. 457: πρὸς διάκονον ἐκπεσόντα, *Ad diaconum lapsum*.

ἀσεβέσιν (24). Ἔτι γὰρ ἀπιστία με περιέχει, καὶ οὐκ εἰσέρχεταί μου εἰς τὴν καρδίαν τὸ τηλικοῦτον ἀτόπημα καὶ τὸ ἐπιχείρημα τὸ μέγα ὃ ἔπραξας, εἴ γε κατὰ τὸ φαινόμενον ἤδη πᾶσιν οὕτως ἔχει. Θαυμάζω γὰρ πῶς ἡ τοσαύτη σοφία κατεπόθη, πῶς ἡ τοσαύτη ἀκρίβεια διελύθη· πόθεν ἡ τοσαύτη τύφλωσις περιεχύθη· πῶς, μηδὲν τὸ σύνολον ἐννοήσας, τοιαύτην καὶ τοσαύτην ἀπώλειαν ψυχῶν εἰργάσω. Εἰ γὰρ ἀληθὲς τοῦτο, παραδέδωκας (25) καὶ τὴν σαυτοῦ ψυχὴν τῷ βυθῷ, καὶ πάντων τῶν ἀκουόντων τὴν ἀσέβειαν ταύτην τὸν τόνον παρέλυσας. Τὴν πίστιν ἠθέτησας· τοῦ ἀγῶνος τοῦ καλοῦ ἠστόχησας. Διὸ ἀλγῶ ἐπὶ σοί. Ποῖος γὰρ ἱερεὺς ἀκούων (26) οὐ θρηνήσει; ποῖος ἐκκλησιαστικὸς οὐ κόπτεται; ποῖος λαϊκὸς οὐ σκυθρωπάζει; ποῖος ἀσκητὴς οὐ πενθεῖ; Τάχα καὶ ὁ ἥλιος ἐσκότασεν ἐπὶ τῷ σῷ πτώματι, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν (27) ἐσαλεύθησαν ἐπὶ τῇ σῇ ἀπωλείᾳ. Ἐδάκρυσαν καὶ οἱ ἀναίσθητοι λίθοι ἐπὶ τῇ σῇ μανίᾳ· ἔκλαυσαν δὲ καὶ οἱ ἐχθροὶ διὰ τὴν ὑπερβολὴν τῆς ἀνομίας σου. Ὢ πολλῆς πωρώσεως (28)! ὢ δεινῆς ὠμότητος! Οὐ Θεὸν ἐφοβήθης· οὐκ ἀνθρώπους ᾐδέσθης· οὐ φίλους ἐνετράπης· ἀλλ' ὁμοῦ πάντα ἐναυάγησας· ὁμοῦ πάντα ἐσυλήθης. Διὸ πάλιν ἀλγῶ ἐπὶ σοί, ἄθλιε. Ὁ τῆς βασιλείας πᾶσι τὸν τόνον ἀπαγγέλλων, τῆς βασιλείας ἐξέπεσες. Ὁ τῆς διδασκαλίας τὸν φόβον πᾶσιν ἐμποιῶν, οὐκ ἔσχες φόβον Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν σου. Ὁ ἁγιωσύνην κηρύσσων, ἐναγὴς εὑρίσκῃ. Ὁ ἐπὶ ἀκτημοσύνῃ σεμνυνόμενος (29), συλοχρηματῶν ἐφευρίσκῃ. Ὁ τὴν τοῦ Θεοῦ κόλασιν ἐπιδεικνύμενος διὰ τῆς ὑφηγήσεως, αὐτὸς κόλασιν σεαυτῷ προεξένησας. Πῶς σε θρηνήσω; πῶς ἀλγήσω ἐπὶ σοί; Πῶς ἐξέπεσεν ὁ ἑωσφόρος ὁ πρωῒ (30) ἀνατέλλων, καὶ συνετρίβη ἐπὶ τῆς γῆς; Παντὸς ἀκούοντος ἠχήσει τὰ ἀμφότερα ὦτα. Πῶς ὁ Ναζιραῖος, ὁ ἐκλάμπων ὑπὲρ χρυσίον, ἐσκότασεν ὑπὲρ ἀσβόλην; υἱὸς Σιὼν ὁ τίμιος, πῶς ἐγένετο σκεῦος ἄχρηστον; Οὗ ἡ μνήμη τῶν θείων Γραφῶν ὑπὸ πάντων ἐλαλεῖτο, σήμερον ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου. Ὁ ὀξύνους ὀξέως ἀπώλετο. Ὁ πολύνους πολύπλοκον ἁμαρτίαν εἰργάσατο. Οἱ γὰρ ὠφελημένοι ὑπὸ τῆς σῆς διδασκαλίας ἐβλάβησαν ὑπὸ τῆς σῆς ἀπωλείας. Οἱ τὰς ἀκοὰς παρατιθέντες ἐπὶ τῇ σῇ ὁμιλίᾳ ἔφραξαν τὰ ὦτα ἐπὶ τῇ σῇ ἀπωλείᾳ. Ἐγὼ δὲ, θρηνῶν καὶ σκυθρωπάζων (31), καὶ παρειμένος πάντοθεν, καὶ σποδὸν ὡσεὶ ἄρτον ἐσθίων, καὶ σάκκον ἐπὶ τῇ πληγῇ μου ἐπιῤῥίψας, τοιαῦτά σοι ἐγκώμια διεξέρχομαι· μᾶλλον δὲ ἐπιταφίους λόγους συντάσσων, ἀπαράκλητος καὶ ἀθεράπευτος διατελῶ· ὅτι παράκλησις κέκρυπται ἀπὸ τῶν ὀφθαλμῶν μου, καὶ οὐκ

A piis. Adhuc enim incredulus sum, nec in pectus meum intrat tantum nefas ac magnum facinus, quod admisisti: si quidem res, uti jam omnibus manifesta est, ita sese habet. Admiror enim quomodo sapientia tanta absorpta sit, quomodo tam accurata vivendi ratio dissoluta; unde circumfusa fuerit cæcitas tanta; quomodo nihil prorsus considerans, talem ac tantam animarum perniciem induxeris. Id enim si verum est, tradidisti et tuam ipsius animam barathro, et omnium, qui impietatem hanc audiunt, robur exsolvisti. Irritam fecisti fidem; aberrasti a certamine bono. Quapropter doleo tua causa. Quis enim sacerdos, ubi audierit, tua causa non lamentabitur? quis ecclesiasticus non plangit? quis laicus tristitia B non afficitur? quis monachus non mœret? Forte etiam sol ob tuum lapsum obscuratus est, et virtutes cœlorum commotæ sunt ob exitium tuum. Quin et lapides sensus expertes insaniam tuam defleverunt: ploravere quoque inimici ob iniquitatis tuæ magnitudinem. O magnam cæcitatem! O miram crudelitatem! Deum non timuisti; homines reveritus non es; non te amici moverunt; sed simul omnium naufragium fecisti: simul spoliatus es omnibus. Quocirca iterum causa tua, miser, doleo. Qui regni violentiam atque difficultatem omnibus annuntiabas, regno excidisti. Qui doctrinæ metum omnibus incutiebas, Dei non habuisti timorem ob oculos tuos. Qui sanctimoniam C prædicabas, scelestus deprehenderis. Qui de paupertate gloriabare, pecuniarum inventus es raptor. Qui imminens a Deo supplicium disserendo ostendebas, tibi ipse accersivisti supplicium. Quomodo te lugebo? quomodo tua causa dolebo? quomodo excidit lucifer qui mane oriebatur, et contritus est in terra? Cuilibet audienti auris utraque tinniet. Quomodo Nazaræus auro splendidior, fuligine factus est obscurior? venerandus filius Sion, quomodo factus est vas inutile? Cujus in sacris Scripturis legendis prædicabatur memoria ab omnibus, ejus hodie memoria cum sonitu periit. Qui erat ingenio acri et veloci, velociter interiit; præditus prudentia multiplici, multiplex peccatum perpetravit. Quibus enim profuit doctrina tua, ii ex tuo exitio D damnum accepere. Qui aures colloquiis tuis adhibuerunt, **132** obturavere pernicie tua audita. Ego vero lamentans tristemque vultum præ me ferens, et undelibet exsolutus, et cinerem velut panem comedens, sacco in plagam meam injecto, tibi ejusmodi præconia recenseo, imo potius orationem

(24) *Τοῖς ἀσεβέσιν*. Editi ἐν τοῖς. Sed hæc præpositio deest in Coisl. secundo et in pluribus a Combefisio citatis.

(25) *Παραδέδωκας*. Duo mss. παρέδωκας.

(26) *Ἀκούων*. Editi addunt ἐπὶ σοί, sed hæc desunt in Reg. secundo et Coisl. et aliis a Combefisio citatis, ac melius videntur deesse.

(27) *Τῶν οὐρανῶν*. Sic Reg. Coisl. et Maz. Editi τοῦ οὐρανοῦ.

(28) *Πωρώσεως*. Sic editio Basileensis et tres nostri codices et alii a Combefisio citati. Editio Parisiensis πηρώσεως.

(29) *Σεμνυνόμενος*. Sic mss. Editi σεμνόμενος.

(30) *Πρωΐ*. Sic duo mss. Editi πρώην. Paulo post ex iisdem mss. legimus ἀσβόλην pro ἄσβολον quod erat in editis.

(31) *Σκυθρωπάζων*. Post hanc vocem addunt duo codices *καὶ παριστάμενος σκυθρωπός*. Observat etiam Combefisius codices suos habere παριστάμενος

funebrem componens, consolationem nullam, nullamque medelam admitto; quippe abscondita est ab oculis meis consolatio, nec est fomentum apponere, neque oleum, neque ligamenta. Est enim plaga mea doloris plena. Unde sanabor?

2. Si qua igitur adhuc spes tibi superest salutis; si qua exigua Dei recordatio, si quod desiderium futurorum bonorum, si quis metus suppliciorum, quæ servata sunt non pœnitentibus, resipisce velociter: attolle oculos tuos in cœlum, intellige, desiste a tua nequitia, excute circumfusam tibi ebrietatem, insurge in eum qui te prostravit. Fortiter conare e terra resurgere. Recordare boni pastoris, qui persequens eruet te. Etiamsi supersint crura duo, aut auriculæ summitas, resili ab eo qui te vulneravit. Memor esto miserationum Dei, qui curat oleo et vino. Ne desperes salutem. Revoca in memoriam quæ scripta sunt, nempe lapsum resurgere, aversum converti [45], percussum curari, a bestiis captum liberari, confitentem non rejici. Non enim vult Deus mortem peccatoris, quemadmodum vult converti ipsum, et vivere [46]. Ne contempseris, velut in malorum profundum collapsus [47]. Tempus patientiæ est, tempus lenitatis, tempus curationis, tempus emendationis. Lapsus es? exsurge. Peccasti? desine. Ne stes in via peccatorum [48], sed resili. Nam cum conversus ingemueris, tunc servabere. Est enim ex laboribus sanitas, et salus ex sudoribus. Vide igitur ne forte, dum servare vis quæ cum nonnullis pactus es, inita cum Deo pacta, quæ coram multis testibus professus es, transgrediare. Ne igitur ob humanas quasdam ratiocinationes cuncteris ad me venire. Ego enim receptum mortuum meum lugebo, ego curabo, ego amare flebo super contritione filiæ generis mei. Excipient te omnes, omnes se tibi laborum socios adjungent. Ne despondeas animum: memor sis dierum antiquorum. Est salus: est emendatio. Confide, ne desperes. Non est lex citra misericordiam morte condemnans, sed gratia differens pœnam, exspectans emendationem. Nondum occlusæ sunt fores; audit sponsus: non dominatur peccatum. Redintegra denuo luctam: ne moreris, sed tui ipsius et omnium nostrum miserere in Christo Jesu Domino nostro, cui gloria et imperium nunc et semper in sæcula sæculorum. Amen.

A ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους. Ἔστι γὰρ ἡ πληγή μου ὀδυνηρά. Πόθεν ἰαθήσομαι;

2. Εἴ τις οὖν ἔτι ἐλπὶς ὑπολείπεταί σοι σωτηρίας, εἴ τις βραχεῖα μνήμη περὶ τὸν Θεὸν, εἴ τις πόθος τῶν μελλόντων ἀγαθῶν, εἴ τις φόβος τῶν τεθησαυρισμένων κολάσεων τοῖς ἀμετανοήτοις· ἀνάνηψον ταχέως· ἔπαρον (32) τοὺς ὀφθαλμούς σου εἰς τὸν οὐρανὸν, ἐλθὲ εἰς συναίσθησιν, παῦσαι ἀπὸ τῆς πονηρίας σου, ἀπόσεισαι τὴν περιχυθεῖσάν σοι μέθην, ἐπανάστα τῷ καταβαλόντι σε. Ἴσχυσον ἐκ γῆς ἐπαναστῆναι. B Μνήσθητι τοῦ ἀγαθοῦ ποιμένος, ὅτι καταδιώκων ἐξελεῖταί σε. Κἂν ᾖ δύο σκέλη, ἢ λοβὸς ὠτίου, ἀποπήδησον ἀπὸ τοῦ τραυματίσαντός σε. Μνήσθητι τῶν οἰκτιρμῶν (33) τοῦ Θεοῦ, ὅτι θεραπεύει ἐλαίῳ καὶ οἴνῳ. Μὴ ἀπελπίσῃς τὴν σωτηρίαν. Ἀνάλαβε τὴν μνήμην τῶν γεγραμμένων, ὅτι ὁ πίπτων ἀνίσταται, καὶ ὁ ἀποστρέφων ἐπιστρέφει· ὁ πεπληγὼς θεραπεύεται, ὁ θηριάλωτος περιγίνεται, ὁ ἐξομολογούμενος οὐκ ἀποβάλλεται. Οὐ θέλει γὰρ ὁ Κύριος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῇν αὐτόν. Μὴ ὡς εἰς βάθος (34) κακῶν ἐμπεσὼν καταφρονήσῃς. Καιρὸς ἀνοχῆς ἐστι, καιρὸς μακροθυμίας, καιρὸς ἰάσεως, καιρὸς διορθώσεως. Ὠλίσθησας; ἐξεγείρου. Ἥμαρτες; ἡσύχασον. Μὴ στῇς ἐν ὁδῷ ἁμαρτωλῶν, ἀλλὰ ἀποπήδησον. Ὅταν C γὰρ ἐπιστραφεὶς στενάξῃς, τότε σωθήσῃ. Ἔστι γὰρ ἐκ πόνων ὑγεία, καὶ ἐξ ἱδρώτων σωτηρία. Ὅρα οὖν μήποτε, συνθήκας βουλόμενός τινων φυλάττειν, παραβῇς τὰς πρὸς τὸν Θεὸν συνθήκας, ἃς ὡμολόγησας ἐπὶ πολλῶν μαρτύρων. Μὴ οὖν διά τινας λογισμοὺς ἀνθρωπίνους ὀκνήσῃς ἐλθεῖν πρός με. Ἐγὼ γὰρ ἀναλαβὼν τὸν νεκρόν μου θρηνήσω, ἐγὼ θεραπεύσω, ἐγὼ πικρῶς κλαύσομαι ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου. Πάντες σε δέχονται, πάντες σοι συμπονήσουσι. Μὴ ἀναπέσῃς (35)· μνήσθητι ἡμερῶν ἀρχαίων. Ἔστι σωτηρία, ἔστι διόρθωσις. Θάρσει, μὴ ἀπελπίσῃς. Οὐκ ἔστι νόμος καταδικάζων τὸν χωρὶς οἰκτιρμῶν θάνατον, ἀλλὰ χάρις ὑπερτιθεμένη τὴν κόλασιν, ἐκδεχομένη τὴν διόρθωσιν. Οὔπω ἐκλείσθησαν αἱ θύραι· ἀκούει ὁ νυμφίος· D οὐ κυριεύει ἁμαρτία. Ἀναπάλαισον πάλιν· μὴ κατοκνήσῃς, καὶ σεαυτὸν οἰκτείρησον, καὶ πάντας ἡμᾶς (36) ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[45] Jerem. VIII, 4. [46] Ezech. XVIII, 32. [47] Prov. XVIII, 3. [48] Psal. I, 1.

(32) Ἔπαρον. Sic tres mss. Editi ἔπαιρον. Paulo post editi καταβάλλοντι. Mss. ut in textu.

(33) Τῶν οἰκτιρμῶν. Sic tres mss. Editi τοὺς οἰκτιρμούς.

(34) Μὴ ὡς εἰς βάθος. Ὡς additum ex tribus mss. nostris præter Combefisianos.

(35) Μὴ ἀναπέσῃς. Sic quinque codices mss. Editi μὴ ἀπεισθῇς.

(36) Πάντας ἡμᾶς. Quæ sequuntur addita ex Regio secundo et Coisl. secundo.

ΕΠΙΣΤΟΛΗ ΜΕ'.

EPISTOLA XLV*. 133

Cum quidam relictis magnis opibus monasticam vitam amplexus esset, ac postea ex summo pietatis fervore in adulterium et alia scelera incidisset, auctor epistolæ, qui cum eo Hierosolymis commoratus fuerat, peccati et scandali magnitudinem ei exponit, simulque spe misericordiæ divinæ, et exemplo Judæorum ac Gentilium, qui tunc ad Dei cultum compellebantur, ad certamen revocat.

Πρὸς μονάζοντα ἐκπεσόντα. A

1. Διττός μοι φόβος ἐνέσκηψε τοῖς τῆς διανοίας κόλποις ἐκ τῆς περὶ σὲ ὑποθέσεως. Ἢ γάρ τις ἀσυμπαθὴς τρόπος προκαταρξάμενος εἰς μισανθρωπίας (37) ἔγκλημά με ῥίπτει· ἢ αὖθις συμπαθεῖν ἐθέλοντα, καὶ πρὸς τὰ πάθη καταμαλακίζεσθαι, κακῶς μετατίθησι (38). Διόπερ καὶ διαχαράττειν μέλλων τουτί μου τὸ γράμμα, τὴν μὲν χεῖρα ναρκῶσαν τοῖς λογισμοῖς ἐνεύρωσα, τὸ δὲ πρόσωπον, ἠπορημένον ἐκ τῆς ἐπὶ σοὶ κατηφείας, ἀλλοιῶσαι οὐκ ἴσχυσα, τοσαύτης μοι ἐπὶ σοὶ κεχυμένης (39) αἰσχύνης, ὡς καὶ τὴν τοῦ στόματος σύμπτυξιν παραχρῆμα πίπτειν, τῶν χειλέων μου εἰς κλαυθμὸν ἐκτρεπομένων. Οἴμοι, τί γράψω, ἢ τί λογίσομαι ἐν τριόδῳ ἀπειλημμένος; Ἐὰν ἔλθω εἰς μνήμην τῆς προτέρας σου ματαίας B ἀναστροφῆς, ὅτε σε (40) περιέῤῥει πλοῦτος, καὶ τὸ χαμερπὲς δοξάριον, φρίττω· ἡνίκα εἵπετό σοι κολάκων πλῆθος, καὶ τρυφῆς ἀπόλαυσις πρόσκαιρος μετὰ προφανοῦς κινδύνου καὶ ἀδίκων πόρων· καὶ πὴ μὲν ἀρχοντικοὶ φόβοι διεῤῥίπιζόν σου τὴν τῆς σωτηρίας ὑπόνοιαν, πὴ δὲ δημοσίων θόρυβοι διεσάλευόν σου τὴν ἑστίαν, ἥ τε συνοχὴ τῶν κακῶν ἀπεσφαίριζέ (41) σου τὸν νοῦν πρὸς τὸν δυνάμενόν σοι βοηθεῖν· ἡνίκα κατὰ μικρὸν ἐμελέτας περιβλέπεσθαι τὸν Σωτῆρα, φέροντα μὲν πρὸς ὠφέλειαν τοὺς φόβους, ῥυόμενον δέ σε, καὶ σκέποντα, παίζοντα κατ' αὐτοῦ ἐν ταῖς ἀδείαις· ἡνίκα ἐγυμνάζου πρὸς μεταβολὴν σεμνοῦ τρόπου, σκυβαλίζων μέν σου τὴν πολυκίνδυνον περιουσίαν, οἴκου τε θεραπείαν καὶ συνοίκου ὁμιλίαν ἀπαρνούμενος. Ὅλος δὲ (42) μετάρσιος, ὥσπερ ξένος C καὶ ἀλήτης, ἀγροὺς καὶ πόλεις ἐξαμείβων, κατέδραμες ἐπὶ τὰ Ἱεροσόλυμα, ἔνθα σοι καὶ αὐτὸς συνδιατρίβων ἐμακάριζον τῶν ἀθλητικῶν πόνων, ὅτε ἑβδοματικοῖς κύκλοις νῆστις διατελῶν Θεῷ προσεφιλοσόφεις, ὁμοῦ καὶ τὰς τῶν ἀνθρώπων συντυχίας λόγῳ τροπῆς ὑποφεύγων, ἡσυχίαν δὲ καὶ μονοτροπίαν ἑαυτῷ ἐφαρμόσας, τοὺς πολιτικοὺς θορύβους ἐξέκλινας (43). Σάκκῳ δὲ τραχεῖ τὸ σῶμά σου διανύττων, καὶ ζώνῃ σκληρᾷ τὴν ὀσφύν σου περισφίγγων, καρτερικῶς τὰ ὀστᾶ σου διέθλιβες. Λαγόνας δὲ ταῖς ἐνδείαις κοιλαίνων μέχρι τῶν νωτιαίων μερῶν ὑπεχαύνωσας· καὶ φασκίας μὲν ἁπαλῆς τὴν χρῆσιν ἀπηρνήσω, ἔνδοθεν δὲ τὰς λαπάρας, σικύας (44) δίκην ὑφελκύσας, τοῖς νεφριτικοῖς χωρίοις προσκολλᾶσθαι ἐβιάζου· ὅλην δὲ τὴν τῆς σαρκὸς πιμελὴν ἐκ- D

Ad monachum lapsum.

1. Duplex timor subiit mentis meæ sinus tua causa. Aut enim præoccupans me immisericors quidam animi motus in crimen inhumanitatis conjicit: aut rursus misereri volentem, etiam ut ad vitia remollescam, male convertit. Quare et hanc meam epistolam exaraturus, manum quidem torpescentem ratiocinationibus corroboravi, sed vultum, ex concepta propter te tristitia anxium, mutare non potui: tanto mihi, tua causa, incusso pudore, ut oris etiam flexus, labiis meis in luctum conversis, statim concideret. Hei mihi, quid scribam, aut quid cogitem in trivio constitutus? Si mihi prioris tuæ vanæ vivendi rationis veniat in mentem, cum circumfluerent te divitiæ, ac humi repens gloriola, horreo: cum adulatorum te sequeretur multitudo, fruererisque brevi ac temporaria voluptate, non sine manifesto periculo et iniquo quæstu: et partim quidem magistratuum timor te de salute cogitantem exagitaret: partim vero publicorum negotiorum tumultus tuam interturbarent domum, atque malorum frequentia mentem tuam ad eum, qui opitulari tibi poterat, retorqueret: cum paulatim Servatorem circumspicere meditareris, timores quidem tibi ad tuam utilitatem inferentem, liberantem vero ac protegentem te, qui ei dum in tuto esses, illuseras: cum te ad innovandos acquirendosque honestos mores exerceres, periculosissimam tuam opulentiam nihili faciens, reique familiaris curam et uxoris consuetudinem refugiens. Quin etiam totus sublimis, velut peregrinus et erro, agris et civitatibus peragratis, petisti Jerosolyma, ubi et ipse tecum commoratus ob athleticos te labores beatum prædicabam, cum per septenarios circulos jejunus perseverans Deo philosophareris, simulque congressus humanos veluti in fugam conversus devitares, atque tranquillo ac solitario vivendi genere tibi parato, civiles tumultus declinares. Præterea corpus tuum cilicio aspero lancinans, et zona dura astringens lumbos tuos, patienter ossa tua atterebas. Quin et ilia inedia concavans, ea usque ad dorsi partes laxa effecisti, atque fasciæ mollis rejecto usu, abdomen intrinsecus cucurbitæ in morem contractum, renibus adhærescere cogebas. Ad hæc, evacuato carnis

(37) *Μισανθρωπίας*. Coisl. primus μισαδελφίας, *odii fratrum*.

(38) *Μετατίθησι*. Quatuor mss. codices, non tamen antiquissimi, habent διατίθησι. Miror Combefisium legi velle διατίθημι.

(39) *Ἐπὶ σοὶ κεχυμένης*. Duo codices pro his vocibus habent ἐπικεχυμένης. Colbert. et primus Coislinianus ἐπικειμένης.

(40) *Ὅτε σε*. Codices non pauci ὅτε σοι, unus ὅτε σου. Paulo post editi κολάκων πλήθη. Sex mss. ut in textu.

(41) *Ἀπεσφαίριζε*. Sic Harl., Coisl. primus, Medic. et plures alii. Editi ἀπεσφαίρισε. Paulo post in tribus codicibus recentioribus deest σοι ante τὸν Σωτῆρα.

(42) *Ὅλος δέ*. Sic Harl., Coisl. primus et plures alii. Editi ὅλως δέ.

(43) *Ἐξέκλινας*. Ita sex mss. non ut in editis ἐξέκλινες.

(44) *Σικύας*. Editi σικύου contra omnium mss. codicum fidem.

* Alias IV.

toto adipe, exsiccasti strenue meatus sub ventre sitos, et ipso ventre inedia coarctato, faciebas ut costalæ partes, tecti quasi quædam eminentia, umbram inducerent **134** partibus umbilici, atque contracto toto organo, nocturnis horis confitens Deo, lacrymarum rivis barbæ pilos madefactos complanabas. Quid autem opus est recensere me singula? Memineris quot sanctorum ora exceperis osculo, quot sacra corpora amplexus sis, quot viri manus tuas velut intaminatas foverint; quot servi Dei, velut venerantes, confugerint ad genua tua complectentes.

2. At horum quis tandem finis? Adulterii fama nuntiati crimen, sagitta velocius pervolans, aures nostras sauciat, acutiore stimulo viscera nostra compungens. Quæ tam artificiosa præstigiatoris versutia in tam perniciosum casum te conjecit? Quænam diaboli sinuosa retia te constringentia, virtutis nervos immobiles reddiderunt? Quo abiere laborum tuorum narrationes? Sed fortasse æquum non est his fidem adhibere? Et quomodo non ex manifestis ea etiam credemus quæ hactenus abscondita fuerunt? siquidem animas quæ ad Deum confugiebant, juramentis horrendis obstrinxisti, cum tamen nominatim quidquid his voculis, *est* et *non*, amplius est, diabolo attribuatur [49]. Itaque simul quoque exitiosi perjurii fuisti sponsor, atque instituti ascetici charactere in contemptum adducto, ad apostolos usque ipsumque Dominum dedecus ac infamiam transmisisti. Dedecorasti castitatis gloriationem; labe aspersisti continentiæ votum, captivorum facti sumus tragœdia, a Judæis et gentilibus res nostræ in scenam et actus deducuntur. Discidisti monachorum studia; diligentiores cautioresque in metum formidinemque conjecisti, adhuc diaboli potestatem admirantes; negligentiores vero ad sequendum incontinentiæ exemplum traduxisti. Dissolvisti, quantum in te fuit, gloriationem Christi, qui dixit: *Confidite, ego vici mundum* [50], ejusque principem. Creatorem dedecoris miscuisti patriæ. Vere implevisti Proverbium, *Velut cervus sagitta ictus in jecore* [51]. Sed quid jam? Non cecidit fortitudinis turris, o frater: non obsorduerunt correctionis ac convectionis remedia: non occlusa est civitas perfugii. Ne in profundo malorum permaneas, nec te tradas homicidæ. Novit Dominus elisos erigere. Ne procul fugias, sed ad nos recurre. Resume iterum labores juveniles, secundis recte factis humi repentem sordidamque voluptatem delens. Respice

A κενώσας, τοὺς τῶν ὑπογαστρίων ὀχετοὺς γενναίως ἐξήρανας, γαστέρα τε αὐτὴν ταῖς ἀσιτίαις συμπτύξας, τὰ πλευριτικὰ μέρη, ὥσπερ τινὰ στέγης ἐξοχὴν, τοῖς τοῦ ὀμφαλοῦ μέλεσιν (45) ἐπεσκίαζες, καὶ συνεσταλμένῳ ὅλῳ τῷ ὀργάνῳ, κατὰ τὰς νυκτερινὰς ὥρας ἀνθομολογούμενος τῷ Θεῷ, τοῖς τῶν δακρύων ὀχετοῖς τὴν γενειάδα ἔμβροχον καθωμάλιζες. Καὶ τί με δεῖ καταλέγειν ἕκαστα; Μνήσθητι ὅσα ἁγίων στόματα φιλήματι κατησπάσω, ὅσα ἱερὰ σώματα περιεπτύξω, ὅσοι σου τὰς χεῖράς ὡς ἀχράντους περιέθαλπον· ὅσοι δοῦλοι Θεοῦ, ὥσπερ λατρεῖς, ὑπέδραμον τοῖς γόνασί σου περιπλεκόμενοι.

2. Καὶ τούτων τὸ τέλος τί; Μοιχικῆς φήμης διαβολὴ, βέλους ὀξύτερον διιπταμένη, τιτρώσκει ἡμῶν τὰς ἀκοὰς, ἀκμαιοτέρῳ κέντρῳ τὰ σπλάγχνα ἡμῶν
B διανύττουσα. Τίς ἡ τοῦ γόητος (46) τοσαύτη ἔντεχνος ποικιλία εἰς τοσοῦτόν (47) σε περιήγαγεν ὀλέθριον σκέλισμα; Ποία πολύπλοκα τοῦ διαβόλου δίκτυα, περισφίγξαντά σε, τὰς τῆς ἀρετῆς ἐνεργείας ἀκινήτους ἀπήλεγξε; Ποῦ μοι τὰ διηγήματα τῶν σῶν πόνων οἴχεται; Ἆρα γὰρ ἀπιστῆσαι ἄξιον; Καὶ πῶς οὐχὶ ἐκ τῶν ἐναργῶν καὶ τὰ τέως ἀφανῆ εἰς πίστιν δεξόμεθα; εἰ τὰς τῷ Θεῷ προσφυγούσας (48) ψυχὰς φρικτοῖς ὅρκοις κατέκλεισας, ὁπότε παρατετηρημένως τοῦ *ναὶ* καὶ τοῦ *οὒ* τὸ περιττὸν τῷ διαβόλῳ προσνενέμηται. Ὁμοῦ τοίνυν καὶ παρορκίας ὀλεθρίου γέγονας ἔγγυος, καὶ φαυλίσας τῆς ἀσκήσεως τὸν χαρακτῆρα, μέχρι τῶν ἀποστόλων καὶ αὐτοῦ τοῦ Κυρίου ἀνέπεμψας τὸ αἶσχος. Κατῄσχυνας τὸ τῆς ἁγνείας καύχημα, ἐμωμήσω τῆς σωφροσύνης τὸ
C ἐπάγγελμα· ἐγενόμεθα αἰχμαλώτων τραγῳδία· Ἰουδαίοις καὶ Ἕλλησι δραματουργεῖται τὰ ἡμέτερα. Διέτεμες φρόνημα μοναχῶν, τοὺς ἀκριβεστέρους εἰς φόβον καὶ δειλίαν ἤγαγες, θαυμάζοντας ἔτι τοῦ διαβόλου τὴν δύναμιν· τοὺς ἀδιαφόρους εἰς ἀκολασίας ζῆλον μετέθηκας. Ἔλυσας, ὅσον ἐπὶ σοὶ, τὸ τοῦ Χριστοῦ καύχημα, *Θαῤῥεῖτε*, λέγοντος, *ἐγὼ νενίκηκα τὸν κόσμον*, καὶ τὸν τούτου (49) ἄρχοντα. Ἐκέρασας τῇ πατρίδι κρατῆρα δυσφημίας· ὄντως εἰς ἔργον ἤγαγες τὸ τῆς Παροιμίας (50)· *Ὡς ἔλαφος τοξευθεὶς εἰς τὸ ἧπαρ*. Ἀλλὰ τί νῦν; Οὐ πέπτωκεν ὁ τῆς ἰσχύος πύργος, ἀδελφέ· οὐκ ἐμωμήθη τὰ τῆς ἐπιστροφῆς φάρμακα· οὐκ ἀπεκλείσθη τοῦ καταφευκτηρίου ἡ πόλις. Μὴ τῷ βάθει τῶν κακῶν ἐνα-
D πομείνῃς· μὴ χρήσῃς (51) σεαυτὸν τῷ ἀνθρωποκτόνῳ. Οἶδεν ἀνορθοῦν κατεῤῥαγμένους ὁ Κύριος. Φεῦγε μὴ μακρὰν, ἀλλὰ πρὸς ἡμᾶς ἀνάδραμε. Ἀνάλαβε πάλιν νεανικοὺς πόνους, δευτέροις κατορθώμασι διαλύων τὴν χαμαίζηλον καὶ γλοιώδη (52) ἡδονήν. Ἀνάνευσον εἰς τὴν τοῦ τέλους ἡμέραν, οὕτω προσεγγίσασαν τῇ

[49] Matth. v, 37. [50] Joan. xvi, 33. [51] Prov. vii, 22, 23.

(45) *Μέλεσιν*. Coisl. primus μέρεσιν.

(46) *Τοῦ γόητος*. Suspectæ mihi sunt hæ voces, quæ desunt in duobus vetustissimis codicibus Harl. et Coisl. primo.

(47) *Εἰς τοσοῦτον*. Reg. secundus εἰς τοῦτο. Paulo post cod. Clarom. ὑποσκέλισμα.

(48) *Προσφυγούσας*. Duo mss. προσφευγούσας.

(49) *Καὶ τὸν τούτου*. Editi καὶ τὸν τοῦ κόσμου τούτου. Omnes nostri codices ut in textu.

(50) *Τὸ τῆς παροιμίας*. Sic emendavimus, ope codicis Harl. et aliorum duorum, quod erat in editis τὰς παροιμίας.

(51) *Μὴ χρήσῃς*. Sic Harl., Coisl. primus et tres alii. Editi μὴ χρήζῃς.

(52) *Γλοιώδη*. Sic cod. Clarom. et Paris., quorum scriptura videtur præferenda et editis in quibus legitur γλυκώδη, et aliis mss. partim γλώδη habentibus, partim γελοιώδη.

ζωῆς ἡμῶν, καὶ γνῶθι πῶς λοιπὸν Ἰουδαίων καὶ Ἑλλήνων παῖδες συνελαύνονται πρὸς θεοσέβειαν, καὶ μὴ ἀπηξαπλῶς ἀπαρνήσῃ τὸν τοῦ κόσμου Σωτῆρα· μή σε ἡ φρικωδεστάτη ἐκείνη καταλάβῃ ἀπόφασις, ὅτι, *Οὐκ οἶδα ὑμᾶς, τίνες ἐστέ.*

A ad finis diem, ita vitæ nostræ vicinum ac propinquum, et nosce quomodo jam Judæorum et Gentilium filii a Dei cultum compelluntur, nec omnino abneges mundi Servatorem : ne te maxime horribilis illa comprehendat sententia : *Non novi vos, quinam sitis* [83].

(53) ΕΠΙΣΤΟΛΗ ΜϚʹ.

EPISTOLA XLVI 135.

Virginem lapsam vehementer arguit auctor epistolæ, eamque virginitatis voto, quod negabat, vere obstrictam fuisse demonstrat; ac dolorem suum significat, quod, Christo sponso derelicto, impium corruptorem elegerit. Postremo mortis, judicii et æterni supplicii metu, ac spe misericordiæ divinæ ad pœnitentiam adducere conatur.

Πρὸς παρθένον ἐκπεσοῦσαν.

1. Νῦν καιρὸς ἐκβοῆσαι τὸ προφητικὸν ἐκεῖνο, καὶ εἰπεῖν· *Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι τοὺς τετραυματισμένους* (54) *θυγατρὸς λαοῦ μου;* Εἰ γὰρ καὶ τούτους βαθεῖα περιέχει σιγὴ, καὶ κεῖνται ἅπαξ κεκαρωμένοι τῷ δεινῷ, καὶ τῷ καιρίῳ τῆς πληγῆς ἀφῃρημένοι καὶ αὐτὴν ἤδη τοῦ πάθους τὴν αἴσθησιν· ἀλλ' οὐχ ἡμᾶς γε παριέναι ἀδακρυτὶ τοσοῦτον πτῶμα χρή. Εἰ γὰρ Ἱερεμίας τοὺς ἐν πολέμῳ τὰ σώματα πεπληγότας μυρίων θρήνων ἀξίους ἔκρινε· τί ἄν τις εἴποι πρὸς τηλικαύτην ψυχῶν συμφοράν; *Οἱ τραυματίαι σου*, φησὶν, οὐ τραυματίαι ῥομφαίας, *καὶ οἱ νεκροί σου οὐ νεκροὶ πολέμου.* Ἀλλὰ τὸ κέντρον τοῦ ὄντως θανάτου, τὴν χαλεπὴν ἁμαρτίαν ὀδύρομαι, καὶ τὰ πεπυρωμένα τοῦ πονηροῦ βέλη, ψυχὰς ὁμοῦ μετὰ σωμάτων βαρβαρικῶς καταφλέξαντα. Ἦ μεγάλα (55) ἂν στενάξειαν οἱ τοῦ θεοῦ νόμοι, τηλικοῦτον ἄγος ἐπὶ γῆς ἐπιβλέποντες, οἵγε ἀπαγορεύοντες ἀεὶ καὶ βοῶντες, πάλαι μέν· *Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου·* διὰ δὲ τῶν ἁγίων Εὐαγγελίων, ὅτι *Πᾶς ὁ ἐμβλέπων* (56) *γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.* Νῦν δὲ ἐφορῶσιν αὐτὴν ἀδεῶς μοιχευομένην τοῦ Δεσπότου (57) τὴν νύμφην, ἧς ἡ κεφαλὴ ὁ Χριστός. Στενάξειε δ' ἂν καὶ αὐτὰ τῶν ἁγίων τὰ πνεύματα (58)· Φινεὲς μὲν ὁ ζηλωτὴς, ὅτι μὴ καὶ νῦν ἔξεστιν αὐτῷ, τὸν σειρομάστην μετὰ χεῖρας λαβόντι, σωματικῶς ἐκδικῆσαι τὸ μύσος· ὁ δὲ Βαπτιστὴς Ἰωάννης, ὅτι μὴ δύναται, καταλιπὼν τὰς ἄνω διατριβὰς, καθάπερ τότε τὴν ἔρημον, ἐπὶ τὸν ἔλεγχον τῆς παρανομίας δραμεῖν, καὶ εἰ παθεῖν τι δέοι, τὴν κεφαλὴν ἀποθέσθαι μᾶλλον ἢ τὴν παῤῥησίαν. Τάχα δὲ (59) μᾶλλον εἴπερ καὶ ἡμῖν, κατὰ τὸν μακάριον Ἄβελ, καὶ αὐτὸς ἀποθανὼν ἔτι λαλεῖ, καὶ νῦν βοᾷ καὶ κέκραγε μεῖζον ὁ Ἰωάννης ἢ περὶ τῆς Ἡρωδιάδος τότε, *Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν.* Καὶ γὰρ, εἰ τὸ σῶμα Ἰωάννου,

Ad virginem lapsam.

1. Nunc tempus exclamandi propheticum illud, ac dicendi : *Quis dabit capiti meo aquam, et oculis meis fontem lacrymarum, et deplorabo vulneratos filiæ populi mei* [82]? Quamvis enim illos altum silentium teneat,
B jaceantque semel malo obruti, ac lethale vulnus ipsum etiam mali sensum abstulerit; nos tamen sine lacrymis tantum casum prætermittere non oportet. Etenim, si quorum corpora in bello percussa erant, eos Jeremias innumeris lacrymis dignos judicavit : quidnam quis dixerit in tanta animarum calamitate? *Vulnerati tui*, inquit, *non sunt vulnerati gladii, et mortui tui non sunt mortui belli* [84]. Sed veræ mortis aculeum defleo, peccatum grave, et ignita maligni jacula, quæ animas una cum corporibus crudeliter combussere. Certe scelere tanto in terra conspecto valde ingemuerint Dei leges, quæ interdicunt semper, ac clamant, olim quidem, *Non concupisces uxorem proximi tui* [85] : per sacra vero Evangelia : *Quisquis viderit mulierem ad concupiscendum eam, jam*
C *mœchatus est eam in corde suo* [86]. Nunc autem vident adulterium impudenter committere ipsam Domini sponsam, cujus caput Christus. Profecto et ipsi ingemiscant sanctorum spiritus : Phinees quidem zelotes, quod non etiam nunc ei liceat, hasta in manu sumpta, corporaliter scelus ulcisci : Joannes vero Baptista, quod non possit, relictis supernis sedibus, ut olim solitudine, ad redarguendam iniquitatem accurrere; ac si quid pati oporteat, caput potius amittere quam loquendi libertatem. Quin potius, siquidem et nobis beati Abelis exemplo, licet mortuus, adhuc loquitur, etiam nunc clamat et vociferatur altius Joannes, quam olim de Herodiade : *Non licet tibi habere*
D *eam* [87]. Etsi enim Joannis corpus, prout naturæ necessarium est, divinam sententiam excepit, siletque lingua; *Tamen verbum Dei non est alliga-*

[83] Luc. XIII, 27. [82] Jerem. IX, 1. [84] Isa. XXII, 2. [85] Deut. V, 21. [86] Matth. V, 28. [87] Matth. XIV, 4.

(53) Ruffini translationem antiquam Latinam hujus epistolæ habes t. III, p. 740 seqq.

(54) *Τοὺς τετραυματισμένους.* Sic mss. octo. Editi τὸ σύντριμμα. Habent tamen ut editi, duo vetustissimi codices Med. et Coisl. primus. Sed quæ sequuntur scripturam aliorum codicum confirmant. Paulo post Coisl. primus τηλικοῦτον πτῶμα, alius τοιοῦτον, tres alii τοιοῦτο. Mox idem Coisl. primus τὸ σῶμα πεπληγότας.

(55) *Ἦ μεγάλα.* Sic uterque Coisl., Regii tres et uterque Bigot. Editi ἢ μέγα. Mox tres codices ἐπὶ γῆς βλέποντες.

(56) *Ὁ ἐμβλέπων.* Hic variant codices mss. Habent alii ὁ βλέπων, alii ὁ ἐμβλέψας, plerique πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν.

(57) *Τοῦ Δεσπότου.* Ita septem mss. melius, quam editi τὴν ποτε τοῦ ἐπουρανίου δεσπότου νύμφην.

(58) *Τὰ πνεύματα.* Duo codices τὰ τάγματα. Sic etiam Paris. in margine.

(59) *Τάχα δέ.* Desunt hæc in plerisque codicibus mss., in quibus legitur μᾶλλον δέ. Coisl. primus et Med. consentiunt cum editis. Paulo post nonnulli codices αὐτήν. Τὸ μὲν γὰρ σῶμα.

* Alias V.

πάντα ὑπομένειν, τὴν ὑπὲρ ἑαυτῶν ἐκδίκησιν ἐπιτρέψαντες (17) τῷ Κυρίῳ, ὃς οὐ περιόψεται ἡμᾶς· διότι *Ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν*. Οἱ μέντοι τὸ καινὸν τοῦτο δρᾶμα τῆς καθ' ἡμῶν βλασφημίας συνθέντες ἐοίκασι παντελῶς ἀπιστεῖν τῷ Κυρίῳ, ὃς καὶ περὶ (18) ἀργοῦ ῥήματος δώσειν ἡμᾶς λόγον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἀπεφήνατο. Ἐγὼ δὲ, εἰπέ μοι, τὸν μακαριώτατον Διάνιον (19) ἀνεθεμάτισα; Τοῦτο γὰρ ἡμῶν κατήγγειλαν (20). Ποῦ ἢ πότε; τίνων παρόντων; ἐπὶ ποίᾳ προφάσει; ψιλοῖς ῥήμασιν ἢ ἐγγράφοις; ἑτέροις ἀκολουθῶν, ἢ αὐτὸς κατάρχων καὶ αὐθεντῶν τοῦ τολμήματος; Ὢ τῆς ἀναιδείας τῶν πάντα φθεγγομένων ῥᾳδίως! Ὢ τῆς καταφρονήσεως τῶν τοῦ Θεοῦ κριμάτων! Πλὴν εἰ μὴ ἄρα τῷ πλάσματι αὐτῶν καὶ τοῦτο προστραγῳδήσουσιν (21), ὅτι ἐγενόμην καὶ ἔκφρων ποτὲ, ὥστε ἀγνοεῖν αὐτὸς τὰ ἑαυτοῦ ῥήματα. Ἐπὶ γὰρ τῶν λογισμῶν ὑπάρχων τῶν ἐμαυτοῦ, οὐδὲν οἶδα ποιήσας τοιοῦτον, οὐδὲ προελόμενος τὴν ἀρχήν. Ἀλλ' ἐκεῖνο μᾶλλον ἐμαυτῷ συνεπίσταμαι, ὅτι ἐκ πρώτης ἡλικίας συνετράφην τῷ περὶ αὐτὸν φίλτρῳ, καὶ ἀπέβλεπον πρὸς τὸν ἄνδρα, ὡς μὲν γεραρὸς ἰδεῖν, ὡς δὲ μεγαλοπρεπὴς, ὅσον δὲ ἔχων τὸ ἱεροπρεπὲς ἐν τῷ εἴδει. Ἐπεὶ δέ μοι λοιπὸν καὶ ὁ λόγος παρῆν, τότε δὴ καὶ ἀπὸ τῶν τῆς ψυχῆς ἀγαθῶν αὐτὸν ἐπεγίνωσκον· καὶ ἔχαιρον αὐτοῦ τῇ συνουσίᾳ, τὸ ἁπλοῦν καὶ γενναῖον καὶ ἐλευθέριον (22) τῶν τρόπων καταμανθάνων, καὶ ὅσα ἄλλα (23) τοῦ ἀνδρὸς ἴδια, ἡ τῆς ψυχῆς ἡμερότης, τὸ μεγαλοφυές τε ὁμοῦ καὶ πρᾶον, τὸ εὐπρεπὲς, τὸ ἀόργητον, τὸ φαιδρὸν καὶ εὐπρόσιτον τῇ σεμνότητι κεκραμένον. Ὥστε αὐτὸν ἐναρίθμιον εἶχον τοῖς περιφανεστάτοις κατ' ἀρετήν.

2. Περὶ μέντοι τὰ τελευταῖα τοῦ βίου (οὐ γὰρ ἀποκρύψομαι τἀληθές) ἐλυπήθην ἐπ' αὐτῷ λύπην οὐκ ἀνεκτὴν μετὰ πολλῶν τῶν ἐν τῇ πατρίδι φοβουμένων τὸν Κύριον, ἐπὶ τῇ ὑπογραφῇ τῆς πίστεως τῆς ὑπὸ τῶν περὶ Γεώργιον (24) ἀπὸ τῆς Κωνσταντινουπόλεως κομισθείσης. Εἶτα, οἷος ἐκεῖνος πραότητι τρόπου καὶ ἐπιεικείᾳ πάντας πληροφορεῖν ἐν σπλάγχνοις πατρικοῖς ἀνεχόμενος, ἤδη καταπεσὼν εἰς τὴν ἀῤῥωστίαν, ὑφ' ἧς καὶ μετῆλθεν ἀπὸ τοῦ βίου, προσκαλεσάμενος ἡμᾶς ἔφη, ὑπὸ μάρτυρι τῷ Κυρίῳ ἐν ἁπλότητι καρδίας συντεθεῖσθαι μὲν τῷ ἀπὸ τῆς Κωνσταντινουπόλεως γραμματείῳ, μηδὲν δὲ ἐπ' ἀθετήσει τῆς κατὰ Νικαίαν ὑπὸ τῶν ἁγίων Πατέρων ἐκτεθείσης πίστεως προελέσθαι· μηδὲ ἄλλως ἔχειν ἐν τῇ καρδίᾳ, ἢ ὡς παρέλαβεν ἐξ ἀρχῆς· ἀλλὰ καὶ

nia perferre, omnia sustinere, nostram ipsorum ultionem permittentes Domino, qui nos non despiciet. *Nam qui calumniatur pauperem, irritat ipsius Conditorem* [94]. Cæterum qui novam illam blasphemiæ fabulam adversum nos concinnarunt, videntur omnino non credere Domino, qui rationem nos in die judicii vel de otioso verbo reddituros pronuntiavit [95]. Dic autem, quæso, egone beatissimum Dianium anathematizavi? Hoc enim de nobis dictitarunt. Ubi? vel quando? coram quibus? quo prætextu? nudis verbis, an scripto? alios duces sequens, an ipse incœptor et auctor facinoris? O impudentiam hominum omnia facile loquentium! O contemptum judiciorum Dei! Nisi forte commento suo hanc etiam tragœdiam adjicient, factum me esse aliquando ita dementem, ut mea ipsius verba non noscerem. Nihil enim ejusmodi, dum rationis compos fui, aut fecisse me scio, aut omnino facere voluisse. Sed potius mihi hujus rei conscius sum, me ab ineunte ætate educatum fuisse in illius amore, et intuendo considerasse quam esset ille vir aspectu venerabilis, quanta majestate præditus, quantum dignitatis sacerdotalis ore præferens. Postquam autem mihi deinceps et ratio adfuit, tum vero et ex animæ bonis eum noveram ipsiusque **144** delectabar consuetudine, simplicitatem et ingenuitatem ac liberalitatem morum perspiciens, et quæcunque alia propria erant viri ornamenta, animi mansuetudo, magnanimitas simul et lenitas, decori studium, animus iræ expers, hilaritas et affabilitas gravitate permista. Quare ipsum inter homines virtute spectatissimos numerabam

2. Sed tamen circa extremum vitæ tempus (non enim celabo veritatem) dolui de illo inconsolabiliter cum pluribus in patria Dominum timentibus, quod subscripsisset fidei a Georgio Constantinopoli allatæ. Deinde, ut ille pro sua morum lenitate et mansuetudine non gravabatur omnibus paterno pectore satisfacere, cum jam in morbum, ex quo etiam e vita discessit, incidisset; nobis accersitis, dixit, Domino teste, se scripto Constantinopoli allato in simplicitate cordis assensisse, sed nihil ad fidei Nicææ a sanctis Patribus expositæ eversionem sibi proposuisse, neque aliud in corde habere, quam quod ab initio traditum acceperat: imo etiam precari se, ut ne separetur a sorte beatorum trecentorum decem et octo episcoporum,

[94] Prov. xiv, 31. [95] Matth. xii, 36.

(17) Ἐπιτρέψαντες. Sic Med., Harl. et Reg. primus. Editi et alii mss. ἐπιῤῥίψαντες. Sed scriptura quam sequimur, Basilii stylo aptior, ut videre est in epist. 126, 289.

(18) Ὃς καὶ περὶ. Coniunctio addita ex quinque mss.

(19) Διάνιον. Ita omnes mss. Editi Διάνοιον.

(20) Κατήγγειλαν. Tres codices non antiquissimi κατήνεγκαν, *hoc crimen nobis intulerunt*.

(21) Προστραγῳδήσουσιν. Ita tres vetustissimi codices cum pluribus aliis. Editi προστραγῳδήσωσιν.

(22) Ἐλευθέριον. Reg. secundus et Coisl. secundus ἐλεύθερον. Paulo post ex antiquis codicibus addita vocula post μεγαλοφυές.

(23) Ὅσα ἄλλα. Editi addunt ἦν quod deest in tribus vetustissimis codicibus.

(24) Γεώργιον. Reg. secundus et Coisl. Γεώργινον.

'um [18]. Qui enim, nuptiis coi servi violatis, loquendi libertatem ad mortem usque perduxit, quonam esset animo futurus, si tantam contumeliam sancto Domini thalamo illatam conspiceret?

2. At tu, postquam divinæ illius conjunctionis abjecisti jugum, atque intaminatum veri regis thalamum fugiens, in turpem illam impiamque corruptelam fœde lapsa es, cum jam non habeas quomodo amaram hanc accusationem effugias, **136** nec ullo modo aut arte malum illud abscondere queas, præceps in audaciam prorumpis. Et quoniam impius, in profundum malorum lapsus, deinceps contemnit, ipsa etiam pacta cum vero sponso inita abnegas, neque esse te virginem, nec unquam promisisse clamitans, quamvis multa acceperis, multa demonstraveris virginitatis pignora. Revoca tibi in memoriam præclaram professionem, quam professa es coram Deo, angelisque et hominibus. Revoca tibi in memoriam societatem venerandam, et sacrum virginum chorum, ac cœtum Domini, et Ecclesiam sanctorum. Memineris quoque aniculæ in Christo aviæ, quæ virtute juvenescit etiamnum, et floret: matris itidem quæ in Domino cum illa decertat, et novis quibusdam ac insuetis laboribus consuetudinem dissolvere conatur; similiter et sororis partim illas pro viribus imitantis, partim etiam vincere contendentis, et avita præclare facta virginitatis ornamento superantis, et te sororem, uti putabat, ad simile certamen tum sermone, tum vita haud ignave provocantis. Horum recordare, et angelicæ una cum eis circa Deum choreæ, et spiritualis in carne vitæ, et cœlestis in terra instituti. Recordare dierum tranquillorum, et noctium illuminatarum, et cantilenarum spiritualium, et psalmodiæ sonoræ, precum sanctarum, thori casti atque intaminati, virginei progressus, mensæ sobriæ, ac præclare precantis ut incorrupta tibi virginitas servaretur. Ubi tua illa gravis species et honesti mores, vestis vilis virginem decens, pulcher ex pudore rubor, et decorus ex abstinentia ac vigiliis efflorescens pallor, atque omni pulchro colore decentius elucescens? Quoties in precibus pro virginitate citra maculam servanda, forte lacrymas effudisti? Quot litteras ad sanctos exarasti, per quas tibi eorum efflagitabas preces,

[18] II Tim. II, 9.

A κατὰ τὸ ἀναγκαῖον τῇ φύσει, τὸν θεῖον ὅρον ἐδέξατο, καὶ ἡ γλῶσσα σιγᾷ· Ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Ὁ γάρ, ἐπειδὴ συνδούλου γάμος ἠθετεῖτο, μέχρι θανάτου τὴν παῤῥησίαν προαγαγών, τί ἂν πάθοι τηλικαύτην ἐφορῶν ὕβριν περὶ τὸν ἅγιον τοῦ Κυρίου νυμφῶνα;

2. Ἀλλὰ σύ, τῆς θείας ἐκείνης συναφείας (60) τὸν ζυγὸν ἀποῤῥίψασα, καὶ τὸν μὲν ἄχραντον τοῦ ἀληθινοῦ βασιλέως ἀποδρᾶσα νυμφῶνα, πρὸς δὲ τὴν ἄτιμον ταύτην καὶ ἀσεβῆ φθορὰν αἰσχρῶς πεσοῦσα, ἐπεὶ οὐκ ἔχεις πῶς τὴν πικρὰν ταύτην κατηγορίαν ἐκφύγῃς, οὐδέ τίς ἐστί σοι τρόπος οὐδὲ μηχανὴ τὸ δεινὸν (61) τοῦτο συγκαλύψαι, ὁμόσε τῇ τόλμῃ χωρεῖς. Καὶ ἐπειδήπερ ἀσεβής, ἐμπεσὼν εἰς βάθος κακῶν, λοιπὸν καταφρονεῖ, αὐτὰς ἀπαρνῇ τὰς πρὸς τὸν ἀληθινὸν νυμφίον συνθήκας, οὔτε εἶναι παρθένος, οὔτε B ὑποσχέσθαι ποτὲ βοῶσα, ἣ πολλὰ μὲν ἐδέξω, πολλὰ δὲ ἐπεδείξω παρθενίας συνθήματα. Μνήσθητι τῆς καλῆς ὁμολογίας, ἣν ὡμολόγησας ἐνώπιον Θεοῦ καὶ ἀγγέλων καὶ ἀνθρώπων. Μνήσθητι τῆς σεμνῆς συνοδίας καὶ ἱεροῦ παρθένων χοροῦ, καὶ συναγωγῆς Κυρίου, καὶ Ἐκκλησίας ὁσίων· καὶ γηραλέας ἐν Χριστῷ μάμμης νεαζούσης ἔτι καὶ (62) ἀκμαζούσης τὴν ἀρετήν, καὶ μητρὸς ἐν Κυρίῳ πρὸς ἐκείνην ἁμιλλωμένης, καὶ ξένοις τισὶ καὶ ἀήθεσι (63) πόνοις καταλύειν φιλονεικούσης τὰ τῆς συνηθείας (64), καὶ ἀδελφῆς ὁμοίως τὰ μὲν ἐκείνας μιμουμένης, τὰ δὲ καὶ ὑπερβαίνειν φιλοτιμουμένης, καὶ τοῖς παρθενικοῖς πλεονεκτήμασιν ὑπερακοντιζούσης τὰ προγονικὰ κατορθώματα, καὶ σὲ τὴν ἀδελφήν, ὡς ᾤετο, C πρὸς τὴν τῶν ἴσων ἅμιλλαν καὶ λόγῳ καὶ βίῳ φιλοπόνως ἐκκαλουμένης. Μνήσθητι τούτων, καὶ ἀγγελικῆς περὶ τὸν Θεὸν μετ' ἐκείνων χορείας, καὶ πνευματικῆς ἐν σαρκὶ ζωῆς, καὶ οὐρανίου ἐπὶ γῆς πολιτεύματος. Μνήσθητι ἡμερῶν ἀθορύβων, καὶ νυκτῶν πεφωτισμένων, καὶ ᾠδῶν πνευματικῶν, καὶ ψαλμῳδίας εὐήχου, καὶ προσευχῶν ἁγίων, καὶ ἁγνῆς καὶ ἀμιάντου κοίτης, καὶ παρθενικῆς προόδου, καὶ ἐγκρατοῦς τραπέζης, καὶ καλῶς εὐχομένης τὴν παρθενίαν σοι ἄφθορον τηρηθῆναι (65). Ποῦ δέ σοι τὸ σεμνὸν ἐκεῖνο σχῆμα, ποῦ δὲ τὸ κόσμιον ἦθος, καὶ ἐσθὴς λιτή, παρθένῳ πρέπουσα, καὶ καλὸν μὲν τὸ ἐξ αἰδοῦς ἐρύθημα, εὐπρεπὴς δὲ ἡ ἐξ ἐγκρατείας καὶ ἀγρυπνίας ἐπανθοῦσα ὠχρότης, καὶ πάσης εὐχροίας χαριέστερον ἐπιλάμπουσα; Ποσάκις ἐν προσευχαῖς, D ὑπὲρ τοῦ τηρῆσαι (66) τὴν παρθενίαν ἄσπιλον, ἴσως ἐξέχεας δάκρυα; Πόσα δὲ γράμματα πρὸς τοὺς

(60) *Συναφείας*. Nonnulli mss. κοινωνίας.

(61) *Τὸ δεινόν*. Deest τοῦτο in octo mss. Paulo post in sex deest pariter ἀληθινόν. Sed utrumque legitur in vetustissimis codicibus Coisl. et Med. In Harlæano non exstat hæc epistola.

(62) *Ἔτι καί*. Sic Coisl. primus et Med. Corrupte in editis ἄρτι, ἢ τότε.

(63) *Ἀήθεσι*. Ita codices mss. octo, melius quam editi ἀληθέσι.

(64) *Τὰ τῆς συνηθείας*. Sic duo antiquissimi codices Coisl. et Med. Editi τῆς συνηθείας τὸ κράτος, *consuetudinis robur dissolvere*. Mox editi τὰ μὲν κράτος ἐκείνης. Deest illud, κατὰ κράτος, in octo mss.; et duo tantum habent ἐκείνας, nempe Coisl. primus et Colb., quos secuti sumus.

(65) *Καὶ καλῶς... τηρηθῆναι*. Editi post hæc verba addunt iterum κοίτης, eaque collocant ante καὶ ἐγκρατοῦς τραπέζης καὶ παρθενικῆς προόδου. Aliter antiqui codices, in primis Coisl. et Med. quos secuti sumus. Melius tamen videtur abesse a Bigot. utroque illud καὶ καλῶς... τηρηθῆναι. Crediderim has voces referendas esse ad ea quæ supra de virginis sorore dicuntur, ac inde excidisse. Iisdem codicibus freti legimus paulo post ποῦ δέ σοι, pro eo quod erat in editis ποῦ μέν σοι, et delevimus καὶ ante παρθένῳ.

(66) *Τηρῆσαι*. Post hanc vocem editi addunt σε quod deest in mss. octo. Statim editi ἐξεδάκρυσας. Mss. sex ἐξέχεας δάκρυα, duo ἐξέχεας δάκρυον.

ἁγίους (67) ἐχάραξας, δι' ὧν ἠξίους ὑπερεύχεσθαί σου, οὐχ ἵνα γάμου ἀνθρωπίνου, μᾶλλον δὲ τῆς ἀτιμίου ταύτης φθορᾶς ἐπιτύχῃς, ἀλλ' ἵνα τοῦ Κυρίου Ἰησοῦ μὴ ἐκπέσῃς; Ποσάκις δὲ δῶρα τοῦ νυμφίου ἐδέξω; Τί δεῖ καὶ λέγειν τὰς δι' ἐκεῖνον παρὰ τῶν ἐκείνου τιμάς; τὰς μετὰ παρθένων συμβιώσεις; τὰς σὺν ἐκείναις προόδους; τὰς παρὰ παρθένων δεξιώσεις; τὰ ἐπὶ παρθενίᾳ ἐγκώμια; τὰς παρθενικὰς εὐλογίας; τὰ ὡς πρὸς παρθένον γράμματα; Ἀλλὰ νῦν, ὀλίγην αὔραν δεξαμένη τοῦ ἀερίου πνεύματος, τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, πάντων ἐκείνων ἔξαρνος γέγονας· καὶ τὸ τίμιον ἐκεῖνο καὶ περιμάχητον κτῆμα βραχείας ἡδονῆς ἀντικατηλλάξω, ἣ πρὸς καιρὸν μὲν λιπαίνει σὸν φάρυγγα, ὕστερον δὲ (68) πικρότερον χολῆς εὑρήσεις.

3. Ἐπὶ τούτοις τίς οὐκ ἂν πενθήσας εἴποι, *Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών*; Πῶς δὲ οὐκ ἂν αὐτὸς ὁ Κύριος ἀποφθέγξαιτο πρός τινα (69) τῶν νῦν ἐν πνεύματι Ἱερεμίου περιπατούντων, *Εἶδες ἃ ἐποίησέ μοι ἡ παρθένος τοῦ Ἰσραήλ*; *Ἐγὼ ἐμνηστευσάμην αὐτὴν ἐμαυτῷ ἐν πίστει καὶ ἀφθαρσίᾳ, ἐν δικαιοσύνῃ, καὶ ἐν κρίματι, καὶ ἐν ἐλέει καὶ οἰκτιρμοῖς*, καθὼς καὶ διὰ Ὠσηὲ τοῦ προφήτου αὐτῇ ἐπηγγειλάμην (70). Αὐτὴ δὲ ἠγαπήκει ἀλλοτρίους, καὶ ζῶντος ἐμοῦ τοῦ ἀνδρὸς, μοιχαλὶς χρηματίζει, καὶ οὐ φοβεῖται γενομένη ἀνδρὶ ἑτέρῳ. Τί δὲ ἄρα ὁ νυμφαγωγὸς, ὁ θεῖος καὶ μακάριος Παῦλος, ὅ τε ἀρχαῖος ἐκεῖνος, καὶ ὁ νέος οὗτος, ὑφ' ᾧ μεσίτῃ καὶ διδασκάλῳ, τὸν πατρῷον (71) οἶκον καταλιποῦσα, τῷ Κυρίῳ συνήφθης; Ἆρα οὐκ ἂν εἴποι τῷ τοσούτῳ κακῷ περιπαθήσας ἑκάτερος· *Φόβος γὰρ ὃν ἐφοβούμην, ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν, συνήντησέ μοι. Ἐγὼ μὲν γάρ σε ἡρμοσάμην ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ*, καὶ ἐφοβούμην ἀεὶ μή πως, ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ (72) αὐτοῦ, οὕτω φθαρῇ ποτὲ τὰ νοήματά σου. Διά τοι τοῦτο μυρίαις μὲν ἐπῳδαῖς ἐπειρώμην ἀεὶ (73) καταστέλλειν τῶν παθῶν τὸν τάραχον, μυρίαις δὲ φυλακαῖς συντηρεῖν τοῦ Κυρίου τὴν νύμφην καὶ τὸν βίον ἀεὶ τῆς ἀγάμου διεξῄειν, ὅτι δὴ μόνη ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵν' ᾖ ἁγία τῷ σώματι καὶ τῷ πνεύματι· καὶ τὸ ἀξίωμα τῆς παρθενίας ὑφηγούμην, καὶ ναόν σε Θεοῦ προσαγορεύων, οἱονεὶ πτερὸν ἐδίδουν τῇ προθυμίᾳ (74)

non ut humanas nuptias, imo ignominiosam illam corruptionem assequereris, sed ut a Domino Jesu non excideres? Quoties sponsi accepisti dona? Quid opus est honores etiam illius causa ab iis qui ejus sunt, delatos memorare? convictum cum virginibus? factos cum eisdem progressus? salutationes a virginibus exhibitas? laudes ob virginitatem? virgineas eulogias, litteras ut ad virginem scriptas? At spiritus aerii, qui nunc in filiis contumaciæ operatur, exigua aura modo suscepta, abnegasti hæc omnia, et pretiosam illam et dimicatione omni retinendam possessionem brevi voluptate commutasti: quæ ad tempus quidem guttur tuum illinit et exhilarat, sed postea felle amarior comperietur.

3. Ad hæc quis non ingemiscens dicat: *Quomodo* **137** *facta est meretrix civitas fidelis Sion* [59]? Quomodo autem non ipse Dominus ad eorum, qui nunc in Jeremiæ spiritu ambulant, aliquos dicat: *Vidisti quæ fecit mihi virgo Israel* [60]? *Ego despondi ipsam mihi ipsi in fide et integritate, in justitia et in judicio et in misericordia atque miserationibus* [61], quemadmodum et per Oseam prophetam ei promisi. Ipsa vero dilexit alienos, et vivente me viro, adultera audit, nec veretur viri alterius esse. Quid vero sponsæ dux divinus ac beatus Paulus, vetus ille, et novus hic, quo sequestro ac doctore, relicta paterna domo, Domino conjuncta es? An non dicat tanto malo dolens uterque? *Timor enim quem timebam, venit mihi, et quem metueram, occurrit mihi* [62]. *Desponsavi enim te uni viro, virginem castam exhibere Christo* [63]: sed metuebam semper, ne quodam modo, ut serpens Evam decepit versutia sua, ita aliquando corrumperentur sensus tui [64]. Quapropter innumeris incantamentis semper conatus sum affectuum tumultum comprimere, et innumeris excubiis Domini sponsam custodire, et vitam innuptæ semper exponebam, quod innupta sola curat quæ Domini sunt, ut sit sancta corpore et spiritu [65]; et virginitatis dignitatem enarrabam, et templum Dei te appellans, velut alas addebam, alacritate erigens ad Jesum; et per mali timorem ad cavendum casum suppetias ferebam, cum dicerem: *Si quis templum Dei profanat, hunc perdet*

[59] Isa. I, 21. [60] Jerem. XVIII, 13. [61] Ose. II, 17. [62] Job III, 25. [63] II Cor. XI, 2. [64] ibid. 3. [65] I Cor. VII, 34.

(67) *Πρὸς τοὺς ἁγίους*. Editi addunt πολλάκις, sed melius deest in Coisl. primo. Sic etiam editi paulo post, παρὰ τοῦ νυμφίου, sed præpositio deest in octo mss.

(68) *Ὕστερον δέ*. Sic antiqui codices. Editi ὕστερον μέντοι. Ibidem post εὑρήσεις addunt editi καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου, *et magis acutum gladio ancipite*. Sed hæc desunt in septem mss. Desunt pariter in octo veteribus libris quæ post has voces, πιστὴ Σιών, leguntur in editis, ἡ ποτὲ πλήρης κρίσεως, ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί· *quæ olim plena judicio, in qua justitia quiescebat, nunc autem homicidæ*.

(69) Ἀποφθέγξαιτο πρός τινα. Sic omnes codices mss. Editi ἀποφθέγξαι πρός τινας.

(70) *Ἐπηγγειλάμην*. Male in editis ἐπηγγειλάμεν. Mox editi τοῦ ἀθανάτου ἀνδρός, sed melius abest illud, ἀθανάτου, a Med. et Coisl. primo.

(71) *Πατρῷον*. Plerique mss. μητρῷον. Vetustissimi tamen Coisl. et Med. et alii nonnulli habent ut editi.

(72) *Ἐν τῇ πανουργίᾳ*. Præpositio addita ex sex mss. Mox editi ante has voces, διά τοι τοῦτο, addunt ἀπὸ τῆς ἁπλότητος τοῦ Χριστοῦ. Sed hæc desunt in omnibus mss. Ibidem editi ταῖς πνευματικαῖς ἐπῳδαῖς, *spiritualibus incantamentis*. Sed melius duo antiquissimi codices Coisl. et Med., quos in textu secuti sumus.

(73) *Ἀεί*. Deest in iisdem duobus codicibus.

(74) *Προθυμίᾳ*. Editi addunt καί, sed deest in plerisque mss. Ibidem tres codices ἀνακουφίζον.

Deus [66]. Sed et præsidium ex precibus meis addebam, si qua ratione integrum tibi corpus et anima et spiritus posset citra reprehensionem in adventu Domini nostri Jesu Christi servari. At frustra hæc omnia in te laboravi, mihique amarus exstitit dulcium illorum laborum exitus, rursusque ingemendi necessitas ob eam, de qua gaudere me oportebat. Ecce enim decepta es a serpente amarulentius quam Eva. Corrupta est non mens tua solum, sed etiam una cum mente corpus tuum. Et horrendum illud quod et dicere pudet, nec tamen silere queo (est enim velut quidam ignis in ossibus meis accensus et ardens, resolvorque undique et non possum ferre), tollens utique membra Christi, membra fecisti meretricis [67]. Hoc unum ex omnibus malum nequit cum alio comparari : hoc novum est in vita facinus. *Pertransite*, inquit, *insulas Chettiim, et videte, et in Cedar mittite, et considerate vehementer, an facta sint talia, an permutarint gentes deos suos : et isti non sunt dii* [68]; virgo autem mutavit gloriam suam, ejusque gloria est in turpitudine sua. Obstupuit cœlum ob hoc, et inhorruit terra vehementius. Dicit etiam nunc Dominus : Duo mala perpetravit **138** virgo : me dereliquit verum animarum sanctarum sanctum sponsum, et confugit ad impium et iniquum animæ simul et corporis corruptorem [69]. Defecit a Deo servatore suo, et præbuit membra sua serva immunditiæ et iniquitati [70]. Oblita est autem mei, et post amatorem suum ibat [71], a quo non juvabitur.

πρὸς Ἰησοῦν ἀνακουφίζων, καὶ τῷ φόβῳ τοῦ δεινοῦ πρὸς τὸ μὴ πεσεῖν ἐβοήθουν, λέγων (75)· *Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός*. Καὶ δὴ καὶ τὴν ἐκ τῶν προσευχῶν μου προσετίθουν ἀσφάλειαν, εἴ πως ὁλόκληρόν σου (76) τὸ σῶμα καὶ ἡ ψυχὴ καὶ τὸ πνεῦμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. Ἀλλὰ γὰρ εἰκῇ ταῦτα πάντα κεκοπίακα εἰς σέ· καί μοι πικρὸν ἐξέβη τῶν γλυκέων ἐκείνων πόνων τὸ πέρας· καὶ στένειν ἀνάγκη πάλιν ἐφ' ᾗ ἔδει με χαίρειν. Ἰδοὺ γὰρ ἠπάτηται μὲν ὑπὸ τοῦ ὄφεως τῆς Εὔας πικρότερον· ἔφθαρται δέ σοι οὐ τὰ νοήματα μόνον, ἀλλὰ γὰρ σὺν ἐκείνοις καὶ αὐτὸ τὸ σῶμα· καὶ τὸ φρικῶδες ἐκεῖνο, ὃ καὶ εἰπεῖν ὀκνῶ, καὶ σιωπᾷν οὐ δύναμαι (ἔστι γὰρ ὡς πῦρ καιόμενον καὶ φλεγόμενον (77) ἐν τοῖς ὀστέοις μου, καὶ παρεῖμαι πάντοθεν, καὶ οὐ δύναμαι φέρειν), ἄρασα τὰ μέλη τοῦ Χριστοῦ πεποίηκας μέλη πόρνης. Τοῦτο μόνον ἐν πᾶσι κακὸν ἀσύγκριτον· τοῦτο καινὸν ἐν βίῳ τὸ τόλμημα. Ὅτι, *Διέλθετε*, φησὶ, *νήσους Χεττιεὶμ, καὶ ἴδετε· καὶ εἰς Κηδὰρ ἀποστείλατε, καὶ νοήσατε σφόδρα, εἰ γέγονε τοιαῦτα, εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν, καὶ αὐτοὶ οὐκ εἰσὶ θεοί*· ἡ δὲ παρθένος ἠλλάξατο τὴν δόξαν αὐτῆς (78), καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῆς. Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἡ γῆ ἐπὶ πλεῖον σφόδρα. Λέγει (79) καὶ νῦν ὁ Κύριος, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ἡ παρθένος· ἐμὲ ἐγκατέλιπε τὸν ἀληθινὸν τὸν ἅγιον ψυχῶν ἁγίων νυμφίον, καὶ ἀπέδρα πρὸς ἀσεβῆ καὶ παράνομον ψυχῆς ὁμοῦ καὶ σώματος φθορέα. Ἀπέστη ἀπὸ Θεοῦ σωτῆρος αὐτῆς, καὶ παρέστησε τὰ μέλη αὐτῆς δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ. Ἐμοῦ δὲ ἐπελάθετο, καὶ ὀπίσω τοῦ ἐραστοῦ αὐτῆς ἐπορεύετο, ἐξ οὗ οὐκ ὠφεληθήσεται.

4. Expediret ei ut mola asinaria circa collum ipsius posita fuisset, et in mare projectus esset, potius quam offendiculo fuisset virgini Domini [72]. Quis servus contumax ita insaniit, ut in herilem thorum se ipse injiceret? aut quis prædo eo amentiæ devenit, ut ipsa Dei donaria contingeret, non vasa inanimata, sed corpora viventia, et animam inhabitantem habentia factam ad imaginem Dei? Quis unquam auditus est in media civitate et serena meridie imagini regiæ formas immundorum porcorum inscribere ausus esse? Nuptias humanas si quis violaverit, immisericorditer, coram duobus aut tribus testibus, moritur. Quanto graviore sup-

4. Συνέφερεν (80) αὐτῷ εἰ μύλος ὀνικὸς περιέκειτο περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔῤῥιπτο εἰς τὴν θάλασσαν, ἢ ὅτι ἐσκανδάλισε τὴν παρθένον Κυρίου τις. Δοῦλος (81) αὐθάδης εἰς τοσοῦτον ἐμάνη, ὡς δεσποτικῇ κοίτῃ ἑαυτὸν ἐπιῤῥίψαι; ἢ ποῖος λῃστὴς ἐπὶ τοσοῦτον ἀπονοίας προήχθη, ὡς αὐτῶν ἐφάψασθαι τῶν τοῦ Θεοῦ ἀναθημάτων, οὐ σκευῶν ἀψύχων, ἀλλὰ σωμάτων ζώντων καὶ ψυχὴν ἔνοικον ἐχόντων κατ' εἰκόνα Θεοῦ πεποιημένην; Τίς ἀπ' αἰῶνος ἤκουσται ἐν μέσῃ πόλει καὶ σταθερᾷ μεσημβρίᾳ εἰκόνι βασιλικῇ χοίρων μορφὰς ἀκαθάρτων ἐπιγράψαι τολμήσας; Ἀθετήσας τις γάμον ἀνθρώπου, χωρὶς οἰκτιρμῶν, ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν, ἀποθνήσκει.

[66] I Cor. III, 17. [67] I Cor. VI, 15. [68] Jerem. II, 10, 11. [69] Ibid. 12, 13. [70] Rom. VI, 19. [71] Ose. II, 13. [72] Luc. XVII, 2.

(75) *Λέγων*. Huc transtulimus hanc vocem ex cod. Coisl. et Medic. Male in editis legebatur post φθείρει.

(76) *Ὁλόκληρόν σου*. Sex mss. ὁλόκληρόν σοι, sed tamen vetustissimi Coisl. et Med. cum editis consentiunt.

(77) *Φλεγόμενον*. Deest in sex mss., non tamen in Med. et Coisl. primo. Unus ex Regiis φλέγον. Paulo post auctoritate veterum codicum emendavimus quod vitiose in editis legebatur Ἄρασα γὰρ τὰ μέλη, et infra καὶ εἰ νοήσατε.

(78) *Αὐτῆς, καὶ ἡ δόξα*. Hæc desunt in octo mss., non tamen in Medicæo et Coisliniano primo.

(79) *Λέγει*. Editi addunt πάντως, sed melius deest in Med. et Coisl. primo. Non multo post editi τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, et ἐπελάθετο, λέγει Κύριος. Primum additamentum abest a Coisl. primo et Med., alterum ab octo mss.

(80) *Συνέφερεν*. Ita omnes mss. Editi Συνέφερε δὲ καί.

(81) *Δοῦλος*. Editi addunt οὕτως, quod abest a mss. Deest etiam ibidem Κυρίου in Coisl. primo et Med.

Πόσῳ, δοκεῖτε (82), χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὴν αὐτῷ καθομολογηθεῖσαν νύμφην νοθεύσας, καὶ τὸ πνεῦμα τῆς παρθενίας καθυβρίσας; Ἀλλ' ἐβούλετο, φησὶν, ἐκείνη· καὶ οὐκ ἄκουσαν ἐβιασάμην (83) αὐτήν. Καὶ γὰρ ἡ δέσποινα ἡ ἄσωτος ἡ Αἰγυπτία αὐτὴ τῷ καλῷ Ἰωσὴφ ἐπεμάνη· ἀλλ' οὐκ ἐνίκησε τὴν ἀρετὴν τοῦ σώφρονος ἡ μανία τῆς ἀκολάστου, οὐδὲ, χερσὶν αὐτῆς βιαζομένης, πρὸς τὴν παρανομίαν ἐκεῖνος ἐβιάσθη. Ἀλλ' ἐκέκριτο ἐκείνη τοῦτο, φησὶ, καὶ οὐκέτι ἦν παρθένος· καὶ εἰ ἐγὼ μὴ ἐβουλόμην, πρὸς ἄλλον ἂν ἐφθάρη (84). Καὶ γὰρ τὸν Υἱὸν τοῦ ἀνθρώπου, φησὶν, ἔδει παραδοθῆναι, ἀλλ' οὐαὶ δι' οὗ παρεδόθη· καὶ τὰ σκάνδαλα ἐλθεῖν ἀνάγκη, ἀλλ' οὐαὶ δι' οὗ ἔρχεται.

5. Ἐπὶ τούτοις (85), *Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει;* Διὰ τί ἀπέστρεψεν ἡ παρθένος ἀποστροφὴν ἀναιδῆ, καίτοιγε ἀκούσασα Χριστοῦ (86) τοῦ νυμφίου διὰ Ἱερεμίου λέγοντος· *Καὶ εἶπα μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα· Πρός με ἀνάστρεψον· καὶ οὐκ ἀνέστρεψε. Μὴ ῥητίνη οὐκ ἔστιν ἐν Γαλαάδ; ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ; Διὰ τί οὐκ ἀνέβη ἴασις θυγατρὸς λαοῦ μου;* Ἤ καὶ πολλὰ μὲν ἂν εὕροις ἐν τῇ θείᾳ Γραφῇ τοῦ κακοῦ ἀλεξήματα, πολλὰ δὲ ἐξ ἀπωλείας εἰς σωτηρίαν φάρμακα· τὰ περὶ θανάτου καὶ ἀναστάσεως μυστήρια (87), τὰ περὶ κρίσεως φοβερᾶς καὶ αἰωνίου κολάσεως ῥήματα· τὰ περὶ μετανοίας καὶ ἀφέσεως ἁμαρτημάτων δόγματα· τὰ μυρία ἐκεῖνα τῆς ἐπιστροφῆς ὑποδείγματα· τὴν δραχμὴν, τὸ πρόβατον, τὸν υἱὸν τὸν καταφαγόντα τὸν βίον μετὰ τῶν πορνῶν, τὸν ἀπολωλότα καὶ εὑρεθέντα (88), τὸν νεκρὸν καὶ πάλιν ἀναζήσαντα. Τούτοις χρησώμεθα (89) τοῦ κακοῦ ἀλεξήμασι, διὰ τούτων τὴν ψυχὴν ἑαυτῶν ἰασώμεθα. Λάβε δὲ εἰς ἔννοιαν τὴν ἐσχάτην ἡμέραν (οὐ γὰρ δὴ μόνη σὺ τὸν αἰῶνα βιώσεις), καὶ συνοχὴν, καὶ πνιγμὸν, καὶ θανάτου ὥραν, καὶ ἀπόφασιν Θεοῦ κατεπείγουσαν, καὶ ἀγγέλους ἐπισπεύδοντας, καὶ ψυχὴν ἐν τούτοις δεινῶς θορυβουμένην, καὶ ἁμαρτωλῷ συνειδότι πικρῶς μαστιγουμένην (90) καὶ πρὸς τὰ τῇδε ἐλεεινῶς ἐπιστρέφουσαν, καὶ ἀπαραίτητον τῆς μακρᾶς ἐκείνης ἀποδημίας ἀνάγκην. Διάγραψόν μοι τῇ διανοίᾳ τὴν τελευταίαν τοῦ κοινοῦ βίου καταστροφὴν, ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ Θεοῦ ἐν τῇ δόξῃ αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ. *Ἥξει γὰρ, καὶ οὐ παρασιωπήσεται·* ὅταν ἔλθῃ κρῖναι ζῶντας καὶ νεκροὺς,

plicio, putatis, dignus censebitur, qui Filium Dei viventis conculcavit, eique promissis obstrictam sponsam adulterio contaminavit, ac spiritum virginitatis contumelia affecit [73]. At illa, inquit, volebat, nec invitæ vim intuli. Sed et libidinosa illa Ægyptia domina pulchri Josephi amore insaniebat; verum non vicit virtutem pudici furor impudicæ, neque, illa manibus vim inferente, ad iniquitatem ille adactus. At illa hoc decreverat, inquit, nec amplius erat virgo; et si ego non voluissem, fuisset ab altero corrupta. Oportebat quidem et Filium hominis tradi: sed væ illi per quem traditus est [74]; atque scandala venire necesse est: sed væ illi per quem veniunt [75].

5. Ad hæc autem, *Nunquid qui cadit, non resurgit? Aut qui se avertit, non convertitur* [76]? Cur avertit se virgo aversione impudenti, tametsi audivit Christum sponsum per Jeremiam dicentem: *Et dix..., postquam scortata fuit hæc omnia: Ad me revertere; et reversa non est* [77]. *Nunquid resina non est in Galaad? aut medicus non est ibi? Quare non ascendit sanatio filiæ populi mei* [78]? Ac multa quidem reperias in divina Scriptura mali remedia, multa ex interitu ad salutem medicamenta, de morte atque resurrectione mysteria, de horrendo judicio deque æterno supplicio testimonia, de pœnitentia et venia peccatorum dogmata; innumera illa conversionis exempla, drachmam, oviculam, filium qui consumpserat res suas cum scortis, perditum et repertum, mortuum et rursus viventem. Utamur his mali remediis: per hæc animæ nostræ medeamur. Cogita autem diem extremam (siquidem **139** non tu sola sæculum æternum vives), anxietatem, suffocationem, mortis horam, urgentem Dei sententiam, festinantes angelos, animum interea graviter perturbatum, et conscientia peccatrice amare excruciatum, seque miserabiliter ad ea quæ hic sunt convertentem, ac ineluctabilem longæ illius peregrinationis necessitatem. Describe mihi in mente tua extremum communis vitæ finem, cum veniet Filius Dei in gloria sua cum angelis suis: *Veniet enim, et non silebit* [79]: nimirum quando veniet judicaturus vivos ac mortuos, atque unicuique secundum opus suum redditurus, quando tuba illa magnum quiddam ac horrendum sonans excitabit

[73] Hebr. x, 29. [74] Marc. xiv, 21. [75] Matth. xviii, 7. [76] Jerem. viii, 4. [77] Jerem. iii, 7. [78] Jerem. viii, 22. [79] Psal. xlix, 3.

(82) *Δοκεῖτε*. Sic mss. codices. Editi δοκεῖται. Paulo post editi, Θεοῦ ζῶντος. Novem mss. ut in textu.

(83) *Ἐβιασάμην*. Deest αὐτὴν in omnibus mss., si excipias duos vetustissimos.

(84) *Πρὸς ἄλλον ἂν ἐφθάρη*. Sic codices mss. novem. Editi πρὸς ἄλλου ἂν διεφθάρη.

(85) *Ἐπὶ τούτοις*. Editi addunt Πᾶσι δέ, sed hæc in novem desunt mss. In totidem codicibus desiderantur quæ in editis post ἐπιστρέφει leguntur: Οὐ γὰρ, εἴ τις πέπτωκεν, ὀφείλει καὶ κυλίεσθαι, *Non enim si quis cecidit, debet et volutari*.

(86) *Χριστοῦ*. Codices Combefisiani χρηστοῦ.

(87) *Μυστήρια*. Sic codices mss. octo. Editi μαρτύρια.

(88) *Καὶ εὑρεθέντα*. Ita novem mss. Editi καὶ πάλιν εὑρεθέντα. Illud, πάλιν, Coisl. primi et Med. auctoritate posuimus ante ἀναστήσαντα.

(89) *Χρησώμεθα*. Editio Paris. prima χρησάμεθα. Ibidem editi βοηθήμασι. Codices Coisl. primus et Medicæus ἀλεξήμασι. Ex iisdem legimus Λάβε δέ. Deest vocula δέ in editis.

(90) *Μαστιγουμένην*. Quatuor codices προμαστιγουμένην. Ibidem duo codices ὑποστρέφουσαν. Paulo post editi τῇ διανοίᾳ σου et μετὰ πάντων τῶν ἀγγέλων. Novem mss. ut in textu.

eos qui ab orbe condito dormierint, et procedent A qui bona fecerint, in resurrectionem vitæ [80], qui vero mala, in resurrectionem judicii. Revoca tibi in memoriam Danieli oblatam Dei visionem, quomodo nobis ob oculos judicium ponat. *Aspiciebam*, inquit, *donec throni positi sunt, et Antiquus dierum sedit. Vestimentum ejus candidum quasi nix, et capillus capitis ejus quasi lana munda; rotæ ejus ignis ardens. Flumen ignis trahebat in conspectu ejus. Mille millia deserviebant ei, et dena millia denum millium assistebant ei. Judiciique locum constituit, et libri aperti sunt* [81]; bona, mala, manifesta, occulta, actiones, verba, cogitationes, omnia acervatim, ut ab omnibus et angelis et hominibus exaudiri possint, clare et aperte revelantes. Ad hæc quomodo affectos necesse est esse eos qui male vixerint? Ubi itaque B anima illa abscondetur, quæ in oculis tot spectatorum subito visa fuerit dedecoris plena? Quali vero corpore infinita illa et intolerabilia perferet supplicia, ubi ignis inexstinctus, et vermis indesinenter puniens, et imum inferi tenebricosum et horrendum, et ululatus amari, et ejulatus ingens, et ploratus, et stridor dentium, et ubi mala finem non habent? Ab his post mortem liberari non datur, neque est industria ulla, neque ars effugiendi amara supplicia.

A καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ· ὅταν ἡ σάλπιγξ ἐκείνη, μέγα τι καὶ φοβερὸν ἠχήσασα, τοὺς ἀπ' αἰῶνος ἐξυπνίσῃ καθεύδοντας, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Μνήσθητι τῆς τοῦ Δανιὴλ θεοπτίας (91), ὅπως ἡμῖν ὑπ' ὄψιν ἄγει τὴν κρίσιν. *Ἐθεώρουν*, φησὶν, *ἕως ὅτου θρόνοι ἐτέθησαν, καὶ Παλαιὸς ἡμερῶν ἐκάθητο. Καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιὼν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρὸν, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. Ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ. Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ· καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ. Κριτήριον ἐκάθισε, καὶ βίβλοι ἀνεῴχθησαν·* τὰ καλὰ, τὰ φαῦλα, τὰ φανερὰ, τὰ B κεκρυμμένα, τὰ πράγματα, τὰ ῥήματα, τὰ ἐνθυμήματα, τὰ πάντα ἀθρόως (92) εἰς ἐξάκουστον τοῖς πᾶσι καὶ ἀγγέλοις καὶ ἀνθρώποις σαφῶς ἀνακαλύπτουσαι. Πρὸς ταῦτα ποταποὺς εἶναι ἀνάγκη τοὺς κακῶς βεβιωκότας; Ποῦ ἄρα ἡ ψυχὴ ἐκείνη καταδύσεται, ἡ ἐν ὄψεσι τοσούτων θεατῶν ἐξαίφνης ὀφθεῖσα αἰσχύνης ἀνάπλεως; Ποίῳ δὲ σώματι τὰς ἀπεράντους ἐκείνας καὶ ἀνυποίστους ὑποστήσεται μάστιγας, ὅπου πῦρ ἄσβεστον, καὶ σκώληξ ἀθάνατα κολάζων, καὶ πυθμὴν ᾅδου σκοτεινὸς καὶ φρικώδης, καὶ οἰμωγαὶ πικραὶ, καὶ ὀλολυγμὸς ἐξαίσιος, καὶ κλαυθμὸς καὶ βρυγμὸς ὀδόντων, καὶ πέρας οὐκ ἔχει τὰ δεινά. Τούτων οὐκ ἔστιν ἀπαλλαγὴ μετὰ θάνατον, οὐδέ τις ἐπίνοια, οὐδὲ μηχανὴ τοῦ διεκδῦναι τὰ πικρὰ κολαστήρια.

6. Hæc nunc vitare licet. Dum autem licet, eri- C gamus nosmetipsos ex casu, neque de nobis ipsi desperemus, si a malis discesserimus, Jesus Christus venit in mundum peccatores salvos facturus. *Venite, adoremus et procidamus ante illum, et ploremus coram ipso* [82]. Verbum vocans nos ad pœnitentiam, clamat ac vociferatur: *Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos* [83]. Est igitur via salutis, si modo velimus. Deglutivit mors prævalens: sed probe scito, Deum rursum abstulisse lacrymam omnem ab omni facie pœnitentium [84]. *Fidelis Dominus in omnibus verbis suis* [85]. Non mentitur cum dicit: *Si fuerint peccata vestra quasi phœniceum, sicut nivem dealbabo: si vero fuerint ut coccinum, sicut lanam dealbabo* [86]. Paratus est magnus ille animarum medicus mor- D bum tuum sanare; qui non tui solius, sed eorum omnium, qui peccato in servitutem addicti sunt, promptus est liberator. **140** Verba illius sunt: dulce illud ac salutare os dixit: *Non opus habent valentes medico, sed male habentes. Non veni ad vocandum justos, sed peccatores ad pœnitentiam* [87]. Quænam ergo tua excusatio est, aut alterius cujusvis, cum

C 6. Ταῦτα φεύγειν ἔξεστι νῦν. Ἕως ἔξεστιν, ἑαυτοὺς ἀπὸ τοῦ πτώματος ἀναλάβωμεν, μηδὲ ἀπελπίσωμεν ἑαυτῶν (93), ἐὰν ἀναλύσωμεν ἀπὸ τῶν κακῶν. Ἰησοῦς Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι. *Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον αὐτοῦ.* Ἡμᾶς ἐπὶ μετάνοιαν καλῶν ὁ Λόγος βοᾷ καὶ κέκραγε· *Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς* (94). Ἔστιν οὖν ὁδὸς σωτηρίας, ἐὰν θέλωμεν. Κατέπιεν ὁ θάνατος ἰσχύσας· ἀλλ' εὖ ἴσθι, ὅτι πάλιν ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου τῶν μετανοούντων. *Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ.* Οὐ ψεύδεται εἰπών (95)· *Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκ-* D *κινον, ὡσεὶ ἔριον λευκανῶ.* Ἕτοιμός ἐστιν ὁ μέγας τῶν ψυχῶν ἰατρὸς ἰάσασθαί σου τὸ πάθος, ὃς οὐδὲ (96) μονωτάτης, ἀλλὰ πάντων τῶν δεδουλωμένων τῇ ἁμαρτίᾳ ἐστὶν ἕτοιμος ἐλευθερωτής. Ἐκείνου ῥήματά ἐστιν· ἐκεῖνο τὸ γλυκὺ καὶ σωτήριον στόμα εἶπεν· *Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν* (97).

[80] Joan. v, 29. [81] Dan. vii, 9, 10. [82] Psal. xciv, 6. [83] Matth. xi, 28. [84] Isa. xxv, 8. [85] Psal. cxliv, 13. [86] Isa. i, 18. [87] Matth. ix, 12, 13.

(91) *Θεοπτίας*. Editi θεοπτείας... Ἕως, φησὶν, ἐθεώρουν ὅτε οὗ. Codices mss. omnes ut in textu.

(92) *Τὰ πάντα ἀθρόως*. Sic magno consensu mss. Editi ταῦτα πάντα φανερῶς.

(93) *Ἑαυτῶν*. Ἑαυτοὺς Coisl. primus.

(94) *Δεῦτε... ὑμᾶς*. Hæc desunt in octo mss. in quibus sic legitur: κέκραγεν. Ἔστιν ὁδός.

(95) *Εἰπών*. Editi addunt articulum, sed deest in mss.

(96) *Ὃς οὐδὲ... ἐλευθερωτής*. Hæc desunt in octo codicibus.

(97) *Εἰς μετάνοιαν*. Statim in sex codicibus βάλλεται Κύριος, cæteris omissis.

Τίς οὖν ἐστί σοι πρόφασις, ἢ τινι ἄλλῳ, ταῦτα αὐτοῦ βοῶντος; Βούλεται Κύριος καθαρίσαι σε ἀπὸ τοῦ πόνου τῆς πληγῆς, καὶ δεῖξαί σοι φῶς ἀπὸ σκότους. Ὁ ζητεῖ ὁ ποιμὴν ὁ καλὸς, ὁ καταλιπὼν τὰ μὴ πεπλανημένα. Ἐὰν ἐπιδῷς σεαυτὴν, οὐκ ὀκνήσει, οὐδ' ἀπαξιώσει σε (98) ὁ φιλάνθρωπος ἐπὶ τῶν ὤμων βαστάσαι τῶν ἰδίων, χαίρων, ὅτι εὗρεν αὐτοῦ τὸ πρόβατον τὸ ἀπολωλός. Ἕστηκεν ὁ πατὴρ, καὶ ἀναμένει τὴν σὴν ἀπὸ τῆς πλάνης ἐπάνοδον. Μόνον ἀνάλυσον, καὶ ἔτι σου μακρὰν οὔσης, προσδραμὼν ἐπιπεσεῖται ἐπὶ τὸν τράχηλόν σου, καὶ φιλικοῖς ἀσπασμοῖς περιπλέξεται τὴν ὑπὸ τῆς μετανοίας ἤδη κεκαθαρμένην. Καὶ στολὴν ἐνδύσει, τὴν πρώτην, ψυχὴν (99) ἀπεκδυσαμένην τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς αὐτοῦ πράξεσι· καὶ περιθήσει δακτύλιον χερσὶν ἀποπλυναμέναις τοῦ θανάτου τὸ αἷμα, καὶ ὑποδήσει πόδας ἀποστρέψαντας ἀπὸ ὁδοῦ κακῆς πρὸς τὸν δρόμον τοῦ εὐαγγελίου τῆς εἰρήνης. B Καὶ εὐφροσύνης καὶ χαρᾶς ἡμέραν καταγγελεῖ τοῖς ἰδίοις καὶ ἀγγέλοις καὶ ἀνθρώποις, καὶ παντὶ τρόπῳ τὴν σὴν ἑορτάσει σωτηρίαν. *Ἀμὴν γὰρ λέγω*, φησὶν, *ὑμῖν, ὅτι χαρὰ γίνεται ἐν οὐρανῷ ἐνώπιον τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι*. Κἂν ἐγκαλέσῃ τις τῶν ἑστάναι δοκούντων, ὅτι ταχὺ προσελήφθης· αὐτὸς ὁ ἀγαθὸς πατὴρ ὑπὲρ σοῦ ἀπολογήσεται λέγων, Εὐφρανθῆναι δεῖ καὶ χαρῆναι, ὅτι αὕτη ἡ θυγάτηρ μου νεκρὰ ἦν, καὶ ἀνέζησε, καὶ ἀπολωλυῖα, καὶ εὑρέθη.

A hæc ipse clamet? Vult Dominus purgare te a doloris plaga, ac post tenebras tibi lumen ostendere. Quærit te pastor bonus, ovibus quæ non erravere, derelictis. Te ipsa si dedideris, non cunctabitur, neque dedignabitur te suis ipsius humeris portare, lætus quod ovem suam perditam invenerit. Stat pater, ac exspectat tuum ab errore reditum. Revertere tantummodo, teque longe adhuc stante, accurrens cadet in collum tuum, et amicis amplexibus jam pœnitentia expurgatam complectetur. Quinetiam stola prima animam induet, homine vetere cum operibus suis exutam, annulumque manibus mortis sanguine ablutis circumponet, et calceos dabit pedibus a via mala ad cursum evangelii pacis conversis. Atque lætitiæ ac gaudii diem annuntiabit suis tum angelis tum hominibus, ac omnibus modis salutem tuam celebrabit. Ait enim: *Amen dico vobis, quod gaudium est in cælo coram Deo, super uno peccatore pænitente* [88]. Quod si quispiam ex iis qui stare sibi videntur, vitio verterit, quod cito assumpta es; ipse ille bonus pater pro te respondebit, dicens: Lætandum est et gaudendum, quia hæc filia mea mortua erat, et revixit, et deperdita erat, et inventa est [89].

[88] Luc. xv, 7. [89] ibid. 32.

(98) *Ἀπαξιώσει σε*. Voculam addidimus ex mss.

(99) *Ψυχήν*. Editi τὴν ψυχήν σου. Mss. ut in textu.

CLASSIS SECUNDA

Epistolæ quas S. Basilius episcopus scripsit ab anno 370 ad annum 378.

—

ΕΠΙΣΤΟΛΗ ΜΖ'.

EPISTOLA XLVII*.

Gregorius Theologi pater Eusebium Samosatensem, misso Eustathio diacono, invitat ad electionem episcopi Cæsariensis ut eo adjuvante Basilius eligi possit.

C

Γρηγορίῳ (1) *ἑταίρῳ*.

Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς; ἢ πῶς ἀνακαινισθῇ μου τὸ γῆρας, ὥστε με δυνηθῆναι διαβῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ τόν τε πόθον ὃν ἔχω ἐφ' ὑμῖν ἀναπαῦσαι, καὶ τὰ λυπηρὰ τῆς ψυχῆς διηγήσασθαι, καὶ δι' ὑμῶν εὑρέσθαι τινὰ παραμυθίαν τῶν θλίψεων; Ἐπὶ γὰρ τῇ κοιμήσει τοῦ μακαρίου Εὐσεβίου τοῦ ἐπισκόπου φόβος ἡμᾶς κατ-

Gregorio sodali.

Quis dabit mihi alas sicut columbæ [90]? aut quomodo senium meum renovetur, ut ad dilectionem vestram transire, et meum vestri desiderium exsatiare possim, et molestias animi narrare, et a vobis aliquod afflictationum levamen consequi? Nam mortuo beato episcopo Eusebio, metus nos cepit haud parvus, ne forte qui aliquando Ecclesiæ me-

[90] Psal. LIV, 7.

(1) *Γρηγορίῳ*. Hic titulus sic habetur in codicibus Vat., Med. et Coisl. primo: Γρηγορίῳ ἑταίρῳ περὶ τῆς κοιμήσεως Εὐσεβίου τοῦ ἐπισκόπου· καὶ ὅτι ἔχει πρὸ ὀφθαλμῶν τὸν εἰς τὴν ἐπισκοπὴν ἐπιτήδειον, *Gregorio sodali de obitu Eusebii episcopi; et quod habet præ oculis virum ad episcopale munus idoneum*... Legi non potest attentius hæc epistola, quin eam non a Basilio, sed potius de Basilio scriptam esse pateat. Plures tamen decepit titulus; at hodie inter eruditos fere convenit eam a Gregorio patre, filii manu, ad Eusebium Samosatensem scriptam fuisse. Nam senem se esse declarat auctor epistolæ et in Cappadocia episcopum, ut qui litteris cleri ad electionem episcopi, et Ecclesiæ Cæsariensis defensionem invitatus fuerit. Is autem ad quem scribit et eadem dignitate præditus erat, et laboribus pro Ecclesia susceptis clarus, et amicus Basilio, nec Cappadociæ vicinus. Omnia in Eusebium Samosatensem mirifice conveniunt, quem Basilii ordinationi scimus interfuisse.

* Alias IV. Scripta anno 370.

tropolis nostræ insidiati sunt, eamque hæreticis zizaniis complere voluerunt, nunc occasionem nacti, satam multo labore in hominum animis pietatem **141** pravis suis doctrinis eradicent, ejusque scindant unitatem : quod et in multis Ecclesiis factitarunt. Postquam autem et cleri litteræ ad nos venerunt, exhortantes ut ne ejusmodi tempore despiciamus; circumspiciens quoquoversum, recordatus sum vestræ charitatis rectæque fidei, et studii quod semper in Ecclesias Dei adhibetis. Atque ea de causa misi dilectum Eustathium condiaconum, qui vestram gravitatem adhortetur, expretque ut exantlatis omnibus pro Ecclesiis laboribus hunc quoque addatis, simulque senium meum vestro recreetis congressu, ac percelebrem sanæ Ecclesiæ pietatem instauretis, præficientes ei una nobiscum (si modo digni habeamur, qui vobiscum opus bonum adjuvemus) pastorem secundum Domini voluntatem, qui possit ipsius populum gubernare. Habemus enim ob oculos virum, nec vobis ignotum : quem si obtinere possumus, scio acquisituros nos magnam apud Deum fiduciam, atque in populum, qui nos advocavit, beneficium maximum collaturos. Sed iterum atque sæpius rogo, ut omni deposita segnitie occurratis et hiemis difficultates antevertatis.

A έλαβεν οὐ μικρὸς, μήποτε οἱ ποτὲ ἐφεδρεύοντες (2) τῇ ἐκκλησίᾳ τῆς μητροπόλεως ἡμῶν, καὶ βουλόμεν[οι] αὐτὴν αἱρετικῶν ζιζανίων πληρῶσαι, καιροῦ νῦν λα[β]όμενοι, τὴν πολλῷ καμάτῳ κατασπαρεῖσαν ἐν τα[ῖς] ψυχαῖς τῶν ἀνθρώπων εὐσέβειαν ταῖς παρ' ἑαυτῶ[ν] πονηραῖς διδασκαλίαις ἐκριζώσωσι, καὶ ταύτης τ[ὴν] ἑνότητα κατατέμωσιν· ὅπερ καὶ ἐπὶ πολλῶν Ἐκκλη[σιῶν] σιῶν πεποιήκασιν. Ἐπειδὴ δὲ καὶ γράμματα πρ[ὸς] ἡμᾶς ἀφίκετο τοῦ κλήρου, παρακαλοῦντα μὴ πα[ρ]οφθῆναι ἐν καιρῷ τοιούτῳ, περιβλεψάμενος ἐν κύκλ[ῳ] ἐμνήσθην τῆς ὑμετέρας ἀγάπης, καὶ τῆς ὀρθῆς π[ί]στεως, καὶ τοῦ ζήλου ὃν ἔχετε ἀεὶ ὑπὲρ τῶν Ἐκκλη[σιῶν] σιῶν τοῦ Θεοῦ. Καὶ τούτου ἕνεκεν ἀπέστειλα τ[ὸν] ἀγαπητὸν Εὐστάθιον τὸν συνδιάκονον, παρακαλέσ[οντα] ὑμῶν τὴν σεμνοπρέπειαν, καὶ δυσωπῆσαι πᾶσι τ[οῖς] **B** ὑπὲρ τῶν Ἐκκλησιῶν καμάτοις καὶ τὸν παρόν[τα] ἐπιθεῖναι· κἀμοῦ τε τὸ γῆρας τῇ συντυχίᾳ ἀναπαῦ[σαι]σαι· καὶ τῇ ὀρθῇ Ἐκκλησίᾳ τὴν περιβόητον εὐσέβει[αν] διορθώσασθαι, δόντας αὐτῇ μεθ' ἡμῶν (εἰ ἄρα κατα[ξι]ξιωθείημεν συναντιλαβέσθαι ὑμῖν τοῦ ἀγαθοῦ ἔργου) ποιμένα κατὰ τὸ βούλημα τοῦ Κυρίου, δυνάμεν[ον] διευθῦναι τὸν λαὸν αὐτοῦ. Ἔχομεν γὰρ (3) πρ[ὸ] ὀφθαλμῶν ἄνδρα ὃν οὐδὲ αὐτοὶ ἀγνοεῖτε· οὗ εἰ κατα[ξι]ξιωθείημεν ἐπιτυχεῖν, οἶδα ὅτι μεγάλην παῤῥησία[ν] πρὸς τὸν Θεὸν κτησόμεθα, καὶ τῷ ἐπικαλεσαμέ[νῳ] ἡμᾶς λαῷ μεγίστην εὐεργεσίαν καταθησόμεθα. Ἀλλὰ παρακαλῶ (4) καὶ πάλιν καὶ πολλάκις, πάντα ὄκνον ὑπερθεμένους ἀπαντῆσαι καὶ προλαβεῖν τὰ ἐκ τ[οῦ] χειμῶνος δυσχερῆ.

EPISTOLA XLVIII.

ΕΠΙΣΤΟΛΗ ΜΗ.

Hiemem excusat Basilius cur non scripserit. Mittit epistolas Antiochia allatas. Narrat de Demophilo simulacrum pietatis et rectæ fidei præ se ferente, et de episcoporum, post egressum Eusebii, adventu et schismatico animo. Rogat ut revisat vere ineunte.

Eusebio, episcopo Samosatorum.

Vix nacti sumus qui litteras ad tuam pietatem deferret, siquidem nostri homines ita hiemem exhorrescunt, ut ne paululum quidem ex ædibus prospicere velint. Nam tanta nivium copia abluti sumus, ut cum ipsis ædibus cooperti jam duos menses in speluncis latitemus. Prorsus itaque nobis ignosces,

C

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

Μόλις ἡμῖν ὑπῆρξεν ἐπιτυχεῖν διακόνου γραμμά[των] των πρὸς τὴν σὴν θεοσέβειαν· ἐπεὶ οἵγε παρ' ἡμ[ῖν] οὕτω κατέπτηξαν τὸν χειμῶνα, ὡς μηδὲ τὸ μικρό[ta]τατον προκύπτειν τῶν δωματίων ἀνέχεσθαι. Καὶ γὰρ τοσούτῳ πλήθει χιόνων κατενίφημεν, ὡς αὐτοῖς οἰ[κοις] κοις καταχωσθέντες (5) δύο μῆνας ἤδη ταῖς κατα[...]

Alias CCLIV. Scripta initio episcopatus.

(2) *Ἐφεδρεύοντες.* Indicat Gregorius structas ab Arianis insidias Ecclesiæ Cæsariensi anno 365, cum Valens in hanc urbem venit cum suo Arianorum episcoporum comitatu. Tunc Basilius, qui se in solitudinem pacis tuendæ causa receperat, ad succurrendum episcopo suo advolavit, omnibus rebus Ecclesiæ utilitati posthabitis, ac præclarum illum triumphum reportavit, de quo Gregorius orat. 20, p. 39.

D

(3) *Ἔχομεν γάρ.* Sic quatuor antiqui codices et editio Haganoensis. Editi ἔχομεν μέν.

(4) *Ἀλλὰ παρακαλῶ*, etc. Minime mirum quod Eusebius in remotam provinciam ad electionem episcopi vocetur. Nam, cum unus sit episcopatus, et unus grex, sæpe incidunt tempora ejusmodi, ut curam suam et sollicitudinem episcopi exteris Ecclesiis debeant. Ut hæream in exemplo Eusebii Samosatensis, nemini sanctus ille martyr in hoc genere concessit, ac in variis Ecclesiis presbyteros et diaconos, atque etiam episcopos magno Ecclesiæ commodo ordinavit, ut testatur Theodoretus *Hist.* lib. IV, c. 13. Ex hac autem epistola et nonnullis aliis ejusdem Gregorii, et ex laboribus, quos a patre Basilii causa susceptos narrat in orationibus 19 et 26, facile perspicimus episcopos electionum otiosos spectatores non fuisse, sed plurimas earum partes conciliando et adhortando sustinuisse. Quin etiam electio interdum penes episcopos erat; et cum varia essent plebis ac cleri studia, ut in Basilii electione contigit, tunc ea pars vincebat cui major favebat episcoporum numerus. Hinc cum ad canonicam Basilii electionem deesset unius episcopi suffragium, Gregorius Nazianzi episcopus, quamvis senio ac morbo confectus, Cæsaream advolavit, *ut electionem calculo suo adjuvaret*, βοηθήσων τῇ ψήφῳ, Greg. Naz., orat. 19, p. 311, et 20, p. 343.

(5) *Καταχωσθέντες.* Ita mss. sex. Editi et tres vetustissimi codices Harl., Med. et Coisl. primus habent *καταχωσθέντας*. Quod quidem mirari subit. Nam sæpe alias in ejusmodi locis codices recentiores accusativum, vetustissimi nominativum habent. Quare satius visum est eam scripturam retinere, cui sex codices hoc loco, tres vetustissimi in aliis locis suffragantur. Paulo ante in tribus vetustissimis codicibus legitur τῶν δομάτων.

...κασιν ἐμφωλεύειν. Συγγνώσῃ οὖν πάντως ἡμῖν, τό A ...ὀκνηρὸν τῶν Καππαδοκικῶν (6) ἠθῶν, καὶ τὸ τῶν ...μάτων δυσκίνητον ἐπιστάμενος, εἰ μὴ θᾶττον ἐπε...σταλμεν, μηδ' εἰς γνῶσιν ἠγάγομεν τῇ τιμιότητί ...τὰ ἀπὸ τῆς Ἀντιοχείας, ἃ πάντως μὲν γνωρίζειν ...ἑωλόν ἐστι καὶ ψυχρὸν, πάλαι μεμαθηκότι, ὡς τὸ ...ός· πλὴν ἀλλ' οὐδὲν ἡγούμενοι πρᾶγμα καὶ τὰ ...γνωσμένα σημαίνειν, ἀπεστείλαμεν τὰς διὰ τοῦ ...αγνώστου κομισθείσας ἐπιστολάς. Καὶ ταῦτα μὲν ...ἐς τοσοῦτον. Ἡ δὲ Κωνσταντινούπολις ἔχει τὸν Δη...μόφιλον πολὺν ἤδη χρόνον (7), ὡς καὶ αὐτοὶ οὗτοι ...απαγγέλλουσι, καὶ προκεκήρυκται πάντως τῇ ὁσιότητί ...σου. Καίτοι περὶ αὐτὸν πλάσμα ὀρθότητος καὶ εὐλα...βείας παρὰ πάντων συμφώνως τῶν ἀφικνουμένων ...θρυλεῖται, ὡς καὶ τὰ διεστῶτα τῆς πόλεως μέρη εἰς ...ταὐτὸν συνελθεῖν, καὶ τῶν πλησιοχώρων τινὰς ἐπι- B ...σκόπων τὴν ἕνωσιν καταδέξασθαι. Οἱ δὲ ἡμέτεροι οὐδὲν ...βελτίους ἐφάνησαν τῶν ἐλπίδων. Ἐπιστάντες γὰρ ...εὐθὺς κατὰ πόδας τῆς ὑμετέρας ἐξόδου, πολλὰ μὲν ...εἶπον λυπηρὰ, πολλὰ δὲ ἐποίησαν, καὶ τέλος ἀνεχώ...ρησαν, βεβαιώσαντες ἡμῖν τὸ σχίσμα. Εἰ μὲν οὖν τι ...γένηται βέλτιον, καὶ εἰ παύσονται τῆς κακίας, ...δῆλον παντὶ πλὴν ἢ τῷ Θεῷ (8). Τὰ μὲν οὖν παρόντα ...ταῦτα. Ἡ δὲ λοιπὴ Ἐκκλησία εὐσταθεῖ τῇ τοῦ Θεοῦ ...χάριτι, καὶ εὔχεται ὁμοῦ τῷ ἦρι ἰδεῖν σε πάλιν ἐπὶ ...τῆς ἡμετέρας, καὶ ἀνανεωθῆναι διὰ τῆς ἀγαθῆς σου ...διδασκαλίας. Κἀμοὶ δὲ τὸ σῶμα οὐδὲν ἄμεινον τῆς ...συνηθείας ἔχει.

cum et Cappadocum animi timiditatem, et corporum torporem noveris, si citius non scripsimus, neque fecimus præstantiam tuam eorum quæ Antiochia allata sunt certiorem: quæ quidem omnino tibi nota facere rancidum est et frigidum, ut qui dudum didiceris, ut verisimile est; sed tamen nihil incommodi esse existimantes, etiam cognita significare, misimus allatas per lectorem epistolas. Ac de his quidem hactenus. Constantinopolis autem jamdudum habet Demophilum, ut et illi ipsi narrabunt, atque ut procul dubio jam prius sanctitati tuæ nuntiatum est. Ac de illo quidem simulacrum quoddam rectæ fidei et pietatis ab omnibus advenientibus, **142** summo consensu jactatur, adeo ut etiam dissidentes civitatis partes coaluerint in unum, atque ex vicinis episcopis nonnulli conjunctionem amplexi sint. Nostri autem spe et exspectatione non exstitere meliores. Nam cum statim post egressum tuum advenissent, multa quidem tristia dixere, multa etiam fecere, ac tandem discesserunt firmato nobis schismate. Utrum autem melius aliquid futurum sit, atque utrum ab improbitate discessuri sint, nemini nisi Deo compertum est. Itaque res præsentes sunt ejusmodi. Ecclesia autem reliqua per Dei gratiam præclare stat, teque exoptat, simul ac ver prodierit, iterum apud nos videre, et per bonam tuam doctrinam renovari. Mihi autem corpus solito melius non se habet.

ΕΠΙΣΤΟΛΗ ΜΘ'.

EPISTOLA XLIX*.

Basilius gratias agit Arcadio, qui conceptam a se de eo spem significaverat. Promittit ei Basilius martyrum reliquias, ad ecclesiam ab ipso constructam, si quas reperire possit.

Ἀρκαδίῳ ἐπισκόπῳ. C

Εὐχαρίστησα τῷ ἁγίῳ Θεῷ, γράμμασιν ἐντυχὼν ...τῆς εὐλαβείας ὑμῶν, καὶ εὔχομαι αὐτός τε τῆς ἐλπί...δος, ἣν ἔχετε ἐφ' ἡμῖν, ἄξιος εἶναι, καὶ ὑμᾶς τὸν ...ἐπὶ τῇ τιμῇ ἡμῶν, ἣν ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ...Ἰησοῦ Χριστοῦ τιμᾶτε ἡμᾶς, μισθὸν τέλειον κομί...σασθαι. Ὑπερήσθημεν δὲ, ὅτι καὶ, μέριμναν πρέ...πουσαν Χριστιανῷ ἀναλαβόντες, εἰς δόξαν τοῦ ὀνό...ματος τοῦ Χριστοῦ οἶκον ἠγείρατε, καὶ ἠγαπήσατε ...ὄντως, κατὰ τὸ γεγραμμένον, εὐπρέπειαν οἴκου ...Κυρίου, εὐτρεπίσαντες ἑαυτοῖς τὴν οὐράνιον (9) ...μονὴν τὴν ἡτοιμασμένην ἐν τῇ ἀναπαύσει τοῖς ἀγα...πῶσι τὸ ὄνομα τοῦ Χριστοῦ. Ἐὰν δὲ δυνηθῶμεν ...εὑρήσαι λείψανα μαρτύρων, εὐχόμεθα καὶ αὐτοὶ ...συμβάλεσθαι ὑμῶν τῇ σπουδῇ. Εἰ γὰρ εἰς μνημόσυνον ...αἰώνιον ἔσται δίκαιος, κοινωνοὶ (10) ἐσόμεθα, δηλονότι τῆς ἀγαθῆς μνήμης τῆς δοθησομένης ὑμῖν παρὰ τοῦ ...Ἁγίου.

Arcadio episcopo.

Gratias egi Deo sancto lectis pietatis tuæ litteris, precorque ut et ego ea spe, quam de me concepisti, dignus sim, et tu honoris, quem mihi habes in nomine Domini Jesu Christi, mercedem perfectam referas. Valde autem lætatus sum, quod curam Christiano dignam suscipiens, domum ad gloriam nominis Christi construxeris, ac vere dilexeris, sicut scriptum est **, decorem domus Domini: tibi ipsi præparans cœlestem mansionem, destinatam in requie diligentibus nomen Christi. Quod si reliquias martyrum investigare possim, cupio et ipse studii tui adjutor esse. Nam si in memoria æterna erit justus ***, profecto bonæ illius memoriæ, quam tibi sanctus impertiet, erimus participes.

** Psal. xxv, 8. *** Psal. cxi, 7.

(6) *Καππαδοκικῶν*. Ita Harl., Coisl. primus, D ...primus, Clarom. et Bigot. alter. Editi Καππα...κῶν.

(7) *Πολὺν ἤδη χρόνον*. Harl. et Med. cum duob. ...alis πολὺς ἤδη χρόνος. Paulo post legitur ἀπαγγέλ...λουσι in codicibus Harl. et Coisl. primo.

(8) *Πλὴν ἢ τῷ Θεῷ*. Coisl. uterque et unus ex ...regiis πλὴν εἰ τῷ Θεῷ.

(9) *Οὐράνιον*. Sic Coisl. uterque et Reg. secundus. Editi οὐρανίαν.

(10) *Κοινωνοί*. Ante hanc vocem editi addunt καί, sed hæc conjunctio abest ab omnibus mss. quos in hanc epistolam habuimus, nempe a Med., Coisl. utroque, Vat. et Reg. secundo.

* Alias CCCCVIII. Scripta initio episcopatus

EPISTOLA L*. ΕΠΙΣΤΟΛΗ Ν'.

Basilius gratias agit episcopo cuidam ætate et virtute venerando, qui prior ad eum scripserat adhortandi causa.

Innocentio episcopo. A *Ἰννοκεντίῳ ἐπισκόπῳ* (11).

1. Nemini arbitror tantum doloris afferre præsentem Ecclesiarum statum, seu potius, ut verius loquar, confusionem, quantum præstantiæ tuæ, qui comparas cum priscis præsentia, quantumque hæc ab illis distent, intelligis, ac illud etiam consideras, si res eodem impetu in pejus dilabantur, nihil prohibiturum, quominus Ecclesiæ brevi in aliam quamdam formam penitus transmutentur. Hæc sæpe mecum ipse cogitavi, si nobis adeo miserabilis Ecclesiarum depravatio videtur, quali eum animo his in rebus esse par sit, qui priscam tranquillitatem **159** et in fide concordiam Ecclesiarum Domini expertus est? At quemadmodum plurima pars doloris ad præstantiam tuam pervenit, ita decere arbitramur, ut et sollicitudinis pro Ecclesiis plurima ad tuam prudentiam pertineat. Dudum novi et ipse, pro mediocri mea rerum notitia, unam esse Ecclesiis nostris auxilii viam, si nobiscum conspirent Occidentales episcopi. Nam si voluerint, quod adhibuerunt studium in uno aut altero, perverse in Occidente sentire deprehensis, illud etiam pro nostrarum partium parœcia ostendere; fortasse rebus communibus non nihil accesserit utilitatis, imperatore multitudinis auctoritatem reverente et populis ubique ipsos sine dubio sequentibus. Quis autem ad hæc perficienda potentior est prudentia tua? quis ad videndum quid deceat acutior? quis ad perficienda quæ prosunt efficacior? quis ad dolendum ex fratrum afflictione propensior? quis perquam reverenda canitie tua Occidenti toti venerabilior? Relinque aliquod monumentum mortalibus, tua vivendi ratione dignum, Pater in primis venerande. Innumeros illos pro pietate exantlatos labores hoc uno facto exorna: mitte aliquos ex sancta tua Ecclesia viros in sana doctrina potentes ad Occidentales episcopos: expone illis calamitates quibus premimur: suggere

Ἀθανασίῳ, ἐπισκόπῳ Ἀλεξανδρείας.

1. Οὐδένα τοσοῦτον ἡγοῦμαι λυπεῖν τὴν παροῦσαν τῶν Ἐκκλησιῶν κατάστασιν, μᾶλλον δὲ σύγχυσιν, εἰπεῖν ἀληθέστερον, ὅσον τὴν σὴν τιμιότητα· συγκρίνοντα μὲν τοῖς ἀρχαίοις τανῦν, καὶ παρὰ πόσον B ταῦτα ἐκείνων ἐξήλλακται λογιζόμενον, καὶ ὅτι εἰ κατὰ τὴν αὐτὴν ὁρμὴν ὑποῤῥέοι (45) ἐπὶ τὸ χεῖρον τὰ πράγματα, οὐδὲν ἔσται τὸ κωλύον, εἴσω ὀλίγου χρόνου πρὸς ἄλλο τι σχῆμα παντελῶς μεθαρμοσθῆναι τὰς Ἐκκλησίας. Ταῦτα πολλάκις ἐπ' ἐμαυτοῦ γενόμενος διενοήθην, ὅτι, εἰ ἡμῖν οὕτως ἐλεεινὴ τῶν Ἐκκλησιῶν ἡ παρατροπὴ καταφαίνεται, ποίαν τινὰ εἰκὸς ἐπὶ τούτοις ψυχὴν ἔχειν τὸν τῆς ἀρχαίας εὐσταθείας καὶ ὁμονοίας περὶ τὴν πίστιν τῶν Ἐκκλησιῶν τοῦ Κυρίου (46) πεπειραμένον; Ἀλλ' ὥσπερ τὸ πολὺ τῆς λύπης τὴν σὴν τελειότητα περιίσταται, οὕτως ἡγούμεθα προσήκειν καὶ τῆς ὑπὲρ τῶν Ἐκκλησιῶν μερίμνης τὸ πλέον τῇ σῇ διαφέρειν φρονήσει. Πάλαι οἶδα καὶ αὐτὸς, κατὰ τὴν ἐνυπάρχουσάν μοι μετρίως τῶν πραγμάτων κατάληψιν, μίαν ἐπιγνοὺς ὁδὸν βοηθείας ταῖς καθ' ἡμᾶς Ἐκκλησίαις, τὴν C παρὰ τῶν δυτικῶν ἐπισκόπων σύμπνοιαν. Εἰ γὰρ βουληθεῖεν, ὃν ἀνέλαβον ὑπὲρ ἑνὸς ἢ δύο (47) τῶν κατὰ τὴν δύσιν ἐπὶ κακοδοξίᾳ φωραθέντων ζῆλον, τοῦτον καὶ ὑπὲρ τῆς παροικίας τῶν καθ' ἡμᾶς μερῶν ἐπιδείξασθαι, τάχα ἄν τι γένοιτο τοῖς κοινοῖς ὄφελος, τῶν τε κρατούντων (48) τὸ ἀξιόπιστον τοῦ πλήθους δυσωπουμένων, καὶ τῶν ἑκασταχοῦ λαῶν ἀκολουθούντων αὐτοῖς ἀναντιῤῥήτως. Τίς οὖν ταῦτα διαπράξασθαι τῆς σῆς συνέσεως δυνατώτερος; τίς συνιδεῖν τὸ δέον ὀξύτερος; τίς ἐνεργῆσαι τὰ χρήσιμα πρακτικώτερος; τίς πρὸς τὴν καταπόνησιν τῶν ἀδελφῶν συμπαθέστερος; τίς τῆς σεμνοτάτης σου πολιᾶς (49) πάσῃ τῇ δύσει αἰδεσιμώτερος; Κατάλιπέ τι μνημόσυνον τῷ βίῳ τῆς σῆς ἐπάξιον πολιτείας, τιμιώτατε D Πάτερ. Τοὺς μυρίους ἐκείνους ὑπὲρ τῆς εὐσεβείας ἄθλους ἑνὶ τούτῳ κατακόσμησον (50) ἔργῳ. Ἔκπεμψόν τινας ἐκ τῆς ἁγίας τῆς ὑπὸ σὲ Ἐκκλησίας ἄνδρας

* Alias XLVIII. Scripta anno 371.

(44) *Εὐθυμίας*. Sic iidem tres codices. Editi εὐθηνίας.

(45) *Ὑποῤῥέοι*. Ita sex mss. Editi ὑποῤῥέει.

(46) *Τοῦ Κυρίου*. Ita tres vetustissimi codices, Harl., Med. et Coisl. Editi τοῦ Θεοῦ.

(47) *Ὑπὲρ ἑνὸς ἢ δύο*. In ora codicis Regii secundi legitur hoc scholium: Περὶ τῶν κατὰ Ῥώμην ἐπισκόπων Αὐξεντίου, καὶ τῶν περὶ αὐτόν.

(48) *Τῶν τε κρατούντων*. Eadem voce imperatorem designat in epist. 68. Sic autem interpretando sustulimus quidquid erat ambigui in Græco contextu. Illud enim, ἀκολουθούντων αὐτοῖς, non debet referri ad imperatorem; alioqui Basilius profuisset αὐτῷ, ut in epist. modo citata. Præterea non tantum sibi de Valente pollicebatur, ut eum populis facem ad sanam fidem speraret ostensurum; sed hæc referri debent ad Occidentales. Atque inde nostra firmatur interpretatio. Nam cum hæc verba, *et populis ubique ipsos sine dubio sequentibus*, referri debeant ad Occidentales; si his vocibus, τῶν τε κρατούντων, quæ proxime antecedunt, non unicam personam, sed plures designasset.

(49) *Πολιᾶς*. Tres mss. et secunda manu Medicæus πολιτείας.

(50) *Κατακόσμησον*. Ita mss. septem: editi κατάστησον, *confirma*.

δυνατοὺς ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ πρὸς τοὺς κατὰ A τὴν δύσιν ἐπισκόπους· διήγησαι αὐτοῖς τὰς κατασχούσας ἡμᾶς συμφοράς· ὑπόθου τρόπον ἀντιλήψεως· γενοῦ Σαμουὴλ ταῖς Ἐκκλησίαις· πολεμουμένοις τοῖς λαοῖς συγκακοπάθησον· ἀνένεγκε εἰρηνικὰς (51) προσευχάς· αἴτησον χάριν παρὰ τοῦ Κυρίου, εἰρήνης τι μνημόσυνον ἐναφεῖναι (52) ταῖς Ἐκκλησίαις. Οἶδα ὅτι ἀσθενεῖς αἱ ἐπιστολαὶ πρὸς συμβουλὴν τοῦ τοσούτου πράγματος. Ἀλλ' οὔτε αὐτὸς τῆς παρ' ἑτέρων παρακλήσεως χρῄζεις, οὐ μᾶλλόν γε ἢ τῶν ἀγωνιστῶν οἱ γενναιότατοι τῆς παρὰ τῶν παίδων ὑποφωνήσεως· οὔτε ἡμεῖς ἀγνοοῦντα διδάσκομεν, ἀλλ' ἐσπουδακότι τὴν ὁρμὴν ἐπιτείνομεν.

2. Πρὸς μὲν οὖν τὰ λοιπὰ τῆς ἀνατολῆς ἴσως σοι καὶ πλειόνων συνεργίας προσδεῖ, καὶ ἀνάγκη ἀναμένειν τοὺς ἐκ τῆς δύσεως. Ἡ μέντοι τῆς κατὰ τὴν Ἀντιόχειαν Ἐκκλησίας εὐταξία προδήλως τῆς σῆς B ἤρτηται θεοσεβείας· ὥστε τοὺς μὲν οἰκονομῆσαι (53), τοὺς δὲ καθησυχάσαι, ἀποδοῦναι δὲ τὴν ἰσχὺν τῇ Ἐκκλησίᾳ (54) διὰ τῆς συμφωνίας. Καὶ γὰρ ὅτι ὀφείλεις, κατὰ τοὺς σοφωτάτους τῶν ἰατρῶν, τῆς ἐπιμελείας ἐκ τῶν καιριωτάτων ἄρχεσθαι, παντὸς ἀκριβέστερον αὐτὸς ἐπίστασαι. Τί δ' ἂν γένοιτο ταῖς κατὰ τὴν οἰκουμένην Ἐκκλησίαις τῆς Ἀντιοχείας ἐπικαιριώτερον (55); ἣν εἰ συνέβη πρὸς ὁμόνοιαν ἐπανελθεῖν, οὐδὲν ἐκώλυεν, ὥσπερ κεφαλὴν ἐῤῥωμένην, παντὶ τῷ σώματι ἐπιχορηγεῖν τὴν ὑγίειαν. Τῷ ὄντι δὲ τῆς σῆς δεῖται σοφίας καὶ εὐαγγελικῆς συμπαθείας τὰ ἐκείνης τῆς πόλεως ἀῤῥωστήματα· ἥ γε οὐχ ὑπὸ τῶν αἱρετικῶν διατέτμηται μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν τὰ αὐτὰ φρονεῖν ἀλλήλοις λεγόντων διασπᾶται. Ταῦτα δὲ ἑνῶσαι καὶ εἰς ἑνὸς σώματος (56) συναγα- C γεῖν ἁρμονίαν ἐκείνου μόνου ἐστὶ, τοῦ καὶ τοῖς ξηροῖς ὀστέοις τὴν εἰς νεῦρα καὶ σάρκα πάλιν ἐπάνοδον τῇ ἀφάτῳ αὐτοῦ δυνάμει χαριζομένου. Πάντως δὲ τὰ μεγάλα ὁ Κύριος διὰ τῶν ἀξίων αὐτοῦ ἐνεργεῖ. Πάλιν οὖν καὶ ἐνταῦθα τῇ σῇ μεγαλοψυχίᾳ πρέπειν τὴν τῶν τηλικούτων διακονίαν ἐλπίζομεν, ὥστε καταστορέσαι μὲν τοῦ λαοῦ τὸν τάραχον, παῦσαι δὲ τὰς μερικὰς προστασίας, ὑποτάξαι δὲ πάντας ἀλλήλοις ἐν ἀγάπῃ, καὶ τὴν ἀρχαίαν ἰσχὺν ἀποδοῦναι τῇ Ἐκκλησίᾳ.

modum opis ferendæ; fias Samuel Ecclesiis; affligere una cum populis bello oppugnatis; offer pacificas preces; pete gratiam a Domino, ut aliquod pacis monumentum Ecclesiis immittat. Scio epistolas infirmas esse, ut res tanti momenti suadeatur. Sed neque tu aliorum exhortatione indiges, non sane magis quam generosissimi pugiles puerorum acclamatione: neque nos docemus ignorantem, sed festinanti impetum intendimus.

2. Ad reliquas quidem res Orientis fortasse tibi plurium etiam adjumento opus est, atque Occidentales necesse est exspectare. Sed præclarus Antiochenæ Ecclesiæ status aperte ex tua pietate pendet, ita ut in alios quidem temperamento utaris, alios vero compescas, atque Ecclesiæ robur per concordiam restituas. Tibi enim, sapientissimorum medicorum more, curandi initium a præcipuis partibus esse faciendum, melius ipse quam quisquam alius perspicis. Quid autem habeant orbis terrarum Ecclesiæ, quod præferendum sit Antiochiæ? quam si **160** contingeret ad concordiam redire, nihil impediret, quominus velut caput corroboratum universo corpori sanitatem suppeditet. Revera autem tua indigent sapientia et evangelica commiseratione urbis illius ægritudines, quæ non ab hæreticis modo scissa est, sed ab iis etiam, qui idem inter se sentire se dicunt, discerpitur. Hæc vero conciliare, et ad unius corporis harmoniam redigere, illius est solius, qui et siccis ossibus, ut ad nervos et carnem denuo redeant, non enarrabili sua potestate largitur. Dominus autem omnino magna per eos, qui se digni sunt, efficit. Rursus igitur et hic magnanimitatem tuam decere tantarum rerum administrationem speramus, adeo ut populi quidem tumultum compescas, præfecturas autem particulares abroges, et omnes sibi invicem subjicias in dilectione, ac robur priscum Ecclesiæ restituas.

ΕΠΙΣΤΟΛΗ ΞΖ'.

EPISTOLA LXVII*.

Rogatu Dorothei apertius explicat Basilius, quod prioribus indicaverat litteris, sic Antiochiæ res componendas, ut Meletius Ecclesiæ corpori præsit, in alios autem œconomia adhibeatur: ita enim et ipsis Occidentalibus placuisse, ut litteræ per beatum Sylvanum allatæ testantur.

Ἀθανασίῳ, ἐπισκόπῳ Ἀλεξανδρείας. D

Athanasio, episcopo Alexandriæ.

Ἐμοὶ μὲν ἐξαρκοῦν ἐφάνη ἐν τοῖς προτέροις γράμμασι πρὸς τὴν σὴν τιμιότητα τοσοῦτον ἐνδεῖ-

Mihi quidem satis esse videbatur in prioribus litteris, præstantiæ tuæ tantum indicare, quidquid

(51) *Εἰρηνικάς.* Ad oram codicis Regii 25 observat Combefisius hoc scholium legi: Ὅτι τούτων τῶν εἰρηνικῶν μέμνηται καὶ ἐν ταῖς μυστικαῖς εὐχαῖς τῆς θείας λειτουργίας ὁ μέγας Πατήρ. *Harum pacificarum precum meminit etiam in mysticis precibus divinæ liturgiæ magnus Pater.*

(52) *Ἐναφεῖναι.* Ita sex mss. Editi ἐναφεθῆναι. Paulo post editi πρὸς συμβολήν. Sex mss. ut in textu.

(53) *Οἰκονομῆσαι.* Spectant hæc ad Paulinum, quem cum provideret Basilius non libenter de suo opinato jure decessurum, aliquid illi ejusque clericis deferri volebat, quod hanc jacturam compensaret ac molestiam leniret. Clarius hæc indicantur in epistola sequenti.

(54) *Τῇ Ἐκκλησίᾳ.* Ita mss. sex, et paulo post ὀφείλεις. Editi τῆς Ἐκκλησίας et ὀφείλῃς. Habet ὀφείλεις 2 Paris.

(55) *Ἐπικαιριώτερον.* Ita Med. et Coisl. primus ac prima manu Harl., quam lectionem confirmant quatuor alii codices in quibus legitur ἔτι καιριώτερον. Editi καιριώτερον.

(56) *Εἰς ἑνὸς σώματος.* Coisl. uterque et duo Regii εἰς μίαν σώματος.

* Alias L. Scripta anno 371.

ex sanctæ Ecclesiæ Antiochenæ populo in fide firmum est, in unam concordiam et unitatem adducendum esse; id, inquam, satis esse videbatur, ut demonstrarem religiosissimo episcopo Meletio oportere, quæ in plures partes nunc divisa sunt, adjungere. Sed quia idem ille dilectus condiaconus noster Dorotheus clariorem de his mentionem postulavit, necessario testamur et universo Orienti in votis esse, et a nobis Meletio omnimodo conjunctis expeti, ut eum videamus Ecclesiam Domini gubernantem; virum et fide inculpatum, et tum vita nullum cum aliis comparationi locum relinquentem; tum quod ipse universo, ut ita dicam, corpori Ecclesiæ præsit, reliqua vero sint velut partium segmenta. Quare undique necessarium simul et utile, huic viro conjungi alios, velut fluminibus magnis minora: circa alios autem aliquod temperamentum adhiberi, quod et illis conveniat, et pacificet populum, et prudentiæ tuæ ac perquam celebri solertiæ studioque competat. Cæterum eximiam tuam prudentiam nullo modo latet, eadem jam et unanimibus tuis Occidentalibus placuisse, ut ostendunt litteræ per beatum Sylvanum nobis allatæ.

A ξασθαι, ὅτι πᾶν τὸ (57) κατὰ τὴν πίστιν ἐῤῥωμένον τοῦ κατὰ τὴν ἁγίαν Ἐκκλησίαν Ἀντιοχείας λαοῦ εἰς μίαν συμφωνίαν καὶ ἕνωσιν χρὴ ἐναχθῆναι· πρὸς τὸ δηλῶσαι, ὅτι τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Μελετίῳ δέοι τὰ εἰς μέρη πλείονα νῦν διῃρημένα συνάψαι. Ἐπεὶ δὲ ὁ αὐτὸς οὗτος ὁ ἀγαπητὸς συνδιάκονος ἡμῶν Δωρόθεος ἐναργεστέραν τὴν περὶ τούτων ἐπεζήτησε μνήμην, ἀναγκαίως ἐπισημαινόμεθα, ὅτι καὶ πάσῃ τῇ ἀνατολῇ δι' εὐχῆς, καὶ ἡμῖν τοῖς παντοίως αὐτῷ συνημμένοις ἐπιθυμητὸν, αὐτὸν ἰδεῖν τὴν Ἐκκλησίαν διέποντα τοῦ Κυρίου· τῇ τε πίστει ἀνεπίληπτον ὄντα, καὶ τῷ βίῳ οὐδεμίαν πρὸς τοὺς ἄλλους ἐπιδεχόμενον σύγκρισιν, καὶ τῷ (58) τοῦ παντὸς, ὡς εἰπεῖν, σώματος τῆς Ἐκκλησίας αὐτὸν προεστάναι, τὰ δὲ λοιπὰ οἷον μερῶν ἀποτμήματα εἶναι. Ὥστε πανταχόθεν ἀναγκαῖόν B τε ὁμοῦ καὶ συμφέρον τῷ ἀνδρὶ τούτῳ συναφθῆναι τοὺς ἄλλους, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν τοὺς ἐλάττους· περὶ δὲ τοὺς ἄλλους γενέσθαι τινὰ οἰκονομίαν, τὴν κἀκείνοις πρέπουσαν, καὶ τὸν λαὸν εἰρηνεύουσαν, καὶ τῇ σῇ συνέσει καὶ περιβοήτῳ ἐντρεχείᾳ καὶ σπουδῇ ἐπιβάλλουσαν. Πάντως δὲ οὐκ ἔλαθέ σου τὴν ἀνυπέρβλητον φρόνησιν, ὅτι ἤδη καὶ τοῖς ὁμοψύχοις σου τοῖς κατὰ τὴν δύσιν τὰ αὐτὰ ταῦτα συνήρεσεν (59)· ὡς δηλοῖ τὰ γράμματα τὰ διὰ τοῦ μακαρίου Σιλουανοῦ κομισθέντα ἡμῖν.

161 EPISTOLA LXVIII*.

ΕΠΙΣΤΟΛΗ ΞΗ'.

Cum Meletio agit Basilius de Dorotheo Romam mittendo. Nuntiat de Euippii adventu, et aliorum Arianorum [illegible]ciatione.

Meletio, episcopo Antiochiæ.

Hactenus quidem voluimus retinere apud nos religiosissimum fratrem Dorotheum condiaconum, ut eum sub finem negotiorum dimittentes, singulas res gestas præstantiæ tuæ per ipsum significaremus. Sed tamen quoniam, dum diem ex die differimus, in longum tempus protracti sumus, statim atque nobis, ut in rebus difficillimis, consilium aliquod de rebus agendis in mentem venit, misimus prædictum virum, qui sanctitatem vestram conveniat, referatque per se ipse singula, et commentarium nostrum ostendat, ut si utilia videantur quæ a nobis excogitata sunt, ea in rem conferri curet vestra præstantia. Hæc autem, ut in summa dicam, vicit sententia, ut idem ille frater noster Dorotheus Romam proficiscatur, excitetque aliquos ex Italia qui nos invisant, mari utentes, ut interpellatores devitent. Animadverti enim eos qui apud Imperatorem potentes sunt, neque velle, neque posse illum de exsulibus submonere: sed quod nihil pejus in ecclesiis fieri videant, id pro lucro

Μελετίῳ, ἐπισκόπῳ Ἀντιοχείας.

C Τέως μὲν ἠβουλήθημεν κατασχεῖν παρ' ἑαυτοῖς τὸν εὐλαβέστατον ἀδελφὸν Δωρόθεον τὸν συνδιάκονον, ὥστε, ἐπὶ τῷ τέλει τῶν πραγμάτων ἀποπεμψάμενοι, γνωρίσαι δι' αὐτοῦ ἕκαστα τῶν πεπραγμένων τῇ τιμιότητί σου. Ἐπεὶ δὲ ἡμέραν ἐξ ἡμέρας ὑπερτιθέμενοι εἰς πολὺ τοῦ χρόνου παρετάθημεν, καὶ ἅμα, ὡς ἐν ἀπόροις, βουλή τις ἡμῖν ἐνέπεσε περὶ τῶν πρακτέων (60), ἀπεστείλαμεν τὸν προειρημένον ἄνδρα καταλαβεῖν ὑμῶν τὴν ὁσιότητα, καὶ δι' ἑαυτοῦ τε ἀνενεγκεῖν ἕκαστα, καὶ τὸ ὑπομνηστικὸν ἡμῶν ἐπιδεῖξαι, ἵνα, εἰ φανείη χρησίμως ἔχειν τὰ παρ' ἡμῶν ἐννοηθέντα, εἰς ἔργον ἐλθεῖν παρὰ τῆς ὑμετέρας τελειότητος σπουδασθείη. Ὡς δὲ συντόμως εἰπεῖν, γνώμη ἐκράτησεν ἐπὶ τὴν Ῥώμην διαβῆναι τὸν αὐτὸν τοῦτον ἀδελφὸν ἡμῶν Δωρόθεον, διαναστῆσαί τινας τῶν ἀπὸ D τῆς Ἰταλίας, πρὸς τὴν ἐπίσκεψιν ἡμῶν θαλάσσῃ χρησαμένους (61), ἵνα τοὺς ἐμποδίζοντας διαφύγωσι. Τοὺς γὰρ παραδυναστεύοντας τοῖς κρατοῦσιν εἶδον μηδὲν βουλομένους, μήτε δυναμένους ὑπομιμνήσκειν αὐτὸν (62) περὶ τῶν ἐκβεβλημένων, ἀλλὰ τὸ μὴ π

* Alias LVII. Scripta anno 371.

(57) Ὅτι πᾶν τό. Ita mss. septem. Editi ὅτιπερ τό. Paulo post editi συναχθῆναι. Harl. et Coisl. primus cum tribus aliis ut in textu.

(58) Καὶ τῷ. Editi καὶ τό. Sed hoc erratum, quod toti epistolæ tenebras offundebat, sustulimus ope codicum Harl. et Coisl. utriusque, Vat. et Reg. primi. Paulo post editi οἱ δὲ λοιποί... εἴη. Septem mss. ut in textu.

(59) Συνήρεσεν. Ita sex codices et vetustæ editiones. Parisiensis συνήρεσκεν

(60) Περὶ τῶν πρακτέων. Tres mss. non antiquissimi περὶ τῶν προκειμένων, *de rebus propositis.* Mox editi καταλαλεῖν, excepta editione 2 Paris. Libri veteres ut in textu.

(61) Χρησαμένους. Codex Medicæus χρησαμένοις. Paulo ante Med. et Coisl. primus τῶν ἐκ τῆς Ἰταλίας.

(62) Αὐτόν. Ita editio Hagan. et 1 Basil. et codices Med. et Coisl. primus cum tribus aliis. Non exstat in Harlæano codice hæc epistola. Edit. 2 Basil. et Paris. αὐτούς.

χείρον ἰδεῖν ἐν ταῖς ἐκκλησίαις γινόμενον κέρδος τιθεμένους. Εἰ οὖν καὶ τῇ σῇ φρονήσει χρήσιμον εἶναι τὸ βούλευμα παρασταίη, καταξιώσεις καὶ ἐπιστολὰς τυπῶσαι, καὶ ὑπομνηστικὰ ὑπαγορεῦσαι περὶ ὧν χρὴ διαλεχθῆναι αὐτὸν, καὶ πρὸς τίνας (63). Ὥστε δὲ ἔχειν ἀξιοπιστίαν τινὰ τὰ γράμματα, συμπαραλήψῃ πάντως τοὺς ὁμογνώμονας, κἂν μὴ παρῶσι. Τὰ δ' ἐνταῦθα ἔτι ἐστὶν ἐν ἀδήλῳ, τοῦ Εὐϊππίου παραγενομένου μὲν, μηδὲν δὲ τέως ἐκφήναντος. Ἀπειλοῦσι μέντοι καὶ συνδρομήν τινα ὁμογνωμόνων αὐτοῖς ἔκ τε τῆς Ἀρμενίας τῆς Τετραπόλεως καὶ ἐκ τῆς Κιλικίας.

A ducere. Igitur, si et prudentiæ tuæ utile consilium esse visum fuerit, dignabere et epistolas exarare, et commentarium dictare, de quibus, et ad quos ipsum verba facere oporteat. Atque ut auctoritatem aliquam habeant litteræ, adjunges omnino eos qui idem sentiunt, etiamsi non adsint. Hic autem res incertæ adhuc et dubiæ; cum Euippius advenerit quidem, sed nondum quidquam declaraverit. Minantur quidem et concursum quemdam eorum, qui idem ac illi sentiunt, ex Armenia Tetrapoli et ex Cilicia.

ΕΠΙΣΤΟΛΗ ΞΘ'.

EPISTOLA LXIX*.

Laudat Basilius Athanasii studium et curam omnium Ecclesiarum : gratias agit ob missum ad se Petrum presbyterum. Iterum ad eum mittit Dorotheum, ut ejus consiliis munitus Romam proficiscatur. Narrat visum esse Romam scribere, ut inde idonei legati mittantur, ac placere nonnullis, ut Romani Marcellum damnent, sibique idem videri. Rogat denique ut Dorotheum ad primam navigationem dimittat, et legatos ex Occidente advenientes moneat, quomodo pax concilianda sit ac in primis Ecclesia Antiochena curanda.

Ἀθανασίῳ, ἐπισκόπῳ Ἀλεξανδρείας. B

1. Ἣν ἐκ παλαιοῦ (64) περὶ τῆς σῆς τιμιότητος ὑπόληψιν ἔσχομεν, ταύτην ὁ χρόνος προϊὼν ἀεὶ βεβαιοῖ· μᾶλλον δὲ καὶ συναύξει ταῖς προσθήκαις τῶν κατὰ μέρος ἐπιγινομένων. Ὅτι τῶν μὲν ἄλλων τοῖς πλείστοις ἐξαρκεῖ τὸ καθ' ἑαυτὸν ἕκαστον περισκοπεῖν· σοὶ δὲ οὐχ ἱκανὸν τοῦτο, ἀλλ' ἡ μέριμνά σοι πασῶν τῶν Ἐκκλησιῶν τοσαύτη, ὅση καὶ τῆς ἰδίως παρὰ τοῦ κοινοῦ Δεσπότου ἡμῶν ἐμπιστευθείσης ἐπίκειται· ὅς γε οὐδένα χρόνον διαλείπεις διαλεγόμενος, νουθετῶν, ἐπιστέλλων, ἐκπέμπων τινὰς ἑκάστοτε τοὺς ὑποτιθεμένους τὰ βέλτιστα. Καὶ νῦν δὲ ἀπὸ τοῦ ἱεροῦ πληρώματος τοῦ ὑπὸ σὲ κλήρου τὸν αἰδεσιμώτατον ἀδελφὸν Πέτρον ἐκπεμφθέντα μετὰ πολλῆς χαρᾶς ἐδεξάμεθα, καὶ τὸν ἀγαθὸν αὐτοῦ τῆς ἀποδημίας σκοπὸν (65) ἀπεδεξάμεθα, ὃν ἐπιδείκνυται κατ' ἐντολὰς τῆς σῆς τιμιότητος, τὰ ἀντιτείνοντα προσαγόμενος, καὶ τὰ διεσπασμένα συνάπτων. C Ὅθεν τι καὶ ἡμεῖς συμβαλέσθαι τῇ περὶ τοῦτο σπουδῇ βουληθέντες, ἐνομίσαμεν ἐπιτηδειοτάτην ἀρχὴν τοῖς πράγμασι δώσειν, εἰ, ὥσπερ ἐπὶ κορυφὴν τῶν ὅλων, τὴν σὴν ἀναδράμοιμεν τελειότητα, καὶ σοὶ συμβούλῳ τε χρησαίμεθα καὶ ἡγεμόνι τῶν πράξεων. Ὅθεν καὶ τὸν ἀδελφὸν Δωρόθεον (66) τὸν διάκονον τῆς ὑπὸ τὸν τιμιώτατον ἐπίσκοπον Μελέτιον Ἐκκλησίας, ἀγαθῷ κεχρημένον περὶ τὴν τῆς πίστεως ὀρθότητα ζήλῳ, καὶ ἐπιθυμοῦντα καὶ αὐτὸν τὴν εἰρήνην τῶν Ἐκκλησιῶν ἐπιδεῖν, πρὸς τὴν σὴν θεοσέβειαν ἀναπέμψαι, ὥστε, ταῖς σαῖς ὑποθήκαις ἀκολουθοῦντα (ἃς καὶ τῷ χρόνῳ καὶ τῇ τῶν πραγμάτων πείρᾳ, καὶ τῷ ὑπὲρ τοὺς ἄλλους ἔχειν τὴν ἐκ τοῦ Πνεύματος συμβουλίαν, ἀσφαλεστέρας ποιεῖσθαι δύνασαι),

Athanasio, episcopo Alexandriæ.

1. Quam dudum de tua præstantia opinionem habemus, eam tempus progrediens semper confirmat : vel potius simul crescit ex eorum quæ singulatim fiunt accessionibus. Nam plerisque aliis satis est sua cujusque propria circumspicere : tibi vero id satis non est, sed tanta inest tibi omnium Ecclesiarum cura, quanta illius, quæ privatim tibi a communi nostro Domino concredita est : quippe qui nullum tempus intermittas disserendi, admonendi, scribendi ac subinde mittendi, qui optima commoneant. **162** Atque nunc etiam dignum omni honore fratrem Petrum e sacro cleri tui cœtu missum multo cum gaudio excepimus, et bonum peregrinationis ipsius consilium laudavimus, quod quidem præ se fert secundum præstantiæ tuæ mandata, concilians contraria ac divulsa conjungens. Unde et nos cum aliquid in hujus rei studium conferre vellemus, convenientissimum initium rebus daturos duximus, si, velut ad universorum apicem, ad tuam confugeremus perfectionem, ac te et consiliario, et duce eorum quæ agenda sunt uteremur. Hac de causa et fratrem Dorotheum diaconum Ecclesiæ, cui reverendissimus episcopus Meletius præest, bono rectæ fidei studio utentem, et pacis Ecclesiarum videndæ cupidum, ad pietatem tuam remisi, ut consiliis tuis obsequens (quæ et tempore et rerum experientia, et quod præ cæteris habeas a Spiritu consilium, tutiora ac securiora efficere potes), ita demum expetita ac desiderata aggrediatur. Hunc et suscipies vi-

(63) *Πρὸς τίνας*. Editi addunt καὶ ὅτε, *et quando*, ...d hoc additamentum deest in sex nostris codici...s. Ibidem Ὡς δέ. Mss. Ὥστε δέ. Paulo post editi ...μπαραλήψῃ καὶ οὕτως. Quinque mss. ut in textu.

(64) *Ἐκ παλαιοῦ*. Tres mss. recentiores ἔκπαλαι. ...liquanto post editiones 2 Basil. et Paris. ὅτε τῶν ...ν. Harl. et Coisl. uterque et uterque Regius ὅτι ...ν μέν. Sic etiam Bog. et 1 Basil.

(65) *Σκοπόν*. Quamvis hæc scriptura in duobus ...ntum occurrat codicibus, nempe Coisl. secundo ...Reg. secundo, melior tamen videtur quam quod ...beut alii mss. et editi κόπον, *laborem*. Proclive fuit librariis in hac voce errare. Nam in epist. 211, ubi necessario legendum εὐσεβείας σκοπόν, habet antiquissimus codex Coisl. κόπον. Paulo post editi τῇ περὶ τούτου σπουδῇ. Harl., Coisl. primus, Med. et Reg. secundus περὶ τοῦτο, quæ loquendi ratio usitatior Basilio.

(66) *Ὅθεν καὶ τὸν ἀδελφὸν Δωρόθεον... ἀναπέμψαι*. Habent duo libri veteres Θεόδωρον. Editi autem ἀνέπεμψα. Sed in sex mss. legitur ἀναπέμψαι. Similis occurrit loquendi ratio in epist. 9 *ad Maximum*, et 28 ad Ecclesiam Neocæsariensem.

* Alias LII. Scripta anno 371.

delicet, et intueberis pacificis oculis, cumque precum subsidio firmatum, ac litterarum viatico munitum, imo etiam bonorum qui apud te sunt nonnullis adjunctum, ad proposita deduces. Nobis autem operæ pretium esse visum est ad episcopum Romæ scribere, ut res nostras invisat, et consilium dare, ut cum illinc communi ac synodico decreto aliquos mitti difficile sit, ipse hoc negotium suo marte aggrediatur, eligens homines idoneos ad perferendos itineris labores; idoneos ad eos, qui apud nos perversi sunt, lenitate ac animi constantia corrigendos; apte et attemperate utentes sermone, secumque habentes quæcunque post Ariminense concilium gesta sunt, ad eorum quæ per vim illic acta fuerant dissolutionem; iique, nemine sciente, citra strepitum per mare huc adveniant, ut opinionem inimicorum pacis prævertant.

2. Requiritur autem et illud a nonnullis qui hic sunt, ac necessario quidem, ut etiam nobis ipsis videtur, ut ipsi Marcelli hæresim velut perniciosam, et noxiam, et a sana fide alienam exterminent. Nam hactenus in omnibus quas scribunt litteris, Arium quidem infausti nominis virum susque deque anathemate ferire, et ab Ecclesiis relegare non cessant: Marcello vero, qui impietatem ei ex diametro oppositam protulit, et in ipsam divinitatis Unigeniti exsistentiam impius fuit, et Verbi appellationem prave accepit, nullum videntur intulisse vituperium. Qui Verbum quidem dictum fuisse Unigenitum concedit, ad usum et ad tempus progrediens, sed rursus ad eum unde prodiit revertens, neque ante exitum esse, neque post reditum subsistere. Atque hujus rei argumenta sunt servati apud nos nefariæ illius scriptionis **163** libri. Sed tamen nusquam eum reprobare visi sunt; idque eo nomine vituperati, quod eum ab initio ex veritatis ignoratione in ecclesiasticam etiam communionem receperint. Igitur et illius, ut par est, fieri mentionem res præsentes postulant, ut qui occasionem quærunt, occasionem non habeant, dum sani ad tuam se sanctitatem adjungunt, et qui circa veram fidem claudicant, manifesti omnibus fiunt; ita ut deinceps eos qui idem ac nos sentiunt, agnoscamus, nec jam velut in nocturna pugna nullum sit amicorum et inimicorum discrimen. Hortamur solum, ut statim ad primam navigationem prædictus diaconus mittatur, ut possit saltem anno sequenti aliquid eorum, quæ preca-

A οὕτως ἐγχειρεῖν τοῖς σπουδαζομένοις. Ὃν καὶ ὑποδέξῃ δηλονότι, καὶ προσβλέψεις εἰρηνικοῖς ὀφθαλμοῖς, στηρίξας τε αὐτὸν τῇ διὰ τῶν προσευχῶν βοηθείᾳ, καὶ ἐφοδιάσας γράμμασι, μᾶλλον δὲ καὶ παραζεύξας τινὰς (67) τῶν αὐτόθεν σπουδαίων, ἐπὶ τὰ προκείμενα ὁδηγήσεις. Ἐφάνη δὲ ἡμῖν ἀκόλουθον ἐπιστεῖλαι τῷ ἐπισκόπῳ Ῥώμης, ἐπισκέψασθαι τὰ ἐνταῦθα, καὶ δοῦναι γνώμην, ἵν' ἐπειδὴ ἀπὸ κοινοῦ καὶ συνοδικοῦ δόγματος ἀποσταλῆναί τινας δύσκολον τῶν ἐκεῖθεν, αὐτὸν αὐθεντῆσαι περὶ τὸ πρᾶγμα, ἐκλεξάμενον ἄνδρας ἱκανοὺς μὲν ὁδοιπορίας πόνους ὑπενεγκεῖν (68), ἱκανοὺς δὲ πραότητι καὶ εὐτονίᾳ ἤθους τοὺς ἐνδιαστρόφους τῶν παρ' ἡμῖν νουθετῆσαι· ἐπιτηδείως δὲ καὶ οἰκονομικῶς κεχρημένους τῷ λόγῳ, καὶ πάντα ἔχοντας μεθ' ἑαυτῶν τὰ μετὰ Ἀρίμι-
B νον (69) πεπραγμένα, ἐπὶ λύσει τῶν κατ' ἀνάγκην ἐκεῖ γενομένων· καὶ τοῦτο μηδενὸς εἰδότος, ἀψοφητὶ διὰ θαλάσσης ἐπιστῆναι τοῖς ὧδε, ὑπὲρ τοῦ φθάσαι τὴν αἴσθησιν τῶν ἐχθρῶν τῆς εἰρήνης.

2. Ἐπιζητεῖται δὲ κἀκεῖνο παρά τινων τῶν ἐντεῦθεν, ἀναγκαίως, ὡς καὶ αὐτοῖς ἡμῖν καταφαίνεται, τὸ τὴν Μαρκέλλου αἵρεσιν αὐτοὺς ὡς χαλεπὴν καὶ βλαβερὰν, καὶ τῆς ὑγιαινούσης πίστεως ἀλλοτρίαν ἔχουσαν, ἐξορίσαι (70). Ἐπεὶ μέχρι τοῦ νῦν ἐν πᾶσιν οἷς ἐπιστέλλουσι γράμμασι, τὸν μὲν δυσώνυμον Ἄρειον ἄνω καὶ κάτω ἀναθεματίζοντες καὶ τῶν Ἐκκλησιῶν ἐξορίζοντες οὐ διαλείπουσι· Μαρκέλλῳ δὲ τῷ κατὰ διάμετρον ἐκείνῳ τὴν ἀσέβειαν ἐπιδειξαμένῳ, καὶ εἰς αὐτὴν τὴν ὕπαρξιν τῆς τοῦ Μονογε-
C νοῦς θεότητος ἀσεβήσαντι, καὶ κακῶς τὴν τοῦ Λόγου προσηγορίαν ἐκδεξαμένῳ, οὐδεμίαν μέμψιν ἐπενεγκόντες φαίνονται. Ὃς Λόγον μὲν εἰρῆσθαι τὸν Μονογενῆ δίδωσι, κατὰ χρείαν καὶ ἐπὶ καιροῦ προελθόντα, πάλιν δὲ εἰς τὸν ὅθεν ἐξῆλθεν ἐπαναστρέψαντα, οὔτε πρὸ τῆς ἐξόδου εἶναι, οὔτε μετὰ τὴν ἐπάνοδον ὑφεστάναι. Καὶ τούτου ἀπόδειξις αἱ παρ' ἡμῖν ἀποκείμεναι βίβλοι τῆς ἀδίκου ἐκείνης συγγραφῆς ὑπάρχουσιν. Ἀλλ' ὅμως τοῦτον οὐδαμοῦ διαβαλόντες (71) ἐφάνησαν, καὶ ταῦτα αἰτίαν ἔχοντες, ὡς τὸ ἐξ ἀρχῆς κατ' ἄγνοιαν τῆς ἀληθείας, καὶ εἰς κοινωνίαν αὐτὸν ἐκκλησιαστικὴν παραδεξάμενοι. (72) Ἐκείνου οὖν μνησθῆναι πρεπόντως ἀπαιτεῖ τὰ παρόντα, ὥστε μὴ ἔχειν ἀφορμὴν, τοὺς θέλοντας ἀφορμὴν, ἐκ τοῦ τῇ σῇ ὁσιότητι συνάπτειν τοὺς ὑγιαίνοντας, καὶ τοὺς
D πρὸς τὴν ἀληθῆ πίστιν ὀκλάζοντας φανεροὺς πᾶσι ποιῆσαι· ὥστε τοῦ λοιποῦ γνωρίζειν ἡμᾶς τοὺς ὁμόφρονας· καὶ μὴ, ὡς ἐν νυκτομαχίᾳ, μηδεμίαν φίλων καὶ πολεμίων ἔχειν διάκρισιν. Μόνον παρακαλοῦμεν εὐθὺς ὑπὸ τὸν πρῶτον πλοῦν ἐκπεμφθῆναι τὸν προειρημένον διάκονον, ἵνα δυνηθῇ κατὰ τὸ ἐφεξῆς ἔτος γενέσθαι τι, ὧν προσευχόμεθα. Ἐ

(67) *Τινάς*. Ita Harl. et Coisl. primus cum tribus aliis. Editi τισί.
(68) *Ὑπενεγκεῖν*. Ita Med., Harl. et Coisl. primus. Editi διενεγκεῖν. Paulo post corruptissime iidem editi ἀπονοίᾳ ἤθους, quod vulnus sanavimus ope quinque mss.
(69) *Τὰ μετὰ Ἀρίμινον*. Ita sex nostri codices pro eo quod prave in editis legebatur τὰ ἐν Ἀριμίνῳ, velut est in editione Hagan. τὰ ἐν Ἀριμ[ίνῳ]
(70) *Ἐξορίσαι*. Ita Med., Harl., Coisl. uterq[ue,] Reg. secundus. Editi ἐξορίζεσθαι. Habent ibi[dem] Med. et Harl. ὑγιαινούσης διδασκαλίας.
(71) *Οὐδαμοῦ διαβαλόντες*. Ita Harl., Med., C[oisl.] primus. Editi οὐδαμῶς διαβάλλοντες. Legitur [...] οὐδαμοῦ in Reg. secundo et Coisl. secundo.
(72) Vide Addenda.

ὧν δὲ καὶ πρὸ τῶν ἡμετέρων (73) λόγων συνιεὶς τε αὐτὸς καὶ φροντιεῖς δηλονότι, ὅπως ἐπιστάντες, ἐὰν ὁ Θεὸς θέλῃ, μὴ ἐναφῶσι ταῖς Ἐκκλησίαις τὰ σχίσματα, ἀλλὰ τοὺς τὰ αὐτὰ φρονοῦντας παντὶ τρόπῳ εἰς ἕνωσιν συνελάσωσι, κἂν τινας ἰδίας τῶν πρὸς ἀλλήλους διαφορῶν ἀφορμὰς εὕρωσιν ἔχοντας (74)· ὑπὲρ τοῦ μὴ τὸν ὀρθοδοξοῦντα λαὸν εἰς πολλὰ κατατέμνεσθαι μέρη τοῖς προεστῶσι συναφιστάμενον. Πάντα γὰρ δεῖ σπουδάσαι δεύτερα ἡγήσασθαι τῆς εἰρήνης, καὶ πρὸ πάντων τῆς κατὰ Ἀντιόχειαν Ἐκκλησίας ἐπιμεληθῆναι, ὡς μὴ ἀσθενεῖν ἐν αὐτῇ τὴν ὀρθὴν μερίδα περὶ τὰ πρόσωπα σχιζομένην. Μᾶλλον δὲ, τούτων ἁπάντων καὶ αὐτὸς εἰς ὕστερον ἐπιμελήσῃ, ἐπειδὰν, ὅπερ εὐχόμεθα, Θεοῦ συνεργοῦντός σοι, πάντας λάβῃς (75) τὰ τῆς καταστάσεως τῶν Ἐκκλησιῶν ἐπιτρέποντας.

A mur, perfici. Illud autem ante etiam quam dicamus, ipse et intelligis, et curabis videlicet, ut ubi, Deo volente, advenerint, non immittant Ecclesiis schismata: sed eos qui eadem sentiunt, omni ratione ad conjunctionem compellant, etiamsi nonnullos reperiant, qui privatas quasdam discordiarum inter se causas habeant; ne populus orthodoxus multas in partes scindatur, una cum præpositis abscedens. Studium enim in eo ponendum est, ut paci posthabeantur omnia, ac præ omnibus Ecclesiæ Antiochenæ cura suscipiatur, ne sana illius pars circa personas scissa debilitetur. Sed magis hæc omnia et ipse deinceps curabis, posteaquam, quod optamus, adjuvante te Deo, omnes habueris tibi, quæ ad Ecclesiarum B statum pertinent, committentes.

ΕΠΙΣΤΟΛΗ Ο'.

EPISTOLA LXX*.

Orientis mala eximiis coloribus depingit Basilius, et Damasum rogat, ut ex more et instituto decessorum suorum auxilium ferat, inprimis Dionysii, qui olim in Cappadociam miserat, qui captivos redimerent.

Ἀνεπίγραφος (76) *περὶ συνόδου.*

Ἀρχαίας ἀγάπης θεσμοὺς ἀνανεοῦσθαι, καὶ Πατέρων εἰρήνην, τὸ οὐράνιον δῶρον Χριστοῦ καὶ σωτήριον, ἀπομαρανθὲν τῷ χρόνῳ, πάλιν πρὸς τὴν ἀκμὴν ἐπαναγαγεῖν, ἀναγκαῖον μὲν ἡμῖν καὶ ὠφέλιμον, τερπνὸν δὲ εὖ οἶδα, ὅτι καὶ τῇ σῇ φιλοχρίστῳ διαθέσει καταφανήσεται. Τί γὰρ ἂν γένοιτο χαριέστερον, ἢ τοὺς τοσούτῳ τῷ πλήθει τῶν τόπων διῃρημένους (77) τῇ διὰ τῆς ἀγάπης ἑνώσει καθορᾷν εἰς μίαν μελῶν ἁρμονίαν ἐν σώματι Χριστοῦ δεδέσθαι; C Ἡ Ἀνατολὴ πᾶσα σχεδὸν, τιμιώτατε Πάτερ (λέγω δὲ Ἀνατολὴν τὰ ἀπὸ τοῦ Ἰλλυρικοῦ μέχρις Αἰγύπτου), μεγάλῳ χειμῶνι καὶ κλύδωνι κατασείεται, τῆς πάλαι μὲν σπαρείσης αἱρέσεως ὑπὸ τοῦ ἐχθροῦ τῆς ἀληθείας Ἀρείου, νῦν δὲ πρὸς τὸ ἀναίσχυντον ἀναφανείσης, καὶ οἱονεὶ ῥίζης πικρᾶς καρπὸν ὀλέθριον ἀναδιδούσης, κατακρατούσης λοιπὸν διὰ τὸ τοὺς μὲν καθ' ἑκάστην παροικίαν προεστῶτας τοῦ ὀρθοῦ λόγου ἐκ συκοφαντίας καὶ ἐπηρείας τῶν Ἐκκλησιῶν ἐκπεσεῖν, παραδοθῆναι δὲ τοῖς αἰχμαλωτίζουσι τὰς ψυχὰς τῶν ἀκεραιοτέρων τὴν τῶν πραγμάτων ἰσχύν· τούτων μίαν προσεδοκήσαμεν λύσιν τὴν τῆς ὑμετέρας εὐσπλαγχνίας ἐπίσκεψιν· καὶ ἐψυχαγώγησεν ἡμᾶς ἀεὶ τὸ παράδοξον τῆς ὑμετέρας D ἀγάπης ἐν τῷ παρελθόντι χρόνῳ, καὶ φήμῃ φαιδροτέρᾳ πρὸς βραχὺ τὰς ψυχὰς ἀνερρώσθημεν, ὡς ἐσομένης ἡμῖν τινος ἐπισκέψεως παρ' ὑμῶν. Ὡς δὲ διημάρτομεν τῆς ἐλπίδος, μηκέτι στέγοντες ἤλθομεν ἐπὶ τὴν διὰ τοῦ γράμματος (78) ἡμῶν παράκλησιν, διαναστῆναι ὑμᾶς πρὸς τὴν ἀντίληψιν ἡμῶν, καὶ ἀποστεῖλαί τινας τῶν ὁμοψύχων, ἢ τοὺς συμβιβά-

Sine inscriptione de synodo.

Dilectionis antiquæ leges renovare, et Patrum pacem, cœleste illud Christi donum ac salutare quod tempore exaruit, ad vigorem iterum revocare, necessarium quidem nobis ac utile; jucundum autem, sat scio, et tuo Christi amanti animo videbitur. Quid enim fiat jucundius, quam homines tanto locorum intervallo sejunctos charitatis vinculo videre in unam membrorum harmoniam in corpore Christi colligari? Omnis propemodum Oriens, Pater colendissime (dico autem Orientem quidquid ab Illyrico ad Ægyptum usque protenditur), ingenti tempestate ac æstu exagitatur: cum dudum quidem sparsa hæresis ab inimico veritatis Ario, nunc vero impudenter emergens, ac veluti radix amara fructum exitiosum proferens, jam dominetur; propterea quod sanæ doctrinæ in unaquaque parœcia signiferi per calumniam ac injuriam exciderunt Ecclesiis, tradita autem iis, qui simpliciorum animas captivas ducunt, rerum potestas. Horum **164** unicam solutionem exspectavimus, miserationis vestræ visitationem: ac nos semper consolata est mirabilis vestra charitas præterito tempore, et læto rumore allato, fore ut a vobis inviseremur, animis ad breve tempus corroborati sumus. Postquam autem spe excidimus, non jam amplius ferentes, eo devenimus, ut vos per litteras obsecremus, ut ad opem nobis ferendam excitemini, et ex his qui idem ac nos sentiunt mittatis aliquos, qui vel dissidentes concillient, vel Dei Ec-

(73) *Πρὸ τῶν ἡμετέρων*. Ita sex mss. Editi τῶν εἰρημένων. Ibidem editi συννοήσεις τε. Duo mss. συνήσεις τε. Med., Coisl. primus, Reg. secundus et prima manu Harl. ut in textu.

(74) *Εὕρωσιν ἔχοντας*. Pro his vocibus legitur in Vaticano codice ac Reg. secundo et Coisl. secundo τύχωσιν ἔχοντας.

(75) Vide Addenda.

(76) *Ἀνεπίγραφος*. Hanc epistolam perspicuum est ad Damasum papam scriptam esse.

(77) *Διῃρημένους*. Ita Coisl. uterque, Clarom. et Reg. secundus. Editi διειργμένους.

(78) *Διὰ τοῦ γράμματος*. Ita quinque mss.; plures autem in hanc epistolam non habuimus. Editi διὰ γραμμάτων.

* Alias CCXX. Scripta anno 371.

clesias ad amicitiam reducant, vel saltem perturbationis auctores vobis clarius indicent; ita ut deinceps vobis manifestum sit, quibuscum communionem deceat habere. Omnino autem nihil exposcimus novi, sed quod et cæteris olim beatis ac Deo dilectis viris usitatum, et præcipue vobis. Novimus enim ex serie memoriæ, a patribus nostris interrogatis et litteris etiamnum apud nos asservatis edocti Dionysium beatissimum illum episcopum, qui apud vos et recta fide et reliquis virtutibus enituit, invisisse Ecclesiam nostram Cæsariensem, et patres nostros per litteras consolatum esse, ac misisse, qui fratres captivos redimerent. Nunc autem difficilior ac tristior est rerum nostrarum status, et cura majore indiget. Neque enim terrenarum ædium lugemus demolitionem, sed excidium Ecclesiarum; neque corporum servitutem, sed animarum captivitatem quotidie ab hæresis propugnatoribus perfici videmus. Quare nisi jam ad suppetias ferendas excitemini, paulo post nec quibus manum porrigatis inventuri estis, omnibus sub hæresis potestatem redactis.

ζοντας τοὺς διεστῶτας, ἢ εἰς φιλίαν τὰς Ἐκκλησίας τοῦ Θεοῦ ἐπανάγοντας, ἢ τοὺς γοῦν αἰτίους τῆς ἀκαταστασίας φανερωτέρους (79) ὑμῖν καθιστῶντας· ὥστε καὶ ὑμῖν φανερὸν εἶναι τοῦ λοιποῦ, πρὸς τίνας ἔχειν τὴν κοινωνίαν προσῆκε. Πάντως δὲ οὐδὲν καινὸν (80) ἐπιζητοῦμεν, ἀλλὰ τοῖς τε λοιποῖς τῶν πάλαι μακαρίων καὶ θεοφιλῶν ἀνδρῶν σύνηθες, καὶ διαφερόντως ὑμῖν. Οἴδαμεν γὰρ, μνήμης ἀκολουθίᾳ, παρὰ τῶν πατέρων ἡμῶν αἰτηθέντων, καὶ ἀπὸ γραμμάτων τῶν ἔτι καὶ νῦν πεφυλαγμένων παρ' ἡμῖν, διδασκόμενοι, Διονύσιον ἐκεῖνον, τὸν μακαριώτατον ἐπίσκοπον, παρ' ὑμῖν ἐπί τε ὀρθότητι πίστεως καὶ τῇ λοιπῇ ἀρετῇ διαπρέψαντα, ἐπισκεπτόμενον διὰ γραμμάτων τὴν ἡμετέραν Ἐκκλησίαν τῶν Καισαρέων, καὶ παρακαλοῦντα τοὺς πατέρας ἡμῶν διὰ γραμμάτων, καὶ πέμπειν τοὺς ἀπολυτρουμένους ἐκ τῆς αἰχμαλωσίας τὴν ἀδελφότητα. Ἐν χαλεπωτέρῳ δὲ νῦν καὶ σκυθρωποτέρῳ τὰ καθ' ἡμᾶς, καὶ πλείονος δεόμενα τῆς ἐπιμελείας. Οὐ γὰρ οἰκοδομημάτων γηΐνων καταστροφὴν, ἀλλ' Ἐκκλησιῶν ἅλωσιν ὀδυρόμεθα· οὐδὲ δουλείαν σωματικὴν, ἀλλ' αἰχμαλωσίαν ψυχῶν καθ' ἑκάστην ἡμέραν ἐνεργουμένην παρὰ τῶν ὑπερμαχούντων τῆς αἱρέσεως καθορῶμεν. Ὥστε εἰ μὴ ἤδη διανασταίητε πρὸς τὴν ἀντίληψιν, μικρὸν ὕστερον οὐδὲ οἷς ὀρέξετε τὴν χεῖρα εὑρήσετε, πάντων ὑπὸ τὴν ἐπικράτειαν τῆς αἱρέσεως γενομένων.

EPISTOLA LXXI*.

ΕΠΙΣΤΟΛΗ ΟΑ'.

Gregorio dolorem suum significat Basilius, quod amicissimi sibi homines cuidam calumniatori aures præbeant. Negat defensione opus esse: culpam rejicit in Gregorium, quod secum magnam anni partem non traducat: rogat ut secum adversus imminentem hostem certaturus veniat. Quo ex certamine sperat se saltem exsilii laudem reportaturum.

Gregorio Basilius.

1. Accepi pietatis tuæ litteras per fratrem sane quam reverendum Hellenium: et quæcunque nobis significaveras, ipse aperte narravit. Audientes autem quomodo affecti fuerimus, nihil omnino dubitas. Sed quia decrevimus dolore omni potiorem facere nostrum in te amorem, accepimus etiam hæc, ut par erat, ac precamur Deum sanctum, ut **165** reliquos dies vel horas, sic in animi erga te affectione conservemur, quemadmodum et præterito hactenus tempore, in quo nullius nobis ipsis neque parvi neque majoris delicti sumus conscii. Quod

Γρηγορίῳ Βασίλειος (81).

1. Ἐδεξάμην τὰ γράμματα τῆς σῆς εὐλαβείας (82) διὰ τοῦ αἰδεσιμωτάτου ἀδελφοῦ Ἑλληνίου· καὶ ὅσα ἐνέφηνας ἡμῖν, αὐτὸς ταῦτα γυμνῶς διηγήσατο (83). Ἀκούσαντες δὲ ὅπως διετέθημεν, οὐκ ἀμφιβάλλεις πάντως. Πλὴν ἀλλ' ἐπειδὴ ἐκρίναμεν πάσης λύπης ἀνωτέραν ποιεῖσθαι τὴν πρὸς σὲ ἀγάπην, ἐδεξάμεθα καὶ ταῦτα ὡς ἦν προσῆκον, καὶ εὐχόμεθα τῷ ἁγίῳ Θεῷ, τὰς λειπομένας ἡμέρας ἢ ὥρας (84) οὕτω διαφυλαχθῆναι ἐν τῇ περὶ σὲ διαθέσει, ὡς καὶ ἐν τῷ κατόπιν χρόνῳ, ἐν ᾧ οὐδὲν ἡμῖν αὐτοῖς οὔτε μικρὸν οὔτε μεῖζον ἐλλελοιπόσι συνέγνωμεν. Εἰ δὲ ὁ δεῖνα

* Alias XXXIII. Scripta anno 371.

(79) *Φανερωτέρους*. Ita quinque codices. Editi φανερώτερον.

(80) *Οὐδὲν καινόν*. Ita Reg. secundus et Coisl. secundus. Editi, Coisl. primus et Paris. οὐδὲν ἄκαιρον, *nihil intempestivum*. Clarom. οὐδὲν δεινόν, *nihil grave*. Quod Basilius de Romanorum episcoporum in alias Ecclesias beneficentia narrat, testimoniis confirmatur et Dionysii Corinthiorum episcopi apud Eusebium, *Hist.*, lib. IV, c. 23, et Dionysii Alexandrini lib. VII, c. 5, et ipsius etiam Eusebii, qui hunc morem in postrema persecutione servatum a Romanis fuisse declarat lib. IV, c. 23. Memorata autem a Basilio calamitas sub Gallieno contigit, cum Scythæ Cappadociam et finitimas regiones vastarent, ut testatur Sozomenus, lib. II, c. 6. Atque ex tantis malis magnum hoc bonum eruit Deus, ut Christiani a barbaris abducti victores suos caperent et ad Christum adducerent. Unde Basilius in epist. 164 prima pietatis semina apud Gothos e Cappadocia pullulasse ait opera beati Eutychis.

(81) *Γρηγορίῳ Βασίλειος*. Sic editi et vetustissimi codices. Habent alii Γρηγορίῳ ἑταίρῳ, *Gregorio sodali*. Nullus ascribit titulum presbyteri quem tamen Basilius omittere non potuit.

(82) *Τῆς σῆς εὐλαβείας*. Ita Harl., Coisl. primus et Med. Editi τῆς εὐλαβείας σου. De his Gregorii litteris, Basilii responsione, et quid Athanasius de Basilii agendi ratione senserit, pluribus disseruimus in *Vita S. Basilii*.

(83) *Διηγήσατο*. Sequimur hoc loco duos antiquissimos codices Med. et Coisl., quibus Harlæanum idcirco non consentire arbitror, quia hæc epistola recentiori manu in hoc codice scripta est. Habent autem editi: καὶ ταῦτα διηγησαμένου ἀκούσαντες ὅπως.

(84) *Ἢ ὥρας*. Harl. addit ἡμῶν. Ibidem οὕτω deest in antiquissimis illis duobus quos modo dixi codicibus, nec necessarium videtur. Non multo post editi ἐκλελοιπόσι. Coisl. primus ἐλλελοιπόσι.

ἄρτι παρακύψαι φιλοτιμούμενος πρὸς τὸν βίον τῶν Χριστιανῶν, εἶτα οἰόμενος αὐτῷ σεμνότητά τινα φέρειν τὸ ἡμῖν συνανατρίβεσθαι· ἅ τε οὐκ ἤκουσε κατασκευάζει, καὶ ἃ μὴ ἐνόησεν ἐξηγεῖται, θαυμαστὸν οὐδέν. Ἀλλ' ἐκεῖνο θαυμαστὸν καὶ παράδοξον, ὅτι τούτων ἀκροατὰς ἔχει τοὺς γνησιωτάτους μοι τῶν παρ' ὑμῖν ἀδελφῶν· καὶ οὐκ ἀκροατὰς μόνον, ἀλλὰ καὶ μαθητάς, ὡς ἔοικεν. Εἴ γε καὶ ἄλλως ἦν παράδοξον τοιοῦτον μὲν εἶναι τὸν διδάσκοντα (85), ἐμὲ δὲ τὸν διασυρόμενον, ἀλλ' οὖν τῶν καιρῶν ἡ καταστροφὴ ἐπαίδευσεν ἡμᾶς πρὸς μηδὲν δυσκολαίνειν. Πάλαι γὰρ τὰ τούτων ἀτιμότερα συνήθη ἡμῖν γέγονε διὰ τὰς ἁμαρτίας ἡμῶν. Ἐγὼ τοίνυν, εἰ μὲν οὐδέπω τοῖς αὐτοῦ ἀδελφοῖς δέδωκα πεῖραν τῆς ἐμαυτοῦ περὶ τὸν Θεὸν αἱρέσεως (86), οὐδὲ νῦν ἔχω τι ἀποκρίνασθαι· οὓς γὰρ οὐκ ἔπεισεν ὁ μακρὸς χρόνος, πῶς συμπείσει ἐπιστολὴ βραχεῖα; εἰ δὲ ἐκεῖνα αὐτάρκη, λῆροι νομιζέσθωσαν τὰ παρὰ τῶν διαβαλλόντων. Πλήν γε ὅτι, ἐὰν ἐπιτρέψωμεν στόμασιν ἀχαλινώτοις, καὶ καρδίαις ἀπαιδεύτοις λαλεῖν περὶ ὧν ἂν ἐθέλωσιν, καὶ ἕτοιμα ἔχωμεν πρὸς ὑποδοχὴν τὰ ὦτα, οὐ μόνον ἡμεῖς τὰ τῶν ἄλλων παραδεξόμεθα, ἀλλὰ καὶ ἕτεροι τὰ ἡμέτερα.

2. Τούτων δὲ αἴτιον ἐκεῖνο, ὃ πάλαι μὲν παρεκάλουν μὴ γίνεσθαι, νῦν δὲ ἀπαγορεύσας σιωπῶ, τὸ μὴ συντυγχάνειν ἡμᾶς ἀλλήλοις. Εἰ γὰρ κατὰ τὰς ἀρχαίας συνθήκας, καὶ κατὰ τὴν ὀφειλομένην νῦν ταῖς Ἐκκλησίαις παρ' ἡμῶν ἐπιμέλειαν, τὰ πολλὰ τοῦ ἐνιαυτοῦ μετ' ἀλλήλων διήγομεν, οὐκ ἂν ἐδώκαμεν πάροδον τοῖς διαβάλλουσι. Σὺ δὲ (87), εἰ δοκεῖ, τούτους μὲν ἔα χαίρειν· αὐτὸς δὲ παρακλήθητι συγκάμνειν ἡμῖν εἰς τὸν προκείμενον ἀγῶνα, καὶ συντυχεῖν μεθ' ἡμῶν τῷ καθ' ἡμῶν στρατευομένῳ. Εἰ γὰρ ὀφθῇς μόνον, ἐφέξεις αὐτοῦ τὴν ὁρμήν, καὶ τοὺς συγκροτουμένους ἐπὶ τῷ καταστρέψασθαι τὰ τῆς πατρίδος πράγματα διαλύσεις, γνώριμον αὐτοῖς καταστήσας, ὅτι αὐτὸς τῇ τοῦ Θεοῦ χάριτι τοῦ καθ' ἡμᾶς συλλόγου κατάρχεις (88)· καὶ φράξεις πᾶν ἄδικον στόμα τῶν λαλούντων κατὰ τοῦ Θεοῦ ἀνομίαν. Ἂν ταῦτα γένηται, αὐτὰ τὰ πράγματα δείξει, τίς μὲν ὁ κατακολουθῶν σοι ἐπὶ τὰ καλά, τίς δὲ ὁ μετοκλάζων καὶ προδιδοὺς δειλίᾳ τὸν λόγον τῆς ἀληθείας. Ἐὰν δὲ τὰ τῆς Ἐκκλησίας προδιδόμενα ᾖ, ὀλίγος (89) μοι λόγος διὰ ῥημάτων πείθειν τοὺς τοσούτου με τιθεμένους ἄξιον, ὅσον ἂν τιμήσωνται ἄνθρωποι οὔπω ἑαυτοὺς μετρεῖν δεδιδαγμένοι. Μετ' οὐ πολὺ γάρ, τῇ τοῦ Θεοῦ χάριτι ἡ διὰ τῶν ἔργων ἀπόδειξις τὰς συκοφαντίας ἐλέγξει· διότι προσδοκῶμεν ὑπὲρ τοῦ λόγου τῆς ἀληθείας τάχα μέν τι καὶ μεῖζον πείσεσθαι· εἰ δὲ μή, πάντως γε τῶν ἐκκλησιῶν καὶ τῶν

A si ille, qui nunc primum sese ad vitam Christianorum emergere profitetur, ac sibi honori alicui futurum putat, nobiscum conflictari, ea effingit quæ non audivit, et narrat quæ non intellexit; nihil mirum. Sed illud mirandum et ab opinione abhorrens, quod ejusmodi rerum auditores habet germanissimos mihi apud vos fratres; nec auditores modo, sed et discipulos, ut videtur. Quod si alioqui mirum esset, talem esse eum qui docet, meque eum esse cui maledicitur; certe temporum infelix status nihil nos ægre ferre docuit. Nam jamdudum majores his contumeliæ familiares nobis factæ sunt ob nostra peccata. Ego igitur, si necdum istius fratribus meæ de Deo sententiæ experimentum dedi, ne nunc quidem habeo quod respondeam. Quibus enim longum
B tempus non persuasit, quomodo brevis epistola persuadeat? Sin illa satis sunt, nugæ existimentur quæ proficiscuntur a calumniatoribus. Sed tamen, si permiserimus effrenatis linguis et expertibus disciplinæ cordibus, de quibus voluerint loqui, auresque ad suscipiendum paratas habuerimus, non nos solum res aliorum secus accipiemus, sed nostras etiam alii.

2. His autem illud in causa est, quod pridem hortabar ne fieret, nunc autem defessus sileo, quod non una conveniamus. Nam si ex veteri pacto et pro debita nunc Ecclesiis a nobis cura, magnam anni partem simul traduceremus, aditum non dedissemus calumniantibus. Tu autem, si videtur,
C his quidem vale dicito; ipse vero exorari te sine, ut nobiscum ad propositum certamen allabores, ac nobiscum occurras ei qui bellum nobis infert. Si enim tantum appareas, supprimes ipsius impetum, eosque, qui ad patriæ res evertendas conspirant, dissipabis, ubi ipsis notum feceris te, Dei gratia, cœtus nostri ducem esse, ac omne os loquentium contra Deum iniquitatem obturabis. Hæc si fiant, res ipsa declarabit quis tui ad præclara facinora sectator, et quis claudicans ac veritatis doctrinæ ignavus proditor. Quod si res Ecclesiæ proditæ sunt, parum mihi curæ fuerit eos verbis convincere, qui tanti me faciunt, quanti facere possint qui nondum suo se modulo metiri didicerunt. Enimvero brevi, Deo largiente, ipsis operum
D testimoniis calumniæ arguentur; siquidem exspectamus pro veritatis doctrina forte etiam nos majus aliquid passuros; sin minus, saltem omnino ex ecclesiis et patria ejectum iri. **166** Sed, si nihil evenerit eorum quæ speramus, non procul abest Christi judicium. Quare si congressum ob ecclesias

(85) *Τὸν διδάσκοντα.* Editi addunt τοιούτους δὲ τοὺς ἀνεχομένους, *si mirum esset tales esse eos qui hunc tolerant.* Sed hæc desunt in antiquissimo codice Coisliniano, ac præterea pugnant cum Basilii sententia, qui paulo ante dixit mirum esse quod tales ille auditores haberet : delendæ ergo hæ voces visæ sunt. Paulo post editi μὴ πρὸς μηδέν. Quinque mss. ut in textu. Mox legimus τὰ τούτων, articulo addito ex codicibus Medicæo, Coisliniano primo et Vaticano.

(86) *Αἱρέσεως.* Harl., Vat. et Clar. προαιρέσεως.

(87) *Σὺ δέ.* Ita Med., Reg. primus, Vat., Clarom. Editi Σοὶ δέ. Paulo post editi παρόντα ἀγῶνα. Tres antiquissimi codices et Reg. primus ut in textu.

(88) *Κατάρχεις.* Ita Med., Harl. et Coisl. primus. Editi κατάρξεις.

(89) *Ὀλίγος.* Coisl. primus οὐδείς. Paulo post editi τοσούτου σε. Sed multo melius in edit. Hagan. et tribus vetustissimis codicibus et Clarom., quos secuti sumus. Ibidem editi τιμήσονται. Tres supra dicti codices ut in textu.

exposcis, paratus sum, quocunque advocaveris, accurrere; sin autem, ut calumnias diluam, de his respondere nunc mihi non vacat.

A πατρίδων ἀπελαθήσεσθαι. Ἐὰν δὲ καὶ μηδὲν τῶν ἐλπιζομένων γένηται, οὐ μακράν ἐστι τὸ τοῦ Χριστοῦ δικαστήριον. Ὥστε, εἰ μὲν τὴν συντυχίαν διὰ τὰς ἐκκλησίας ἐπιζητεῖς, ἕτοιμος συνδραμεῖν ὅπουπερ ἂν προχαλῇ (90)· εἰ δὲ, ἵνα τὰς συκοφαντίας διαλύσω, οὐ σχολή μοι νῦν ἀποκρίνασθαι περὶ τούτων.

EPISTOLA LXXII*.

ΕΠΙΣΤΟΛΗ ΟΒ'.

Hesychium rogat Basilius, ut sibi in placando Callisthene operam navet.

Hesychio

Novi et amorem in me tuum, et rerum optimarum studium. Quare cum mihi placandus sit desideratissimus filius Callisthenes, existimavi, si te socium caperem sollicitudinis, facilius me perfecturum quod cupio. Succenset ille vir disertissimo Eustochio, nec immerito succenset. Servorum ipsius in se audaciam ac furorem incusat. Hunc rogamus exorari se sinat, ut eo timore contentus, quem et temerariis illis et eorum heris incussit, contentionem, venia data, dissolvat. Nam hoc pacto utrumque consequetur, et honestam speciem apud homines, et laudem apud Deum, si modo terrori velit patientiam admiscere. Tu igitur, si qua tibi cum illo viro intercedit amicitia ac familiaritas, ab eo id beneficii postula : et quos noris in civitate idoneos ad eum flectendum, socios adhibe sollicitudinis, dicens eis rem mihi gratissimam fore. Quin et diaconum sic dimitte, ut quarum rerum causa missus est, his perfectis redeat. Nam pudet me homines, qui ad me confugiunt, nihil juvare posse.

Ἡσυχίῳ.

Οἶδά σου καὶ τὴν πρὸς ἡμᾶς (91) ἀγάπην, καὶ τὴν περὶ τὰ καλὰ σπουδήν. Διόπερ χρήζων δυσωπῆσαι τὸν ποθεινότατον υἱὸν Καλλισθένην, ἡγησάμην, εἰ κοινωνόν σε λάβοιμι τῆς φροντίδος, ῥᾷον κατορθώσειν τὸ σπουδαζόμενον. Λελύπηται ὁ ἀνὴρ κατὰ τοῦ B λογιωτάτου Εὐστοχίου· καὶ λελύπηται δικαίαν λύπην. Ἐγκαλεῖ αὐτοῦ τοῖς οἰκέταις θράσος κατ' αὐτοῦ καὶ ἀπόνοιαν. Τοῦτον ἀξιοῦμεν παρακληθῆναι, ἀρκεσθέντα (92) τῷ φόβῳ, ὃν ἐφόβησεν αὐτούς τε τοὺς θρασυνομένους καὶ τοὺς τούτων δεσπότας, καταλῦσαι τὴν φιλονεικίαν, δόντα τὴν χάριν. Οὕτω γὰρ ἀμφότερα ὑπάρξει (93)· καὶ τὸ παρὰ ἀνθρώποις σεμνὸν, καὶ τὸ παρὰ Θεῷ εὐδόκιμον, ἐὰν τῷ φόβῳ θελήσῃ τὸ μακρόθυμον ἀναμῖξαι. Αὐτός τε οὖν, εἴ τίς σοι (94) προϋπάρχει φιλία πρὸς τὸν ἄνδρα καὶ συνήθεια, αἴτησον παρ' αὐτοῦ τὴν χάριν ταύτην· καὶ οὓς ἐὰν γνῷς ἐν τῇ πόλει δυναμένους αὐτὸν δυσωπῆσαι, κοινωνοὺς λάβε τῆς φροντίδος, εἰπὼν αὐτοῖς, ὅτι τὸ γινόμενον ἐμοὶ μάλιστα κεχαρισμένον ἔσται. Καὶ ἀπόπεμψαι τὸν συνδιάκονον πράξαντα (95) C ὧν ἕνεκεν ἀπεστάλη. Αἰσχύνομαι γὰρ, καταφυγόντων πρός με τῶν ἀνθρώπων, μὴ δυνηθῆναι αὐτοῖς γενέσθαι τι χρήσιμον (96).

EPISTOLA LXXIII**.

ΕΠΙΣΤΟΛΗ ΟΓ'.

Laudat Callisthenem Basilius quod Eustochii servis iratus rei arbitrium sibi permiserit. Petenti ut in locum, ubi injuriam fecerant, abducantur, demonstrat multa inde consequi incommoda. Concedit ut Sasima usque sistantur; vel potius rogat ut sibi vindicta permittatur; ac si juravit Callisthenes traditurum se eos ad pœnam secundum leges, contentus sit pœna quam Ecclesiæ leges imponunt, et militem, quem miserat, cito revocet.

Callistheni.

1. Gratias egi Deo lectis tuæ gravitatis litteris. primum, quod hominis honorem libenter mihi habentis veniret ad me salutatio : siquidem virorum præstantissimorum colloquium plurimi facio; alterum voluptati fuit, recordationem bonam consequi. Signum autem recordationis litteræ, quas ubi accepi, ac earum sensum intellexi, miratus sum

Καλλισθένει.

Ηὐχαρίστησα τῷ Θεῷ (97) τοῖς γράμμασιν ἐντυχὼν τῆς εὐγενείας σου· πρῶτον μὲν, ὅτι ἀνδρὸς τιμᾷν ἡμᾶς προαιρουμένου ἀφίκετό μοι προσηγορία· καὶ γὰρ πολλοῦ μὲν ἀξίαν τιθέμεθα τῶν ἀρίστων ἀνδρῶν τὴν συντυχίαν· δεύτερον δὲ εἰς εὐφροσύνην, D το μνήμης ἀγαθῆς τυγχάνειν. Σύμβολον δὲ μνήμης γράμματα, ἅπερ ἐπειδὴ ἐδεξάμην, καὶ κατέμαθον

* Alias CCCLI. Scripta circa an. 371.

** Alias CCCLXXXVIII. Scripta circa an. 371.

(90) *Προχαλῇ*. Ita Coisl. primus et Med. cum alio. Editi προσχαλῇ. Paulo post Coisl. primus ἀποκρίνεσθαι.

(91) *Τὴν πρὸς ἡμᾶς*. Ita Coisl. primus et Med. Editi τὴν περὶ ἡμᾶς.

(92) *Παρακληθῆναι, ἀρκεσθέντα*. Med. et Coisl. primus ἀρκεσθῆναι παρακληθέντα. Statim mss. αὐτούς τε, vocula aberat ab editis.

(93) *Ὑπάρξει*. Harlæanus codex cum recentioribus aliis quatuor ὑπάρχει. Paulo post duo mss. τὸ μακρόθυμον ἀναδεῖξαι.

(94) *Εἴ τίς σοι*. Ultima vocula ex mss. quinque addita.

(95) *Πράξαντα*. Editi addunt τι, quod deest in Harl., Clarom., Paris., Reg. secundo et Coisl. secundo.

(96) *Χρήσιμον*. *Quod non possim esse aliquid utile;* si verbum verbo reddatur. Utitur Basilius hac loquendi ratione in epist. 74, n. 3 : Ἢ γὰρ γενήσῃ τι ὄφελος τοῖς κοινοῖς. *Vel enim eris aliqua utilitas communibus rebus.* Et n. 1 : οὐχ ὥς τι ὄφελος ἐσομένους τοῖς πράγμασιν. Librarii, cum minus essent in stylo Basilii perspiciendo versati, posuerunt hoc loco γενέσθαι τι χρήσιμος, quæ scriptura reperitur in tribus recentioribus mss.

(97) *Τῷ Θεῷ*. Editi addunt τῷ ἁγίῳ, sed hæc desunt in omnibus mss. quos quidem vidimus. Paulo post plures mss. πολλοῦ μοι ἀξίαν τίθεμαι. Coisl. primus πολλοῦ ἀξίαν.

τῶν ἐν αὐτοῖς [illegible], ἐθαύμασα ὅπως τῷ ὄντι κατὰ τὴν πάντων ὑπόληψιν, πατρικὴν ἀπένειμε (98) τὴν αἰδῶ. Τὸ γὰρ φλεγμαίνοντα καὶ ὠργισμένον, καὶ ὁρμήσαντα πρὸς τὴν τῶν λελυπηκότων ἄμυναν, παραλῦσαι μὲν τὸ πολὺ τῆς σφοδρότητος, ἡμᾶς δὲ τοῦ πράγματος κυρίους ποιήσασθαι, ἔδωκεν ἡμῖν εὐφρανθῆναι ὡς ἐπὶ τέκνῳ πνευματικῷ. Ἀντὶ οὖν τούτων τί ἄλλο λειπόμενόν ἐστιν ἢ εὔχεσθαί σοι τὰ ἀγαθά; φίλοις μέν σε ἥδιστον εἶναι, ἐχθροῖς δὲ φοβερὸν, πᾶσι δὲ ὁμοίως αἰδέσιμον, ἵνα καὶ οἱ τῶν προσηκόντων τι ἐλλελοιπότες, αἴσθησιν λαβόντες τῆς ἐν σοὶ πραότητος, ἑαυτῶν καθάψωνται, ὅτι εἰς τοιοῦτόν (99) σε ὄντα ἐξήμαρτον.

2. Ἐπειδὴ οὖν (1) προσέταξας τοὺς οἰκέτας ἐπὶ τὸν τόπον ἐν ᾧ τὴν ἀταξίαν ἐπεδείξαντο διαχθῆναι, ἀξιῶ τὸν σκοπὸν μαθεῖν, καθ' ὃν ἐπιζητεῖ τοῦτο ἡ χρηστότης σου. Εἰ μὲν γὰρ αὐτὸς παρέσῃ, καὶ αὐτὸς εἰσπράξῃ (2) τῶν τετολμημένων τὴν δίκην, παρέσονται μὲν οἱ παῖδες· τί γὰρ ἄλλο δεῖ γενέσθαι, εἰ τοῦτό σοι κέκριται; πλὴν ἀλλ' ἡμεῖς οὐκ οἴδαμεν ποίαν ἔτι χάριν εἰληφότες ἐσόμεθα, ἐάν περ μὴ ἐξαρκέσωμεν (3) ἐξελέσθαι τοὺς παῖδας τῆς τιμωρίας. Εἰ δὲ αὐτόν σε ἡ ἐπὶ τῆς λεωφόρου ἀσχολία καθέξει, τίς ὁ ὑποδεχόμενος ἐκεῖ τοὺς ἀνθρώπους; τίς δὲ ὁ μέλλων αὐτοὺς ἀντὶ σοῦ ἀμύνεσθαι; Ἀλλ' εἰ δοκεῖ σοι ἐλθεῖν αὐτοὺς εἰς ὄψιν, καὶ τοῦτο πάντως κέκριται· μέχρι Σασίμων κέλευσον γενέσθαι αὐτῶν τὴν παράστασιν, καὶ αὐτοῦ δεῖξον σεαυτοῦ τὸ πρᾶον τοῦ ἤθους καὶ μεγαλόθυμον. Λαβὼν γὰρ ὑποχειρίους τοὺς παροξύναντας, καὶ ἐν τούτῳ τὸ εὐκαταφρόνητον τῆς σεαυτοῦ (4) ἀξίας ἐπιδειξάμενος, ἄφες αὐτοὺς ἀβλαβεῖς, ὡς ἐν τοῖς προτέροις γράμμασι παρεκαλέσαμεν, ἡμῖν μὲν διδοὺς τὴν χάριν, παρὰ δὲ Θεοῦ τὴν ἐφ' οἷς ποιεῖς ἀντίδοσιν ἐκδεχόμενος.

3. Καὶ ταῦτα λέγω, οὐχ ὡς οὕτως ὀφείλοντος τελεσθῆναι τοῦ πράγματος, ἀλλὰ συνενδιδοὺς τῇ ὁρμῇ σου, καὶ φοβούμενος μή τι ὑπολείπηται ἄπεπτον τοῦ θυμοῦ, καὶ ὥσπερ ἐπὶ τῶν φλεγμαινόντων ὀφθαλμῶν καὶ τὰ ἁπαλώτατα τῶν βοηθημάτων ὀδυνηρὰ φαίνεται, οὕτω καὶ νῦν ὁ ἡμέτερος λόγος ἐξαγριάνῃ σε μᾶλλον ἢ καταστείλῃ. Ἐπεὶ τὸ εὐπρεπέστατον ἦν, καὶ σοὶ μέγιστον κόσμον ἐνεγκεῖν δυνάμενον, καὶ ἐμοὶ ἀρκοῦν πρὸς τοὺς ἐμαυτοῦ φίλους καὶ ἡλικιώτας εἰς σεμνολόγημα, τὸ ἡμῖν ἐπιτραπῆναι τὴν ἐκδίκησιν. Πάντως δὲ εἰ καὶ ὀμώμοσταί σοι δοῦναι αὐτοὺς εἰς τιμωρίαν κατὰ τοὺς νόμους, οὔτε ἡ παρ' ἡμῶν ἐπιτίμησις ἐλάττων ἐστὶν εἰς ἐκδίκησιν, οὔτε ὁ θεῖος νόμος ἀτιμότερος τῶν ἐμπολιτευομένων τῷ βίῳ νομίμων. Ἀλλ' ἦν δυνατὸν αὐτοὺς, ἐνταῦθα ἐπιστραφέντας τοῖς ἡμετέροις νομίμοις, ἐν οἷς καὶ αὐτὸς τὴν ἐλπίδα ἔχεις (5) τῆς σωτηρίας, καὶ σὲ τῆς ἐπὶ τῷ

A quomodo vere, ut omnium erat opinio, paternam mihi reverentiam exhibuerint. Quod enim æstuans
167 et iratus et ad ulciscendos molestiæ auctores paratus, multum remisisti de impetu, nosque rei dominos fecisti; id mihi locum dedit in te tanquam in filio spirituali lætandi. Pro his igitur quid aliud superest, nisi ut tibi bona precemur? ut amicis quidem sis gratissimus, inimicis vero formidandus, et omnibus pariter reverendus, ut et qui aliqua in re officio suo defuerint, cognita tua lenitate culpent se ipsi, quod in te virum talem deliquerint.

2. Sed quia jussisti famulos in locum, ubi turbam ac tumultum excitarunt, abduci, scire velim
B quid tuæ bonitati id requirenti propositum sit. Si enim aderis ipse, et facinoris pœnas ipse repetes, aderunt pueri : quid enim aliud faciendum, si id tibi statutum est? Sed nescio ego quid jam beneficii accepero, si pueros ex supplicio eruere non valeam. Quod si te negotia per viam detinuerint, quis homines illic suscipiet? quis pro te illos ulciscetur? Quod si videtur ut tibi in conspectum prodeant, idque omnino statutum, jubo Sasimos usque sistantur, ac ibi ostende lenitatem morum tuorum et magnanimitatem. Postquam enim in potestatem acceperis eos qui offenderunt, et hoc pacto demonstraveris non contemptui habendam esse tuam dignitatem, illæsos dimitte, quemadmodum prioribus litteris rogavimus, gratiam a nobis
C iniens, et a Deo facti mercedem exspectans.

3. Hæc autem dico, non quod res ita perfici debeat, sed cedens commotioni tuæ, ac metuens, ne quid iracundiæ minus coctum resideat, et quemadmodum oculis inflammatis vel mollissima medicamenta dolorem ferunt, ita et nunc oratio mea accendat te magis quam compescat. Illud enim maxime decorum foret, ac tibi maximum ornamentum afferre posset, mihique non parvam apud amicos et æquales meos gloriæ materiam, si vindicta mihi permitteretur. Omnino autem etiam si juraveris traditurum te eos ad supplicium
D secundum leges; neque animadversio nostra minor est ad vindictam, neque divina lex ignobilior observatis in sæculo legibus. Sed fieri poterat, ut hic ex legibus nostris, in quibus et ipse spem salutis positam habes, puniti, et te jurisjurandi necessitate solverent, et ipsi parem peccatis pœnam

(98) Ἀπένειμε. Editi ἡμῖν απενειμες. Tres mss. recentiores ἀπένειμες. Harl., Coisl. primus et Med. ut in textu, nisi quod in variis Medicæi lectionibus non observata fuit secundæ vocis varietas.

(99) *Τοιοῦτον*. Sic mss. sex. Editi τοσοῦτον.

(1) *Ἐπειδὴ οὖν*. Ita Harl., Med. et Coisl. primus. Editi Ἐπειδὴ δέ.

(2) *Εἰσπράξῃ*. Ita mss. sex. Editi εἰσπράξεις.

(3) *Ἐξαρκέσωμεν*. Ita mss. septem. Editi ἐξαρκέσομεν. Non multo post editi ἀμύνασθαι. Octo mss. ut in textu.

(4) *Τῆς σεαυτοῦ*. Ita mss. octo. Editi τῆς σῆς. Aliquanto infra editi συνδιδούς. Mss. sex ut in textu. Mox edit. ὑπολίπηται. Harl. et Med. cum tribus aliis ὑπολείπηται.

(5) *Ἔχεις*. Ita veteres libri summo consensu Male in editis ἔχοις. Paulo post editi καὶ αὐτοῖς. Harl. et Coisl. primus et alii nonnulli ut in textu.

explerent. Sed rursus epistolam longius produco. Nam dum hæc tibi persuadere vehementer studeo, nihil eorum quæ in mentem veniunt, prætermittere possum; veritus scilicet ne ideo irrita sit mea precatio, quod aliquid in docendo prætermiserim. At enim, colendissime ac germane Ecclesiæ fili, confirma spes meas, quas in te nunc positas habeo, et consentientia **168** omnium de tua animi moderatione et lenitate testimonia; ac militi scribe ut a nobis cito discedat. Is enim hactenus nihil odii aut contumeliæ omisit: quippe cum malit te molestia non afficere, quam omnes nos familiares ac amicos habere.

ὅρκῳ ἀνάγκης ἐλευθερῶσαι, καὶ αὐτοὺς σύμμετρον τοῖς ἡμαρτημένοις ἐκπληρῶσαι τὴν δίκην. Ἀλλὰ πάλιν μακρὰν ποιῶ τὴν ἐπιστολήν. Ὑπὸ γὰρ τοῦ σφόδρα σπουδάζειν πιθανός σοι γενέσθαι, οὐδὲν τῶν εἰς διάνοιαν ἐρχομένων ἀποσιωπῆσαι ἀνέχομαι· φοβούμενος μὴ παρὰ τοῦτο ἄπρακτός μοι ἡ αἴτησις γένηται, ἐλλιπῶς μου τὴν διδασκαλίαν ποιησαμένου. Ἀλλ', ὦ τιμιώτατον (6) καὶ γνήσιον θρέμμα τῆς Ἐκκλησίας, βεβαίωσον καὶ ἐμοὶ τὰς ἐλπίδας, ἃς ἔχω νῦν ἐπὶ σοὶ, καὶ τὰς πάντων συμφώνως περὶ τῆς σῆς ἐμμελείας καὶ πραότητος μαρτυρίας, καὶ ἐπίστειλον τῷ στρατιώτῃ ἀπαλλαγῆναι ἡμῶν ἐν τάχει, ὃς νῦν γε οὐδὲν ἐπαχθείας, οὐδὲ ὕβρεως ἐλλέλοιπε, μᾶλλον αἱρούμενός σε μὴ λυπῆσαι ἢ πάντας ἡμᾶς οἰκείους ἔχειν καὶ φίλους.

EPISTOLA LXXIV*.

ΕΠΙΣΤΟΛΗ ΟΔ'.

Basilius malorum patriæ descriptione Martinianum adducere conatur, ut imperatorem adeat, et quanta ex divisione Cappadociæ consequantur incommoda demonstret, vel saltem scribendo opem ferat in tanta calamitate.

Martiniano

Μαρτινιανῷ.

1. Quanti me arbitraris, quanti æstimaturum, ut in unum aliquando inter nos veniamus, tecumque diutius verser, adeo ut omnibus bonis quibus ornatus es, perfruar? Si enim plurimum valet ad eruditionis testimonium, multorum hominum vidisse urbes, et mores nosse; id existimo brevi tempore tuum congressum præstare. Quid enim refert utrum multos sigillatim videas, an unum qui omnium simul experientiam adeptus sit? Imo vero maxime præstare dixerim, quæcunque rerum optimarum cognitionem sine labore conciliant, et puram ab omni vitii permistione scientiam virtutis colligunt. Enimvero sive facinus præclarissimum, sive sententia memoratu digna, sive virorum alios superantium instituta, omnia in animi tui thesauro reconduntur. Quare non annum tantum, sicut Alcinous Ulyssem, sed per totam vitam meam audire te exoptarim, eamque longam hac de causa fieri, quamvis mihi gravis sit et molesta. Sed quid ego nunc scribo, cum adesse oporteret? Quia me afflictata patria festinanter ad se vocat. Qualia autem patiatur, non ignoras, vir optime. Eam enim, veluti Pentheum, vere Mænades quidam, dæmones, discerpsere: siquidem eam secant atque resecant, vulnera, imperitorum medicorum more, per inscientiam suam reddentes graviora. Itaque, cum laboret dissecta, reliquum est ut ei tanquam ægrotanti medeamur. Scripserunt igitur ac nos urgent cives, atque

1. Ἐμὲ τί οἴει, πόσου ποτ' ἂν τιμήσασθαι τὸ εἰς ταυτόν ποθ' ἡμᾶς ἀλλήλοις ἐλθεῖν, καὶ ἐπὶ πλεῖόν σοι συγγενέσθαι, ὥστε πάντων ἀπολαῦσαι τῶν ἐν σοὶ καλῶν; Καὶ γὰρ εἰ μέγα πρὸς μαρτυρίαν παιδεύσεως τὸ πολλῶν ἀνθρώπων ἰδεῖν ἄστεα, καὶ νόον γνῶναι· τοῦτο οἶμαι δι' ὀλίγου χαρίζεσθαι τὴν σὴν ὁμιλίαν. Τί γὰρ διαφέρει πολλοὺς ἰδεῖν κατὰ μέρος, ἢ ἕνα τὸν πάντων (7) ὁμοῦ τὴν πεῖραν ἀναδεξάμενον; Μᾶλλον δὲ ἐγὼ καὶ πλεῖστον ἂν ἔχειν εἴποιμι τὸ διάφορον, ὅσα ἀταλαίπωρον τὴν γνῶσιν τῶν καλῶν προξενεῖ, καὶ καθαρὰν τῆς πρὸς τὸ χεῖρον ἐπιμιξίας συνάγει τὴν ἱστορίαν τῆς ἀρετῆς. Εἴτε γὰρ πρᾶξις ἀρίστη, εἴτε λόγος μνήμης ἄξιος, εἴτε πολιτεῖαι (8) ἀνδρῶν ὑπερπεφυκότων τοὺς ἄλλους· πάντα τῷ σῷ ταμιείῳ τῆς ψυχῆς ἐναπόκειται. Ὥστε οὐκ εἰς ἐνιαυτὸν μόνον, ὡς ὁ Ἀλκίνοος (9) τοῦ Ὀδυσσέως, ἀλλ' εἰς πάντα μου τὸν βίον εὐξαίμην ἂν σου ἀκούειν, καὶ μακρὸν ἄν μοι γενέσθαι τούτου γε ἕνεκα τοῦτον, καὶ ταῦτα δυσκόλως πρὸς αὐτὸν διακείμενος. Τί δήποτ' οὖν ἐπιστέλλω νῦν, παρεῖναι δέον; Ὅτι με (10) κάμνουσα ἡ πατρὶς ἐπείγει πρὸς ἑαυτήν. Οἷα γὰρ πέπονθεν, οὐκ ἀγνοεῖς, ὦ ἄριστε· ὅτι Πενθέως τρόπον Μαινάδες ὄντως τινὲς, δαίμονες (11), αὐτὴν διεσπάσαντο. Διαιροῦσι γὰρ αὐτὴν καὶ ἐπιδιαιροῦσιν· ὥσπερ οἱ κακοὶ τῶν ἰατρῶν, χαλεπώτερα τὰ ἕλκη ποιοῦντες τῇ παρ' ἑαυτῶν ἀπειρίᾳ. Ἐπεὶ οὖν κέκμηκε κατατεμνομένη, λείπεται αὐτὴν θεραπεύειν, ὡς ἀῤῥωστοῦσαν. Ἐπέστειλαν οὖν ἐπείγοντες ἡμᾶς οἱ πολῖται· καὶ ἀνάγκη ἀπαντᾷν, οὐχ ὥς τι ὄφελος

Alias CCCLXXIX. Scripta anno 371.

(6) *Τιμιώτατον*. Tres mss. recentiores τιμιώτατε. Paulo post duo mss. πάντων συμφώνους.

(7) *Τὸν πάντων*. Sic Coisl. primus et Reg. secundus: editi τῶν πάντων. Paulo post ejusdem Coisliniani codicis ope emendavimus quod prave in editis legebatur ὅσῳ ἀταλαίπωρον.

(8) *Πολιτεῖαι*. Coisl. primus πολιτεία. Paulo post eodem codice nixi et Harl. et Med., mutavimus quod erat in editis πάντα σου τῷ.

(9) *Ἀλκίνοος*. Ita Harl. cum duobus aliis: editi Ἀλκίνους. Paulo post editi δυσχερῶς πρὸς αὐτόν. Coisl. primus cum aliis nonnullis ut in textu. Sic etiam Harl. prima manu.

(10) *Ὅτι με*. Sic mss. Male in editione 1 Paris. ὅτι μή. Tres antiquissimi codices Med. et Coisl. habent ὅτι κἀμέ.

(11) *Δαίμονες*. Quamvis hanc vocem habeant omnes veteres libri, videtur tamen e margine in contextum irrepsisse. Erit enim multo præclarior Basilii sententia, si homines quidam, vere Mænades, patriam discerpsisse dicantur. Hanc autem observationem debeo doctissimo Antonio Mariæ Salvinio, qui codicem Medicæum erudita sua manu contulit.

ἰσομένους τοῖς πράγμασιν, ἀλλὰ τὴν ἐκ τῆς ἀπολείψεως μέμψιν ἐκκλίνοντας. Οἶσθα γάρ, ὡς εὔκολοι μὲν ἐλπίσαι οἱ ἀμηχανοῦντες, εὔκολοι δέ που καὶ καταμέμψασθαι, ἐπὶ τὸ παρεθὲν ἀεὶ τρέποντες τὰς αἰτίας.

2. Καίτοι ἔγωγε καὶ αὐτοῦ τούτου ἕνεκεν ἐδεόμην σοι συνελθεῖν, καὶ δοῦναι γνώμην· μᾶλλον δὲ παρακαλέσαι ἐνθυμηθῆναί τι νεανικὸν καὶ πρέπον τῷ σεαυτοῦ φρονήματι, καὶ εἰς γόνυ κλιθεῖσαν τὴν πατρίδα ἡμῶν μὴ περιιδεῖν, ἀλλὰ καταλαβόντα τὸ στρατόπεδον, εἰπεῖν μετὰ παῤῥησίας τῆς σῆς μήτοι νομίζειν αὐτοὺς δύο κεκτῆσθαι ἀντὶ μιᾶς ἐπαρχίας. Οὐ γὰρ ἐξ ἄλλης τινὸς οἰκουμένης ἐπεισήγαγον τὴν ἑτέραν· ἀλλὰ παραπλήσιόν τι πεποιήκασιν, ὥσπερ ἂν εἴ τις (12) ἵππον ἢ βοῦν κεκτημένος, εἶτα διχῆ διελὼν, δύο νομίζοι ἔχειν ἑνὸς ἀντι· οὔτε γὰρ δύο ἐποίησε, καὶ τὸν ἕνα διέφθειρεν· εἰπεῖν δὲ καὶ τοῖς παραδυναστεύουσι, μὴ τοῦτον αὔξειν τὸν τρόπον τὴν βασιλείαν, οὐ γὰρ ἐν ἀριθμῷ εἶναι τὴν δύναμιν, ἀλλ' ἐν τοῖς πράγμασιν· ἐπεὶ νῦν γε ἡγούμεθα τοὺς μὲν ἀγνοίᾳ τῆς ἀληθείας ἴσως, τοὺς δὲ τῷ μὴ βούλεσθαι λυπεῖν τοῖς ῥήμασι, τοὺς δὲ καὶ οὐ μέλον αὐτοῖς, περιορᾷν τὰ γινόμενα. Εἰ μὲν οὖν ἦν δυνατὸν αὐτὸν ἐλθεῖν πρὸς βασιλέα, τοῦτο κράτιστον μὲν τοῖς πράγμασι, πρέπον δέ σου τῇ καλῇ (13) τοῦ βίου προαιρέσει. Εἰ δὲ βαρὺ ἄλλως καὶ διὰ τὴν ὥραν τοῦ ἔτους, καὶ διὰ τὴν ἡλικίαν, ὡς αὐτὸς ἔφης, σύντροφον ἔχουσαν ἐν ἑαυτῇ τὸν ὄκνον· ἀλλὰ τό γε (14) ἐπιστεῖλαι πόνος οὐδείς. Ὥστε, τὴν ἀπὸ τῶν γραμμάτων βοήθειαν χαριζόμενος τῇ πατρίδι, πρῶτον μὲν σαυτῷ συνειδήσεις, μηδὲν τῶν εἰς δύναμιν ἡκόντων ἐλλελοιπότι· ἔπειτα μέντοι καὶ τοῖς κάμνουσιν, αὐτῷ τῷ φαίνεσθαι συναλγῶν, ἀρκοῦσαν δώσεις παραμυθίαν. Ἀλλ' εἴθε γὰρ ἦν οἷόν τε, αὐτὸν ἐπιστάντα τοῖς πράγμασιν, ὄψει λαβεῖν αὐτὰ τὰ σκυθρωπά. Οὕτω γὰρ ἂν ἴσως, ἀπ' αὐτῆς τῆς ἐναργείας τῶν ὁρωμένων συγκινηθεὶς, ἀφῆκάς τινα φωνὴν πρέπουσαν καὶ τῇ σῇ μεγαλονοίᾳ, καὶ τῇ κατηφείᾳ τῆς πόλεως. Σὺ δὲ ἀλλ' ἡμῖν διηγουμένοις μὴ ἀπιστήσῃς· ἢ ὅτι Σιμωνίδου ὄντως, ἤ τινος τοιούτου μελοποιοῦ ἐδεόμεθα, ἐναργῶς εἰδότος ἐπιστενάζειν τοῖς πάθεσι. Καίτοι τί λέγω Σιμωνίδην; δέον Αἰσχύλον εἰπεῖν, ἢ εἰ δή τις ἕτερος, παραπλησίως ἐκείνῳ συμφορᾶς μέγεθος ἐναργῶς διαθέμενος, μεγαλοφώνως ὠδύρατο.

.. Σύλλογοι μὲν γὰρ ἐκεῖνοι. καὶ λόγοι, αἱ κατ' ἀγορὰν συντυχίαι τῶν ἐλλογίμων ἀνδρῶν, καὶ ὅσα πρότερον ἐποίει τὴν ἡμετέραν ὀνομαστὴν πόλιν (15) ἡμᾶς ἐπιλελοίπασιν· ὥστε τῶν περὶ παιδείαν καὶ λόγους ἧττον ἂν φανείη νῦν τις ἐμβαλὼν τῇ ἀγορᾷ ἢ Ἀθήνησι πρότερον οἱ ἀτιμίαν κατεγνωσμένοι, ἢ τὰς χεῖρας ὄντες μὴ καθαροί. Ἀντεισῆκται δὲ τούτοις

A accedere necesse est, non quod rebus aliquid allaturi simus auxilii, sed ut derelictionis exprobrationem effugiamus. Nosti enim proclives esse ad sperandum qui in angustiis sunt, proclives et ad conquerendum, semper in id quod prætermissum est, culpam conferentes.

2. Equidem et ejus rei gratia convenire te debebam, ac consilium dare; vel potius obsecrare ut strenuum quiddam ac prudentia tua dignum excogites, nec patriam nostram in genua prolapsam despicias: sed in aulam proficiscens ac libertate tua utens denunties eis, ne sibi videantur duas ex una possidere provincias: neque enim ex alia quadam terra alteram harum **169** induxere: sed idem fere egerunt, ac si quis equum aut bo-

B vem possidens, deinde duas in partes dividens, duos pro uno habere sibi videatur; non enim effecit duos, sed unum e medio sustulit; ac demonstres etiam iis qui plurimum possunt, imperium non hoc pacto adaugeri, neque enim robur in numero, sed in ipsis rebus positum esse: siquidem nunc arbitramur alios quidem fortasse veritatis ignoratione, alios vero eo quod nolint verbis molesti esse, alios parvipendentes, ea quæ fiunt negligere. Si igitur imperatorem ipsum adire posses, id et rebus commodissimum foret et præclaro vitæ tuæ instituto decorum. Sin autem hoc alioqui grave est tum ob anni tempestatem, tum ob ætatem quæ, uti tu ipse dicis, comitem habet pi-

C gritiam; at saltem scribendi nullus labor. Quamobrem, si litterarum præsidium patriæ impertias, primum quidem conscius tibimetipsi eris, nihil quod in tua potestate situm esset, a te fuisse omissum; deinde afflictis etiam, ipsa commiserationis specie, satis magnum afferes solatium. Sed utinam fieri posset, ut interesses ipsis rebus, ac oculis tuis mœstitiam videres. Sic enim forte ex rerum conspectarum evidentia commotus, vocem aliquam et animi tui magnitudine et civitatis afflictione dignam emitteres. Sed tamen narrantibus nobis fidem ne deroges. Revera Simonide, aut aliquo simili poeta indigeremus, evidenter scienti calamitates lugere. Sed quid dico Simonidem? Æschylum dicere oportuit, aut si quis alius ei

D similis, calamitatis magnitudinem clare exponens, voce alta lamentatus est.

3. Nam cœtus illi, sermonesque et eruditorum virorum in foro colloquia, ac quæcunque civitati nostræ antea nomen et famam pepererant, nos deseruere. Quare eruditorum et eloquentium hominum rarius nunc quisquam ad forum accedere deprehendatur, quam olim Athenis infamiæ notis inusti, aut manibus non puri. Introducta est au-

(12) *Ἂν εἴ τις*. Deest secunda vocula in multis codicibus, in quibus etiam paulo post legitur *δίχα*.

(13) *Τῇ καλῇ*. Ita Coisl. primus, Med., Harl., Claromon. Editi τῇ ὅλῃ. Paulo post editi καὶ βαρύ, sed deest conjunctio in mss.

(14) *Τό γε... χαριζόμενος*. Ita vetustissimi tres mss. et paulo post iidem habent ἐλλελοιπότι. Edit. τότε... *χαρισάμενος* et ἐκλελοιπότι. Ibidem ἡκόντων deest in Bigot. et Reg. primo, nec necessarium est.

(15) *Πόλιν*. Ita mss. Editi πάλαι. Iidem editi paulo post habent ἐμβάλλων et ἀτιμίας. Mss. ut in textu.

tem horum loco Scytharum quorumdam aut Massagetarum inscitia. Una autem vox est exactorum, et eorum a quibus exigitur, quique flagellis cæduntur. Porticus utrinque lugubre quiddam personantes, velut propriam videntur vocem edere, de his quæ fiunt ingementes. Occlusa autem gymnasia et noctes non illustratas non sinit aliquo nos in numero habere ipsa de vita sollicitudo. Non enim leve periculum est, ne amotis optimatibus, velut fulcris corruentibus, simul evertantur omnia. Ecquis autem sermo exprimendis nostris malis par fuerit? Alii abierunt fugientes, pars senatus nostri, non ignobilior, perpetuum exsilium Podando præferentes. Cum autem Podandum dico, Ceadem me Laconicum dicere puta; aut sicubi naturale barathrum vidisti; quæ loca nonnulli Charonia, nomine sua sponte occurrenti, appellarunt, **170** exitiosam auram exhalantia. Ejusmodi loco persimile existima Podandi malum. Ex tribus igitur partibus, alii cum uxoribus ac focis fugiunt, alii abducuntur ut captivi, maxima pars optimatum civitatis, miserandum amicis spectaculum, inimicorum vota explentes; si quis tamen omnino exstitit, qui nobis tantum mali imprecaretur. Tertia jam relicta pars est. Hi autem amicorum ac familiarium non ferentes secessum, simulque infirmiores quam ut rebus necessariis provideant, vitam ipsam oderunt. Hæc hortamur ut nota omnibus facias, tua ipsius voce ac justa dicendi libertate, quam tibi vita conciliat; clare illud prædicens, nisi cito consilium mutent, non habituros in quibus humanitatem ostendant. Vel enim aliquid auxilii laturus es communibus rebus, vel saltem idem facturus, quod Solon, qui, cum cives derelictos defendere non posset, arce jam occupata, armatus ante fores sedebat, hoc ipso habitu declarans, se his quæ fiebant non assentiri. Hoc autem pro certo scio, etiam si quis nunc sententiam tuam non probet, paulo post

A Σκυθῶν τινων ἢ Μασσαγετῶν ἀμουσία· μία δὲ φωνὴ ἀπαιτούντων, καὶ ἀπαιτουμένων, καὶ ξαινομένων ταῖς μάστιξι. Στοαὶ δ' ἑκατέρωθεν σκυθρωπὸν ἐπηχοῦσαι (16), οἷον οἰκείαν δοκοῦσιν ἀφιέναι φωνὴν τοῖς γινομένοις ἐπιστενάζουσαι. Γυμνάσια δὲ κεκλεισμένα καὶ νύκτας ἀλαμπεῖς οὐκ ἐᾷ ἡμᾶς οὐδὲν λογίζεσθαι ἡ περὶ τοῦ ζῆν (17) ἀγωνία. Κίνδυνος γὰρ οὐχ ὁ τυχὼν, τῶν κρατούντων ὑφαιρεθέντων, ὥσπερ ἐρείσμασι πεσοῦσι, συγκατενεχθῆναι τὰ πάντα. Καὶ τίς ἂν λόγος τῶν κακῶν τῶν ἡμετέρων ἐφίκοιτο; Οἱ μὲν οἴχονται φεύγοντες, μέρος τῆς βουλῆς ἡμῶν, οὐ τὸ φαυλότατον, τὴν ἀειφυγίαν Ποδανδοῦ προτιμήσαντες. Ὅταν δὲ Ποδανδὸν εἴπω, τὸν Κεάδαν με οἴου λέγειν τὸν Λακωνικὸν (18), ἢ εἴ που τῆς οἰκουμένης εἶδες βάραθρον αὐτοφυὲς, ἃ δὴ καὶ Χαρώνειά B τισι προσαγορεύειν αὐτομάτως ἐπῆλθεν, ἀέρα νοσοποιὸν (19) ἀναπνέοντα. Τοιούτῳ τινὶ ἐοικὸς νόμισον καὶ τὸ Ποδανδοῦ κακόν. Τριῶν τοίνυν μοιρῶν, οἱ μὲν φεύγουσιν αὐταῖς γυναιξὶ καὶ ἑστίαις ἀπαναστάντες· οἱ δὲ ἀπάγονται ὥσπερ αἰχμάλωτοι, οἱ πλεῖστοι τῶν ἐν τῇ πόλει ἄριστοι, ἐλεεινὸν φίλοις θέαμα, ἐχθροῖς δὲ εὐχὴν ἐκπληροῦντες· εἰ δή τις γέγονεν ὅλως τοσοῦτον ἡμῖν ἐπαρασάμενος. Τριτάτη δέ που μοῖρα λέλειπται. Οὗτοι δὲ, τήν τε ἀπόλειψιν τῶν συνήθων (20) οὐ φέροντες, καὶ ἅμα τῆς χρείας ἀτονώτεροι ἀπελεγχόμενοι, πρὸς αὐτὸ τὸ ζῆν ἀπειρήκασι. Ταῦτά σε φανερὰ ποιῆσαι πᾶσι παρακαλοῦμεν τῇ σεαυτοῦ φωνῇ καὶ τῇ σεαυτοῦ παῤῥησίᾳ τῇ δικαίᾳ, ἣν ἔχεις ἀπὸ τοῦ βίου· ἐκεῖνο σαφῶς προειπόντα, ὅτι, ἐὰν μὴ C ταχὺ μεταβουλεύσωνται, οὐδ' ἕξουσιν εἰς οὓς τὴν φιλανθρωπίαν ἐνδείξονται (21). Ἢ γὰρ γενήσῃ τι ὄφελος τοῖς κοινοῖς, ἢ τό γε τοῦ Σόλωνος πεποιηκὼς ἔσῃ, ὃς τοῖς ἀπολειφθεῖσι τῶν πολιτῶν ἀμύνειν (22) οὐκ ἔχων, τῆς ἀκροπόλεως ἤδη κατεχομένης, τὰ ὅπλα ἐνδὺς πρὸ τῶν θυρῶν (23) ἐκαθέζετο, εὔδηλος ὢν τῷ σχήματι, τοῖς γινομένοις οὐ συντιθέμενος. Ἐκεῖνο δ' ἀκριβῶς οἶδα, ὅτι, καὶ εἴ τίς σου νῦν τὴν γνώμην μὴ ἀποδέχοιτο, μικρὸν ὕστερόν σοι (24) εὐνοίας τε ὁμοῦ καὶ συνέσεως τὴν μεγίστην δόξαν προσθήσει,

(16) *Ἐπηχοῦσαι*. Med. ἀπηχοῦσαι. Paulo post editi νύκτες ἀλαμπεῖς. Quinque mss. ut in textu. Erant hæ nocturnæ lucernæ inter ornamenta civitatum, sed in luctu publico intermitti solebant. Unde Libanius in Orat. ad Antiochenos de Imperatoris ira, suadet civibus, ut has lucernas tantisper seponant, vel rariores accendant. Vide Ammianum, lib. XIV, c. 1, et notam Valesii, ex qua hæc delibavimus.

(17) *Περὶ τοῦ ζῆν*. Ita Med., Harl., Vat. et Coisl. secundus; editi περὶ τὸ ζῆν. Ibidem οὐδέν deest ante λογίζεσθαι in eodem Bigot.

(18) *Κεάδαν... Λακωνικόν*. Sic vocabatur apud Lacedæmonios horrendum illud barathrum, in quod maximorum criminum reos dejicere solebant, teste Pausania, lib. IV, p. 250.

(19) *Νοσοποιόν*. Ita tres vetustissimi codices: editi φθοροποιόν. Julius Pollux et Suidas docent Charoniam vocatam fuisse Athenis unam carceris januam, per quam rei ad mortem ducebantur.

(20) *Τῶν συνήθων*. Med. τῶν συνοίκων, et paulo post ἀποβουλεύσωνται. Utrumque Harlæanus sic videtur habuisse.

(21) *Ἐνδείξονται*. Ita tres vetustissimi codices cum duobus aliis: editi ἐνδείξωνται. Paulo post quinque codices, sed non antiquissimi, Ἢ γὰρ ἐγένου.

D (22) *Ἀμύνειν*. Addunt editi τῆς ἐλευθερίας. Duo mss. τῇ ἐλευθερίᾳ, sed hæc in aliis desunt.

(23) *Πρὸ τῶν θυρῶν*. Tres antiquissimi codices habent πρὸ τῶν πυλῶν, quod cum de urbis portis intelligatur, minus huic loco convenit. Id enim Solonem pro foribus domus suæ fecisse discimus ex Plutarcho, qui rem paulo aliter narrat ac Basilius, in libro, *An seni gerenda sit respublica*. Ait enim, ubi deprehensum fuit Pisistratum, gratiam popularem captando, tyrannidem moliri: nemine resistere audente, Solonem sua arma extulisse, et ante domum proposuisse, αὐτὸς ἐξενεγκάμενος τὰ ὅπλα, καὶ πρὸ τῆς οἰκίας θέμενος, ac cives ad defensionem hortatum esse: cumque ad eum misisset Pisistratus, qui rogarent quanam re fretus hæc faceret, eum respondisse, senectute fretum se esse.

(24) *Ὕστερόν σοι*. Deerat pronomen in editis, additum ex codicibus Harl. et Med.

ὅταν ἴδῃ τὰ πράγματα κατὰ τὴν πρόῤῥησιν ἀπαντήσαντα.

A benevolentiæ simul et prudentiæ maximam laudem tibi daturum, cum res viderit ita, ut prædicta fuerant, evenire.

ΕΠΙΣΤΟΛΗ ΟΕ'.

EPISTOLA LXXV*.

Aburgium monet Basilius quid patriæ debeat, eumque illius malorum pictura permovere conatur, ut auctoritate sua utatur ad opem civibus ferendam.

Ἀβουργίῳ (25).

Πολλῶν ὄντων ἃ τὸ σὸν ἦθος ὑπὲρ τοὺς ἄλλους εἶναι πεποίηκεν, οὐδὲν οὕτως ἴδιόν ἐστι σὸν, ὡς ἡ περὶ τὴν πατρίδα σπουδή· δικαίας αὐτῇ ἀποδιδόντος σου τὰς ἀμοιβὰς, ἐξ ἧς ὁρμηθεὶς τοσοῦτος ἐγένου, ὥστε διὰ πάσης τῆς οἰκουμένης γνώριμον εἶναί σου τὴν περιφάνειαν. Αὕτη τοίνυν ἡ πατρὶς, ἡ σὲ ἀνεγκοῦσα καὶ θρεψαμένη, εἰς τὴν τῶν παλαιῶν διηγημάτων ἀπιστίαν περιελήλυθε (26)· καὶ οὐκ ἄν τις ἐπιστὰς ἡμῶν τῇ πόλει, οὐδὲ τῶν πάνυ συνήθων, αὐτὴν (27) γνωρίσειεν. Οὕτως εἰς πᾶσαν ἐρημίαν ἀθρόως μετεσκεύασται, πολλῶν μὲν καὶ πρότερον αὐτῆς ἀφαιρεθέντων τῶν πολιτευομένων, νῦν δὲ σχεδὸν ἁπάντων εἰς τὴν Ποδανδὸν μετοικισθέντων. Ὧν ἀκρωτηριασθέντες οἱ λειπόμενοι, καὶ αὐτοὶ εἰς πᾶσαν ἀπόγνωσιν μεταπεπτώκασι (28), καὶ πᾶσι τοσοῦτον ἐνεποίησαν τῆς ἀθυμίας τὸν ὄγκον, ὥστε σπανίζειν λοιπὸν καὶ τῶν οἰκητόρων τὴν πόλιν, καὶ γεγενῆσθαι τὰ τῇδε ἐρημίαν δεινὴν, ἐλεεινὸν μὲν φίλοις θέαμα, πολλὴν δὲ χαρὰν καὶ εὐθυμίαν φέρον τοῖς πάλαι ἐφεδρεύουσιν ἡμῶν τῷ πτώματι. Τίνος οὖν ἐστι χεῖρα ἡμῖν ὀρέξαι; ἢ τίνος συμπαθὲς ἐφ' ἡμῖν (29) ἀφεῖναι δάκρυον, ἀλλ' οὐχὶ τῆς σῆς ἡμερότητος, ὃς καὶ ἀλλοτρίᾳ συμπαθοῖς πόλει τοιαῦτα καμνούσῃ, μὴ ὅτι γε τῇ σὲ παραγαγούσῃ εἰς τὸν βίον; Εἴ τις οὖν δύναμις, ταύτην νῦν ἐπὶ τῆς παρούσης χρείας ἡμῖν ἐπίδειξαι. Πάντως δὲ μεγάλην ἔχεις τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν, ὃς ἐπ' οὐδενὸς καιροῦ καταλέλοιπέ σε, καὶ πολλὰς ἔδωκέ σοι τῆς παρ' ἑαυτοῦ (30) εὐμενείας τὰς ἀποδείξεις· μόνον ἐὰν θελήσῃς ὅλως διαναστῆναι πρὸς τὴν ἐπιμέλειαν ἡμῶν, καὶ τῇ προσούσῃ σοι δυνάμει χρήσασθαι εἰς τὴν ὑπὲρ τῶν πολιτῶν βοήθειαν.

Aburgio.

Cum multa sint, quibus indoles tua super alios eminet; nihil tamen tibi tam proprium est, quam patriæ amor, rependente te justas illi vices, ex qua ortus talis evasisti, ut claritas tua per totum orbem terrarum celebretur. Itaque illa ipsa patria, quæ te progenuit ac enutrivit, in veterum historiarum incredibilem statum devenit; nec quisquam B in urbem nostram adveniens, etiamsi sit ex iis quibus maxime nota est, illam agnoscat. Adeo in omnem solitudinem subito transmutata est; pluribus quidem jam antea magistratibus ei ablatis, nunc autem fere omnibus Podandum translatis. Ab his avulsi qui residui sunt, in omnem et ipsi desperationem inciderunt, ac omnium animos ita infregerunt, ut jam rari sint etiam incolæ in civitate, atque hic ingens facta sit solitudo, miserandum quidem amicis spectaculum, valde autem jucundum et gratum insidiantibus dudum nostro casui. Cujus est igitur manum nobis **171** porrigere? aut cujus, lacrymas commiserationis nostra causa profundere, nisi clementiæ tuæ, quem etiam alienæ civitatis similiter afflictæ mala tangerent, non modo illius, C quæ te in lucem edidit? Itaque si qua polles potentia, eam in præsens tempus nobis ostende. Magna profecto habes a Deo adjumenta, qui te nullo tempore dereliquit, tibique multa dedit benevolentiæ suæ argumenta: tantum velis omnino ad curam nostri suscipiendam exsurgere, atque auctoritatem qua vales, ad opem civibus ferendam adhibere.

ΕΠΙΣΤΟΛΗ ΟϚ'

EPISTOLA LXXVI**.

Corporis infirma valetudine et Ecclesiarum cura detinetur Basilius, quominus in aulam proficiscatur. Sed interim per litteras confugit ad Sophronium in summo patriæ communis exitio

Σωφρονίῳ μαγίστρῳ.

Τὸ μὲν μέγεθος τῶν καταλαβουσῶν συμφορῶν τὴν πατρίδα ἡμῶν αὐτὸν ἐμὲ ἠνάγκαζε (31), καταλαβόντα τὸ στρατόπεδον, τῇ τε σῇ μεγαλοφυΐᾳ διηγήσασθαι τὴν κατέχουσαν ἡμῶν τὴν πόλιν κατήφειαν, καὶ τοῖς

D *Sophronio magistro.*

Magnitudo quidem calamitatum, quæ patriæ nostræ acciderunt, memetipsum in aulam proficisci cogeret, et magnanimitati tuæ mœrorem, quo civitas nostra afficitur, exponere, cæterisque quicun-

(25) Ἀβουργίῳ. Sic vocatur ille vir in omnibus nostris codicibus, Harl., Med., Coisl. utroque, Reg. utroque, Vat., Clarom., Paris., Bigot. et Combefis. Editi Ἀβουρτίῳ.

(26) Περιελήλυθε. Tres mss. ἐλήλυθε.

(27) Αὐτήν. Med. et Coisl. primus αὐτῇ. Paulo infra αὐτῆς deest post πρότερον in eodem Coisl.

(28) Μεταπεπτώκασι. Ita tres vetustissimi codices: editi καταπεπτώκασι. Non multo post duo ex his codicibus καὶ γενέσθαι τὰ τῇδε.

(29) Συμπαθὲς ἐφ' ἡμῖν. Ita sex mss. Harl. συμπαθὲς ἡμῖν. Corruptissime editio prima Paris. συμπαθὲς ἐφ' ἀφεῖναι. Secunda editio συμπαθὲς ἐπαφεῖναι. Paulo post editi συμπαθεῖς. Plerique mss. συμπαθοῖς.

(30) Παρ' ἑαυτοῦ. Ita Harl., Coisl. primus, Reg. primus et Bigot. Editi παρ' αὐτοῦ. Paulo post editi καὶ τῇ παρούσῃ. Tres vetustissimi codices ut in textu.

(31) Ἠνάγκαζε. Editi post hanc vocem addunt ἄν, sed hæc vocula deest in utroque Coisl., Harl., Med., Reg. secundo et Bigot. utroque.

* Alias CCCLXI. Scripta anno 371.

** Alias CCCXXXI. Scripta anno 371.

que plurimum in rebus potestis. Sed quia et corporis infirma valetudo, et Ecclesiarum me cura detinet, interim per epistolam lamentari apud tuam magnitudinem festinavi; declarans nec naviculam in mari vehementibus ventis immersam ita velociter ex oculis unquam evanuisse, neque urbem ullam terræ motibus excussam aut aquis submersam ita subito periisse, ut civitas nostra hac nova rerum administratione absorpta in exitium funditus incidit. Atque adeo nostra in fabulam cessere. Actum est enim de civitatis ordine; omnis autem civilis cœtus ob ea, quæ magistratibus acciderunt, animo concidens, urbanis ædibus desertis, per agros et rura divagatur. Jam defecit rerum necessariarum tractatio: ac omnino spectaculum fœdissimum facta est, quæ prius tum de litteratis viris, tum de reliquis bonis, quibus opulentæ urbes abundant, gloriabatur. Unum autem duximus, ut in malis, solatium, calamitates nostras apud tuam clementiam deflere, ac obsecrare, si quid potes, ut civitati in genua provolutæ porrigas manum. Modum vero quo rebus opportune subvenias, equidem ipse indicare non possum. Sed tibi omnino et invenire ob prudentiam facile, et uti inventis ob datam tibi a Deo potestatem non difficile.

A λοιποῖς ὅσοι ἐπὶ μεγίστης ἐστὲ δυνάμεως τῶν πραγμάτων· ἐπειδὴ δὲ ἥ τε τοῦ σώματος ἀῤῥωστία, καὶ ἡ τῶν Ἐκκλησιῶν ἐπιμέλεια κατέχει με, τέως διὰ γράμματος ἀποδύρασθαι πρὸς τὴν σὴν μεγαλόνοιαν ἐπείχθην· γνωρίζων, ὅτι οὔτε σκάφος ἐν πελάγει πνεύμασι βιαίοις καταβαπτισθὲν οὕτως ἀθρόως ἠφανίσθη ποτὲ, οὐ σεισμοῖς ἐκτριβεῖσα πόλις, οὐχ ὕδασιν ἐπικλυσθεῖσα εἰς ἀθρόον (32) ἀφανισμὸν ἐχώρησεν οὕτως, ὡς ἡ ἡμετέρα τῇ καινῇ ταύτῃ τῶν πραγμάτων οἰκονομίᾳ καταποθεῖσα εἰς ἀπώλειαν ἐχώρησε παντελῆ. Καὶ μῦθος γέγονε τὰ ἡμέτερα. Οἴχεται μὲν γὰρ τὸ πολίτευμα· (33) πᾶν δὲ τὸ πολιτικὸν (34) σύνταγμα, τῇ περὶ τοὺς κρατοῦντας ἀθυμίᾳ καταλιπὸν τὴν ἐν τῇ πόλει οἴκησιν, διὰ τῆς ἀγροικίας πλανᾶται. (35) Ἐπιλέλοιπε δὲ λοιπὸν καὶ ἡ τῶν B ἀναγκαίων διάθεσις, καὶ ὅλως ἀωρότατον θέαμα γεγένηται ἡ πρότερον ἀνδράσι τε λογίοις ἐπαγαλλομένη καὶ τοῖς λοιποῖς, οἷς εὐθηνοῦνται πόλεις ἀνενδεῶς διάγουσαι. Μίαν δὲ ἐνομίσαμεν ὡς ἐν δεινοῖς παραμυθίαν εἶναι, τὸ ἐπιστενάξαι τοῖς πάθεσιν ἡμῶν πρὸς τὴν σὴν ἡμερότητα, καὶ παρακαλέσαι, εἴ τις δύναμις, χεῖρα ὀρέξαι τῇ πόλει ἡμῶν εἰς γόνυ κλιθείσῃ. Τὸν δὲ τρόπον δι' οὗ ἂν γένοιο ἐν καιρῷ (36) τοῖς πράγμασιν, αὐτὸς μὲν εἰσηγεῖσθαι οὐκ ἔχω· σοὶ δὲ πάντως καὶ εὑρεῖν διὰ τὴν σύνεσιν ῥᾴδιον, καὶ χρήσασθαι (37) τοῖς εὑρεθεῖσι, διὰ τὴν παρὰ Θεοῦ σοι δεδομένην δύναμιν, οὐ χαλεπόν.

172 EPISTOLA LXXVII*.

ΕΠΙΣΤΟΛΗ ΟΖ'.

Videtur hanc epistolam Basilius ad Elpidium præsidis Therasii assessorem scripsisse. Hortatur ut a præside non discedat, sed tantas curas, quæ ex divisione Cappadociæ supervenerant, cum eo partiatur.

Sine inscriptione de Therasio.

Illud etiam ex bona præfectura magni percepimus Therasii, quod facundia tua crebro apud nos venerit. Verum hoc ipsum amisimus præside privati. Sed quia quæ nobis semel a Deo concessa sunt, firma manent, atque in nostris invicem animis per memoriam insident, etiamsi corpore disjungamur, saltem frequenter scribamus, et inter nos de necessariis rebus loquamur: maxime autem præsenti tempore, quo hiems hasce inducias brevissimas nobiscum fecit. Spero autem te non discessurum a viro in primis admirando Therasio, decere existimantem cum eo tantas curas partiri, ne-

C *Ἀνεπίγραφος περὶ Θηρασίου.*

Ἓν καὶ τοῦτο (38) τῆς ἀγαθῆς ἀρχῆς τοῦ μεγάλου ἀπηλαύσαμεν Θηρασίου, τῆς σῆς λογιότητος τὴν ἐπιδημίαν συνεχῶς ἡμῖν γινομένην. Τὸ αὐτὸ δὲ τοῦτο ἐζημιώθημεν στερηθέντες τοῦ ἄρχοντος. Ἀλλ' ἐπειδὴ τὰ ἅπαξ ἡμῖν παρὰ τοῦ Θεοῦ χαρισθέντα μένει βέβαια, καὶ ταῖς ψυχαῖς ἀλλήλων ἐνοικούμενα διὰ τῆς μνήμης, εἰ καὶ τοῖς σώμασι διωρίσμεθα, γράφωμεν (39) γοῦν συνεχῶς, καὶ φθεγγώμεθα πρὸς ἀλλήλους τὰ ἀναγκαῖα· καὶ μάλιστα νῦν, ὅτε ὁ χειμὼν τὴν ὀλιγοχρόνιον ταύτην ἐκεχειρίαν ἐσπείσατο. Ἐλπίζομεν δὲ μὴ ἀπολείψεσθαί σε τοῦ θαυμασιωτάτου ἀνδρὸς Θηρασίου, πρέπον εἶναι κρίναντα κοινωνεῖν

* Alias CCXXVI. Scripta anno 371.

(32) *Εἰς ἀθρόον*, etc. Editi sic habent hunc locum: Εἰς ἀπώλειαν ἐχώρησε παντελῶς οὕτως ὡς ἡ ἡμετέρα... εἰς ἀθρόον ἦλθεν ἀφανισμόν. Tres vetustissimi codices ut in textu: quos quidem eo libentius secutus sum, quod hæc loquendi ratio, παντελῶς οὕτως, ὡς, minus visa est Basilii stylo congruere. Legitur εἰς ἀπώλειαν ἐχώρησε παντελῆ in aliis sex codicibus mss.

(33) *Τὸ πολίτευμα*. *De civitatis ordine*, id est de curia, quæ ordo vocari solet. Unde illud Ammiani de Gallo Cæsare, lib. IV, c. 7: *Antiochensis ordinis vertices sub uno elogio jussit occidi*. Vide *Cod. Theod.* t. IV, p. 336.

(34) *Πολιτικόν*. Vat. πολιτῶν. Paulo post editi καταλιπόν. Coisl. primus, Harl., Reg. secundus et Clarom. καταλιπόντες, quæ scriptura non parum arridet.

(35) Vide Addenda.

D (36) *Ἐν καιρῷ*. Frustra editi addunt σωτήρ, quod deest in utroque Reg., utroque Coisl., Med. et utroque Bigot., nec in Harl. legitur nisi alia manu. Eadem loquendi ratione utitur Basilius in epistola 216: Γένοιτο δὲ πάντα ἐν καιρῷ περὶ τὴν... Ἐκκλησίαν τὴν Ἰκονίου. *Omnia prospere cedant... Ecclesiæ Iconiensi.*

(37) *Χρήσασθαι*. Ita Harl., uterque Coisl. et Reg. secundus et Bigot. alter. Editi χρῆσθαι.

(38) *Καὶ τοῦτο*. Conjunctio addita ex sex mss. Ibidem Coisl. secundus et Reg. secundus μεγάλου ἀπωνάμεθα. Ibidem Clarom. τῆς σῆς τελειότητος, et ad marginem vulgata lectio.

(39) *Γράφωμεν*. Ope Reg. secundi et Coisl. secundi hoc verbum et sequens φθεγγώμεθα reposuimus, cum antea legerentur in indicativo. Editio Parisiensis secunda habet φθεγξόμεθα

τῷ ἀνδρὶ τοιούτων φροντίδων, ἡγούμενον (40) καὶ μάτην πρόφασιν ἀσμενίζοντα παρέχουσάν σοι (41) ἰδεῖν τε τοὺς φίλους, καὶ παρ' αὐτῶν θεαθῆναι. Πολλὰ δὲ ἔχων εἰπεῖν καὶ περὶ πολλῶν, εἰς τὴν συντυχίαν ὑπερεθέμην, οὐκ ἀσφαλὲς εἶναι ἡγούμενος ἐπιστολαῖς τὰ τοιαῦτα καταπιστεύειν.

A que etiam frustra occasionem amplectentem, ex qua tibi et amicos videre et ab ipsis videri liceat. Multa autem cum habeam dicenda et de multis, in congressum distuli, non tutum esse existimans epistolis res ejusmodi committere.

ΕΠΙΣΤΟΛΗ ΟΗ'. — EPISTOLA LXXVIII*.

Rogat Basilius ut Elpidius vir maxime idoneus qui Cappadociæ afflictis rebus succurrat, remanere in hac provincia jubeatur.

Ἀνεπίγραφος ὑπὲρ Ἐλπιδίου.

Οὐκ ἔλαθεν ἡμᾶς ἡ ἀγαθή σου σπουδὴ περὶ τὸν αἰδεσιμώτατον ἑταῖρον ἡμῶν Ἐλπίδιον· ὅπως τῇ συνήθει σεαυτοῦ συνέσει ἔδωκας καιρὸν φιλανθρωπίας τῷ ἄρχοντι. Ταύτην οὖν τὴν χάριν νῦν σε τελειῶσαι παρακαλοῦμεν (42) διὰ τοῦ γράμματος, καὶ ὑπομνῆσαι τὸν ἄρχοντα οἰκείῳ προστάγματι ἐπὶ τῆς πατρίδος ἡμῶν καταστῆναι τὸν ἄνδρα πᾶσαν σχεδὸν τὴν φροντίδα τῶν δημοσίων ἐξηρτημένον. Ὥστε πολλὰς ἕξεις καὶ εὐπροσώπους ὑποβάλλειν προφάσεις τῷ ἄρχοντι, ἐξ ὧν ἀναγκαίως ἐπιμένειν αὐτὸν τῇ πατρίδι ἡμῶν προστάξει. Οἷα δὲ τὰ ἐνταῦθα, καὶ ὅσου ἄξιος τοῖς πράγμασιν ὁ ἀνὴρ, πάντως οὐδὲν δεήσῃ παρ' ἡμῶν διδαχθῆναι, αὐτὸς τῇ ἑαυτοῦ συνέσει ἀκριβῶς ἐπιστάμενος.

Sine inscriptione pro Elpidio.

Non me latet bonum illud studium, quo erga colendissimum sodalem nostrum Elpidium affIceris; quomodo pro tua consueta prudentia humanitatis B ostendendæ occasionem præfecto subministraveris. Nunc igitur ut hoc beneficium absolvas, per epistolam te rogo, ac præfectum moneas, ut peculiari mandato patriæ nostræ virum hunc præficiat, ex quo tota pene publicorum negotiorum cura dependet. Quamobrem multas poteris ac speciosas suggerere causas præfecto, quibus necessario adducetur, ut illum in nostra patria remanere jubeat. Cæterum quo in statu res nostræ sint, et quam vir sit rebus gerendis idoneus, profecto nihil opus est te a nobis edoceri : cum hoc ipse pro tua prudentia plane intelligas.

ΕΠΙΣΤΟΛΗ ΟΘ'. — EPISTOLA LXXIX**.

Gratias agit Eustathio Basilius, quod ad se certamini expositum scripserit, et Eleusinium optimum commilitonem miserit. Narrat se cum præfecto et cubiculi præposito jam pugnasse.

Εὐσταθίῳ (43), ἐπισκόπῳ Σεβαστείας. C

Καὶ πρὸ τοῦ δέχεσθαι τὰ γράμματα, ᾔδειν τὸν πόνον ὃν ἔχεις ὑπὲρ πάσης ψυχῆς, ἐξαιρέτως δὲ ὑπὲρ τῆς ἡμετέρας ταπεινώσεως, διὰ τὸ προβεβλῆσθαι ἐν τῷ ἀγῶνι τούτῳ· καὶ δεξάμενος (44) παρὰ τοῦ αἰδεσιμωτάτου Ἐλευσινίου τὰ γράμματα, καὶ αὐτὴν αὐτοῦ τὴν παρουσίαν θεασάμενος, ἐδόξασα τὸν Θεὸν, τὸν τοιοῦτον παραστάτην καὶ συνασπιστὴν, διὰ τῆς πνευματικῆς βοηθείας ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσι χαρισάμενον ἡμῖν. Γινωσκέτω δὲ ἡ ἀνυπέρβλητός σου θεοσέβεια μέχρι νῦν προσβολάς μέν τινας παρὰ τῶν μεγάλων ἀρχόντων ἡμῖν γεγενῆσθαι, καὶ ταύτας σφοδρὰς, τοῦ τε ἐπάρχου (45) καὶ τοῦ περὶ τὸν κοιτῶνα διαλεχθέντων ἰδιοπαθῶς ὑπὲρ τῶν (46) ἐναντίων· τέως δὲ ἀτρέπτως ἡμᾶς πᾶσαν προσβολὴν ὑπομεῖναι τῷ ἐλέει τοῦ Θεοῦ, τῷ χαριζομένῳ (47) D ἡμῖν τὴν συνεργίαν τοῦ Πνεύματος καὶ ἐνδυναμώσαντι ἡμῶν δι' αὐτοῦ τὴν ἀσθένειαν

Eustathio, episcopo Sebastiæ.

Et antequam litteras tuas acciperem, haud ignorabam quantum pro quavis anima labores, maxime vero pro nostra humilitate, eo quod huic certamini expositus sim : et postquam **173** reddidit litteras perquam colendus Eleusinius, ipsumque præsentem conspexi; Deum laudavi, qui nobis adjutorem talem ac commilitonem per spirituale auxilium in certaminibus pro pietate subeundis concessit. Noscat porro summa tua pietas nobis jam pugnas aliquas cum magnis potestatibus fuisse, easque vehementes; cum et præfectus et cubiculi præpositus ex propria animi affectione pro adversariis nostris disputarent; sed nos hactenus animo inconcusso assultum omnem sustinuisse miseratione Dei, quæ nobis suppeditavit opem Spiritus, ac per ipsum imbecillitatem nostram corroboravit.

(40) *Ἡγούμενον*. Cum hic locus corruptissimus sit, nec sanando vulneri conducant mss. codices, qui cum editis consentiunt, legendum puto non improbabili conjectura, οὐ μὲν οὖν καὶ μάτην, pro ἡγούμενον καὶ μάτην.

(41) *Παρέχουσάν σοι*. Ita Clarom., Reg. secundus et Coisl. secundus, melius quam editi et alii codices παρέχουσάν σε.

(42) *Παρακαλοῦμεν*. Sic Med. et uterque Coisl. cum aliis nonnullis. Editi παρακαλῶ μέν.

(43) *Εὐσταθίῳ*, etc. Hunc titulum excerpsimus ex codicibus Med. et Coisl. primo. Harlæanus habet tantum Εὐσταθίῳ.

(44) *Δεξάμενος*. Post hanc vocem editi addunt δὲ, quæ vocula rectius deest in duobus mss. Harl. et Med.

(45) *Ἐπάρχου*. Legendum ὑπάρχου. Loquitur enim de præfecto prætorii, ut est apud Gregorium orat. 20, pag. 320.

(46) *Ὑπὲρ τῶν*. Editi καὶ ὑπὲρ τῶν. Sed hæc conjunctio deest in Harl., in quo tamen secunda manu addita fuit, sed prorsus immerito.

(47) *Τῷ χαριζομένῳ*. Reg. secundus et Coisl. secundus τοῦ χαριζομένου, et paulo post ἐνδυναμώσαντος. Sed vetustissimi codices hoc loco non discrepant ab editis.

* Alias CCXV. Scripta anno 371.

** Alias CCCVIII. Scripta anno 371.

EPISTOLA LXXX *. — ΕΠΙΣΤΟΛΗ Π'.

Sperat Basilius Ecclesias Athanasii precibus et consiliis ex tempestate horrenda servari posse. Hortatur ut nec precari cesset, nec scribere. Prætermissam ab eo scribendi occasionem dolet : magnum sibi solatium a Deo accepisse videretur, si Athanasium videre contingeret.

Athanasio, Alexandriæ episcopo.

Quo magis Ecclesiarum morbi ingravescunt, eo magis omnes ad tuam convertimur præstantiam, unum nobis malorum solatium superesse credentes, tutelam tuam; qui et virtute precum, et rerum optimarum in negotiis suggerendarum scientia, servare nos posse ex hac horrenda tempestate apud omnes pariter, qui vel tantillum aut auditu aut experientia præstantiam tuam noverunt, existimaris. Quare ne cesses et precari pro animabus nostris, et nos per litteras excitare : quarum si scires quanta sit utilitas, nunquam sane oblatam tibi ad nos scribendi occasionem prætermisisses. Quod si precum tuarum ope haberer dignus, qui viderem te, ac iis quæ in te sunt bonis perfruerer, atque ad meæ vitæ historiam congressum cum tuo vere magno et apostolico animo adjicerem; profecto mihi viderer ærumnis, quas in omni mea vita perpessus sum, parem a Dei benignitate consolationem accepisse.

Ἀθανασίῳ, ἐπισκόπῳ Ἀλεξανδρείας.

Ὅσον τῶν Ἐκκλησιῶν τὰ ἀῤῥωστήματα ἐπὶ τὸ μεῖζον πρόεισι, τοσοῦτον πάντες ἐπὶ τὴν σὴν ἐπιστρεφόμεθα τελειότητα, μίαν ἑαυτοῖς ὑπολείπεσθαι τῶν δεινῶν παραμυθίαν τὴν σὴν προστασίαν πεπιστευκότες· ὃς καὶ (48) τῇ δυνάμει τῶν προσευχῶν, καὶ τῷ εἰδέναι τὰ βέλτιστα τοῖς πράγμασιν ὑποτίθεσθαι, διασώσασθαι ἡμᾶς ἐκ τοῦ φοβεροῦ τούτου χειμῶνος παρὰ πάντων ὁμοίως τῶν καὶ κατὰ μικρὸν ἢ ἀκοῇ ἢ πείρᾳ γνωριζόντων τὴν τελειότητά σου πιστεύῃ. Διὸ μὴ ἀνῇς (49) καὶ προσευχόμενος ὑπὲρ τῶν ψυχῶν ἡμῶν, καὶ διεγείρων ἡμᾶς τοῖς γράμμασιν· ὧν εἰ ᾔδεις ὁπόσον ἐστὶ τὸ ὠφέλιμον, οὐκ ἄν ποτε παραπεσοῦσάν σοι γραμμάτων ἀφορμὴν πρὸς ἡμᾶς ὑπερέθης. Εἰ δὲ καταξιωθείημεν τῇ συνεργίᾳ τῶν προσευχῶν σου ἰδεῖν σε καὶ ἀπολαῦσαι τῶν ἐν σοὶ ἀγαθῶν, καὶ προσθεῖναι τῇ ἱστορίᾳ τοῦ ἡμετέρου βίου τὴν συντυχίαν τῆς μεγάλης σου ὄντως καὶ ἀποστολικῆς ψυχῆς· πάντως ἂν ἑαυτοῖς (50) ἐλογισάμεθα, ὧν ἐθλίβημεν ἐν πάσῃ τῇ ζωῇ ἡμῶν, ἀντίῤῥοπον παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐσχηκέναι παραμυθίαν.

EPISTOLA LXXXI **. — ΕΠΙΣΤΟΛΗ ΠΑ'.

Rogatus ab Innocentio Basilius ut, eo mortuo, ipsius Ecclesiæ curam suscipiat, tantum onus a se deprecatur. Sed alteri illius petitioni libenter annuens, offert ei presbyterum omni virtutum genere ornatum, ut eum successorem suum dedignet. Alium petierat Innocentius, bonum illum quidem, sed prædicto viro longe inferiorem.

Innocentio episcopo.

Quantum gavisus sum acceptis dilectionis tuæ litteris, tantum dolui quod mihi sollicitudinis, quæ meas vires superat, onus imposueris. Quomodo enim possim ex tanto intervallo tantum munus sustinere? Quandiu enim vos quidem possidet Ecclesia, tanquam in propriis fulcris quiescit : si vero de vestra vita Dominus quidpiam statuerit, quosnam hinc vobis pares **174** ad fratres curandos mittere valeam? Quod spectat ad petitionem tuam, quam per litteras significasti (recte quidem et prudenter faciens, ut vivus videre velis eum, qui electum Domini gregem post te gubernaturus est, id quod et beatus Moses et exoptavit et vidit); cum igitur et locus amplus sit, et celebris; tuumque opus apud multos clarum, ac tempora difficilia, magno indigentia gubernatore ob conti-

Ἰννοκεντίῳ ἐπισκόπῳ (51).

Ὅσον εὐθύμησα δεξάμενος γράμματα τῆς ἀγάπης σου, τοσοῦτον ἐλυπήθην, ὅτι βάρος ἐπέθηκας ἡμῖν φροντίδος τῆς ὑπερβαινούσης ἡμᾶς. Πῶς γὰρ δυνηθῶμεν ἀπὸ τοσούτου διαστήματος, τοσαύτης ἡμεῖς οἰκονομίας περιγενέσθαι; Ἕως μὲν γὰρ ὑμᾶς ἔχει ἡ Ἐκκλησία, ὡς ἰδίοις στηρίγμασιν ἐπαναπαύεται· ἐὰν δέ τι περὶ τῆς ὑμετέρας ζωῆς ὁ Κύριος οἰκονομήσῃ, τίνας δύναμαι (52) ὁμοτίμους ἐντεῦθεν ὑμῖν εἰς τὴν ἐπιμέλειαν τῶν ἀδελφῶν ἐκπέμπειν; Ὅπερ σὺ (53) ἐπεζήτησας διὰ τῶν γραμμάτων, καλῶς ποιῶν καὶ ἐμφρόνως, βουλόμενος ζῶν ἰδεῖν τὸν μετὰ σὲ μέλλοντα κυβερνᾷν τὸ ἐκλεκτὸν ποίμνιον τοῦ Κυρίου· ὃ καὶ ὁ μακάριος Μωϋσῆς καὶ ἐπεθύμησε καὶ εἶδεν· ἐπεὶ οὖν καὶ ὁ τόπος μέγας καὶ περιβόητος, καὶ τὸ σὸν ἔργον παρὰ πολλοῖς ὀνομαστὸν, καὶ οἱ καιροὶ χαλεποὶ, μεγάλου χρείαν ἔχοντες

* Alias XLIX. Scripta anno 371, aut 372 ineunte.
** Alias CCCXIX. Scripta anno 372.

(48) *Ὃς καὶ... πιστεύῃ*. Coisl. primus et Med. ὡς καὶ... πιστεύειν.

(49) *Μὴ ἀνῇς*. Sic magno consensu mss. et editio Hagan. At Parisiensis μὴ ἀποκνῇς. Paulo post editi εἰ εἴδῃς. Coisl. primus et tres alii ut in textu.

(50) *Ἑαυτοῖς*. Ita iidem mss. Editi αὐτοῖς. Ibidem editi ἐθλίβομεν. Mss. septem et editio Hagganoensis ἐθλίβημεν.

(51) *Ἰννοκεντίῳ ἐπισκόπῳ*. Postrema vox addita ex quinque mss. Addit Clarom. Ῥώμης, sed prorsus absurde.

(52) *Δύναμαι*. Ita mss. omnes. Editi δύναται. Paulo post editi τῶν αὐτοῦ ἀδελφῶν. Sed deest αὐτοῦ in omnibus mss.

(53) *Ὅπερ σύ*. Difficilis et subobscura hæc verborum complexio, tum quia longior est, tum quia superfluum videtur illud οὖν, quod legitur post ἐπεί. Lucem afferre conatus sum adhibita parenthesi in interpretatione. Quamvis autem hoc Innocentii consilium cum canonibus minus consentiat, illud tamen Basilius etiam atque etiam probat et laudat. Neque id mirum videri debet. Nam temporum molestiæ et impendentia ab Arianis pericula necessitatem afferebant de canonum severitate remittendi.

κυβερνήτου, διὰ τὰς συνεχεῖς ζάλας καὶ τοὺς ἐπανισταμένους κλύδωνας τῇ Ἐκκλησίᾳ· οὐκ ἐνόμισα ἀσφαλὲς εἶναι τῇ ἐμῇ ψυχῇ ἀφωσιωμένως τῷ πράγματι χρήσασθαι· μάλιστα μεμνημένος ὧν ἔγραψας, ὅτι μέλλεις ἐπὶ τοῦ Κυρίου ἀντικαθίστασθαί μοι, δικαζόμενος πρός με ὑπὲρ τῆς ἀμελείας τῶν Ἐκκλησιῶν. Ἵνα οὖν μὴ εἰσέλθω εἰς κρίσιν μετὰ σοῦ, ἀλλὰ μᾶλλον κοινωνόν σε εὕρω (54) τῆς ἀπολογίας μου, τῆς ἐπὶ τοῦ Χριστοῦ, περιβλεψάμενος ἐν τῷ συνεδρίῳ τοῦ πρεσβυτερίου τοῦ κατὰ τὴν πόλιν, ἐξελεξάμην τὸ τιμιώτατον (55) σκεῦος, τὸν ἔκγονον τοῦ μακαρίου Ἑρμογένους, τοῦ τὴν μεγάλην καὶ ἄῤῥηκτον (56) πίστιν γράψαντος ἐν τῇ μεγάλῃ συνόδῳ· πρεσβύτερον τῆς Ἐκκλησίας ἐκ πολλῶν ἤδη ἐτῶν, εὐσταθῆ τὸν τρόπον, ἔμπειρον κανόνων, ἀκριβῆ τὴν πίστιν, ἐν ἐγκρατείᾳ καὶ ἀσκήσει μέχρι (57) νῦν διάγοντα· εἰ καὶ ὅτι τὸ εὔτονον αὐτοῦ τῆς σκληραγωγίας λοιπὸν κατεδαπάνησε (58) τὴν σάρκα· πτωχὸν, καὶ μηδένα πορισμὸν (59) ἔχοντα ἐν τῷ κόσμῳ τούτῳ, ὡς μηδὲ ἄρτου αὐτὸν εὐπορεῖν, ἀλλὰ διὰ τῶν χειρῶν ἐκπλέκειν τὸν βίον μετὰ τῶν ἀδελφῶν τῶν συνόντων αὐτῷ. Τοῦτον ἐμοὶ βουλητόν ἐστιν ἀποστεῖλαι. Εἰ οὖν καὶ αὐτὸς τοιούτου χρῄζεις ἀνδρὸς, ἀλλὰ μὴ αὐτὸ τοῦτο νεωτέρου (60) τινὸς ἐπιτηδείου μόνον πρὸς τὸ πέμπεσθαι καὶ τὰς βιωτικὰς ἐξανύειν χρείας, ταχύ μοι διὰ πρώτης ἀφορμῆς ἐπιστεῖλαι καταξίωσον, ἵνα πέμψω σοι τοῦτον τὸν ἄνδρα, ἐκλεκτὸν ὄντα τοῦ Θεοῦ, καὶ τῷ πράγματι ἐπιτήδειον, αἰδέσιμον τοῖς ἐντυγχάνουσι, καὶ ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους. Ὃν ἠδυνάμην καὶ εὐθὺς ἐκπέμψαι· C ἀλλ' ἐπειδὴ αὐτὸς προλαβὼν ἐπεζήτησας ἄνθρωπον, τὰ μὲν ἄλλα καλὸν καὶ ἀγαπητὸν ἡμῖν, τοῦ δὲ προειρημένου ἀνδρὸς παραπολὺ ἀποδέοντα, ἠβουλήθην σοι φανερὰν γενέσθαι (61) τὴν ἐμαυτοῦ γνώμην· ἵν', εἰ χρῄζεις ἀνδρὸς τοιούτου, ἢ ἐκπέμψῃς τινὰ τῶν ἀδελφῶν τὸν συμπαραληψόμενον αὐτὸν περὶ τὰς νηστείας, ἢ ἐπιστείλῃς ἡμῖν, ἐὰν μηδένα (62) ἔχῃς τὸν δυνάμενον τῆς μέχρις ἡμῶν ὁδοιπορίας τὸν κάματον ὑποστῆναι.

A nuas procellas, et insurgentes in Ecclesiam fluctus; tutum animæ meæ esse non putavi rem perfunctorie tractare; maxime cum habeam in memoria quod scripsisti, te mihi coram Domino adversaturum, lites ob Ecclesiarum incuriam intendentem. Ne igitur tecum in judicium veniam, sed potius socium te reperiam meæ apud Christum defensionis; circumspiciens in presbyterii urbis consessu, elegi pretiosissimum vas, alumnum beati Hermogenis, qui magnam illam atque insuperabilem fidem scripsit in magna synodo; presbyterum Ecclesiæ a multis jam annis, gravibus ac constantibus moribus præditum, peritum canonum, hominem accuratæ fidei, in continenti et ascetico instituto hactenus degentem, etsi illius jam carnem con- B sumpsit austerioris vitæ rigor: pauperem ac nullos in hoc mundo reditus possidentem, adeo ut ne panis quidem copia ipsi suppetat, sed manuum labore una cum fratribus, qui cum eo sunt, victum sibi comparet. Hunc libet mittere. Si igitur viro tali indiges, non vero juniore aliquo, ad hoc tantum idoneo ut mittatur, ac negotia peragat exteriora; cito ad me prima occasione oblata scribere ne graveris, ut hunc tibi virum mittam, electum Dei, et huic rei aptum, reverendum adeuntibus, et in mansuetudine adversantes erudientem. Quem statim etiam poteram mittere: sed quia ipse prior efflagitasti hominem, cætera quidem probum ac nobis dilectum, sed nominato viro longe inferiorem; tibi meam ipsius sententiam notam esse ac perspectam volui: ut si indiges ejusmodi viro, aut unum aliquem ex fratribus mittas, qui ipsum circa jejunia assumat: aut mihi scribas, si neminem habes qui ad nos usque itineris laborem perferre possit

ΕΠΙΣΤΟΛΗ ΠΒʹ.

175 EPISTOLA LXXXII*.

Confugit ad Athanasium in summis Ecclesiæ malis, et rogat ut communem epistolam scribat pluribus episcopis ejus communionem appetentibus, sed initium ab eo fieri volentibus: aut si suspecti sint episcopi, cum ad se mittat: non prius se illam traditurum, quam responsa ab episcopis acceperit.

Ἀθανασίῳ, ἐπισκόπῳ Ἀλεξανδρείας.

Ὅταν μὲν πρὸς τὰ πράγματα ἀποβλέψωμεν (63), καὶ τὰς δυσκολίας κατίδωμεν, ὑφ' ὧν πᾶσα ἀγαθὴ D

Athanasio, episcopo Alexandriæ.

Cum quidem ad res ipsas respicimus, intuemurque difficultates quibus boni quælibet effectio quo-

(54) *Εὕρω*. Ita tres vetustissimi codices Med., Coisl. et Harl. cum Clarom. Editi ἔξω. Paulo post deest τοῦ πρεσβυτερίου in Vat., Coisl. secundo et Reg. secundo, et Bigot. altero.

(55) *Τὸ τιμιώτατον*. Harl., Med. et Clarom. τὸ τίμιον. Ibidem male in editis ἔγγονον, unus codex antiquus τὸ ἔκγονον. Med. ἄνδρα ἔκγονον. Vocatur ille presbyter Hermogenis alumnus, quia ab eo ordinatus fuerat. Unde Basilius in epist. 237 Εὐϊππίου τέκνα καὶ Εὐϊππίου ἔκγονα vocat episcopos ab Euippio ordinatos.

(56) *Ἄῤῥηκτον*. Coisl. primus, Harl. et Clarom., ἄῤῥητον, *inenarrabilem*.

(57) *Μέχρι*. Hanc vocem addidimus ex septem mss.

(58) *Κατεδαπάνησε*. Coisl. primus, Harl. et Clarom. κατεδάμασε.

(59) *Πορισμόν*. Harl., Med. et Clarom. παρισπασμόν. Legitur πορισμόν ad marginem in Med. eadem manu.

(60) *Αὐτὸ τοῦτο νεωτέρου*. Coisl. primus αὐτονεωτέρου. Ibidem deest μόνον in Reg. utroque, Vat., Coisl. secundo et altero Bigot.

(61) *Σοι φανερὰν γενέσθαι*. Ita Harl., Med. et Coisl primus, et Clarom. Editi φανερὰν καταστῆσαί σοι. Mox editio prima Paris. ἐκπέμψεις. Secunda et mss. ἐκπέμψῃς.

(62) *Ἐὰν μηδένα*. Ita Med., Vat., Paris., Reg. secundus et Coisl. secundus. Contra editi ἐάν τινα.

(63) *Ἀποβλέψωμεν*. Quatuor mss. non antiquissimi βλέψωμεν. Mox editi πᾶσα ἀγαθοῦ. Tres vetustissimi codices Harl., Coisl., Med. ut in textu.

* Alias LI. Scripta anno 371 exeunte, aut 372 ineunte.

dam quasi vinculo impedita detinetur, tum vero in summam de nobis ipsis desperationem venimus; sed cum rursus in tuam gravitatem conjicimus oculos, cogitamusque te medicum morborum, quibus Ecclesiæ laborant, a Domino nostro reservatum; animos resumimus, et ex desperatione, in quam lapsi fueramus, ad spem erigimur meliorum. Dissoluta est Ecclesia omnis, quemadmodum neque prudentia tua ignorat. Ac vides prorsus ex mentis contemplatione, velut ex alta quadam specula, quæ ubique gerantur: quomodo velut in pelago, multis simul navigantibus, fluctus violentia omnes simul inter se collidantur; fiatque naufragium, partim ob externam causam mare violenter exagitantem, partim ob navigantium sibi mutuo obstantium ac se impellentium perturbationem. Satis est in hac similitudine sermonem concludere, cum nec sapientia tua quidquam amplius requirat, nec rerum status det nobis dicendi libertatem. Ad hæc autem quis idoneus gubernator? quis fide dignus, qui Dominum excitet, ut increpet ventos et mare? Quis alius quam qui a puero pro pietate in certaminibus dimicavit? Quoniam igitur vere nunc propendet quidquid inter nos circa fidem sanum est, ad eorum, qui idem sentiunt, communionem atque unitatem, fidenter patientiam tuam rogatum venimus, ut nobis omnibus scribas epistolam unam, quæ quid agendum sit admoneat. Sic enim volunt a te initium sibi fieri colloquiorum ad communionem pertinentium. Sed quia fortasse suspecti videntur tibi ob memoriam præteritorum, hoc velim, facias, Pater religiosissime, epistolas ad episcopos mihi mitte, aut per aliquem eorum quibus istic fidem habes, aut etiam per fratrem Dorotheum condiaconum nostrum, quas cum accepero non prius dabo, quam ab eis responsa accepero; sin minus, *Peccator ero in te omnibus diebus vitæ meæ* [a]. Hoc profecto majorem metum incutere non debuit ei, qui id primus dixit ad patrem, quam nunc mihi ad te patrem spiritualem dicenti. Quod si hoc omnino apud te desperatum est; saltem nos in hoc ministerio crimine libera, qui sine dolo et artificio, pacis studio et mutuæ inter nos, qui de
176 Domino idem sentimus, conjunctionis, ad hoc legati et interpretis munus accessimus.

A ἐνέργεια οἷον ὑπό τινος δεσμοῦ ἐμποδιζομένη κατέχεται, εἰς ἀπόγνωσιν ἑαυτῶν ἐρχόμεθα παντελῆ· ὅταν δὲ πάλιν πρὸς τὴν σὴν ἀπίδωμεν σεμνοπρέπειαν, καὶ λογισώμεθα, ὅτι σὲ ἰατρὸν τῶν ἐν ταῖς Ἐκκλησίαις ἀῤῥωστημάτων ὁ Κύριος ἡμῶν ἐταμιεύσατο· ἀναλαμβάνομεν ἑαυτῶν τοὺς λογισμοὺς, καὶ ἐκ τοῦ κατὰ τὴν ἀπόγνωσιν πτώματος πρὸς τὴν ἐλπίδα (64) τῶν χρηστοτέρων διανιστάμεθα. Λέλυται πᾶσα Ἐκκλησία, ὡς οὐδὲ ἡ σὴ φρόνησις ἀγνοεῖ. Καὶ ὁρᾷς πάντως τὰ ἑκασταχοῦ, οἷον ἀφ' ὑψηλῆς τινος σκοπιᾶς τῆς τοῦ νοῦ θεωρίας· ὅπως, καθάπερ ἐν πελάγει, πολλῶν ὁμοῦ συμπλεόντων, ὑπὸ τῆς βίας τοῦ κλύδωνος πάντες ὁμοῦ (65) ἀλλήλοις προσρήγνυνται· καὶ γίνεται τὸ ναυάγιον, πῇ μὲν ἐκ τῆς ἔξωθεν αἰτίας βιαίως κινούσης τὴν θάλατταν, πῇ δὲ ἐκ
B τῆς τῶν ἐμπλεόντων (66) ταραχῆς ἀντιβαινόντων ἀλλήλοις καὶ διωθουμένων. Ἀρκεῖ ἐπὶ τῆς εἰκόνος ἐᾶσαι τὸν λόγον, οὔτε τῆς σῆς σοφίας ἐπιζητούσης τι πλέον, οὔτε τῆς καταστάσεως ἐπιτρεπούσης ἡμῖν τὴν παῤῥησίαν. Καὶ πρὸς ταῦτα τίς ἱκανὸς κυβερνήτης; τίς ἀξιόπιστος διαναστῆσαι τὸν Κύριον ἐπιτιμῆσαι τῷ ἀνέμῳ καὶ τῇ θαλάσσῃ; Τίς ἕτερος ἢ ὁ ἐκ παιδὸς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἐναθλήσας ἀγῶσιν; Ἐπεὶ οὖν ὥρμηται νῦν γνησίως πᾶν τὸ περὶ ἡμᾶς ὑγιαῖνον κατὰ τὴν πίστιν εἰς τὴν πρὸς τοὺς ὁμοδόξους κοινωνίαν καὶ ἕνωσιν, θαῤῥούντως (67) ἤλθομεν εἰς τὴν παράκλησίν σου τῆς ἀνεξικακίας, ἐπιστεῖλαι πᾶσιν ἡμῖν ἐπιστολὴν μίαν, παραίνεσιν ἔχουσαν τῶν πρακτέων. Οὕτω γὰρ βού-
C λονται παρὰ σοῦ τὴν ἀρχὴν ὑπάρξαι αὐτοῖς τῶν κοινωνικῶν διαλέξεων. Ἐπειδὴ δὲ ἴσως ὕποπτοι καταφαίνονται (68) σοι τῇ μνήμῃ τῶν παρελθόντων, ἐκεῖνο ποίησον, θεοφιλέστατε Πάτερ· ἐμοὶ τὰς πρὸς τοὺς ἐπισκόπους ἐπιστολὰς διάπεμψαι ἢ διά τινος τῶν αὐτόθεν πιστῶν, ἢ καὶ διὰ τοῦ ἀδελφοῦ Δωροθέου τοῦ συνδιακόνου ἡμῶν, ἃς ὑποδεξάμενος οὐ πρότερον δώσω, μὴ λαβὼν (69) τὰς παρ' αὐτῶν ἀποκρίσεις· ἐὰν δὲ μὴ (70), *Ἡμαρτηκὼς ἔσομαι εἰς σὲ πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.* Πάντως δὲ οὐ πλείονος (71) ἄξιον φόβου τοῦτο τῷ ἐξ ἀρχῆς εἰπόντι πρὸς τὸν πατέρα ἢ ἐμοὶ νῦν πρὸς σὲ τὸν πνευματικὸν πατέρα λέγοντι. Εἰ δὲ τοῦτο παντὶ τρόπῳ ἀπηγόρευται παρὰ σοί, ἀλλ' ἡμᾶς γε τῆς ἐπὶ τῇ διακονίᾳ αἰτίας ἄφες, ἀδόλως καὶ ἀκατασκεύως,
D ἐπιθυμίᾳ τῆς εἰρήνης καὶ τῆς πρὸς ἀλλήλους ἡμῶν συναφείας τῶν ὁμονοούντων εἰς τὰ πρὸς τὸν Κύριον, ἐπὶ τὴν πρεσβείαν ταύτην καὶ μεσιτείαν ἀφικομένους.

[a] Genes. XLIII, 10.

(64) *Πρὸς τὴν ἐλπίδα.* Vaticanus, Reg. uterque et Coisl. secundus τῇ ἐλπίδι. Ibidem Reg. secundus et Coisl. secundus ἐκ τοῦ ἀπογνώσεως πτώματος.

(65) *Πάντες ὁμοῦ.* Deest ultima vox in quinque mss., non tamen in vetustissimis. Paulo post editi βεβαίως κινούσης. Sex mss. ut in textu. Instituta hic comparatio uberius multo pertractatur in capite ultimo libri *De Spiritu sancto.*

(66) *Τῶν ἐμπλεόντων.* Coisl. primus et Harl. τῶν πλεόντων.

(67) *Θαῤῥούντως.* Ita Coisl. primus et Reg. primus, cum Med. et Harl. Editi θαῤῥοῦντες, excepta editione Haganoensi, quæ habet θαῤῥοῦντας.

(68) *Καταφαίνονται.* Sic Harl. et Vat. cum tribus aliis. Editi καταφανήσονται. Paulo post editi ἀδελφοῦ ἡμῶν, sed deest pronomen in mss. Ibidem Harl. et Coisl. primus τῶν αὐτόθι.

(69) *Μὴ λαβών.* Ita mss. septem. Editi ἢ λαβών.

(70) *Ἐὰν δὲ μή.* Deest ultima vocula in duobus mss.

(71) *Οὐ πλείονος.* Ita sex mss. Editi οὐδὲ πλείονος.

ΕΠΙΣΤΟΛΗ ΠΓ'.

EPISTOLA LXXXIII*.

Censitorem hortatur Basilius, ut miseræ Cappadociæ calamitates sublevet, eique commendat unum ex amicis suis possessionem quamdam, quæ circa Chamanenem sita erat, et tributis premebatur.

Κηνσίτορι.

A Ἐμοὶ πρὸς τὴν σὴν εὐγένειαν συνήθεια μὲν καὶ ἡ κατ' ὀφθαλμοὺς συντυχία πάνυ βραχεῖα γέγονε· γνῶσις δὲ ἡ ἐξ ἀκοῆς, δι' ἧς πολλοῖς συναπτόμεθα τῶν ἐπιφανῶν, οὐκ ὀλίγη τε, οὐδὲ εὐκαταφρόνητος. Εἰ δὲ καὶ σοί τις ἐκ τῆς φήμης περὶ ἡμῶν ὑπάρχει λόγος, αὐτὸς ἂν εἰδείης ἄμεινον. Τὸ δ' οὖν σὸν παρ' ἡμῖν τοιοῦτόν ἐστιν οἷον εἴπομεν (72). Ἐπειδὴ δὲ ἐκάλεσέ σε ὁ Θεὸς εἰς πρᾶγμα φιλανθρωπίας ἐπίδειξιν ἔχον, δι' οὗ δυνατόν ἐστι διορθωθῆναι ἡμῶν τὴν πατρίδα παντελῶς ἐδαφισθεῖσαν, ἡγοῦμαι πρέπειν μοι ὑπομνῆσαί σου τὴν χρηστότητα, ἵνα ἐπ' ἐλπίδι τῆς παρὰ Θεοῦ ἀνταποδόσεως τοιοῦτον σεαυτὸν καταξιώσῃς παρασχέσθαι, ὥστε ἀθανάτου μὲν τῆς μνήμης ἀξιοῦσθαι, γενέσθαι δὲ αἰωνίων ἀναπαύσεων B κληρονόμον, ἐκ τοῦ ἐλαφροτέρας ποιῆσαι τοῖς καταπονουμένοις τὰς θλίψεις. Ἐπειδὴ δὲ κἀμοί τίς ἐστι κτῆσις περὶ Χαμανηνὴν (73), ἀξιῶ σε προστῆναι αὐτῆς, ὡς οἰκείας. Μὴ θαυμάζῃς δὲ, εἰ ἐμαυτοῦ λέγω τὰ τῶν φίλων, μετὰ τῆς ἄλλης ἀρετῆς καὶ φιλίαν πεπαιδευμένος, καὶ μεμνημένος τοῦ σοφῶς εἰπόντος, *ἄλλον ἑαυτὸν εἶναι τὸν φίλον*. Τὴν τοίνυν κτῆσιν τὴν διαφέρουσαν τῷδε, ταύτην ὡς ἐμαυτοῦ παρατίθεμαι τῇ τιμιότητί σου· καὶ παρακαλῶ, ἐπισκεψάμενον τὰ τῆς οἰκίας δυσχερῆ, δοῦναι αὐτοῖς καὶ τῶν παρελθόντων χρόνων παραμυθίαν, καὶ πρὸς τὸ μέλλον αἱρετὴν αὐτοῖς κατασκευάσαι τὴν οἴκησιν, τὴν φευκτὴν καὶ ἀπηγορευμένην διὰ τὸ πλῆθος τῆς ἐπικειμένης αὐτῇ συντελείας. Σπουδάσω δὲ καὶ αὐτὸς περιτυχών σου τῇ κοσμιότητι ἐντελέστερον περὶ ἑκάστου διαλεχθῆναι. C

Censitori.

Mihi quidem consuetudo cum tua nobilitate et coram congressus brevis admodum exstitit: sed accepta ex auditu cognitio, qua multis viris insignibus conjungimur, nec exigua, nec contemnenda. An vero et apud te ex fama in aliquo numero sumus, ipse melius noveris. Tua quidem existimatio talis apud nos est, qualem diximus. Quoniam autem vocavit te Deus ad munus humanitati demonstrandæ idoneum, per quod potes patriam nostram omnino solo æquatam instaurare; decere me arbitror tuam bonitatem admonere, ut spe divinæ remunerationis talem te exhibere velis, ut immortalem memoriam consequaris, et requiei æternæ hæres evadas ob allevatas calamitosis ærumnas. Cum autem et mihi quædam sit circa Chamanenem possessio, eam æque ac tuam tuearis rogo. Nec mireris si mea dicam, quæ sunt amicorum; nam cum reliquis virtutibus et amicitiam didici, ac memini illius qui sapienter dixit, *amicum esse alterum seipsum.* Hanc igitur possessionem, quæ ad illum pertinet, velut meam tuæ dignitati commendo; ac rogo, ut considerans domus molestias, des illis et præteritorum temporum consolationem et in futurum optabilem eis habitationem istam reddas, quæ ob tributorum ei impositorum multitudinem fugienda est et desperata. Sed et ipse operam dabo, ut cum tua urbanitate conveniens de singulis plenius disseram.

ΕΠΙΣΤΟΛΗ ΠΔ'.

EPISTOLA LXXXIV**.

Præsidem Cappadociæ, quem Eliam esse credimus perhonorifice salutat Basilius, ejusque factum reprehendit, quod dum senis cujusdam nepotem annos quatuor natum curiæ addicit, ipsum senem in nepote rursus ad munera publica pertraxerit. Pluribus probat mutandum esse quod decretum inique fuerat.

Ἡγεμόνι.

1. Σχεδὸν μὲν ἄπιστόν ἐστιν ὃ μέλλω γράφειν, γεγράψεται δὲ τῆς ἀληθείας ἕνεκεν· ὅτι, πᾶσαν ἔχων ἐπιθυμίαν, ὡς οἷόν τε ἦν, πυκνότατα διαλέγεσθαί σου τῇ καλοκἀγαθίᾳ, ἐπειδὴ εὗρον ταύτην γραμμάτων τὴν ἀφορμὴν, οὐκ ἐπέδραμον τῷ ἑρμαίῳ, ἀλλ' ἀπώκνησα καὶ ἀνεδύην. Τὸ οὖν παράδοξον ἐν τούτῳ, ὅτι ἅπερ ηὐχόμην ὑπάρξαι (74), ταῦτα γενόμενα οὐκ ἐδεχόμην. Αἴτιον δὲ, ὅτι αἰσχύνομαι δοκεῖν μὴ D φιλίας γε ἕνεκεν καθαρῶς, ἀλλὰ χρείαν τινὰ θεραπεύων ἑκάστοτε γράφειν. Ἀλλά με ἐκεῖνο εἰσῆλθεν (ὃ καὶ σὲ βούλομαι διανοηθέντα, μήτοι νομίζειν ἡμᾶς ἐμπορικῶς μᾶλλον ἢ φιλικῶς ποιεῖσθαι τὰς διαλέξεις), ὅτι χρή τι διάφορον ἔχειν τὰς τῶν ἀρχόντων προσρήσεις παρὰ τοὺς ἰδιώτας. Οὐ γὰρ ὁμοίως ἐντευκτέον ἡμῖν ἰατρῷ τε ἀνδρὶ καὶ τῷ τυ-

Præsidi.

1. Fere incredibile est quod scripturus sum, scribetur tamen veritatis causa. Etsi cupiditate omni tenebar, quam possem sæpissime cum tua probitate colloquendi; postquam tamen hanc litterarum occasionem nactus sum, non accurri ad lucrum, sed hæsitavi ac me retraxi. Illud itaque ea in re mirabile est, quod quæ contingere cupiebam, ea ubi contigere, non sum amplexus. Hoc autem fuit causæ, quod puderet me videri non puræ amicitiæ causa, sed aliquid utilitatis aucupantem subinde scribere. Sed illud mihi in mentem venit (quod et tu considerans velim existimes me non quæstus magis quam amicitiæ causa in colloquium venire), **177** aliter præsides alloqui decere ac privatos. Non enim nobis eodem modo

(72) *Εἴπομεν*. Sic ope codicis Claromontani mutavimus quod erat in editis, εἴποιμεν.

(73) *Χαμανηνήν*. Medicæus μηχανήν. Paulo post Coisl. primus μὴ θαυμάσῃς

(74) *Ὑπάρξαι*. Coisl. primus et Med. ὑπάρξειν.

* Alias CCCCXXVII. Scripta anno 372.

** Alias CCCLXXXIX. Scripta anno 372.

adeundus est medicus ac plebeius; neque etiam A præses eodem modo ac privatus : sed danda est opera, ut hujus arte, illius auctoritate ad nostros usus perfruamur. Quemadmodum enim ad solem ambulantes, velint nolint, umbra omnino sequitur : ita et cum magistratibus colloquia quæstus quidam comitatur, levamen afflictorum. Primam igitur epistolæ causam adimpleat ipsa magnanimitatis tuæ salutatio; quod ipsum, etiamsi nullum aliud scribendi argumentum suppeteret, causam æquam esse putandum est. Saluteris igitur a nobis, vir optime, ac omni hominum generi custodiaris, præfecturas ex præfecturis gerens, et alios atque alios tua administratione adjuvans. Id enim et mihi facere mos est, et tibi debetur ab iis, qui vel tantillum tuam in administranda provincia virtutem experti sunt. B

2. Post votum illud, meam quoque pro misero sene precationem excipe, quem diploma regium muneribus publicis exemit; vel potius cui et ipsa ante regem senectus immunitatem necessariam dederat. Confirmasti et ipse beneficium regis, naturam reveritus, et publicis rebus providens, ut mihi videtur, ne quod periculum, homine propter ætatem desipiente, in rem publicam inveheretur. Quomodo autem illum, vir admirande, alia rursus via imprudens in media negotia protraxisti? Quod enim illius nepotem nondum annos quatuor natum curiæ addixisti, quid aliud est quam senem in nepote rursus de integro ad publica munera pertrahere? Nunc autem rogo ætatis utriusque misereris, C et utrumque liberes ob ea quæ insunt utrique miseratione digna. Alter quidem parentes non vidit, nec cognovit, sed per alienas manus in hanc vitam ingressus est, statim a cunabulis parente utroque orbatus; alter vero tandiu in vita reservatus est, ut nullum calamitatis genus effugeret. Vidit enim filii mortem immaturam; vidit et domum successoribus destitutam : videbit autem nunc, nisi quid tua humanitate dignum cogites, solamen orbitatis in occasionem sibi innumerabilium malorum converti. Non enim puerulus in curialium album ascribetur, aut tributa colliget, aut militibus annonam suppeditabit : sed rursus necesse miseri senis canitiem dedecorari. Concede igitur gratiam et legibus consentaneam, et D naturæ congruentem : jubens ut alteri quidem usque ad virilem ætatem concedatur, alter autem in lecto mortem exspectet. Continua autem negotia et ineluctabilem necessitatem alii excusent. Neque enim tui moris est aut calamitosos spernere, aut leges parvi facere, aut amicis non cedere supplicantibus, etiamsi te ab hominibus circumsteterint negotia.

A χόντι· οὔτε ἄρχοντι δηλονότι καὶ ἰδιώτῃ· ἀλλὰ πειρατέον τοῦ μὲν ἐκ τῆς τέχνης, τοῦ δὲ ἀπὸ τῆς ἐξουσίας ἀπολαύειν εἰς τὰ ἡμέτερα. Ὥσπερ οὖν τοῖς ἐν ἡλίῳ βαδίζουσιν ἕπεται πάντως ἡ σκιὰ, κἂν αὐτοὶ μὴ προέλωνται· οὕτω καὶ ταῖς πρὸς τοὺς ἄρχοντας ὁμιλίαις ἀκολουθεῖ τι καὶ παρεμπόρευμα, ἡ τῶν καμνόντων βοήθεια. Τὴν μὲν οὖν πρώτην αἰτίαν τῆς ἐπιστολῆς πληρούτω αὐτὸ τὸ προσειπεῖν σου τὴν μεγαλόνοιαν· ὃ, κἂν μηδεμία πρόφασις τῷ γράφειν (75) προσῇ, ἀγαθὸν κεφάλαιον αὐτὸ χρὴ νομίζεσθαι. Προσείρησο (76) τοίνυν ἡμῖν, ὦ ἄριστε, καὶ φυλάττοιο τῷ βίῳ παντὶ, ἀρχὰς ἐξ ἀρχῶν ἀμείβων, καὶ ἄλλοτε ἄλλους ταῖς ἐπιστασίαις εὐεργετῶν. Τοῦτο γὰρ ἐμοί τε ποιεῖν σύνηθες, καὶ σοὶ ὀφειλόμενον παρὰ τῶν καὶ κατὰ μικρὸν πεπειραμένων τῆς περὶ τὸ ἄρχειν σου ἀρετῆς. B

2. Μετὰ δὲ τὴν εὐχὴν, δέξαι καὶ τὴν ὑπὲρ τοῦ ἀθλίου γέροντος ἱκεσίαν, ὃν ἀφῆκε μὲν τῶν δημοσίων γράμμα βασιλικόν· μᾶλλον δὲ καὶ πρὸ τοῦ βασιλέως αὐτὸ τὸ γῆρας ἔδωκεν αὐτῷ τὴν ἀναγκαίαν ἀτέλειαν. Ἐβεβαίωσας δὲ καὶ αὐτὸς τὴν ἄνωθεν χάριν αἰδοῖ τῆς φύσεως, καὶ προμηθείᾳ τῶν δημοσίων, ἐμοὶ δοκεῖν, ὡς ἂν μὴ ἀνθρώπῳ παρανοοῦντι διὰ τὸν χρόνον κινδυνεύοι (77) τι τῶν κοινῶν. Δι' ἑτέρας δὲ ὁδοῦ πάλιν πῶς αὐτὸν ἔλαθες, ὦ θαυμάσιε, παραγαγὼν εἰς τὸ μέσον; Τὸν γὰρ υἱϊδοῦν (78) αὐτοῦ, οὔπω τέταρτον ἔτος ἀπὸ γενέσεως ἄγοντα, κελεύσας τοῦ βουλευτηρίου μετέχειν, τί ἄλλο καὶ οὐχὶ τὸν πρεσβύτην διὰ τοῦ ἐκγόνου πάλιν ἐξ ἀρχῆς παράγεις εἰς τὰ δημόσια; C Ἀλλὰ νῦν ἱκετεύομεν ἀμφοτέρων σε λαβεῖν τῶν ἡλικιῶν οἶκτον, καὶ ἀμφοτέρους ἀνεῖναι διὰ τὰ προσόντα ἑκατέρῳ ἐλεεινά. Ὁ μὲν γὰρ οὐκ εἶδε (79) γονέας, οὐδ' ἐγνώρισε, ἀλλὰ δι' ἀλλοτρίων χειρῶν εἰς τὸν βίον τοῦτον εἰσῆλθεν, εὐθὺς ἐκ σπαργάνων ἀμφοτέρων ὀρφανισθείς· ὁ δὲ τοσοῦτον ἐταμιεύθη τῷ βίῳ, ὡς μηδὲν αὐτὸν εἶδος συμφορᾶς παρελθεῖν. Ἐπεῖδε μὲν γὰρ υἱοῦ τελευτὴν ἄωρον· εἶδε δὲ οἶκον ἔρημον διαδόχων· ὄψεται δὲ νῦν, ἐὰν μή τι αὐτὸς ἄξιον τῆς σεαυτοῦ φιλανθρωπίας διανοηθῇς, τὴν παραμυθίαν τῆς ἀπαιδίας, ταύτην ἀφορμὴν αὐτῷ μυρίων γενησομένην κακῶν. Οὐ γὰρ δήπου τὸ παιδίον εἰς βουλευτὰς συντελέσει, ἢ ἐκλέξει τὰς εἰσφορὰς, ἢ στρατιώταις χορηγήσει τὸ σιτηρέσιον· ἀλλ' ἀνάγκη πάλιν τοῦ ἀθλίου γέροντος D τὴν πολιὰν καταισχύνεσθαι. Δὸς οὖν χάριν καὶ τοῖς νόμοις ἀκόλουθον, καὶ τῇ φύσει συμβαίνουσαν· τῷ μὲν προστάξας μέχρι τῆς τῶν ἀνδρῶν ἡλικίας συγχωρηθῆναι, τὸν δὲ ἐπὶ τῆς κλίνης ἀναμένειν τὸν θάνατον. Πραγμάτων δὲ συνέχειαν καὶ τὸ τῆς ἀνάγκης ἀπαραίτητον ἄλλοι προβαλλέσθωσαν. Οὐ γὰρ δὴ τοῦ σοῦ τρόπου ἢ κακῶς πράττοντας περιιδεῖν, ἢ νόμων ὀλιγωρῆσαι, ἢ φίλοις μὴ εἶξαι καθικετεύουσι, κἂν τὰ ἐξ ἀνθρώπων σε περιεστήκει (80) πράγματα.

(75) *Τῷ γράφειν*. Harl. et Med. τοῦ γράφειν.

(76) *Προσείρησο*. Ita novem mss. Editi προσείποιο.

(77) *Παρανοοῦντι... κινδυνεύοι*. Sic mss. summo consensu. Editi παρανομοῦντι... κινδυνεύῃ.

(78) *Υἱϊδοῦν*. Sic mss. octo. Editi υἱὸν γοῦν. Paulo post Coisl. primus et Reg. secundus διὰ τοῦ ἐγγόνου.

(79) *Οὐκ εἶδε*. Mss. consentiunt in hac voce. Editi οὐκ οἶδε. Paulo post Coisl. primus ἐπ' ἀμφοτέρων. Harl. et Med. ἀπ' ἀμφοτέρων.

(80) *Περιεστήκει*. Sic mss. codices summo consensu. Editi περιέστηκε.

ΕΠΙΣΤΟΛΗ ΠΕ'.

178 EPISTOLA LXXXV*.

Qaod sæpe et in conventibus et in privatis colloquiis rogaverat Basilius, ut rustici ob vectigalia jurare non cogerentur, idem nunc ver litteras obtestatur.

Περὶ τοῦ μὴ δεῖν ὀρκοῦν (81).

Οὐ παυόμεθα κατὰ πᾶσαν σύνοδον διαμαρτυρόμενοι, καὶ ἰδίᾳ ἐν ταῖς συντυχίαις περὶ τῶν αὐτῶν διαλεγόμενοι, ὥστε τοὺς ὅρκους ἐπὶ τοῖς δημοσίοις τελέσμασι μὴ ἐπάγεσθαι παρὰ τῶν ἀπαιτητῶν τοῖς ἀγροίκοις. Λειπόμενον ἦν (82) καὶ διὰ τοῦ γράμματος περὶ τῶν αὐτῶν ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων διαμαρτύρασθαι, ὅτι προσήκει παύσασθαι ὑμᾶς τὸν θάνατον ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐπάγοντας, καὶ ἄλλους ἐπινοῆσαί τινας τρόπους τῶν ἀπαιτήσεων, τὰς δὲ ψυχὰς συγχωρῆσαι τοῖς ἀνθρώποις ἀτρώτους ἔχειν. Ταῦτα πρὸς σὲ γράφομεν, οὐχ ὡς σοῦ δεομένου τῆς ἐκ τῶν λόγων παρακλήσεως (οἴκοθεν γὰρ ἔχεις τὰς περὶ τὸ φοβεῖσθαι τὸν Κύριον (83) ἀφορμάς), ἀλλ' ἵνα διὰ σοῦ πάντες οἱ ἀνεχόμενοί σου διδαχθῶσι μὴ παροργίζειν τὸν Ἅγιον, μηδὲ ἀπηγορευμένον πρᾶγμα τῇ πονηρᾷ συνηθείᾳ εἰς ἀδιαφορίαν κατάγειν. Καὶ γὰρ οὔτε ὄφελός τι αὐτοῖς πρὸς τὰς ἀπαιτήσεις ἐκ τῶν ὅρκων ἐστὶ, καὶ ὁμολογούμενον κακὸν τῇ ψυχῇ προσλαμβάνουσιν. Ἐπειδὰν γὰρ καταμελετήσωσι (84) τὰς ἐπιορκίας οἱ ἄνθρωποι, οὐκέτι ἑαυτοὺς ἐπείγουσι πρὸς τὴν ἔκτισιν, ἀλλὰ ἀπάτης ὅπλον καὶ ἀναβολῆς ἀφορμὴν ἐξευρῆσθαι αὐτοῖς τὸν ὅρκον οἴονται. Εἴτε οὖν ὀξεῖαν ἐπάγει τὴν ἀνταπόδοσιν τοῖς ἐπιωρκηκόσιν ὁ Κύριος, οὐχ ἕξουσι τοὺς ὑπακούοντας, τῶν ὑπευθύνων ὑπὸ τῆς τιμωρίας ἀναλωθέντων· εἴτε διὰ μακροθυμίας ἀνέχεται ὁ Δεσπότης, ὃ προλαβὼν εἶπον, ὅτι οἱ πεπειραμένοι τῆς ἀνοχῆς τοῦ Κυρίου καταφρονοῦσιν αὐτοῦ τῆς χρηστότητος· μὴ ἀνομείτωσαν διακενῆς, μηδὲ παροξυνέτωσαν ἐφ' ἑαυτοὺς τὸν Θεόν. Εἴρηται ἡμῖν τὰ ἡμῖν ἐπιβάλλοντα· ὄψονται οἱ ἀπειθοῦντες.

De cavendo jurejurando.

Non desinimus in omni conventu contestari, et privatis in colloquiis idem inculcare, ut rustici ob publica vectigalia ad jusjurandum ab exactoribus non adigantur. Reliquum erat, ut etiam per litteras de iisdem coram Deo et hominibus contestaremur, consentaneum esse, ut mortem hominum animabus inferre desinatis, et aliquos alios exigendi modos excogitetis, ac per vos hominibus liceat animas a vulnere integras habere. Ad te hæc scribimus non quod indigeas, ut te verbis hortemur (habes enim domestica Domini metuendi incitamenta), sed ut per te discant omnes, qui ex te pendent, Sanctum ad iracundiam non provocare, et rem vetitam mala consuetudine indifferentem non facere. Neque enim eis ullo pacto ad exactiones prosunt juramenta : et malum certissimum in animo suscipiunt. Ubi enim homines in perjuriis exercitati fuerint, non amplius solvere properant, sed fraudis instrumentum ac dilationis ansam sibi inventum esse jusjurandum existimant. Sive igitur Dominus celeres pœnas inferat perjuris ; non habebunt qui in jus vocati respondeant consumptis supplicio debitoribus : sive patienti animo eos toleret Dominus, quoniam, ut prius dixi, qui patientiam Domini experti sunt, ipsius contemnunt bonitatem ; ne frustra legem violent, neque in seipsos Dei iram accendant. Dixi quæ debui, videbunt immorigeri.

ΕΠΙΣΤΟΛΗ ΠϚ'.

EPISTOLA LXXXVI**.

Petit Basilius ut per quos direptum Dorothei presbyteri frumentum, per eosdem restituatur.

Τῷ ἡγεμόνι (85).

Οἶδα μεγίστην καὶ πρώτην σπουδὴν οὖσαν τῇ τιμιότητί σου πάντα τρόπον (86) χαρίζεσθαι τῷ δικαίῳ· δευτέραν δὲ τὸ καὶ τοὺς φίλους εὐποιεῖν, καὶ τῶν προσφευγόντων τῇ προστασίᾳ τῆς σῆς μεγαλονοίας ἀντιποιεῖσθαι. Πάντα τοίνυν εἰς ταυτὸν συνέδραμεν ἐπὶ τῆς παρούσης ὑποθέσεως. Καὶ γὰρ δίκαιόν ἐστι τὸ πρᾶγμα, ὑπὲρ οὗ τὴν πρεσβείαν ποιούμεθα, καὶ ἡμῖν κεχαρισμένον, οὓς ἐν τοῖς φίλοις ἀριθμεῖν τοῖς

Præposito.

Scio maximum et primum præstantiæ tuæ studium esse, ut omni ratione juri faveas. Alterum, ut et amicis benefacias, et eos qui ad tuæ magnanimitatis patrocinium confugiunt, tueare. Concurrunt itaque omnia in causa præsenti. Nam et justa res est, pro qua deprecamur ; et nobis pergrata, quos inter tuos amicos numerare dignatus es ; et eis debita, qui constantiæ tuæ auxilium ad inju-

(81) *Περὶ τοῦ μὴ δεῖν.* Verbum ultimum addidimus ex Coisl. primo et Med. Tres alii codices, Harl., Reg. secundus et Coisl. secundus, sic exhibent titulum : Ὥστε παύσασθαι τοὺς τῶν δημοσίων πράκτορας τοὺς ὅρκους τοῖς ὑποτελέσιν ἐπάγοντας· *Ut publicarum pecuniarum exactores desinant in jusjurandum adigere vectigales.*

(82) *Λειπόμενον ἦν.* Reg. secundus Λειπόμενον ἦν οὖν.

(83) *Τὸν Κύριον.* Ita vetusti codices quinque : editi τὸν Θεόν.

(84) *Καταμελετήσωσι.* Editi καταμελήσωσι, quod emendat Harlæanus codex cum tribus aliis.

(85) *Τῷ ἡγεμόνι.* Sic cum editis tres antiquissimi codices Harl., MeJ. et Coisl. In aliis tribus, nempe Reg. secundo et Bigot., hæc adduntur, παραθετικὴ ὑπὲρ πρεσβυτέρων περὶ καθαρπαγῆς σίτου, *commendatitia pro presbyteris ob frumenti direptionem.* Patet ex epistola sequenti hanc scriptam fuisse ad præpositum pagi, in quo educatus fuerat Basilius, quemque idcirco patriam appellat.

(86) *Πάντα τρόπον.* Editio Paris. κατὰ πάντα τρόπον. Sed præpositio melius deest in sex mss. et in edit. Basil.

* Alias CCCV. Scripta anno 372.

** Alias CLXXIX. Scripta anno 372.

rias quas acceperunt propulsandas implorant. Frumentum enim quod duntaxat ad necessarium vitæ usum optatissimus frater Dorotheus habebat, quidam ex iis, **179** quibus rerum publicarum administratio concredita est, in Berisis diripuerunt, sive sua sponte ad hanc violentiam, sive ab aliis inducti. Verum nulla ex parte res culpa caret. Quid enim minus lædit, qui ex se malus est, quam qui aliorum ministrat improbitati? siquidem idem damnum his qui injuria afficiuntur. Petimus igitur, ut per quos hic spoliatus est, ab his frumentum ablatum recipiat, nec eis liceat facinoris culpam in alios rejicere. Quanti autem momenti est rei frumentariæ penuriam effugere, tanti faciemus tuæ magnanimitatis beneficentiam, si eam conferre dignatus fueris

A σεαυτοῦ (87) κατηξίωσας· καὶ ὀφειλόμενον τοῖς τὴν στεῤῥότητά σου εἰς τὴν ὑπὲρ ὧν πεπόνθασι βοήθειαν ἐπικαλουμένοις. Σῖτον γάρ, ὃν μόνον εἶχε πρὸς τὴν ἀναγκαίαν τοῦ βίου διαγωγὴν ὁ ποθεινότατος ἀδελφὸς Δωρόθεος, διήρπασάν τινες ἐν Βηρίσοις (88), τῶν τὰ δημόσια διοικεῖν πεπιστευμένων, εἴτε ἀφ' ἑαυτῶν ἐλθόντες ἐπὶ τὴν βίαν, εἴτε καὶ ἑτέρων αὐτοῖς ὑποθεμένων. Πλὴν οὐδαμόθεν αὐτοῖς τὸ πρᾶγμα ἀνέγκλητον. Τί γὰρ ἧττον (89) ἀδικεῖ ὁ οἴκοθεν πονηρὸς ἢ ὁ ἑτέρων κακίᾳ ὑπηρετούμενος; Καὶ τοῖς πεπονθόσιν ἡ ζημία ὁμοία. Τοῦτον ἀξιοῦμεν, δι' ὧν ἀφῃρέθη μὲν (90), ἀπολαβεῖν, καὶ μὴ ἐξεῖναι αὐτοῖς ἐπὶ ἑτέροις τὴν αἰτίαν τῶν τετολμημένων ἀναφέρειν· ὅσου δὲ (91) ἄξιον τὸ τὴν ἐκ τῆς σιτοδείας διαφυγεῖν ἀνάγκην, τοσούτου τὴν χάριν τιμησόμεθα τὴν παρὰ τῆς B σῆς μεγαλοφυΐας, ἐὰν ἄρα δοῦναι καταξιώσῃς.

EPISTOLA LXXXVII*.

ΕΠΙΣΤΟΛΗ ΠΖ'.

Eadem de re scribit Basilius ad præsidem, quem Eliam esse credimus.

Sine inscriptione de iisdem rebus.

Miratus sum quomodo te sequestro tantum nefas perpetratum sit in compresbyterum; adeo ut quod unicum habebat sustentandæ vitæ præsidium, id ei ereptum sit. Quod autem gravissimum est illud est, quod qui hoc ausi sunt, facinoris culpam in te transferunt: quem par erat non modo non permittere, sed etiam totis viribus impedire quominus hæc committantur, maxime quidem in quosvis homines: sin minus, saltem contra presbyteros, eosque quotquot idem ac nos sentiunt, ac eamdem pietatis viam ineunt. Itaque, si qua tibi cura est ut me recrees; fac cito quæ acta sunt corrigantur. Potes enim, Dei dono, et hæc et his adhuc majora perficere, quibus consultum volueris. Scripsi autem et ad patriæ Præpositum: ut si sua sponte æqua facere noluerint, judiciorum auctoritate facere cogantur.

Ἀνεπίγραφος ὑπὲρ τῶν αὐτῶν (92).

Ἐθαύμασα πῶς, σοῦ μεσιτεύοντος, τοσοῦτον ἐτολμήθη κακὸν κατὰ τοῦ συμπρεσβυτέρου (93), ὥστε ἣν μόνην εἶχεν ἀφορμὴν τοῦ βίου, ταύτην διαρπασθῆναι. Καὶ τὸ δεινότατον, ὅτι οἱ τοῦτο τετολμηκότες ἐπὶ σὲ τὴν αἰτίαν ὧν πεποιήκασιν ἀναφέρουσιν· ὃν οὐχ ὅπως (94) ἐπιτρέπειν τὰ τοιαῦτα γίνεσθαι, ἀλλὰ καὶ παντὶ σθένει διακωλύειν ἀκόλουθον ἦν, μάλιστα μὲν κατὰ πάντων· εἰ δ' ἄρα, κατὰ γοῦν τῶν πρεσβυτέρων, καὶ τούτων ὅσοι ἡμῖν ὁμόψυχοι, καὶ τὴν αὐτὴν τῆς εὐσεβείας ὁδὸν πορευόμενοι. Εἴ τι οὖν C φροντίζεις τοῦ ἀναπαῦσαι ἡμᾶς, ταχέως διορθωθῆναι τὰ γενόμενα ποίησον. Δύνασαι γὰρ σὺν Θεῷ καὶ ταῦτα καὶ ἔτι μείζω τούτων κατορθοῦν, οἷς ἂν ἐθέλῃς (95). Ἐπέστειλα δὲ καὶ τῷ ἄρχοντι τῆς πατρίδος (96), ἵνα, ἐὰν ἀφ' ἑαυτῶν (97) μὴ θελήσωσι ποιῆσαι τὰ δίκαια, ἐκ τῆς κινήσεως τῶν δικαστηρίων ἀναγκασθῶσι ποιῆσαι.

* Alias CCCXC. Scripta anno 372.

(87) *Τοῖς σεαυτοῦ*. Med. et Coisl. primus τοῖς ἑαυτοῦ. Paulo post Coisl. primus et Reg. secundus εἶχεν εἰς τήν, etc.

(88) *Ἐν Βηρίσοις*. Coisl. primus ἐν Βηρίσσοις. Paris. et Bigot. ἐν Κηρίσοις.

D (89) *Τί γὰρ ἧττον*. Nulla hoc loco varietas inter editos et manuscriptos codices; sed tamen postulat sententia, ut legamus, Τί γὰρ ἧττον ἀδικεῖ ἢ ὁ οἴκοθεν πονηρός, ὁ ἑτέρων κακίᾳ ὑπηρετούμενος; *Quid enim minus lædit quam qui sua sponte malus est, qui aliorum ministrat improbitati?* Occurrit enim Basilius excusationi, qua videbantur auctores injuriæ usuri, si culpam in alios transferre possent. Ibidem editio Paris. Καὶ γὰρ τοῖς. Deest γάρ in septem mss. et edit. Basil.

(90) *Ἀφῃρέθη μέν*. Editio Paris. addit ἐξ αὐτῶν τὸ ἀφαιρεθέν, sed hæc desunt in septem mss. et in edit. Basil. in qua legitur, ἀφῃρέθη μὴ ἀπολαβεῖν. Ibidem tres mss. ἀφῃρέθημεν, *per quos spoliati sumus*.

(91) *Ὅσου δὲ... τοσούτου*. Sic Harl., Med., Coisl. primus cum duobus aliis. Editi ὅσον δὲ..., τοσοῦτον.

(92) *Ὑπὲρ τῶν αὐτῶν*. Hunc titulum desumpsimus ex codicibus Harl., Coisl. secundo et Regio secundo. Habent alii ἐπὶ ἐκδικήσει, *de ultione*. Editi corrupte ἐπὶ οἰκήσει, Coisl. primus ἐπὶ κήσει.

(93) *Συμπρεσβυτέρου*. Med. et Coisl. primus πρεσβυτέρου.

(94) *Ὃν οὐχ ὅπως*. Editi his vocibus præmittunt εἰς. Quæ præpositio legitur etiam in codicibus vetustissimis Coisl. et Med. Sed in his codicibus desunt præcedentia verba ἐπὶ σέ. Harlæanum cum aliis quatuor secutus sum.

(95) *Ἐθέλῃς*. Coisl. primus ἐθέλεις.

(96) *Τῆς πατρίδος*. Patriam suam vocat Basilius locum, in quo educatus fuerat apud aviam suam. Eumdem locum similiter designat supra initio epistolæ 8. Ait in epistola 51 se, cum pluribus in patria timentibus Deum, insolabiliter doluisse, quod Dianius formulæ Constantinopoli allatæ subscripsisset. Hunc autem presbyterum, qui in patria Basilii degebat, non alium esse perspicitur ei presbytero, qui Basilii collactaneus erat, ac demum, in qua Basilius educatus fuerat, certis conditionibus commissam administrabat, ut patet ex epistolis 36 et 37.

(97) *Ἀφ' ἑαυτῶν*. Ita sex mss. Editi ἐφ' ἑαυτῶν. Mox Coisl. primus et Med. διὰ τῆς κινήσεως.

ΕΠΙΣΤΟΛΗ ΠΗ'.

EPISTOLA LXXXVIII*.

Hortatus fuerat Basilius civitatem ad symbolam auri comparatitii, sed cum magistratus plerique essent in agris, postulat a præside, ut vel de auri summa aliquid interim remittat, vel tempus præstitutum proroget.

Ἀνεπίγραφος, ἐπὶ ἀπαιτητῇ χρημάτων. A

Τὴν δυσκολίαν τῆς συγκομιδῆς τοῦ πραγματευτικοῦ χρυσίου (98) πάντων μάλιστα ἡ σὴ τιμιότης κατέμαθε· καὶ τῆς πενίας ἡμῶν οὐδένα μάρτυρα τοιοῦτον ἔχομεν, οἷον σὲ, ὃς ἐκ τῆς μεγάλης φιλανθρωπίας καὶ συνέπαθες ἡμῖν, καὶ συμπεριηνέχθης μέχρι τοῦ παρόντος τὰ δυνατὰ, οὐδαμοῦ τὸ πρᾶον τῆς ἑαυτοῦ τῶν τρόπων καταστάσεως ἐκ τῆς τῶν ἄνωθεν ἐπικειμένων ταραχῆς παρακινήσας. Ἐπεὶ οὖν ὑπολείπεται ἡμῖν ἐκ τοῦ παντὸς σταθμοῦ ὀλίγον ἔτι χρυσίον, καὶ τοῦτο ἀνάγκη ἐκ τοῦ ἐράνου, εἰς ὃν προετρεψάμεθα πᾶσαν τὴν πόλιν, συγκομισθῆναι· παρακαλοῦμέν σου τὴν ἡμερότητα μικρόν τι ἐκτεῖναι ἡμῖν τὴν προθεσμίαν, πρὸς τὸ καὶ τοὺς ἔξω τῆς πόλεως ὑπομνησθῆναι. Ἐν ἀγροῖς γάρ ἐστι τὸ πολὺ τῶν ἐν τέλει, ὡς B οὐδὲ αὐτὸς ἀγνοεῖς. Ἐὰν μὲν οὖν ᾖ δυνατὸν παρὰ τοσάσδε λίτρας ἐκπεμφθῆναι, τοσοῦτον γὰρ ἡμῖν ὑπολέλειπται, τοῦτο γενέσθαι παρακαλοῦμέν σε· κἀκεῖνο ἐπαποσταλήσεται ὕστερον· ἐὰν δὲ πᾶσα ᾖ ἀνάγκη ἀθρόον αὐτὸ παραπεμφθῆναι τοῖς θησαυροῖς, ὅπερ ἐξ ἀρχῆς ἠξιώσαμεν, πλατυτέραν ἡμῖν γενέσθαι τὴν προθεσμίαν.

Sine inscriptione, causa exactoris pecuniarum.

Quam difficile sit aurum comparatitium cogere, omnium maxime præstantia tua novit: neque ullum paupertatis nostræ testem tam locupletem habemus, quam temetipsum: qui summa humanitate et nostri misertus es, et **180** hactenus, quantum in te fuit, indulgenter nobiscum egisti, nusquam a leni illo morum tuorum statu discedens ob metum eorum, quæ a sublimioribus potestatibus imminebant. Quoniam igitur reliquum est nobis de tota summa paululum auri; ac illud ex symbola, ad quam civitatem universam hortati sumus, necesse est colligi; clementiam tuam rogamus, nobis præstitutum tempus paulisper proroges, ut et qui ab urbe absunt, admoneantur. In agris enim sunt plerique magistratuum, ut ne ipse quidem ignoras. Quod si ita mitti potest, ut tot libræ desint, tantumdem enim nobis reliquum est, hoc ut fiat, te rogo; et reliquum postea mittetur: sin autem omnino necesse est illud simul transmitti in thesauros; id quod ab initio efflagitavi, ut tempus indictum nobis producas.

ΕΠΙΣΤΟΛΗ ΠΘ'

EPISTOLA LXXXIX**.

Litteris solatur Basilius desiderium videndi Meletii, eumque per Dorotheum obtestatur ut pro se oret, et si ad Occidentales scribendum sit, litteras dictet: se enim jam scripsisse per Sabinum, sed tanquam a synodo mittendum qui litteras perferat. Negat se apud Athanasium quidquam promovere posse nisi a Meletio ejusque sociis initium fiat communionis Athanasio offerendæ.

Μελετίῳ ἐπισκόπῳ Ἀντιοχείας.

Ὁ ἀγαθὸς Θεὸς, παρασχόμενος (99) ἡμῖν προφάσεις προσηγοριῶν πρὸς τὴν σὴν τιμιότητα, τὸ σφοδρὸν τοῦ πόθου παραμυθεῖται. Μάρτυς γὰρ αὐτὸς τῆς ἐπιθυμίας ἡμῶν, ἣν ἔχομεν εἰς τὸ θεάσασθαί σου τὸ (1) πρόσωπον, καὶ ἀπολαῦσαι τῆς ἀγαθῆς σου καὶ ψυχωφελοῦς διδασκαλίας. Καὶ νῦν δὲ διὰ τοῦ εὐλαβεστάτου καὶ σπουδαιοτάτου ἀδελφοῦ Δωροθέου τοῦ συνδιακόνου ἐρχομένου παρακαλοῦμέν σε προηγουμένως προσεύχεσθαι ὑπὲρ ἡμῶν, ἵνα μὴ πρόσκομμα ὦμεν τῷ λαῷ, μηδὲ ἐμπόδιον ταῖς ὑμετέραις εὐχαῖς πρὸς τὸ δυσωπῆσαι τὸν Κύριον· ἔπειτα καὶ ὑπομιμνήσκομεν καταξιῶσαί σε πάντα τυπῶσαι διὰ τοῦ προειρημένου ἀδελφοῦ· καὶ εἴ τι (2) δεῖ ἐπισταλῆναι τοῖς κατὰ τὴν δύσιν, διὰ τὸ ὀφείλειν ἀναγκαίως καὶ δι' ἡμετέρου αὐτοῖς ἀπενεχθῆναι γράμματα, αὐτὸν ὑπαγορεῦσαι τὰς ἐπιστολάς. Ἡμεῖς γὰρ ἐπιτυχόντες

Meletio episcopo Antiochiæ.

C 1. Bonus Deus occasiones nobis salutandæ dignitatis tuæ præbens, vehementiam desiderii demulcet. Nam testis ipse est desiderii nostri, quo flagramus, vultus tui vivendi, ac bona tua et utili animabus doctrina perfruendi. Nunc autem per religiosissimum ac optimum fratrem Dorotheum condiaconum advenientem obtestor te, in primis ut depreceris pro nobis, ne populo simus offendiculo, neque precibus vestris impedimento, quominus Dominum placetis. Deinde suggerimus etiam, ut omnia per prædictum fratrem digneris ordinare: ac si ad Occidentales scribendum est, propterea quod litteræ sunt necessario etiam ab uno e nostris perferendæ, has ipsas litteras dictes. Nos enim nacti diaconum Sabinum ab illis missum scripsimus ad Illyricos, et ad Italiæ et Galliæ epi-

(98) *Πραγματευτικοῦ χρυσίου*. Aurum illud vocabatur *comparatitium*, quia idcirco conferebatur, ut inde vestes militares compararentur, ut observat Gothofredus ad lib. VII *Cod. Theod.*, tit. 6, leg. 3. Nam provinciæ Orientis, exceptis duabus, nempe Osroene et Isauria, non vestem ipsam militarem præbebant, sed aurum compensationis gratia. Porro Valens in lege secunda ejusdem tituli, quæ Marcianopoli data est anno 368, jusserat *Omnem canonem vestium ex Kal. Sept. ad Kal. Aprilis largitionibus tradi: proposita Rectori provinciæ vel ejus officio condemnationis pœna*. Unde patet hanc Basilii epistolam ad Rectorem Cappadociæ, quem Eliam D esse non levibus de causis existimamus, scriptam esse mense Martio ac non longe ante Pascha, quod hoc anno 372 incidit in diem octavum Aprilis.

(99) *Παρασχόμενος*. Editi addunt ante hanc vocem articulum ὁ, qui deest in Coisl. utroque et tribus aliis. Deest hæc epistola in codicibus Med. et Harl.

(1) *Σου τό*. Sic quatuor mss. pro eo quod erat in editis τοῦτο.

(2) *Εἴ τι*. Voculam τι addidimus ex sex mss.

* Alias CCXLIII. Scripta anno 372.

** Alias CCLXXIII. Scripta anno 372.

scopos, et quosdam alios, qui privatim ad nos litteras dederant. Consentaneum autem, ut tanquam a communi synodi mittatur aliquis, qui litteras secundas deferat, quas ipse jubeto exarari.

A Σαβίνου, τοῦ παρ' αὐτῶν ἀποσταλέντος διακόνου, ἐπεστείλαμεν (3) πρός τε τοὺς Ἰλλυριοὺς καὶ πρὸς τοὺς κατὰ τὴν Ἰταλίαν καὶ Γαλλίαν (4) ἐπισκόπους, καί τινας τῶν ἰδίως πρὸς ἡμᾶς ἐπιστειλάντων. Εὔλογον δὲ ὡς ἀπὸ κοινοῦ (5) τῆς συνόδου ἀποσταλῆναί τινα τὸν κομίζοντα δεύτερα γράμματα, ἅπερ αὐτὸς κέλευσον τυπωθῆναι.

2. Quod jam ad reverendissimum episcopum Athanasium attinet, probe scientem eximiam tuam prudentiam monebo, fieri non posse, ut meis litteris aliquid promoveatur, aut quidquam eorum quæ oportet perficiatur, nisi et a vobis, qui tunc ipsius communionem procrastinatis, hanc ipsam aliquo pacto accipiat. Aiunt enim ipsum omnino propendere ut nobiscum **181** conjungatur, et quidquid poterit, collaturum; sed dolere, quod et tunc dimissus sit sine communione, et etiamnum promissa maneant irrita. Res autem Orientalium quomodo se habeant nequaquam profecto latet aures pietatis tuæ: ac per se ipse accuratius omnia prædictus frater enarrabit. Quem quidem dignare statim post Pascha dimittere, quia responsa Samosatis exspectat: ejusque et propensam voluntatem approba, et precibus tuis corroboratum ad res propositas agendas dimitte.

2. Καὶ περὶ τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Ἀθανασίου ἀκριβῶς γινώσκουσαν τὴν τελείαν σου φρόνησιν ὑπομιμνήσκομεν, ὅτι ἀμήχανον τοῖς παρ' ἐμοῦ γράμμασιν ἐπιδοῦναι ἢ ποιῆσαί (6) τι τῶν ὀφειλομένων, ἐὰν μὴ καὶ παρ' ὑμῶν, τῶν τότε τὴν κοινωνίαν αὐτοῦ ἀναβαλλομένων, δέξηταί τινα τρόπον. Αὐτὸς γὰρ λέγεται πάνυ ὡρμῆσθαι πρὸς τὸ συναφθῆναι ἡμῖν, καὶ τὰ κατὰ δύναμιν συμβαλέσθαι, λυπεῖσθαι δὲ, ὅτι καὶ τότε παρεπέμφθη ἀκοινώνητος, καὶ ἔτι νῦν ἀτελεῖς B μένουσιν αἱ ὑποσχέσεις. Τὰ δὲ κατὰ τὴν Ἀνατολὴν ὅπως διάκειται οὐκ ἔλαθε πάντως τὰς ἀκοὰς τῆς θεοσεβείας σου· καὶ δι' ἑαυτοῦ δὲ ἀκριβέστερον πάντα ὁ προειρημένος ἀδελφὸς διηγήσεται. Ὃν καταξίωσον εὐθὺς ἐκπέμψαι μετὰ τὸ Πάσχα, διὰ τὸ ἀναμένειν τὰς ἀπὸ Σαμοσάτων ἀποκρίσεις· οὗ καὶ τὴν προθυμίαν ἀπόδεξαι, καὶ εὐχαῖς αὐτὸν ἐνισχύσας, πρόπεμψον εἰς τὰ προκείμενα.

EPISTOLA XC*.

ΕΠΙΣΤΟΛΗ Ϟ'.

Declarat Basilius quantum lætitiæ perceperit, ex litteris Occidentalium, et ex adventu Sabini; a quo edoctos Occidentales de rebus Orientis tandem auxilio venturos sperat. Quod quidem ut impetret, Orientalis Ecclesiæ calamitates describit. His quæ canonice in Occidente gesta sunt assentiri se profitetur.

Sanctissimis fratribus ac episcopis Occidentalibus.

1. Bonus Deus, qui semper afflictionibus consolationes admiscet, nobis etiam nunc largitus est inter multos dolores, ut modicum aliquod solatium nancisceremur ex litteris, quas a vestra integritate reverendissimus Pater noster Athanasius acceptas ad nos transmisit, fidei rectæ testimonium et inviolabilis vestræ concordiæ atque conspirationis argumentum habentes, ita ut et pastores Patrum vestigia sequentes, et Domini populum cum scientia pascentes exhibeant. Hæc omnia adeo nos exhilararunt, ut mœrorem nostrum solverent, et exiguum quemdam risum animis nostris concitarent, ex tristi hoc rerum statu, in quo nunc versamur. Auxit autem nobis solamen Dominus per religiosissimum filium et condiaconum Sabinum, qui et ea quæ apud vos præclare geruntur, enarrans accurate, aluit animas nostras; et de rebus nostris experien-

Τοῖς ἁγιωτάτοις ἀδελφοῖς καὶ ἐπισκόποις τοῖς ἐν τῇ Δύσει.

C 1. Ὁ ἀγαθὸς Θεὸς, ὁ ἀεὶ ταῖς θλίψεσι τὰς παρακλήσεις παραζευγνὺς, ἔδωκεν ἡμῖν καὶ νῦν ἐπὶ τῷ (7) πλήθει τῶν ὀδυνῶν εὑρέσθαι τινὰ μετρίαν παράκλησιν ἐκ τῶν γραμμάτων, ἃ παρὰ τῆς ὑμετέρας ὀρθότητος ὁ τιμιώτατος Πατὴρ ἡμῶν Ἀθανάσιος (8) ὁ ἐπίσκοπος δεξάμενος διεπέμψατο ἡμῖν, ὑγιοῦς πίστεως μαρτυρίαν, καὶ τῆς ἀνεπηρεάστου ὑμῶν ὁμονοίας καὶ συμπνοίας ἀπόδειξιν ἔχοντα, ὥστε καὶ ποιμένας ἀναδεικνύναι (9) τοῖς ἴχνεσι τῶν Πατέρων ἀκολουθοῦντας, καὶ τὸν λαὸν τοῦ Κυρίου μετ' ἐπιστήμης ποιμαίνοντας. Ταῦτα πάντα ηὔφρανεν ἡμᾶς τοσοῦτον, ὥστε λῦσαι ἡμῶν τὴν κατήφειαν, καὶ μειδίαμά τι βραχὺ ταῖς ψυχαῖς ἡμῶν ἐμποιῆσαι ἀπὸ τῆς σκυθρωπῆς ταύτης τῶν πραγμάτων κατα- D στάσεως (10), ἐν ᾗ νῦν καθεστήκαμεν. Ἐπέτεινε δὲ ἡμῖν τὴν παράκλησιν ὁ Κύριος διὰ τοῦ υἱοῦ ἡμῶν τοῦ εὐλαβεστάτου συνδιακόνου Σαβίνου, ὃς, καὶ τὰ

* Alias LXI. Scripta anno 372.

(3) *Ἐπεστείλαμεν*. Ita mss. tres: male in editis ἀπεστείλαμεν, *misimus*, quod pugnat cum sententia Basilii.

(4) *Καὶ Γαλλίαν*. Hæc desunt in Vat., et Reg. secundo et Coisl. secundo, non in Coisl. primo, et Reg. primo et Bigot. altero.

(5) *Ἀπὸ κοινοῦ*. Sic uterque Reg., et uterque Coisl. cum Bigot. altero. Editi ἀπὸ κοινῆς. Dicitur autem hoc loco *commune synodi*, velut apud Ciceronem *commune Asiæ*.

(6) *Ἢ ποιῆσαι*. Ita sex mss. Editi καὶ ποιῆσαι. Infra καὶ ἔτι νῦν ἀτελεῖς. Coisl. primus καὶ ἔτι ἀτελεῖς. Reg. primus et Coisl. secundus ut in textu. Negat Tillemontius Athanasium, de quo hic Basilius, magnum illum esse episcopum Alexandrinum. Rem expendemus in *Vita Basilii*; neque enim notarum angustiis contineri possit.

(7) *Ἐπὶ τῷ*. Coisl. primus ἐν τῷ.

(8) *Ἀθανάσιος*. Deest nomen Athanasii in utroque Regio.

(9) *Ἀναδεικνύναι*. Reg. secundus et Coisl. secundus ἀποδειχθῆναι. Ibidem editi τοὺς τοῖς ἴχνεσι. Sed articulum primum sustulimus, qui melius videtur deesse in tribus mss. licet non vetustissimis. Deest etiam in editionibus Hagan. et Basil.

(10) *Καταστάσεως*. Quatuor mss. non tamen vetustissimi κινήσεως. Paulo post editi καὶ διὰ τοῦ εὐλαβεστάτου υἱοῦ καί, etc. Coisl. primus et Harl. ut in textu.

παρ' ὑμῖν καλὰ διηγησάμενος ἀκριβῶς, ἔθρεψεν ἡμῶν τὰς ψυχάς· καὶ τὰ ἡμέτερα δὲ, τῇ πείρᾳ μαθὼν, ἐναργῶς ὑμῖν ἀναγγελεῖ, ἵνα προηγουμένως μὲν διὰ τῆς ἐκτενοῦς καὶ φιλοπόνου δεήσεως τῆς πρὸς τὸν Κύριον συναγωνίζησθε ἡμῖν, ἔπειτα δὲ καὶ τὴν ἐνδεχομένην ὑμῖν (11) παραμυθίαν ταῖς καταπονουμέναις Ἐκκλησίαις εἰσενέγκασθαι μὴ παραιτήσησθε. Κέκμηκε γὰρ τὰ ἐνταῦθα, ἀδελφοὶ τιμιώτατοι, καὶ ἀπείρηκε πρὸς τὰς συνεχεῖς προσβολὰς τῶν ἐναντίων ἡ Ἐκκλησία, ὥσπερ τι πλοῖον ἐν πελάγει μέσῳ ταῖς ἐπαλλήλοις πληγαῖς τῶν κυμάτων βασανιζόμενον, εἰ μή τις γένοιτο ταχεῖα ἐπισκοπὴ τῆς ἀγαθότητος τοῦ Κυρίου. Ὥσπερ οὖν ἡμεῖς ἴδιον ἑαυτῶν ἀγαθὸν ποιούμεθα τὴν ὑμετέραν πρὸς ἀλλήλους σύμπνοιάν τε καὶ ἑνότητα, οὕτω καὶ ὑμᾶς παρακαλοῦμεν συμπαθῆσαι ἡμῶν ταῖς διαιρέσεσι· καὶ μὴ, ὅτι τῇ θέσει τῶν τόπων διεστήκαμεν, χωρίζειν ἡμᾶς ἀφ' ἑαυτῶν, ἀλλ' ὅτι ἑνούμεθα τῇ κατὰ τὸ Πνεῦμα κοινωνίᾳ, εἰς τὴν ἑνὸς σώματος ἡμᾶς συμφωνίαν ἀναλαμβάνειν.

2. Γνώριμα δὲ τὰ θλίβοντα ἡμᾶς, κἂν ἡμεῖς μὴ λέγωμεν· εἰς πᾶσαν γὰρ τὴν οἰκουμένην λοιπὸν (12) ἐξήχηται. Καταπεφρόνηται τὰ τῶν Πατέρων δόγματα· ἀποστολικαὶ παραδόσεις ἐξουδένωνται (13)· νεωτεροποιῶν ἀνθρώπων ἐφευρέματα ταῖς Ἐκκλησίαις ἐμπολιτεύεται· τεχνολογοῦσι λοιπὸν, οὐ θεολογοῦσιν οἱ ἄνθρωποι· ἡ τοῦ κόσμου σοφία τὰ πρωτεῖα φέρεται, παρωσαμένη τὸ καύχημα τοῦ σταυροῦ. Ποιμένες ἀπελαύνονται, ἀντεισάγονται δὲ λύκοι βαρεῖς, διασπῶντες τὸ ποίμνιον τοῦ Χριστοῦ. (14) Οἶκοι εὐκτήριοι, ἔρημοι τῶν ἐκκλησιαζόντων· αἱ ἐρημίαι πλήρεις τῶν ὀδυρομένων. Οἱ πρεσβύτεροι ὀδύρονται, τὰ παλαιὰ συγκρίνοντες τοῖς παροῦσιν· οἱ νέοι ἐλεεινότεροι, μὴ εἰδότες οἵων ἐστέρηνται. Ταῦτα ἱκανὰ μὲν κινῆσαι πρὸς συμπάθειαν (15) τοὺς τὴν Χριστοῦ ἀγάπην πεπαιδευμένους· συγκρινόμενος δὲ τῇ ἀληθείᾳ τῶν πραγμάτων ὁ λόγος παρὰ πολὺ (16) τῆς ἀξίας αὐτῶν ἀπολείπεται. Εἴ τι οὖν παραμύθιον ἀγάπης, εἴ τις κοινωνία Πνεύματος, εἴ τινα σπλάγχνα οἰκτιρμῶν, κινήθητε πρὸς τὴν ἀντίληψιν ἡμῶν. Λάβετε ζῆλον εὐσεβείας, ἐξέλεσθε ἡμᾶς τοῦ χειμῶνος τούτου. Λαλείσθω καὶ παρ' ἡμῖν μετὰ παῤῥησίας τὸ ἀγαθὸν ἐκεῖνο κήρυγμα τῶν Πατέρων, τὸ καταστρέφον μὲν τὴν δυσώνυμον αἵρεσιν τὴν Ἀρείου, οἰκοδομοῦν (17) δὲ τὰς Ἐκκλησίας ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἐν ᾗ ὁ Υἱὸς ὁμοούσιος ὁμολογεῖται τῷ Πατρὶ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὁμοτίμως συναριθμεῖταί τε καὶ συλλατρεύεται· ἵνα ἣν ὑμῖν ἔδωκεν ὁ Κύριος ὑπὲρ τῆς ἀληθείας παῤῥησίαν, καὶ τὸ ἐπὶ τῇ ὁμολογίᾳ τῆς θείας (18) καὶ σωτηρίου Τριάδος καύχημα, τοῦτο καὶ ἡμῖν διὰ τῶν ὑμετέρων εὐχῶν καὶ τῆς συνεργίας ὑμῶν χαρίσηται. Τὸ δὲ καθέκα-

tia edoctus, perspicue vobis enuntiabit; ut primum quidem constanti et vehementi ad Dominum prece nobiscum decertetis; deinde vero ut et pro viribus solatium Ecclesiis afflictatis afferre ne recusetis. Nam hic omnia fatiscunt, fratres reverendissimi; et deficit ad continuos adversariorum assultus Ecclesia, non secus ac navigium quoddam in medio mari fluctuum impulsibus sibi invicem succedentibus agitatum; nisi Dei nos bonitas cito visitet. Quemadmodum igitur proprium ipsorum bonum ducimus, vestram inter vos concordiam et unitatem; ita et rogamus, ut nostrarum vos dissensionum misereat; nec, quia locorum situ dissiti sumus, nos a vobis sejungatis, sed quia Spiritus communione conjungimur, nos in unius corporis concentum admittatis.

2. Notæ autem calamitates nostræ, vel nobis tacentibus: siquidem per totum terrenum orbem **182** jam personuerunt. Contemnuntur Patrum dogmata; nullo numero habentur apostolicæ traditiones; novatorum inventa regnant in Ecclesiis: de cætero homines verborum artifices sunt, non theologi; primas tenet mundi sapientia, expulsa crucis gloriatione. Abactis pastoribus introducuntur lupi graves, qui Christi gregem discerpunt. Domus orationis destitutæ concionatoribus, solitudines lamentantibus refertæ. Seniores lugent, dum antiqua comparant cum præsentibus; juniores miserabiliores sunt, qualibus privati sint, ignorantes. Atque hæc quidem apta ad eorum commiserationem commovendam, qui Christi dilectionem edocti sunt; sed comparatus cum rerum veritate sermo longe ab ipsarum magnitudine abest. Si quod igitur solatium dilectionis, si qua communicatio Spiritus, si qua commiserationis viscera, ad ferendas nobis suppetias concitemini. Arripite studium pietatis: nos ex hac tempestate eripite. Proferatur et apud nos libere bona illa Patrum promulgatio, infamem Arii hæresim evertens, Ecclesias vero in sana doctrina ædificans, in qua Filium Patri consubstantialem confitemur, atque Spiritus sanctus pari honore simul et numeratur, et adoratur; ut quam vobis Dominus dedit pro veritate libertatem, et in divinæ salutarisque Trinitatis confessione gloriationem, hanc et nobis per vestras preces opemque vestram largiatur. Cæterum ille ipse, quem jam dixi, diaconus singula dilectioni vestræ nuntiabit. Omnibus autem quæ canonice a vestra præstantia acta sunt,

(11) *Ὑμῖν*. Tres vetustissimi codices ἡμῖν. Deest ea vox in quatuor aliis mss. Paulo post editio Paris. et vetustissimi codices τὰ ἐνταῦθα, deest vocula in aliis quatuor mss. et editionibus Hagan. et Basil.

(12) *Λοιπόν*. Deest ea vox in quatuor mss. non tamen vetustissimis, in quibus etiam legitur ἐκκέχυται.

(13) *Ἐξουδένωνται*. Tres Regii codices et Coisl. secundus ἐξουθένηνται, νεωτέρων ἀνθρώπων. Paulo post Med. et Harl. καὶ οὐχὶ θεολογοῦσιν

(14) Vid. Addenda.

(15) *Πρὸς συμπάθειαν*. Ita tres mss. vetustissimi: editi εἰς συμπάθειαν.

(16) *Παρὰ πολύ*. Deest præpositio in utroque Regio et Coisl. secundo. Ibidem editi ἀπολείπηται. Mss. ut in contextu. Paulo post Reg. uterque et Coisl. secundus εἴ τι σπλάγχνον οἰκτιρμοῦ.

(17) *Οἰκοδομοῦν*. Ita Coisl. primus et Med. cum tribus aliis. Editi στεροῦν. Harl. cum uno ex Regiis οἰκονομοῦν.

(18) *Τῆς θείας*. Ita septem mss. Editi τῆς ἀληθείας.

assensi sumus, apostolicum vestrum rectæ doctrinæ studium laudantes.

A στον (19) αυτος ο προειρημενος συνδιάκονος ἀναγγιλεῖ ὑμῶν τῇ ἀγάπῃ. Καὶ πᾶσι δὲ τοῖς γενομένοις κανονικῶς παρὰ τῆς ὑμετέρας τιμιότητος συνεθέμεθα, τὴν ἀποστολικὸν ὑμῶν ζῆλον ὑπὲρ τῆς ὀρθοδοξίας ἀποδεξάμενοι.

EPISTOLA XCI*.

ΕΠΙΣΤΟΛΗ ϞΑ'.

Valeriani litteris respondet, eumque per Sabinum salutat, et obtestatur ut oret pro miseris Ecclesiæ Orientalis rebus; quibus sanandis necessarium esse docet Occidentis auxilium.

Valeriano, Illyricorum episcopo.

Grates Domino largienti nobis, ut dilectionis veteris fructum in tua puritate videamus: qui scilicet adeo corpore sejunctus, nobis te per epistolam conjunxisti, nosque spirituali tuo et sancto desiderio complexus, non enarrabilem quemdam amorem animis nostris indidisti. Nam reipsa vim didicimus Proverbii illius: *Ut animæ sitienti aqua frigida, ita nuntius bonus de terra longinqua*[a]. Magna enim est apud nos fames charitatis, frater colendissime. Causa autem manifesta, nimirum eo quod multiplicata sit iniquitas, multorum refrixit charitas. Eam ob causam et litteras tuas plurimi fecimus, et vices rependimus tibi per eumdem virum religiosissimum condiaconum nostrum **183** et fratrem Sabinum: per quem et tibi nosmet notos facimus, et te obsecramus, ut in precibus pro nobis invigiles, ut tandem aliquando rebus nostris Deus sanctus tranquillitatem ac quietem impertiat, et ventum hunc ac mare increpet; ita ut liberemur ex illo æstu et perturbatione in qua nunc constituti sumus, summam semper submersionem exspectantes. Sed id nobis magnifice Deus in præsenti indulsit, ut vos audiremus summo consensu et unitate inter vos esse conjunctos, ac veritatis doctrinam sine impedimento apud vos annuntiari: siquidem aliquando (si modo non jam conclusum est hujus mundi tempus, sed adhuc vitæ humanæ dies supersunt) necesse est, ut fidem renovetis Orienti, et bonorum quæ ab eo accepistis, remunerationem eidem in tempore persolvatis. Nam sana apud nos pars, quæque majorum pietatem tuetur, non parum fatiscit; diabolo multis ac variis artificiorum assultibus pro sua ipsius astutia eam concutiente. Utinam autem vestris precibus, qui Dominum diligitis, exstinguatur prava illa et populorum deceptrix erroris Ariani hæresis; reluceat autem bona Patrum nostrorum doctrina, qui Nicæam convenerunt, adeo ut consentanea salutari baptismati glorificatio adimpleatur beatæ Trinitati.

Οὐαλεριανῷ, ἐπισκόπῳ Ἰλλυριῶν (20).

Χάρις τῷ Κυρίῳ (21), τῷ δόντι ἡμῖν ἀρχαίας ἀγάπης καρπὸν ἰδεῖν ἐν τῇ σῇ καθαρότητι· ὅς γε τοσοῦτον διεστὼς τῷ σώματι, συνῆψας ἡμῖν σεαυτὸν διὰ γράμματος, καὶ τῷ πνευματικῷ σου καὶ ἁγίῳ πόθῳ περιπτυξάμενος ἡμᾶς, ἀμύθητόν τι (22) φίλτρον ταῖς ψυχαῖς ἡμῶν ἐνεποίησας. Ἔργῳ γὰρ ἐμάθομεν τῆς παροιμίας τὴν δύναμιν, ὅτι *Ὥσπερ ψυχῇ* B *διψώσῃ ψυχρὸν ὕδωρ, οὕτως ἀγγελία ἀγαθὴ ἐκ τῆς* (23) *μακρόθεν*. Δεινὸς γάρ ἐστι παρ' ἡμῖν λιμὸς ἀγάπης, ἀδελφὲ τιμιώτατε. Καὶ ἡ αἰτία πρόδηλος, ὅτι διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ἐψύγη (24) τῶν πολλῶν ἡ ἀγάπη. Διὰ τοῦτο καὶ πολλοῦ ἄξιον ἡμῖν ἐφάνη τὸ γράμμα, καὶ ἀμειβόμεθά σε διὰ τοῦ αὐτοῦ ἀνδρὸς τοῦ εὐλαβεστάτου συνδιακόνου ἡμῶν καὶ ἀδελφοῦ Σαβίνου· δι' οὗ καὶ γνωρίζομέν σοι ἑαυτούς, καὶ παρακαλοῦμέν σε ἐπαγρυπνεῖν ταῖς ὑπὲρ ἡμῶν προσευχαῖς· ἵνα δῷ ποτε ὁ ἅγιος Θεὸς καὶ τοῖς ἐνταῦθα πράγμασι γαλήνην καὶ ἡσυχίαν, καὶ ἐπιτιμήσῃ τῷ ἀνέμῳ τούτῳ καὶ τῇ θαλάσσῃ· ὥστε παύσασθαι ἡμᾶς τοῦ σάλου καὶ τῆς ἀνατροπῆς, ἐν ᾗ νῦν καθεστήκαμεν, ἀεὶ καταποντισθήσεσθαι (25) παντελῶς ἀναμένοντες. Ἀλλὰ τοῦτο μεγάλως ἐν τοῖς C παροῦσιν ὁ Κύριος ἡμῖν ἐχαρίσατο, τὸ ὑμᾶς ἀκούειν ἐν ἀκριβεῖ συμφωνίᾳ καὶ ἑνότητι εἶναι πρὸς ἀλλήλους, καὶ ἀκωλύτως παρ' ὑμῖν τὸ κήρυγμα τῆς εὐσεβείας περιαγγέλλεσθαι· ὁτεδήποτε γὰρ (εἴπερ μὴ συγκέκλεισται λοιπὸν ὁ χρόνος τοῦ κόσμου τούτου, ἀλλ' ἔτι ἡμέραι τῆς ἀνθρωπίνης ζωῆς ὑπολείπονται) ἀνάγκη παρ' ὑμῶν ἀνανεωθῆναι τὴν πίστιν τῇ Ἀνατολῇ· καὶ ὧν ἐλάβετε παρ' αὐτῆς ἀγαθῶν, τούτων ἐν καιρῷ παρασχέσθαι αὐτῇ τὴν ἀντίδοσιν. Τὸ γὰρ ὑγιαῖνον ἐνταῦθα μέρος, καὶ τὴν τῶν πατέρων εὐσέβειαν ἐκδικοῦν, ἱκανῶς κέκμηκε, πολλαῖς καὶ ποικίλαις μηχανημάτων προσβολαῖς ἐν τῇ ἑαυτοῦ μεθοδείᾳ τοῦ διαβόλου αὐτὸ κατασείσαντος. Ἀλλ' εὐχαῖς ὑμετέραις τῶν ἀγαπώντων τὸν Κύριον, σβεσθείη μὲν ἡ πονηρὰ καὶ λαοπλάνος αἵρεσις τῆς Ἀρείου κακοδοξίας· ἀναλάμψειε δὲ ἡ ἀγαθὴ τῶν Πατέρων ἡμῶν διδασκαλία, τῶν συνελθόντων κατὰ τὴν Νίκαιαν, ὥστε σύμφωνον τῷ σωτηρίῳ βαπτίσματι τὴν δοξολογίαν ἀποπληροῦσθαι τῇ μακαρίᾳ Τριάδι.

[a] Prov. xxv, 25.

* Alias CCCXXIV. Scripta anno 372. Quam dulce Basilio cum episcopis longe remotis charitate conjungi.

(19) *Τὸ δὲ καθέκαστον*. Hæc et quæ sequuntur desunt in pluribus mss., non tamen in tribus vetustissimis.

(20) *Ἰλλυριῶν*. Harl. et Reg. secundus ac Coisl. secundus Ἰλλυρικοῦ. Perspicuum est Aquileiam hic designari, cujus episcopus erat Valerianus.

(21) *Τῷ Κυρίῳ*. Codices nonnulli τῷ Θεῷ.

(22) *Ἀμύθητόν τι*. Coisl. primus et Med. ἀμύθητον τὸ φίλτρον.

(23) *Ἐκ τῆς*. Med. et Harl. cum aliis quatuor habent ἐκ γῆς.

(24) *Ἐψύγη*. Tres vetustissimi codices ψυγήσεται, *refrigescet*.

(25) *Καταποντισθήσεσθαι... μεγάλως*. Ita vetustissimi tres codices cum duobus aliis. Editi καταποντίζεσθαι... μέγας.

ΕΠΙΣΤΟΛΗ ϞΒ'.*

EPISTOLA XCII*.

Orientales ad scribendum impellit non solum solatium in narrandis ærumnis; sed etiam spes illa, Occidentales tandem auxilio venturos, ubi de rebus Orientis ex Sabino cognoverint. Describunt calamitates Orientis, ut his permoti Occidentales episcopi mittant, qui et hæresis progressus coerceant et pacem inter ipsos catholicos reconcilient.

Πρὸς Ἰταλοὺς καὶ Γάλλους.

A

1. Τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις ἀδελφοῖς συλλειτουργοῖς κατὰ τὴν Ἰταλίαν καὶ Γαλλίαν ὁμοψύχοις ἐπισκόποις Μελέτιος, Εὐσέβειος, Βασίλειος, Βάσσος, Γρηγόριος, Πελάγιος, Παῦλος, Ἄνθιμος, Θεόδοτος, Βῖθος, Ἀβραάμιος, Ἰοβῖνος (26), Ζήνων, Θεοδώρητος, Μαρκιανὸς, Βάραχος, Ἀβραάμιος, Λιβάνιος, Θαλάσσιος, Ἰωσὴφ, Βοηθὸς, Ἰάτριος, Θεόδοτος, Εὐστάθιος, Βαρσούμας, Ἰωάννης, Χοσρόης, Ἰωσάκης, Νάρσης, Μάρις, Γρηγόριος, Δαφνὸς, ἐν Κυρίῳ χαίρειν. Φέρει μέν τινα παραμυθίαν ταῖς ὀδυνωμέναις ψυχαῖς καὶ στεναγμὸς πολλάκις ἐκ βάθους τῆς καρδίας ἀναπεμπόμενος, καί που καὶ δάκρυον ἀποστάξαν τὸ πολὺ τῆς θλίψεως διεφόρησεν· ἡμῖν δὲ οὐχ, ὅσον (27) στεναγμὸς καὶ δάκρυον, παραμυθίαν ἔχει τὸ ἐξειπεῖν ἡμῶν τὰ πάθη πρὸς
B
τὴν ἀγάπην ὑμῶν· ἀλλά τις ἡμᾶς καὶ ἐλπὶς χρηστοτέρα θάλπει, ὡς τάχα ἂν, εἰ ἐξαγγείλαιμεν ὑμῖν τὰ λυποῦντα ἡμᾶς, διαναστήσαιμεν (28) ὑμᾶς πρὸς τὴν ἀντίληψιν ἡμῶν, ἣν πάλαι μὲν προσεδοκήσαμεν παρ' ὑμῶν ταῖς κατὰ τὴν Ἀνατολὴν Ἐκκλησίαις γενήσεσθαι, οὐδέπω (29) δὲ τετυχήκαμεν, πάντως τοῦ ἐν σοφίᾳ (30) τὰ ἡμέτερα διοικοῦντος Θεοῦ, κατὰ τὰ ἀθεώρητα αὐτοῦ τῆς δικαιοσύνης κρίματα, πλείονι χρόνῳ παραταθῆναι ἡμᾶς ἐν τοῖς πειρασμοῖς τούτοις οἰκονομήσαντος. Οὐ γὰρ δήπου ἠγνοήσατε τὰ καθ' ἡμᾶς, ἀδελφοὶ τιμιώτατοι, ὧν ἡ ἀκοὴ καὶ ἐπὶ τὰ ἔσχατα τῆς οἰκουμένης ἐξέδραμεν (31)· οὐδὲ ἀσυμπαθεῖς που ὑμεῖς πρὸς τοὺς ὁμοψύχους τῶν ἀδελφῶν, μαθηταὶ ὑπάρχοντες τοῦ Ἀποστόλου, τοῦ πλήρωμα
C
εἶναι τοῦ νόμου τὴν πρὸς τὸν πλησίον ἀγάπην διδάσκοντος. Ἀλλ', ὅπερ εἴπαμεν, ἐπέσχεν ὑμῶν τὴν ὁρμὴν ἡ δικαία τοῦ Θεοῦ κρίσις, ἐκπληρωθῆναι ἡμῖν τὴν διατεταγμένην ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν θλίψιν ἐπιμετροῦσα (32). Ἀλλὰ νῦν γοῦν, καὶ πρὸς τὸν ὑπὲρ τῆς ἀληθείας ζῆλον, καὶ τὴν ἡμετέραν συμπάθειαν, διαναστῆναι ὑμᾶς παρακαλοῦμεν, πάντα μαθόντας, καὶ ὅσα πρὸ τούτου τὰς ἀκοὰς ὑμῶν διέφυγε, παρὰ

Ad Italos et Gallos.

1. Religiosissimis ac sanctissimis fratribus comministris in Italia et Gallia unanimis episcopis Meletius, Eusebius, Basilius, Bassus, Gregorius, Pelagius, Paulus, Anthimus, Theodotus, Vitus, Abraamius, Jovinus, Zenon, Theodoretus, Marcianus, Barachus, Abraamius, Libanius, Thalassius, Joseph, Boethus, Iatrius, Theodotus, Eustathius, Barsumas, Joannes, Chosrhoes, Isaacis, Narses, Maris, Gregorius, Daphnus, in Domino salutem. Affert aliquid solatii afflictis animis ipsum suspirium sæpius ex imo corde ductum, ac lacryma erumpens vim afflictionis repellit. Nobis autem non, ut suspirium et lacrymæ, solatium affert mala nostra charitati vestræ narrare : sed præterea nos fovet melior quædam spes, forsitan **184** fore ut, si dolores nostros vobis denuntiaverimus, excitemus vos ad ferendam nobis opem, quam quidem Ecclesiis Orientalibus a vobis adfuturam jampridem speravimus, necdum tamen sumus assecuti; Deo, qui omnia in sapientia moderatur, omnino secundum arcana justitiæ suæ judicia, ut in his tentationibus diutius detineamur, dispensante. Non enim ignorastis, fratres reverendissimi, res nostras, quarum fama ad extremas etiam orbis terrarum partes pervenit : neque certe affectum omnem exuistis erga unanimes fratres, cum discipuli sitis Apostoli, qui proximi dilectionem legis complementum esse docet. Sed, quod jam diximus, inhibuit vestram alacritatem justum Dei judicium, quod constitutam ob peccata nostra afflictionem nobis plene admetitur. Vos tamen adhortamur, ut nunc saltem et ad veritatis studium, et ad nostri commiserationem excitemini, ubi omnia didiceritis, etiam quæcunque antea aures vestras effugere, a religiosissimo fratre nostro condiacono Sabino, qui poterit vobis ea quoque, quæ epistolam prætereunt, per se ipse enarrare : per quem exhorta-

(26) *Ἰοβῖνος*. Sic Harlæanus cum utroque Coisl. et Reg. secundo. Vaticanus Ἰουβῖνος. Editi Σαβῖνος. Paulo post tres codices, nempe Vat., Coisl. secundus et Reg. secundus, habent Ἀτρεῖος pro Ἰάτριος. Iidem Coisl. secundus et Reg. secundus Χρυσορόης non Χοσρόης. Ἰσαάκης pro Ἰωσάκης legitur in Reg. secundo. Ἰσάακις in Coisl. secundo. Harl. Ἰώσακις. De episcopis, quorum nomina huic epistolæ præscribuntur, agemus in *Vita S. Basilii*. Sed interim observabo post ultimum nomen, quod est Daphnus, male in editis addi καὶ οἱ λοιποί, *et reliqui* : quibus ex verbis colligit Tillemontius multos alios subscripsisse. Sed hæc desunt in Coisl. utroque, Harl., Reg. secundo et Vat. Leguntur in Regio primo, sed causa in promptu est. Cum enim in hoc codice tria tantum priora nomina recenseantur, monendum fuit alia fuisse prætermissa. Similiter in codice Medicæo post octo episcoporum nomina, additur, καὶ οἱ σὺν αὐτοῖς ἀδελφοί, *et qui cum eis fratres*. Hinc perspicitur quomodo error obrepserit. Nam cum vetustæ editiones tres tantum episcopos numerarent; Parisiensis, quæ lacunam explevit, immerito retinuit, quod in aliis ob vitium, quo carebat ipsa, additum fuerat.

D

(27) *Οὐχ, ὅσον*. Regius uterque et Coisl. secundus οὐχ ὅσην. Paulo post Vat., Reg. secundus et Coisl. secundus τῇ ἀγάπῃ ὑμῶν.

(28) *Διαναστήσαιμεν*. Ita Med. et Coisl. primus. Duo alii διαναστήσωμεν. Harl. διαναστήσαντες. Editi διαναστήσομεν.

(29) *Οὐδέπω*. Ita mss. sex. Editi οὐδέποτε.

(30) *Τοῦ ἐν σοφίᾳ*. Editi ποῦ τοῦ τὰ πάντα ἐν σοφίᾳ. Sed deest ποῦ in Harl. et Coisl. primo. Deest etiam τὰ πάντα in Vat., Reg. primo et duobus aliis, et editione Haganoensi.

(31) *Ἐπὶ τὰ... ἐξέδραμεν*. Ita tres vetustissimi codices, et paulo post ὅπερ εἴπαμεν. Editi εἰς τὰ... διέδραμεν, et ὅπερ. Editio Haganoensis εἴπωμεν.

(32) *Ἐπιμετροῦσα*. Ita sex mss. Editi ἐπιμετρήσασα. Hagan. ἐπιμετρῆσαι.

* Alias LXIX. Scripta anno 372.

mur vos, ut viscera induatis miserationis, omnique deposita segnitie laborem dilectionis suscipiatis, et neque viæ longitudinem, neque domesticas occupationes, neque aliud quidquam humanum cogitetis.

A τοῦ εὐλαβεστάτου ἀδελφοῦ ἡμῶν τοῦ συνδιακόνου Σαβίνου, ὃς δυνήσεται ὑμῖν καὶ ὅσα τὴν ἐπιστολὴν διαφεύγει παρ' ἑαυτοῦ διηγήσασθαι· δι' οὗ παρακαλοῦμεν ὑμᾶς ἐνδύσασθαι σπλάγχνα οἰκτιρμοῦ (33), καὶ ἀποθέσθαι μὲν πάντα ὄκνον, ἀναλαβεῖν δὲ τὸν κόπον τῆς ἀγάπης· καὶ μήτε ὁδοῦ μῆκος, μήτε τὰς κατ' οἶκον ἀσχολίας, (34) μήτ' ἄλλο τι τῶν ἀνθρωπίνων ὑπολογίσασθαι.

2. Neque enim Ecclesia una periclitatur; neque duæ aut tres in gravem hanc tempestatem delapsæ. Nam ferme a finibus Illyrici usque ad Thebaidem hæresis malum depascitur. Cujus prava semina prius quidem infamis Arius jecit: altis autem radicibus firmata a pluribus, qui Arium inter et nostram ætatem interjecti impietatem studiose excoluere, nunc exitiosos fructus protulerunt. Nam pietatis eversa sunt dogmata: confusæ Ecclesiæ leges. Hominum Dominum non timentium ambitio in præfecturas insilit, jamque aperte præmium impietatis principatus propositus est, ita ut qui graviores blasphemias ructatus est, dignior habeatur, qui populo episcopus præsit. Periit gravitas sacerdotalis: defecere qui gregem Domini cum scientia pascant: ambitiosis pauperum pecunias in proprios usus et in munerum largitiones semper insumentibus. Evanuit accurata canonum disciplina; peccandi multa libertas. Nam qui hominum studiis ad principatum devenerunt, in hoc ipso studii gratiam rependunt, quod omnia ad voluptatem indulgeant peccantibus. Periit judicium æquum: quisque ex sui cordis voluntate ambulat. Nequitia modum nullum habet: exleges populi: deest præpositis dicendi libertas. **185** Servi enim eorum, a quibus collatum beneficium, qui hominum opera sibiipsis dominatum compararunt. Jam quoque et illud mutui belli telum a quibusdam, defensio videlicet doctrinæ sanæ, excogitatum est: et dum privata odia occultant, pro veritate se odisse simulant. Alii vero, dum fugiunt ne turpissimis criminibus arguantur, populis furorem ad mutuam discordiam inspirant, ut communibus malis res suas obumbrent. Quapropter et implacabile est hoc bellum: iis qui mala egere, communem pacem, ut occulta ipsorum dedecora detegentem, metuentibus. Ob hæc rident increduli, fluctuant qui firmiter non credunt: fides est ambigua, offunditur animis ignoratio, eo quod veritatem imitentur, qui doctrinam in malitia adulterant. Silent enim piorum ora; soluta vero blasphema omnis lingua; profanata sunt sancta; fugiunt precationis domos populi saniores, ut impietatis scholas, ac in solitudinibus ad Domi-

2. Οὐ γὰρ περὶ μιᾶς Ἐκκλησίας ὁ κίνδυνος, οὐδὲ δύο ἢ τρεῖς αἱ τῷ χαλεπῷ τούτῳ χειμῶνι παραπεσοῦσαι (35). Σχεδὸν γὰρ ἀπὸ τῶν ὅρων τοῦ Ἰλλυρικοῦ μέχρι Θηβαΐδος τὸ τῆς αἱρέσεως κακὸν ἐπινέμεται. Ἧς τὰ πονηρὰ σπέρματα πρότερον μὲν ὁ δυσώνυμος Ἄρειος κατεβάλετο· ῥιζωθέντα δὲ ἐκ βάθους ὑπὸ πολλῶν τῶν ἐν μέσῳ φιλοπόνως τὴν B ἀσέβειαν γεωργησάντων, νῦν τοὺς φθοροποιοὺς καρποὺς ἐξεβλάστησεν (36). Ἀνατέτραπται μὲν γὰρ τὰ τῆς εὐσεβείας δόγματα, συγκέχυνται δὲ Ἐκκλησίας θεσμοί. Φιλαρχίαι δὲ τῶν μὴ φοβουμένων τὸν Κύριον ταῖς προστασίαις ἐπιπηδῶσι· καὶ ἐκ τοῦ προφανοῦς λοιπὸν ἄθλον δυσσεβείας ἡ προεδρία πρόκειται· ὥστε ὁ τὰ χαλεπώτερα βλασφημήσας εἰς ἐπισκοπὴν (37) λαοῦ προτιμότερος. Οἴχεται σεμνότης ἱερατική· ἐπιλελοίπασιν οἱ ποιμαίνοντες μετ' ἐπιστήμης ποίμνιον τοῦ Κυρίου· οἰκονομίας πτωχῶν εἰς ἰδίας ἀπολαύσεις καὶ δώρων διανομὰς παραναλισκόντων ἀεὶ (38) τῶν φιλαρχούντων. Ἠμαύρωται κανόνων ἀκρίβεια· ἐξουσία τοῦ ἁμαρτάνειν πολλή. Οἱ γὰρ διὰ σπουδῆς ἀνθρωπίνης (39) παρελθόντες ἐπὶ τὸ ἄρχειν ἐν αὐτῷ τούτῳ τῆς σπουδῆς τὴν χάριν ἀνταναπληροῦσι, τῷ C πάντα πρὸς ἡδονὴν ἐνδιδόναι (40) τοῖς ἁμαρτάνουσιν. Ἀπόλωλε κρῖμα δίκαιον· πᾶς τις τῷ θελήματι τῆς καρδίας αὐτοῦ πορεύεται. Ἡ πονηρία ἄμετρος, οἱ λαοὶ ἀνουθέτητοι, οἱ προεστῶτες ἀπαρρησίαστοι. Δοῦλοι γὰρ τῶν δεδωκότων τὴν χάριν, οἱ δι' ἀνθρώπων ἑαυτοῖς τὴν δυναστείαν κατακτησάμενοι. Ἤδη δὲ καὶ ὅπλον τισὶ τοῦ πρὸς ἀλλήλους πολέμου ἡ ἐκδίκησις δῆθεν τῆς ὀρθοδοξίας, ἐπινενόηται· καὶ τὰς ἰδίας ἔχθρας ἐπικρυψάμενοι, ὑπὲρ τῆς εὐσεβείας ἐχθραίνειν κατασχηματίζονται. Ἄλλοι δὲ, τὸν ἐπὶ τοῖς αἰσχίστοις ἐκκλίνοντες ἔλεγχον, τοὺς λαοὺς εἰς τὴν κατ' ἀλλήλων φιλονεικίαν ἐκμαίνουσιν, ἵνα τοῖς κοινοῖς κακοῖς τὸ καθ' ἑαυτοὺς συσκιάσωσι. Διὸ καὶ ἄσπονδός ἐστιν ὁ πόλεμος οὗτος, τῶν τὰ πονηρὰ εἰργασμένων τὴν κοινὴν εἰρήνην, ὡς ἀποκαλύπτουσαν D αὐτῶν τὰ κρυπτὰ τῆς αἰσχύνης, ὑφορωμένων. Ἐπὶ τούτοις γελῶσιν οἱ ἄπιστοι, σαλεύονται οἱ ὀλιγόπιστοι· ἀμφίβολος ἡ πίστις, ἄγνοια καταχέεται τῶν ψυχῶν, διὰ τὸ μιμεῖσθαι (41) τὴν ἀλήθειαν τοὺς δολοῦντας τὸν λόγον ἐν κακουργίᾳ. Σιγᾷ μὲν γὰρ τὰ τῶν εὐσεβούντων στόματα· ἀνεῖται δὲ πᾶσα βλάσ-

(33) *Οἰκτιρμοῦ*. Ita quinque mss. Editi οἰκτιρμῶν. Paulo post editi ἀνθρωπικῶν. Med., Harl., Coisl. primus et Reg. secundus ut in textu.

(34) Vide Addenda.

(35) *Παραπεσοῦσαι*. Ita tres vetustissimi mss. Editi περιπεσοῦσαι. Non multo post editi κατεβάλλετο. Coisl. primus, Harl. et Reg. secundus κατεβάλετο

(36) *Ἐξεβλάστησεν*. Ita Medicæus codex, accuratius quam editi ἐξεβλάστησαν.

(37) *Ἐπισκοπὴν*. Sic mss. et editio Haganoen. Aliæ ἐπίσκοπον.

(38) *Ἀεί*. Pro hac voce habent Med. et Harl. πάντα.

(39) *Διὰ σπουδῆς ἀνθρωπίνης*. Ita tres vetustissimi codices. Editi σπουδαῖς ἀνθρωπίναις.

(40) *Ἐνδιδόναι*. Ita Harl. cum aliis. Editi διδόναι.

(41) *Μιμεῖσθαι*. Med. μισεῖσθαι, *eo quod oderint veritatem*, etc.

ρημος γλῶσσα· ἐβδελύχθη τὰ ἅγια, φεύγουσι τοὺς εὐκτηρίους οἴκους οἱ ὑγιαίνοντες τῶν λαῶν, ὡς ἀσεβείας διδασκαλεῖα· κατὰ δὲ τὰς ἐρημίας πρὸς τὸν ἐν οὐρανοῖς Δεσπότην μετὰ στεναγμῶν καὶ δακρύων τὰς χεῖρας αἴρουσιν. Ἔφθασε γὰρ (42) πάντως καὶ μέχρις ὑμῶν τὰ γινόμενα ἐν ταῖς πλείσταις τῶν πόλεων· ὅτι οἱ λαοὶ σὺν γυναιξὶ καὶ παιδίοις (43) καὶ αὐτοῖς τοῖς πρεσβύταις, πρὸ τῶν τειχῶν ἐκχυθέντες, ἐν τῷ ὑπαίθρῳ τελοῦσι τὰς προσευχάς, φέροντες πάσας τὰς ἐκ τοῦ ἀέρος κακοπαθείας σὺν πολλῇ τῇ μακροθυμίᾳ, τὴν παρὰ τοῦ Κυρίου ἀντίληψιν ἀναμένοντες.

A num in cœlis inhabitantem cum gemitibus et lacrymis manus attollunt. Pervenerunt autem profecto et usque ad vos quæ in plerisque civitatibus geruntur. Nimirum populi cum uxoribus liberisque et ipsis senibus pro mœnibus effusi, sub dio preces fundunt, ferentes omnes aeris injurias multa cum patientia, et auxilium à Domino exspectantes.

3. Τίς θρῆνος τῶν συμφορῶν τούτων ἄξιος; ποῖαι πηγαὶ δακρύων κακοῖς τοσούτοις ἀρκέσουσιν (44); Ἕως οὖν ἔτι δοκοῦσιν ἑστάναι τινὲς, ἕως ἔτι ἴχνος τῆς παλαιᾶς καταστάσεως διασώζεται, πρὶν τέλεον ταῖς Ἐκκλησίαις ἐπέλθῃ (45) τὸ ναυάγιον, ἐπείχθητε πρὸς ἡμᾶς, ἐπείχθητε ἤδη, ναὶ δεόμεθα, ἀδελφοὶ γνησιώτατοι· δότε χεῖρα τοῖς εἰς γόνυ κλιθεῖσι. Συγκινηθήτω ἐφ' ἡμῖν τὰ ἀδελφικὰ ὑμῶν σπλάγχνα, προχυθήτω δάκρυα συμπαθείας. Μὴ περιίδητε τὸ ἥμισυ τῆς οἰκουμένης ὑπὸ τῆς πλάνης καταποθέν· μὴ ἀνάσχησθε ἀποσβεσθῆναι τὴν πίστιν, παρ' οἷς πρῶτον ἐξέλαμψε. Τί οὖν ποιήσαντες ἀντιλήψεσθε τῶν πραγμάτων, καὶ πῶς τὸ πρὸς τοὺς θλιβομένους συμπαθὲς ἐπιδείξεσθε (46), οὐ παρ' ἡμῶν πάντως δεήσει μαθεῖν (47) ὑμᾶς· ἀλλ' αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον ὑμῖν ὑποθήσεται. Πλήν γε ὅτι τάχους χρεία πρὸς τὸ περισώσασθαι τοὺς περιλειφθέντας, καὶ παρουσίας ἀδελφῶν πλειόνων, ὥστε πλήρωμα εἶναι συνόδου τοὺς ἐπιδημοῦντας, ἵνα μὴ μόνον ἐκ τῆς τῶν ἀποστειλάντων σεμνότητος, ἀλλὰ καὶ ἐκ τοῦ οἰκείου ἀριθμοῦ τὸ ἀξιόπιστον ἔχωσιν εἰς διόρθωσιν· οἳ καὶ τὴν ἐν Νικαίᾳ γραφεῖσαν παρὰ τῶν Πατέρων ἡμῶν πίστιν ἀνανεώσονται, καὶ τὴν αἵρεσιν ἐκκηρύξωσι (48), καὶ ταῖς Ἐκκλησίαις τὰ εἰρηνικὰ διαλέξονται, τοὺς τὰ αὐτὰ φρονοῦντας συνάγοντες (49) εἰς ὁμόνοιαν. Τοῦτο γὰρ δήπου τὸ πάντων ἐλεεινότατον, ὅτι καὶ τὸ δοκοῦν ὑγιαίνειν ἐφ' ἑαυτὸ ἐμερίσθη· καὶ περιέστηκεν ἡμᾶς, ὡς ἔοικε, παραπλήσια πάθη τοῖς ποτὲ κατὰ τὴν Οὐεσπασιανοῦ πολιορκίαν τὰ Ἱεροσόλυμα περισχοῦσιν. Ἐκεῖνοί τε γὰρ ὁμοῦ μὲν τῷ ἔξωθεν συνείχοντο πολέμῳ, ὁμοῦ δὲ καὶ τῇ ἔνδοθεν στάσει τῶν ὁμοφύλων κατανηλίσκοντο. Ἡμῖν δὲ πρὸς τῷ φανερῷ πολέμῳ τῶν αἱρετικῶν ἔτι καὶ ὁ παρὰ τῶν δοκούντων ὀρθοδοξεῖν (50) ἐπαναστὰς, πρὸς ἔσχατον ἀσθενείας τὰς Ἐκκλησίας κατήγαγεν. Ἐφ' ᾧπερ καὶ μάλιστα τῆς παρ' ὑμῶν χρῄζομεν βοηθείας, ὥστε τοὺς τὴν ἀποστολικὴν ὁμολογοῦντας

3. Quæ lamentatio his calamitatibus digna? quales lacrymarum fontes his malis pares erunt? Itaque, dum adhuc nonnulli videntur stare, dum adhuc veteris status vestigium servatur, priusquam cumulatum Ecclesiis superveniat naufragium, festi- B nate ad nos, jam festinate, ita precamur, fratres germanissimi: in genua provolutis manum porrigite. Fraterna vestra viscera commoveantur nostra causa, profundantur lacrymæ commiserationis. Mediam orbis partem ab errore absorberi ne sinatis: nec fidem apud eos feralis exstingui, apud quos primum illuxit. Quid igitur facto opus sit, ut rebus nostris subveniatis, et quomodo commiserationem ostendatis erga divexatos, nullo modo a nobis necesse erit vos discere: sed sanctus ipse Spiritus vobis suggeret. At certe celeritate opus est ad eos, qui supersunt, servandos, et plurimum fratrum præsentia, ut synodi numerum expleant, qui huc advenient, ut non solum ex eorum qui mi- C serint gravitate, sed etiam ex suo ipsorum numero pondus atque auctoritatem ad res emendandas habeant: qui et fidem in Nicæa a nostris Patribus scriptam instaurent, et hæresim proscribant, et Ecclesiis loquantur pacifica, eos qui idem sentiunt, ad concordiam adducentes. Hoc enim profecto omnium maxime dignum est miseratione, quod et ea pars quæ videtur esse sana, divisa **186** est in semetipsam: ac nos circumstant, ut verisimile est, similes calamitates his, quæ olim Hierosolymis, Vespasiano obsidente, acciderunt. Illi enim simul et externo premebantur bello, et domestica tribulium seditione absumebantur. Apud nos autem, præter apertum hæreticorum bellum, aliud præterea ab iis, qui videntur recte sentire, excita- D tum, ad extremam debilitatem Ecclesias perduxit. Ob quæ et maxime indigemus auxilio vestro, ut qui apostolicam profitentur fidem, excogitata a se schi-

(42) *Ἔφθασε γάρ*. Ita tres vetustissimi codices: editi Ἔφθασε δέ. Ibidem πάντως additum ex quinque mss. Editi τὰ γενόμενα. Plerique mss. τὰ γινόμενα.

(43) *Παιδίοις*. Ita Harl., Med. et Coisl. primus. Editi παισί. Ibidem editi πρὸ τῶν πυλῶν. Sex mss. ut in textu.

(44) *Ἀρκέσουσιν*. Ita tres vetustissimi mss. Quatuor alii ἐξαρκέσουσι. Editi ἐπαρκέσουσι.

(45) *Ἐπέλθῃ*. Uterque Regius et Coisl. primus ἐπελθεῖν.

(46) *Ἐπιδείξεσθε*. Coisl. primus et Harl. ἐπιδείξησθε.

(47) *Μαθεῖν*. Ita tres vetustissimi mss. Editi μανθάνειν. Paulo post Regius uterque et Coisl. primus ὑπολειφθέντας.

(48) *Ἐκκηρύξωσι*. Ita tres vetustissimi codices: tres alii Ἐκκηρύξουσι. Editi ἐκριζώσουσι, *eradicabunt*. Ex hac autem vetustissimorum codicum scriptura patet similiter legendum esse ἀνανεώσωνται et διαλέξωνται, quod lucem affert verborum complexioni.

(49) *Συνάγοντες*. Harl. et Coisl. primus συναγαγόντες. Paulo post editi ἐλεεινότερον. Septem mss. ut in textu.

(50) *Ὀρθοδοξεῖν*. Harl., Vat. et Reg. primus ὁμοδοξεῖν.

smata dissolventes, deinceps auctoritati Ecclesiæ subjiciantur, ut perfectum fiat Christi corpus jam in omnibus membris integritati restitutum; ac non solum aliorum bona laudemus, id quod nunc facimus, sed etiam nostras ipsorum Ecclesias in pristinum rectæ fidei decus restitutas videamus. Revera enim laude summa dignum est, quod a Domino pietati vestræ datum est, adulterinum quidem a probo ac puro discernere, Patrum vero fidem sine ulla dissimulatione prædicare: quam quidem et nos suscepimus, agnovimusque apostolicis notis signatam: eique et cæteris omnibus, quæ in synodico scripto canonice et legitime statuta sunt, assentimur.

A πίστιν, ἃ παρεπενόησαν (51) σχίσματα διαλύσαντας, ὑποταγῆναι τοῦ λοιποῦ τῇ αὐθεντίᾳ τῆς Ἐκκλησίας· ἵνα ἄρτιον γένηται τὸ σῶμα τοῦ Χριστοῦ, πᾶσι τοῖς μέλεσιν εἰς ὁλοκληρίαν ἐπανελθόν· καὶ μὴ μόνον τὰ παρ' ἑτέροις μακαρίζωμεν ἀγαθὰ, ὅπερ νῦν ποιοῦμεν, ἀλλὰ καὶ τὰς ἡμετέρας αὐτῶν ἐπίδωμεν Ἐκκλησίας τὸ ἀρχαῖον καύχημα τῆς ὀρθοδοξίας ἀπολαβούσας. Τῷ ὄντι γὰρ τοῦ ἀνωτάτου μακαρισμοῦ ἄξιον τὸ τῇ ὑμετέρᾳ θεοσεβείᾳ χαρισθὲν παρὰ τοῦ Κυρίου τὸ μὲν κίβδηλον ἀπὸ τοῦ δοκίμου καὶ καθαροῦ διακρίνειν, τὴν δὲ τῶν Πατέρων πίστιν ἄνευ τινὸς ὑποστολῆς κηρύσσειν· ἣν καὶ ἡμεῖς ἐδεξάμεθα, καὶ ἐπέγνωμεν ἐκ τῶν ἀποστολικῶν χαρακτήρων μεμορφωμένην, συνθέμενοι καὶ αὐτῇ καὶ πᾶσι τοῖς ἐν τῷ συνοδικῷ (52) γράμματι κανονικῶς καὶ ἐνθέσμως δεδογματισμένοις.

EPISTOLA XCIII*.

ΕΠΙΣΤΟΛΗ ϞΓ'.

Docet Basilius bonum esse et perutile quotidie communicare: observat quater singulis hebdomadibus Cæsarienses, atque etiam sæpius communicare. Respondet alteri quæstioni an persecutionis tempore liceat communionem manu sua accipere, si nec presbyter adsit nec diaconus.

Ad Cæsariam patriciam, de communione.

Singulis etiam diebus communicare, ac participem esse sancti corporis et sanguinis Christi, bonum est et perutile: cum ipse perspicue dicat: *Qui comedit meam carnem, et bibit meum sanguinem, habet vitam æternam* [a]. Quis enim dubitat quin vitæ continenter esse participem nihil aliud sit quam multiplici ratione vivere? Nos quidem quater singulis hebdomadibus communicamus, Dominica die, quarta die, in parasceve et Sabbato, et aliis diebus, si sancti alicujus memoria recolatur. Quod autem persecutionum temporibus cogitur quis, absente sacerdote aut **187** diacono,

[a] Joan. vi, 55.

B *Πρὸς Καισαρίαν* (53) *πατρικίαν, περὶ κοινωνίας.*

Καὶ τὸ κοινωνεῖν δὲ καθ' ἑκάστην ἡμέραν, καὶ μεταλαμβάνειν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ, καλὸν καὶ ἐπωφελές· αὐτοῦ σαφῶς λέγοντος· *Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον.* Τίς γὰρ ἀμφιβάλλει, ὅτι τὸ μετέχειν συνεχῶς τῆς ζωῆς οὐδὲν ἄλλο (54) ἐστὶν ἢ ζῆν πολλαχῶς; Ἡμεῖς μέντοιγε τέταρτον καθ' ἑκάστην ἑβδομάδα κοινωνοῦμεν, ἐν τῇ Κυριακῇ, ἐν τῇ τετράδι, καὶ ἐν τῇ παρασκευῇ, καὶ τῷ Σαββάτῳ, καὶ ἐν ταῖς ἄλλαις ἡμέραις, ἐὰν ᾖ μνήμη ἁγίου (55) τινός. Τὸ δὲ ἐν τοῖς τοῦ διωγμοῦ καιροῖς ἀναγκάζεσθαί τινα, μὴ παρόντος ἱερέως ἢ λειτουργοῦ,

* Alias CCLXXXIX. Scripta circa ann. 372.

(51) *Ἃ παρεπενόησαν.* Ita Coisl. et Harl. Editi ἅπερ ἐπενόησαν.

(52) *Ἐν τῷ συνοδικῷ.* Exstat synodica illa epistola, Græce quidem apud Sozomenum et Theodoretum, Latine vero in collectione Romana ex veteribus monumentis descripta. Sed cum synodus in hac epistola doceat Patrem et Filium et Spiritum sanctum *unius esse hypostasis et essentiæ*, τῆς αὐτῆς ὑποστάσεως καὶ οὐσίας, quomodo Basilius et cum eo plures alii, qui unam in tribus hypostasim ferre non poterant, omnibus tamen, quæ synodi litteris continentur, declarant se assentiri? Magnum sane indicium hanc vocem ὑποστάσεως subdititiam esse et assutam. Sed huc accedit cum ipsa epistola ab Holstenio edita, in qua legitur tantum Patrem et Filium *unius esse substantiæ*, tum maxime ipsius Basilii testimonium, qui in epist. 214 docet ipsos etiam Occidentales discrimen inter essentiam et hypostasim subindicasse; siquidem in litteris suis, *cum linguæ suæ inopiam suspectam haberent, essentiæ nomen Græca lingua ediderant.* Non ergo dixerunt Occidentales Patrem et Filium ejusdem esse ὑποστάσεως καὶ οὐσίας, sed tantum ejusdem οὐσίας, omissa hypostasis voce. Atque inde etiam colligitur eos non Græce scripsisse, nec epistolam, quæ est apud Sozomenum et Theodoretum, primarium esse et germanissimum exemplar, ut eruditus editor litterarum summorum pontificum contra Tillemontium et alios contendit, sed potiori jure hanc laudem editæ ab Holstenio epistolæ Latinæ tribuendam.

C (53) *Πρὸς Καισαρίαν.* Colbertinus codex πρὸς Καισάριον πατρίκιον, περὶ κοινωνίας. In quodam codice Regio occurrit fragmentum hujus epistolæ sic inscriptum: Ἐκ τῆς πρὸς Καισάριον ἐπιστολῆς. *Ex epistola ad Cæsarium.*

(54) *Οὐδὲν ἄλλο.* Quidam mss. οὐδὲν ἄλλο τι.

(55) *Ἁγίου.* Ita duo codices Coisliniani, Vat., Paris., Clarom., unus Regius et unus Colb. Non legitur hæc epistola in codice Harlæano. Editi μάρτυρος, quam lectionem tuetur Combefisius, et Scultetum castigat, quod reddiderit, *alicujus sancti*, cum soli martyres illis temporibus colerentur. Sed ne id quidem Combefisio concedi potest, martyres solos tunc coli solitos fuisse. Narrat Basilius in epistola ad Ambrosium, Dionysio Mediolanensi eumdem ac martyribus honorem delatum fuisse ab incolis illius loci, in quo sepultus fuerat. Nec minor fuit Gregorii apud Neocæsarienses celebritas. Athanasii et Basilii dies festos nemo nescit statim post eorum mortem celebratos fuisse. Atque etiamsi D demus Combefisio quod contendit, non idcirco mutandus erit contextus. His enim vocibus, *Si sancti alicujus memoria recolatur*, nibil vetat apostolos et martyres intelligere. Sic enim Paulum designat Basilius in epist. 204, sic designantur sacri scriptores in libro secundo *adversus Eunomium*, n. 8. Sed quod nullum prorsus difficultati locum relinquit, Gregorius Nyssenus, *Orat. in laudes Basilii*, pag. 485, negat celebritatem illius diei minorem videri debere aliis sanctorum festis diebus, τῶν ἐπὶ τοῖς ἁγίοις ἑορτῶν.

τοῦ, τὴν κοινωνίαν λαμβάνειν τῇ ἰδίᾳ χειρὶ, μηδαμῶς εἶναι βαρὺ περιττόν ἐστι ἀποδεικνύναι, διὰ τὸ καὶ τὴν μακρὰν συνήθειαν τοῦτο δι' αὐτῶν τῶν πραγμάτων πιστώσασθαι. Πάντες γὰρ οἱ κατὰ τὰς ἐρήμους (56) μονάζοντες, ἔνθα μὴ ἔστιν ἱερεὺς, κοινωνίαν οἴκοι κατέχοντες, ἀφ' ἑαυτῶν μεταλαμβάνουσιν. Ἐν Ἀλεξανδρείᾳ δὲ καὶ ἐν Αἰγύπτῳ ἕκαστος καὶ τῶν ἐν λαῷ τελούντων ὡς ἐπὶ τὸ πλεῖστον ἔχει κοινωνίαν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ὅτε βούλεται (57), μεταλαμβάνει δι' ἑαυτοῦ. Ἅπαξ γὰρ τὴν θυσίαν τοῦ ἱερέως τελειώσαντος καὶ δεδωκότος, ὁ λαβὼν αὐτὴν ὡς ὅλην ὁμοῦ, καθ' ἑκάστην μεταλαμβάνων, παρὰ τοῦ δεδωκότος εἰκότως μεταλαμβάνειν (58) καὶ ὑποδέχεσθαι πιστεύειν ὀφείλει. Καὶ γὰρ καὶ ἐν τῇ Ἐκκλησίᾳ ὁ ἱερεὺς ἐπιδίδωσι τὴν μερίδα, καὶ κατέχει αὐτὴν ὁ ὑποδεχόμενος μετ' ἐξουσίας ἁπάσης, καὶ οὕτω προσάγει τῷ στόματι τῇ ἰδίᾳ χειρί. Ταυτὸν τοίνυν ἐστὶ τῇ δυνάμει, εἴτε μίαν μερίδα δέξεταί τις παρὰ τοῦ ἱερέως, εἴτε πολλὰς μερίδας ὁμοῦ.

A communionem sua ipsius manu accipere, id grave non esse supervacuum est ostendere; quia hoc diuturna consuetudo ipsis rebus confirmat. Omnes enim in solitudinibus monachi, ubi non est sacerdos, communionem domi servantes, suis ipsorum manibus sumunt. Alexandriæ autem et in Ægypto unusquisque etiam de plebe ut plurimum habet domi communionem, et quando vult, per se ipse fit illius particeps. Postquam enim semel sacerdos sacrificium absolvit, ac porrexit : qui illud, ut totum simul accepit, is dum quotidie participat, merito credere debet se ab eo qui dedit participare et accipere. Enimvero etiam in Ecclesia sacerdos porrigit partem : quam qui suscipit, cum omni potestate retinet, et sic ori admovet propria manu. B Itaque idem valet, sive quis partem unam a sacerdote accipiat, sive multas simul.

ΕΠΙΣΤΟΛΗ ϞΔ'.

EPISTOLA XCIV*.

Cum amplissimum ædificium construeret Basilius, inde illius accusandi arrepta causa : huc accesserunt ab episcopis dissidentibus aliæ criminationes. Primam accusationem repellit, ac ædificium suum imperatoris judicio comprobatum, et rei publicæ utile esse docet. Cæteras differt in aliud tempus. Interim præsidem rogat ut Alexandri factum imitetur.

Ἡλίᾳ ἄρχοντι τῆς ἐπαρχίας (59).

Ὥρμησα μὲν καὶ αὐτὸς καταλαβεῖν σου τὴν τιμιότητα, ὡς ἂν μὴ τῇ ἀπολείψει ἔλαττόν τι ἔχοιμι τῶν διαβαλλόντων· ἀλλ' ἐπειδὴ ἡ ἀῤῥωστία τοῦ σώματος διεκώλυσε, σφοδρότερον πολλῷ τῆς συνηθείας ἐπιθεμένη, ἀναγκαίως ἦλθον ἐπὶ τὸ γράμμα. Ἐγὼ τοίνυν, ὦ θαυμάσιε, συντυχὼν πρώην τῇ τιμιότητί σου, ὥρμησα μὲν καὶ περὶ πάντων τῶν κατὰ τὸν βίον (60) μου πραγμάτων ἀνακοινώσασθαί σου τῇ φρονήσει· ὥρμησα δὲ καὶ τῶν Ἐκκλησιῶν ἕνεκα ποιήσασθαί (61) τινα λόγον, ὡς ἂν μὴ ταῖς μετὰ ταῦτα διαβολαῖς χώρα τις ὑπολείποιτο. Ἀλλ' ἐπέσχον ἐμαυτὸν, λογιζόμενος περίεργον εἶναι παντελῶς, καὶ πέρα (62) τοῦ μέτρου φιλότιμον, ἀνδρὶ τοσοῦτον πλή-

Heliæ rectori provinciæ

Volebam et ipse tuam dignitatem adire, ne ob absentiam minus aliquid haberem, quam qui calumniantur; sed quia infirma corporis valetudo prohibuit, solito longe vehementius ingruens, necessario ad scribendum veni. C Ego igitur, vir admirande, cum nuper una cum tua præstantia versarer, volebam et de omnibus meis exterioribus negotiis cum tua prudentia communicare; volebam et de Ecclesiis sermonem instituere, ut nihil postea calumniis loci relinqueretur. Sed me repressi, omnino præposterum esse existimans, ac immoderatum studium, viro tanta negotiorum multitudine onerato curas adhuc, easque non necessarias, inji-

(56) *Ἐρήμους.* Multi mss. ἐρημίας.

(57) *Καὶ ὅτε βούλεται*, etc. Hæc desunt in editis, at leguntur in codicibus Med., Coisl. primo, Vat. et pluribus aliis.

(58) *Μεταλαμβάνειν.* Nonnulli mss. μεταλαμβάνει. Idem ex Theodoro Studita quæsitum cum esset, non idem responsum dedit ac Basilius. Interrogatus enim an per se ipsi monachi et moniales Eucharistiam accipere possint, respondet in epist. 219 libri secundi, pag. 748, ne sacra quidem donaria tangere licitum esse, ἅπτεσθαι οὐδὲ τῶν θείων ἀναθημάτων, *iis qui sacerdotii participes non sunt, nec, nisi forte necessitate urgente, si desit presbyter vel diaconus, per seipsum sumere Eucharistiam.* Quomodo autem tunc sumenda sit, sic præscribit : Τιθεμένης βίβλου ἱερᾶς, καὶ ἐξαπλουμένης ὀθόνης καθαρᾶς, ἢ ἱερᾶς ἐπικαλυμματίδος, ἐκεῖσε τοῦ δώρου ἀπὸ χειρὸς σὺν φόβῳ προτεθέντος, μετὰ τὴν ὑμνῳδίαν ἀπὸ στόματος ληπτέον· εἶθ' οὕτω διαχλύσεως οἴνου γινομένης τῷ λαμβάνοντι· *Posito sacro libro, extensoque puro linteo, aut sacro velamine, deposita prius illic e manu cum metu sacra Eucharistia, post hymnorum recitationem ore sumi debet. Postea, qui accepit, abluere os vino debet.*

(59) *Ἡλίᾳ*, etc. Deest Heliæ nomen in codicibus Med. et Coisl. primo : reperitur in Reg. utroque, Coisl. secundo, Paris., et secunda manu in Harlæano.

(60) *Κατὰ τὸν βίον.* Pronomen quod sequitur, referri debet ad πραγμάτων. Non enim id dicit Basilius, quod ab eo dictum existimarunt eruditi, voluisse se totius vitæ suæ rationem Heliæ reddere. Distinguit enim negotia illa, de quibus voluerat D cum Helia communicare, a negotiis ecclesiasticis, id est ad fidem et disciplinam pertinentibus. Nequaquam autem poterat vitæ suæ rationem reddere, quin simul de rebus ecclesiasticis ageret. Illa ergo κατὰ βίον πράγματα sunt negotia exteriora, sive, ut vocant, temporalia. In epist. 81 digniorem episcopatu existimat senem omnibus virtutibus ornatum, quam juvenem ad hoc tantum idoneum ut mittatur et exteriora negotia pertractet, πρὸς τὸ πέμπεσθαι καὶ τὰς βιωτικὰς ἀνύειν χρείας. Eodem sensu usurpantur in epist. 193, ἀσχολίαι τῶν κατὰ τὸν βίον πραγμάτων.

(61) *Ποιήσασθαι.* Editi τοῦ ποιήσασθαι, sed deest articulus in omnibus mss. Paulo post editi ὑπολίποιτο. Quinque mss. ut in textu.

(62) *Καὶ πέρα.* Ita mss. omnes : editio prima Paris. καὶ παρά. Paulo post Coisl. primus ἀνδρὶ τοσούτῳ.

* Alias CCCLXXII. Scripta anno 372.

cere. Ad hæc, dicetur enim quod res est, et alias timui ne forte in necessitatem veniremus vulnerandæ mutuis altercationibus animæ tuæ, quæ pura sua in Deum pietate perfectam religiosi cultus mercedem percipere debet. Nam revera si ipsi te ad nos abstrahamus, parum tibi otii ad res publicas relinquemus; ac idem fere faciemus, ac si quis nauclerum, **188** qui navem nuper compactam in magna gubernat tempestate, sarcinis novis prægravet, cum aliquid detrahere oneris, et quantum fieri potest allevare oporteat. Unde mihi videtur et magnus imperator, ubi nostram hanc sollicitudinem perspexit, veniam dedisse, ut Ecclesias per nos ipsi administraremus. Jam vero eos qui sinceris tuis auribus obstrepunt, interrogatos volo, quid a nobis rebus publicis allatum sit detrimenti? quid parvum magnumve in rebus communibus nostra Ecclesiarum gubernatione lædatur? nisi quis dicat damnum ab eo rebus afferri, qui precationis domum magnifice exstructam erigit Deo nostro, et ædes circum illam, aliam quidem liberali specie, episcopo privatim addictam, alias vero interiores Dei famulis ex ordine distributas; quarum usus communis vobis rectoribus, et vestro comitatui. Ecquem injuria afficimus, dum peregrinis, sive hac transeuntibus, sive medela aliqua ob morbum indigentibus hospitia construimus, atque sic necessarium constituimus solatium, ægrorum curatores, medicos, jumenta, deductores? Quibus necesse fuit et artes adjungi, tum quæ ad vitam sunt necessariæ, tum quæ ad honestius vitæ institutum fuerunt excogitatæ: alias rursus ædes ad facienda opera idoneas, quæ omnia ipsi loco ornatum, et rectori nostro gloriam ferunt, laude in eum redundante. Tu certe non idcirco ad nos regendos invitus adductus es, quod solus animi magnitudine possis opera collapsa instaurare, loca non habitata incolis complere, et uno verbo solitudines in urbes transformare. Qui igitur ad hæc se adjutorem præbet, eum abigere et injuriis afficere consentaneum, an honorare ac colere? Neque existimes, vir optime, verba tantum esse quæ dicimus: siquidem jam in opere versamur, cum materiam hactenus comportaverimus. Hæc igitur ad nostram coram rectore defensionem dicta sint. Quæ autem par est adversus accusatorum querelas, ut Christiano et amico existimationem meam curæ habenti, respondere, ea nunc necesse est prætermittere, ut et epistolæ modo longiora, et aliunde inanimis epi-

A θος πραγμάτων ἐξηρτημένῳ ἔτι καὶ τὰς ἔξω τῶν ἀναγκαίων ἐπιβάλλειν φροντίδας. Ὁμοῦ τε (εἰρήσεται γὰρ τἀληθὲς), καὶ ἄλλως ὤκνησα μήποτε εἰς ἀνάγκην ἔλθωμεν ταῖς κατ' ἀλλήλων ἀντιλογίαις τρῶσαι τὴν ψυχήν σου, ὀφείλουσαν ἐν τῇ καθαρᾷ περὶ τὸν Θεὸν εὐλαβείᾳ τέλειον τὸν μισθὸν τῆς θεοσεβείας καρποῦσθαι. Τῷ ὄντι γάρ, ἐάν σε πρὸς ἑαυτοὺς ἐπιστρέψωμεν (63) ἡμεῖς, ὀλίγην σοι σχολὴν πρὸς τὰ δημόσια καταλείψομεν· καὶ παραπλήσιον ποιήσομεν, ὥσπερ ἂν εἴ τις κυβερνήτην, νεοπαγῆ ναῦν ἐν μεγάλῳ κλύδωνι διευθύνοντα, τῇ προσθήκῃ τοῦ φόρτου καταβαρύνοι, δέον ἀφαιρεῖν τι τῶν ἀγωγίμων, καὶ συνεπικουφίζειν ὡς δυνατόν. Ὅθεν μοι δοκεῖ καὶ βασιλεὺς ὁ μέγας, τὴν πολυπραγμοσύνην ἡμῶν ταύτην καταμαθὼν, ἐᾶσαι ἡμᾶς ἐφ' ἑαυτῶν B τὰς Ἐκκλησίας οἰκονομεῖν. Τοὺς μέντοι ταῖς ἀδόλοις ἀκοαῖς σου παρενοχλοῦντας ἐρωτηθῆναι βούλομαι, τί χεῖρον ἔχει τὰ δημόσια παρ' ἡμᾶς; ἢ τί μικρὸν ἢ μεῖζον τῶν κοινῶν ἐκ τῆς ἡμετέρας περὶ τὰς Ἐκκλησίας οἰκονομίας (64) ἠλάττωται; πλὴν εἰ μή τις λέγοι βλάβην τοῖς πράγμασι φέρειν, οἶκον εὐκτήριον μεγαλοπρεπῶς κατεσκευασμένον ἀναστῆσαι τῷ Θεῷ ἡμῶν, καὶ περὶ αὐτὸν οἴκησιν, τὴν μὲν ἐλευθέριον ἐξῃρημένην (65) τῷ κορυφαίῳ, τὰς δὲ ὑποβεβηκυίας τοῖς θεραπευταῖς τοῦ θείου διανενεμημένας ἐν τάξει, ὧν ἡ χρῆσις κοινὴ πρός τε ὑμᾶς τοὺς ἄρχοντας καὶ τοὺς παρεπομένους ὑμῖν. Τίνα δὲ ἀδικοῦμεν, καταγώγια τοῖς ξένοις οἰκοδομοῦντες, τοῖς τε κατὰ πάροδον ἐπιφοιτῶσι καὶ τοῖς θεραπείας τινὸς διὰ τὴν C ἀσθένειαν δεομένοις, καὶ τὴν ἀναγκαίαν τούτοις παραμυθίαν ἐγκαθιστῶντες, τοὺς νοσοκομοῦντας, τοὺς ἰατρεύοντας, τὰ νωτοφόρα, τοὺς παραπέμποντας (66); Τούτοις ἀνάγκη καὶ τέχνας ἕπεσθαι, τάς τε πρὸς τὸ ζῆν ἀναγκαίας, καὶ ὅσαι πρὸς εὐσχήμονα βίου διαγωγὴν ἐφευρέθησαν· οἴκους πάλιν ἑτέρους ταῖς ἐργασίαις ἐπιτηδείους, ἅπερ πάντα τῷ μὲν τόπῳ κόσμος, τῷ δὲ ἄρχοντι ἡμῶν σεμνολόγημα, ἐπ' αὐτὸν τῆς εὐφημίας ἐπανιούσης. Ὅς γε οὐδὲ τούτου ἕνεκεν πρὸς τὴν ἐπιστασίαν ἡμῶν ἐξεβιάσθης, ὡς μόνος ἐξαρκῶν τῷ μεγέθει τῆς γνώμης τά τε κατεῤῥυηκότα τῶν ἔργων (67) ἀναλαβεῖν, καὶ οἰκίσαι τὰς ἀοικήτους, καὶ ὅλως εἰς πόλεις τὰς ἐρημίας μετασκευάσαι. Τὸν οὖν εἰς ταῦτα συνεργοῦντα ἐλαύνειν καὶ ὑβρίζειν, ἢ τιμᾷν καὶ περιέπειν, ἀκολουθότερον ἦν; Καὶ μὴ D οἰηθῇς, ὦ ἄριστε, λόγον μόνον εἶναι τὰ παρ' ἡμῶν· ἤδη γὰρ ἐσμεν ἐν τῷ ἔργῳ, τὰς ὕλας τέως συμποριζόμενοι. Τὰ μὲν οὖν πρὸς τὴν τοῦ ἄρχοντος ἀπολογίαν τοιαῦτα. Ἃ δὲ δεῖ πρὸς τὰς τῶν φιλαιτίων μέμψεις, ὡς Χριστιανῷ καὶ φίλῳ πεφροντικότι

(63) *Ἐπιστρέψωμεν*. Ita mss. summo consensu. Editi ἐπιστρέψομεν.

(64) *Οἰκονομίας*. Hæc vox addita ex novem mss. Paulo post editi μεγαλοπρεπές· mss. summo consensu μεγαλοπρεπῶς.

(65) *Ἐξῃρημένην*. Hæc scriptura, quamvis in editis tantum ac Coisl. primo occurrat, videtur tamen ei præferenda, quam habent alii mss. ἐξηρτημένην. Paulo post editi ἐντάξαι, pro quo ex mss. posuimus ἐν τάξει.

(66) *Παραπέμποντας*. *Deductores*, id est, eos qui obviam ibant, et abeuntes deducebant. Videtur honoris causa hoc munus clericis sæpe commissum fuisse. Nam Basilius in epist. 243 testatur Arianos sibi omnia ecclesiastica munia arrogare, in his ut deducant proficiscentes. Queritur in epist. 98, quod se Meletius et Theodotus perfunctorie invitaverint, nec quemquam miserint, qui iterum admoneret aut deduceret. (Vide Addenda.)

(67) *Τῶν ἔργων*. Ita tres vetustissimi codices, Harl., Med. et Coisl. primus. Sex alii mss. non ita vetusti pro his vocibus habent τῷ χρόνῳ. Editi utrumque habent τῶν ἔργων et τῷ χρόνῳ.

ἡμῶν τῆς ὑπολήψεως ἀποκρίνασθαι, ἀναγκαῖον νῦν ἀποσιωπῆσαι, ὡς καὶ μακρότερα τοῦ μέτρου τῆς ἐπιστολῆς, καὶ ἄλλως οὐκ ἀσφαλῆ γράμμασιν ἀψύχοις καταπιστεύεσθαι. Ἵνα δὲ μὴ τὸν πρὸ τῆς συντυχίας χρόνον, ταῖς διαβολαῖς τινων ὑπαχθείς, ὑφεῖναί τι τῆς περὶ ἡμᾶς εὐνοίας ἀναγκασθῇς, τὸ τοῦ Ἀλεξάνδρου ποίησον. Καὶ γὰρ ἐκεῖνόν φασι, διαβαλλομένου τινὸς τῶν συνήθων, τὴν μὲν ἑτέραν τῶν ἀκοῶν ἀνεῖναι τῷ διαβάλλοντι, τὴν δὲ ἑτέραν ἐπιμελῶς ἐπιφράξασθαι τῇ χειρί· ἐνδεικνύμενον, ὅτι δέοι τὸν ὀρθῶς κρίνειν μέλλοντα μὴ ὅλον εὐθὺς τοῖς προλαβοῦσιν ἀπάγεσθαι, ἀλλὰ τὸ ἥμισυ τῆς ἀκροάσεως ἀκέραιον διασώζειν πρὸς ἀπολογίαν τῷ μὴ παρόντι.

A stolis non tuto committenda. Sed ne ante congressus nostri tempus nonnullorum calumniis inductus, aliquid de tua in me benevolentia remittere cogaris, fac idem quod Alexander. Nam et illum ferunt, cum quidam ex familiaribus calumnia appeteretur, aurium quidem alteram accusatori præbuisse, alteram vero diligenter manu occlusisse: demonstrantem, oportere ut qui recte judicaturus est, non totus statim a præoccupantibus abducatur, sed dimidium auditus integrum ad defensionem servet absenti

ΕΠΙΣΤΟΛΗ ϞΕ'.

189 EPISTOLA XCV[*].

Invitatus a Meletio et Theodoto Basilius ad diem festum, medio mense Junio celebrandum, scripserat ad Eusebium per Theophrastum diaconum. Quo mortuo ante perlatas litteras, cum dies tantum triginta superessent, litteras illas misit Basilius Eustathio, ut cito perferrentur ad Eusebium. Declarat Basilius se ad hunc locum et diem venturum, si ipse etiam veniat Eusebius: secus vero, nequaquam iturum, sed potius profecturum ad ipsum Eusebium.

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

Πάλαι ἐπιστείλας τῇ θεοσεβείᾳ σου ἄλλων τέ τινων ἕνεκεν καὶ τοῦ συντυχεῖν ἡμᾶς ἀλλήλοις, διήμαρτον τῆς ἐλπίδος, οὐκ ἀφικομένων τῶν γραμμάτων εἰς τὰς χεῖρας τῆς σῆς τιμιότητος, τοῦ μακαρίου διακόνου Θεοφράστου δεξαμένου μὲν τὰ γράμματα ἡμῶν ἐπί τινα περιοδείαν ἀναγκαίως ἀποδημούντων (68), μὴ διαπεμψαμένου δὲ τῇ θεοσεβείᾳ σου, τῷ προκαταληφθῆναι τῇ ἀῤῥωστίᾳ ὑφ' ἧς ἐτελεύτησεν. Ὅθεν τοσοῦτον ὕστερος ἦλθον τοῦ καιροῦ πρὸς τὸ γράφειν, ὥστε μηδὲ ὄφελός τι ἐλπίζειν ἐκ τῆς ἐπιστολῆς ἔσεσθαι ταύτης, εἰς στενὸν παντελῶς κατακλεισθέντος τοῦ χρόνου. Ὁ γάρ τοι θεοφιλέστατος ἐπίσκοπος Μελέτιος καὶ Θεόδοτος ἐπέταξαν ἡμῖν πρὸς αὐτοὺς διαβῆναι, ἀγάπης τε ἐπίδειγμα τὴν συντυχίαν ποιούμενοι, καί τινα καὶ διόρθωσιν (69) γενέσθαι τῶν νῦν παραλυπούντων βουλόμενοι. Ἀπέδειξάν τε ἡμῖν χρόνον μὲν τῆς συντυχίας τὰ μέσα τοῦ προσιόντος μηνὸς Ἰουνίου, τόπον δὲ Φαργαμοῦν (70) τὸ χωρίον, ἐπίσημον μαρτύρων περιφανείᾳ (71) καὶ πολυανθρωπίᾳ συνόδου τῆς κατὰ ἔτος ἕκαστον παρ' αὐτοῖς τελουμένης. Ἐπεὶ δὲ ἔδει με, κατὰ τὴν ἐπάνοδον μαθόντα τὴν κοίμησιν τοῦ μακαρίου διακόνου, καὶ τὰς ἐπιστολὰς ἀργὰς παρ' ἡμῖν κειμένας, μὴ ἡσυχάσαι, διὰ τὸ ἔτι ἡμέρας ἡμῖν τριάκοντα καὶ τρεῖς ἐπὶ τὴν προθεσμίαν ὑπολελεῖφθαι, ἀπέστειλα κατὰ σπουδὴν τῷ αἰδεσιμωτάτῳ ἀδελφῷ Εὐσταθίῳ τῷ συλλειτουργῷ ἡμῶν τὰ γράμματα ταῦτα, ὥστε δι' αὐτοῦ παραπεμφθῆναί σου τῇ σεμνότητι (72), καὶ πάλιν ἐν τάχει ἀνακομισθῆναι ἡμῖν τὰς ἀποκρίσεις. Εἰ μὲν γὰρ δυνατὸν, ἢ ἄλλως ἀρεστόν σοι, παραγενέσθαι, καὶ αὐτοὶ παρεσόμεθα· εἰ δὲ μή, αὐτοὶ μὲν, ἂν ὁ Θεὸς θέλῃ, τὸ πέρυσινὸν ἀποτίσομεν χρέος τῆς συντυχίας· ἐὰν μή τι πάλιν ἐπιγένηται ἡμῖν ἐξ ἁμαρτιῶν κώλυμα, τὴν δὲ τῶν ἐπισκόπων ἔντευξιν εἰς ἕτερον χρόνον ὑπερθησόμεθα.

B *Eusebio, episcopo Samosatorum.*

Cum dudum scripsissem pietati tuæ tum aliis de rebus, tum ut in unum veniremus, spe excidi, non perlatis in manus dignitatis tuæ litteris, quas beatus diaconus Theophrastus accepit quidem, dum necessario ad circuitum quemdam conficiendum peregrinamur, sed minime transmisit ad tuam pietatem, eo quod illum morbus, ex quo mortuus est, anteverterit. Unde tam sero veni ad scribendum, ut ob summas temporis angustias nihil sit utilitatis ex his litteris exspectandum. Nam religiosissimus episcopus Meletius et Theodotus mihi præcepere ut ad ipsos proficiscar; tum ad amoris significationem congressum offerentes, tum etiam C emendationem aliquam eorum, quæ nunc molestiam afferunt, fieri volentes. Indixerunt autem nobis tempus quidem conveniendi, medium mensem Junium proxime sequentem: locum vero Phargamum, locum insignem martyrum splendore, ac frequentissimo conventu singulis annis ab ipsis celebrato. Cum autem mihi, postquam reditu meo didici beatum diaconum obiisse, et litteras apud me inertes jacere, otiandum non esset, eo quod adhuc triginta tres dies nobis ad diem constitutum supersint; misi celeriter ad reverendissimum fratrem Eustathium comministrum nostrum has litteras, ut ipsius opera transmittantur ad tuam gravitatem, ac cito rursus responsa ad nos referantur. Etenim si fieri potest, aut alioqui placitum tibi, ut eo venias, nos quoque veniemus; sin minus, nos certe, D Deo volente, congressus debitum ab anno præterito contractum persolvemus; nisi rursus impedimentum aliquod nobis acciderit ob peccata: congressum vero cum episcopis in aliud tempus differemus.

(68) *Ἀποδημούντων*. Ita sex mss. Editi ἀποδημοῦντος. Ibidem Harl. περίοδον.

(69) *Καὶ διόρθωσιν*. Conjunctio addita ex sex mss. Quod autem ait Basilius Meletium et Theodotum emendationem eorum, quæ molesta erant, exoptasse, id referri debet ad Eustathium, cujus cum Basilio communio lædebat Theodotum.

(70) *Φαργαμοῦν*. Coisl. primus Φαρμαγοῦν.

(71) *Περιφανείᾳ*. Ita mss. sex. Editi ἐπιφανείᾳ.

(72) *Σεμνότητι*. Ita octo mss. Editi τιμιότητι.

[*] Alias CCXLI, scripta anno 372.

EPISTOLA XCVI*.

Demonstrat Basilius quantum afflicta Cappadocia damnum fecerit, ablato ei præstantissimo præside (Helia). *Rogat ut illum Sophronius commendet Imperatori, et illatas ei criminationes diluat.*

Sophronio magistro.

Ecquis ita civitatem suam diligens, ac patriam, a qua editus in lucem et nutritus æque ac parentes honorans, uti tu ipse, qui et urbi universæ generatim et cuique sigillatim bona precaris, nec precaris solum, sed vota etiam per te ipse confirmas? Hæc enim potes, Deo dante, atque utinam possis quam diutissime, ita benignus ac clemens. Sed tamen, hac te potestate prædito, patria nostra **190** per somnium ditata est, viro quidem commissa, qualem non alium dicunt, qui res nostras antiquissimas sciunt, in rectoris sedem conscendisse; sed cito eo privata improbitate nonnullorum, qui ex illius libero et nescio assentationis animo ansam belli ei inferendi arripuerunt, et calumnias ei instruxerunt, clam tuæ præstantiæ auribus. Quapropter omnes universe lugemus, rectore ablato, qui solus poterat jam in genua provolutam urbem nostram denuo erigere, æqui sincero custode, affabili injuriam patientibus, terribili delinquentibus, æquabili et eodem pauperibus et divitibus, et quod maximum est, res Christianorum ad antiquum decus revocante. Quod enim a muneribus omnium quos scimus hominum maxime abhorruit, nec cuiquam præter jus gratificatus est, id ut exilius cæteris illius virtutibus prætermittimus. Hæc quidem sero testificamur, nosmetipsos more eorum, qui nænias cantitant, consolantes, nihil rebus auxilii ferentes. Sed tamen nec illud inutile, ut viri memoria in magno tuo pectore recondatur, eique ut bene de patria merito gratiam habeas; ac si quis ex iis, qui se justitiæ posthabitos fuisse moleste ferunt, in ipsum insurrexerit, tuearis ac defendas, omnibusque aperte demonstres eum a te inter necessarios ascribi: satis causæ esse putans ad necessitudinem, tum bonum de eo testimonium, tum ipsam rerum experientiam, quæ tempori minime respondet. Nam quæ ne multis quidem annis ab alio fiant, hæc brevi tempore ab eo perfecta. Porro satis magnum nobis beneficium, ac eorum quæ acciderunt solamen, si et illum commendes imperatori, et illatas ei criminationes diluas. Hæc tibi universam existima patriam una voce mea disserere, ac commune omnium votum esse, ut præstantiæ tuæ ope aliquid huic viro prospere ac feliciter cedat.

ΕΠΙΣΤΟΛΗ ϞϚ'.

A *Σωφρονίῳ μαγίστρῳ.*

Καὶ τίς οὕτω φιλόπολις, ὃς τὴν ἐνεγκοῦσαν καὶ θρεψαμένην πατρίδα ἴσα γονεῦσι τιμῶν, ὡς αὐτὸς σὺ, κοινῇ τε πάσῃ τῇ πόλει καὶ ἰδίᾳ ἑκάστῳ τὰ ἀγαθὰ συνευχόμενος, καὶ οὐκ εὐχόμενος μόνον, ἀλλὰ καὶ βεβαιῶν τὰς εὐχὰς διὰ σαυτοῦ; Δύνασαι γάρ που σὺν Θεῷ τὰ τοιαῦτα, καὶ δύναιό γε ἐπὶ μήκιστον, οὕτω χρηστὸς ὤν. Ἀλλ' ὅμως ἐπὶ σοῦ ὄναρ ἐπλούτησεν ἡ πατρὶς ἡμῶν, ἄνδρα μὲν ἔχουσα τὸν τὴν ἐπιμέλειαν αὐτῆς ἐπιτραπέντα, οἷον οὔ φασιν ἄλλον οἱ τὰ παλαιότατα τῶν παρ' ἡμῖν ἐπιστάμενοι ἐπὶ τῶν ἀρχικῶν (73) θρόνων πρότερον ἀναβῆναι· ἐπηρείᾳ δέ τινων ἀφαιρεθεῖσα ταχέως, οἳ τὸ ἐλεύθερον τοῦ ἀνδρὸς καὶ ἀθώπευτον τοῦ πρὸς αὐτὸν πολέμου B ἀφορμὴν ἐποιήσαντο, καὶ διαβολὰς αὐτῷ κατεσκεύασαν, λαθόντες τὰς ἀκοὰς τῆς σῆς τελειότητος. Διὸ πανδημεὶ πάντες σκυθρωπάζομεν, ζημιωθέντες ἄρχοντα, μόνον δυνάμενον εἰς γόνυ κλιθεῖσαν ἤδη τὴν πόλιν ἡμῶν ἀνορθῶσαι, ἀληθῆ (74) φύλακα τοῦ δικαίου, εὐπρόσιτον τοῖς ἀδικουμένοις, φοβερὸν τοῖς παρανομοῦσιν, ἴσον καὶ πένησι καὶ πλουσίοις, καὶ τὸ μέγιστον, τὰ τῶν Χριστιανῶν πράγματα πρὸς τὴν ἀρχαίαν ἐπανάγοντα τιμήν. Τὸ γὰρ, ὅτι ἀδωρότατος ὧν ἴσμεν ἀνθρώπων, καὶ οὐδενὶ (75) παρὰ τὸ δίκαιον χαριζόμενος, ὡς μικρότερα τῆς λοιπῆς ἀρετῆς τοῦ ἀνδρὸς παρελίπομεν. Ταῦτα ὀψὲ μὲν τοῦ καιροῦ μαρτυροῦμεν, ὥσπερ οἱ μονῳδοῦντες ἑαυτοὺς (76) παραμυθούμενοι, οὐχὶ τοῖς πράγμασί τι ποιοῦντες χρήσιμον· πλὴν οὐδὲ τοῦτο ἄχρηστον, ἐν C τῇ μεγάλῃ σου ψυχῇ τὴν μνήμην τοῦ ἀνδρὸς ἀποκεῖσθαι, χάριν τε εἰδέναι ὡς εὐεργέτῃ τῆς ἐνεγκούσης· καὶ εἴ τις ἐπιφύοιτο αὐτῷ τῶν διὰ τὸ μὴ προτιμηθῆναι τοῦ δικαίου χαλεπαινόντων, ὑπερμαχεῖν καὶ προΐστασθαι, πᾶσι ποιήσαντα φανερὸν, ὅτι οἰκεῖον σεαυτῷ τὸν ἄνδρα τίθεσαι, ἀρκοῦσαν ἀφορμὴν εἰς οἰκειότητα τὴν ἀγαθὴν περὶ αὐτοῦ μαρτυρίαν τιθέμενος, καὶ τὴν τῶν πραγμάτων πεῖραν, οὐ κατὰ τὴν τῶν χρόνων ἀναλογίαν ὑπάρχουσαν. Ἃ γὰρ οὐδ' ἂν ἐν πολλοῖς ἔτεσι παρ' ἄλλου γένοιτο, ταῦτα ἐν ὀλίγῳ παρ' αὐτοῦ κατώρθωται. Ἀρκοῦσα δ' ἡμῖν χάρις, καὶ τῶν συμβάντων παραμυθία, ἐὰν καὶ βασιλεῖ συστήσῃς αὐτὸν, καὶ τὰς ἐπενεχθείσας αὐτῷ διαβολὰς ἀποσκευάσῃ. Ταῦτά σοι πᾶσαν οἴου τὴν πατρίδα διὰ μιᾶς τῆς ἡμετέρας φωνῆς διαλέγεσθαι, καὶ κοι- D νὴν εἶναι πάντων εὐχὴν, γενέσθαι τι τῷ ἀνδρὶ διὰ τῆς σῆς τελειότητος δεξιόν.

* Alias CCCXXXII, scripta anno 372.

(73) *Ἐπὶ τῶν ἀρχικῶν*. Ita Coisl. uterque, Harl., Reg. secundus et Bigot. alter. Editi ἐπὶ τὸν ἀρχικὸν θρόνον. Sed hujus scripturæ videntur auctores fuisse librarii, dum metuunt ne præpositio minus recte cum genitivo conjungatur. Eam tamen similiter cum genitivo conjungit Basilius in epist. 38.

(74) *Ἀληθῆ*. Sic Harl., Med., Coisl. primus et Clarom. Editi ἀκριβῆ, *accurato æqui custodi*.

(75) *Οὐδενί*. Multi codices οὐδέν.

(76) *Ἑαυτούς*. Ita septem mss. Editi ἑαυτοῖς.

ΕΠΙΣΤΟΛΗ ϞΖ'.

EPISTOLA XCVII*.

Eximium pacis studium declarat Basilius in vehementi illa dissensione, quæ ei cum Anthimo ob Cappadociæ divisionem supervenit.

Τῇ βουλῇ Τυάνων.

Ὁ ἀνακαλύπτων βαθέα, καὶ φανερῶν βουλὰς καρδιῶν, Κύριος ἔδωκε καὶ τοῖς ταπεινοῖς σύνεσιν τῶν δυσθεωρήτων, ὥς τινες οἴονται, τεχνασμάτων. Οὐδὲν οὖν ἡμᾶς ἔλαθεν, οὔτε τῶν πεπραγμένων τι κεκρυμμένον· ἀλλ' ὅμως ἡμεῖς οὔτε ὁρῶμεν, οὔτε ἀκούομεν ἄλλο τι ἢ τὴν εἰρήνην τοῦ Θεοῦ καὶ ὅσα (77), πρὸς αὐτὴν φέρει. Εἰ γὰρ καὶ ἕτεροι δυνατοὶ, καὶ μεγάλοι, καὶ ἑαυτοῖς πεποιθότες, ἀλλ' ἡμεῖς οἱ μηδὲν, καὶ τοῦ μηδενὸς ἄξιοι· ὥστε οὐκ ἄν ποτε (78) τοσοῦτον ἑαυτοῖς λάβοιμεν, ὡς ἐν τῇ μονώσει δύνασθαι νομίσαι περιέσεσθαι τῶν πραγμάτων· ἀκριβῶς εἰδότες, ὅτι πλέον ἡμεῖς τῆς ἑνὸς ἑκάστου τῶν ἀδελφῶν ἐπικουρίας δεόμεθα ἢ ὅσον ἡ ἑτέρα τῶν χειρῶν τῆς ἑτέρας. Ἐπεὶ καὶ ἐξ αὐτῆς τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς τὸ ἀναγκαῖον τῆς κοινωνίας ὁ Κύριος ἡμᾶς ἐδίδαξεν. Ὅταν γὰρ πρὸς αὐτὰ ταῦτα ἀπίδω (79) τὰ μέλη ἡμῶν, ὅτι ἓν οὐδὲν ἑαυτῷ πρὸς ἐνέργειαν αὔταρκες, πῶς ἐμαυτὸν λογίσομαι ἐξαρκεῖν ἑαυτῷ πρὸς τὰ τοῦ βίου πράγματα; Οὔτε γὰρ ἂν ποὺς ἀσφαλῶς βαδίσειε, μὴ συνυποστηρίζοντος τοῦ ἑτέρου· οὔτε ὀφθαλμὸς ὑγιῶς ἴδοι, μὴ κοινωνὸν ἔχων τὸν ἕτερον, καὶ μετ' αὐτοῦ συμφώνως προσβάλλων τοῖς ὁρατοῖς. Ἡ ἀκοὴ ἀκριβεστέρα ἡ δι' ἀμφοῖν τοῖν πόροιν τὴν φωνὴν δεχομένη, καὶ ἀντίληψις κραταιοτέρα τῇ κοινωνίᾳ τῶν δακτύλων. Καὶ ἁπαξαπλῶς οὐδὲν οὔτε τῶν ἐκ φύσεως οὔτε τῶν ἐκ προαιρέσεως κατορθουμένων ὁρῶ ἄνευ τῆς τῶν ὁμοφύλων συμπνοίας ἐπιτελούμενον· ὅπου γε καὶ αὐτὴ ἡ προσευχὴ μὴ ἔχουσα τοὺς συμφωνοῦντας ἀδρανεστέρα ἐστὶ πολλῷ ἑαυτῆς, καὶ ὁ Κύριος ἐπηγγείλατο μέσος γενήσεσθαι μεταξὺ (80) δύο ἢ τριῶν ἐπικαλουμένων αὐτὸν ἐν ὁμονοίᾳ. Καὶ αὐτὴν δὲ τὴν οἰκονομίαν ὁ Κύριος κατεδέξατο, ἵνα εἰρηνοποιήσῃ διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. Ὥστε, διὰ ταῦτα πάντα, ἐν εἰρήνῃ μένειν τὰς λειπομένας ἡμῶν ἡμέρας εὐχόμεθα· ἐν εἰρήνῃ δὲ γενέσθαι τὴν κοίμησιν ἡμῶν αἰτοῦμεν. Ὑπὲρ ταύτης οὐδὲ πόνον ἐλλείπειν ὅντινα οὖν ἔγνωκα, οὐ ταπεινόν τι φθέγξασθαι ἢ ποιῆσαι, οὐχ ὁδοιπορίας μῆκος ὑπολογίσασθαι, οὐκ ἄλλο τι τῶν ὀχληρῶν (81) ὑποστείλασθαι, ὥστε τῶν μισθῶν τῆς εἰρηνοποιίας ἐπιτυχεῖν. Κἂν μὲν ἕπηταί (82) τις ταῦτα καθηγουμένοις ἡμῖν, τοῦτο ἄριστον, καὶ εὐχῆς τυγχάνει πέρας· ἐὰν δὲ πρὸς τὴν ἐναντίαν ἀφέλκῃ (83), ἐγὼ μὲν οὐδὲ οὕτω τῆς ἐμαυτοῦ κρίσεως ἀποστήσομαι. Αὐτὸς δὲ ἕκαστος τῆς οἰκείας ἐργασίας ἐν ἡμέρᾳ τῆς ἀνταποδόσεως τοὺς καρποὺς ἐπιγνώσεται.

Senatui Tyanorum.

Qui occulta revelat, et cordium consilia in lucem profert, Dominus largitus est vilibus et abjectis intelligentiam difficilium ad deprehendendum, ut nonnulli putant, machinationum. Nihil igitur latuit nos, nec quidquam eorum quæ facta sunt, occultum fuit. Attamen nos neque videmus, neque audimus quidquam aliud, quam Dei pacem, et quæ ad eam ferunt. Nam etsi alii potentes sunt, et magni, et sibi ipsis fidentes, tamen nos nihil sumus et nullius pretii; quare nunquam tantum nobis sumemus, ut in solitudine videamur nobis negotia conficere posse: quippe cum probe sciamus, magis nos uniuscujusque **191** fratrum auxilio indigere, quam manum alteram alterius ope: siquidem et ex ipsa corporis nostri constitutione societatem necessariam esse Dominus nos docuit. Cum enim hæc ipsa nostra membra considero, quorum nullum sibi ipsi ad agendum satis est: quomodo mihi ipse videbor ad vitæ negotia sufficere? Neque enim pes tuto gradiatur, non suffulciente altero: neque oculus recte videat, non habens alterum consortem, et cum eo socialiter his quæ videntur, intentus. Auditus accuratior, qui per utrosque meatus vocem suscipit, et fortior apprehensio, digitorum conjunctione. Et in summa, nihil neque eorum quæ natura, neque eorum quæ libera voluntate perficiuntur, citra conspirationem eorum quæ ejusdem generis sunt, perfici video; cum et preces ipsæ, si desint qui conspirent, longe sint seipsis debiliores, ac Dominus inter duos aut tres, qui ipsum concorditer invocaverint, medium se fore promiserit. Sed et dispensationem ipsam Dominus suscepit, ut per sanguinem suæ crucis sive terrena sive cœlestia pacificaret. Quare, ob hæc omnia, in pace manere reliquos dies nostros optamus, in pace fieri obdormitionem nostram precamur. Statui pacis causa nec laborem ullum prætermittere, non humile dictu quidquam aut factu, non itineris longitudinem vereri, non quidquam aliud molestum refugere, ut mercedem pacificationis adipiscar. Quod si quis nos viam ad hæc monstrantes sequitur, hoc optimum, et voti finis est: sin autem in contrarium trahat, ego certe ne sic quidem a mea sententia recedam. Unusquisque autem operum suorum in remunerationis die fructus agnoscet.

(77) *Καὶ ὅσα.* Editio Paris. addit τοιαῦτα, quod abest ab omnibus nostris mss. et aliis editionibus. Paulo post uterque Reg. et Coisl. secundus Εἰ γὰρ ἕτεροι.

(78) *Ὥστε οὐκ ἄν ποτε*, etc. Sequimur hoc in loco, ut in pluribus aliis, tres vetustissimos codices Harl., Med. et Coisl. Editi sic habent: Μηδενὸς οὐκ ἄν ποτε τοσοῦτον ἑαυτοὺς ὑπολάβοιμεν, ὥστε. *Nunquam nosmetipsos tanti æstimabimus, ut*, etc.

(79) *Ἀπίδω.* Ita mss. sex. Editi ἀπίδωμεν. Paulo post Regius uterque et Coisl. uterque οὔτ' ἄν. Editi οὔτε αὖ. Tres vetustissimi codices οὔτε ὀφθαλμός.

(80) *Μεταξύ.* Hanc vocem addidimus ex tribus vetustissimis codicibus.

(81) *Τῶν ὀχληρῶν.* Coisl. primus, Harl. et Vat. τῶν μοχθηρῶν.

(82) *Ἕπηται.* Ita mss. sex. Editi ἕποιτο.

(83) *Ἀφέλκῃ.* Ita sex mss. Mox iidem τῆς ἐμαυτοῦ. Editi ἀφέλκοι et τῆς αὐτῆς. Legitur etiam ἀφέλκῃ in editionibus Hagan. et Basil.

* Alias LXVIII, scripta anno 372

EPISTOLA XCVIII*.

ΕΠΙΣΤΟΛΗ ϞΗ'.

Rationes exponit cur Nicopolim non iverit. Iturum se dicit in hanc urbem, ut cum Meletio colloquatur; vel etiam cum eodem Samosata venturum. Indictus cum episcopis secundæ Cappadociæ congressus; item alius cum Eustathio. Excusatione utitur, cum missæ non sint ad Eusebium litteræ episcoporum. Perstat in suo consilio ut Gregorius sit episcopus. Nuntiat Palmatium Maximo ad persecutionem ministrare. Rogat Eusebium ut ad se veniat

Eusebio, episcopo Samosatorum.

1. Cum Nicopolim mente animoque ferrer, postquam urbanitatis tuæ litteras accepi quibus venturum te negabas, relaxatus sum ex mea cupiditate, simulque totius meæ infirmitatis recordatus. Venit autem mihi in mentem et eorum qui advocaverant perfunctoria invitandi ratio, qui cum me per honoratissimum fratrem Hellenium Nazianzi peræquatorem in transcursu vocassent, qui iterum de iisdem submoneret, aut me deduceret, non dignati sunt mittere. Itaque cum ob peccata nostra simus ipsis suspecti, timuimus ne illorum **192** conventus lætitiam præsentia nostra obturbaremus. Nam cum magnanimitate tua vel ad magnas tentationes accingi non pigramur; absque te autem vel intuendis levibus ærumnis impares sumus. Quoniam igitur de rebus ecclesiasticis futurus erat mihi cum illis congressus, celebritatis quidem tempus prætermisi, congressum autem in quietum ac expers perturbationis tempus distuli; meque satius esse duxi Nicopolim venientem de necessariis Ecclesiarum rebus cum religiosissimo episcopo Meletio colloqui, si Samosata pergere recuset: sin autem non recuset, simul cum eo advolabimus, modo id mihi ab utroque declaretur, videlicet ab illo ipso nobis de his rescribente (scripsimus enim), atque a tua pietate.

2. Eramus etiam cum episcopis secundæ Cappadociæ congressuri: qui postquam alterius provinciæ nomen habuerunt, subito existimarunt se ex alia ac nos natione et gente esse, tantumque nos ignorarunt, quantum qui nullum prorsus periculum fecere, nec unquam in colloquium venerunt. Exspectabatur autem et alius congressus cum reverendissimo episcopo Eustathio, quocum congressi sumus. Nam quia multi clamitabant aliquid ab eo in fide adulterari, venimus ei in colloquium, eumque invenimus Dei ope ad omnem rectam fidem bono animo assectantem. Porro episcoporum litteræ culpa illorum ipsorum, a quibus nostras transmitti oportebat, ad dignitatem tuam missæ non sunt: sed et me fugerunt, e memoria ob assiduas curas elapsæ. Cæterum fratrem Gregorium

A

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

1. Πάνυ ὡρμημένος καταλαβεῖν τὴν Νικόπολιν, μετὰ τὸ δέξασθαι τὰ παρὰ τῆς ὁσιότητός (84) σου γράμματα ἄρνησιν ἔχοντα τῆς ἀφίξεως, παρείθην ἀπὸ τῆς ἐπιθυμίας (85), καὶ πάσης ὁμοῦ τῆς ἀσθενείας ἀνεμνήσθην. Ἦλθε δέ μοι εἰς ἔννοιαν καὶ ἡ τῶν κεκληκότων ἀφοσίωσις, ὅτι, παροδικὴν πρὸς ἡμᾶς ποιησάμενοι τὴν κλῆσιν διὰ τοῦ αἰδεσιμωτάτου ἀδελφοῦ (86) Ἑλληνίου τοῦ ἐξισοῦντος Ναζιανζὸν, δεύτερον περὶ τῶν αὐτῶν ὑπομιμνήσκοντα (87), ἢ ὁδηγοῦντα ἡμᾶς, οὐ κατηξίωσαν ἀποστεῖλαι. Ἐπεὶ οὖν ὕποπτοι αὐτοῖς ἐσμεν διὰ τὰς ἁμαρτίας ἡμῶν, ἐφοβήθημεν μή που τὸ φαιδρὸν αὐτοῖς τῆς πανηγύρεως τῇ παρουσίᾳ ἡμῶν ἐπιθολώσωμεν. Μετὰ μὲν γὰρ τῆς σῆς μεγαλοφυΐας καὶ πρὸς τοὺς μεγάλους ἀπο-
B δύσασθαι πειρασμοὺς οὐκ ὀκνοῦμεν· ἄνευ δὲ σοῦ οὐδὲ ταῖς τυχούσαις θλίψεσιν ἀντιβλέψαι αὐτάρκως ἔχομεν. Ἐπεὶ οὖν ἐκκλησιαστικῶν ἕνεκεν γίνεσθαι ἡμῶν ἡ πρὸς αὐτοὺς ἔντευξις ἔμελλε, τὸν μὲν τῆς πανηγύρεως καιρὸν παρελίπομεν, εἰς ἡσυχίαν δὲ καὶ ἀτάραχον διαγωγὴν τὴν συντυχίαν ὑπερεθέμεθα, καὶ προῃρήμεθα καταλαβόντες τὴν Νικόπολιν διαλεχθῆναι περὶ τῶν ταῖς Ἐκκλησίαις ἀναγκαίων τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Μελετίῳ, εἰ μέλλοι παραιτεῖσθαι τὴν ἐπὶ Σαμόσατα (88) ὁδόν· εἰ δὲ μὴ, αὐτῷ (89) συνδραμούμεθα, ἐὰν παρ' ἀμφοτέρων τοῦτο ἡμῖν κατάδηλον γένηται, παρά τε αὐτοῦ ἐκείνου ἀντιγράψαντος ἡμῖν περὶ τούτων (ἐπεστείλαμεν γὰρ), καὶ παρὰ τῆς σῆς θεοσεβείας.

2. Ἐπισκόποις δὲ τοῖς ἐκ τῆς δευτέρας Καππαδοκίας συντυγχάνειν ἐμέλλομεν· οἳ, ἐπειδὴ ἑτέρας ὠνομά-
C σθησαν ἐπαρχίας, ἐνόμισαν ἀθρόως καὶ ἀλλοεθνεῖς καὶ ἀλλόφυλοι πρὸς ἡμᾶς γεγενῆσθαι· οἳ τοσοῦτον ἡμᾶς ἠγνόησαν, ὅσον οἱ μηδὲ τὴν ἀρχὴν πεπειραμένοι (90), μηδὲ εἰς λόγους ποτὲ ἀφικόμενοι (91). Προσεδοκᾶτο δὲ καὶ ἑτέρα συντυχία τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Εὐσταθίου, ἣ καὶ γενομένη ἡμῖν. Διὰ γὰρ τὸ παρὰ πολλῶν καταβοᾶσθαι αὐτὸν, ὥς περὶ τὴν πίστιν παραχαράσσοντά τι, ἀφικόμεθα αὐτῷ εἰς λόγους, καὶ εὕρομεν σὺν Θεῷ πρὸς πᾶσαν ὀρθότητα εὐγνωμόνως ἀκολουθοῦντα. Τὰ δὲ τῶν ἐπισκόπων γράμματα παρὰ τὴν αἰτίαν αὐτῶν ἐκείνων οὐκ ἐκομίσθη τῇ τιμιότητί σου, οὓς ἐχρῆν τὰ παρ' ἡμῶν διαπέμψασθαι· ἀλλὰ καὶ ἐμὲ παρῆλθε, τῇ συνεχείᾳ τῶν φροντίδων ἐκκρουσθέντα τῆς μνήμης. Τὸν δ'

* Alias CCLIX, scripta anno 372.

(84) Ὁσιότητος. Ita tres vetustissimi codices, quæ scriptura videtur præferenda vulgatæ κοσμιότητος.

(85) *Παρείθην ἀπὸ τῆς ἐπιθυμίας*. Editi παρείθην ὑπὸ τῆς ἀθυμίας, *animo defeci*. Harl. ἀπὸ τῆς ἀθυμίας. Solus Medicæus ἀπὸ τῆς ἐπιθυμίας.

(86) Vide Addenda.

(87) Ὑπομιμνήσκοντα. Sic mss. sex: habet Harlæanus codex ὑπομνήσκοντα. Sic etiam editio prima Paris. At in secunda legitur ὑπομνήσοντα.

Aliquanto infra editi ἀντιβλέπειν, tres vetustissimi
D codices ut in textu.

(88) *Σαμόσατα*. Harl. Σαμοσάτων.

(89) Αὐτῷ. Sic Harl. prima manu, quam scripturam in textum inducere non dubitavimus pro eo quod vitiose legebatur αὐτοῦ.

(90) *Πεπειραμένοι*. Ita mss. et paulo post iidem ἀφικόμενοι. Editi πεπειρασμένοι et ἀφικνούμενοι. Habet tamen editio secunda Paris. πεπειραμένοι.

(91) Vide Addenda.

ἀδελφὸν (92) Γρηγόριον κἀγὼ ἠβουλόμην οἰκονομεῖν A Ἐκκλησίαν τῇ αὐτοῦ φύσει σύμμετρον. Αὕτη δὲ ἦν πᾶσα εἰς ἓν συναχθεῖσα ἡ ὑφ' ἡλίῳ (93). Ἐπειδὴ δὲ τοῦτο ἀδύνατον, ἔστω ἐπίσκοπος, μὴ ἐκ τοῦ τόπου σεμνυνόμενος, ἀλλὰ τὸν τόπον σεμνύνων ἀφ' ἑαυτοῦ. Ὄντως γὰρ μεγάλου ἐστὶν οὐ τοῖς μεγάλοις μόνον ἀρκεῖν, ἀλλὰ καὶ τὰ μικρὰ μεγάλα ποιεῖν τῇ ἑαυτοῦ δυνάμει. Τί δὲ δεῖ (94) ποιῆσαι τῷ Παλματίῳ, μετὰ τοσαύτας παρακλήσεις τῶν ἀδελφῶν ἔτι ὑπηρετοῦντι τῷ Μαξίμῳ πρὸς τοὺς διωγμούς; Ἀλλ' ὅμως οὐδὲ νῦν ὀκνοῦσιν ἐπιστεῖλαι· παραγενέσθαι γὰρ καὶ ὑπὸ ἀσθενείας σώματος καὶ ὑπὸ ἀσχολιῶν οἰκειακῶν οὐκ ἐπιτρέπονται. Γίνωσκε μέντοι, θεοφιλέστατε Πάτερ, ὅτι πάνυ χρήζει (95) τῆς παρουσίας σου τὰ ἡμέτερα; καὶ ἀνάγκη σε τὸ τίμιον γῆρας ἔτι ἅπαξ κινῆσαι, ὑπὲρ τοῦ στῆσαι περιφερομένην B λοιπὸν καὶ ἐγγὺς πτώματος οὖσαν τὴν Καππαδοκίαν.

vellem et ego Ecclesiam gubernare ingenio suo parem. Ea autem erat Ecclesia omnis quæ sub sole est, in unum collecta. Cum autem fieri id non queat, episcopus sit, non ex loco ornamentum accipiens, sed loco ex sese addens. Nam viri vere magni est non magnis tantum parem esse, sed etiam, quæ parva sunt facultate sua magna facere. Quid autem faciendum Palmatio, qui post tot ac tantas fratrum admonitiones adhuc ministrat Maximo ad persecutiones? Sed tamen ne nunc quidem litteras ad illum mittere gravantur: nam quominus veniant et corporea invaletudine et domesticis negotiis prohibentur. Noveris porro, Pater Deo dilectissime, res nostras tua omnino præsentia indigere, ac necesse esse ut venerandum senium adhuc semel moveas, quo Cappadociam jam fluctuantem et casui proximam sustentes.

ΕΠΙΣΤΟΛΗ ϞΘ'.

193 EPISTOLA XCIX*.

Terentio exponit Basilius, quomodo desertus a Theodoto perficere non potuerit, quod ex mandato imperatoris et litteris Terentii susceperat, ut episcopos Armeniæ daret. Cæterum curæ sibi fuisse, ut episcopos pacificaret, ac multa non recte fieri solita in Armenia emendaret. Accepisse etiam se a Satalensibus suffragia, quibus rogabatur ut eis episcopum daret, ac de inflictis Cyrillo Armeniæ episcopo calumniis cognovisse.

Τερεντίῳ Κόμητι.

Πάνυ πολλὴν σπουδὴν ἐνστησάμενος πειθαρχῆσαι μερικῶς γοῦν καὶ τῷ βασιλικῷ προστάγματι καὶ τῷ φιλικῷ τῆς σῆς τιμιότητος γράμματι, οὗ ἐγὼ πάντα λόγον καὶ πᾶσαν γνώμην γέμειν ὀρθῆς προαιρέσεως καὶ ἀγαθῆς διανοίας πεπίστευκα, εἰς ἔργον C ἀγαγεῖν τὴν προθυμίαν οὐκ ἐπετράπην (96). Αἴτιον δὲ τὸ μὲν πρῶτον καὶ ἀληθέστατον αἱ ἐμαὶ ἁμαρτίαι, πανταχοῦ μοι προαπαντῶσαι, καὶ ὑποσκελίζουσαί μου τὰ διαβήματα· ἔπειτα καὶ ἡ τοῦ δοθέντος ἡμῖν εἰς συνεργίαν ἐπισκόπου πρὸς ἡμᾶς ἀλλοτρίωσις. Οὐκ οἶδα γὰρ ὅ τι παθὼν ὁ αἰδεσιμώτατος ἀδελφὸς ἡμῶν Θεόδοτος, ὁ ἐπαγγειλάμενος ἡμῖν ἐξ ἀρχῆς πάντα συμπράξειν, καὶ προθύμως ἡμᾶς ἀπὸ Γητασῶν ἐπὶ Νικόπολιν καταγαγὼν (97), ἐπειδὴ εἶδεν ἡμᾶς ἐπὶ τῆς πόλεως, οὕτως ἡμᾶς (98) ἐβδελύξατο, καὶ οὕτως ἐφοβήθη τὰς ἁμαρτίας ἡμῶν, ὡς μήτε εἰς ἑωθινὴν εὐχὴν μήτε εἰς ἑσπερινὴν ἀνασχέσθαι ἡμᾶς παραλαβεῖν· δίκαια μὲν ποιῶν, ὡς πρὸς ἡμᾶς, καὶ πρέποντα τῷ ἐμῷ βίῳ, οὐ λυσιτελοῦντα δὲ τῇ κοινῇ καταστάσει τῶν Ἐκκλησιῶν D βουλευόμενος. Τὴν δὲ αἰτίαν τούτων προέφερεν ἡμῖν,

Terentio Comiti.

1. Cum diligenter admodum in id incubuissem, ut ex parte saltem et imperatoris mandato obtemperarem et amicissimis dignitatis tuæ litteris, cujus ego sermonem omnem omnemque sententiam voluntate recta ac bono consilio plenam esse certo scio, studium meum ad opus deducere mihi non licuit. Causa autem prima quidem et verissima, peccata mea, quæ ubique occurrunt mihi, ac meos gressus subvertunt: deinde etiam episcopi, qui datus adjutor fuerat, animi a nobis alienatio. Nescio enim quid passus reverendissimus frater noster Theodotus, qui ab initio promiserat mutuam se nobis operam in omnibus daturum, nosque libenter Getasis Nicopolim adduxerat, ubi nos vidit in civitate, sic aversatus sit, sic peccata nostra metuerit, ut neque ad matutinas preces, neque ad vespertinas nos voluerit assumere: æqua ille quidem faciens, quod ad me attinet, ac vitæ meæ convenientia, sed non utiliter communi Ecclesiarum tranquillitati consulens. Horum autem causam nobis afferebat, quod non gravaremur reverendis-

(92) *Τὸν δ' ἀδελφόν*. Editi addunt ἐμὸν, τόν, *fratrem meum*, quæ quidem unde sumpta sint nescio, cum in nostris novem codicibus desint. Quinetiam ad marginem legitur in Regio primo et Harl. περὶ τοῦ θεολόγου, *de theologo*. Ibidem Harl. Ἐκκλησίαν σύμμετρον.

(93) *Ὑφ' ἡλίῳ*. Med. ὑφήλιος. Bigot., Reg. secundus et Coisl. secundus ὑφ' ἥλιον. Alterutrum habuit Harl. prima manu. Paulo post editi Ἐπεὶ δὲ, plerique mss. ut in textu.

(94) *Τί δὲ δεῖ*. Med. Τί δὲ ποιῆσαι.

(95) *Πάνυ χρήζει*. Ita mss. septem: editi πᾶν χρήζει.

(96) *Οὐκ ἐπετράπην*. Ita mss. septem. Editi οὐχ ἐτράπην.

(97) *Καταγαγών*. Sic mss. sex. Editi καταγαγεῖν, *Promiserat se Nicopolim deducturum*. Nam videtur id promisisse Theodotus, aut certe non perfecit, nec Basilius ea de re queritur. Cum autem dicat infra Basilius relictum se fuisse Getasis a Theodoto Nicopolim redeunte; quod ait hoc loco se Getasis ab eo Nicopolim fuisse adductum, sic intelligi debet, ut id Theodotus non comitando, sed perhumaniter invitando perfecisse dicatur.

(98) *Ἡμᾶς*. Addidimus ex tribus vetustissimis codicibus hanc vocem, quæ forte in aliis omissa, quia cum paulo ante præcesserit, minus commode repeti videbatur.

* Alias CLXXXVII, scripta anno 372.

mur vos, ut viscera induatis miserationis, omnique deposita segnitie laborem dilectionis suscipiatis, et neque viæ longitudinem, neque domesticas occupationes, neque aliud quidquam humanum cogitetis.

2. Neque enim Ecclesia una periclitatur; neque duæ aut tres in gravem hanc tempestatem delapsæ. Nam ferme a finibus Illyrici usque ad Thebaidem hæresis malum depascitur. Cujus prava semina prius quidem infamis Arius jecit : altis autem radicibus firmata a pluribus, qui Arium inter et nostram ætatem interjecti impietatem studiose excoluere, nunc exitiosos fructus protulerunt. Nam B pietatis eversa sunt dogmata : confusæ Ecclesiæ leges. Hominum Dominum non timentium ambitio in præfecturas insilit, jamque aperte præmium impietatis principatus propositus est, ita ut qui graviores blasphemias ructatus est, dignior habeatur, qui populo episcopus præsit. Periit gravitas sacerdotalis : defecere qui gregem Domini cum scientia pascant : ambitiosis pauperum pecunias in proprios usus et in munerum largitiones semper insumentibus. Evanuit accurata canonum disciplina ; peccandi multa libertas. Nam qui hominum studiis ad principatum devenerunt, in hoc ipso studii gratiam rependunt, quod omnia ad voluptatem indulgeant peccantibus. Periit judicium æquum : quisque ex sui cordis voluntate ambulat. Nequitia modum C nullum habet : exleges populi : deest præpositis dicendi libertas. **185** Servi enim eorum, a quibus collatum beneficium, qui hominum opera sibiipsis dominatum compararunt. Jam quoque et illud mutui belli telum a quibusdam, defensio videlicet doctrinæ sanæ, excogitatum est : et dum privata odia occultant, pro veritate se odisse simulant. Alii vero, dum fugiunt ne turpissimis criminibus arguantur, populis furorem ad mutuam discordiam inspirant, ut communibus malis res suas obumbrent. Quapropter et implacabile est hoc bellum : iis qui mala egere, communem pacem, ut occulta ipsorum dedecora detegentem, metuentibus. Ob D hæc rident increduli, fluctuant qui firmiter non credunt : fides est ambigua, offunditur animis ignoratio, eo quod veritatem imitentur, qui doctrinam in malitia adulterant. Silent enim piorum ora ; soluta vero blasphema omnis lingua ; profanata sunt sancta ; fugiunt precationis domos populi saniores, ut impietatis scholas, ac in solitudinibus ad Domi-

A τοῦ εὐλαβεστάτου ἀδελφοῦ ἡμῶν τοῦ συνδιακόνου Σαβίνου, ὃς δυνήσεται ὑμῖν καὶ ὅσα τὴν ἐπιστολὴν διαφεύγει παρ' ἑαυτοῦ διηγήσασθαι· δι' οὗ παρακαλοῦμεν ὑμᾶς ἐνδύσασθαι σπλάγχνα οἰκτιρμοῦ (33), καὶ ἀποθέσθαι μὲν πάντα ὄκνον, ἀναλαβεῖν δὲ τὸν κόπον τῆς ἀγάπης· καὶ μήτε ὁδοῦ μῆκος, μήτε τὰς κατ' οἶκον ἀσχολίας, (34) μήτ' ἄλλο τι τῶν ἀνθρωπίνων ὑπολογίσασθαι.

2. Οὐ γὰρ περὶ μιᾶς Ἐκκλησίας ὁ κίνδυνος, οὐδὲ δύο ἢ τρεῖς αἱ τῷ χαλεπῷ τούτῳ χειμῶνι παραπεσοῦσαι (35). Σχεδὸν γὰρ ἀπὸ τῶν ὅρων τοῦ Ἰλλυρικοῦ μέχρι Θηβαΐδος τὸ τῆς αἱρέσεως κακὸν ἐπινέμεται. Ἧς τὰ πονηρὰ σπέρματα πρότερον μὲν ὁ δυσώνυμος Ἄρειος κατεβάλετο· ῥιζωθέντα δὲ διὰ βάθους ὑπὸ πολλῶν τῶν ἐν μέσῳ φιλοπόνως τὴν B ἀσέβειαν γεωργησάντων, νῦν τοὺς φθοροποιοὺς καρποὺς ἐξεβλάστησεν (36). Ἀνατέτραπται μὲν γὰρ τὰ τῆς εὐσεβείας δόγματα, συγκέχυνται δὲ Ἐκκλησίας θεσμοί. Φιλαρχίαι δὲ τῶν μὴ φοβουμένων τὸν Κύριον ταῖς προστασίαις ἐπιπηδῶσι· καὶ ἐκ τοῦ προφανοῦς λοιπὸν ἆθλον δυσσεβείας ἡ προεδρία πρόκειται· ὥστε ὁ τὰ χαλεπώτερα βλασφημήσας εἰς ἐπισκοπὴν (37) λαοῦ προτιμότερος. Οἴχεται σεμνότης ἱερατική· ἐπιλελοίπασιν οἱ ποιμαίνοντες μετ' ἐπιστήμης ποίμνιον τοῦ Κυρίου· οἰκονομίας πτωχῶν εἰς ἰδίας ἀπολαύσεις καὶ δώρων διανομὰς παραναλισκόντων ἀεὶ (38) τῶν φιλαρχούντων. Ἠμαύρωται κανόνων ἀκρίβεια· ἐξουσία τοῦ ἁμαρτάνειν πολλή. Οἱ γὰρ διὰ σπουδῆς ἀνθρωπίνης (39) παρελθόντες ἐπὶ τὸ ἄρχειν ἐν αὐτῷ τούτῳ τῆς σπουδῆς τὴν χάριν ἀνταναπληροῦσι, τῷ C πάντα πρὸς ἡδονὴν ἐνδιδόναι (40) τοῖς ἁμαρτάνουσιν. Ἀπόλωλε κρῖμα δίκαιον· πᾶς τις τῷ θελήματι τῆς καρδίας αὐτοῦ πορεύεται. Ἡ πονηρία ἄμετρος, οἱ λαοὶ ἀνουθέτητοι, οἱ προεστῶτες ἀπαῤῥησίαστοι. Δοῦλοι γὰρ τῶν δεδωκότων τὴν χάριν, οἱ δι' ἀνθρώπων ἑαυτοῖς τὴν δυναστείαν κατακτησάμενοι. Ἤδη δὲ καὶ ὅπλον τισὶ τοῦ πρὸς ἀλλήλους πολέμου ἡ ἐκδίκησις δῆθεν τῆς ὀρθοδοξίας, ἐπινενόηται· καὶ τὰς ἰδίας ἔχθρας ἐπικρυψάμενοι, ὑπὲρ τῆς εὐσεβείας ἐχθραίνειν κατασχηματίζονται. Ἄλλοι δὲ, τὸν ἐπὶ τοῖς αἰσχίστοις ἐκκλίνοντες ἔλεγχον, τοὺς λαοὺς εἰς τὴν κατ' ἀλλήλων φιλονεικίαν ἐκμαίνουσιν, ἵνα τοῖς κοινοῖς κακοῖς τὸ καθ' ἑαυτοὺς συσκιάσωσι. Διὸ καὶ ἄσπονδός ἐστιν ὁ πόλεμος οὗτος, τῶν τὰ πονηρὰ εἰργασμένων τὴν κοινὴν εἰρήνην, ὡς ἀποκαλύπτουσαν D αὐτῶν τὰ κρυπτὰ τῆς αἰσχύνης, ὑφορωμένων. Ἐπὶ τούτοις γελῶσιν οἱ ἄπιστοι, σαλεύονται οἱ ὀλιγόπιστοι· ἀμφίβολος ἡ πίστις, ἄγνοια καταχέχυται τῶν ψυχῶν, διὰ τὸ μιμεῖσθαι (41) τὴν ἀλήθειαν τοὺς δολοῦντας τὸν λόγον ἐν κακουργίᾳ. Σιγᾷ μὲν γὰρ τὰ τῶν εὐσεβούντων στόματα· ἀνεῖται δὲ πᾶσα βλάσ-

(33) *Οἰκτιρμοῦ*. Ita quinque mss. Editi οἰκτιρμῶν. Paulo post editi ἀνθρωπικῶν. Med., Harl., Coisl. primus et Reg. secundus ut in textu.

(34) Vide Addenda.

(35) *Παραπεσοῦσαι*. Ita tres vetustissimi mss. Editi περιπεσοῦσαι. Non multo post editi κατεβάλλετο. Coisl. primus, Harl. et Reg. secundus κατεβάλετο

(36) *Ἐξεβλάστησεν*. Ita Medicæus codex, accuratius quam editi ἐξεβλάστησαν.

(37) *Ἐπισκοπήν*. Sic mss. et editio Haganoen. Aliæ ἐπίσκοπον.

(38) *Ἀεί*. Pro hac voce habent Med. et Harl. πάντα.

(39) *Διὰ σπουδῆς ἀνθρωπίνης*. Ita tres vetustissimi codices. Editi σπουδαῖς ἀνθρωπίναις.

(40) *Ἐνδιδόναι*. Ita Harl. cum aliis. Editi διδόναι.

(41) *Μιμεῖσθαι*. Med. μισεῖσθαι, *eo quod oderint veritatem*, etc.

βλάσφημος γλῶσσα· ἐβεβηλώθη τὰ ἅγια, φεύγουσι τοὺς εὐκτηρίους οἴκους οἱ ὑγιαίνοντες τῶν λαῶν, ὡς ἀσεβείας διδασκαλεῖα· κατὰ δὲ τὰς ἐρημίας πρὸς τὸν ἐν οὐρανοῖς Δεσπότην μετὰ στεναγμῶν καὶ δακρύων τὰς χεῖρας αἴρουσιν. Ἔφθασε γὰρ (42) πάντως καὶ μέχρις ὑμῶν τὰ γινόμενα ἐν ταῖς πλείσταις τῶν πόλεων· ὅτι οἱ λαοὶ σὺν γυναιξὶ καὶ παιδίοις (43) καὶ αὐτοῖς τοῖς πρεσβύταις, πρὸ τῶν τειχῶν ἐκχυθέντες, ἐν τῷ ὑπαίθρῳ τελοῦσι τὰς προσευχάς, φέροντες πάσας τὰς ἐκ τοῦ ἀέρος κακοπαθείας σὺν πολλῇ τῇ μακροθυμίᾳ, τὴν παρὰ τοῦ Κυρίου ἀντίληψιν ἀναμένοντες.

A num in cœlis inhabitantem cum gemitibus et lacrymis manus attollunt. Pervenerunt autem profecto et usque ad vos quæ in plerisque civitatibus geruntur. Nimirum populi cum uxoribus liberisque et ipsis senibus pro mœnibus effusi, sub dio preces fundunt, ferentes omnes aeris injurias multa cum patientia, et auxilium a Domino exspectantes.

3. Τίς θρῆνος τῶν συμφορῶν τούτων ἄξιος; ποῖαι πηγαὶ δακρύων κακοῖς τοσούτοις ἀρκέσουσιν (44); Ἕως οὖν ἔτι δοκοῦσιν ἑστάναι τινὲς, ἕως ἔτι ἴχνος τῆς παλαιᾶς καταστάσεως διασώζεται, πρὶν τέλεον ταῖς Ἐκκλησίαις ἐπέλθῃ (45) τὸ ναυάγιον, ἐπείχθητε πρὸς ἡμᾶς, ἐπείχθητε ἤδη, ναὶ δεόμεθα, ἀδελφοὶ γνησιώτατοι· δότε χεῖρα τοῖς εἰς γόνυ κλιθεῖσι. Συγκινηθήτω ἐφ' ἡμῖν τὰ ἀδελφικὰ ὑμῶν σπλάγχνα, προχυθήτω δάκρυα συμπαθείας. Μὴ περιίδητε τὸ ἥμισυ τῆς οἰκουμένης ὑπὸ τῆς πλάνης καταποθέν· μὴ ἀνάσχησθε ἀποσβεσθῆναι τὴν πίστιν, παρ' οἷς πρῶτον ἐξέλαμψε. Τί οὖν ποιήσαντες ἀντιλήψεσθε τῶν πραγμάτων, καὶ πῶς τὸ πρὸς τοὺς θλιβομένους συμπαθὲς ἐπιδείξεσθε (46), οὐ παρ' ἡμῶν πάντως δέοι μαθεῖν (47) ὑμᾶς· ἀλλ' αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον ὑμῖν ὑποθήσεται. Πλήν γε ὅτι τάχους χρεία πρὸς τὸ περισώσασθαι τοὺς περιλειφθέντας, καὶ παρουσίας ἀδελφῶν πλειόνων, ὥστε πλήρωμα εἶναι συνόδου τοὺς ἐπιδημοῦντας, ἵνα μὴ μόνον ἐκ τῆς τῶν ἀποστειλάντων σεμνότητος, ἀλλὰ καὶ ἐκ τοῦ οἰκείου ἀριθμοῦ τὸ ἀξιόπιστον ἔχωσιν εἰς διόρθωσιν· οἳ καὶ τὴν ἐν Νικαίᾳ γραφεῖσαν παρὰ τῶν Πατέρων ἡμῶν πίστιν ἀνανεώσονται, καὶ τὴν αἵρεσιν ἐκκηρύξωσι (48), καὶ ταῖς Ἐκκλησίαις τὰ εἰρηνικὰ διαλέξονται, τοὺς τὰ αὐτὰ φρονοῦντας συνάγοντες (49) εἰς ὁμόνοιαν. Τοῦτο γὰρ δήπου τὸ πάντων ἐλεεινότατον, ὅτι καὶ τὸ δοκοῦν ὑγιαίνειν ἐφ' ἑαυτὸ ἐμερίσθη· καὶ περιέστηκεν ἡμᾶς, ὡς ἔοικε, παραπλήσια πάθη τοῖς ποτε κατὰ τὴν Οὐεσπασιανοῦ πολιορκίαν τὰ Ἱεροσόλυμα περισχοῦσιν. Ἐκεῖνοί τε γὰρ ὁμοῦ μὲν τῷ ἔξωθεν συνείχοντο πολέμῳ, ὁμοῦ δὲ καὶ τῇ ἔνδοθεν στάσει τῶν ὁμοφύλων κατανηλίσκοντο. Ἡμῖν δὲ πρὸς τῷ φανερῷ πολέμῳ τῶν αἱρετικῶν ἔτι καὶ ὁ παρὰ τῶν δοκούντων ὀρθοδοξεῖν (50) ἐπαναστὰς, πρὸς ἔσχατον ἀσθενείας τὰς Ἐκκλησίας κατήγαγεν. Ἐφ' ᾧ καὶ μάλιστα τῆς παρ' ὑμῶν χρῄζομεν βοηθείας, ὥστε τοὺς τὴν ἀποστολικὴν ὁμολογοῦντας

3. Quæ lamentatio his calamitatibus digna? quales lacrymarum fontes his malis pares erunt? Itaque, dum adhuc nonnulli videntur stare, dum adhuc veteris status vestigium servatur, priusquam cumulatum Ecclesiis superveniat naufragium, festi- B nate ad nos, jam festinate, ita precamur, fratres germanissimi: in genua provolutis manum porrigite. Fraterna vestra viscera commoveantur nostra causa, profundantur lacrymæ commiserationis. Mediam orbis partem ab errore absorberi ne sinatis: nec fidem apud eos feratis exstingui, apud quos primum illuxit. Quid igitur facto opus sit, ut rebus nostris subveniatis, et quomodo commiserationem ostendatis erga divexatos, nullo modo a nobis necesse erit vos discere: sed sanctus ipse Spiritus vobis suggeret. At certe celeritate opus est ad eos, qui supersunt, servandos, et plurimum fratrum præsentia, ut synodi numerum expleant, qui huc advenient, ut non solum ex eorum qui mi- C serint gravitate, sed etiam ex suo ipsorum numero pondus atque auctoritatem ad res emendandas habeant: qui et fidem in Nicæa a nostris Patribus scriptam instaurent, et hæresim proscribant, et Ecclesiis loquantur pacifica, eos qui idem sentiunt, ad concordiam adducentes. Hoc enim profecto omnium maxime dignum est miseratione, quod et ea pars quæ videtur esse sana, divisa **186** est in semetipsam: ac nos circumstant, ut verisimile est, similes calamitates his, quæ olim Hierosolymis, Vespasiano obsidente, acciderunt. Illi enim simul et externo premebantur bello, et domestica tribulium seditione absumebantur. Apud nos autem, præter apertum hæreticorum bellum, aliud præterea ab iis, qui videntur recte sentire, excitatum, ad extremam debilitatem Ecclesias perduxit. D Ob quæ et maxime indigemus auxilio vestro, ut qui apostolicam profitentur fidem, excogitata a se schi-

(42) *Ἔφθασε γάρ*. Ita tres vetustissimi codices: alii Ἔφθασε δέ. Ibidem πάντως additum ex quinque mss. Editi τὰ γενόμενα. Plerique mss. τὰ γινόμενα.

(43) *Παιδίοις*. Ita Harl., Med. et Coisl. primus. Editi παισί. Ibidem editi πρὸ τῶν πυλῶν. Sex mss. ut in textu.

(44) *Ἀρκέσουσιν*. Ita tres vetustissimi mss. Quatuor alii ἐξαρκέσουσι. Editi ἐπαρκέσουσι.

(45) *Ἐπέλθῃ*. Uterque Regius et Coisl. primus ἐπελθεῖν.

(46) *Ἐπιδείξεσθε*. Coisl. primus et Harl. ἐπιδείξησθε.

(47) *Μαθεῖν*. Ita tres vetustissimi mss. Editi μανθάνειν. Paulo post Regius uterque et Coisl. primus ὑπολειφθέντας.

(48) *Ἐκκηρύξωσι*. Ita tres vetustissimi codices: tres alii Ἐκκηρύξουσι. Editi ἐκριζώσουσι, *eradicabunt*. Ex hac autem vetustissimorum codicum scriptura patet similiter legendum esse ἀνανεώσωνται et διαλέξωνται, quod lucem affert verborum complexioni.

(49) *Συνάγοντες*. Harl. et Coisl. primus συναγαγόντες. Paulo post editi ἐλεεινότερον. Septem mss. ut in textu.

(50) *Ὀρθοδοξεῖν*. Harl., Vat. et Reg. primus ὁμοδοξεῖν.

smata dissolventes, deinceps auctoritati Ecclesiæ subjiciantur, ut perfectum fiat Christi corpus jam in omnibus membris integritati restitutum; ac non solum aliorum bona laudemus, id quod nunc facimus, sed etiam nostras ipsorum Ecclesias in pristinum rectæ fidei decus restitutas videamus. Revera enim laude summa dignum est, quod a Domino pietati vestræ datum est, adulterinum quidem a probo ac puro discernere, Patrum vero fidem sine ulla dissimulatione prædicare: quam quidem et nos suscepimus, agnovimusque apostolicis notis signatam: eique et cæteris omnibus, quæ in synodico scripto canonice et legitime statuta sunt, assentimur.

A πίστιν, ἃ παρεπενόησαν (51) σχίσματα διαλύσαντ[ας] ὑποταγῆναι τοῦ λοιποῦ τῇ αὐθεντίᾳ τῆς Ἐκκλησί[ας]· ἵνα ἄρτιον γένηται τὸ σῶμα τοῦ Χριστοῦ, πᾶσι το[ῖς] μέλεσιν εἰς ὁλοκληρίαν ἐπανελθόν· καὶ μὴ μόνον τ[ὰ] παρ' ἑτέροις μακαρίζωμεν ἀγαθὰ, ὅπερ νῦν ποιοῦ[μεν], ἀλλὰ καὶ τὰς ἡμετέρας αὐτῶν ἐπίδωμεν Ἐκκλη[σίας] τὸ ἀρχαῖον καύχημα τῆς ὀρθοδοξίας ἀπολαβού[σας]. Τῷ ὄντι γὰρ τοῦ ἀνωτάτου μακαρισμοῦ ἄξιον [τὸ] τῇ ὑμετέρᾳ θεοσεβείᾳ χαρισθὲν παρὰ τοῦ Κυρίο[υ], τὸ μὲν κίβδηλον ἀπὸ τοῦ δοκίμου καὶ καθαροῦ δια[κρίνειν], τὴν δὲ τῶν Πατέρων πίστιν ἄνευ τινὸς ὑπ[ο]στολῆς κηρύσσειν· ἣν καὶ ἡμεῖς ἐδεξάμεθα, κα[ὶ] ἐπέγνωμεν ἐκ τῶν ἀποστολικῶν χαρακτήρων μ[ε]μορφωμένην, συνθέμενοι καὶ αὐτῇ καὶ πᾶσι τοῖς [ἐν] τῷ συνοδικῷ (52) γράμματι κανονικῶς καὶ ἐνθέσμω[ς] δεδογματισμένοις.

EPISTOLA XCIII*.

ΕΠΙΣΤΟΛΗ ϞΓʹ.

Docet Basilius bonum esse et perutile quotidie communicare: observat quater singulis hebdomadibus Cæsarienses, atq[ue] etiam sæpius communicare. Respondet alteri quæstioni an persecutionis tempore liceat communionem manu sua accipe[re] si nec presbyter adsit nec diaconus.

Ad Cæsariam patriciam, de communione.

Singulis etiam diebus communicare, ac participem esse sancti corporis et sanguinis Christi, bonum est et perutile: cum ipse perspicue dicat: *Qui comedit meam carnem, et bibit meum sanguinem, habet vitam æternam* [a]. Quis enim dubitat quin vitæ continenter esse participem nihil aliud sit quam multiplici ratione vivere? Nos quidem quater singulis hebdomadibus communicamus, Dominica die, quarta die, in parasceve et Sabbato, et aliis diebus, si sancti alicujus memoria recolatur. Quod autem persecutionum temporibus cogitur quis, absente sacerdote aut **187** diacono,

B *Πρὸς Καισαρίαν* (53) *πατρικίαν, περὶ κοινωνίας*.

Καὶ τὸ κοινωνεῖν δὲ καθ' ἑκάστην ἡμέραν, κα[ὶ] μεταλαμβάνειν τοῦ ἁγίου σώματος καὶ αἵματος το[ῦ] Χριστοῦ, καλὸν καὶ ἐπωφελές· αὐτοῦ σαφῶς λέγ[ον]τος· *Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μο[υ] τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον*. Τίς γὰρ ἀμφιβάλλε[ι] ὅτι τὸ μετέχειν συνεχῶς τῆς ζωῆς οὐδὲν ἄλλο (54) ἐστὶν ἢ ζῆν πολλαχῶς; Ἡμεῖς μέντοιγε τέταρτ[ον] καθ' ἑκάστην ἑβδομάδα κοινωνοῦμεν, ἐν τῇ Κυριακ[ῇ], ἐν τῇ τετράδι, καὶ ἐν τῇ παρασκευῇ, καὶ τῷ Σαβ[]βάτῳ, καὶ ἐν ταῖς ἄλλαις ἡμέραις, ἐὰν ᾖ μνή[μη] ἁγίου (55) τινός. Τὸ δὲ ἐν τοῖς τοῦ διωγμοῦ καιρο[ῖς] ἀναγκάζεσθαί τινα, μὴ παρόντος ἱερέως ἢ λειτου[ργοῦ],

[a] Joan. vi, 55.

* Alias CCLXXXIX. Scripta circa ann. 372.

(51) Ἃ παρεπενόησαν. Ita Coisl. et Harl. Editi ἅπερ ἐπενόησαν.

(52) Ἐν τῷ συνοδικῷ. Exstat synodica illa epistola, Græce quidem apud Sozomenum et Theodoretum, Latine vero in collectione Romana ex veteribus monumentis descripta. Sed cum synodus in hac epistola doceat Patrem et Filium et Spiritum sanctum *unius esse hypostasis et essentiæ*, τῆς αὐτῆς ὑποστάσεως καὶ οὐσίας, quomodo Basilius et cum eo plures alii, qui unam in tribus hypostasim ferre non poterant, omnibus tamen, quæ synodi litteris continentur, declarant se assentiri? Magnum sane indicium hanc vocem ὑποστάσεως subdititiam esse et assutam. Sed huc accedit cum ipsa epistola ab Holstenio edita, in qua legitur tantum Patrem et Filium *unius esse substantiæ*, tum maxime ipsius Basilii testimonium, qui in epist. 214 docet ipsos etiam Occidentales dicrimen inter essentiam et hypostasim subindicasse; siquidem in litteris suis, *cum linguæ suæ inopiam suspectam haberent, essentiæ nomen Græca lingua ediderant*. Non ergo dixerunt Occidentales Patrem et Filium ejusdem esse ὑποστάσεως καὶ οὐσίας, sed tantum ejusdem οὐσίας, omissa hypostasis voce. Atque inde etiam colligitur eos non Græce scripsisse, nec epistolam, quæ est apud Sozomenum et Theodoretum, primarium esse et germanissimum exemplar, ut eruditus editor litterarum summorum pontificum contra Tillemontium et alios contendit, sed potiori jure hanc laudem editæ ab Holstenio epistolæ Latinæ tribuendam.

C (53) *Πρὸς Καισαρίαν*. Colbertinus codex πρὸ[ς] Καισάριον πατρίκιον, περὶ κοινωνίας. In quodam codice Regio occurrit fragmentum hujus epistol[æ] sic inscriptum: Ἐκ τῆς πρὸς Καισάριον ἐπιστ[ο]λῆς. *Ex epistola ad Cæsarium.*

(54) *Οὐδὲν ἄλλο*. Quidam mss. οὐδὲν ἄλλο τι.

(55) *Ἁγίου*. Ita duo codices Coisliniani, Vat., Paris., Clarom., unus Regius et unus Colb. No[n] legitur hæc epistola in codice Harlæano. Editi μάρτυρος, quam lectionem tuetur Combefisius, et Scultetum castigat, quod reddiderit, *alicujus sancti*, cum soli martyres illis temporibus colerentur. Se[d] ne id quidem Combefisio concedi potest, martyre[s] solos tunc coli solitos fuisse. Narrat Basilius i[n] epistola ad Ambrosium, Dionysio Mediolanens[i] eumdem ac martyribus honorem delatum fuisse a[b] incolis illius loci, in quo sepultus fuerat. Nec mi[]nor fuit Gregorii apud Neocæsarienses celebritas. Athanasii et Basilii dies festos nemo nescit stati[m] post eorum mortem celebratos fuisse. Atque etiam

D si demus Combefisio quod contendit, non idcirc[o] mutandus erit contextus. His enim vocibus, *S[]ancti alicujus memoria recolatur*, nihil vetat apo[]stolos et martyres intelligere. Sic enim Paulum de[]signat Basilius in epist. 204, sic designantur sacri scriptores in libro secundo *adversus Eunomium*, n. 8. Sed quod nullum prorsus difficultati locum relinquit, Gregorius Nyssenus, *Orat. in laudes Basilii*, pag. 485, negat celebritatem filius diei minorem videri debere aliis sanctorum festis diebus, τῶν ἐπὶ τοῖς ἁγίοις ἑορτῶν.

τοῦ, τὴν κοινωνίαν λαμβάνειν τῇ ἰδίᾳ χειρὶ, μηδαμῶς εἶναι βαρὺ περιττόν ἐστι ἀποδεικνύναι, διὰ τὸ καὶ τὴν μακρὰν συνήθειαν τοῦτο δι' αὐτῶν τῶν πραγμάτων πιστώσασθαι. Πάντες γὰρ οἱ κατὰ τὰς ἐρήμους (56) μονάζοντες, ἔνθα μὴ ἔστιν ἱερεὺς, κοινωνίαν οἴκοι κατέχοντες, ἀφ' ἑαυτῶν μεταλαμβάνουσιν. Ἐν Ἀλεξανδρείᾳ δὲ καὶ ἐν Αἰγύπτῳ ἕκαστος καὶ τῶν ἐν λαῷ τελούντων ὡς ἐπὶ τὸ πλεῖστον ἔχει κοινωνίαν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ὅτε βούλεται (57), μεταλαμβάνει δι' ἑαυτοῦ. Ἅπαξ γὰρ τὴν θυσίαν τοῦ ἱερέως τελειώσαντος καὶ δεδωκότος, ὁ λαβὼν αὐτὴν ὡς ὅλην ὁμοῦ, καθ' ἑκάστην μεταλαμβάνων, παρὰ τοῦ δεδωκότος εἰκότως μεταλαμβάνειν (58) καὶ ὑποδέχεσθαι πιστεύειν ὀφείλει. Καὶ γὰρ καὶ ἐν τῇ Ἐκκλησίᾳ ὁ ἱερεὺς ἐπιδίδωσι τὴν μερίδα, καὶ κατέχει αὐτὴν ὁ ὑποδεχόμενος μετ' ἐξουσίας ἁπάσης, καὶ οὕτω προσάγει τῷ στόματι τῇ ἰδίᾳ χειρί. Ταυτὸν τοίνυν ἐστὶ τῇ δυνάμει, εἴτε μίαν μερίδα δέξεταί τις παρὰ τοῦ ἱερέως, εἴτε πολλὰς μερίδας ὁμοῦ.

A communionem sua ipsius manu accipere, id grave non esse supervacuum est ostendere; quia hoc diuturna consuetudo ipsis rebus confirmat. Omnes enim in solitudinibus monachi, ubi non est sacerdos, communionem domi servantes, suis ipsorum manibus sumunt. Alexandriæ autem et in Ægypto unusquisque etiam de plebe ut plurimum habet domi communionem, et quando vult, per se ipse fit illius particeps. Postquam enim semel sacerdos sacrificium absolvit, ac porrexit : qui illud, ut totum simul accepit, is dum quotidie participat, merito credere debet se ab eo qui dedit participare et accipere. Enimvero etiam in Ecclesia sacerdos porrigit partem : quam qui suscipit, cum omni potestate retinet, et sic ori admovet propria manu.
B Itaque idem valet, sive quis partem unam a sacerdote accipiat, sive multas simul.

ΕΠΙΣΤΟΛΗ ϞΔ'.

EPISTOLA XCIV*.

Cum amplissimum ædificium construeret Basilius, inde illius accusandi arrepta causa : huc accesserunt ab episcopis dissidentibus aliæ criminationes. Primam accusationem repellit, ac ædificium suum imperatoris judicio comprobatum, et rei publicæ utile esse docet. Cæteras differt in aliud tempus. Interim præsidem rogat ut Alexandri factum imitetur.

Ἠλίᾳ ἄρχοντι τῆς ἐπαρχίας (59).

Ὥρμησα μὲν καὶ αὐτὸς καταλαβεῖν σου τὴν τιμιότητα, ὡς ἂν μὴ τῇ ἀπολείψει ἔλαττόν τι ἔχοιμι τῶν διαβαλλόντων· ἀλλ' ἐπειδὴ ἡ ἀῤῥωστία τοῦ σώματος διεκώλυσε, σφοδρότερον πολλῷ τῆς συνηθείας ἐπιθεμένη, ἀναγκαίως ἦλθον ἐπὶ τὸ γράμμα. Ἐγὼ μὲν οὖν, ὦ θαυμάσιε, συντυχὼν πρώην τῇ τιμιότητί σου, ὥρμησα μὲν καὶ περὶ πάντων τῶν κατὰ τὸν βίον (60) μου πραγμάτων ἀνακοινώσασθαί σου τῇ φρονήσει· ὥρμησα δὲ καὶ τῶν Ἐκκλησιῶν ἕνεκα ποιήσασθαί (61) τινα λόγον, ὡς ἂν μὴ ταῖς μετὰ ταῦτα διαβολαῖς χώρα τις ὑπολείποιτο. Ἀλλ' ἐπέσχον ἐμαυτὸν, λογιζόμενος περίεργον εἶναι παντελῶς, καὶ πέρα (62) τοῦ μέτρου φιλότιμον, ἀνδρὶ τοσοῦτον πλῆ-

Heliæ rectori provinciæ

Volebam et ipse tuam dignitatem adire, ne ob absentiam minus aliquid haberem, quam qui calumniantur; sed quia infirma corporis valetudo prohibuit, solito longe vehementius ingruens, ne-
C cessario ad scribendum veni. Ego igitur, vir admirande, cum nuper una cum tua præstantia versarer, volebam et de omnibus meis exterioribus negotiis cum tua prudentia communicare; volebam et de Ecclesiis sermonem instituere, ut nihil postea calumniis loci relinqueretur. Sed me repressi, omnino præposterum esse existimans, ac immoderatum studium, viro tanta negotiorum multitudine onerato curas adhuc, easque non necessarias, inji-

(56) *Ἐρήμους*. Multi mss. ἐρημίας.

(57) *Καὶ ὅτε βούλεται*, etc. Hæc desunt in editis, et leguntur in codicibus Med., Coisl. primo, Vat. et pluribus aliis.

(58) *Μεταλαμβάνειν*. Nonnulli mss. μεταλαμβάνει. Idem ex Theodoro Studita quæsitum cum esset, non idem responsum dedit ac Basilius. Interrogatus enim an per se ipsi monachi et moniales Eucharistiam accipere possint, respondet in epist. 219 libri secundi, pag. 748, ne sacra quidem donaria tangere licitum esse, ἅπτεσθαι οὐδὲ τῶν θείων ἀναθημάτων, *iis qui sacerdotii participes non sunt, nec, nisi forte necessitate urgente, si desit presbyter vel diaconus, per seipsum sumere Eucharistiam*. Quomodo autem tunc sumenda sit, sic præscribit : Τιθεμένης βίβλου ἱερᾶς, καὶ ἐφαπλουμένης ὀθόνης καθαρᾶς, ἢ ἱερᾶς ἐπικαλυμματίδος, ἐκεῖσε τοῦ δώρου ἀπὸ χειρὸς σὺν φόβῳ προτεθέντος, μετὰ τὴν ὑμνῳδίαν ἀπὸ στόματος ληπτέον· εἶθ' οὕτω διακλύσεως οἴνου γινομένης τῷ λαμβάνοντι· *Posito sacro libro, extensoque puro linteo, aut sacro velamine, deposita prius illic e manu cum metu sacra Eucharistia, post hymnorum recitationem ore sumi debet. Postea, qui accepit, abluere os vino debet.*

(59) *Ἠλίᾳ*, etc. Deest Heliæ nomen in codicibus Med. et Coisl. primo : reperitur in Reg. utroque, Coisl. secundo, Paris., et secunda manu in Harlæano.

(60) *Κατὰ τὸν βίον*. Pronomen quod sequitur, referri debet ad πραγμάτων. Non enim id dicit Basilius, quod ab eo dictum existimarunt eruditi, voluisse se totius vitæ suæ rationem Heliæ reddere. Distinguit enim negotia illa, de quibus vo-
D luerat cum Helia communicare, a negotiis ecclesiasticis, id est ad fidem et disciplinam pertinentibus. Nequaquam autem poterat vitæ suæ rationem reddere, quin simul de rebus ecclesiasticis ageret. Illa ergo κατὰ βίον πράγματα sunt negotia exteriora, sive, ut vocant, temporalia. In epist. 81 digniorem episcopatu existimat senem omnibus virtutibus ornatum, quam juvenem ad hoc tantum idoneum ut mittatur et exteriora negotia pertractet, πρὸς τὸ πέμπεσθαι καὶ τὰς βιωτικὰς ἀνύειν χρείας. Eodem sensu usurpantur in epist. 193, ἀσχολίαι τῶν κατὰ τὸν βίον πραγμάτων.

(61) *Ποιήσασθαι*. Editi τοῦ ποιήσασθαι, sed deest articulus in omnibus mss. Paulo post editi ὑπολίποιτο. Quinque mss. ut in textu.

(62) *Καὶ πέρα*. Ita mss. omnes : editio prima Paris. καὶ παρά. Paulo post Coisl. primus ἀνδρὶ τοσούτῳ.

* Alias CCCLXXII. Scripta anno 372.

cere. Ad hæc, dicetur enim quod res est, et alias timui ne forte in necessitatem veniremus vulnerandæ mutuis altercationibus animæ tuæ, quæ pura sua in Deum pietate perfectam religiosi cultus mercedem percipere debet. Nam revera si ipsi te ad nos abstrahamus, parum tibi otii ad res publicas relinquemus; ac idem fere faciemus, ac si quis naucleruin, **188** qui navem nuper compactam in magna gubernat tempestate, sarcinis novis prægravet, cum aliquid detrahere oneris, et quantum fieri potest allevare oporteat. Unde mihi videtur et magnus imperator, ubi nostram hanc sollicitudinem perspexit, veniam dedisse, ut Ecclesias per nos ipsi administraremus. Jam vero eos qui sinceris tuis auribus obstrepunt, interrogatos volo, quid a nobis rebus publicis allatum sit detrimenti? quid parvum magnumve in rebus communibus nostra Ecclesiarum gubernatione lædatur? nisi quis dicat damnum ab eo rebus afferri, qui precationis domum magnifice exstructam erigit Deo nostro, et ædes circum illam, aliam quidem liberali specie, episcopo privatim addictam, alias vero interiores Dei famulis ex ordine distributas; quarum usus communis vobis rectoribus, et vestro comitatui. Ecquem injuria afficimus, dum peregrinis, sive hac transeuntibus, sive medela aliqua ob morbum indigentibus hospitia construimus, atque sic necessarium constituimus solatium, ægrorum curatores, medicos, jumenta, deductores? Quibus necesse fuit et artes adjungi, tum quæ ad vitam sunt necessariæ, tum quæ ad honestius vitæ institutum fuerunt excogitatæ: alias rursus ædes ad facienda opera idoneas, quæ omnia ipsi loco ornatum, et rectori nostro gloriam ferunt, laude in eum redundante. Tu certe non idcirco ad nos regendos invitus adductus es, quod solus animi magnitudine possis opera collapsa instaurare, loca non habitata incolis complere, et uno verbo solitudines in urbes transformare. Qui igitur ad hæc se adjutorem præbet, eum abigere et injuriis afficere consentaneum, an honorare ac colere? Neque existimes, vir optime, verba tantum esse quæ dicimus: siquidem jam in opere versamur, cum materiam hactenus comportaverimus. Hæc igitur ad nostram coram rectore defensionem dicta sint. Quæ autem par est adversus accusatorum querelas, ut Christiano et amico existimationem meam curæ habenti, respondere, ea nunc necesse est prætermittere, ut et epistolæ modo longiora, et aliunde inanimis epi-

A θος πραγμάτων ἐξηρτημένῳ ἔτι καὶ τὰς ἔξω τῶν ἀναγκαίων ἐπιβάλλειν φροντίδας. Ὁμοῦ τε (εἰρήσεται γὰρ τἀληθὲς), καὶ ἄλλως ὤκνησα μήποτε εἰς ἀνάγκην ἔλθωμεν ταῖς κατ' ἀλλήλων ἀντιλογίαις τρῶσαι τὴν ψυχήν σου, ὀφείλουσαν ἐν τῇ καθαρᾷ περὶ τὸν Θεὸν εὐλαβείᾳ τέλειον τὸν μισθὸν τῆς θεοσεβείας καρποῦσθαι. Τῷ ὄντι γάρ, ἐάν σε πρὸς ἑαυτοὺς ἐπιστρέψωμεν (63) ἡμεῖς, ὀλίγην σοι σχολὴν πρὸς τὰ δημόσια καταλείψομεν· καὶ παραπλήσιον ποιήσομεν, ὥσπερ ἂν εἴ τις κυβερνήτην, νεοπαγῆ ναῦν ἐν μεγάλῳ κλύδωνι διευθύνοντα, τῇ προσθήκῃ τοῦ φόρτου καταβαρύνοι, δέον ἀφαιρεῖν τι τῶν ἀγωγίμων, καὶ συνεπικουφίζειν ὡς δυνατόν. Ὅθεν μοι δοκεῖ καὶ βασιλεὺς ὁ μέγας, τὴν πολυπραγμοσύνην ἡμῶν ταύτην καταμαθών, ἐᾶσαι ἡμᾶς ἐφ' ἑαυτῶν B τὰς Ἐκκλησίας οἰκονομεῖν. Τοὺς μέντοι ταῖς ἀδόλοις ἀκοαῖς σου παρενοχλοῦντας ἐρωτηθῆναι βούλομαι, τί χεῖρον ἔχει τὰ δημόσια παρ' ἡμᾶς; ἢ τί μικρὸν ἢ μεῖζον τῶν κοινῶν ἐκ τῆς ἡμετέρας περὶ τὰς Ἐκκλησίας οἰκονομίας (64) ἠλάττωται; πλὴν εἰ μή τις λέγοι βλάβην τοῖς πράγμασι φέρειν, οἶκον εὐκτήριον μεγαλοπρεπῶς κατεσκευασμένον ἀναστῆσαι τῷ Θεῷ ἡμῶν, καὶ περὶ αὐτὸν οἴκησιν, τὴν μὲν ἐλευθέριον ἐξῃρημένην (65) τῷ κορυφαίῳ, τὰς δὲ ὑποβεβηκυίας τοῖς θεραπευταῖς τοῦ θείου διανενεμημένας ἐν τάξει, ὧν ἡ χρῆσις κοινὴ πρός τε ὑμᾶς τοὺς ἄρχοντας καὶ τοὺς παρεπομένους ὑμῖν. Τίνα δὲ ἀδικοῦμεν, καταγώγια τοῖς ξένοις οἰκοδομοῦντες, τοῖς τε κατὰ πάροδον ἐπιφοιτῶσι καὶ τοῖς θεραπείας τινὸς διὰ τὴν ἀσθένειαν δεομένοις, καὶ τὴν ἀναγκαίαν τούτοις παρα- C μυθίαν ἐγκαθιστῶντες, τοὺς νοσοκομοῦντας, τοὺς ἰατρεύοντας, τὰ νωτοφόρα, τοὺς παραπέμποντας (66); Τούτοις ἀνάγκη καὶ τέχνας ἕπεσθαι, τάς τε πρὸς τὸ ζῆν ἀναγκαίας, καὶ ὅσαι πρὸς εὐσχήμονα βίου διαγωγὴν ἐφευρέθησαν· οἴκους πάλιν ἑτέρους ταῖς ἐργασίαις ἐπιτηδείους, ἅπερ πάντα τῷ μὲν τόπῳ κόσμος, τῷ δὲ ἄρχοντι ἡμῶν σεμνολόγημα, ἐπ' αὐτὸν τῆς εὐφημίας ἐπανιούσης. Ὅς γε οὐδὲ τούτου ἕνεκεν πρὸς τὴν ἐπιστασίαν ἡμῶν ἐξεβιάσθης, ὡς μόνος ἐξαρκῶν τῷ μεγέθει τῆς γνώμης τά τε κατεῤῥυηκότα τῶν ἔργων (67) ἀναλαβεῖν, καὶ οἰκίσαι τὰς ἀοικήτους, καὶ ὅλως εἰς πόλεις τὰς ἐρημίας μετασκευάσαι. Τὸν οὖν εἰς ταῦτα συνεργοῦντα ἐλαύνειν καὶ ὑβρίζειν, ἢ τιμᾶν καὶ περιέπειν, ἀκολουθότερον ἦν; Καὶ μὴ D οἰηθῇς, ὦ ἄριστε, λόγον μόνον εἶναι τὰ παρ' ἡμῶν· ἤδη γὰρ ἐσμεν ἐν τῷ ἔργῳ, τὰς ὕλας τέως συμποριζόμενοι. Τὰ μὲν οὖν πρὸς τὴν τοῦ ἄρχοντος ἀπολογίαν τοιαῦτα. Ἃ δὲ δεῖ πρὸς τὰς τῶν φιλαιτίων μέμψεις, ὡς Χριστιανῷ καὶ φίλῳ πεφροντικότι

(63) *Ἐπιστρέψωμεν*. Ita mss. summo consensu. Editi ἐπιστρέφομεν.

(64) *Οἰκονομίας*. Hæc vox addita ex novem mss. Paulo post editi μεγαλοπρεπές· mss. summo consensu μεγαλοπρεπῶς.

(65) *Ἐξῃρημένην*. Hæc scriptura, quamvis in editis tantum ac Coisl. primo occurrat, videtur tamen ei præferenda, quam habent alii mss. ἐξηρτημένην. Paulo post editi ἐντάξαι, pro quo ex mss. posuimus ἐν τάξει.

(66) *Παραπέμποντας*. *Deductores*, id est, eos qui obviam ibant, et abeuntes deducebant. Videtur honoris causa hoc munus clericis sæpe commissum fuisse. Nam Basilius in epist. 243 testatur Arianos sibi omnia ecclesiastica munia arrogare, in his ut deducant proficiscentes. Queritur in epist. 98, quod se Meletius et Theodotus perfunctorie invitaverint, nec quemquam miserint, qui iterum admoneret aut deduceret. (Vide Addenda.)

(67) *Τῶν ἔργων*. Ita tres vetustissimi codices, Harl., Med. et Coisl. primus. Sex alii mss. non ita vetusti pro his vocibus habent τῷ χρόνῳ. Editi utrumque habent τῶν ἔργων et τῷ χρόνῳ.

ἡμῶν τῆς ὑπολήψεως ἀποκρίνασθαι, ἀναγκαῖον νῦν ἀποσιωπῆσαι, ὡς καὶ μακρότερα τοῦ μέτρου τῆς ἐπιστολῆς, καὶ ἄλλως οὐκ ἀσφαλῆ γράμμασιν ἀψύχοις καταπιστεύεσθαι. Ἵνα δὲ μὴ τὸν πρὸ τῆς συντυχίας χρόνον, ταῖς διαβολαῖς τινων ὑπαχθεὶς, ὑφεῖναί τι τῆς περὶ ἡμᾶς εὐνοίας ἀναγκασθῇς, τὸ τοῦ Ἀλεξάνδρου ποίησον. Καὶ γὰρ ἐκεῖνόν φασι, διαβαλλομένου τινὸς τῶν συνήθων, τὴν μὲν ἑτέραν τῶν ἀκοῶν ἀνεῖναι τῷ διαβάλλοντι, τὴν δὲ ἑτέραν ἐπιμελῶς ἐπιφράξασθαι τῇ χειρί· ἐνδεικνύμενον, ὅτι δέοι τὸν ὀρθῶς κρίνειν μέλλοντα μὴ ὅλον εὐθὺς τοῖς προλαβοῦσιν ἀπάγεσθαι, ἀλλὰ τὸ ἥμισυ τῆς ἀκροάσεως ἀκέραιον διασώζειν πρὸς ἀπολογίαν τῷ μὴ παρόντι.

A stolis non tuto committenda. Sed ne ante congressus nostri tempus nonnullorum calumniis inductus, aliquid de tua in me benevolentia remittere cogaris, fac idem quod Alexander. Nam et illum ferunt, cum quidam ex familiaribus calumnia appeteretur, aurium quidem alteram accusatori præbuisse, alteram vero diligenter manu occlusisse: demonstrantem, oportere ut qui recte judicaturus est, non totus statim a præoccupantibus abducatur, sed dimidium auditus integrum ad defensionem servet absenti

ΕΠΙΣΤΟΛΗ ϞΕʹ.

189 EPISTOLA XCV*.

Irritatus a Meletio et Theodoto Basilius ad diem festum, medio mense Junio celebrandum, scripserat ad Eusebium per Theophrastum diaconum. Quo mortuo ante perlatas litteras, cum dies tan um triginta superessent, litteras i las misit Basilius Eustathio, ut cito perferrentur ad Eusebium. Declarat Basilius se ad hunc locum et diem venturum, si ipse etiam veniat Eusebius: secus vero, nequaquam iturum, sed potius profecturum ad ipsum Eusebium.

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

Πάλαι ἐπιστείλας τῇ θεοσεβείᾳ σου ἄλλων τέ τινων ἕνεκεν καὶ τοῦ συντυχεῖν ἡμᾶς ἀλλήλοις, διήμαρτον τῆς ἐλπίδος, οὐκ ἀφικομένων τῶν γραμμάτων εἰς τὰς χεῖρας τῆς σῆς τιμιότητος, τοῦ μακαρίου διακόνου Θεοφράστου δεξαμένου μὲν τὰ γράμματα ἡμῶν ἐπί τινα περιοδείαν ἀναγκαίως ἀποδημούντων (68), μὴ διαπεμψαμένου δὲ τῇ θεοσεβείᾳ σου, τῷ προκαταληφθῆναι τῇ ἀῤῥωστίᾳ ὑφ' ἧς ἐτελεύτησεν. Ὅθεν τοσοῦτον ὕστερος ἦλθον τοῦ καιροῦ πρὸς τὸ γράφειν, ὥστε μηδὲ ὄφελός τι ἐλπίζειν ἐκ τῆς ἐπιστολῆς ἔσεσθαι ταύτης, εἰς στενὸν παντελῶς κατακλεισθέντος τοῦ χρόνου. Ὁ γάρ τοι θεοφιλέστατος ἐπίσκοπος Μελέτιος καὶ Θεόδοτος ἐπέταξαν ἡμῖν πρὸς αὐτοὺς διαβῆναι, ἀγάπης τε ἐπίδειγμα τὴν συντυχίαν ποιούμενοι, καί τινα καὶ διόρθωσιν (69) γενέσθαι τῶν νῦν παραλυπούντων βουλόμενοι. Ἀπέδειξαν τε ἡμῖν χρόνον μὲν τῆς συντυχίας τὰ μέσα τοῦ προσιόντος μηνὸς Ἰουνίου, τόπον δὲ Φαργαμοῦν (70) τὸ χωρίον, ἐπίσημον μαρτύρων περιφανείᾳ (71) καὶ πολυανθρωπίᾳ συνόδου τῆς κατὰ ἔτος ἕκαστον παρ' αὐτοῖς τελουμένης. Ἐπεὶ δὲ ἔδει με, μετὰ τὴν ἐπάνοδον μαθόντα τὴν κοίμησιν τοῦ μακαρίου διακόνου, καὶ τὰς ἐπιστολὰς ἀργὰς παρ' ἡμῖν κειμένας, μὴ ἡσυχάσαι, διὰ τὸ ἔτι ἡμέρας ἡμῖν τριάκοντα καὶ τρεῖς ἐπὶ τὴν προθεσμίαν ὑπολελεῖφθαι, ἀπέστειλα κατὰ σπουδὴν τῷ αἰδεσιμωτάτῳ ἀδελφῷ Εὐσταθίῳ τῷ συλλειτουργῷ ἡμῶν τὰ γράμματα ταῦτα, ὥστε δι' αὐτοῦ παραπεμφθῆναί σου τῇ σεμνότητι (72), καὶ πάλιν ἐν τάχει ἀνακομισθῆναι ἡμῖν τὰς ἀποκρίσεις. Εἰ μὲν γὰρ δυνατὸν, ἢ ἄλλως ἀρεστόν σοι, παραγενέσθαι, καὶ αὐτοὶ παρεσόμεθα· εἰ δὲ μὴ, αὐτοὶ μὲν, ἂν ὁ Θεὸς θέλῃ, τὸ περυσινὸν ἀποτίσομεν χρέος τῆς συντυχίας· ἐὰν μή τι πάλιν ἐπιγένηται ἡμῖν ἐξ ἁμαρτιῶν κώλυμα, τὴν δὲ τῶν ἐπισκόπων ἔντευξιν εἰς ἕτερον χρόνον ὑπερθησόμεθα.

B *Eusebio, episcopo Samosatorum.*

Cum dudum scripsissem pietati tuæ tum aliis de rebus, tum ut in unum veniremus, spe excidi, non perlatis in manus dignitatis tuæ litteris, quas beatus diaconus Theophrastus accepit quidem, dum necessario ad circuitum quemdam conficiendum peregrinamur, sed minime transmisit ad tuam pietatem, eo quod illum morbus, ex quo mortuus est, anteverterit. Unde tam sero veni ad scribendum, ut ob summas temporis angustias nihil sit utilitatis ex his litteris exspectandum. Nam religiosissimus episcopus Meletius et Theodotus mihi præcepere ut ad ipsos proficiscar; tum ad amoris significationem congressum offerentes, tum etiam C emendationem aliquam eorum, quæ nunc molestiam afferunt, fieri volentes. Indixerunt autem nobis tempus quidem conveniendi, medium mensem Junium proxime sequentem: locum vero Phargamum, locum insignem martyrum splendore, ac frequentissimo conventu singulis annis ab ipsis celebrato. Cum autem mihi, postquam reditu meo didici beatum diaconum obiisse, et litteras apud me inertes jacere, otiandum non esset, eo quod adhuc triginta tres dies nobis ad diem constitutum supersint; misi celeriter ad reverendissimum fratrem Eustathium comministrum nostrum has litteras, ut ipsius opera transmittantur ad tuam gravitatem, ac cito rursus responsa ad nos referantur. Etenim si fieri potest, aut alioqui placitum tibi, ut eo venias, nos quoque veniemus; sin minus, nos certe, D Deo volente, congressus debitum ab anno præterito contractum persolvemus; nisi rursus impedimentum aliquod nobis acciderit ob peccata: congressum vero cum episcopis in aliud tempus differemus.

(68) *Ἀποδημούντων*. Ita sex mss. Editi ἀποδημοῦντος. Ibidem Harl. περίοδον.

(69) *Καὶ διόρθωσιν*. Conjunctio addita ex sex mss. Quod autem ait Basilius Meletium et Theodotum emendationem eorum, quæ molesta erant, exoptasse, id referri debet ad Eustathium, cujus cum Basilio communio lædebat Theodotum.

(70) *Φαργαμοῦν*. Coisl. primus Φαρμαγοῦν.

(71) *Περιφανείᾳ*. Ita mss. sex. Editi ἐπιφανείᾳ.

(72) *Σεμνότητι*. Ita octo mss. Editi τιμιότητι.

* Alias CCXLI, scripta anno 372.

EPISTOLA XCVI*.

Demonstrat Basilius quantum afflicta Cappadocia damnum fecerit, ablato ei præstantissimo præside (Helia). *Rogat ut illum Sophronius commendet Imperatori, et illatas ei criminationes diluat.*

Sophronio magistro.

Ecquis ita civitatem suam diligens, ac patriam, a qua editus in lucem et nutritus æque ac parentes honorans, uti tu ipse, qui et urbi universæ generatim et cuique sigillatim bona precaris, nec precaris solum, sed vota etiam per te ipse confirmas? Hæc enim potes, Deo dante, atque utinam possis quam diutissime, ita benignus ac clemens. Sed tamen, hac te potestate prædito, patria nostra **190** per somnium ditata est, viro quidem commissa, qualem non alium dicunt, qui res nostras antiquissimas sciunt, in rectoris sedem conscendisse; sed cito eo privata improbitate nonnullorum, qui ex illius libero et nescio assentationis animo ansam belli ei inferendi arripuerunt, et calumnias ei instruxerunt, clam tuæ præstantiæ auribus. Quapropter omnes universe lugemus, rectore ablato, qui solus poterat jam in genua provolutam urbem nostram denuo erigere, æqui sincero custode, affabili injuriam patientibus, terribili delinquentibus, æquabili et eodem pauperibus et divitibus, et quod maximum est, res Christianorum ad antiquum decus revocante. Quod enim a muneribus omnium quos scimus hominum maxime abhorruit, nec cuiquam præter jus gratificatus est, id ut exilius cæteris illius virtutibus prætermittimus. Hæc quidem sero testificamur, nosmetipsos more eorum, qui nænias cantitant, consolantes, nihil rebus auxilii ferentes. Sed tamen nec illud inutile, ut viri memoria in magno tuo pectore recondatur, eique ut bene de patria merito gratiam habeas; ac si quis ex iis, qui se justitiæ posthabitos fuisse moleste ferunt, in ipsum insurrexerit, tuearis ac defendas, omnibusque aperte demonstres eum a te inter necessarios asciibi: satis causæ esse putans ad necessitudinem, tum bonum de eo testimonium, tum ipsam rerum experientiam, quæ tempori minime respondet. Nam quæ ne multis quidem annis ab alio fiant, hæc brevi tempore ab eo perfecta. Porro satis magnum nobis beneficium, ac eorum quæ acciderunt solamen, si et illum commendes imperatori, et illatas ei criminationes diluas. Hæc tibi universam existima patriam una voce mea disserere, ac commune omnium votum esse, ut præstantiæ tuæ ope aliquid huic viro prospere ac feliciter cedat.

ΕΠΙΣΤΟΛΗ ϞϚ'.

A *Σωφρονίῳ μαγίστρῳ.*

Καὶ τίς οὕτω φιλόπολις, ὃς τὴν ἐνεγκοῦσαν καὶ θρεψαμένην πατρίδα ἴσα γονεῦσι τιμῶν, ὡς αὐτὸς σὺ, κοινῇ τε πάσῃ τῇ πόλει καὶ ἰδίᾳ ἑκάστῳ τὰ ἀγαθὰ συνευχόμενος, καὶ οὐκ εὐχόμενος μόνον, ἀλλὰ καὶ βεβαιῶν τὰς εὐχὰς διὰ σαυτοῦ; Δύνασαι γάρ που σὺν Θεῷ τὰ τοιαῦτα, καὶ δύναιό γε ἐπὶ μήκιστον, οὕτω χρηστὸς ὤν. Ἀλλ' ὅμως ἐπὶ σοῦ ὄναρ ἐπλούτησεν ἡ πατρὶς ἡμῶν, ἄνδρα μὲν ἔχουσα τὸν τὴν ἐπιμέλειαν αὐτῆς ἐπιτραπέντα, οἷον οὔ φασιν ἄλλον οἱ τὰ παλαιότατα τῶν παρ' ἡμῖν ἐπιστάμενοι ἐπὶ τῶν ἀρχικῶν (73) θρόνων πρότερον ἀναβῆναι· ἐπηρείᾳ δέ τινων ἀφαιρεθεῖσα ταχέως, οἳ τὸ ἐλεύθερον τοῦ ἀνδρὸς καὶ ἀθώπευτον τοῦ πρὸς αὐτὸν πολέμου B ἀφορμὴν ἐποιήσαντο, καὶ διαβολὰς αὐτῷ κατεσκεύασαν, λαθόντες τὰς ἀκοὰς τῆς σῆς τελειότητος. Διὸ πανδημεὶ πάντες σκυθρωπάζομεν, ζημιωθέντες ἄρχοντα, μόνον δυνάμενον εἰς γόνυ κλιθεῖσαν ἤδη τὴν πόλιν ἡμῶν ἀνορθῶσαι, ἀληθῆ (74) φύλακα τοῦ δικαίου, εὐπρόσιτον τοῖς ἀδικουμένοις, φοβερὸν τοῖς παρανομοῦσιν, ἴσον καὶ πένησι καὶ πλουσίοις, καὶ τὸ μέγιστον, τὰ τῶν Χριστιανῶν πράγματα πρὸς τὴν ἀρχαίαν ἐπανάγοντα τιμήν. Τὸ γὰρ, ὅτι ἀδωρότατος ὢν ἴσμεν ἀνθρώπων, καὶ οὐδενὶ (75) παρὰ τὸ δίκαιον χαριζόμενος, ὡς μικρότερα τῆς λοιπῆς ἀρετῆς τοῦ ἀνδρὸς παρελίπομεν. Ταῦτα ὀψὲ μὲν τοῦ καιροῦ μαρτυροῦμεν, ὥσπερ οἱ μονῳδοῦντες ἑαυτοὺς (76) παραμυθούμενοι, οὐχὶ τοῖς πράγμασί τι ποιοῦντες χρήσιμον· πλὴν οὐδὲ τοῦτο ἄχρηστον, ἐν C τῇ μεγάλῃ σου ψυχῇ τὴν μνήμην τοῦ ἀνδρὸς ἀποκεῖσθαι, χάριν τε εἰδέναι ὡς εὐεργέτῃ τῆς ἐνεγκούσης· καὶ εἴ τις ἐπιφύοιτο αὐτῷ τῶν διὰ τὸ μὴ προτιμηθῆναι τοῦ δικαίου χαλεπαινόντων, ὑπερμαχεῖν καὶ προΐστασθαι, πᾶσι ποιήσαντα φανερὸν, ὅτι οἰκεῖον σεαυτῷ τὸν ἄνδρα τίθεσαι, ἀρκοῦσαν ἀφορμὴν εἰς οἰκειότητα τὴν ἀγαθὴν περὶ αὐτοῦ μαρτυρίαν τιθέμενος, καὶ τὴν τῶν πραγμάτων πεῖραν, οὐ κατὰ τὴν τῶν χρόνων ἀναλογίαν ὑπάρχουσαν. Ἃ γὰρ οὐδ' ἂν ἐν πολλοῖς ἔτεσι παρ' ἄλλου γένοιτο, ταῦτα ἐν ὀλίγῳ παρ' αὐτοῦ κατώρθωται. Ἀρκοῦσα δ' ἡμῖν χάρις, καὶ τῶν συμβάντων παραμυθία, ἐὰν καὶ βασιλεῖ συστήσῃς αὐτὸν, καὶ τὰς ἐπενεχθείσας αὐτῷ διαβολὰς ἀποσκευάσῃ. Ταῦτά σοι πᾶσαν οἴου τὴν πατρίδα διὰ μιᾶς τῆς ἡμετέρας φωνῆς διαλέγεσθαι, καὶ κοι- D νὴν εἶναι πάντων εὐχὴν, γενέσθαι τι τῷ ἀνδρὶ διὰ τῆς σῆς τελειότητος δεξιόν.

* Alias CCCXXXII, scripta anno 372.

(73) *Ἐπὶ τῶν ἀρχικῶν*. Ita Coisl. uterque, Harl., Reg. secundus et Bigot. alter. Editi ἐπὶ τὸν ἀρχικὸν θρόνον. Sed hujus scripturæ videntur auctores fuisse librarii, dum metuunt ne præpositio minus recte cum genitivo conjungatur. Eam tamen similiter cum genitivo conjungit Basilius in epist. 38.

(74) *Ἀληθῆ*. Sic Harl., Med., Coisl. primus et Clarom. Editi ἀκριβῆ, *accurato æqui custodi*.

(75) *Οὐδενί*. Multi codices οὐδέν.

(76) *Ἑαυτούς*. Ita septem mss. Editi ἑαυτοῖς.

ΕΠΙΣΤΟΛΗ ϞΖʹ.

Eximium pacis studium declarat Basilius in vehementi illa dissensione, quæ ei cum Anthimo ob Cappadociæ divisionem supervenit.

Τῇ βουλῇ Τυάνων.

Ὁ ἀνακαλύπτων βαθέα, καὶ φανερῶν βουλὰς καρδιῶν, Κύριος ἔδωκε καὶ τοῖς ταπεινοῖς σύνεσιν τῶν δυσθεωρήτων, ὥς τινες οἴονται, τεχνασμάτων. Οὐδὲν οὖν ἡμᾶς ἔλαθεν, οὔτε τῶν πεπραγμένων τι κεκρυμμένον· ἀλλ' ὅμως ἡμεῖς οὔτε ὁρῶμεν, οὔτε ἀκούομεν ἄλλο τι ἢ τὴν εἰρήνην τοῦ Θεοῦ καὶ ὅσα (77), πρὸς αὐτὴν φέρει. Εἰ γὰρ καὶ ἕτεροι δυνατοὶ, καὶ μεγάλοι, καὶ ἑαυτοῖς πεποιθότες, ἀλλ' ἡμεῖς οἱ μηδὲν, καὶ τοῦ μηδενὸς ἄξιοι· ὥστε οὐκ ἄν ποτε (78) τοσοῦτον ἑαυτοῖς λάδοιμεν, ὡς ἐν τῇ μονώσει δύνασθαι νομίσαι περιέσεσθαι τῶν πραγμάτων· ἀκριδῶς εἰδότες, ὅτι πλέον ἡμεῖς τῆς ἑνὸς ἑκάστου τῶν ἀδελφῶν ἐπικουρίας δεόμεθα ἢ ὅσον ἡ ἑτέρα τῶν χειρῶν τῆς ἑτέρας. Ἐπεὶ καὶ ἐξ αὐτῆς τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς τὸ ἀναγκαῖον τῆς κοινωνίας ὁ Κύριος ἡμᾶς ἐδίδαξεν. Ὅταν γὰρ πρὸς αὐτὰ ταῦτα ἀπίδω (79) τὰ μέλη ἡμῶν, ὅτι ἓν οὐδὲν ἑαυτῷ πρὸς ἐνέργειαν αὔταρκες, πῶς ἐμαυτὸν λογίσομαι ἐξαρκεῖν ἑαυτῷ πρὸς τὰ τοῦ βίου πράγματα; Οὔτε γὰρ ἂν πούς ἀσφαλῶς βαδίσειε, μὴ συνυποστηρίζοντος τοῦ ἑτέρου· οὔτε ὀφθαλμὸς ὑγιῶς ἴδοι, μὴ κοινωνὸν ἔχων τὸν ἕτερον, καὶ μετ' αὐτοῦ συμφώνως προσβάλλων τοῖς ὁρατοῖς. Ἡ ἀκοὴ ἀκριδεστέρα ἡ δι' ἀμφοῖν τοῖν πόροιν τὴν φωνὴν δεχομένη, καὶ ἀντίληψις κραταιοτέρα τῇ κοινωνίᾳ τῶν δακτύλων. Καὶ ἁπαξαπλῶς οὐδὲν οὔτε τῶν ἐκ φύσεως οὔτε τῶν ἐκ προαιρέσεως κατορθουμένων ὁρῶ ἄνευ τῆς τῶν ὁμοφύλων συμπνοίας ἐπιτελούμενον· ὅπου γε καὶ αὐτὴ ἡ προσευχὴ μὴ ἔχουσα τοὺς συμφωνοῦντας ἀδρανεστέρα ἐστὶ πολλῷ ἑαυτῆς, καὶ ὁ Κύριος ἐπηγγείλατο μέσος γενήσεσθαι μεταξὺ (80) δύο ἢ τριῶν ἐπικαλουμένων αὐτὸν ἐν ὁμονοίᾳ. Καὶ αὐτὴν δὲ τὴν οἰκονομίαν ὁ Κύριος κατεδέξατο, ἵνα εἰρηνοποιήσῃ διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. Ὥστε, διὰ ταῦτα πάντα, ἐν εἰρήνῃ μένειν τὰς λειπομένας ἡμῶν ἡμέρας εὐχόμεθα· ἐν εἰρήνῃ δὲ γενέσθαι τὴν κοίμησιν ἡμῶν αἰτοῦμεν. Ὑπὲρ ταύτης οὐδὲ πόνον ἐλλείπειν ὅντινα οὖν ἔγνωκα, οὐ ταπεινόν τι φθέγξασθαι ἢ ποιῆσαι, οὐχ ὁδοιπορίας μῆκος ὑπολογίσασθαι, οὐκ ἄλλο τι τῶν ὀχληρῶν (81) ὑποστείλασθαι, ὥστε τῶν μισθῶν τῆς εἰρηνοποιίας ἐπιτυχεῖν. Κἂν μὲν ἕπηταί (82) τις ταῦτα καθηγουμένοις ἡμῖν, τοῦτο ἄριστον, καὶ εὐχῆς τυγχάνει πέρας· ἐὰν δὲ πρὸς τὴν ἐναντίαν ἀφέλκῃ (83), ἐγὼ μὲν οὐδὲ οὕτω τῆς ἐμαυτοῦ κρίσεως ἀποστήσομαι. Αὐτὸς δὲ ἕκαστος τῆς οἰκείας ἐργασίας ἐν ἡμέρᾳ τῆς ἀνταποδόσεως τοὺς καρποὺς ἐπιγνώσεται.

EPISTOLA XCVII*.

Senatui Tyanorum.

Qui occulta revelat, et cordium consilia in lucem profert, Dominus largitus est vilibus et abjectis intelligentiam difficilium ad deprehendendum, ut nonnulli putant, machinationum. Nihil igitur latuit nos, nec quidquam eorum quæ facta sunt, occultum fuit. Attamen nos neque videmus, neque audimus quidquam aliud, quam Dei pacem, et quæ ad eam ferunt. Nam etsi alii potentes sunt, et magni, et sibi ipsis fidentes, tamen nos nihil sumus et nullius pretii; quare nunquam tantum nobis sumemus, ut in solitudine videamur nobis negotia conficere posse: quippe cum probe sciamus, magis nos uniuscujusque **191** fratrum auxilio indigere, quam manum alteram alterius ope: siquidem et ex ipsa corporis nostri constitutione societatem necessariam esse Dominus nos docuit. Cum enim hæc ipsa nostra membra considero, quorum nullum sibi ipsi ad agendum satis est: quomodo mihi ipse videbor ad vitæ negotia sufficere? Neque enim pes tuto gradiatur, non suffulciente altero: neque oculus recte videat, non habens alterum consortem, et cum eo socialiter his quæ videntur, intentus. Auditus accuratior, qui per utrosque meatus vocem suscipit, et fortior apprehensio, digitorum conjunctione. Et in summa, nihil neque eorum quæ natura, neque eorum quæ libera voluntate perficiuntur, citra conspirationem eorum quæ ejusdem generis sunt, perfici video; cum et preces ipsæ, si desint qui conspirent, longe sint seipsis debiliores, ac Dominus inter duos aut tres, qui ipsum concorditer invocaverint, medium se fore promiserit. Sed et dispensationem ipsam Dominus suscepit, ut per sanguinem suæ crucis sive terrena sive cœlestia pacificaret. Quare, ob hæc omnia, in pace manere reliquos dies nostros optamus, in pace fieri obdormitionem nostram precamur. Statui pacis causa nec laborem ullum prætermittere, non humile dictu quidquam aut factu, non itineris longitudinem vereri, non quidquam aliud molestum refugere, ut mercedem pacificationis adipiscar. Quod si quis nos viam ad hæc monstrantes sequitur, hoc optimum, et voti finis est: sin autem in contrarium trahat, ego certe ne sic quidem a mea sententia recedam. Unusquisque autem operum suorum in remunerationis die fructus agnoscet.

(77) *Καὶ ὅσα*. Editio Paris. addit τοιαῦτα, quod abest ab omnibus nostris mss. et aliis editionibus. Paulo post uterque Reg. et Coisl. secundus Εἰ γὰρ ἕτεροι.

(78) *Ὥστε οὐκ ἄν ποτε*, etc. Sequimur hoc in loco, ut in pluribus aliis, tres vetustissimos codices Harl., Med. et Coisl. Editi sic habent: Μηδενὸς οὐκ ἄν ποτε τοσοῦτον ἑαυτοὺς ὑπολάδοιμεν, ὥστε. *Nunquam nosmetipsos tanti æstimabimus, ut*, etc.

(79) *Ἀπίδω*. Ita mss. sex. Editi ἀπίδωμεν. Paulo post Regius uterque et Coisl. uterque οὔτ' ἄν. Editi οὔτε αὖ. Tres vetustissimi codices οὔτε ὀφθαλμός.

(80) *Μεταξύ*. Hanc vocem addidimus ex tribus vetustissimis codicibus.

(81) *Τῶν ὀχληρῶν*. Coisl. primus, Harl. et Vat. τῶν μοχθηρῶν.

(82) *Ἕπηται*. Ita mss. sex. Editi ἕποιτο.

(83) *Ἀφέλκῃ*. Ita sex mss. Mox iidem τῆς ἐμαυτοῦ. Editi ἀφέλκοι et τῆς αὐτῆς. Legitur etiam ἀφέλκῃ in editionibus Hagan. et Basil.

* Alias LXVIII, scripta anno 372

EPISTOLA XCVIII*.

ΕΠΙΣΤΟΛΗ ϞΗ'.

Rationes exponit cur Nicopolim non iverit. Iturum se dicit in hanc urbem, ut cum Meletio colloquatur; vel etiam cum eodem Samosata venturum. Indictus cum episcopis secundæ Cappadociæ congressus; item alius cum Eustathio. Excusatione utitur, cum missæ non sint ad Eusebium litteræ episcoporum. Perstat in suo consilio ut Gregorius sit episcopus. Nuntiat Palmatium Maximo ad persecutionem ministrare. Rogat Eusebium ut ad se veniat

Eusebio, episcopo Samosatorum.

1. Cum Nicopolim mente animoque ferrer, postquam urbanitatis tuæ litteras accepi quibus venturum te negabas, relaxatus sum ex mea cupiditate, simulque totius meæ infirmitatis recordatus. Venit autem mihi in mentem et eorum qui advocaverant perfunctoria invitandi ratio, qui cum me per honoratissimum fratrem Hellenium Nazianzi peræquatorem in transcursu vocassent, qui iterum de iisdem submoneret, aut me deduceret, non dignati sunt mittere. Itaque cum ob peccata nostra simus ipsis suspecti, timuimus ne illorum **192** conventus lætitiam præsentia nostra obturbaremus. Nam cum magnanimitate tua vel ad magnas tentationes accingi non pigramur; absque te autem vel intuendis levibus ærumnis impares sumus. Quoniam igitur de rebus ecclesiasticis futurus erat mihi cum illis congressus, celebritatis quidem tempus prætermisi, congressum autem in quietum ac expers perturbationis tempus distuli; meque satius esse duxi Nicopolim venientem de necessariis Ecclesiarum rebus cum religiosissimo episcopo Meletio colloqui, si Samosata pergere recuset: sin autem non recuset, simul cum eo advolabimus, modo id mihi ab utroque declaretur, videlicet ab illo ipso nobis de his rescribente (scripsimus enim), atque a tua pietate.

2. Eramus etiam cum episcopis secundæ Cappadociæ congressuri: qui postquam alterius provinciæ nomen habuerunt, subito existimarunt se ex alia ac nos natione et gente esse, tantumque nos ignorarunt, quantum qui nullum prorsus periculum fecere, nec unquam in colloquium venerunt. Exspectabatur autem et alius congressus cum reverendissimo episcopo Eustathio, quocum congressi sumus. Nam quia multi clamitabant aliquid ab eo in fide adulterari, venimus ei in colloquium, eumque invenimus Dei ope ad omnem rectam fidem bono animo assectantem. Porro episcoporum litteræ culpa illorum ipsorum, a quibus nostras transmitti oportebat, ad dignitatem tuam missæ non sunt: sed et me fugerunt, e memoria ob assiduas curas elapsæ. Cæterum fratrem Gregorium

A *Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.*

1. Πάνυ ὡρμημένος καταλαβεῖν τὴν Νικόπολιν, μετὰ τὸ δέξασθαι τὰ παρὰ τῆς ὁσιότητός (84) σου γράμματα ἄρνησιν ἔχοντα τῆς ἀφίξεως, παρείθην ἀπὸ τῆς ἐπιθυμίας (85), καὶ πάσης ὁμοῦ τῆς ἀσθενείας ἀνεμνήσθην. Ἦλθε δέ μοι εἰς ἔννοιαν καὶ ἡ τῶν κεκληκότων ἀφοσίωσις, ὅτι, παροδικὴν πρὸς ἡμᾶς ποιησάμενοι τὴν κλῆσιν διὰ τοῦ αἰδεσιμωτάτου ἀδελφοῦ (86) Ἑλληνίου τοῦ ἐξισοῦντος Ναζιανζὸν, δεύτερον περὶ τῶν αὐτῶν ὑπομιμνήσκοντα (87), ἢ ὁδηγοῦντα ἡμᾶς, οὐ κατηξίωσαν ἀποστεῖλαι. Ἐπεὶ οὖν ὕποπτοι αὐτοῖς ἐσμεν διὰ τὰς ἁμαρτίας ἡμῶν, ἐφοβήθημεν μή που τὸ φαιδρὸν αὐτοῖς τῆς πανηγύρεως τῇ παρουσίᾳ ἡμῶν ἐπιθολώσωμεν. Μετὰ μὲν γὰρ τῆς σῆς μεγαλοφυΐας καὶ πρὸς τοὺς μεγάλους ἀπο-
B δύσασθαι πειρασμοὺς οὐκ ὀκνοῦμεν· ἄνευ δὲ σοῦ οὐδὲ ταῖς τυχούσαις θλίψεσιν ἀντιβλέψαι αὐτάρκως ἔχομεν. Ἐπεὶ οὖν ἐκκλησιαστικῶν ἕνεκεν γίνεσθαι ἡμῶν ἡ πρὸς αὐτοὺς ἔντευξις ἔμελλε, τὸν μὲν τῆς πανηγύρεως καιρὸν παρελίπομεν, εἰς ἡσυχίαν δὲ καὶ ἀτάραχον διαγωγὴν τὴν συντυχίαν ὑπερεθέμεθα, καὶ προῃρήμεθα καταλαβόντες τὴν Νικόπολιν διαλεχθῆναι περὶ τῶν ταῖς Ἐκκλησίαις ἀναγκαίων τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Μελετίῳ, εἰ μέλλοι παραιτεῖσθαι τὴν ἐπὶ Σαμόσατα (88) ὁδόν· εἰ δὲ μὴ, αὐτῷ (89) συνδραμούμεθα, ἐὰν παρ' ἀμφοτέρων τοῦτο ἡμῖν κατάδηλον γένηται, παρά τε αὐτοῦ ἐκείνου ἀντιγράψαντος ἡμῖν περὶ τούτων (ἐπεστείλαμεν γὰρ), καὶ παρὰ τῆς σῆς θεοσεβείας.

2. Ἐπισκόποις δὲ τοῖς ἐκ τῆς δευτέρας Καππαδοκίας συντυγχάνειν ἐμέλλομεν· οἳ, ἐπειδὴ ἑτέρας ὠνομά-
C σθησαν ἐπαρχίας, ἐνόμισαν ἀθρόως καὶ ἀλλοεθνεῖς καὶ ἀλλόφυλοι πρὸς ἡμᾶς γεγενῆσθαι· οἳ τοσοῦτον ἡμᾶς ἠγνόησαν, ὅσον οἱ μηδὲ τὴν ἀρχὴν πεπειραμένοι (90), μηδὲ εἰς λόγους ποτὲ ἀφικόμενοι (91). Προσεδοκᾶτο δὲ καὶ ἑτέρα συντυχία τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Εὐσταθίου, ἣ καὶ γενομένη ἡμῖν. Διὰ γὰρ τὸ παρὰ πολλῶν καταβοᾶσθαι αὐτὸν, ὥς περὶ τὴν πίστιν παραχαράσσοντά τι, ἀφικόμεθα αὐτῷ εἰς λόγους, καὶ εὕρομεν σὺν Θεῷ πρὸς πᾶσαν ὀρθότητα εὐγνωμόνως ἀκολουθοῦντα. Τὰ δὲ τῶν ἐπισκόπων γράμματα παρὰ τὴν αἰτίαν αὐτῶν ἐκείνων οὐκ ἐκομίσθη τῇ τιμιότητί σου, οὓς ἐχρῆν τὰ παρ' ἡμῶν διαπέμψασθαι· ἀλλὰ καὶ ἐμὲ παρῆλθε, τῇ συνεχείᾳ τῶν φροντίδων ἐκκρουσθέντα τῆς μνήμης. Τὸν δ'

* Alias CCLIX, scripta anno 372.

(84) Ὁσιότητος. Ita tres vetustissimi codices, quæ scriptura videtur præferenda vulgatæ κοσμιότητος.

(85) *Παρείθην ἀπὸ τῆς ἐπιθυμίας*. Editi παρείθην ὑπὸ τῆς ἀθυμίας, *animo defeci*. Harl. ἀπὸ τῆς ἀθυμίας. Solus Medicæus ἀπὸ τῆς ἐπιθυμίας.

(86) Vide Addenda.

(87) *Ὑπομιμνήσκοντα*. Sic mss. sex: habet Harlæanus codex ὑπομνήσκοντα. Sic etiam editio prima Paris. At in secunda legitur ὑπομνήσοντα.

D Aliquanto infra editi ἀντιβλέπειν, tres vetustissimi codices ut in textu.

(88) *Σαμόσατα*. Harl. Σαμοσάτων.

(89) Αὐτῷ. Sic Harl. prima manu, quam scripturam in textum inducere non dubitavimus pro eo quod vitiose legebatur αὐτοῦ.

(90) *Πεπειραμένοι*. Ita mss. et paulo post iidem ἀφικόμενοι. Editi πεπειρασμένοι et ἀφικνούμενοι. Habet tamen editio secunda Paris. πεπειραμένοι.

(91) Vide Addenda.

ἀδελφὸν (92) Γρηγόριον κἀγὼ ἐβουλόμην οἰκονομεῖν Ἐκκλησίαν τῇ αὐτοῦ φύσει σύμμετρον. Αὕτη δὲ ἦν πᾶσα εἰς ἓν συναχθεῖσα ἡ ὑφ' ἡλίῳ (93). Ἐπειδὴ δὲ τοῦτο ἀδύνατον, ἔστω ἐπίσκοπος, μὴ ἐκ τοῦ τόπου σεμνυνόμενος, ἀλλὰ τὸν τόπον σεμνύνων ἀφ' ἑαυτοῦ. Ὄντως γὰρ μεγάλου ἐστὶν οὐ τοῖς μεγάλοις μόνον ἀρκεῖν, ἀλλὰ καὶ τὰ μικρὰ μεγάλα ποιεῖν τῇ ἑαυτοῦ δυνάμει. Τί δὲ δεῖ (94) ποιῆσαι τῷ Παλματίῳ, μετὰ τοσαύτας παρακλήσεις τῶν ἀδελφῶν ἔτι ὑπηρετοῦντι τῷ Μαξίμῳ πρὸς τοὺς διωγμούς; Ἀλλ' ὅμως οὐδὲ νῦν ὀκνοῦσιν ἐπιστεῖλαι· παραγενέσθαι γὰρ καὶ ὑπὸ ἀσθενείας σώματος καὶ ὑπὸ ἀσχολιῶν οἰκειακῶν οὐκ ἐπιτρέπονται. Γίνωσκε μέντοι, θεοφιλέστατε Πάτερ, ὅτι πάνυ χρῄζει (95) τῆς παρουσίας σου τὰ ἡμέτερα· καὶ ἀνάγκη σε τὸ τίμιον γῆρας ἔτι ἅπαξ κινῆσαι, ὑπὲρ τοῦ στῆσαι περιφερομένην λοιπὸν καὶ ἐγγὺς πτώματος οὖσαν τὴν Καππαδοκίαν.

A vellem et ego Ecclesiam gubernare ingenio suo parem. Ea autem erat Ecclesia omnis quæ sub sole est, in unum collecta. Cum autem fieri id non queat, episcopus sit, non ex loco ornamentum accipiens, sed loco ex sese addens. Nam viri vere magni est non magnis tantum parem esse, sed etiam, quæ parva sunt facultate sua magna facere. Quid autem faciendum Palmatio, qui post tot ac tantas fratrum admonitiones adhuc ministrat Maximo ad persecutiones? Sed tamen ne nunc quidem litteras ad illum mittere gravantur: nam quominus veniant et corporea invaletudine et domesticis negotiis prohibentur. Noveris porro, Pater Deo dilectissime, res nostras tua omnino præsentia indigere, ac necesse esse ut venerandum senium adhuc semel B moveas, quo Cappadociam jam fluctuantem et casui proximam sustentes.

ΕΠΙΣΤΟΛΗ ϞΘ'.

193 EPISTOLA XCIX*.

Terentio exponit Basilius, quomodo desertus a Theodoto perficere non potuerit, quod ex mandato imperatoris et litteris Terentii susceperat, ut episcopos Armeniæ daret. Cæterum curæ sibi fuisse, ut episcopos pacificaret, ac multa non recte fieri solita in Armenia emendaret. Accepisse etiam se a Satalensibus suffragia, quibus rogabatur ut eis episcopum daret, ac de inflictis Cyrillo Armeniæ episcopo calumniis cognovisse.

Τερεντίῳ Κόμητι.

Πάνυ πολλὴν σπουδὴν ἐνστησάμενος πειθαρχῆσαι μερικῶς γοῦν καὶ τῷ βασιλικῷ προστάγματι καὶ τῷ φιλικῷ τῆς σῆς τιμιότητος γράμματι, οὗ ἐγὼ πάντα λόγον καὶ πᾶσαν γνώμην γέμειν ὀρθῆς προαιρέσεως καὶ ἀγαθῆς διανοίας πεπίστευκα, εἰς ἔργον ἀγαγεῖν τὴν προθυμίαν οὐκ ἐπετράπην (96). Αἴτιον δὲ τὸ μὲν πρῶτον καὶ ἀληθέστατον αἱ ἐμαὶ ἁμαρτίαι, πανταχοῦ μοι προαπαντῶσαι, καὶ ὑποσκελίζουσαί μου τὰ διαβήματα· ἔπειτα καὶ ἡ τοῦ δοθέντος ἡμῖν εἰς συνεργίαν ἐπισκόπου πρὸς ἡμᾶς ἀλλοτρίωσις. Οὐκ οἶδα γὰρ ὅ τι παθὼν ὁ αἰδεσιμώτατος ἀδελφὸς ἡμῶν Θεόδοτος, ὁ ἐπαγγειλάμενος ἡμῖν ἐξ ἀρχῆς πάντα συμπράξειν, καὶ προθύμως ἡμᾶς ἀπὸ Γητασῶν ἐπὶ Νικόπολιν καταγαγὼν (97), ἐπειδὴ εἶδεν ἡμᾶς ἐπὶ τῆς πόλεως, οὕτως ἡμᾶς (98) ἐβδελύξατο, καὶ οὕτως ἐφοβήθη τὰς ἁμαρτίας ἡμῶν, ὡς μήτε εἰς ἑωθινὴν εὐχὴν μήτε εἰς ἑσπερινὴν ἀνασχέσθαι ἡμᾶς παραλαβεῖν· δίκαια μὲν ποιῶν, ὡς πρὸς ἡμᾶς, καὶ πρέποντα τῷ ἐμῷ βίῳ, οὐ λυσιτελοῦντα δὲ τῇ κοινῇ καταστάσει τῶν Ἐκκλησιῶν βουλευόμενος. Τὴν δὲ αἰτίαν τούτων προέφερεν ἡμῖν,

Terentio Comiti.

1. Cum diligenter admodum in id incubuissem, ut ex parte saltem et imperatoris mandato obtemperarem et amicissimis dignitatis tuæ litteris, cujus ego sermonem omnem omnemque sententiam voluntate recta ac bono consilio plenam esse certo C scio, studium meum ad opus deducere mihi non licuit. Causa autem prima quidem et verissima, peccata mea, quæ ubique occurrunt mihi, ac meos gressus subvertunt: deinde etiam episcopi, qui datus adjutor fuerat, animi a nobis alienatio. Nescio enim quid passus reverendissimus frater noster Theodotus, qui ab initio promiserat mutuam se nobis operam in omnibus daturum, nosque libenter Getasis Nicopolim adduxerat, ubi nos vidit in civitate, sic aversatus sit, sic peccata nostra metuerit, ut neque ad matutinas preces, neque ad vespertinas nos voluerit assumere: æqua ille quidem faciens, quod ad me attinet, ac vitæ meæ convenientia, sed non utiliter communi Ecclesiarum D tranquillitati consulens. Horum autem causam nobis afferebat, quod non gravaremur reverendis-

(92) *Τὸν δ' ἀδελφόν*. Editi addunt ἐμόν, τόν, *fratrem meum*, quæ quidem unde sumpta sint nescio, cum in nostris novem codicibus desint. Quinetiam ad marginem legitur in Regio primo et Harl. περὶ τοῦ θεολόγου, *de theologo*. Ibidem Harl. Ἐκκλησίαν σύμμετρον.

(93) *Ὑφ' ἡλίῳ*. Med. ὑφήλιος. Bigot., Reg. secundus et Coisl. secundus ὑφ' ἥλιον. Alterutrum habuit Harl. prima manu. Paulo post editi Ἐπεὶ δέ, plerique mss. ut in textu.

(94) *Τί δὲ δεῖ*. Med. Τί δὲ ποιῆσαι.

(95) *Πάνυ χρῄζει*. Ita mss. septem: editi πᾶν χρῄζει.

(96) *Οὐκ ἐπετράπην*. Ita mss. septem. Editi οὐκ ἐτράπην.

(97) *Καταγαγών*. Sic mss. sex. Editi καταγαγεῖν, *Promiserat se Nicopolim deducturum*. Nam videtur id promisisse Theodotus, aut certe non perfecit, nec Basilius ea de re queritur. Cum autem dicat infra Basilius relictum se fuisse Getasis a Theodoto Nicopolim redeunte; quod ait hoc loco se Getasis ab eo Nicopolim fuisse adductum, sic intelligi debet, ut id Theodotus non comitando, sed perhumaniter invitando perfecisse dicatur.

(98) *Ἡμᾶς*. Addidimus ex tribus vetustissimis codicibus hanc vocem, quæ forte in aliis omissa, quia cum paulo ante præcesserit, minus commode repeti videbatur.

* Alias CLXXXVII, scripta anno 372.

simum episcopum Eustathium in communionem recipere. Quod autem egimus, est ejusmodi.

2. Vocati ad conventum, qui a fratre Theodoto habebatur, ac charitate impulsi, ut vocanti obsequeremur, ne congressum videremur irritum et inutilem reddere, dedimus operam ut in colloquium cum prædicto fratre Eustathio veniremus. Ac illi quidem proposuimus quæcunque de fide illum criminatur frater Theodotus; rogavimusque, si rectam fidem sequeretur, manifestum id nobis faceret, ut cum eo communionem haberemus: sin autem alieno esset animo, probe sciret nos quoque ab ipso abalienatum iri. Itaque cum multos sermones inter nos habuissemus, diemque illam totam in his expendendis insumpsissemus; flexo jam in vesperam die, discessimus ab invicem, colloquio nullam ad certam conclusionem perducto. Sed iterum sequenti die mane considentes, de iisdem disseruimus, accedente jam et fratre Pœmenio, Sebastiæ presbytero, et vehementer adversariam nobis doctrinam defendente. Paulatim igitur et ea dissolvimus, quorum nomine videbatur me accusare, et eos ad assentiendum iis quæ a me quærebantur adduxi, ita ut gratia Domini inveniremur ne de **194** minimis quidem rebus inter nos dissidentes. Ita igitur circa nonam fere horam surreximus ad precandum, ac Domino gratias egimus, nobis largienti, idem ut sentiremus, idemque loqueremur. Ad hæc oportebat me et scriptam aliquam confessionem ab homine accipere, ut et illius adversariis manifesta fieret hæc assensio, et cæteris idoneum exstaret illius propositi monumentum. Sed ipse volui ob plurimam diligentiam, cum fratre Theodoto congrediens, libellum fidei ab ipso accipere, eique quem nominavi viro offerre: ut duo consequerer, nempe ut et ipse fidem rectam confiteretur, et his satisfieret, nullam habentibus contradicendi materiam, post acceptas ipsorum conditiones. At Theodotus, priusquam didicisset quam ob causam convenissemus, et quid ex colloquio consecuti essemus, non jam nos ad synodum vocandos judicavit. Sed e medio itinere reversi sumus, animum despondentes, quod nostros pro pace Ecclesiarum labores irritos redderet.

A ὅτι ἠνεσχόμεθα εἰς κοινωνίαν τὸν αἰδεσιμώτατον ἐπίσκοπον Εὐστάθιον παραδέξασθαι. Τὸ μέντοι γενόμενον παρ' ἡμῶν τοιοῦτόν ἐστιν.

2. Ἡμεῖς, κληθέντες εἰς σύνοδον παρὰ τοῦ ἀδελφοῦ Θεοδότου τελουμένην (99), καὶ ὁρμήσαντες δι' ἀγάπην ὑπακοῦσαι τῇ κλήσει, ἵνα μὴ δόξωμεν ἄπρακτον καὶ ἀργὴν ποιεῖσθαι τὴν συντυχίαν, ἐσπουδάσαμεν εἰς λόγους ἐλθεῖν τῷ προειρημένῳ ἀδελφῷ Εὐσταθίῳ. Καὶ προετείναμεν αὐτῷ τὰ περὶ τῆς πίστεως ἐγκλήματα, ὅσα προφέρουσιν αὐτῷ οἱ περὶ τὸν ἀδελφὸν Θεόδοτον· καὶ ἠξιώσαμεν, εἰ μὲν ἕπεται τῇ ὀρθῇ πίστει, φανερὸν ἡμῖν καταστῆσαι, ὥστε ἡμᾶς εἶναι κοινωνικούς· εἰ δὲ ἀλλοτρίως ἔχει, ἀκριβῶς εἰδέναι, ὅτι καὶ ἡμεῖς ἕξομεν πρὸς αὐτὸν ἀλλοτρίως. Πολλῶν τοίνυν γενομένων λόγων πρὸς ἀλλήλους, καὶ
B πάσης ἐκείνης τῆς ἡμέρας ἐν τῇ περὶ τούτων σκέψει δαπανηθείσης· καταλαβούσης λοιπὸν τῆς ἑσπέρας, διεκρίθημεν ἀπ' ἀλλήλων, εἰς οὐδὲν ὁμολογούμενον πέρας τὸν λόγον προαγαγόντες. Τῇ δὲ ἑξῆς πάλιν, ἕωθεν συγκαθεσθέντες (1), περὶ τῶν αὐτῶν διελεγόμεθα, ἐπελθόντος ἤδη καὶ τοῦ ἀδελφοῦ Ποιμενίου, τοῦ πρεσβυτέρου τῆς Σεβαστείας, καὶ σφοδρῶς ἡμῖν τὸν ἐναντίον γυμνάζοντος λόγον. Κατὰ μικρὸν οὖν ἡμεῖς τε, ὑπὲρ ὧν ἔδοξεν ἡμῖν ἐγκαλεῖν, ἀπελυόμεθα, κἀκείνους εἰς τὴν τῶν ἐπιζητουμένων ὑφ' ἡμῶν συγκατάθεσιν προηγάγομεν (2)· ὥστε χάριτι τοῦ Κυρίου εὑρεθῆναι ἡμᾶς μηδὲ εἰς τὸ σμικρότατον πρὸς ἀλλήλους διαφερομένους. Οὕτω τοίνυν περὶ ἐννάτην που ὥραν ἀνέστημεν ἐπὶ τὰς προσευχὰς, εὐχαριστήσαντες τῷ Κυρίῳ, τῷ δόντι ἡμῖν τὸ αὐτὸ
C φρονεῖν, καὶ τὸ αὐτὸ λέγειν. Ἐπὶ τούτοις ἔδει με καὶ ἔγγραφόν τινα παρὰ τοῦ ἀνδρὸς ὁμολογίαν λαβεῖν, ὥστε καὶ τοῖς ἐναντιουμένοις αὐτῷ φανερὰν γενέσθαι τὴν συγκατάθεσιν, καὶ τοῖς λοιποῖς ἱκανὴν εἶναι τοῦ ἀνδρὸς τῆς προαιρέσεως τὴν ἀπόδειξιν. Ἀλλ' ἐβουλήθην αὐτὸς ὑπὸ πολλῆς ἀκριβείας, τοῖς ἀδελφοῖς συντυχὼν τοῖς περὶ Θεόδοτον, παρ' αὐτῶν λαβεῖν γραμματεῖον πίστεως, καὶ αὐτὸ προτεῖναι τῷ προειρημένῳ· ἵνα ἀμφότερα γένηται, ἥ τε ὀρθὴ πίστις παρ' αὐτοῦ ὁμολογηθῇ (3), καὶ αὐτοὶ πληροφορηθῶσι, μηδεμίαν ἔχοντες ἀντιλογίας ὑπόθεσιν ἐκ τοῦ τὰς παρ' αὐτῶν προτάσεις παραδεχθῆναι. Ἀλλὰ πρὶν μαθεῖν τίνος ἕνεκεν συνετύχομεν, καὶ τί ἡμῖν ἐκ τῆς ὁμιλίας κατώρθωται, οἱ περὶ τὸν ἐπίσκοπον Θεόδοτον οὐκέτι ἡμᾶς εἰς τὴν σύνοδον προτρέψασθαι κατηξίωσαν. Ἀλλ' ἀπὸ μέσης ἀνεζεύξαμεν (4) τῆς ὁδοῦ, ἀθυμήσαντες, ὅτι ἀτελεῖς ἡμῖν ποιοῦσι τοὺς ὑπὲρ τῆς εἰρήνης τῶν Ἐκκλησιῶν καμάτους.

3. Postea igitur imposita mihi necessitate in Armeniam eundi, cum nossem singulare hominis ingenium, vellemque coram locuplete teste cum ipse rationem eorum quæ egeram reddere, tum

D 3. Μετὰ ταῦτα τοίνυν, ἐπειδὴ κατέλαβεν ἡμᾶς ἡ ἀνάγκη τῆς ἐπὶ τὴν Ἀρμενίαν ὁδοῦ, εἰδὼς τοῦ ἀνδρὸς τὸ ἰδιότροπον, καὶ βουλόμενος ὑπὸ μάρτυρι (5) ἀξιοπίστῳ αὐτός τε ὑπὲρ τῶν πεπραγμένων ἀπολο-

(99) *Τελουμένην*. Ita mss. nostri omnes. Editi τελειουμένην. Ibidem Reg. secundus et Coisl. secundus Θεοδώρου, quod manifestum est erratum. Iidem duo codices habent κοινωνούς pro κοινωνικούς.

(1) Vide Addenda.

(2) *Προηγάγομεν*. Sic tres vetustissimi codices. Editi προσηγάγομεν.

(3) *Ὁμολογηθῇ*. Tres mss. non tamen antiquissimi ὁμολογῆται.

(4) *Ἀνεζεύξαμεν*. Ita Reg. uterque et Coisl. uterque cum Med., Vat., Clarom., Paris. et Bigot. Non possum citare Harlæanum codicem, in quo folium deest hoc loco, sed non dubium quin hæc scriptura tot nixa libris antiquis præferenda sit vulgatæ ἀνέζευξαν, *reversi sunt*.

(5) *Ὑπὸ μάρτυρι*. Nonnulli mss. ἐπὶ μάρτυρι.

γενέσθαι, κἀκεῖνον πληροφορῆσαι, ἦλθον ἐπὶ τὰ Γήτασα τὸν ἀγρὸν τοῦ θεοφιλεστάτου ἐπισκόπου Μελετίου, συμπαρόντος μοι καὶ αὐτοῦ τοῦ προειρημένου Θεοδότου· καὶ οὕτως ἐκεῖ, ἐπειδὴ ἐνεκλήθημεν παρ' αὐτοῦ ἐπὶ τῇ (6) πρὸς Εὐστάθιον συναφείᾳ, εἶπον τὸ ἐκ τῆς συντυχίας κατόρθωμα, ὅτι ἔλαβον αὐτὸν εἰς πάντα ἡμῖν ὁμοδοξοῦντα. Ὡς δὲ διεβεβαιοῦτο ἔξαρνον γεγενῆσθαι μετὰ τὴν ἀφ' ἡμῶν ἀναχώρησιν, καὶ διαβεβαιοῦσθαι αὐτὸν τοῖς ἰδίοις αὐτοῦ μαθηταῖς, ἦ μὴν εἰς μηδὲν ἡμῖν περὶ τῆς πίστεως συντεθεῖσθαι, ἀπήντων ἐγὼ πρὸς ταῦτα (καὶ σκόπει, θαυμασιώτατε, εἰ μὴ δικαιοτάτας (7) καὶ ἀναντιῤῥήτους ἐποιούμην πρὸς τοῦτο τὰς ἀποκρίσεις), ὅτι ἐγὼ μὲν πέπεισμαι, εἰκάζων ἐκ τῆς λοιπῆς εὐσταθείας τοῦ ἀνδρὸς, μὴ οὕτως αὐτὸν κούφως περιτρέπεσθαι πρὸς τὰ ἐναντία, μηδὲ νῦν μὲν ὁμολογεῖν, νῦν δὲ ὑπὲρ ὧν εἶπεν ἀρνεῖσθαι· ἄνδρα καὶ τὸ ὑπὲρ τῶν τυχόντων ψεῦδος, ὡς φοβερὸν, ἀποφεύγοντα, μὴ ὅτι γε περὶ τῶν τηλικούτων πραγμάτων, καὶ οὕτω παρὰ πᾶσι βεβοημένων (8), ἑλέσθαι ἄν ποτε ἐναντιωθῆναι τῇ ἀληθείᾳ. Εἰ δὲ ἄρα καὶ ἀληθῆ εἶναι συμβῇ τὰ θρυλλούμενα παρ' ὑμῶν, προτεῖναι αὐτῷ γραμματεῖον, πᾶσαν ἔχον τῆς ὀρθῆς πίστεως τὴν ἀπόδειξιν, χρή. Ἐὰν μὲν οὖν εὕρω αὐτὸν συντιθέμενον ἐγγράφως, ἐπιμενῶ τῇ κοινωνίᾳ· ἐὰν δὲ λάβω ἀναδυόμενον, ἀποστήσομαι αὐτοῦ τῆς συναφείας. Ἀποδεξαμένου (9) τὸν λόγον τοῦ ἐπισκόπου Μελετίου, καὶ τοῦ ἀδελφοῦ Διοδώρου τοῦ συμπρεσβυτέρου (παρῆν γὰρ τοῖς γινομένοις), συνθέμενος ὁ αἰδεσιμώτατος ἀδελφὸς Θεόδοτος ἐκεῖ, καὶ παρακαλέσας ἡμᾶς κατελθεῖν ἐπὶ Νικόπολιν, ἵνα καὶ τὴν Ἐκκλησίαν αὐτοῦ ἐπισκεψώμεθα, καὶ αὐτὸν λάβωμεν τῆς μέχρι Σατάλων ὁδοιπορίας συνέμπορον, καταλιπὼν (10) ἡμᾶς ἐν Γητάσοις, ἐπειδὴ κατελάβομεν (11) τὴν Νικόπολιν, ἐπιλαθόμενος ὧν τε παρ' ἐμοῦ ἤκουσεν (12), ὧν τε συνέθετο ἡμῖν, ἐκείναις ταῖς ὕβρεσι καὶ ταῖς ἀτιμίαις, ἃς μικρῷ πρόσθεν διηγησάμην, καταισχύνας ἡμᾶς ἀπέπεμψε.

4. Πῶς οὖν ἦν δυνατόν μοι, τιμιωτάτη κεφαλὴ, ποιῆσαί τι τῶν προστεταγμένων, καὶ δοῦναι ἐπισκόπους τῇ Ἀρμενίᾳ; οὕτω πρός με τοῦ κοινωνοῦ τῆς φροντίδος διατεθέντος, παρ' οὗ ἐγὼ προσεδόκων τοὺς ἐπιτηδείους ἄνδρας εὑρήσειν, διὰ τὸ εἶναι ἐν τῇ παροικίᾳ αὐτοῦ καὶ εὐλαβεῖς, καὶ συνετοὺς, καὶ τῆς γλώττης ἐμπείρους, καὶ τὰ λοιπὰ ἰδιώματα τοῦ ἔθνους ἐπισταμένους· ὧν εἰδὼς τὰ ὀνόματα, ἑκὼν (13) σιωπήσομαι, ἵνα μή τι ἐμπόδιον γένηται πρὸς τὸ ἐν ἑτέρῳ γοῦν χρόνῳ χρησιμευθῆναι τὴν Ἀρμενίαν. Καὶ νῦν γενόμενος μέχρι Σατάλων ἐν τοιούτῳ σώματι, τὰ μὲν λοιπὰ ἔδοξα τῇ τοῦ Θεοῦ χάριτι καθιστᾶν, εἰρηνεύσας τοὺς τῆς Ἀρμενίας ἐπισκόπους, καὶ δια-

A illi satisfacere, veni Getasa in agrum religiosissimi episcopi Meletii, ubi et ipse, quem dixi, Theodotus mecum interfuit: sicque ibi accusatus ab eo ob conjunctionem cum Eustathio, dixi ex congressu consecutum me esse, ut eum in omnibus idem ac nos sentientem haberem. Cum autem asseveraret Eustathium negasse, postquam ab eo discessimus, suisque propriis ipsum discipulis affirmare, se nulla prorsus in re nobiscum de fide consensisse, ad hæc ego occurrebam (ac vide, vir in primis admirande, an non justissimas huic rei et invictissimas responsiones attulerimus), persuasum mihi esse conjecturam facienti ex reliqua viri constantia, ipsum haud ita leviter in contraria circumferri, neque nunc quidem confiteri, nunc B vero negare quæ dixerit; hominem mendacium in rebus minimis, ut horribile quiddam, aversantem, nedum in rebus tanti momenti ac ita omnium fama celebratis veritati unquam adversari velit. Quod si vera esse contingat quæ a vobis dictitantur, proponendus est ei libellus, qui omne rectæ fidei specimen complectatur. Quod si eum subscribendo assentiri reperero, manebo in illius communione: sin autem deprehendero recusantem, ab illius conjunctione discedam. Cum autem hæc probarentur episcopo Meletio, et fratri Diodoro presbytero (nam iis quæ fiebant intererat), illic sane quam reverendus frater Theodotus assensus est; cumque adhortatus esset, ut descenderemus Nico- C polim, tum ut Ecclesiam ipsius inviseremus, tum **195** et ipsum itineris comitem Satalos usque haberemus, ac nos Getasis reliquisset, ubi Nicopolim venimus, oblitus eorum quæ et a me audierat, et quæ nobiscum pactus fuerat, nos iis, quas paulo ante retuli, contumeliis ac ignominiis affectos dimisit.

4. Quomodo ergo possem caput præstantissimum, mandatorum quidquam perficere, et episcopos Armeniæ dare? sic erga me affecto curarum socio, cujus opera sperabam me idoneos viros inventurum, eo quod in ejus parœcia non desint et religiosi, et prudentes, et linguæ periti, et qui reliquos usus gentis D proprios sciant; quorum nomina cum sciam, volens tacebo, ne quid impedimenti nascatur, quominus alio saltem tempore Armeniæ utiliter consulatur. Et nunc cum Satala usque cum tali corpore pervenissem, reliqua quidem visus sum Dei gratia constituere; cum pacem composuerim inter episcopos Armeniæ, eosque, ut par erat, allocutus sim,

(6) *Ἐπὶ τῇ*. Nonnulli mss. περὶ τῆς... συναφείας. Ibidem Coisl. primus et Med. τὰ κατορθώματα. Paulo post nonnulli codices ἑαυτοῦ μαθηταῖς.

(7) *Δικαιοτάτας*. Reg. primus et Bigot. aliter δικαιοτάτως καὶ ἀναντιῤῥήτως. Paulo post editi perabsurde αὐθαδείας.

(8) *Βεβοημένων*. Ita mss. sex. Editi διαβεβοημένων.

(9) *Ἀποδεξαμένου*. Tres mss. non vetustissimi addunt οὖν.

(10) *Συνέμπορον, καταλιπών*. Ita mss. octo. Editi συνέκπορον καταλιπόντα.

(11) *Κατελάβομεν*. Quatuor mss. non vetustissimi κατέλαβεν, sed minus commode.

(12) *Ἤκουσεν*. Ita optimi quinque mss. Editi ἤκουσαν. Paulo post male in editis προτεταγμένων. Mss. ut in textu.

(13) *Ἑκών*. Ita plerique mss. Editi ἑκουσίως.

ut deponerent consuetam indifferentiam, ac sincerum pro Domini Ecclesiis studium resumerent: quin et regulas ipsis dederim de iis, quæ indifferenter in Armenia peccabantur, quomodo illos deceret curam suscipere. Accepi autem et a Satalorum Ecclesia suffragia, quibus rogabar ut episcopum ipsis darem. Curæ etiam mihi illud fuit, ut de aspersa criminatione fratri nostro Cyrillo Armeniæ episcopo inquirerem; ac Dei gratia reperimus falso commotam ex calumnia illius inimicorum, quam et manifeste coram nobis confessi sunt. Atque utcunque Satalorum populum visi sumus ipsi placare, ita ut non jam ab illius communione refugiat. Quod si hæc parva sunt, et nihili facienda, at nihil a nobis amplius perfici poterat, ob mutuam inter nos ex diaboli artificio dissensionem. Atque hæc quidem tacenda erant, ne mea ipsius probra vulgare videar; sed quia aliter causam dicere non poteram apud magnanimitatem tuam, in necessitatem veni omnis rerum gestarum veritatis enarrandæ.

A λεχθεὶς αὐτοῖς τὰ πρέποντα, ὥστε ἀποθέσθαι τὴν συνήθη ἀδιαφορίαν (14), καὶ ἀναλαβεῖν τὴν γνησίαν τοῦ Κυρίου ὑπὲρ τῶν Ἐκκλησιῶν σπουδὴν, δοὺς αὐτοῖς καὶ τύπους περὶ τῶν ἀδιαφόρως κατὰ τὴν Ἀρμενίαν παρανομουμένων, ὅπως αὐτοῖς προσῆκεν ἐπιμελεῖσθαι· ἐδεξάμην δὲ καὶ ψηφίσματα παρὰ τῆς ἐκκλησίας Σατάλων, παράκλησιν ἔχοντα δοθῆναι αὐτοῖς παρ' ἡμῶν ἐπίσκοπον. Ἐπιμελὲς δέ μοι τοῦτο ἐγένετο, καὶ τὴν περιχυθεῖσαν βλασφημίαν τῷ ἀδελφῷ ἡμῶν Κυρίλλῳ τῷ ἐπισκόπῳ Ἀρμενίας ἀνερευνῆσαι· καὶ διὰ τῆς χάριτος τοῦ Θεοῦ εὕρομεν αὐτὴν ψευδῶς κινηθεῖσαν, ἐκ διαβολῆς τῶν μισούντων αὐτόν· ἣν καὶ φανερῶς ὡμολόγησαν ἐφ' ἡμῶν. Καὶ ἐδόξαμεν μετρίως ἡμεροῦν πρὸς αὐτὸν τὸν ἐν Σατάλοις λαὸν, ὥστε μηκέτι αὐτοῦ τὴν κοινωνίαν φεύγειν. Εἰ δὲ B μικρὰ ταῦτα, καὶ οὐδενὸς ἄξια, ἀλλὰ παρ' ἡμῶν οὐδὲν ἦν πλέον δυνατὸν γενέσθαι, διὰ τὴν ἐκ τῆς τοῦ διαβόλου περιεργίας ἡμῶν αὐτῶν πρὸς ἀλλήλους ἀσυμφωνίαν. Ταῦτά με ἔδει (15-16) σιωπᾷν, ἵνα μὴ δόξω δημοσιεύειν ἐμαυτοῦ τὰ ὀνείδη· ἀλλ' ἐπειδὴ οὐκ ἦν ἄλλως ἀπολογήσασθαί σου τῇ μεγαλοψυχίᾳ, εἰς ἀνάγκην ἦλθον πᾶσαν τῶν γεγονότων τὴν ἀλήθειαν διηγήσασθαι.

EPISTOLA C*.

ΕΠΙΣΤΟΛΗ Ρ'.

Gratias agit Basilius ob litteras ab Eusebio in vicina Armenis regione acceptas. Retinet antiquum eundi Samosata desiderium, quamvis et æger sit et negotiorum mole oppressus. Invitat Eusebium ad diem festum sancti Eupsychii, qui erat septimus Septembris. Sibi enim illius consilio ad multa opus esse, in his ut deliberet de molestiis sibi simplicitate Gregorii Nysseni exhibitis.

Eusebio, episcopo Samosatorum.

Sic vidi litteras dilectionis tuæ in regione Armenis vicina, quemadmodum videant navigantes facem eminus in mari splendentem, præsertim si ventis mare intumuerit. Nam natura quidem suaves, ac plurimum habentes **196** solatii litteræ gravitatis tuæ: sed tunc maxime earum suavitatem tempus auxit; quod quale fuerit, quantoque nos mœrore affecerit, non equidem dixerim, cum semel statuerim eorum, quæ molestiam attulerunt, oblivisci, sed condiaconus noster pietati tuæ enarrabit. Me autem reliquit omnino corpus, adeo ut ne levissimos quidem motus possim sine dolore ferre. Sed tamen precor, ut possit mihi antiquum desiderium nunc saltem ope precum tuarum adimpleri; quanquam in multas me difficultates conjecit ipsa peregrinatio, tandiu neglectis Ecclesiæ nostræ rebus. Quod si Deus, dum in terra versamur, concedere dignetur, ut in Ecclesia nostra pietatem tuam videamus, certe bonas spes etiam de futuris rebus habebimus, nos a Dei donis non omnino exclusos esse. Hoc itaque si fieri potest, rogamus ut fiat in solemni conventu, quem singulis annis celebramus in me-

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

Οὕτως εἶδον τὰ γράμματα τῆς ἀγάπης σου ἐν τῇ C γείτονι χώρᾳ τῆς Ἀρμενίας (17), ὡς ἂν ἴδοιεν οἱ θαλαττεύοντες πυρσὸν ἐν πελάγει πόῤῥωθεν φρυκτωρούμενον, ἄλλως τε κἂν ἀγριαίνουσά πως τύχοι (18) ἡ θάλασσα ὑπ' ἀνέμων. Καὶ γὰρ φύσει μὲν ἡδὺ καὶ παρηγορίαν ἔχον πολλὴν τὸ τῆς σῆς σεμνότητος γράμμα, τότε δὲ μάλιστα τὴν ἀπ' αὐτοῦ (19) χάριν ὁ καιρὸς συνηύξησεν, ὃν ὁποῖος ἦν, καὶ ὅπως ἡμᾶς λυπήσας, ἐγὼ μὲν οὐκ ἂν εἴποιμι, κρίνας ἅπαξ ἐπιλαθέσθαι τῶν λυπηρῶν· ὁ μέντοι συνδιάκονος ἡμῶν διηγήσεταί σου τῇ θεοσεβείᾳ. Ἐμὲ δὲ ἐπέλιπε παντελῶς τὸ σῶμα, ὥστε μηδὲ τὰς σμικροτάτας κινήσεις δύνασθαι ἀλύπως φέρειν. Πλὴν ἀλλ' εὔχομαι δυνηθῆναί μοι τὴν παλαιὰν ἐπιθυμίαν νῦν γοῦν διὰ τῆς βοηθείας τῶν σῶν προσευχῶν ἐκπληρωθῆναι· εἰ καὶ ὅτι πολλήν μοι πεποίηκε τὴν δυσκολίαν ἡ ἀποδημία D αὕτη, τοσούτῳ χρόνῳ ἀμεληθέντων τῶν κατὰ τὴν ἡμετέραν Ἐκκλησίαν πραγμάτων. Ἐὰν δὲ ὁ Θεὸς, ἕως ἐσμὲν ὑπὲρ γῆς, καταξιώσῃ ἡμᾶς ἰδεῖν ἐπὶ τῆς Ἐκκλησίας ἡμῶν τὴν σὴν θεοσέβειαν· ὄντως ἀγαθὰς ἐλπίδας καὶ ἐπὶ τοῖς μέλλουσιν ἕξομεν, ὡς οὐ πάντη ἐσμὲν ἀπόβλητοι (20) τῶν δωρεῶν τοῦ Θεοῦ. Τοῦτο

(14) Ἀδιαφορίαν. Bigot., Reg. secundus et Coisl. secundus διαφοράν. Paulo post editi αὐτοῦ Κυρίου. Mss. ut in textu.

(15-16) Ταῦτά με ἔδει. Sic tres vetustissimi codices. Editi Ταῦτα ἔδει μέν.

(17) Τῆς Ἀρμενίας. Ita Coisl. primus, Med., Harl. et Clarom. Editi τῆς τῶν Ἀρμενίων. Paulo post editi θαλασσῶντες. Harl., Med. et quatuor alii ut in textu.

(18) Τύχοι. Ita Coisl. primus et Harl. cum pluribus aliis. Editi τύχῃ.

(19) Τὴν ἀπ' αὐτοῦ. Coisl. primus et Harl. τὴν ἐπ' αὐτῷ. Mox editi προσηύξησεν. Mss. omnes ut in textu.

(20) Ἐσμὲν ἀπόβλητοι. Ita Harl., Coisl. primus et Clarom. Editi ἀπόβλητοι τῶν δωρεῶν γενησόμεθα.

* Alias CCLVI, scripta anno 37?.

γοῦν, ἐὰν ᾖ δυνατὸν, παρακαλοῦμεν ἐπὶ τῆς συνόδου γενέσθαι, ἣν δι' ἔτους ἄγομεν ἐπὶ τῇ μνήμῃ τοῦ μακαρίου (21) μάρτυρος Εὐψυχίου προσεγγιζούσῃ λοιπὸν κατὰ τὴν ἑβδόμην ἡμέραν τοῦ Σεπτεμβρίου μηνός. Καὶ γὰρ καὶ φροντίδος ἄξια ἡμῖν περίκειται πράγματα τῆς παρὰ σοῦ (22) δεόμενα συνεργίας, εἴς τε κατάστασιν ἐπισκόπων καὶ εἰς βουλὴν καὶ σκέψιν τῶν μελετωμένων καθ' ἡμῶν παρὰ τῆς χρηστότητος Γρηγορίου (23) τοῦ Νυσσαέως, ὃς συνόδους συγκροτεῖ κατὰ τὴν Ἀγκύραν, καὶ οὐδένα τρόπον ἐπιβουλεύων ἡμῖν ἀφίησιν.

A moria beatissimi martyris Eupsychii jam appropinquante, die septima mensis Septembris. Nam circumstant nos digna sollicitudine negotia, quæ auxilio tuo indigent, tum ad constitutionem episcoporum, tum ad deliberationem et considerationem eorum, quæ in nos meditatur Gregorii Nysseni simplicitas; qui synodos cogit Ancyræ, nec ullum nobis insidiandi modum prætermittit.

ΕΠΙΣΤΟΛΗ ΡΑ'.

EPISTOLA CI*

Redux ex Armenia Basilius cum didicisset de morte insignis alicujus personæ, consolatur hac epistola eum, quem præcipue hoc eventu afflictum sciebat.

Παραμυθητική (24).

Εὐχῆς ἄξιον ἦν, πρώτην διαπεμπομένους ἐπιστολὴν, εὐθυμοτέραν ἔχειν τὴν τῶν γραμμάτων ὑπόθεσιν. Οὕτω γὰρ ἂν ἡμῖν τὰ κατὰ γνώμην ὑπῆρξε, ἐπεὶ πᾶσι βουλόμεθα τοῖς ἐν εὐσεβείᾳ ζῆν προαιρουμένοις πάντα τὸν βίον εἰς ἀγαθὸν εὐοδοῦσθαι. Ἀλλ' ἐπειδὴ ὁ διοικῶν τὴν ζωὴν ἡμῶν Κύριος, κατὰ τὴν ἄρρητον αὐτοῦ σοφίαν πάντως πρὸς τὸ συμφέρον τῶν ψυχῶν τῶν ἡμετέρων ταῦτα ᾠκονόμησε γενέσθαι, δι' ὧν σοι μὲν ὀδυνηρὰν κατέστησε τὴν ζωὴν, ἡμᾶς δὲ, τοὺς τῇ κατὰ Θεὸν ἀγάπῃ συνημμένους, εἰς συμπάθειαν ἤγαγε, μαθόντας παρὰ τῶν ἀδελφῶν ἡμῶν, ἐν οἷς γέγονας· ἀναγκαῖον ἡμῖν ἐφάνη, τὴν ἐνδεχομένην παράκλησιν προσαγαγεῖν σοι. Εἰ μὲν οὖν ἦν δυνατὸν καὶ διαβῆναι μέχρι τοῦ τόπου ἐν ᾧ συμβαίνει διάγειν σου τὴν εὐγένειαν, περὶ παντὸς ἂν τοῦτο ἐποιησάμην· ἐπεὶ δὲ καὶ ἡ τοῦ σώματός ἀῤῥωστία, καὶ τῶν συνεχόντων ἡμᾶς πραγμάτων τὸ πλῆθος, καὶ αὐτὴν ταύτην ἣν ὑπέστημεν ὁδὸν ἐπὶ πολλῇ τῶν καθ' ἡμᾶς Ἐκκλησιῶν ζημίᾳ παρεσκεύασε· διὰ γραμμάτων ἐπισκέψασθαί σου τὴν σεμνότητα προεθυμήθημεν, ὑπομιμνήσκοντες, ὅτι αἱ θλίψεις αὗται οὐχ ἀργῶς τοῖς δούλοις τοῦ Θεοῦ παρὰ τοῦ ἐπισκοποῦντος ἡμᾶς Κυρίου γίνονται, ἀλλὰ ἐπὶ δοκιμασίᾳ τῆς ἀληθινῆς πρὸς τὸν κτίσαντα ἡμᾶς Θεὸν ἀγάπης. Ὡς γὰρ τοὺς ἀθλητὰς οἱ τῶν ἀγώνων κάματοι τοῖς στεφάνοις προσάγουσιν, οὕτω καὶ τοὺς Χριστιανοὺς ἡ ἐν τοῖς (25) πειρασμοῖς δοκιμασία πρὸς τὴν τελείωσιν ἄγει, ἐὰν μετὰ τῆς πρεπούσης ὑπομονῆς ἐν εὐχαριστίᾳ πάσῃ τὰ οἰκονομούμενα παρὰ τοῦ Κυρίου καταδεξώμεθα. Ἀγα-

B *Consolatoria.*

Optandum erat, epistolam primam scribentibus, lætiorem habere litterarum materiam. Nam hoc pacto res nobis ex sententia successissent, quia omnibus volumus pietatis institutum profitentibus, totam vitam ad prosperos successus perduci. Sed cum vitæ nostræ moderator Dominus pro non enarrabili sua sapientia, omnino ad utilitatem animarum nostrarum hos eventus dispensaverit, per quos tibi quidem molestam vitam constituit, nos vero qui tibi charitate in Deo conjuncti sumus, a fratribus nostris, quo in rerum statu sis, eductos ad commiserationem adduxit; necessarium nobis visum est, solatium, quod in nobis situm est, tibi afferre. Itaque fieri si posset, ut ad eum usque locum, in quo tuæ nobilitati versari contingit, proficiscerer, utique nihil prius fecissem. C Quoniam vero et corporis adversa valetudo, et negotiorum quibus distinemur multitudo, **197** hoc ipsum iter, quod subiimus, ad magnum Ecclesiarum nostrarum damnum convertit; per litteras præstantiam tuam invisere in animum induximus, admonentes calamitates ipsas non frustra Dei servis a Domino, qui nos gubernat, accidere, sed ad probationem veræ in Deum conditorem nostrum dilectionis. Quemadmodum enim certaminum labor athletas ad coronam, ita etiam Christianos probatio in tentationibus ad perfectionem adducit; si modo ea quæ a Domino dispensantur, cum debita patientia in omni gratiarum actione suscipiamus. Domini bonitate gubernantur D

(21) *Μακαρίου*. Ita tres vetustissimi codices. Editi μακαριωτάτου.

(22) *Τῆς παρὰ σοῦ*. Articulus additus ex tribus vetustissimis codicibus et Vat.

(23) *Γρηγορίου*. Nemo sane non miretur Gregorium Nyssenum concilia coegisse contra Basilium, eique insidias struxisse. Sed quia Basilius id ascribit simplicitati Gregorii, facile perspicitur non malum animum, sed potius immoderatum fratris juvandi studium reprehendi. Nam cum esset Gregorius homo minime astutus, et ad suspicandam in aliis fraudem tardissimus, merito metuebat Basilius ne, dum is cum hominibus vaferrimis conciliatur, et se et fratrem in res molestissimas conjiceret. Non multo lenius castigat illius simplicitatem Basilius in epist. 58, queriturque quod sibi bellum indicat; quia sese in pacificationem, invito Basilio, interponebat, et in componendo Basilium inter et avunculum dissidio minus caute versabatur. Insidiæ ergo illæ et concilia adversus Basilium, eodem sensu accipienda, ac bellum in epistola mox citata memoratum, utpote ex eadem profecta simplicitate.

(24) *Παραμυθητική*. Editi addunt τῇ ὁμοζύγῳ Ἀρινθαίου. Qui quidem titulus unde sumptus sit ignoro. Hæc enim desunt in omnibus, quos quidem vidimus, mss. codicibus, Coisl. utroque, Harl., Med., Regio utroque, Vat., Clarom., Bigotiano utroque. Quin etiam titulus nonnullorum codicum hanc epistolam non ad mulierem, sed ad virum aliquem scriptam esse probat. Sic enim habet Regius secundus : Πρός τινα θλίψεσιν ἀδοκήτοις περιπεσόντα. *Ad aliquem in ærumnas inexspectatas lapsum.* Sic etiam in uno Bigot. : Τινὶ θλίψεσιν ἀδοκήτοις περιπεσόντι.

(25) *Ἡ ἐν τοῖς*. Editi addunt αὐτοῖς, quod non legitur in mss. codicibus.

* Alias CCII, scripta anno 372.

omnia. Nihil eorum quæ nobis accidunt ut molestum accipere oportet, etiamsi in præsentia infirmitatem nostram tangat. Etsi enim rationes ignoramus, ob quas unumquodque eorum quæ contingunt, veluti bonum a Domino nobis exhibetur, tamen hoc nobis persuasum esse debet, omnino utile esse quod evenit, sive nobis ob patientiæ mercedem, sive animæ assumptæ, ne diutius in hac vita immorans, vigente in hoc mundo malitia repleretur. Si enim hac vita circumscriberetur Christianorum spes, non immerito sane molestum videretur citius a corpore disjungi : sin autem veræ vitæ initium est, iis qui secundum Deum vivunt, animæ e corporis vinculis solutio ; quid tristitia afficimur, sicut et ii qui spem non habent[10] ? Fac igitur hortatu meo, ut doloribus non succumbas, sed his te celsiorem superioremque ostendas.

A θότητι Δεσπότου οἰοικεῖται τὰ πάντα. Οὐδὲν τῶν συμβαινόντων ἡμῖν ὡς λυπηρὸν ὑποδέχεσθαι χρὴ, κἂν πρὸς τὸ παρὸν ἅπτηται τῆς ἀσθενείας ἡμῶν. Εἰ γὰρ καὶ τοὺς λόγους ἀγνοοῦμεν, καθ' οὓς ἕκαστον τῶν γινομένων ὡς καλὸν παρὰ τοῦ Δεσπότου ἡμῖν ἐπάγεται· ἀλλ' ἐκεῖνο πεπεῖσθαι ὀφείλομεν, ὅτι πάντως συμφέρει τὸ γινόμενον ἢ ἡμῖν διὰ τὸν τῆς ὑπομονῆς μισθὸν, ἢ τῇ παραληφθείσῃ ψυχῇ, ἵνα μὴ, ἐπὶ πλέον τῇ ζωῇ ταύτῃ ἐπιβραδύνασα, τῆς ἐμπολιτευομένης τῷ βίῳ κακίας ἀναπλησθῇ. Εἰ μὲν γὰρ ἐν τῇ ζωῇ ταύτῃ ἡ τῶν Χριστιανῶν ἐλπὶς περιώριστο, εἰκότως χαλεπὸν ἂν ἐνομίσθη τὸ θᾶττον διαζευχθῆναι τοῦ σώματος· εἰ δὲ ἀρχὴ τοῦ ἀληθινοῦ βίου τοῖς κατὰ Θεὸν ζῶσίν ἐστι τὸ τῶν δεσμῶν τούτων τῶν σωματικῶν τὴν ψυχὴν ἐκλυθῆναι, τί λυπούμεθα, ὡς καὶ οἱ B μὴ ἔχοντες ἐλπίδα; Παρακλήθητι οὖν μὴ ὑποπεσεῖν τοῖς πάθεσιν, ἀλλὰ δεῖξαι, ὅτι ὑπέρκεισαι καὶ ὑπερῆρας.

EPISTOLA CII*.

ΕΠΙΣΤΟΛΗ ΡΒ'.

Certiores facit, præmisso Nicia, Satalenses, se eorum precibus adductum esse, ut eis consanguinem suum, et sibi et matri et populo carissimum, omnibus rebus eorum utilitati posthabitis, episcopum concederet.

Civibus Satalenis.

Ego tum vestris tum populi totius precibus commotus, et Ecclesiæ vestræ curam suscepi, et vobis coram Domino pollicitus sum, nihil me prætermissurum eorum quæ penes me forent. Quapropter coactus sum, uti scriptum est, quasi pupillam oculi mei tangere[11]. Adeo honor quem vobis maximum habeo, rei nullius recordari me sivit, non consanguinitatis, non consuetudinis, quæ mihi puero cum viro exstitit, præ vestris postulatis; sed omnium quæ mihi privatim cum eo ad conjunctionem intercedunt, oblitus, non reputans gemituum copiam, quam populus meus isto præposito destitutus edet, non lacrymas universæ illius cognationis, non ipsius matris jam senis, quæ solo illius auxilio sublevatur, mœstitiam attendens; horum simul omnium, quæ talia et tanta sunt, rationem non habens, id unum spectavi, ut Ecclesiam vestram viri tanti præfectura ornarem, eique succurrerem, jam ob diuturnam præpositi privationem in genua provolutæ, et multo **198** ac valido adminiculo, ut erigatur, indigenti. Nostra itaque sic se habent. Vestra autem jam reposcimus, ne minora videantur spe nostra et fide, quam viro dedi, illum a me ad amicos mecumque conjunctissimos mitti, sed ut quisque vestrum alius alium suo in virum studio ac amore superare conetur. Ostendite igitur præclaram illam contentionem, ac magnitudine obsequii cor illius demulcete, ut eum capiat oblivio patriæ, oblivio cognatorum, oblivio populi tantum pendentis ab ejus regimine, quantum infans recens natus ab ubere materno. Præmisimus autem Niciam, ut ea quæ acta

Σαταλεῦσι πολίταις.

Ἐγὼ, τάς τε ἰδίας ὑμῶν παρακλήσεις καὶ τὰς τοῦ λαοῦ παντὸς δυσωπηθεὶς, καὶ ἐδεξάμην (26) τὴν φροντίδα τῆς καθ' ὑμᾶς Ἐκκλησίας, καὶ ὑπεσχόμην ὑμῖν ἐνώπιον Κυρίου μηδὲν ἐλλείψειν τῶν εἰς δύναμιν ἐμὴν ἡκόντων. Διὸ ἠναγκάσθην, κατὰ τὸ γεγραμμένον (27), οἱονεὶ τῆς κόρης τοῦ ἐμοῦ ὀφθαλμοῦ ἅψασθαι. Οὕτως τὸ ὑπερβάλλον τῆς καθ' ὑμᾶς τιμῆς οὐδενός C μοι συνεχώρησεν εἰς μνήμην ἐλθεῖν, οὐ συγγενείας, οὐ τῆς ἐκ παιδὸς συνηθείας τῆς ὑπαρχούσης μοι πρὸς τὸν ἄνδρα, πρὸ τῶν παρ' ὑμῶν αἰτηθέντων· ἀλλὰ πάντων μὲν τῶν ἰδίᾳ μοι ὑπαρχόντων πρὸς αὐτὸν εἰς οἰκειότητος λόγον ἐπιλαθόμενος, μὴ ὑπολογισάμενος δὲ μηδὲ τοῦ στεναγμοῦ τὸ πλῆθος, ὃ καταστενάξει μου ὁ λαὸς ὁ τὴν προστασίαν αὐτοῦ ζημιωθεὶς, μὴ πάσης αὐτοῦ τῆς συγγενείας τὸ δάκρυον, μὴ μητρὸς αὐτοῦ γηραιᾶς καὶ ἐπὶ μόνῃ τῇ παρ' αὐτοῦ θεραπείᾳ σαλευούσης τὴν θλίψιν εἰς καρδίαν λαβών· πάντων ὁμοῦ τοιούτων ὄντων (28) καὶ τοσούτων ἀλογήσας, ἑνὸς ἐγενόμην, τοῦ τὴν ὑμετέραν Ἐκκλησίαν κατακοσμῆσαι μὲν τῇ τοῦ τηλικούτου ἀνδρὸς προστασίᾳ, βοηθῆσαι δὲ αὐτῇ ἐκ τῆς χρονίας ἀπροστασίας εἰς γόνυ D λοιπὸν κλιθείσῃ, καὶ πολλῆς καὶ δυνατῆς χειραγωγίας εἰς τὸ διαναστῆναι δεομένῃ (29). Τὰ μὲν οὖν ἡμέτερα τοιαῦτα. Τὰ δὲ παρ' ὑμῶν ἀπαιτοῦμεν λοιπὸν μὴ ἐλάττονα φανῆναι τῆς ἡμετέρας ἐλπίδος, καὶ τῶν ὑποσχέσεων ἃς πεποιήμεθα τῷ ἀνδρὶ, ὅτι πρὸς οἰκείους καὶ φίλους αὐτὸν ἐξεπέμψαμεν, ἑκάστου ὑμῶν ὑπερβαλέσθαι τὸν ἕτερον ἐν τῇ περὶ τὸν ἄνδρα σπουδῇ καὶ ἀγάπῃ προθυμουμένου. Ὅπως οὖν ἐπιδείξησθε (30) τὴν καλὴν ταύτην φιλοτιμίαν, καὶ τῷ ὑπερβάλλοντι τῆς θεραπείας παρακαλέσητε αὐτοῦ τὴν καρ-

[10] I Thess. IV, 12. [11] Zachar. II, 8.

* Alias CLXXXIII, scripta anno 372.

(26) *Καὶ ἐδεξάμην*. Harl. κατεδεξάμην.

(27) *Τὸ γεγραμμένον*. Harl. et Med. τὸ εἰρημένον. Paulo post idem Med. τῶν οἰκειότητος λόγων.

(28) *Τοιούτων ὄντων*. Med. τοιούτων ἀλγεινῶν.

(29) *Δεομένῃ*. Male in editis δεομένης. Erratum sustuli ope codicum mss.

(30) *Ὅπως οὖν ἐπιδείξησθε*. Ita mss. nostri summo consensu. Editi ὅπως οὖν ἐπιδείξησθε

ἀν. ὥστε λήθην μὲν αὐτῷ ἐγγενέσθαι πατρίδος, λήθην δὲ συγγενῶν (31), λήθην δὲ λαοῦ τοσοῦτον ἐξηρτημένου τῆς προστασίας αὐτοῦ, ὅσον παιδίον νεαρὸν τῆς μητρῴας θηλῆς. Προαπεστείλαμεν δὲ Νικίαν, ὥστε τὰ γενόμενα φανερὰ καταστῆσαι τῇ τιμιότητι ὑμῶν, καὶ προλαβόντας ὑμᾶς ἑορτάζειν καὶ εὐχαριστεῖν τῷ Κυρίῳ τῷ δι' ἡμῶν καταξιώσαντι τὴν εὐχὴν ὑμῶν ἐκπληρωθῆναι.

A sunt dignitati vestræ nota faciat, et diem festum agatis in antecessum, ac Domino, qui opera nostra vestrum votum adimplere dignatus est, gratias rependatis.

ΕΠΙΣΤΟΛΗ ΡΓ'. — EPISTOLA CIII*.

Nuntiat Satalensibus virum præstantissimum a se episcopum illis concedi.

Σαταλεῦσιν (32).

Ἤγαγεν εἰς ἔργον ὁ Κύριος τοῦ λαοῦ αὐτοῦ τὰ αἰτήματα, καὶ ἔδωκεν αὐτῷ διὰ τῆς ἡμετέρας ταπεινώσεως ποιμένα ἄξιον μὲν τοῦ ὀνόματος, καὶ οὐ κατὰ τοὺς πολλοὺς καπηλεύοντα τὸν λόγον, δυνάμενον δὲ καὶ ὑμῖν (33) τοῖς τὴν ὀρθότητα τοῦ κηρύγματος ἀγαπῶσι, καὶ τὴν κατ' ἐντολὰς τοῦ Κυρίου ζωὴν καταδεξαμένοις (34), ἀρέσκειν καθ' ὑπερβολὴν ἐν τῷ ὀνόματι (35) τοῦ Κυρίου τοῦ πληρώσαντος αὐτὸν τῶν πνευματικῶν αὐτοῦ χαρισμάτων.

Satalensibus.

Perduxit ad exitum Dominus populi sui petitiones, eique per nostram humilitatem pastorem dedit, dignum nomine, nec verbum, ut plerique solent, cauponantem, B sed qui vobis rectam doctrinam diligentibus, vitamque Domini præceptis consentaneam profitentibus, placere majorem in modum possit in nomine Domini, qui illum spiritualibus suis donis adimplevit.

ΕΠΙΣΤΟΛΗ ΡΔ'. — EPISTOLA CIV**.

Cum ad alias Cappadociæ calamitates illud accessisset, ut omnes Ecclesiæ ministri censui subjicerentur, rogat Modestum Basilius, ut immunitatem aliquam non deneget, eamque episcopi arbitrio committat.

Μοδέστῳ ὑπάρχῳ.

Αὐτὸ τὸ γράφειν πρὸς ἄνδρα τοσοῦτον, κἂν μηδεμία πρόφασις ἑτέρα προσῇ, μέγιστόν ἐστι τῶν εἰς τιμὴν φερόντων τοῖς αἰσθανομένοις· διότι αἱ πρὸς τοὺς παμπληθὲς (36) τῶν λοιπῶν ὑπερέχοντας ὁμιλίαι μεγίστην τοῖς ἀξιουμένοις περιφάνειαν προξενοῦσιν. Ἐμοὶ δ' ὑπὲρ πατρίδος πάσης ἀγωνιῶντι ἀναγκαία πρὸς τὴν σὴν μεγαλόνοιαν ἡ ἔντευξις, ἧς ἱκετεύω πρᾴως καὶ κατὰ τὸν σεαυτοῦ τρόπον ἀνασχέσθαι, καὶ χεῖρα ὀρέξαι τῇ πατρίδι ἡμῶν εἰς γόνυ ἤδη κλιθείσῃ (37). Ἔστι δὲ ὑπὲρ οὗ ἱκετεύομέν σε τὸ πρᾶγμα τοιοῦτον. Τοὺς τῷ Θεῷ ἡμῶν ἱερωμένους, πρεσβυτέρους καὶ διακόνους (38), ὁ παλαιὸς κῆνσος ἀτελεῖς ἀφῆκεν (39). Οἱ δὲ νῦν ἀπογραψάμενοι, ὡς οὐ λα-

Modesto præfecto

Ad virum tantum vel litteras dare, etiamsi nulla alia sit causa, maximo est honori intelligentibus; quia colloquia cum viris dignitate cæteros longe superantibus, plurimum splendoris iis, quibus id obtigerit, afferunt. Mihi autem pro C universa patria laboranti necessaria est apud tuam magnanimitatem deprecatio, quam rogo leniter et tuo more perferas, ac patriæ nostræ jam in genua inclinatæ manum porrigas. Negotium porro cujus causa te precamur, ejusmodi est. Eos qui Deo nostro ministrant, presbyteros videlicet et diaconos, vetus census immunes reliquit. Qui autem nunc recensioni **199** operam dant, ii, ut

(31) *Συγγενῶν*. Ita omnes nostri codices. Editi συγγενείας. Sub finem corrupte in editis δι' ἡμᾶς. Mss. ut in textu.

(32) *Σαταλεῦσιν*. In codicibus Harl. et Coisl. primo hæc epistola dicitur ἀνεπίγραφος, *sine inscriptione*. In aliis tribus legitur τοῖς αὐτοῖς, *iisdem*. Revera hæc epistola summam habet necessitudinem cum præcedenti; nec alium Pœmenio Satalensi videtur designare Basilius, dum ait pastorem nomine dignum populo datum fuisse.

(33) *Καὶ ὑμῖν*. Ita sex mss. Editi καὶ ἡμῖν.

(34) *Καταδεξαμένοις*. Ita Harl. et Coisl. primus cum aliis pluribus. Editio Paris. prima καταδεξάμενος.

(35) *Ὀνόματι*. Ita omnes mss. Editi ῥήματι.

(36) *Παμπληθές*. Ita mss. Editi παμπληθεῖς. Non multo post quatuor mss. recentiores δι' ἧς ἱκετεύω.

(37) *Κλιθείσῃ*. Sic omnes mss. pro eo quod erat in editis ἐλθούσῃ.

(38) *Πρεσβυτέρους καὶ διακόνους*. Leguntur hæc in omnibus codicibus mss. Sed tamen videntur primo apposita ad marginem fuisse, ut explicaretur illud ἱερωμένους, deinde, ut sæpe alias contigit, in contextum irrepsisse. 1° Basilius his vocibus, ἱερωμένους, ἱερατικούς, non presbyteros solum et diaconos, sed alios etiam clericos comprehendit, ut observavimus ad epist. 54. 2° Antiqua illa lex, quam citat Basilius, exstat in codice Theodosiano, tom. VI, tit. 2, p. 34. Ibi Constantius immunitatem a sordidis muneribus, a collatione lustrali et a censibus concedit non solum presbyteris et diaconis, sed etiam aliis clericis et juvenibus, eorumque conjugibus et liberis et ministeriis. Hinc Gregorius Nazianzenus in epistola 166 queritur quod clerici, qui secum erant et in domo sua, immunes D non sint, cum *in aliis civitatibus omnes qui circa sacrarium versantur* πάντας τοὺς περὶ τὸ βῆμα, hoc beneficio perfruantur. 3° Basilius, qui in hac epistola petit ut concessa immunitas judicio episcopi dispensanda permittatur, non videtur solis presbyteris et diaconis immunitatem petiisse; cum ipsius interesset ut hæc liberalitas ad eos etiam clericos quos domi suæ habebat, et ad alios pauperrimos et omnium egenos extenderetur. Videntur ergo hæ voces, πρεσβυτέρους καὶ διακόνους, expungendæ; nec tamen mihi hanc licentiam sumpsi, quia codices mss. repugnabant.

(39) *Ἀφῆκεν*. Male in editis ἀφῆκαν contra omnium codicum mss. fidem. Ibidem Gothofredus, cod. Theod., tom VI, pag. 35, legendum putat ὡς λαβόντες, *ut accepto mandato*. Sed repugnant omnes codices mss., nec levibus causis vulgata scriptura nititur. Nam Constantii legis non maxima erat

* Alias CCXCVI, scripta anno 372.

** Alias CCLXXIX, scripta anno 372.

nullo a sublimi tua potestate accepto mandato, A eos recensuere, nisi forte quidam aliunde ab ætate immunitatem haberent. Rogamus igitur, ut hoc nobis tuæ beneficentiæ monumentum relinquas, quod venturo omni ævo bonam tui memoriam conservet, nobisque concedas, secundum legem antiquam census, sacros ministros; nec in personas eorum, qui nunc ascripti sunt, conferatur remissio (sic enim beneficium transiturum est ad successores: quos non semper contingit ministerio sacro esse dignos), sed secundum liberæ descriptionis formam, communis quædam clericorum fiat concessio, adeo ut qui Ecclesias gubernant, quovis loco ministrantibus immunitatem donent. Hæc et tuæ magnanimitati immortalem recte factorum gloriam conservabunt, et imperatoris familiæ precatores multos comparabunt, et ipsis rebus publicis non parum afferent emolumenti; siquidem non omnino clericis, sed iis qui quovis tempore affliguntur, immunitatis solatium præstamus; quod quidem, et cum liberi sumus, non prætermittimus, ut perspicere potest quisquis voluerit.

βόντες παρὰ τῆς ὑπερφυοῦς σου ἐξουσίας πρόσταγμα (40), ἀπεγράψαντο, πλὴν εἰ μή πού τινες ἄλλως εἶχον ὑπὸ τῆς ἡλικίας τὴν ἄφεσιν. Δεόμεθα οὖν μνημόσυνον τῆς σῆς εὐεργεσίας τοῦτο ἡμῖν ἀφεθῆναι (41), παντὶ τῷ ἐπιόντι χρόνῳ ἀγαθὴν περὶ σοῦ μνήμην διαφυλάττον, καὶ συγχωρηθῆναι κατὰ τὸν παλαιὸν νόμον τῆς συντελείας τοὺς ἱερατεύοντας· καὶ μὴ εἰς πρόσωπον τῶν νῦν καταλαμβανομένων γενέσθαι τὴν ἄφεσιν (οὕτω γὰρ εἰς τοὺς διαδόχους ἡ χάρις μεταβήσεται, οὓς οὐ πάντως (42) συμβαίνει τοῦ ἱερατεύειν ἀξίους εἶναι), ἀλλὰ κατὰ τὸν ἐν τῇ ἐλευθέρᾳ ἀπογραφῇ τύπον, κοινήν τινα συγχώρησιν κληρικῶν γενέσθαι, ὥστε ὑπὸ τῶν οἰκονομούντων τὰς Ἐκκλησίας τοῖς ἑκάστοτε λειτουργοῦσι τὴν ἀτέλειαν δίδοσθαι. B Ταῦτα καὶ τῇ σῇ μεγαλοφυΐᾳ ἀθάνατον τὴν ἐπὶ τοῖς ἀγαθοῖς δόξαν διαφυλάξει, καὶ τῷ βασιλικῷ οἴκῳ πολλοὺς τοὺς ὑπερευχομένους παρασκευάσει, καὶ αὐτοῖς τοῖς δημοσίοις μέγα παρέξει ὄφελος, ἡμῶν οὐ πάντως τοῖς κληρικοῖς, ἀλλὰ (43) τοῖς ἀεὶ καταπονουμένοις τὴν ἀπὸ τῆς ἀτελείας παραμυθίαν παρεχομένων· ὅπερ οὖν (44) καὶ ἐπὶ τῆς ἐλευθερίας ποιοῦμεν, ὡς ἔξεστι γνῶναι τῷ βουλομένῳ.

EPISTOLA CV*.

ΕΠΙΣΤΟΛΗ ΡΕ'.

Dolere se significat, quod Terentii filias Samosatis non viderit. Laudat earum in Trinitatis confessione constantiam, quamvis in medio impietatis degant; eusque hortatur ut perseverent, et eorum qui Filii aut Spiritus divinitatem negant, communionem et colloquium fugiant.

Diaconissis Terentii Comitis filiabus.

Ego et cum Samosata advenissem, speravi venturum me in sermonem dignitati vestræ: et hujus rei compos minime factus, æquo animo damnum non tuli; considerans quandonam futurum sit, ut vel ego possim rursus ad regiones vestras accedere, vel vobis ad nostras venire placeat. Verum hæc sint in Domini voluntate posita. Quod autem nunc agitur, ubi inveni proficiscentem ad vos filium Sophronium, lætus hanc ei epistolam dedi, quæ et salutationem vobis perferat, et nostram animi sententiam declaret, qui sci-

Διακόνοις θυγατράσι Τερεντίου Κόμητος (45).

C Ἐγὼ καὶ Σαμοσάτοις ἐπιστὰς προσεδόκησα συντεύξεσθαι τῇ κοσμιότητι ὑμῶν· καὶ ἐπειδὴ διήμαρτον τῆς συντυχίας, οὐ μετρίως ἤνεγκα τὴν ζημίαν, λογιζόμενος πότε εἴη ἢ ἐμοὶ δυνατὸν πάλιν πλησιάσαι τοῖς καθ' ὑμᾶς χωρίοις, ἢ ὑμῖν (46) αἱρετὸν τὴν ἡμετέραν καταλαβεῖν. Ἀλλ' ἐκεῖνα μὲν κείσθω ἐν τῷ θελήματι τοῦ Κυρίου. Τὸ δὲ νῦν ἔχον, ἐπειδὴ εὗρον τὸν υἱὸν Σωφρόνιον πρὸς ὑμᾶς ἐξορμῶντα, ἡδέως αὐτῷ τὴν ἐπιστολὴν ἐπέθηκα (47) ταύτην, προσηγορίαν ὑμῖν κομίζουσαν, καὶ τὴν ἡμετέραν γνώμην δηλοῦσαν, ὅτι οὐ διαλιμπάνομεν τῇ τοῦ Θεοῦ χάριτι

auctoritas: ipse de ea detraxerat per alias leges, et cleticos prædiorum possessores censui addixerat. Magna erat in hoc genere varietas, ut modo vidimus ex testimonio Gregorii; unde non mirum, si censitores nihil Basilio concedere voluerunt, quia mandatum a præfecto non acceperant.

* Alias CCCI, scripta anno 372.

(40) *Πρόσταγμα*. Coisl. primus et Harl. προστάγματα. Ibidem quinque codices non vetustissimi πλὴν εἴ που.

(41) *Ἀφεθῆναι*. Ita Harl., Coisl. primus et alii nonnulli. Editi ἐναφεθῆναι.

(42) *Οὐ πάντως*. Gothofredus in commentario ad legem modo citatam Basilium petere existimat, ut beneficium successoribus eorum, qui tunc erant, presbyterorum et diaconorum, transdatur. Sed minus vidit hoc in loco vir doctissimus. Quomodo enim Basilius, si quidquam ejusmodi peteret, hac ratione uteretur, quia non semper contingit eos ministerio sacro dignos esse? Non cadit in Basilium ejusmodi ratiocinatio. Præterea postulat ut ipsi episcopi hanc immunitatem dispensent; quod prorsus inutile fuisset, si ratum et fixum singulis clericis beneficium fuisset. Videtur ergo Basilii sententia sic accipienda:

D Petit aliquam immunitatem, episcoporum arbitrio gubernandam, ita ut nominatim non tribuatur certis quibusdam ministris, quia eorum successoribus, qui fortasse indigni essent ministerio, transmitteretur. Longe satius ei videtur, ut descriptio sit libera, et qui Ecclesias gubernant, immunitatem quovis loco ministrantibus donent, eorumque judicio permittatur, quinam censui addicendi, quive habendi sint eximii. Hinc se immunitatem non omnino clericis, sed iis qui quovis tempore affliguntur, petere declarat.

(43) Vide Addenda.

(44) *Ὅπερ οὖν*. Sic mss. omnes. Editi ὥσπερ οὖν.

(45) *Τερεντίου κόμητος*. Septem codices antiqui copiam dederunt emendandæ editorum pravæ lectionis Φερεντίου κόμητος. Addunt quidam codices περὶ πίστεως. Cod. Clarom. θεολογία τοῦ ἁγίου Πνεύματος.

(46) *Ἢ ὑμῖν*. Editi ἢ εἰ ὑμῖν. Voculam expunximus, tum quia sententiam denormat, tum quia deest in quatuor mss.

(47) *Ἐπέθηκα*. Sic mss. codices sex. Editi ἐκδέδωκα.

μεμνημένοι ὑμῶν, καὶ εὐχαριστοῦντες ὑπὲρ ὑμῶν τῷ Κυρίῳ, ὅτι ἀγαθῆς ῥίζης ἀγαθὰ βλαστήματά ἐστε, καρποφοροῦντα τοῖς ἀγαθοῖς ἔργοις, καὶ τῷ ὄντι ὡς κρίνα ἐν μέσῳ ἀκανθῶν. Τὸ γὰρ ὑπὸ τοσαύτης διαστροφῆς ἀνθρώπων παραφθειρόντων τὸν λόγον τῆς ἀληθείας περικυκλουμένας μὴ ἐνδοῦναι πρὸς τὰς ἀπάτας, μηδὲ τὸ ἀποστολικὸν τῆς πίστεως κήρυγμα καταλιπούσας πρὸς τὴν νῦν ἐπιπολάζουσαν καινοτομίαν μετατεθῆναι (48), πῶς οὐχὶ μεγάλης μὲν πρὸς τὸν Θεὸν εὐχαριστίας ἄξιον, μεγάλους δὲ ὑμῖν ἐπαίνους δικαιότατα προξενεῖ; Εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα πεπιστεύκατε· μὴ προδῶτε ταύτην τὴν παρακαταθήκην. Πατέρα τὴν πάντων ἀρχήν· Υἱὸν μονογενῆ, ἐξ αὐτοῦ γεννηθέντα, ἀληθινὸν Θεὸν, τέλειον ἐκ τελείου, εἰκόνα ζῶσαν, ὅλον δεικνύντα ἐν ἑαυτῷ τὸν Πατέρα· Πνεῦμα ἅγιον, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον (49), τὴν πηγὴν τῆς ἁγιότητος, δύναμιν ζωῆς παρεκτικὴν, χάριν τελειοποιὸν, δι' οὗ υἱοθετεῖται ἄνθρωπος, καὶ ἀπαθανατίζεται (50) τὸ θνητὸν, συνημμένον Πατρὶ καὶ Υἱῷ κατὰ πάντα ἐν δόξῃ καὶ ἀϊδιότητι, ἐν δυνάμει καὶ βασιλείᾳ, ἐν δεσποτείᾳ καὶ θεότητι· ὡς καὶ ἡ τοῦ σωτηρίου βαπτίσματος παράδοσις μαρτυρεῖ. Οἱ δὲ κτίσμα λέγοντες ἢ τὸν Υἱὸν ἢ τὸ Πνεῦμα, ἢ ὅλως αὐτὸ (51) εἰς τὴν λειτουργικὴν καὶ δουλικὴν κατάγοντες τάξιν, μακράν εἰσι τῆς ἀληθείας, ὧν φεύγειν προσήκει τὰς κοινωνίας καὶ ἐκτρέπεσθαι τοὺς λόγους, ὡς δηλητήρια ὄντα ψυχῶν. Ἐὰν δέ ποτε δῷ ἡμῖν ὁ Κύριος γενέσθαι κατὰ ταυτὸν, πλατύτερον ὑμῖν τοὺς περὶ τῆς πίστεως ἐκθησόμεθα λόγους· ὥστε μετ' ἀποδείξεων γραφικῶν καὶ τὸ τῆς ἀληθείας ἰσχυρὸν καὶ τὸ σαθρὸν τῆς αἱρέσεως ὑμᾶς ἐπιγνῶναι.

A licet Dei gratia non desinimus vestri meminisse ac pro vobis Domino gratias agere, quod radicis bonæ bona sitis germina, bonis operibus fecunda, et vere tanquam lilia in medio spinarum. Quod enim cum tanta perversitas hominum veritatis doctrinam **200** corrumpentium vos circumstet, minime tamen fraudibus ceditis, nec ad vigentem nunc novitatem relictis apostolicis fidei documentis transferimini; quomodo non dignum sit, pro quo grates magnæ Deo agantur? quomodo non magnas laudes vobis merito conciliet? In Patrem et Filium et Spiritum sanctum creditis: cavete ne hoc prodatis depositum. Patrem rerum omnium principium; Filium unigenitum, ex eo genitum, verum Deum, perfectum B ex perfecto, imaginem vivam, Patrem totum in semetipso ostendentem: Spiritum sanctum, exsistentiam a Deo habentem, sanctitatis fontem, vim vitæ conciliatricem, gratiam perfectos efficientem: per quem homo in filium adoptatur, et id quod mortale est, immortalitate donatur: conjunctum Patri et Filio in omnibus, in gloria et æternitate, in potestate et regno, in dominio et divinitate, quemadmodum et ipsa baptismatis salutiferi traditio testatur. At vero qui aut Filium aut Spiritum dicunt esse creaturam, aut omnino Spiritum in ministrorum ac servorum redigunt ordinem, longe absunt a veritate; quorum fugienda communio ac sermones vitandi, velut animarum pernicies. Quod si unquam Do- C mino largiente in unum veniamus, fusius vobis de fide disseram; adeo ut ex deductis e Scriptura demonstrationibus tum veritatis vim tum hæresis debilitatem perspiciatis.

ΕΠΙΣΤΟΛΗ ΡϚ'.

EPISTOLA CVI*.

Militem maximis virtutibus præditum Basilius in sua peregrinatione cognoverat. Nunc acceptæ ab eo epistolæ respondet et ad perseverantiam hortatur.

Στρατιώτῃ.

Ὑπὲρ πολλῶν ἔχοντες εὐχαριστεῖν τῷ Κυρίῳ, ὧν κατηξιώθημεν παρ' αὐτοῦ ἐπὶ τῆς ἐπιδημίας ἡμῶν, μέγιστον ἀγαθὸν ἐκρίναμεν τὴν γνῶσιν τῆς σῆς τιμιότητος, τὴν παρὰ τοῦ ἀγαθοῦ Δεσπότου παρασχεθεῖσαν ἡμῖν. Ἔγνωμεν γὰρ ἄνδρα δεικνύντα, ὅτι καὶ ἐν τῷ στρατιωτικῷ βίῳ δυνατὸν τῆς πρὸς Θεὸν ἀγάπης τὸ τέλειον διασῶσαι· καὶ ὅτι οὐχ ἐν τῇ περιβολῇ τῆς ἐσθῆτος, ἀλλ' ἐν τῇ διαθέσει τῆς ψυχῆς ὁ Χριστιανὸς ὀφείλει χαρακτηρίζεσθαι. Καὶ τότε οὖν μετὰ πάσης ἐπιθυμίας συνετύχομέν σοι· καὶ νῦν, ὁσάκις ἂν εἰς μνήμην ἔλθωμεν, μεγίστης ἀπολαύομεν εὐφροσύνης. Ἀνδρίζου τοίνυν, καὶ ἴσχυε, καὶ τὴν πρὸς Θεὸν ἀγάπην τρέφειν καὶ πολυπλασιάζειν ἀεὶ σπούδαζε, ἵνα σοι καὶ ἡ τῶν ἀγαθῶν παρ' αὐτοῦ χορηγία ἐπὶ μεῖζον προΐῃ. Ὅτι δὲ καὶ ἡμῶν μέμνησαι, οὐδεμιᾶς ἑτέρας ἀποδείξεως προσδεόμεθα, τὴν ἐκ τῶν πραγμάτων ἔχοντες μαρτυρίαν.

Militi.

Cum pro multis debeam grates Domino persolvere, quæ ab eo in mea peregrinatione accepi, bonum maximum judicavi, quod boni Domini dono præstantiam tuam cognoverim. Virum enim cognovi, qui in militari etiam vita perfectum Dei amorem et charitatem servari posse, et Christia- D num non ex vestimenti forma, sed ex animi habitu dignosci debere demonstrat. Et tunc igitur libentissime sum tecum congressus: et nunc, quoties recordor, maxima fruor voluptate. Itaque strenue age, et corroborare, et Dei amorem nutrire ac augere semper stude, ut et tibi bonorum ab eo copia accrescat. Nullo autem indigeo argumento, quo te mei memorem esse edocear, cum res ipsæ perhibeant testimonium.

(48) *Μετατεθῆναι.* Hanc vocem, quæ deest in editis, eruimus ex mss. quinque. Quidam codices habent ibidem κενοφωνίαν, *vana commenta.*

(49) *Ὕπαρξιν ἔχον.* Quidam codices ὕπαρχον.

(50) *Ἀπαθανατίζεται.* Sic mss. codices. Editi ἐπαθανατίζεται.

(51) *Αὐτό.* Sic invenimus in tribus vetustissimis codicibus et aliis nonnullis. Editi αὐτούς, *Filium et Spiritum.*

* Alias CDVII, scripta anno 372.

EPISTOLA CVII*.

ΕΠΙΣΤΟΛΗ ΡΖ'.

Julittam consolatur, quam durus exactor promissi immemor premebat. Scripsisse se ait ad illum et ad Helladium, sed ad præfectum scribere ausum non esse.

Julittæ viduæ.

A Omnino dolui, lectis nobilitatis tuæ litteris, quod eædem te iterum circumstent angustiæ. Ecquid autem faciendum hominibus, **201** ita versipelle ostendentibus ingenium, et alias aliud dicentibus, nec stantibus in suis ipsorum pactis? Si enim post factas coram me et coram expræfectis pollicitationes, nunc quasi nihil dixisset, tempus præstitutum ita coarctat; videtur ille vir omnem erga nos pudorem abjecisse. Litteras tamen ad illum dedi, pudorem incutiens, eique sua promissa in memoriam revocans. Scripsi autem et ad Helladium, præfecti domesticum, ut per ipsum de tuis rebus certior fiat præfectus. Ego enim decere non putavi tantum mihi licentiæ sumere cum tanto judice; eo quod nondum ei de B ulla re privata scripserim, verearque ne quo pacto rem improbet: quippe cum summi viri in ejusmodi rebus, ut nosti, facile irascantur. Si ergo aliquid inde accedet emolumenti, erit Helladio ascribendum, viro et probo et optime de me sentienti, et Deum timenti, et summam libertatem apud præfectum obtinenti. Potest autem sanctus te ex omni ærumna eximere, si modo ex animo vero ac sincero spem in eo reponamus.

Ἰουλίττῃ ἐλευθέρᾳ.

Πάνυ ἐθύμησα τοῖς γράμμασιν ἐντυχὼν τῆς εὐγενείας σου, ὅτι σε πάλιν αἱ αὐταὶ περιέχουσιν ἀνάγκαι. Καὶ τί δεῖ ποιεῖν πρὸς ἀνθρώπους οὕτω παλίμβολον (52) ἐπιδεικνυμένους τὸ ἦθος, καὶ ἄλλοτε ἄλλα λέγοντας, καὶ ταῖς ἰδίαις ὁμολογίαις μὴ ἐμμένοντας; Εἰ γὰρ μετὰ τὰς ἐπ' ἐμοῦ (53) καὶ τοῦ ἀπὸ ὑπάρχων (54) ὑποσχέσεις, νῦν, ὡς μηδενὸς εἰρημένου, οὕτω στενοχωρεῖ τὴν προθεσμίαν, ἔοικε παντελῶς ἀπηρυθριακέναι πρὸς ἡμᾶς ὁ ἀνήρ. Πλὴν ἀλλ' ἐπέστειλα αὐτῷ, ἐντρέπων αὐτὸν καὶ ὑπομιμνήσκων τῶν αὐτοῦ ὑποσχέσεων. Ἐπέστειλα δὲ καὶ Ἑλλαδίῳ, τῷ οἰκείῳ τοῦ ὑπάρχου, ἵνα δι' αὐτοῦ διδαχθῇ τὰ κατὰ σὲ ὁ ὕπαρχος (55). Αὐτὸς γὰρ μέχρι τοσούτου θαῤῥῆσαι δικαστῇ τοσούτῳ οὐκ ἐνόμισα ἐπιβάλλον εἶναί μοι, διὰ τὸ μηδέ πω περὶ ἰδιωτικοῦ πράγματος αὐτῷ ἐπεσταλκέναι, καὶ ὑφορᾶσθαι κατάγνωσίν τινα, ὡς οἶδας, εὐκόλως τῶν μεγάλων ἀνδρῶν ἀγριαινόντων πρὸς τὰ τοιαῦτα. Εἰ μέντοι τι ἔσται ὄφελος, ἔσται τοῦτο διὰ Ἑλλαδίου, ἀνθρώπου καὶ χρηστοῦ καὶ περὶ ἡμᾶς διακειμένου, καὶ Θεὸν φοβουμένου, καὶ παῤῥησίαν ἀμύθητον ἔχοντος πρὸς τὸν ἄρχοντα. Δυνατὸς δὲ ὁ ἅγιος διαγαγεῖν (56) σε πάσης θλίψεως, μόνον ἐὰν ἀληθινῇ καὶ γνησίᾳ καρδίᾳ ἐπελπίσωμεν ἐπ' αὐτόν.

EPISTOLA CVIII*.

ΕΠΙΣΤΟΛΗ ΡΗ'.

Mirari se significat, quod cum Julittæ tempus concessurum se promisisset, nunc promissa perficere nolit. Revocat ei in memoriam aliud promissum de chartis omnibus, si aurum de quo convenerat accepisset, viduæ reddendis.

Tutori hæredum Julittæ.

C Miratus sum, ubi audivi te bonarum illarum

Τῷ κηδεμόνι τῶν κληρονόμων Ἰουλίττης.

Ἐθαύμασα ἀκούσας, ὅτι, τῶν χρηστῶν ἐκείνων

* Alias CCLXXXVII, scripta anno 372.
* Alias CCLXXXVIII, scripta anno 372.

(52) *Παλίμβολον.* Coisl. uterque, Reg. secundus et Clarom. παλίμβουλον, *consilii non tenacem.*

(53) *Ἐπ' ἐμοῦ.* Sic mss. sex. Editi ἀπ' ἐμοῦ.

(54) *Τοῦ ἀπὸ ὑπάρχων.* Expræfectis dicuntur qui dignitate præfecti perfuncti sunt, vel illius ornamenta per codicillos acceperunt. Quisnam ille sit, de quo Basilius loquitur, et in Cappadocia an quisquam ejusmodi exstiterit, plane nescio. Multo libentius legerem τοῦ ἀπὸ ἐπάρχων, *exprœsidibus.* Præsides provinciarum vocantur ἔπαρχοι infra in epist. 215 et 242. Unde etiam provincia dicitur ἐπαρχία. Videtur Basilius aliquem hac dignitate perfunctum D designare.

(55) *Τοῦ ὑπάρχου... ὁ ὕπαρχος.* Legitur τοῦ ἐπάρχου et ὁ ἔπαρχος in omnibus nostris mss., id est Med., Coisl. utroque, Reg. secundo, Vat. et Clarom., nisi quod Coislinianus primus habet τοῦ ὑπάρχου. Sic etiam infra in epist. 109 præfectus prætorio vocatur ἔπαρχος tum in editis, tum in quatuor mss., quibuscum illa epistola fuit collata. Valesius cum pluribus doctissimis viris opinatur utramque vocem nullo discrimine solitam usurpari, Not. 1 in lib. IV *De vita Constantini.* Sed tamen discrimen perspicitur ex Notitia imperii et Codice Theodosiano et aliis ejusmodi monumentis, in quibus quoties præfectus tantum dicitur, præfectus prætorio intelligitur; neque hic titulus rectoribus provinciarum aut aliis potestatibus tribuitur, exceptis præfectis Urbis et præfecto Augustali Ægypti. Porro Latinæ voci non ὕπαρχος respondet, sed ἔπαρχος. Unde colligitur nec vocem ἔπαρχος ita propriam esse præfecti prætorio, ut eum vel sola designet; nec ὑπάρχους dici debere eos quibus apud Latinos præfecti titulus non deferretur. Hæc confirmari possunt ex Dione Cassio, qui de Cæsare Augusto sic loquitur lib. LV, pag. 555: Τότε δὲ πρῶτον καὶ ἐπάρχους τῶν δορυφόρων δύο ἀπέδειξεν. Οὕτω γάρ τοι αὐτοὺς καὶ ἐγὼ μόνους τῶν ἐπαρχόντων τινὸς, ἐπειδήπερ ἐκνενίκηκεν, ὀνομάζω. *Tunc autem primum et præfectos prætorianorum militum duos instituit. Sic enim et ego hos solos inter eos qui præsunt alicui muneri, quandoquidem ita usus obtinuit, appello.* Jam tum ergo ætate Cassii prætorio præfecti proprio quodam titulo designari solebant, qui eis minime communis esset cum aliis potestatibus. Nemo autem id dixerit de ἐπάρχου titulo. Unde sequitur titulum ὑπάρχου proprium esse præfecti prætorio, ac culpandos esse librarios in unius litteræ immutatione; si quando ἔπαρχος veluti proprio titulo appelletur, ut in hoc Dionis testimonio, et in locis Basilii et in titulo historiæ Evagrii apud Valesium, aut si rectores provinciarum et comites vocentur ὕπαρχοι, velut cum Julianus Orientis comes appellatur ἑῴας ὕπαρχος apud Theodoret. *Hist. Eccles.*, lib. III, cap. 11, aut cum Ponticæ Vicarium Gregorius Nazianzenus τῆς Ποντικῆς μοίρας ὕπαρχον appellat, orat. 20, pag. 353. Titulus ὑπάρχου restituendus in superioribus locis, ἐπάρχου autem in posterioribus. Vide Notam præcedentem.

(56) *Διαγαγεῖν.* Sic codices mss. Prima Parisiensis editio διάγειν.

καὶ πρεπόντων τῇ σῇ ἐλευθερίᾳ ὑποσχέσεων ἐπιλαθόμενος, νῦν σφοδροτάτην καὶ ἀπαραίτητον ἐπάγεις τὴν ἀπαίτησιν τῇ ἀδελφῇ τῇδε· καὶ τί εἰκάσω ἐκ τῶν λεγομένων, οὐκ ἔχω. Σοί τε γὰρ πολλὴν παρὰ τῶν πεπειραμένων σου μαρτυρουμένην ἐλευθερίαν σύνοιδα, καὶ τῶν ὑποσχέσεών σου μέμνημαι ὧν ἐποίησας ἐπ' ἐμοῦ καὶ τοῦδε (57)· λέγων ἐλάττονα μὲν γράφειν χρόνον, πλείονα δὲ συγχωρήσειν, διὰ τὸ (58) βούλεσθαι συμπεριφέρεσθαι τῇ ἀνάγκῃ τοῦ πράγματος, καὶ συγγνώμην παρέχειν τῇ ἐλευθέρᾳ ἀναγκαζομένῃ τοσοῦτον ἀθρόως ἐκ τῆς οἰκίας προΐεσθαι χρῆμα. Τίς οὖν ἡ αἰτία δι' ἣν ἡ τοσαύτη μεταβολὴ γέγονεν, ἐγὼ νοεῖν οὐκ ἔχω. Πλὴν ὅπερ ἂν ᾖ, παρακαλῶ σε, μεμνημένον τῆς σεαυτοῦ ἐλευθεριότητος, καὶ πρὸς τὸν Κύριον ἀποδόντα τὸν ἀμειβόμενον τὰς χρηστὰς προαιρέσεις, δοῦναι τὸν καιρὸν ὃν ἐξ ἀρχῆς ὑπέσχου τῆς ἀνέσεως, ἵνα δυνηθῶσι, συμπωλήσαντες τὰ ἑαυτῶν, διαλῦσαι τὸ χρέος. Δῆλον δὲ, ὅτι κἀκείνων μέμνημαι, ὅτι ὑπέσχου, εἰ λάβοις τὸ ὁμολογηθὲν χρυσίον, πάντα τὰ ὁμολογηθέντα χαρτία, καὶ τὰ ἐπὶ τῶν ἀρχόντων πραχθέντα, καὶ τὰ ἰδιωτικῶς γενόμενα (59), παραδώσειν τῇ προειρημένῃ. Παρακαλῶ οὖν, καὶ ἡμᾶς τίμησον, καὶ κτῆσαι παρὰ τῷ Κυρίῳ μεγάλην ἑαυτῷ εὐλογίαν, ἀναμνησθεὶς τῶν σεαυτοῦ ὑποσχέσεων, γινώσκων, ὅτι ἄνθρωπος εἶ, καὶ αὐτὸς (60) ἀναμένειν ὀφείλεις τοὺς καιροὺς ἐν οἷς δεηθήσῃ τῆς παρὰ τοῦ Θεοῦ ἀντιλήψεως· ἣν μὴ ἀποκλείσῃς σεαυτῷ διὰ τῆς παρούσης σκληρότητος· ἀλλ' εὐτρέπισον τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ ἐπὶ σαυτὸν, πᾶσαν χρηστότητα καὶ ἐπιείκειαν τοῖς καταπονουμένοις ἐπιδειξάμενος.

A promissionum ac liberalitati tuæ convenientium oblitum, nunc huic sorori violentissimam ac implacabilem exactionem inferre : et quid conjiciam ex his quæ dicuntur, nescio. Nam et tibi plurimam eorum, qui tui periculum fecere, testimonio liberalitatem scio attribui, et promissorum memini, quibus te coram me et illo obstrinxisti : cum diceres tempus quidem brevius scribi, sed te amplius concessurum, eo quod te velles ad rei necessitatem accommodare, et huic viduæ ignoscere, quæ tantam simul pecuniæ summam e domo sua emittere cogitur. Quænam autem causa, cur mutatio tanta contigerit, ego intelligere non queo. At quæcunque fuerit, rogo te, ut tuæ liberalitatis memor, et ad Dominum bonæ voluntatis remuneratorem respiciens, B tempus **202** induciarum initio promissum concedas : ut possint venditis rebus suis debitum dissolvere. Illud etiam probe memini pollicitum te esse, si aurum, de quo convenerat, acciperes, chartas omnes, tum eas quæ coram judicibus, tum quæ privatim confectæ, mulieri prædictæ traditurum. Obsecro itaque, et mihi honorem defer, et magnam tibi apud Dominum benedictionem compara, in memoriam promissa revocans, teque hominem esse cognoscens, ac tempora illa exspectare debere, quibus ope divina indigebis. Quam quidem tibi ipse per præsentem duritiam ne intercluseris : sed misericordias Dei in teipsum converte, benignitatem omnem et clementiam afflictis demonstrans.

ΕΠΙΣΤΟΛΗ ΡΘ'.

EPISTOLA CIX*.

Rogat Basilius Helladium comitem, ut sua apud præfectum gratia viduam tueatur, quæ præter sortem etiam usuras reddere cogebatur contra pactionum et promissorum fidem.

Ἑλλαδίῳ Κόμητι.

Πάνυ παραιτούμενος δι' ὄχλου εἶναι τῇ χρηστότητί σου, διὰ τὸ μέγεθος τῆς περὶ ὑμᾶς ἀρχῆς, ἵνα μὴ δόξω ἀμέτρως ἐμφορεῖσθαι τῆς φιλίας ὑμῶν· ὅμως ὑπὸ τῶν ἀναγκῶν ἡσυχάζειν οὐκ ἐπιτρέπομαι. Τὴν γοῦν ἀδελφὴν τήνδε, καὶ πρὸς γένος ἡμῖν οὖσαν καὶ διὰ χηρείαν καταπονουμένην, καὶ παιδὸς ὀρφανοῦ πράγματος φροντίζουσαν, ἐπεὶ εἶδον λοιπὸν ὑπὲρ δύναμιν ἀφορήτοις ἀνάγκαις συνεχομένην, κατελεήσας, καὶ παθὼν τὴν ψυχὴν, ἔσπευσα παρακαλέσαι σε, ἵνα, εἴ τις δύναμις, τῷ ἀποσταλέντι παρ' αὐτῆς ἀνθρώπῳ καταξιώσῃς συμπρᾶξαι, πρὸς τὸ ὅπερ αὐτὴ παροῦσα (61) ὑπέσχετο ὑφ' ἡμῶν, ἤδη τοῦτο αὐτὴν πληροῦσαν τῆς εἰς τὸ πλέον ἐπηρείας ἀπαλλαγῆναι. Ὑπέσχετο γὰρ τὸ κεφάλαιον δοῦσα συγχωρεῖσθαι τοὺς τόκους. Νῦν τοίνυν οἱ φροντίζοντες αὐτῆς τῶν κληρονόμων μετὰ τὸ κεφάλαιον καὶ τὴν τῶν τόκων

C *Helladio Comiti.*

Quamvis benignitati tuæ obstrepere refugiam ob magnitudinem potestatis tuæ, ne amicitia tua ultra modum impleri videar, tamen me res necessariæ quiescere non sinunt. Hanc igitur sororem, quæ et sanguine mihi conjuncta est, et ob viduitatem afflictatur, et res filii orphani procurat, ubi vidi jam ultra vires ærumnis intolerabilibus constringi, misertus illius, atque animo dolens, rogare te festinavi, ut si qua suppetat facultas, misso ab ea viro operam navare digneris; ut quod ipsa præsens coram me promiserat, eo jam reddito nulla amplius ei fiat injuria. Sic enim pacta fuerat, ut si sortem solveret, remitterentur usuræ. D Nunc igitur qui res illius hæredum procurant, præter sortem usuras etiam conantur exigere. Igitur ut perspectum et exploratum habens Dominum

(57) *Καὶ τοῦδε.* Non belle Combefisius legendum putat τοῦ δὲ λόγου. Indicat Basilius illum præsidibus, de quo in superiore epistola.

(58) *Διὰ τό.* Sic emendavimus ex codice Claromontano, quod prave in Coisliniano primo et editis legebatur δεῖ τῷ. Plures in hanc epistolam codices non habuimus. Paulo post editi ἐλευθερίᾳ. Uterque codex ut in textu.

(59) *Γενόμενα.* Sic uterque codex. Editi γινόμενα.

(60) *Καὶ αὐτός.* Iterum editi et Coisl. primus addunt καί, quæ conjunctio melius deesse visa est in codice Clarom.

(61) *Περιοῦσα.* Bigot. alter secunda manu παροῦσα.

* Alias CDXXII, scripta anno 372.

res viduarum atque orphanorum suas facere : ita A studium tuum et operam impende huic negotio, in spem futuræ ab ipso Deo nostro mercedis. Existimo enim, si præfecti maxime admirandi clementia sortem solutam esse didicerit, fore ut illum misereat domus illius cætera ærumnosæ et infelicis et in genua provolutæ, atque ad injurias, quæ extrinsecus inferuntur, imparis. Rogo igitur, et necessitati ignoscas, quæ ut tibi molestus essem coegit, et in hoc negotium incumbas pro potestate, quam Christus tibi, benignis ac probis moribus prædito, et his quæ accepisti ad optima quæque utenti largitus est.

εἴσπραξιν ἐπιχειροῦσι ποιήσασθαι. Ὡς οὖν εἰδὼς, ὅτι Κύριός ἐστιν ὁ τὰ τῶν χηρῶν καὶ ὀρφανῶν ἰδιοποιούμενος, οὕτω σπούδασον χρήσασθαι ἑαυτὸν τῇ σπουδῇ τῇ ὑπὲρ τοῦ πράγματος, ἐπ' ἐλπίδι τῆς παρ' αὐτοῦ τοῦ Θεοῦ ἡμῶν μισθαποδοσίας. Οἶμαι γὰρ, καὶ τὴν ἡμερότητα τοῦ θαυμασιωτάτου ἐπάρχου (62) μαθοῦσαν, ὅτι τὸ κεφάλαιον ἐκτέτισται, συμπαθήσειν τῷ ἐλεεινῷ λοιπὸν καὶ ἀθλίῳ οἴκῳ εἰς γόνυ κλιθέντι, καὶ οὐκέτι ἀρκοῦντι ταῖς ἔξωθεν αὐτῷ ἐπαγομέναις ἐπηρείαις. Παρακαλῶ οὖν, καὶ τῇ ἀνάγκῃ σύγγνωθι, δι' ἣν ὤχλησά σοι, καὶ τῷ πράγματι σύμπραξον κατὰ τὴν δύναμιν, ἣν ἔδωκέ σοι ὁ Χριστὸς χρηστῷ καὶ ἀγαθῷ τὸν τρόπον ὄντι, καὶ εἰς ἀγαθὸν οἷς ἔλαβες κεχρημένῳ.

EPISTOLA CX*.

ΕΠΙΣΤΟΛΗ ΡΙ'.

Basilius data a præfecto scribendi licentia utitur, ut ei commendet Tauri incolas, quibus graviora ferri tributa imponebantur.

Modesto præfecto.

Quantum mihi honoris ac libertatis concessisti, morum lenitate non veritus te ad nos demittere, tanta tibi atque etiam majora, quandiu vixeris, a bono nostro Domino incrementa tribui splendoris precamur. Me autem et jampridem scribere, et honore, qui ex te percipitur, perfrui cupientem retinebat amplissimæ dignitatis reverentia : quippe cum vererer, ne quando libertate immoderatius uti viderer. Nunc vero simul et accepta ab incomparabili tua magnanimitate scribendi licentia, simul et necessaria res hominum afflictorum confidere coegit. Si quid igitur tenuissimorum preces apud viros potentissimos valuerint : sine te, vir in primis admirande, hoc exorem, ut pro tua benigna voluntate, rusticitati miserandæ salutem largiaris, ac jubeas ut ferri tributum iis qui Taurum ferri feracem incolunt, fiat tolerabile, ne statim obruantur, sed publicis usibus diu inserviant : quam rem omnium maxime curæ esse admirandæ tuæ humanitati persuasum habeo.

B *Μοδέστῳ ὑπάρχῳ.*

Ὅσης ἡμῖν τιμῆς καὶ παῤῥησίας μεταδίδως, τῇ ἡμερότητι τοῦ τρόπου καταβαίνειν πρὸς ἡμᾶς ἀνεχόμενος, τοσαύτην σοι καὶ ἔτι πλείω ἐν παντὶ τῷ βίῳ παρὰ τοῦ ἀγαθοῦ ἡμῶν Δεσπότου τὴν αὔξησιν γενέσθαι τῆς περιφανείας εὐχόμεθα. Ἐμὲ δὲ καὶ πάλαι ἐπιθυμοῦντα γράφειν, καὶ ἀπολαύειν τῆς παρὰ σοῦ τιμῆς, κατεῖχεν ἡ πρὸς τὸ ὑπερέχον αἰδώς· εὐλαβούμενον μήποτε νομισθῶ ἀμέτρως ἐμφορεῖσθαι τῆς παῤῥησίας. Νῦν δὲ ὁμοῦ μὲν καὶ τὸ λαβεῖν τὴν ἐξουσίαν τοῦ ἐπιστέλλειν παρὰ τῆς ἀπαραβλήτου σου μεγαλοφυΐας, ὁμοῦ δὲ καὶ χρεία τῶν καταπονουμένων ἐξεβιάσατό με πρὸς τὸ θαρσεῖν. Εἴ τις οὖν καὶ παρὰ τῶν μικρῶν ἐπὶ τοῖς μεγίστοις (63) ἱκετηρίας ἰσχὺς, παρακλήθητι, θαυμασιώτατε, φιλανθρώπῳ νεύματι C ἐλεεινῇ ἀγροικίᾳ τὴν σωτηρίαν χαρίσασθαι, καὶ τοῖς τὸν Ταῦρον οἰκοῦσι τὸν σιδηροφόρον φορητὴν προστάξαι γενέσθαι τὴν τοῦ σιδήρου συντέλειαν· ὡς μὴ εἰς ἅπαξ αὐτοὺς ἐκτριβῆναι, ἀλλὰ διαρκῆ αὐτῶν εἶναι τὴν ὑπηρεσίαν τοῖς δημοσίοις· οὗ μάλιστα πάντων μέλειν τῇ ἀξιαγάστῳ σου φιλανθρωπίᾳ πεπείσμεθα.

203 EPISTOLA CXI**.

ΕΠΙΣΤΟΛΗ ΡΙΑ'.

Commendat amicum, qui a præfecto accersitus fuerat ob illatas ei criminationes.

Modesto præfecto.

Alias quidem magnanimitati tuæ obstrepere ausus non fuissem, qui et memet metiri, et potestates dignoscere sciam. Sed ubi amicum mihi hominem vidi difficultatibus implicatum, eo quod accersitus sit, hanc ei epistolam præbere ausus sum, ut eam, veluti quoddam supplicantis insigne offerens, ali-

D *Μοδέστῳ ὑπάρχῳ.*

Ἄλλως μὲν οὐκ ἂν ἐθάῤῥησα δι' ὄχλου γενέσθαι τῇ μεγαλοφυΐᾳ σου, εἰδὼς καὶ ἐμαυτὸν μετρεῖν, καὶ τὰς ἐξουσίας γνωρίζειν· ἐπειδὴ δὲ εἶδον ἄνδρα φίλον ἐναγωνίως διακείμενον ἐπὶ τῷ μετακληθῆναι, ἀπετόλμησα αὐτῷ δοῦναι τὴν ἐπιστολὴν ταύτην, ἵνα ἀνθ' ἱκετηρίας (64) αὐτὴν προβαλλόμενος τύχῃ τινὸς φιλ-

* Alias CCLXXVII, scripta anno 372.

** Alias CCLXXVI, scripta anno 372.

(62) Ἐπάρχου. Legendum ὑπάρχου, ut supra monuimus.

(63) Μεγίστοις. Coisl. primus μεγάλοις.

(64) Ἀνθ' ἱκετηρίας. Reg. uterque et Coisl. secundus ἀνθ' ἱκεσίας. Illa autem vox ἱκετηρία, qua sæpe alias utitur Basilius, non idem hoc loco sonat ac supplicatio, ut interpretes existimarunt ; sed potius id designat, quod supplicantes prætendere solebant, ut eum, cui supplicabant, inflecterent. Observat Chrysostomus, orat. 2 *adversus Anomæos*, plebem, si quid petat ab imperatore, olivæ ramos prætendere solere. Sed hunc Basilii locum inprimis illustrat Gregorius Nazianzenus, qui desertorem quemdam commendat Olympio in epist. 78, eumque ait ad Olympium confugere, et canitiem ac sacerdotium Gregorii, *veluti regiam quamdam imaginem*

ἀνθρωπίας. Πάντως δὲ, εἰ καὶ ἡμεῖς οὐδενὸς λόγου ἄξιοι, ἀλλ' αὐτὸ τὸ μέτριον (65) ἱκανὸν δυσωπῆσαι τὸν φιλανθρωπότατον τῶν ὑπάρχων (66), καὶ ἡμῖν δοῦναι συγγνώμην, ἵνα, εἰ μὲν μηδὲν πεπλημμέληται τῷ ἀνδρὶ, σωθῆναι αὐτὸν δι' αὐτὴν τὴν ἀλήθειαν· εἰ δὲ καὶ ἥμαρτεν, ἀφεθῆναι αὐτῷ (67) δι' ἡμᾶς τοὺς ἱκετεύσαντας. Οἷα δὲ τὰ ἐνταῦθα τῶν πραγμάτων ἐστὶ, τίς μᾶλλον ἐπίσταται σοῦ, τοῦ καὶ ἐπιβλέποντος τὰ παρ' ἑκάστῳ (68) σαθρὰ, καὶ τῇ θαυμασίᾳ προμηθείᾳ τὰ πάντα διακρατοῦντος;

A quid humanitatis consequatur. Certe autem, etsi nullius pretii sumus, moderatio ipsa præfectorum humanissimum potest flectere, et nobis veniam conciliare; ut si vir nihil peccavit, ipsius veritatis beneficio salvus sit et incolumis: si quid autem commisit, illud ei mea supplicantis causa remittatur. Quo autem in statu sint res nostræ, quis melius quam tu novit, qui ea quæ in unoquoque infirma sunt, consideras, ac mirabili tua providentia omnia moderaris?

ΕΠΙΣΤΟΛΗ ΡΙΒ'.

204 EPISTOLA CXII*.

Cum Domitianus Basilii necessarius in Andronicum, præpotentem virum, peccasset, Basilius hortatur Andronicum, ut Domitiano in metu et ignominia degenti novum supplicium non infligat, cæterisque qui eum intuentur, vane metu mortis et quid futurum sit observantibus, humanitatis laudandæ materiam præbeat.

Ἀνδρονίκῳ (69) *ἡγεμόνι.*

B

1. Εἰ μὲν οὕτως εἶχον σώματος, ὥστε ῥᾳδίως ὑπομένειν ὁδοιπορίας δύνασθαι, καὶ τὰ τοῦ χειμῶνος δυσχερῆ φέρειν, οὐκ ἂν ἐπέστελλον, ἀλλ' αὐτὸς παρὰ τὴν σὴν (70) μεγαλοψυχίαν ἐβάδιζον δυοῖν ἕνεκεν· τοῦ τε παλαιὸν ὑποσχέσεως ἐκτῖσαι χρέος (οἶδα γὰρ ὁμολογήσας παρέσεσθαι τῇ Σεβαστείᾳ, καὶ ἀπολαῦσαι (71) σου τῆς τελειότητος· ὅπερ ἐποίησα μὲν, διήμαρτον δὲ τῆς συντυχίας, μικρὸν κατόπιν τῆς σῆς καλοκαγαθίας παραγενόμενος)· ἑτέρου δὲ, τοῦ τὴν πρεσβείαν δι' ἐμαυτοῦ πληρῶσαι, ἣν ἀποστεῖλαι (72) τέως ἀπώκνουν, μικρότερον ἐμαυτὸν κρίνων ἢ ὥστε τοιαύτης τυγχάνειν χάριτος· καὶ ἅμα λογιζόμενος, ὅτι οὔτε ἄρχοντα οὔτε ἰδιώτην ὑπὲρ οὐδενὸς ἄν τις λέγων διὰ γραμμάτων πείσειεν οὕτως, ὡς αὐτὸς παρὼν, καὶ τὰ μὲν ἀπολυόμενος (73) τῶν ἐγκλημάτων, C τὰ δὲ ἱκετεύων, τοῖς δὲ συγγνώμην παραιτούμενος ἔχειν· ὧν οὐδὲν ἂν ῥᾳδίως δι' ἐπιστολῆς γένοιτο. Πᾶσιν οὖν τούτοις ἓν ἀντιθεὶς, σὲ τὴν θείαν κεφαλὴν, καὶ ὅτι ἐξαρκέσει τὴν γνώμην ἐνδείξασθαί σοι, ἣν περὶ τοῦ πράγματος ἔχομεν, τὰ δὲ λοιπὰ προσθήσεις παρὰ σεαυτοῦ, πρὸς τὴν ἐγχείρησιν οὐκ ἀπώκνησα.

Andronico duci.

1. Si corpore ita valerem, ut facile peregrinationem sustinere possem et hiemis molestias ferre, non equidem scriberem; sed ipse ad tuam magnanimitatem proficiscerer duabus de causis; ut et vetus promissi debitum persolverem (nam promisisse scio, venturum me Sebastiam, atque præstantia tua fruiturum: quod quidem feci, sed congressus compos non fui, propterea quod paulo post tuam probitatem adveni), deinde ut et legationem per me ipse obirem, quam mittere hactenus reformidabam, non tanti faciens me, ut ejusmodi beneficium consequar, ac illud etiam cogitans neminem esse qui vel principi vel privato per litteras æque persuadere possit, ac si ipse coram adsit, et ex criminibus alia diluat, pro aliis supplicet, aliis veniam precetur; quorum nihil facile fieri possit per epistolam. Sane his omnibus unum habens quod opponam, te scilicet divinum caput, cui satis erit nostram de re sententiam declarare; reliqua vero addes ex temetipso; rem sine cunctatione aggressus sum.

obtendere, ὥσπερ τινὰ εἰκόνα βασιλικὴν τὴν πολιὰν ἡμῶν προβαλλόμενος καὶ τὴν ἱερωσύνην. Idem Gregorius orat. 22, p. 400, ait de Machabæorum matre, προέτεινε τὴν πολιὰν καὶ τὸ γῆρας ἱκετηρίας προυβάλλετο, *protendebat canitiem filiis suis et senectutem ostendebat velut ea quæ ad supplicandum prætendi solent.* Regia imago in primo testimonio adhibita, probat D in altero ἱκετηρίαν esse signum supplicandi, non orationem supplicem, ut visum est Billio.

(65) *Τὸ μέτριον.* Ita Coisl. uterque. Editi τὸ μέτρον.

(66) *Ὑπάρχων.* Coisl. et Med. ἐπάρχων.

(67) *Ἀφεθῆναι αὐτῷ.* Unus ex Combefisianis codicibus habet αὐτόν. Simili commendatione utitur Gregorius Nazianzenus epist. 183, narratque olim quemdam ita ad amicum scripsisse: Τὸν δεῖνα, εἰ μὲν οὐδὲν ἀδικεῖ, διὰ τὸ δίκαιον ἄφες· εἰ δὲ ἀδικεῖ, δι' ἡμᾶς ἄφες· *Illum, si nihil mali admisit, ob jus ipsum et æquitatem absolve; si admisit, in nostri gratiam absolve.* Liquet autem illud crimen, cui Basilius veniam precatur, non majestatis aut aliud gravissimum crimen fuisse, in quo locus ejusmodi precibus non fuisset.

(68) *Παρ' ἑκάστῳ.* Ita Harl. cum duobus aliis. Editi παρ' ἑκάστου.

(69) *Ἀνδρονίκῳ.* Coisl. primus addit ὑπὲρ πρεσβυτέρου, *pro presbytero.* Sic etiam Vat. et Med., nisi quod in utroque legitur πρὸ πρεσβυτέρου.

(70) *Παρὰ τὴν σήν.* Sic mss. sex. Editi πρὸς τὴν σήν. Mox iidem codices, uno forte excepto, παλαιόν. Editi παλαιᾶς.

(71) *Ἀπολαῦσαι.* Sic tres vetustissimi codices. Editi ἀπολαύσειν.

(72) *Ἀποστεῖλαι.* Contra editi ὑποστῆναι, *Legationem, quam sustinere hactenus reformidabam.* Quamvis autem scriptura nitatur auctoritate trium vetustissimorum codicum, non possum tamen hoc loco non plus tribuere tribus aliis codicibus non ita vetustis, nempe Vaticano, Coisl. secundo et Regio secundo. Repugnat enim ut Basilius dicat se hactenus reformidasse hanc legationem per se obire, cum conceptis verbis declaret desiderio suo solam corporis debilitatem obstare. Idem probant allatæ ab eo rationes: prima, quod sibi non tantum tribuat ut in ejusmodi rebus per alios agat: altera, quod scribendo minus quam adeundo promoveri intelligat. Verebatur ergo legationem mittere, non per se obire.

(73) *Ἀπολυόμενος.* Quatuor codices non vetustissimi ἀποδυόμενος.

* Alias CLXIV. Scripta anno 372.

2. At vides quomodo circuitione utar, dum aperire vereor ac refugio, qua de causa orationem instituam. Domitianus ille necessarius noster est ab antiquo ex parentibus, sic ut nihil omnino differat a fratre. Quamobrem enim quod verum est non dicam? Deinde causam edoctus, ob quam hæc pertulit, dignum esse dixi qui sic pateretur. Neque enim quisquam sit, qui si parum aut multum in tuam virtutem peccaverit, pœnam effugiat. Sed quoniam videmus hunc in metu et ignominia degentem, salutemque ipsius in tua sententia sitam, satis illum pœnæ dedisse judicavimus, et, ut magnanimum quiddam simul et humanum de eo cogites, obsecramus. Nam rebelles sub potestatem redigere, et fortis est viri, et vere imperantis : at benignum esse ac mansuetum in prostratos, hominis est magnanimitate et clementia omnes superantis. Itaque tibi, si voles, in uno et eodem licebit tuam et in ulciscendo et in servando ad arbitrium magnanimitatem ostendere. Hic modus supplicii satis sit Domitiano, metus eorum quæ exspectat, et quæ se pati dignum esse novit. His nihil illi ad pœnam adjicias supplicamus. Illud enim considera dominos eorum qui læserant exstitisse multos ex iis qui ante nos vixere, de quibus nullus ad posteros transmissus **205** sermone; at vero iram remisisse, qui philosophia vulgus antecelluerunt, quorum immortalis memoria in omni ævo perhibetur. Addatur igitur et hoc præconiis tuis. Largire nobis, qui tua celebrare cupimus, ut humanitatis exempla superioribus temporibus decantata laudando superemus. Sic et Crœsus filii interfectori iram remisisse dicitur, seipsum ad supplicium offerenti : et magnus ille Cyrus huic ipsi Crœso amicus post victoriam fuisse. Hos inter te numerabimus, et pro virili hæc prædicabimus, nisi exiles quidam esse omnino tanti viri præcones existimemur.

3. Cæterum illud cæteris necesse est addere, eos qui quidvis deliquerint, non ob ea quæ jam admissa sunt puniri (qua enim arte quæ facta sunt, infecta reddantur?); sed ut aut ipsi deinceps meliores fiant, aut aliis sapiendi sint exemplum. Horum autem neutrum nunc deesse quisquam dixerit : ipse namque horum recordabitur etiam post mortem; reliquos vero, dum in hunc intuentur, metu mortuos esse puto. Quare quidquid supplicio adjecerimus, nostram ipsorum iram explere videbimur : quod multum abesse, ut de te verum sit, ego sane dixerim, neque adduci potuissem, ut ejusmodi verbum ullum proferrem, nisi majori beneficio affici dantem quam accipientes perspicerem. Neque enim paucis perspicua erit ista animi magnitudo. Nam Cappadoces omnes quid futurum sit

A 2. Ἀλλ' ὁρᾷς ὅπως κύκλῳ περίειμι ὀκνῶν καὶ ἀναδυόμενος τὴν αἰτίαν ἐκφαίνειν ὑπὲρ ὧν ποιοῦμαι τοὺς λόγους. Δομετιανὸς οὗτος ἐπιτήδειος ἡμῖν ἐστιν ἐκ τῶν γονέων ἄνωθεν· ὥστε ἀδελφοῦ μηδ' ὁτιοῦν διαφέρειν. Τί γὰρ ἄν τις μὴ τἀληθῆ λέγοι; Εἶτα τὴν αἰτίαν μαθόντες ἀφ' ἧς ταῦτα πέπονθεν, ἄξιον εἶναι τοῦ παθεῖν οὕτως ἔφαμεν. Μηδὲ γὰρ ἔστω μηδεὶς, ὅς, μικρὸν ἢ μεῖζον εἰς τὴν σὴν ἀρετὴν ἀμελήσας (74), τὴν τιμωρίαν ἐκφύγοι. Ἀλλ' ὁρῶντες τοῦτον περιδεῶς καὶ ἀδόξως ζῶντα, καὶ ἐπὶ τῇ σῇ ψήφῳ κειμένην αὐτοῦ τὴν σωτηρίαν, ἀρκοῦσαν αὐτὴν ἔχειν τὴν δίκην ἐκρίναμεν· μεγαλόψυχόν τε ὁμοῦ καὶ φιλάνθρωπον διανοηθῆναί σε περὶ αὐτοῦ ἱκετεύομεν. Τὸ μὲν γὰρ τοὺς ἀντιτείνοντας ὑπὸ χεῖρα λαμβάνειν ἀνδρείου τε καὶ ἄρχοντος ὡς ἀληθῶς· τὸ δὲ B τοῖς ὑποπεπτωκόσι χρηστὸν εἶναι καὶ πρᾷον, μεγαλοφροσύνῃ πάντων καὶ ἡμερότητι διαφέροντος. Ὥστε ὑπάρξει σοι βουληθέντι ἐν τῷ αὐτῷ τήν τε πρὸς τὸ ἀμύνασθαι καὶ τὴν εἰς τὸ σώζειν, ὡς ἂν ἐθέλοις (75), ἐπιδείξασθαι μεγαλοψυχίαν. Τοῦτο μέτρον ἀρκοῦν Δομετιανῷ τῆς κολάσεως, τῶν προσδοκωμένων ὁ φόβος, καὶ ὧν ἄξιον οἶδεν ἑαυτὸν παθεῖν ὄντα. Τούτοις μηδὲν εἰς τιμωρίαν προσθεῖναι αὐτῷ ἱκετεύομεν. Καὶ γὰρ ἐκεῖνο σκόπει, ὅτι κύριοι μὲν τῶν ἠδικηκότων πολλοὶ τῶν πρότερον ἤδη γεγόνασιν, ὧν οὐδεὶς πρὸς τοὺς ὕστερον διεπέμφθη λόγος· ἀφῆκαν δὲ τὴν ὀργὴν οἱ φιλοσοφίᾳ τοὺς πολλοὺς ὑπεράραντες, ὧν ἀθάνατος ἡ μνήμη τῷ χρόνῳ (76) παντὶ παραδέδοται. Προσκείσθω δὲ καὶ τοῦτο τοῖς περὶ σοῦ διηγήμασι. Δὸς ἡμῖν, τοῖς ὑμνεῖν προαιρουμένοις C τὰ σὰ, τὰς ἐν τοῖς ἄνω χρόνοις ᾀδομένας φιλανθρωπίας ὑπερβαλέσθαι. Οὕτω καὶ Κροῖσος τῷ παιδοφόνῳ τὴν ὀργὴν ἀφεῖναι λέγεται, ἑαυτὸν παραδόντι εἰς τιμωρίαν· καὶ Κῦρος ὁ μέγας αὐτῷ τούτῳ τῷ Κροίσῳ φίλος γενέσθαι μετὰ τὴν νίκην. Τούτοις σε συναριθμήσομεν· καὶ, ὅση δύναμις ἡμετέρα, ταῦτα ἀναγορεύσομεν, εἴπερ μὴ μικροί τινες εἶναι παντάπασιν ἀνδρὸς τοσούτου κήρυκες νομισθείημεν.

3. Ἐκεῖνο δὲ ἐπὶ πᾶσιν εἰπεῖν ἀναγκαῖον, ὅτι τοὺς ὁτιοῦν ἀδικοῦντας οὐχ ὑπὲρ τῶν ἤδη γεγενημένων κολάζομεν· (τίς γὰρ ἂν γένοιτο μηχανὴ μὴ γεγενῆσθαι τὰ πεπραγμένα;) ἀλλ' ὅπως ἂν ἢ αὐτοὶ πρὸς τὸ λοιπὸν ἀμείνους γένοιντο, ἢ ἑτέροις ὑπάρξειαν τοῦ σωφρονεῖν παράδειγμα (77). Τούτων τοίνυν οὐθέτερον ἐνδεῖν ἄν τις ἐν τῷ παρόντι φήσειεν, αὐτός τε D γὰρ καὶ μετὰ τὸν θάνατον τούτων μεμνήσεται· τούς τε λοιποὺς τεθνάναι τῷ δέει πρὸς τοῦτον ἀφορῶντας οἴομαι. Ὥσθ' ὅπερ ἂν προσθῶμεν τῇ τιμωρίᾳ, τὴν ὀργὴν ἡμῶν αὐτῶν ἀποπιμπλάναι δόξομεν· ὃ πολλοῦ δεῖν ἐπὶ σοῦ ἀληθὲς εἶναι φαίην ἂν ἔγωγε, καὶ οὐδὲν ἂν τούτων τῶν λόγων προήχθην εἰπεῖν, εἰ μὴ μείζονα τῷ διδόντι τὴν χάριν ἑνεώρων ἢ τοῖς λαμβάνουσιν. Οὐδὲ γὰρ ὀλίγοις ἔσται καταφανὴς ἡ μεγαλοψυχία τοῦ τρόπου. Καππαδόκαι γὰρ ἅπαντες ἀποσκοποῦσι

(74) *Ἀμελήσας* Ita Coisl. uterque, Med., Vat., Reg. secundus et Harl. Editi ἁμαρτήσας, quod eodem redit.

(75) *Ἐθέλοις*. Sic tres vetustissimi codices. Editi ἐθέλῃς.

(76) *Τῷ χρόνῳ*. Vaticanus codex, Reg. secundus et Coisl. secundus τῷ βίῳ.

(77) *Παράδειγμα*. Reg. uterque et Coisl. secundus παραδείγματα.

τὸ μέλλον, οἷς εὐξαίμην ἂν μετὰ τῶν λοιπῶν ἀγαθῶν τῶν προσόντων σοι καὶ ταύτην (78) ἀπαριθμήσασθαι. Ὀκνῶ δὲ τοῦ γράφειν παύσασθαι, ἡγούμενός μοι ζημίαν οἴσειν τὸ παρεθέν. Τοσοῦτόν γε μὴν προσθήσω, ὅτι, πολλῶν ἐπιστολὰς ἔχων ἐξαιτουμένων αὐτὸν, πασῶν ἡγήσατο προτιμοτέραν εἶναι τὴν παρ' ἡμῶν, οὐκ οἶδά που (79) μαθὼν εἶναί τινα ἡμῶν λόγον παρὰ τῇ σῇ τελειότητι. Ὅπως οὖν μήτε αὐτὸς ψευσθῇ τῶν ἐλπίδων, ἃς ἐφ' ἡμῖν ἔσχε, καὶ ἡμῖν ὑπάρξῃ πρὸς τοὺς ἐνταῦθα σεμνολογεῖσθαι· παρακέκλησο, δέσποτα ἀνυπέρβλητε, ἐπινεῦσαι πρὸς τὴν αἴτησιν. Πάντως δὲ οὐδενὸς χεῖρον τῶν πώποτε φιλοσοφησάντων ἐπέσκεψαι τὰ ἀνθρώπινα· καὶ οἶδας, ὡς καλὸς θησαυρὸς πᾶσι τοῖς δεομένοις ὑπουργεῖν προαποκείμενος (80).

A observant, qui quidem optaverim ut inter reliqua tua ornamenta hanc quoque magnanimitatem numerent. Finem epistolæ imponere vereor, ratus, quod omissum fuerit, mihi damno fore. Tantum hoc adjungam, eum etsi a multis epistolas habet ipsius incolumitatem ac salutem exposcentibus, nostram omnibus potiorem duxisse, cum nescio unde didicerit nos apud tuam præstantiam in aliquo esse numero. Ut igitur neque eum spes fallat, quam in nobis habet, et nobis liceat apud nostros gloriari; te, domine perquam eximie, exorari sinas, ut nostræ annuas petitioni. Profecto autem nullo deterius eorum qui unquam philosophati sunt, considerasti res humanas; et nosti quam bonus thesaurus iis, qui omnibus egentibus operam suam B præbent, jam olim repositus sit.

ΕΠΙΣΤΟΛΗ ΡΙΓ'.

EPISTOLA CXIII*.

Demonstrat Basilius in magna rerum ecclesiasticarum perturbatione liberaliter agendum esse cum infirmioribus, nec amplius quidquam a fratribus exposcendum, nisi ut fidem Nicænam recipiant, et Spiritum sanctum fateantur creaturam dici non debere, nec cum iis qui dicunt, communicandum.

Τοῖς ἐν Ταρσῷ πρεσβυτέροις.

Συντυχὼν τῷδε, πολλὴν ἔσχον τῷ ἁγίῳ Θεῷ τὴν χάριν, ὅτι με καὶ διὰ τῆς αὐτοῦ παρουσίας ἀπὸ πολλῶν θλίψεων παρεμυθήσατο, καὶ τὴν ὑμετέραν ἀγάπην ἐναργῶς ἔδειξε δι' αὐτοῦ. Σχεδὸν γὰρ τὸν πάντων ὑμῶν περὶ τὴν ἀλήθειαν ζῆλον ἐν τῇ τοῦ ἑνὸς ἀνδρὸς προαιρέσει κατέμαθον. Ἃ μὲν οὖν ἰδίᾳ διελέχθημεν πρὸς ἀλλήλους, αὐτὸς ὑμῖν ἀπαγγελεῖ (81)· ἃ δὲ παρ' ἐμοῦ γνωρισθῆναι ὑμῶν προσῆκε τῇ ἀγάπῃ, ταῦτά ἐστιν. Ὁ καιρὸς πολλὴν ἔχει ῥοπὴν πρὸς καταστροφὴν τῶν Ἐκκλησιῶν, καὶ τοῦτο πολὺν ἔχομεν ἤδη χρόνον ἐξ οὗ καταμανθάνομεν. Οἰκοδομὴ δὲ Ἐκκλησίας, καὶ σφαλμάτων διόρθωσις, καὶ συμπάθεια μὲν πρὸς τοὺς ἀσθενοῦντας, ὑπερασπισμὸς δὲ πρὸς τοὺς ὑγιαίνοντας τῶν ἀδελφῶν οὐδὲ εἷς. Ἀλλ' οὔτε βοήθημα ἢ θεραπευτικὸν (82) τῆς προκατασχούσης νόσου, ἢ προφυλακτικὸν τῆς προσδοκωμένης οὐδέν. Καὶ ὅλως ἔοικε λοιπὸν ἡ τῆς Ἐκκλησίας κατάστασις (ἵνα ἐναργεῖ χρήσωμαι τῷ ὑποδείγματι, κἂν εὐτελέστερον εἶναι δοκῇ) ἱματίῳ παλαιῷ, ὑπὸ τῆς τυχούσης προφάσεως ῥᾳδίως καταῤῥηγνυμένῳ, ὃ πρὸς τὴν ἐξ ἀρχῆς ἰσχὺν ἐπανελθεῖν πάλιν ἀδυνατεῖ. Ὡς οὖν ἐν καιρῷ τοιούτῳ, μεγάλης χρεία τῆς σπουδῆς καὶ πολλῆς τῆς ἐπιμελείας εὐεργετηθῆναί τι τὰς Ἐκκλησίας. Εὐεργεσία δέ ἐστιν ἑνωθῆναι τὰ τέως διεσπασμένα (83). Ἕνωσις δ' ἂν γένοιτο, εἰ βουληθείημεν, ἐν οἷς μηδὲν βλάπτομεν τὰς ψυχὰς, συμπεριενεχθῆναι τοῖς ἀσθενεστέροις. Ἐπεὶ οὖν πολλὰ στόματα ἤνοικται κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, καὶ πολλαὶ γλῶσσαι ἠκόνηνται εἰς τὴν κατ' αὐτοῦ βλασφημίαν· ἀξιοῦμεν ὑμᾶς, ὅσον ἐστὶν ἐφ' ὑμῖν (84), εἰς ὀλίγον ἀριθμὸν περιστῆσαι τοὺς βλασφημοῦντας· καὶ

Presbyteris Tarsensibus.

Congressus cum illo, magnas habui Deo sancto gratias, qui et me illius præsentia ex multis angoribus consolatus est, et vestram charitatem perspicue per ipsum ostendit. Nam vestrum fere omnium veritatis studium in viri unius proposito cognovi. Quæ igitur privatim inter nos locuti sumus, ea ipse vobis referet. **206** Quæ autem ex me charitatem vestram par est cognoscere, hæc sunt. Tempus plurimum C incumbit ad eversionem Ecclesiarum, idque jam a longo tempore perspeximus. Ædificatio autem Ecclesiæ, delictorum emendatio, erga debiles commiseratio, sanorum fratrum defensio nulla prorsus est. Sed neque remedium ullum, aut morbus prior curetur, aut impendens caveatur. Ac profecto similis est Ecclesiæ status (ut claro utar exemplo, etiamsi vilius esse videatur) vetusto vestimento, quod facile qualibet occasione discinditur, nec potest iterum ad pristinum robur redire. Itaque ut in tali tempore magno opus est studio ac multa diligentia, ut aliquid accedat emolumenti Ecclesiis. Emolumentum est autem membra prius divulsa conjungi. Fiet autem conjunctio, si velimus, quibus in rebus animas D non lædimus, in his nos ad infirmiores accommodare. Cum igitur ora multa in Spiritum sanctum aperta sint, ac linguæ multæ ad jaciendas in illum blasphemias sint exacutæ: rogamus vos, ut quantum in vobis est, ad parvum numerum blasphemantes redigatis; et qui Spiritum sanctum creaturam esse non dicunt, eos recipiatis in communionem, ut blasphemi relinquantur soli, ac vel pudore

(78) *Καὶ ταύτην*. Ita mss. septem. Editi καὶ τοῦτο, excepta tamen editione prima Basileensi.

(79) *Οὐκ οἶδά που*. Ita tres vetustissimi codices. Editi οὐκ οἶδ' ὅπως.

(80) *Προαποκείμενος*. Sic mss. sex. Editi προαποκείμενός ἐστι, excepta tamen editione prima Basil.

(81) *Ἀπαγγελεῖ*. Ita mss. quinque. Editi ἐπαγγελεῖ.

(82) *Θεραπευτικόν*. Med. προθεραπευτικόν.

(83) *Διεσπασμένα*. Duo mss. διεσπαρμένα, *dispersa*.

(84) *Ἐφ' ὑμῖν*. Ita mss. quinque. Editi ἐφ' ἡμῖν.

* Alias CCIII. Scripta circa an. 372.

suffusi ad veritatem redeant, vel si in peccato manent, auctoritate careant ob paucitatem. Nihil igitur amplius exposcamus : sed volentibus nobiscum conjungi fratribus fidem Nicænam proponamus : ac si ei assentiuntur, illud quoque exigamus, Spiritum sanctum creaturam dici non oportere, et eos qui dicunt, recipi ab ipsis in communionem non debere. Nihil autem præter hæc exposcendum esse censeo. Enimvero persuasum mihi est diuturniore inter nos consuetudine ac mutua citra contentionem exercitatione, si etiam quid amplius adjiciendum sit explanandi causa, daturum id Dominum, qui ipsum diligentibus omnia cooperatur in bonum [12].

A τους μὴ λέγοντας κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον δέχεσθαι εἰς κοινωνίαν, ἵνα μόνοι καταλειφθῶσιν οἱ βλάσφημοι, καὶ ἢ καταισχυνθέντες ἐπανέλθωσι πρὸς τὴν ἀλήθειαν, ἢ ἐπιμένοντες τῇ ἁμαρτίᾳ ἀναξιόπιστοι ὦσι διὰ τὴν ὀλιγότητα. Μηδὲν τοίνυν πλέον ἐπιζητῶμεν, ἀλλὰ προτεινώμεθα τοῖς βουλομένοις ἡμῖν συνάπτεσθαι ἀδελφοῖς τὴν ἐν Νικαίᾳ πίστιν· κἂν ἐκείνῃ συνθῶνται, ἐπερωτῶμεν καὶ τὸ μὴ δεῖν λέγεσθαι κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον, μηδὲ κοινωνικοὺς αὐτῶν εἶναι τοὺς λέγοντας. Πέρα δὲ τούτων (85) ἀξιῶ μηδὲν ἐπιζητεῖσθαι παρ' ἡμῶν. Πέπεισμαι γὰρ, ὅτι τῇ χρονιωτέρᾳ συνδιαγωγῇ καὶ τῇ ἀφιλονείκῳ συγγυμνασίᾳ, καὶ εἴ τι δέοι πλέον προστεθῆναι εἰς τράνωσιν, δώσει ὁ Κύριος ὁ πάντα συνεργῶν εἰς ἀγαθὸν τοῖς ἀγαπῶσιν αὐτόν.

EPISTOLA CXIV*.

ΕΠΙΣΤΟΛΗ ΡΙΔ'.

Cum exorta esset in clero Tarsensi aliqua dissensio, Basilius pacis constituendæ cupidus hanc Cyriaco conditionem fert, ut Nicænam fidem nulla prorsus excepta voce recipiat, et fateatur Spiritum sanctum creaturam dici non debere, nec cum iis qui dicunt communicandum. Spondet pro fratribus nihil eos amplius ab eo petituros.

Cyriaco, Tarsi commoranti.

Quantum sit pacis bonum, quid opus est apud pacis filios dicere? Quia igitur magnum illud bonum, et admirandum, et omnibus qui Dominum diligunt maxime expetendum, jam pene ad nudam vocem redactum est, eo quod multiplicata sit iniquitas, refrigerata jam in multis charitate; hoc unum arbitror iis qui germane et vere Domino serviunt, studio esse debere, ut Ecclesias variis partibus multisque modis inter se discissas ad unitatem reducant. Quod et ego facere dum aggredior, immerito curiosi hominis crimen sustineam. Nihil **207** enim Christiani tam proprium est, quam pacem conciliare : unde et hujus rei mercedem maximam nobis Dominus promisit. Postquam igitur cum fratribus congressus sum eorumque perspexi magnum in fratres et in vos, sed et multo majorem in Christum amorem, ac fidei integritatem et firmitatem; et utrumque ipsis magno esse studio, ut neque a vestra charitate segregentur, neque fidem sanam prodant ; hac eorum bona mente comprobata, ad vestram gravitatem scribo, obsecrans omni charitate, ut eos vere et ex animo conjunctos omnisque ecclesiasticæ curæ participes habeatis. Quin et illis spopondi rectam esse vestram mentem, ac vos Dei gratia pro vestro veritatis studio ad omnia paratos esse, quæcunque pro veritatis doctrina pati oportuerit. Quæ autem, ut mihi persuadeo, neque vobis adversantur, et prædictis fratribus satis sunt ad integram persuasionem,

B *Τοῖς ἐν Ταρσῷ περὶ Κυριακόν* (86).

Ὅσον ἐστὶ τὸ τῆς εἰρήνης ἀγαθὸν, τί χρὴ λέγειν πρὸς ἄνδρας υἱοὺς τῆς εἰρήνης; Ἐπεὶ οὖν τὸ μέγα τοῦτο, καὶ θαυμαστὸν, καὶ πᾶσι περισπούδαστον τοῖς ἀγαπῶσι τὸν Κύριον, κινδυνεύει λοιπὸν εἰς ὄνομα ψιλὸν περιστῆναι, διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγείσης λοιπὸν ἐν τοῖς πολλοῖς (87) τῆς ἀγάπης, οἶμαι προσήκειν μίαν ταύτην εἶναι σπουδὴν τοῖς γνησίως καὶ ἀληθινῶς δουλεύουσι τῷ Κυρίῳ, τὸ ἐπαναγαγεῖν πρὸς ἕνωσιν τὰς Ἐκκλησίας, τὰς πολυμερῶς καὶ πολυτρόπως ἀπ' ἀλλήλων διατμηθείσας. Ὃ δὴ καὶ αὐτὸς ἐπιχειρῶν ποιεῖν, οὐκ ἂν δικαίως πολυπράγμονος αἰτίαν λάβοιμι. Οὐδὲν γὰρ οὕτως ἴδιόν ἐστι Χριστιανοῦ, ὡς τὸ εἰρηνοποιεῖν· διὸ καὶ τὸν ἐπ' αὐτῷ μισθὸν μέγιστον ἡμῖν ὁ Κύριος ἐπηγγείλατο. C Συντυχὼν τοίνυν τοῖς ἀδελφοῖς, καὶ θεασάμενος αὐτῶν πολὺ μὲν τὸ φιλάδελφον καὶ τὸ περὶ ὑμᾶς ἀγαπητικὸν, πολλῷ δὲ ἔτι πλέον τὸ φιλόχριστον καὶ τὸ περὶ τὴν πίστιν ἀκριβές τε καὶ εὔτονον· καὶ ὅτι πολλὴν ἀμφοτέρων ποιοῦνται σπουδὴν, τῆς τε ὑμετέρας ἀγάπης μὴ χωρίζεσθαι, καὶ τὴν ὑγιαίνουσαν πίστιν μὴ καταπροδοῦναι· ἀποδεξάμενος αὐτῶν τὴν ἀγαθὴν προαίρεσιν, ἐπιστέλλω τῇ σεμνότητι ὑμῶν, παρακαλῶν πάσῃ ἀγάπῃ ἔχειν αὐτοὺς ἡνωμένους γνησίως, καὶ πάσης ἐκκλησιαστικῆς φροντίδος κοινωνούς· ἐγγυησάμενος καὶ αὐτοῖς τὴν ὑμετέραν ὀρθότητα, ὅτι καὶ αὐτοὶ τῇ τοῦ Θεοῦ χάριτι τῷ ὑπὲρ τῆς ἀληθείας ζήλῳ πρὸς πάντα ἐστὲ παρατεταγμένοι, ὅσαπερ ἂν δέῃ (88) παθεῖν ὑπὲρ τοῦ λόγου τῆς ἀληθείας. Ἔστι D δὲ, ὡς ἐμαυτὸν πείθω, τὰ οὔτε ὑμῖν ὑπεναντία, καὶ

[12] Rom. VIII, 28.

* Alias CCIV. Scripta circa an. 372.

(85) *Πέρα δὲ τούτων... παρ' ἡμῶν*. Ita septem mss. Editi Παρὰ δὲ τούτων... παρ' ὑμῶν. Similem prorsus animi moderationem Gregorius Naz. iis exhibet, qui Spiritui sancto divinitatem libenter tribuebant, Dei nomen tribuere verebantur, orat. 44, p. 710.

(86) *Τοῖς ἐν Ταρσῷ*, etc. Ita Med. et Coisl. primus. Nonnulli alii Τοῖς ἐν Ταρσῷ τοῖς περὶ Κυριακόν. Editi Τοῖς αὐτοῖς περὶ Κυριακὸν παραπλήσια.

(87) *Ἐν τοῖς πολλοῖς*. Præpositio addita ex Coisl. primo et alio ms.

(88) *Ἂν δέῃ*. Sic Med, et Coisl. primus cum nonnullis aliis. Editi ἂν δέοι. Paulo post editi ἐκ τῶν Πατέρων. Coisl. primus et duo alii ut in textu.

τοῖς προειρημένοις τῶν ἀδελφῶν αὐτάρκη πρὸς πληροφορίαν, ταῦτα, ὁμολογεῖν ὑμᾶς τὴν ὑπὸ τῶν Πατέρων ἡμῶν ἐκτεθεῖσαν Πίστιν τῶν ἐν Νικαίᾳ ποτὲ συνελθόντων, καὶ μηδεμίαν τῶν ἐκεῖ λέξεων ἀθετεῖν, ἀλλ' εἰδέναι, ὅτι τριακόσιοι δέκα καὶ ὀκτὼ, ἀφιλονείκως συνιόντες, οὐκ ἄνευ τῆς τοῦ ἁγίου Πνεύματος ἐνεργείας ἐφθέγξαντο· προσθεῖναι δὲ τῇ Πίστει ἐκείνῃ καὶ τὸ μὴ χρῆναι λέγειν κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον, μὴ μέντοι μηδὲ τοῖς λέγουσι κοινωνεῖν, ἵνα καθαρὰ ᾖ τοῦ Θεοῦ ἡ Ἐκκλησία, μηδὲν ζιζάνιον ἑαυτῇ παραμεμιγμένον ἔχουσα. Ταύτης αὐτοῖς τῆς πληροφορίας παρὰ τῆς εὐσπλαγχνίας ὑμῶν προτεθείσης, καὶ αὐτοὶ τὴν πρέπουσαν ὑμῖν ὑποταγὴν ἕτοιμοί εἰσι παρασχέσθαι. Αὐτὸς γὰρ ἐγγυῶμαι τὸ μέρος τῶν ἀδελφῶν, ὡς εἰς οὐδὲν ἀντεροῦσιν, ἀλλὰ πᾶσαν ὑμῖν ἐπιδείξονται εὐταξίας ὑπερβολὴν, ἑνὸς τούτου αὐτοῖς τοῦ ἐπιζητουμένου παρ' αὐτῶν ὑπὸ τῆς ὑμετέρας τελειότητος ἑτοίμως παρασχεθέντος.

A hæc sunt : ut fidem a Patribus nostris, qui Nicææ quondam convenerunt, editam profiteamini, nullamque in ea vocem rejiciatis, sed sciatis trecentos decem et octo Patres, qui citra contentionem convenerunt, non sine Spiritus sancti afflatu locutos esse ; atque illud etiam huic fidei addatis, Spiritum sanctum creaturam dici non oportere, nec cum iis qui dicunt, communicandum, ut Dei Ecclesia pura sit, zizanium nullum sibi admistum habens. Hæc si illis vestra charitas ad persuasionem proposuerit ; ipsi quoque et consentaneum vobis parati sunt obsequium exhibere. Ego enim pro fratribus spondeo, eos nulla in re esse contradicturos, sed cumulatissime modestiam omnem vobis exhibituros ; si modo perfectio vestra B hoc unum quod a vobis expetunt, lubenter ipsis concesserit.

ΕΠΙΣΤΟΛΗ ΡΙΕ'.

EPISTOLA CXV*.

Iracundam mulierem monet parum prodesse sine justitia liberalitatem in pauperes : rogat ut se docere desinat, sed potius cogitet de judicio Dei, ubi nec servi testes aderunt, nec eunuchi. Horum vitia nativis coloribus describuntur.

Σιμπλικίᾳ αἱρετικῇ (89).

Ἀβούλως οἱ ἄνθρωποι καὶ μισοῦσι τοὺς κρείττονας, καὶ φιλοῦσι τοὺς χείρονας. Διὸ δὴ καὶ αὐτὸς κατέχω τὴν γλῶτταν (90), σιωπῇ τῶν ἐμῶν ὕβρεων πνίγων τὸν ὄνειδον. Ἐγὼ δὲ μενῶ τὸν ἄνωθεν δικαστὴν, ὃς οἶδε πᾶσαν κακίαν ἐν τέλει ἀμύνεσθαι. Κἂν γὰρ ὑπὲρ ψάμμον ἐκχέῃ (91) τις χρήματα, βλάπτει ψυχὴν, πατήσας τὸ δίκαιον. Ἀεὶ γὰρ θυσίαν Θεὸς, οὐχ ὡς χρῄζων, οἶμαι, ζητεῖ, ἀλλὰ θυσίαν πολυτελῆ τὴν εὐσεβῆ καὶ δικαίαν γνώμην δεχόμενος. Ὅταν δέ τις ἑαυτὸν (92) παραβαίνων πατῇ, κοινὰς λογίζεται τὰς εὐχάς. Σαυτὴν οὖν τῆς ἐσχάτης ἡμέρας ὑπόμνησον, καὶ ἡμᾶς (93), εἰ βούλει, μὴ δίδασκε. Ἴσμεν σου πλείονα, καὶ ταῖς ἔνδοθεν ἀκάνθαις οὐ τοσοῦτον συμπνιγόμεθα· οὔτε ἐν ὀλίγοις καλοῖς δεκαπλασίονα κακίαν ἐπιμίγνυμεν. Ἐπήγειρας ἡμῖν σαύρας τε καὶ φρύνους, ἐαρινὰ δῆθεν θηρία, πλὴν ὅμως ἀκάθαρτα. Ἀλλ' ἥξει πτερὸν (94) ἄνωθεν, τὸ

Ad Simpliciam hæreticam.

Temere homines et odio prosequuntur meliores, et diligunt pejores. Quapropter et ipse contineo linguam, contumeliarum mearum opprobrium silentio premens. Ego autem supernum judicem exspectabo, qui novit malitiam omnem in fine ulcisci. Nam etiamsi quis pecunias arena copiosius C profundat, si justitiam conculcat, animam suam lædit. Semper enim Deus sacrificium, non quasi, opinor, eo egeat, quærit ; sed pretiosum sacrificium, mentem piam ac justam admittit. Quando autem quispiam prævaricando se ipse proculcat, ejus preces pro impuris ducit. Itaque de extrema die te ipsa commoneas, et nos si videbitur, **208** ne doceto. Novimus plura quam tu, et internis spinis non tam præfocamur, neque paucis bonis decuplam malitiam admiscemus. Excitasti in nos et lacertas et rubetas, bestiolas quidem vernas, sed

(89) Argumentum hujus epistolæ, scitu necessarium et publica luce dignum, quod in Operum S. Basilii editionibus deest, exstat in codice Cæsareo num. LXVII prænotato ante initium epistolæ his verbis (*a*) : Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Σιμπλικίαν περὶ εὐνούχων αὐτῆς. Αἱρετικὴ ἦν αὕτη. Ἀῤῥωστήσαντος δὲ τοῦ μακαρίου Βασιλείου, καὶ εἰσιόντος ἔν τινι λουτρῷ λούσασθαι, ἡ αὐτὴ Σιμπλικία προστάττει εὐνούχοις καὶ κορασίοις ῥιφῆναι τὰ *σάβανα* (*b*) αὐτοῦ ἔξω· καὶ παρευθὺς ἡ δικαία κρίσις τοῦ Θεοῦ ἀνεῖλέ τινας ἐξ αὐτῶν· καὶ ἡ αὐτὴ Σιμπλικία ἔπεμψε χρήματα τῷ αὐτῷ μακαρίῳ Βασιλείῳ ἐξιλεουμένη τὸ πταῖσμα· ὁ δὲ, μὴ δεξάμενος, ἔγραψεν αὐτῇ ταῦτα. Hoc est : *Ejusdem epistola ad Simpliciam de eunuchis ipsius. Hæretica hæc fuit ; ideoque cum S. Basilius ob adversam valetudinem lavandi causa intrasset balneum, mandavit illa eunuchis ac puellis suis ut ejus* sabana *foras projicerent. Quo facto, statim justa Dei vindicta nonnullas eorum qui id perpetraverant sustulit. Simplicia igitur, ut per expiationem illatæ injuriæ S. Basilio reconciliare*D*tur, pecuniam quidem ipsi misit ; sed is, pecunia, quæ sibi oblata fuerat, non accepta, scripsit hæc.* In editione Operum divi Basilii Benedictina anni 1730 argumentum hoc nostrum scholii saltem vices obire poterat, nec videmus causam cur fuerit neglectum.

(90) *Τὴν γλῶτταν*. Editiones secunda Basileensis et Parisiensis addunt μου, quod deest in Coisl. utroque, Harl., Reg. secundo et Colb. et antiquioribus editionibus. Non exstat hæc epistola in Medicæo et Regio primo.

3. Ἐπεὶ οὖν ἐνταῦθα τὰ μὲν ἄλλα ἀρκούντως καὶ ἀκριβῶς διώρισται, τὰ μὲν ἐπὶ διορθώσει τῶν βλαβέντων, τὰ δὲ εἰς προφυλακὴν τῶν προσδοκωμένων ὑποφυήσεσθαι· ὁ δὲ περὶ τοῦ Πνεύματος λόγος ἐν παραδρομῇ κεῖται, οὐδεμιᾶς ἐξεργασίας ἀξιωθεὶς, διὰ τὸ μηδέπω τότε τοῦτο κεκινῆσθαι τὸ ζήτημα, ἀλλ' ἀνεπιβούλευτον ἐνυπάρχειν ταῖς τῶν πιστευόντων ψυχαῖς τὴν περὶ αὐτοῦ διάνοιαν· κατὰ μικρὸν δὲ προϊόντα τὰ πονηρὰ τῆς ἀσεβείας σπέρματα, ἃ πρότερον μὲν ὑπὸ Ἀρείου τοῦ προστάτου τῆς αἱρέσεως κατεβλήθη, ὕστερον δὲ ὑπὸ τῶν τὰ ἐκείνου κακῶς διαδεξαμένων, ἐπὶ λύμῃ τῶν Ἐκκλησιῶν ἐξετράφη, καὶ ἡ ἀκολουθία τῆς ἀσεβείας εἰς τὴν κατὰ τοῦ Πνεύματος βλασφημίαν ἀπέσκηψεν (59)· ἀναγκαῖον πρὸς τοὺς μὴ φειδομένους ἑαυτῶν, μηδὲ προορωμένους τὴν ἄφυκτον ἀπειλὴν, ἣν τοῖς βλασφημοῦσιν εἰς τὸ Πνεῦμα τὸ ἅγιον ὁ Κύριος ἡμῶν ἐπανετείνατο (60), ἐκεῖνο προτείνειν, ὅτι χρὴ αὐτοὺς ἀναθεματίζειν τοὺς λέγοντας κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τοὺς νοοῦντας οὕτω, καὶ τοὺς μὴ ὁμολογοῦντας αὐτὸ φύσει ἅγιον εἶναι, ὡς ἔστι φύσει ἅγιος ὁ Πατὴρ, καὶ φύσει ἅγιος ὁ Υἱὸς, ἀλλ' ἀποξενοῦντας αὐτὸ τῆς θείας καὶ μακαρίας φύσεως. Ἀπόδειξις δὲ τοῦ ὀρθοῦ φρονήματος τὸ μὴ χωρίζειν αὐτὸ Πατρὸς καὶ Υἱοῦ (δεῖ γὰρ ἡμᾶς βαπτίζεσθαι μὲν, ὡς παρελάβομεν· πιστεύειν δὲ, ὡς βαπτιζόμεθα· δοξάζειν δὲ, ὡς πεπιστεύκαμεν, Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα), ἀφίστασθαι δὲ τῆς κοινωνίας τῶν κτίσμα λεγόντων, ὡς φανερῶς βλασφημούντων· ἐκείνου ἀνωμολογημένου (ἀναγκαία γὰρ ἡ ἐπισημείωσις διὰ τοὺς συκοφάντας), ὅτι οὔτε ἀγέννητον λέγομεν τὸ Πνεῦμα τὸ ἅγιον· ἕνα γὰρ οἴδαμεν ἀγέννητον καὶ μίαν τῶν ὄντων ἀρχὴν, τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· οὔτε γεννητόν· ἕνα γὰρ μονογενῆ ἐν τῇ παραδόσει τῆς Πίστεως δεδιδάγμεθα· τὸ δὲ Πνεῦμα τῆς ἀληθείας ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι διδαχθέντες, ἐκ τοῦ Θεοῦ εἶναι ὁμολογοῦμεν ἀκτίστως. Ἀναθεματίζειν δὲ καὶ τοὺς λειτουργικὸν λέγοντας τὸ Πνεῦμα τὸ ἅγιον, ὡς διὰ τῆς φωνῆς ταύτης εἰς τὴν τοῦ κτίσματος κατάγοντας τάξιν. Τὰ γὰρ λειτουργικὰ πνεύματα κτίσματα ἡμῖν ἡ Γραφὴ παρέδωκεν, εἰποῦσα, ὅτι *Πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα.* Διὰ δὲ τοὺς πάντα φύροντας, καὶ μὴ φυλάσσοντας τὴν ἐν τοῖς Εὐαγγελίοις διδασκαλίαν, ἀναγκαῖόν ἐστι καὶ τοῦτο προσδιαστείλασθαι· ὅτι φεύγειν δεῖ καὶ τοὺς τὴν ἀκολουθίαν ἣν παρέδωκεν ἡμῖν ὁ Κύριος ἐναμείβοντας, ὡς φανερῶς μαχομένους τῇ εὐσεβείᾳ (61)· καὶ Υἱὸν μὲν προτάσσοντας τοῦ Πατρὸς, Υἱοῦ δὲ τὸ Πνεῦμα τὸ ἅγιον προτιθέντας. Ἀκίνητον γὰρ καὶ ἀπαρεγχείρητον φυλάσσειν προσήκει τὴν ἀκολουθίαν, ἣν ἐξ αὐτῆς τοῦ Κυρίου τῆς φωνῆς παρελάβομεν, εἰπόντος· *Πορευθέντες, μα-*

A 3. Quoniam igitur hic cætera quidem plene et accurate definita sunt, partim ad emendanda quæ læsa fuerant, partim ad præcavenda quæ suboritura prævidebantur; doctrina autem de Spiritu sancto strictim posita, nec ullam disquisitionem visa requirere, eo quod nondum tunc esset hæc mota quæstio, sed sine insidiis insita esset credentium animis de illo sententia: paulatim autem crescentia impietatis semina, quæ prius quidem ab Ario hæresis auctore jacta, postea vero ab iis qui illius errores improbe exceperunt, ad Ecclesiarum perniciem enutrita sunt, ipsaque impietatis series in blasphemiam contra Spiritum erupit; propterea adversus eos, qui sibiipsis non
B parcunt, neque inevitabiles minas a Domino nostro Spiritus sancti blasphematoribus intentatas prospiciunt, illud necessario proponendum est: oportere ut anathemate feriant eos qui Spiritum sanctum dicunt esse creaturam, et eos qui sic sentiunt, et eos qui non confitentur eum natura sanctum esse, sicut natura sanctus est Pater, et natura sanctus est Filius, sed ipsum a divina ac beata natura abalienant. Rectæ autem sententiæ argumentum est, illum non separare a Patre et Filio (oportet enim nos baptizari quemadmodum accepimus, et credere quemadmodum baptizamur, glorificare vero ita, ut credimus, Patrem et Filium et Spiritum sanctum) atque etiam ab eorum qui Spiritum creaturam dicunt, ut aperte
C blasphemantium, communione recedere: hoc explorato et citra controversiam manente (nam necessaria est ob sycophantas observatio) neque ingenitum dici a nobis Spiritum sanctum; unum enim novimus ingenitum, et unum rerum principium, Patrem Domini nostri Jesu Christi: neque genitum; unum enim esse unigenitum, in fidei traditione didicimus: Spiritum autem veritatis ex Patre procedere edocti, ex Deo esse confitemur citra creationem. Præterea anathemate feriendi, qui administratorium dicunt Spiritum sanctum, ut qui illum in creaturarum ordinem hac voce detrudant. Nam administratorios spiritus creaturas esse nobis tradidit Scriptura, ubi
D dicit: *Omnes sunt administratorii spiritus, in ministerium missi* [14-15]. Denique propter eos qui omnia permiscent, nec doctrinam in Evangeliis relictam **217** custodiunt, necesse est hoc quoque declarare, eos etiam qui ordinem nobis a Domino traditum invertunt, et Filium ante Patrem, et Spiritum sanctum ante Filium collocant, fugiendos esse, ut qui aperte cum pietate pugnent. Immotus enim et inviolabilis custodiendus ordo, quem ex ipsa Domini voce traditum accepimus,

[14-15] Hebr. I, 14.

(59) Ἀπέσκηψεν. Coisl. uterque et unus ex Regiis ἐπέσκηψεν.
(60) Ἐπανετείνατο. Coisl. primus ἐπανετείνετο.

(61) *Τῇ εὐσεβείᾳ.* Ita novem mss. Editi τῇ ἀληθείᾳ.

dicentis: *Euntes docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti* [16].

A θητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

Subscriptio Eustathii episcopi.

Eustathius episcopus hæc a me tibi Basilio lecta agnovi; et ea quæ supra scripta sunt, comprobavi. Subscripsi autem una mecum præsentibus fratribus, Frontone nostro, et chorepiscopo Severo, et aliis quibusdam clericis.

Ὑπογραφὴ (62) Εὐσταθίου ἐπισκόπου.

Εὐστάθιος (63) ἐπίσκοπος σοὶ Βασιλείῳ ἀναγνοὺς ἐγνώρισα, καὶ συνῄνεσα τοῖς προγεγραμμένοις. Ὑπέγραψα δὲ συμπαρόντων μοι τῶν ἀδελφῶν, τοῦ ἡμετέρου Φρόντωνος, καὶ τοῦ χωρεπισκόπου (64) Σεβήρου, καὶ ἄλλων τινῶν κληρικῶν.

EPISTOLA CXXVI *.

ΕΠΙΣΤΟΛΗ ΡΚϚ'.

Atarbium, qui adveniente Nicopolim Basilio aufugerat, commonet Basilius ut ad se veniat, rationem eorum redditurus, quæ contra Basilium in Ecclesia, et contra fidem dixisse eum viri graves asseverabant.

Atarbio.

Cum Nicopolim usque venissem, sperans me et tumultus excitatos sedaturum et quantum fieri posset, remedium his quæ præter ordinem ac legem ecclesiasticam acta fuerant, laturum; dolui vehementer, ubi probitatem tuam non offendi, sed te omni celeritate didici excessisse, idque e medio fere conventu, qui a vobis habebatur. Quapropter necessario ad scribendam epistolam veni, qua te ut ad nos accedas commoneo, ut ipse per te mœrorem nostrum lenias, quo ad mortem usque perculsi sumus, postquam audivimus te media in ecclesia ausum ea esse, quæ hactenus auribus nostris inaudita erant. Atque hæc quidem etsi molesta ac gravia, adhuc tamen tolerabilia sunt, utpote in hominem gesta, qui vindictam eorum quæ passus est Deo committens, totus in eo est ut conciliet pacem, nec sua culpa noxii quidquam populo Dei eveniat. Sed quia nonnulli ex honorandis et fide omni dignis fratribus nuntiaverunt nobis quædam in fide a te novari, et contra sanam doctrinam pronuntiari; his magis commoti, atque magno æstu agitati, ne præter innumera vulnera ab his qui in Evangelii veritatem pecca-

Ἀταρβίῳ (65).

Παραγενόμενοι μέχρι τῆς Νικοπόλεως ἐπ' ἐλπίδι B τοῦ καὶ τὰς κινηθείσας ταραχὰς ἐπανορθώσασθαι, καὶ τὴν ἐνδεχομένην ἐπαγαγεῖν παραμυθίαν (66) τοῖς ἀτάκτως καὶ παρὰ τὸν ἐκκλησιαστικὸν θεσμὸν γενομένοις (67), σφόδρα ἠθυμήσαμεν μὴ καταλαβόντες σου τὴν χρηστότητα, ἀλλὰ μαθόντες ἐξεληλακέναι σε πρὸς πᾶσαν ἔπειξιν, καὶ ταῦτα μεσούσης σχεδὸν τῆς συνόδου, τῆς παρ' ὑμῶν τελουμένης. Διὸ ἀναγκαίως ἐπὶ τὸ γράμμα ἤλθομεν, δι' οὗ ὑπομιμνήσκομεν ἀπαντῆσαι πρὸς ἡμᾶς, ἵνα αὐτὸς διὰ σεαυτοῦ παραμυθήσῃ ἡμῶν τὴν λύπην, ἣν μέχρι θανάτου λελυπήμεθα, ἀκούσαντες ἐπὶ μέσης τῆς ἐκκλησίας τετολμῆσθαι πράγματα οὔπω μέχρι τῆς ἡμέρας ταύτης εἰς ἀκοὴν ἡμετέραν ἐλθόντα. Καὶ ταῦτα μὲν, εἰ καὶ λυπηρὰ καὶ βαρέα, ἀλλ' ἔτι φορητὰ, διὰ τὸ εἰς ἄνθρωπον γεγενῆσθαι, ὅς, τὴν ὑπὲρ ὧν πέπονθεν ἐκδίκησιν τῷ Θεῷ ἐπιτρέψας, ὅλος ἐστὶ τῆς C εἰρήνης καὶ τοῦ μηδὲν παρὰ τὴν αὐτοῦ (68) ἐλάττωμα βλαβερὸν γίνεσθαι τῷ λαῷ τοῦ Θεοῦ. Ἐπειδὴ δέ τινες τῶν τιμίων καὶ πάσης πίστεως ἀξίων ἀδελφῶν ἀπήγγειλαν ἡμῖν, ὡς περὶ τὴν πίστιν καινοτομουμένων τινῶν, καὶ λαλουμένων παρὰ σοῦ ὑπεναντίως τῇ ὑγιαινούσῃ διδασκαλίᾳ· ἐπὶ τούτοις (69) πλέον εὐγωνι-

[16] Matth. XXVIII, 19.

* Alias CCCCLXIV. Scripta anno 373.

(62) Ὑπογραφή. Harl. et unus ex Regiis καὶ ὑπέγραψεν Εὐστάθιος ὁ Σεβαστείας ἐπίσκοπος, *et subscripsit Eustathius Sebastiæ episcopus.*

(63) Εὐστάθιος. Editiones Parisienses cum secunda Basileensi addunt ἐγώ ante hanc vocem, sed deest in nostris codicibus et in editionibus antiquioribus.

(64) Χωρεπισκόπου. Coisl. primus et Reg. secundus ἐπισκόπου.

(65) Ἀταρβίῳ. Codex Claromontanus, qui recentissimus est, Ἀταρβίῳ Νικοπόλεως, *Atarbio Nicopolitano.* At id prorsus repugnat, cum Nicopolis non alium tunc habuerit episcopum, quam Theodotum. Codex Coisl. antiquissimus et Med. ita hunc titulum exhibent: Ἀταρβίῳ Νεοκαισαρείας, *Atarbio Neocæsareæ.* Hanc scripturam confirmant non improbabilium rationum momenta, de quibus in *Vita S. Basilii.*

(66) Παραμυθίαν. Hac voce designatur temperamentum quoddam et accommodatio in rebus difficilioribus. Hinc Basilius eos, qui juraverant se ordinationem non accepturos, et postea acceperant, negat ministerio perfungi debere, *si nulla prorsus sit rei leniendæ ratio*, ἐὰν μηδεμία ᾖ μηδαμόθεν παραμυθία, can 1. Ibidem vocat παραμυθίαν pruden- D tem illam accommodationem, qua usus est in interpretando jurejurando, quo Cyriacum presbyterum Severus episcopus obstrinxerat. Sperabat ergo Basilius Nicopolim proficiscens, se motus, quos Fausti præter canones ordinatio concitaverat, aliquo temperamento sedaturum. Atque inde colligi potest honorificum Fausto testimonium a Pœmenio tributum fuisse, quem Basilius supra in epist. 122 rogat, ut certiorem se faciat utrum res sanari necne possit, numque laudabilis sit Fausti vita significet. Quomodo rem temperaverit Basilius, plane nescio. Sed tamen aliquid communi consensu decretum et constitutum fuisse, perspici potest ex epistola sequenti, in qua Basilius plurimum se utilitatis ex Jovini episcopi adventu, ac ipsum Anthimum qui Faustum ordinaverat, jam sibi amicum factum esse testatur.

(67) Γενομένοις. Med. et Coisl. primus γεγενημένοις.

(68) Παρὰ τὴν αὐτοῦ. Legitur ἑαυτοῦ in Coisl. primo. Ibidem editi γενέσθαι. Harl. prima manu et plures alii γίνεσθαι. Mox codex Harl. τῶν τιμιωτάτων.

(69) Ἐπὶ τούτοις. Coisl. primus ἐπὶ τούτῳ. Mox editi μή πού τε. Sex mss. μή πού τι.

θέντες, καὶ πολὺν ἀγῶνα ἀγωνιάσαντες τοῦ μή πού τι πρὸς τοῖς μυρίοις τραύμασιν, οἷς πέπονθεν ἡ Ἐκκλησία παρὰ τῶν εἰς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου ἐξαμαρτόντων (70), ἔτι καὶ ἄλλο ἀναφυῇ κακὸν, ἀνανεωθείσης τῆς παλαιᾶς τοῦ ἐχθροῦ τῆς Ἐκκλησίας Σαβελλίου αἱρέσεως (τούτοις γὰρ οἱ ἀδελφοὶ ἀπήγγειλαν (71) ἡμῖν συγγενῆ εἶναι τὰ εἰρημένα), τούτου ἕνεκεν ἐπεστείλαμεν, ἵνα μὴ ὀκνήσῃς μικρὸν διάστημα κινηθεὶς καταλαβεῖν ἡμᾶς, καὶ τὴν ἐπὶ τούτοις πληροφορίαν παρασχόμενος, ἡμῶν τε τὴν ὀδύνην κατακοῦναι, καὶ τὰς τοῦ Θεοῦ Ἐκκλησίας παραμυθήσασθαι, τὰς νῦν ἀφορήτως καὶ βαρέως ἐπί τε τοῖς πεπραγμένοις καὶ ἐπὶ τοῖς θρυλλουμένοις εἰρῆσθαι παρὰ σοῦ λυπουμένας.

A verunt, Ecclesiæ inflicta, adhuc **218** etiam malum aliud nascatur, renovata ac redintegrata veteri hostis Ecclesiæ Sabellii hæresi (his enim fratres narraverunt nobis affinia esse dicta), eam ob causam scripsimus, ut ne graveris ad nos parvo itinere confecto accedere, ac plene de his rebus satisfaciens, tum dolorem nostrum mitigare, tum Dei Ecclesias solari, quæ nunc intolerabili et gravi dolore et ob ea quæ gesta sunt, et ob ea quæ rumor est a te dicta esse, afficiuntur.

ΕΠΙΣΤΟΛΗ ΡΚΖ'.

EPISTOLA CXXVII*.

Narrat se Nicopoli gravibus molestiis laborantem, adventu Jovini recreatum fuisse; ac Eusebium rogat ut eum pro rebus sua et canonum causa fortiter gestis collaudet.

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

Ὁ φιλάνθρωπος Θεὸς ὁ συμμέτρους ταῖς θλίψεσι τὰς παρακλήσεις συνάπτων, καὶ παρακαλῶν τοὺς ταπεινοὺς, ἵνα μὴ λάθωσιν ὑπὸ τῆς περισσοτέρας λύπης καταποθέντες, ἴσην ταῖς ἐπιγενομέναις ἡμῖν κατὰ τὴν Νικόπολιν ταραχαῖς τὴν παραμυθίαν ἐπήγαγε, τὸν θεοφιλέστατον ἐπίσκοπον Ἰοβῖνον ἐν καιρῷ ἐπιστήσας· ὃς ὅπως εὐκαίρως ἡμῖν ἐπεφάνη, αὐτὸς ἐξηγησάσθω. Ἡμεῖς γὰρ, φειδόμενοι τοῦ μήκους τῆς ἐπιστολῆς, σιωπήσομεν· καὶ ἵνα μὴ δόξωμεν τοὺς ἐκ μεταβολῆς ἀγαπητοὺς ἡμῖν γενομένους (72) ὥσπερ τῇ ὑπομνήσει τοῦ σφάλματος στηλιτεύειν. Ἀλλὰ παράσχοι ὁ ἅγιος Θεὸς ἐπιστῆναί σε τοῖς ἡμετέροις τόποις, ὥστε περιπτύξασθαι μὲν τὴν σὴν σεμνοπρέπειαν, διηγήσασθαι δὲ τὰ καθ' ἕκαστον. C Πέφυκε γάρ πως τὰ κατὰ τὴν πεῖραν λυπήσαντα ψυχαγωγίαν τινὰ (73) ἔχειν ἐν διηγήμασι. Πλὴν ἀλλ' ὑπὲρ ὧν τελείως μὲν ὡς πρὸς τὴν εἰς ἡμᾶς ἀγάπην, προηγουμένως (74) δὲ καὶ στιβαρῶς ὡς πρὸς τὴν τῶν κανόνων ἀκρίβειαν ὁ θεοφιλέστατος ἐπίσκοπος ἐκινήθη, ἐπαίνεσον αὐτόν· καὶ εὐχαρίστησον τῷ Κυρίῳ, ὅτι τὰ σὰ θρέμματα πανταχοῦ τὸν χαρακτῆρα τῆς σῆς σεμνότητος δείκνυσιν.

B *Eusebio, episcopo Samosatorum.*

Deus benignissimus, qui paria molestiis solatia innectit et consolatur humiles, ne imprudentes nimia tristitia absorbeantur, æqualem iis, quæ nobis Nicopoli obtigerunt, perturbationibus consolationem adjunxit, religiosissimum episcopum Jovinum in tempore adducens: qui quidem quam opportune nobis advenerit, ipse exponat. Nos enim, ne epistola multum protrahatur, tacebimus; tum etiam ne videamur eos qui mutatis animis amici nobis facti sunt, culpæ commemoratione quodam modo notare. Sed largiatur Deus sanctus, ut in regiones nostras advenies, ut tuam gravitatem amplectamur ac singula referamus. Solent enim quodam modo quæ in experiendo molestiam attulerunt, aliquam in narrando consolationem habere. Cæterum pro iis quæ cumulate quidem, quantum ad ipsius in nos amorem attinet, præcipue autem ac fortiter, quantum ad accuratam canonum observationem, episcopus religiosissimus conatus est, lauda illum; ac Domino gratias age, quod alumni tui ubique virtutis tuæ effigiem repræsentent.

ΕΠΙΣΤΟΛΗ ΡΚΗ'.

EPISTOLA CXXVIII**.

Eusebio, qui gratiam inter Basilium et Eustathium sarcire voluerat, respondet Basilius se pro pace mori paratum esse, sed veram pacem quærere, atque ut Eustathius clare et sine ambagibus respondeat, optare. Affirmat eum nihil ejusmodi facturum, neque a medii hominis consilio discessurum. Unde concludit se non debere cum eo communicare, ne denegatam Euippio communionem Euippii similibus reddere videatur. Quid agendum cum aliis fidem Patrum non recipientibus exponit

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

1. Ἐγὼ τὴν περὶ τὸ εἰρηνεύεσθαι τὰς Ἐκκλησίας τοῦ Κυρίου (75) σπουδὴν ἔργῳ μὲν ἐνδείξασθαι ἀξίως

D *Eusebio, episcopo Samosatorum.*

1. Ego meum ad pacandas Domini Ecclesias studium re quidem demonstrare nondum digne po-

(70) *Ἐξαμαρτόντων*. Med. et Bigot. ἐξαμαρτανόντων.

(71) *Ἀπήγγειλαν*. Ita Med. et Coisl. primus; quatuor alii ἀπήγγελλον. Editi ἀπήγγελον. Mox Coisl. primus παραλαβεῖν ἡμᾶς.

(72) *Γενομένους*. Codices duo vetustissimi Medicæus et Coisl. primus habent γινομένους, *qui amici nobis fiunt*, ex quo sequeretur, tum cum hæc scriberet Basilius, nondum ei omnino cum Anthimo molestiarum auctore convenisse, sed tantum de pace agi cœptum esse.

(73) *Ψυχαγωγίαν τινά*. Postrema vox addita ex Harl. et Clarom. Ibidem editi διηγήμασι πολλήν. Novem mss. ut in textu.

(74) *Προηγουμένως*. Combefisio *non videtur apta satis vox ac sequenti cohærens*. Unde legendum conjicit ἡγεμωμένως, *aspere, et fastuose*; sic enim ipse interpretatur. Vir doctus non intelligit apertissimam sententiam. Jovinus cum suo in Basilium amori satisfecerit, præcipue tamen in canonum defensionem, ut chariorem ipso Basilio, incubuit. Cur in hoc scirpo nodus quæratur?

(75) *Τοῦ Κυρίου*. Quatuor mss. non vetustissimi τοῦ Θεοῦ.

* Alias CCLIII. Scripta anno 373.

** Alias CCLXV. Scripta anno 373.

tui; sed cordi meo tantam inesse hujus rei cupiditatem dico, ut meam etiam libenter vitam profundam, ut odii flamma a maligno accensa extinguatur. Ac nisi pacis studio non abnegaverim venire Coloniam, non pacificetur **219** mihi vita. Verum equidem illam pacem, quæ nobis ab ipso Domino relicta est, exquiro : et quod volui mihi ad persuasionem dari, hominis est nihil aliud quam veram pacem desiderantis, quamvis aliter nonnulli veritatem pervertentes interpretentur. Utantur igitur illi suis linguis, ut volunt; nam profecto illos aliquando horum verborum pœnitebit.

2. Cæterum sanctitatem tuam oro, ut eorum quæ initio proposita fuere meminerit, nec decipiatur alias pro aliis quæstionibus responsiones excipiens, neque vim et pondus addat eorum cavillationibus, qui sine dicendi facultate, ex solo animi sui proposito omnium nequissime veritatem depravant. Proposui enim simplicia et clara et facilia ad recordandum verba, utrum eos qui non recipiunt Nicænam fidem, arceamus a communione, et utrum cum iis qui creaturam dicere Spiritum sanctum audent, partem habere nolimus. Ille autem, cum ad verbum quæstionibus respondere debuisset, ea nobis quæ misisti consarcinavit, idque non mentis simplicitate, ut aliquis suspicetur, neque ob hanc causam, quod consequentia animadvertere non posset. Sed illud ei in mentem venit, si neget quæ proponimus, fore ut se ipse populis aperiat et prodat; sin autem nobis assentitur, discessurum se ab illo medii hominis consilio, quo nihil hactenus antiquius habuit. Fucum ergo nobis non faciat, neque cum aliis tuam etiam circumveniat prudentiam, sed breve nobis responsum mittat ad quæstionem, aut confitens communionem cum fidei hostibus, aut negans. Hæc ei si persuaseris, et miseris mihi rectas, et quales precor, responsiones; ego sum qui hactenus omnia peccavi : ego illam omnem culpam in me recipio, tunc a me humilitatis significationem reposce. Quandiu autem horum nihil fiet, ignosce, religiosissime Pater, si non possim cum simulatione ad Dei aram accedere. Nisi enim hoc metuerem, cur me ipse ab Euippii communione sejunxissem, viri adeo in litteris excellentis, adeo ætate provecti, ac tot et tanta amicitiæ jura mecum habentis? Quod si hæc recte

A οὔπω δεδύνημαι· ἐν δὲ τῇ καρδίᾳ μου τοσαύτην ἔχειν ἐπιθυμίαν φημὶ, ὥστε ἡδέως ἂν καὶ τὴν ζωὴν τὴν ἐμαυτοῦ προέσθαι ὑπὲρ τοῦ τὴν ὑπὸ τοῦ πονηροῦ ἐξαφθεῖσαν φλόγα τοῦ μίσους κατασβεσθῆναι. Καὶ εἰ μὴ τῆς ἐπιθυμίας ἕνεκεν τῆς κατὰ τὴν εἰρήνην ἠνεσχόμην ἐγγίσαι τοῖς κατὰ Κολώνειαν τόποις, μὴ εἰρηνευθείη μοι (76) ἡ ζωή. Εἰρήνην μέντοι τὴν ἀληθινὴν τὴν ὑπ' αὐτοῦ τοῦ Κυρίου καταλειφθεῖσαν ἡμῖν ἐπιζητῶ· καὶ ὃ παρεκάλεσά (77) μοι εἰς πληροφορίαν ὑπάρξαι, οὐκ ἄλλο τι ἐπιθυμοῦντός ἐστιν ἢ τῆς ἀληθινῆς εἰρήνης, κἂν ἄλλως τινὲς διαστρέφοντες τὴν ἀλήθειαν ἐξηγῶνται. Ἐκεῖνοι μὲν οὖν κεχρήσθωσαν ταῖς γλώσσαις αὐτῶν ἐφ' ἃ βούλονται· πάντως γὰρ αὐτοῖς ποτε τῶν ῥημάτων τούτων μεταμελήσει.

2. Τὴν δὲ σὴν ὁσιότητα παρακαλῶ μεμνῆσθαι τῶν B ἐξ ἀρχῆς προτάσεων, καὶ μὴ παράγεσθαι ἄλλας ἀποκρίσεις ἀντ' ἄλλων ἐρωτημάτων δεχόμενον (78). μηδὲ ποιεῖν ἐνεργὰ τὰ σοφίσματα τῶν ἄνευ τῆς περὶ τὸ λέγειν δυνάμεως ἀπ' αὐτῆς μόνης τῆς γνώμης δεινότατα πάντων τὴν ἀλήθειαν κακουργούντων. Προέτεινα γὰρ ἁπλᾶ καὶ σαφῆ καὶ εὐμνημόνευτα ῥήματα· εἰ τοὺς μὴ (79) δεχομένους τὴν ἐν Νικαίᾳ πίστιν παραιτούμεθα εἰς κοινωνίαν, καὶ εἰ μετὰ τῶν κτίσμα λέγειν τὸ Πνεῦμα τὸ ἅγιον ἀποτολμώντων τὸ μέρος ἔχειν οὐκ ἀνεχόμεθα. Ὁ δὲ, ἀντὶ τοῦ πρὸς ἔπος ταῖς ἐρωτήσεσιν ἀποκρίνασθαι, ἐκεῖνα ἡμῖν ἐρραψῴδησεν ἅπερ ἀπέστειλας (80)· καὶ τοῦτο οὐκ ὠφελείᾳ γνώμης, ὡς ἄν τῳ δόξαι (81), οὐδὲ τῷ μὴ δύνασθαι συνορᾷν τὸ ἀκόλουθον. Ἀλλ' ἐκεῖνο λογίζεται, ὅτι, C ἀρνούμενος μὲν ἡμῶν τὴν πρότασιν, τοῖς λαοῖς ἑαυτὸν κατάδηλον ποιήσει· συντιθέμενος δὲ ἡμῖν, τῆς μεσότητος ἀποστήσεται, ἧς οὐδὲν αὐτῷ μέχρι τοῦ νῦν γέγονε προτιμότερον. Μὴ τοίνυν ἡμᾶς κατασοφιζέσθω, μηδὲ μετὰ τῶν ἄλλων καὶ τὴν σὴν παρακρουέσθω φρόνησιν· ἀλλὰ σύντομον ἡμῖν λόγον ἀποστειλάτω πρὸς τὸ ἐρώτημα, ἢ ὁμολογῶν τὴν κοινωνίαν πρὸς τοὺς ἐχθροὺς τῆς πίστεως, ἢ ἀρνούμενος. Ἐὰν ταῦτα συμπείσῃς αὐτὸν, καὶ πέμψῃς μοι ὀρθὰς, καὶ οἵας εὔχομαι, τὰς ἀποκρίσεις· ἐγώ εἰμι ὁ τὰ κατόπιν πάντα ἡμαρτηκώς· ἐγὼ δέχομαι πᾶσαν τὴν αἰτίαν ἐκείνην ἐπ' ἐμαυτόν· τότε με ἀπαίτει ταπεινοφροσύνης ἐπίδειξιν. Ἕως δ' ἂν μηδὲν γένηται τούτων, σύγγνωθι, θεοφιλέστατε Πάτερ, μὴ δυναμένῳ μετὰ ὑποκρίσεως θυσιαστηρίῳ Θεοῦ παρεστάναι D (82). Εἰ γὰρ μὴ τοῦτο ἐφοβούμην, τίνος ἕνεκεν ἐμαυτὸν ἐχώριζον Εὐϊππίου, τοιούτου μὲν τὰ περὶ λόγους, τοσοῦτον δὲ χρόνῳ (83) προήκοντος, τοσαῦτα δὲ τῆς πρὸς ἡμᾶς φιλίας δίκαια κεκτημένου; Εἰ δὲ

(76) *Μὴ εἰρηνευθείη μοι*. Legitur μου in Coisl. primo.

(77) *Ὃ παρεκάλεσα*. Ita mss. sex. Editi ὅπερ ἐκάλεσα.

(78) *Δεχόμενον*. Ita Harl., Med. et Coisl. primus. Editi δεχομένην. Ibidem ἐρωτημάτων deest in Regio primo. In uno autem codice, quem citat Combef., legitur *ἄλλας ἐρωτήσεις ἀντ' ἄλλων ἐρωτημάτων, alias pro aliis quæstiones.*

(79) *Εἰ τοὺς μή*. Sic ope codicum Coisl., Med., Harl. et Regii utriusque emendavimus, quod prave in editis legebatur εἰς τοὺς μή.

(80) *Ἅπερ ἀπέστειλας*. Quamvis hæc scriptura solo Coisliniano primo nitatur, nec statuere possim an in aliis occurrat, eam tamen non dubito præferendam esse vulgatæ ἐπέστειλας, *quæ scripsisti*

(81) *Ὡς ἄν τῳ δόξαι*. Ita Harl., Med., Clarom. et alii a Combefisio citati. Editi ὡς αὐτῷ δόξαι.

(82) *Παρεστάναι*. Ita Coisl. primus et Harl. cum duobus aliis. Editi παριστάναι. Regius secundus et Coisl. secundus παρίστασθαι.

(83) *Χρόνῳ*. Ita tres vetustissimi codices, melius quam editi χρόνον. Ibidem editi τῆς περὶ ἡμᾶς. Mss. sex ut in textu.

ἐκεῖνα καλῶς καὶ προσηκόντως ὑπὲρ τῆς ἀληθείας ἐπράξαμεν, γελοῖον δήπου τοῖς τὰ αὐτὰ ἐκείνῳ λέγουσι διὰ τῆς τῶν εὐφυῶν τούτων καὶ χαριέντων μεσότητος (84) συναπτόμενον φαίνεσθαι.

3. Οὐ μὴν οὐδὲ παντελῶς μοι δοκεῖ τῶν μὴ δεχομένων τὴν πίστιν ἀλλοτριοῦν ἑαυτούς, ἀλλὰ ποιήσασθαί τινα τῶν ἀνδρῶν ἐπιμέλειαν (85) κατὰ τοὺς παλαιοὺς θεσμοὺς τῆς ἀγάπης, καὶ ἐπιστεῖλαι αὐτοῖς ἀπὸ μιᾶς γνώμης, πᾶσαν παράκλησιν μετ' εὐσπλαγχνίας προσάγοντας, καὶ τὴν τῶν Πατέρων πίστιν προτεινομένους, προκαλεῖσθαι αὐτοὺς εἰς συνάφειαν· κἂν μὲν πείσωμεν, κοινῶς αὐτοῖς ἑνωθῆναι· ἐὰν δὲ ἀποτύχωμεν, ἀρκεῖσθαι ἡμᾶς ἀλλήλοις, τὸν δὲ ἐπαμφοτερισμὸν τοῦτον ἐξορίσαι τοῦ ἤθους, ἀναλαβόντας τὴν εὐαγγελικὴν καὶ ἄδολον πολιτείαν, ᾗ συνέζων οἱ ἐξ ἀρχῆς προσελθόντες τῷ λόγῳ. *Ἦν γὰρ*, φησὶ, *τῶν πιστευσάντων καρδία καὶ ψυχὴ μία*. Ἐὰν μὲν οὖν πεισθῶσί σοι, ταῦτα ἄριστα· εἰ δὲ μὴ, γνωρίσατε τοὺς πολεμοποιοὺς, καὶ παύσασθε ἡμῖν τοῦ λοιποῦ περὶ διαλλαγῶν ἐπιστέλλοντες.

A et, ut par erat, pro veritate gessimus, ridiculum utique fuerit cum iis, qui eadem ac ille dicunt, per hosce perpolitos ac lepidos homines, qui medii videntur, conjunctum videri.

3. Non tamen mihi omnino faciendum videtur, ut nos ab his, qui fidem non recipiunt, alienemus, sed ut aliquam illorum curam secundum antiquas charitatis leges suscipiamus, **220** ipsisque scribamus unanimi consensu, omnem consolationem cum misericordiæ visceribus adhibentes, ac Patrum proposita fide ad communionem illos provocemus; ac si eos quidem ad assentiendum adduxerimus, nos communiter cum illis conjungamus; sin autem id non assequamur, nobis inter nos contenti simus, et alternantem illum animum e B nostris moribus amoveamus, revocantes evangelicam et doli expertem disciplinam, in qua vivebant qui ab initio accedebant ad fidem. *Erat enim*, inquit, *credentium cor unum et anima una* [17]. Itaque tibi si auscultaverint, id optimum est; sin minus, agnoscite belli auctores, ac deinceps de reconciliatione ad nos litteras dare desinite.

ΕΠΙΣΤΟΛΗ ΡΚΘ'.

EPISTOLA CXXIX*.

Refert Basilius absurdum quoddam Apolinarii testimonium, cujus ut auctor ipse Basilius existimaretur, Sebasteni fuerunt machinati. Nuntiat quæ de se apud aulam statuta fuerant, et postea rescissa vel diluta. Agit etiam de Sanctissimo ac de litteris ad Occidentales mittendis, quos rogandos putat ut communionem suam non sine delectu concedant.

Μελετίῳ, ἐπισκόπῳ Ἀντιοχείας.

1. Ἤδειν, ὅτι ξενίσει τὴν ἀκοὴν τῆς τελειότητός σου τὸ νῦν ἐπιφυὲν ἔγκλημα τῷ πάντα εἰπεῖν εὐκόλῳ Ἀπολιναρίῳ. Καὶ γὰρ οὐδὲ αὐτὸς τὸν πρὸ τούτου χρόνον ἡμην ἐπιστάμενος ἔχειν· ἀλλὰ νῦν οἱ Σεβαστηνοὶ διερευνησάμενοί ποθεν αὐτὰ (86) εἰς τὸ μέσον ἤνεγκαν, καὶ περιφέρουσι σύνταγμα, ἐξ οὗ μάλιστα καὶ ἡμᾶς καταδικάζουσιν, ὡς τὰ αὐτὰ φρονοῦντας, ἔχον ῥήσεις τοιαύτας· *Ὥστε πανταχῇ συνεζευγμένως, μᾶλλον δὲ ἡνωμένως τῇ ἑτερότητι νοεῖν ἀναγκαῖον τὴν πρώτην ταυτότητα· καὶ δευτέραν καὶ τρίτην λέγοντας τὴν αὐτήν. Ὅπερ γάρ ἐστι πρώτως ὁ Πατὴρ, τοῦτό ἐστι δευτέρως ὁ Υἱὸς, καὶ τρίτως τὸ Πνεῦμα. Αὖθις δὲ, ὅπερ ἐστὶ πρώτως τὸ Πνεῦμα, τοῦτο δευτέρως τὸν Υἱὸν, καθὸ δὴ καὶ ὁ Κύριός ἐστι τὸ Πνεῦμα* (87)· *καὶ τρίτως τὸν Πατέρα, καθὸ δὴ Πνεῦμα ὁ Θεός. Καὶ ὡς βιαιότερον σημᾶναι* (88) *τὸ ἄῤῥητον, τὸν Πατέρα*

Meletio, episcopo Antiochiæ.

1. Sciebam novum auribus præstantiæ tuæ visum iri, quod nunc infertur crimen proclivi ad C omnia dicenda Apolinario. Nam nec ipse ante hoc tempus eum accusari noveram: sed nunc Sebasteni alicunde illa perscrutati, in medium protulerunt, ac scriptum, ex quo maxime nos etiam ut eadem sentientes condemnant, talia habens verba circumferunt: *Quare ubique conjuncte, magis vero unite alietati intelligere necesse est primam identitatem; secundam et tertiam eamdem dicentes. Quod enim primo est Pater, hoc est secundo Filius, et tertio Spiritus sanctus. Rursus autem, quod primo est Spiritus, hoc secundo Filius, quatenus etiam Dominus est Spiritus: et tertio Pater, quatenus videlicet Spiritus est Deus. Et ut violentius significetur res non enarrabilis, Pater paterne Filius est, Filius vero filialiter Pater. Atque similiter de Spiritu;*

[17] Act. IV, 32.

(84) Διὰ τῆς... μεσότητος. Mirum videri possit, cur Basilius communicare cum Arianis sibi videretur, si cum Eustathio communicaret. Nam Eustathius nondum cum Arianis communicabat, neque hoc facinus aggressus est, nisi anno 375 exeunte. Ipse Basilius, postquam communionem Eustathio renuntiavit, non se ab omnibus Eustathii communicationibus disjunxit, ut patet ex epistolis 245 et 250, ad Theophilum et Patrophilum. Cur ergo visus sibi fuisset cum Arianis per Eustathium conjungi, qui tamen cum Arianis non communicabat: cum ipso autem Eustathio conjungi per eos sibi non videbatur, qui cum Eustathio communicabant? Aliud causæ esse non puto cur ita se gesserit Basilius, nisi quod Eustathii communicatores nequaquam illius sententiæ ascriptores et astipulatores essent: Eustathius vero Arianorum errorem damnare, et D catholicam fidem profiteri nollet. Quamobrem si cum Eustathio communicasset, visus sibi fuisset Arianam hæresim fovere, vel saltem tolerare: at idem in incommodum non incurrebat, cum iis communicans, qui se ab Eustathio nondum disjunxerant.

(85) Ἐπιμέλειαν. Eadem pacis constituendæ ratio proponitur a Gregorio Nazianzeno, orat. 12, p. 205.

(86) Αὐτά. Sic mss. sex et antiquæ editiones. Legitur in Frob. secunda et Paris. αὐτό.

(87) Καθὸ δὲ καὶ ὁ Κύριός ἐστι τὸ Πνεῦμα. Hæc addidimus ex septem mss.

(88) Σημᾶναι. Ita Harl. cujus ope sustulimus corruptissimam lectionem vulgatam σημαίνει.

* Alias LIX. Scripta anno 373.

qualenus sane unus Deus Trinitas est. Hæc sunt quæ divulgantur, quæ quidem nunquam possum credere commenta esse circumferentium, quamvis ex eorum in nos calumnia nihil illos existimem non audere. Cum enim ad quosdam ex suis scriberent, postquam calumniam in nos effudere, hæc addiderunt, hæreticorum quidem verba esse asseverantes, scripti autem parentem tacentes, ut apud vulgus nos existimemur auctores esse. Sed tamen non eo usque, ut verba comminiscerentur, processisset eorum astus, ut mihi quidem ipse persuadeo. Unde, **221** ut et criminationem in nos invalescentem propulsaremus, et omnibus ostenderemus nihil nobis cum his qui hoc dicunt commune esse, coacti sumus viri illius, ut ad Sabellii impietatem accedentis, mentionem facere. Et hæc quidem hactenus.

2. Venit autem ex aula quidam nuntians, post primam imperatoris motionem, ad quam eum impulerunt qui calumnias nobis inferunt, latam esse alteram quamdam sententiam, ut ne dederemur accusatoribus, neque illorum traderemur voluntati : id quod initio fuerat decretum ; sed interim fleret aliqua dilatio. Si igitur aut ista ita maneant, aut aliquid aliud humanius statuatur, pietati tuæ significabimus. Sin autem priora vincent, me hoc quidem te latebit.

3. Cæterum frater Sanctissimus a multo sane tempore apud vos est, et quid requirat, præstantiæ tuæ innotuit. Itaque, si quid necessarium habere videatur epistola ad Occidentales, eam a te exaratam ad nos mittere digneris, ut ab unanimibus subscribi curemus, ac paratam habeamus subscriptionem in charta separata, quam possimus connectere cum charta quæ a fratre nostro compresbytero circumfertur. Ego enim cum in commentario nihil invenirem quod rem causamque contineret, non habui qua de re scriberem Occi-

A *πατρικῶς Υἱὸν εἶναι, τὸν δὲ Υἱὸν υἱικῶς Πατέρα. Καὶ ὡσαύτως ἐπὶ τοῦ Πνεύματος, καθὸ δὴ εἷς Θεὸς ἡ Τριάς.* Ταῦτά ἐστι τὰ θρυλλούμενα, ἃ οὐδέποτε δύναμαι πιστεῦσαι πλάσματα εἶναι τῶν περιφερόντων (89), εἰ καὶ ὅτι ἐκ τῆς καθ' ἡμῶν (90) συκοφαντίας οὐδὲν λογίζομαι αὐτοῖς ἀτόλμητον εἶναι. Γράφοντες γάρ τισι τῶν καθ' ἑαυτοὺς, καὶ προσθέντες (91) τὴν καθ' ἡμῶν διαβολὴν, ἐπήγαγον ταῦτα, ῥήματα μὲν αἱρετικῶν ὀνομάσαντες (92), τὸν δὲ πατέρα τῆς συγγραφῆς ἀποκρυψάμενοι, ἵνα τοῖς πολλοῖς ἡμεῖς νομισθῶμεν εἶναι οἱ λογογράφοι. Πλὴν ἀλλ' οὐκ ἂν μέχρι τοῦ καὶ ῥήματα συνθεῖναι προῆλθεν αὐτῶν ἡ ἐπίνοια, ὥς γε ἐμαυτὸν πείθω. Ὅθεν, ὑπὲρ τοῦ καὶ τὴν καθ' ἡμῶν κρατοῦσαν βλασφημίαν ἀπώσασθαι, καὶ δεῖξαι πᾶσιν, ὡς οὐδὲν ἡμῖν ἐστι κοινὸν B πρὸς τοὺς ἐκεῖνο λέγοντας, ἠναγκάσθημεν μνησθῆναι τοῦ ἀνδρὸς, ὡς προσεγγίζοντος τῇ ἀσεβείᾳ τοῦ Σαβελλίου. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

2. Ἀπὸ δὲ τοῦ στρατοπέδου ἧκέ τις ἀγγέλλων, ἐπὶ τῇ πρώτῃ κινήσει τοῦ κρατοῦντος, ἣν ἐκίνησαν αὐτὸν οἱ τὰς διαβολὰς ἡμῶν (93) καταχέοντες, γεγενῆσθαί τινα καὶ δευτέραν γνώμην, ὥστε μὴ δοθῆναι ἡμᾶς ἐκδότους τοῖς κατηγόροις, μήτε παραδοθῆναι ἡμᾶς τῷ ἐκείνων θελήματι. ὅπερ ἦν ἐξ ἀρχῆς ὁρισθέν· ἀλλά τινα γενέσθαι τέως ἀναβολήν. Ἐὰν οὖν ἢ ταῦτα μένῃ, ἢ τούτων τι δόξῃ φιλανθρωπότερον, σημανοῦμέν σου τῇ θεοσεβείᾳ. Ἐὰν δὲ κρατῇ τὰ πρότερα, οὐδὲ τοῦτό σε λήσεται.

3. Ὁ μέντοι ἀδελφὸς Σαγκτίσσιμος πάντως ἐπὶ C παρ' ὑμῖν πάλαι, καὶ ἃ ἐπιζητεῖ, δῆλα γέγονε τῇ τελειότητί σου. Εἰ οὖν φαίνεται ἀναγκαῖόν τι ἔχειν ἡ πρὸς τοὺς δυτικοὺς ἐπιστολὴ, καταξίωσον τυπώσας αὐτὴν διαπέμψασθαι (94) ἡμῖν, ὥστε ποιῆσαι ὑπογραφῆναι παρὰ τῶν ὁμοψύχων, καὶ ἑτοίμην ἔχειν τὴν ὑπογραφὴν, ἐν χάρτῃ κεχωρισμένῳ (95) ἐντετυπωμένην, ὃν δυνάμεθα συνάψαι τῷ παρὰ τοῦ ἀδελφοῦ ἡμῶν (96) τοῦ συμπρεσβυτέρου περικομιζομένῳ. Ἐγὼ μὲν γὰρ, οὐδὲν εὑρὼν (97) συνεκτικὸν ἐν τῷ ὑπομνηστικῷ, οὐκ ἔσχον ὑπὲρ οὗ ἐπιστείλω τοῖς ἐν

(89) *Περιφερόντων.* Ita sex mss. Editi προφερόντων. Similiter Basilius in epist. 265 non audet Eustathio tantum facinus attribuere : at si hæc verba sint Apolinarii, merum Sabellianismum esse pronuntiat. Citantur, ut Apolinarii, a Timotheo presbytero Constantinopolitano in libro *De receptione hæreticorum*, apud Coteleriun, tom. III *Monument. Græc.*, p. 395. Sed tamen in Apolinario licentia magis scribendi, quam Sabelliana impietas vituperanda. Id enim videntur indicare Orientales, dum in epist. Basilii 263 queruntur, quod Apolinarii *de theologia*, id est, de personis divinis, *disputationes non petitis e Scriptura probationibus, sed humanis argumentis nitantur.* Plurimum se amabant Apolinaristæ de catholica Trinitatis fide, ac de hujus dogmatis defensione, ut videre est apud Gregor. Naz., orat. 51 Neque hanc laudem Apolinario denegat Epiphanius, hæres. 77, sed dolet quod eam impiis de Incarnatione erroribus perverterit. Adeo autem non laborabat Sabellii morbo Apolinarius, ut interdum in Arianam hæresim ferri videretur, gradus in Trinitate fingens, et magnum, majorem et maximum inducens, ut ei exprobrant Gregorius Nazianz., orat. 51, et Theodoretus, lib. V *Hist.*, c. 3.

(90) *Καθ' ἡμῶν.* Tres vetustissimi codices et Reg. primus καθ' ἡμᾶς. Sic etiam editio Hagan. et 1 Basil. Sed tamen nihil mutandum videtur.

(91) *Προσθέντες.* Coisl. secundus et Reg. secundus προθέντες.

D (92) *Ὀνομάσαντες.* Ita sex mss. Editi ὀνομάζοντες.

(93) *Ἡμῶν.* Ita veteres libri pro eo quod vitiose in editis legebatur ἡμῖν.

(94) *Καταξίωσον... διαπέμψασθαι.* Ita veteres libri quinque. Editi καταξίαν... διαπέμψαι. Editio Haganoensis habet καταξίωσαν. Paris. secunda καταξίωσον.

(95) *Κεχωρισμένῳ.* Addidimus hanc vocem ex sex mss.

(96) *Τοῦ ἀδελφοῦ ἡμῶν.* Male in editione Paris. additur Δωροθέου, quod in editione Hagan. et in prima Basileensi deest, et in omnibus mss., nec conciliari potest cum Basilii sententia, a quo Sanctissimus paulo ante nominatus est.

(97) *Οὐδὲν εὑρών.* Ita Coisl. primus et Med. cum duobus aliis. Harl. οὐδὲν εὗρον..., καὶ οὐκ ἔσχον. Editi οὐχ εὑρών.

τῇ δύσει. Τὰ μὲν γὰρ ἀναγκαῖα προείληπται· τὰ δὲ περιττὰ γράφειν παντελῶς μάταιον. Περὶ δὲ τῶν αὐτῶν ἐνοχλεῖν μὴ καὶ γελοῖον εἴη; Ἐκείνη δέ μοι ἔδοξεν ὥσπερ ἀγύμναστος εἶναι ἡ ὑπόθεσις, καὶ χώραν παρέχειν γράμμασι (98), τὸ παρακαλέσαι αὐτούς, μὴ ἀκρίτως δέχεσθαι τὰς κοινωνίας τῶν ἐκ τῆς ἀνατολῆς ἀφικνουμένων· ἀλλ' ἅπαξ μίαν μερίδα ἐκλεξαμένους, τοὺς λοιποὺς ἐκ τῆς μαρτυρίας τῶν κοινωνικῶν προσλαμβάνεσθαι· καὶ μὴ παντὶ τῷ πίστιν γράφοντι ἐπὶ προφάσει δὴ τῆς ὀρθοδοξίας προστίθεσθαι. Οὕτω γὰρ εὑρεθήσονται τοῖς μαχομένοις κοινωνοῦντες, οἳ τὰ μὲν ῥήματα πολλάκις τὰ αὐτὰ προβάλλονται, μάχονται δὲ ἀλλήλοις, ὅσον οἱ πλεῖστον διεστηκότες. Ἵν' οὖν μὴ ἐπὶ πλεῖον ἡ αἵρεσις ἐξάπτηται (99) τῶν πρὸς ἀλλήλους διαστασιαζόντων ἀντιπροβαλλομένων τὰ παρ' αὐτῶν γράμματα (1), παρακληθῆναι αὐτοὺς ἔδει, κεκριμένας ποιεῖσθαι καὶ τὰς τῶν ἐντυγχανόντων αὐτοῖς κοινωνίας (2), καὶ τὰς ἐγγράφως γινομένας κατὰ τὸν τύπον τῆς Ἐκκλησίας.

A dentalibus. Necessaria enim præoccupata sunt : superflua vero scribere prorsus vanum est. De iisdem autem molestiam exhibere, nonne etiam ridiculum fuerit? Illa autem mihi visa est velut intacta esse materia, locumque litteris dare, si ipsos adhortemur, ne sine judicio recipiant communiones ex Oriente venientium, sed semel una parte electa, reliquos communicatorum testimonio admittant, nec cuilibet fidei formulam scribenti, sub doctrinæ orthodoxæ obtentu assentiantur. Ita enim reperientur cum hominibus inter se pugnantibus communicare : qui verba quidem sæpe eadem proferunt, sed pugnant inter se, quantum qui maxime dissentiunt. Itaque, ne magis hæresis accendatur, dum qui inter se dissentiunt, acceptas ab ipsis B litteras sibi mutuo objiciunt, rogandi sunt, ut cum judicio communiones peragant, et eas quæ cum accedentibus ad ipsos, et eas quæ scripto secundum Ecclesiæ normam fiunt.

ΕΠΙΣΤΟΛΗ ΡΛ'.

222 EPISTOLA CXXX*.

Reprehensus a Theodoto Basilius quod nihil scripsisset de Eustathio, respondet se idcirco non scripsisse, quod res omnibus nota sit, non quod parvi facienda. Neque enim Eustathii discessio a communione Basilii, convicia in Basilium adjuvante Theophilo Cilice, fides Ariana Gelasio data in Cilicia, scripta in Basilium calumniis referta, reordinatio, novum facinus de Eustathio nuntiatum, videri levia possint, ut quidam Basilio videri dictabant. Duas causas affert cur Eustathio non responderit.

Θεοδότῳ, ἐπισκόπῳ Νικοπόλεως.

1. Καλῶς καὶ προσηκόντως ἡμῶν καθήψω, τιμιώτατε ὡς ἀληθῶς καὶ ποθεινότατε ἀδελφέ, ὅτι ἐξ οὗ ἀνεχωρήσαμεν τότε τῆς σῆς εὐλαβείας τὰς περὶ τῆς πίστεως ἐκείνας προτάσεις τῷ Εὐσταθίῳ φέροντες, οὐδέν σοι οὔτε μικρὸν οὔτε μεῖζον τῶν κατ' αὐτὸν ἐδηλώσαμεν. Ἐγὼ δὲ οὐχ ὡς εὐκαταφρονήτων (3) τῶν παρ' αὐτοῦ γενομένων εἰς ἡμᾶς ὑπερεῖδον· ἀλλ' ὡς εἰς πάντας λοιπὸν τοὺς ἀνθρώπους διαβοηθείσης τῆς φήμης, καὶ οὐδενὸς τῆς παρ' ἡμῶν διδασκαλίας εἰς τὸ τὴν προαίρεσιν τοῦ ἀνδρὸς διδαχθῆναι προσδεομένου. Τοῦτο γὰρ καὶ αὐτὸς ἐπενόησεν, ὥσπερ φοβούμενος μὴ ὀλίγους σχῇ τῆς ἑαυτοῦ γνώμης μάρτυρας, εἰς πᾶσαν ἐσχατιὰν τὰς ἐπιστολὰς

Theodoto, episcopo Nicopolitano.

1. Recte atque convenienter nos tetigisti, frater colendissime prorsus ac desideratissime, quod ex C quo a tua pietate tunc discessimus, ferentes Eustathio illas de fide propositiones, nihil tibi neque parvum neque magnum de illius rebus significaverimus. Ego autem non quod facile contemnenda sint, quæ ab eo in me commissa sunt, neglexi : sed quod fama apud omnes jam homines pervulgata sit, nec quemquam a me doceri opus sit, ut hominis propositum cognoscat. Huic enim rei et ipse providit, quasi metueret ne paucos haberet suæ sententiæ testes, epistolas contra me conscriptas in remotissima quæque loca transmittens. Itaque se

(98) *Γράμμασι.* Ita mss. quinque. Editi γράμματι.

(99) *Ἐξάπτηται.* Ita Harl. et Coisl. primus cum tribus aliis. Editi ἐξαπατῆται.

(1) *Γράμματα.* Hæc Tillemontius interpretatur de diversis Meletii et Paulini partibus, nec non de Marcellianis et Apolinaristis. Sed iidem designari videntur hæretici, de quibus agit Basilius in epistola præcedenti : idque accuratius in *Vita S. Basilii* expendetur.

(2) *Κοινωνίας.* Duplicem communicandi rationem esse ex hoc loco et ex epist. 224 perspicimus, alteram cum iis qui coram accedunt, alteram per litteras. Prima aut ad sacram Eucharistiam, aut ad preces admittendo fiebat. Iratus Theodotus, ut supra vidimus in epist. 99, quod Basilius ab Eustathii communione non discederet, contumeliam eo perduxit, ut illum nec ad matutinas, nec ad vespertinas preces assumeret. Ipse Basilius adversarios provocat in epist. 224, ut aliquem a se ex clericis Apolinarii ad communionem aut ad preces admissum fuisse demonstrent. Quod spectat ad alterum communionis genus, non omnes litteræ signum erant communionis, sed quæ, ut ait Basilius, *secundum Ecclesiæ normam* fiebant, sive litteræ canonicæ. Sic enim appellat Basilius in eadem epist. 224, ubi, communionis cum Apolinario initæ D suspicionem repellens, negat se unquam litteras canonicas ad eum dedisse. Unde confirmari potest, quod in *Vita S. Cypriani* novæ edit. probatum est, epistolam Stephani papæ ad Cyprianum, non esse certissimum communionis argumentum, et contra quam videtur Tillemontio, post negatam legatis episcopis communionem scribi potuisse. Una autem ex notis, quibus ejusmodi epistolæ dignoscebantur, ea videtur exstitisse, ut is ad quem scribebatur, episcopus salutaretur, si hac dignitate ornatus esset. Discimus enim ex epist. 240, Theophilum Castabalorum episcopum, cum nec aperte conjungi cum Basilio vellet, nec aperte disjungi, scribere ad eum noluisse, ne ut episcopum salutare cogeretur, Basilius postquam se ab Eustathii communione disjunxit, nunquam illum episcopum vocat.

(3) *Εὐκαταφρονήτων.* Ita Harl., Med. et tres alii. Editi καταφρονήτων.

* Alias CXCVI. Scripta anno 373.

ipse a nostra communione abscidit, neque in constitutum locum convenire nobiscum in animum inducens, neque discipulos suos adducens, ut promiserat: sed me dilacerans una cum Theophilo Cilice in frequentissimis conventibus, nuda et aperta criminatione, ut aliena ab ipsius doctrina populi animis dogmata inserentem. Hæc quidem satis magna erant, ut nostram omnem cum eo conjunctionem dirimerent. Postquam vero et in Ciliciam venit, atque Gelasium quemdam conveniens, eidem fidem exposuit, quam conscribere erat Arii solius, et si quis germanus illius discipulus: tum demum magis etiam in disjunctione obfirmati sumus, illud animo considerantes, neque Æthiopem pellem suam unquam mutaturum, neque pantheram maculas suas [18], neque hominem in perversis nutritum dogmatibus hæresis vitium deterere posse.

2. His audax facinus addidit, ut in nos scriberet vel potius componeret longos sermones omni convicio ac calumnia refertos: quibus nihil respondimus hactenus, propterea quod edocti sumus ab Apostolo non nosmetipsos ulcisci, sed locum iræ dare [19]; tum etiam quia cum consideraremus dissimulationis profundum, qua sese nobis omni tempore insinuavit, muti quodam modo præ stupore effecti sumus. Verum etiamsi nihil horum esset, id quod recens ausus est, cuinam horrorem et hominis detestationem penitus non ingeneret? Qui videlicet ut audio (si modo verus rumor, nec commentum est ad calumniam excogitatum), etiam reordinare nonnullos ausus est, quod hactenus ab hæreticorum nemine factum videtur. Quomodo ergo hæc leniter ferre possimus, et sanabilia hominis peccata existimare? Itaque sermonibus falsis ne abducamini, neque hominum facile **223** omnia in malam partem accipientium suspicionibus fidem adhibeatis, quasi nos res hujusmodi in indifferentibus ponamus. Hoc enim tibi persuadeas, vir nobis desideratissime ac colendissime, nunquam me tantum doloris animo meo acceptum scire, quantum nunc, cum de ecclesiasticarum legum perturbatione audivi. Sed solum precare, ut det nobis Dominus nihil ex iracundia agere, sed charitatem habere, quæ se indecore non gerit, nec inflatur [20]. Vide enim quemadmodum qui ea carent, supra mensuram humanam elati sint, et indecore se gerant, ea facinora audentes, quorum præteritum tempus non habet exempla.

A ἃς καθ' ἡμῶν συνέγραψε διαπεμψάμενος. Τῆς μὲν οὖν κοινωνίας ἡμῶν αὐτὸς ἀπέῤῥηξεν ἑαυτὸν, μήτε κατὰ τὸν ὡρισμένον τόπον συνδραμεῖν ἡμῖν ἀνασχόμενος, μήτε τοὺς μαθητὰς ἑαυτοῦ παραγαγὼν, ὅπερ ὑπέσχετο· ἀλλὰ καὶ ἡμᾶς στηλιτεύων ἐν πανδήμοις συνόδοις, μετὰ τοῦ Κίλικος Θεοφίλου, γυμνῇ καὶ ἀπαρακαλύπτῳ τῇ βλασφημίᾳ, ὡς ἀλλότρια τῆς ἑαυτοῦ (4) διδασκαλίας ταῖς ψυχαῖς τοῦ λαοῦ ἐνσπείραντας δόγματα. Ἱκανὰ μὲν οὖν ἦν καὶ ταῦτα πᾶσαν ἡμῶν τὴν πρὸς αὐτὸν συνάφειαν διαλῦσαι (5). Ἐπειδὴ δὲ καὶ εἰς Κιλικίαν ἐλθὼν, καὶ συντυχὼν Γελασίῳ τινὶ, πίστιν αὐτῷ ἐξέθετο, ἣν μόνου (6) ἦν Ἀρείου συγγράψαι, καὶ εἴ τις αὐτοῦ γνήσιος μαθητής· τότε δὴ καὶ πλέον πρὸς τὸν χωρισμὸν ἐβεβαιώθημεν· λογισάμενοι, ὅτι οὔτε Αἰθίοψ ἀλλάξει ποτὲ τὸ δέρμα
B αὐτοῦ, οὔτε πάρδαλις τὰ ποικίλματα αὐτῆς, οὔτε ὁ ἐν διαστρόφοις δόγμασι συντραφεὶς ἀποτρίψασθαι δύναται τὸ κακὸν τῆς αἱρέσεως.

2. Ἐπενεανιεύσατο δὲ τούτοις καὶ γράψας καθ' ἡμῶν, μᾶλλον δὲ συγγράψας (7) λόγους μακροὺς πάσης λοιδορίας καὶ συκοφαντίας γέμοντας· ὑπὲρ ὧν οὐδὲν ἀπεκρινάμεθα τέως, διὰ τὸ διδαχθῆναι παρὰ τοῦ Ἀποστόλου, μὴ ἑαυτοὺς ἐκδικεῖν, ἀλλὰ διδόναι τόπον τῇ ὀργῇ· καὶ ἅμα ἐννοήσαντες τὸ βάθος τῆς ὑποκρίσεως, μεθ' ἧς πάντα τὸν χρόνον ἡμῖν προσηνέχθη, ἀφασίᾳ τινὶ ὑπ' ἐκπλήξεως κατεσχέθημεν. Εἰ δὲ καὶ μηδὲν ἦν ἐκείνων, τὸ ὑπόγυον τοῦτο, τὸ τολμηθὲν αὐτῷ, τίνι οὐκ ἂν φρίκην καὶ ἀποστροφὴν παντελῆ τοῦ ἀνδρὸς ἐνεποίησεν; ὅς γε, ὡς ἀκούω
C (εἴγε ἀληθὴς ὁ λόγος, καὶ μὴ πλάσμα ἐστὶν ἐπὶ διαβολῇ συντεθὲν), ὅτι καὶ ἀναχειροτονῆσαί τινας ἐτόλμησεν, ὃ μέχρι σήμερον οὐδεὶς τῶν αἱρετικῶν ποιήσας φαίνεται. Πῶς οὖν δυνατὸν πράως φέρειν ἡμᾶς τὰ τοιαῦτα, καὶ ἰάσιμα εἶναι νομίζειν τοῦ ἀνδρὸς τὰ ἁμαρτήματα; Μὴ τοίνυν ψευδέσι λόγοις παράγεσθε, μηδὲ ὑπονοίαις ἀνδρῶν πάντα εὐκόλως πρὸς τὸ κακὸν ἐκλαμβανόντων πείθεσθε, ὡς ἄρα ἡμεῖς ἀδιάφορα (8) τιθέμεθα τὰ τοιαῦτα. Γίνωσκε γὰρ, ποθεινότατε ἡμῖν καὶ τιμιώτατε, ὅτι οὔπω οἶδα τοσοῦτον πένθος ἄλλοτε τῇ ψυχῇ μου παραδεξάμενος, ὅσον νῦν, ὅτε ἤκουσα τῶν ἐκκλησιαστικῶν θεσμῶν τὴν σύγχυσιν. Ἀλλὰ μόνον εὔχου, ἵνα δῴη ἡμῖν ὁ Κύριος μηδὲν κατὰ θυμὸν ἐνεργεῖν, ἀλλ' ἔχειν τὴν ἀγάπην, ἥτις οὐκ ἀσχημονεῖ, οὐ φυσιοῦται. Ὅρα γὰρ
D ὅπως (9) οἱ μὴ ἔχοντες ταύτην ἐπήρθησαν μὲν ὑπὲρ τὰ μέτρα τὰ ἀνθρώπινα, ἐνασχημονοῦσι δὲ τῷ βίῳ, κατατολμῶντες πράξεων (10), ὧν ὁ παρελθὼν χρόνος οὐκ ἔχει τὰ ὑποδείγματα.

[18] Jer. XIII, 23. [19] Rom. XII, 19. [20] I Cor. XIII, 4.

(4) *Τῆς ἑαυτοῦ.* Ita tres vetustissimi codices cum Regio secundo. Editi τῆς αὐτοῦ. Paulo post editi ἐνσπείραντος. Tres iidem codices cum Clarom. et Reg. secundo ἐνσπείραντας.
(5) Vide Addenda.
(6) *Ἦν μόνου.* Ita Harl., Med., Coisl. uterque et Reg. secundus. Editi ἦν μόνον.
(7) *Συγγράψας.* Vide supra notas ad epistolam 24, quæ ad Athanasium Ancyranum scripta est.
(8) *Ἀδιάφορα.* Reg. secundus et Coisl. secundus ἀδιάφορον.
(9) *Ὅρα γὰρ ὅπως.* Ita mss. sex. Editi Ὅρα γὰρ πῶς.
(10) *Κατατολμῶντες πράξεων*, etc. Hoc reordinationis facinus, quod rumor ad Basilium detulerat, non videtur certis indiciis fuisse confirmatum.

ΕΠΙΣΤΟΛΗ ΡΛΑ'.

EPISTOLA CXXXI*.

Significat Basilius acceptum dolorem ex Eustathii calumniis. Hæc tribuit peccatis suis. Declarat se nec tres deos admittere, nec Apolinarii communionem amplecti, quamvis ad eum ante plures annos scripserit. Fusius diluet singulas criminationes, si opus erit.

Ὀλυμπίῳ (11).

1. Ὄντως ἡ τῶν ἀπροσδοκήτων ἀκοὴ ἱκανή ἐστι ποιῆσαι ἀνθρώπου (12) ἠχῆσαι ἀμφότερα τὰ ὦτα. Ὃ καὶ ἐμοὶ νῦν συνέβη. Εἰ γὰρ καὶ τὰ μάλιστα γεγυμνασμέναις μου λοιπὸν ταῖς ἀκοαῖς προσέπεσε (13) τὰ περιφερόμενα καθ' ἡμῶν ταῦτα συντάγματα, διὰ τὸ καὶ πρότερον αὐτὸν ἐμὲ δεδέχθαι τὴν ἐπιστολὴν, πρέπουσαν μὲν ταῖς ἐμαῖς ἁμαρτίαις, οὐ μὴν προσδοκηθεῖσάν ποτε γραφήσεσθαι παρὰ τῶν ἐπιστειλάντων· ἀλλ' ὅμως τὰ δεύτερα τοσαύτην ὑπερβολὴν ἐφάνη ἡμῖν ἔχειν ἐν ἑαυτοῖς τῆς πικρίας, ὥστε ἐπισκοτῆσαι τοῖς προλαβοῦσι. Πῶς γὰρ οὐ μικροῦ τῶν φρενῶν ἔξω ἐγενόμην τῶν ἐμαυτοῦ, ἐντυχὼν τῇ πρὸς τὸν εὐλαβέστατον ἀδελφὸν Δαζίναν (14) ἐπιστολῇ, μυρίων μὲν ὕβρεων καὶ κατηγοριῶν ἀφορήτων γεμούσῃ καθ' ἡμῶν καὶ ἐπαναστάσεων, ὡς ἐν τοῖς χαλεπωτάτοις ἡμῶν κατὰ τῆς Ἐκκλησίας βουλεύμασιν εὑρεθέντων; Εὐθὺς δὲ καὶ ἀποδείξεις τοῦ ἀληθεῖς εἶναι τὰς καθ' ἡμῶν βλασφημίας ἐπήχθησαν ἀπὸ συγγράμματος οὐκ οἶδα ὑπὸ τίνος γραφέντος. Μέρη μὲν γὰρ ἐπέγνων, ὁμολογῶ, παρὰ τοῦ (15) Λαοδικέως Ἀπολιναρίου γεγράφθαι, καὶ αὐτὰ οὐδὲ ἀναγνοὺς ἐξ ἔργου ποτὲ, ἀλλ' ἀκούσας ἑτέρων ἀπαγγειλάντων. Ἄλλα δέ τινα εὗρον ἐγγεγραμμένα, ἃ μήτε ἀνέγνων ποτὲ, μήτε ἑτέρου λέγοντος ἤκουσα· καὶ τούτων ὁ μάρτυς ἐν οὐρανῷ πιστός. Πῶς οὖν οἱ τὸ ψεῦδος (16) ἀποστρεφόμενοι, οἱ τὴν ἀγάπην πλήρωμα εἶναι τοῦ νόμου δεδιδαγμένοι, οἱ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν ἐπαγγελλόμενοι, ταύτας ἡμῖν κατεδέξαντο τὰς συκοφαντίας ἐπενεγκεῖν,

Olympio.

1. Idoneus certe rerum inopinarum auditus, ut tinnitum in utrisque hominis auribus efficiat. Quod et mihi nunc contigit. Etsi enim maxime jam exercitatis meis auribus acciderunt scripta illa, quæ in me circumferuntur, propterea quod et prius ego ipse epistolam accepi, meis quidem peccatis dignam, sed quam ab iis a quibus scripta est, nequaquam exspectassem; tamen posteriora tantum mihi visa sunt in se habere acerbitatis, ut obscurarent priora. Quomodo enim non fere de meæ mentis statu dejectus sum, cum in epistolam ad religiosissimum fratrem Dazinam scriptam incidi, innumeris contumeliis, intoleratisque in me accusationibus et assultibus refertam, quasi in deterrimis contra Ecclesiam consiliis deprehensus essem? Sed et statim argumenta, ut vera esse conjecta in nos probra viderentur, apposita sunt ex scriptis nescio a quo compositis. Ac partem quidem agnovi, fateor, ab Apolinario Laodicensi scriptam esse; neque tamen hoc ipsum dicta opera unquam legi, sed ex aliis audivi narrantibus. Alia vero nonnulla reperi ascripta, quæ nec unquam legi, nec alio referente audivi; atque horum testis est in cœlo fidelis. Quomodo igitur, qui mendacium aversantur, **224** qui charitatem complementum legis esse didicerunt, qui debilium infirmitates portare se profitentur, adduci potuerint, ut his nos calumniis appeterent, et ex alienis scriptioni-

Nulla enim illius mentio in aliis Basilii epistolis, quæ adversus Eustathium scriptæ sunt. Quod autem spectat ad alios hæreticos, non accuratissimum videtur, quod ait Basilius nulla apud eos exstare reordinationis exempla. Nam *exsecrabiles Ariani*, ut est in libello precum Fausti et Marcellini, *Biblioth. Patr.* tom. V, p. 655, *in partibus Orientis et maxime Ægypto non fuerunt hoc solo contenti, ut episcopi, damnata fide integra, in eorum impiam sententiam declinarent: sed hos ipsos qui primum fuerant per catholicos episcopos ordinati, ubi pro eorum desideriis subscripserunt, in laicorum numerum exigebant, et postea iterum eos iidem hæretici episcopos ordinabant, ut non solum fidem catholicam damnare viderentur, sed ordinationem factam per episcopos catholicos.* In eodem libello, p. 658 et 659, plebs Oxyrynchi communionem episcopi sui exsecrata dicitur, quia non solum impie subscripserat, sed etiam se a Georgio laicum fieri, et denuo episcopum ordinari passus fuerat. Hæc confirmari possunt ex epistola Constantii ad Auxumitanos principes, in qua jubet Constantius ut Frumentius Auxumeos episcopus quam primum mittatur in Ægyptum ad honoratissimum episcopum Georgium et alios Ægypti episcopos, quibus ordinandi et ejusmodi res dijudicandi major inest potestas, οἷ τοῦ χειροτονεῖν καὶ κρίνειν τὰ τοιαῦτα κύριοι μᾶλλόν εἰσιν. Addit postea, καὶ καταστήσεται παρ' αὐτῶν, εἰ μέλλοι τῷ ὄντι κατὰ τὸ δίκαιον ἐπίσκοπος εἶναι δοκεῖν, *et ab eis constituetur, si verus episcopus juxtaque leges ordinatus haberi velit*, Athanas., *Apol.*, p. 313. Videtur hoc Georgii scelus, quod sua sponte gravissimum erat, cum multis aliis sceleribus longe gravioribus adjunctum esset, minus insigne exstitisse, nec ad Basilii aures pervenisse.

(11) *Ὀλυμπίῳ*. Harl. et Regius primus τῷ αὐτῷ. In Harl. autem codice præcedunt epistolæ plures ad Olympium. At in Regio præcedit epistola 325, quæ scripta est ad Magninianum.

(12) *Ἀνθρώπου*. Reg. secundus, Bigot. et Coisl. secundus ἄνθρωπον.

(13) *Προσέπεσε*. Ita Harl. et Coisl. primus cum aliis nonnullis. Editi προσέπεσον.

(14) *Δαζίναν*. Med. et Clarom. Δεζίναν.

(15) *Παρὰ τοῦ*. Sic Reg. secundus et Coisl. secundus, Paris. et Harl. secunda manu. Editi περὶ τοῦ. Ibidem editi Ἀπολλιναρίου. Aliter scribitur hoc nomen in optimis quibusque codicibus, quos secuti sumus.

(16) *Τὸ ψεῦδος*. Præclare describitur speciosa illa pellis, qua se turpis introrsum Eustathius tegebat. Præ se enim ferebat maximum amorem veritatis, et mendacium vel in minimis rebus, ut *horribile quiddam*, aversari videbatur, nedum in gravissimis velle mentiri. Hoc ei testimonium tribuit in epist. 99 Basilius, qui, his artibus deceptus, et ex tota Eustathii vita conjecturam faciens, perinique illi notam mendacii a Theodoto Nicopolitano inuri contendebat. Unde etiam Eustathium sic compellat Basilius in epist. 223: *O vir amice veritatis, qui mendacium diaboli fetum esse didicisti.*

* Alias CCCLXXXII. Scripta anno 373.

bus condemnarent, multa mecum considerans, causam invenire non possum, nisi quod, id quod initio dixi, hujus etiam rei molestiam, pœnarum, quæ mihi ob peccata debitæ sunt, partem esse judicavi.

2. Nam primum quidem animo dolui, quod veritates a filiis hominum diminutæ sint : deinde vero egomet mihi timui, ne etiam aliis peccatis odium hominum adjicerem, nihil esse fidei in ullo prorsus homine existimans ; siquidem illi ipsi, quibus in maximis rebus confidebam, tales erga me, tales erga ipsam veritatem sese præbuerunt. Noveris igitur, frater, et quisquis veritatis amator, nec mea esse scripta, nec mihi probari, siquidem non ex mea sententia composita fuerunt. Quod si scripsi aliquando ante annos multos ad Apolinarium aut ad aliquem alium, accusari non debeo. Nam nec ipse accuso, si quis ex sodalitio aliquo in hæresim abscissus est (omnino autem homines novistis, tametsi nominatim non appello), quia unusquisque suo ipsius peccato morietur. Hæc quidem ad missum tomum respondi, ut et ipse veritatem intelligas, et iis qui veritatem in injustitia detinere nolunt, manifestam facias. Quod si fusius singulas criminationes diluere oportuerit, et hoc, adjuvante Deo, præstabo. Nos, frater Olympi, neque deos tres dicimus, nec cum Apolinario communicamus.

A καὶ ἀπ' ἀλλοτρίων (17) συγγραμμάτων ἡμᾶς καταχρῖναι (18), πολλὰ λογισάμενος κατ' ἐμαυτὸν, ἐπινοεῖν τὴν αἰτίαν οὐκ ἔχω, εἰ μὴ, ὅπερ ἐξ ἀρχῆς εἶπον, μέρος ἔκρινα εἶναι τῶν ὀφειλομένων μοι διὰ τὰς ἁμαρτίας κολάσεων, καὶ τὴν ἐπὶ τούτοις λύπην.

2. Πρῶτον μὲν γὰρ κατεπένθησα τῇ ψυχῇ, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων· ἔπειτα δὲ καὶ ἐφοβήθην αὐτὸς περὶ ἐμαυτοῦ, μή ποτε πρὸς ταῖς (19) ἄλλαις ἁμαρτίαις καὶ τὴν μισανθρωπίαν πάθω, οὐδὲν πιστὸν ἐν οὐδενὶ λογιζόμενος εἶναι, εἴπερ οἱ εἰς τὰ μέγιστα παρ' ἐμοῦ πιστευθέντες τοιοῦτοι μὲν περὶ ἐμὲ, τοιοῦτοι δὲ περὶ αὐτὴν ἐφάνησαν τὴν ἀλήθειαν. Γίνωσκε τοίνυν, ἀδελφὲ, καὶ πᾶς ὅστις τῆς ἀληθείας φίλος, μήτε ἐμὰ B εἶναι τὰ συντάγματα, οὔτε ἀρέσκεσθαι (20) αὐτοῖς, ἐπεὶ μὴ τῇ ἐμῇ γνώμῃ συγγεγράφθαι. Εἰ δὲ ἐπέστειλά ποτε πρὸ πολλῶν ἐνιαυτῶν (21) Ἀπολιναρίῳ ἢ ἄλλῳ τινὶ, ἐγκαλεῖσθαι οὐκ ὀφείλω. Οὔτε γὰρ αὐτὸς (22) ἐγκαλῶ, εἴ τις ἐκ τῆς ἑταιρίας τινὸς εἰς αἵρεσιν ἀπεσχίσθη (οἴδατε δὲ πάντως τοὺς ἄνδρας, κἂν ὀνομαστὶ μὴ λέγω), διότι ἕκαστος τῇ ἰδίᾳ ἁμαρτίᾳ ἀποθανεῖται. Ταῦτα νῦν μὲν ἀπεκρινάμην πρὸς τὸν ἀποσταλέντα τόμον (23)· ἵνα αὐτός τε εἰδείης τὴν ἀλήθειαν, καὶ τοῖς βουλομένοις μὴ κατέχειν ὡς ἐν ἀδικίᾳ (24) τὴν ἀλήθειαν φανερὰν καταστήσῃς· ἐὰν δὲ δέῃ καὶ πλατύτερον ὑπὲρ ἑκάστου τῶν ἐπενεχθέντων ἡμῖν ἀπολογήσασθαι, καὶ τοῦτο ποιήσομεν, τοῦ Θεοῦ συνεργοῦντος. Ἡμεῖς, ἀδελφὲ Ὀλύμπιε, οὔτε τρεῖς θεοὺς (25) λέγομεν, οὔτε Ἀπολιναρίῳ C κοινωνοῦμεν.

EPISTOLA CXXXII*.

ΕΠΙΣΤΟΛΗ ΡΛΒ'.

Cum varii de Abramio sermones essent, scribit ad eum Basilius statim ac audicit in ædibus Saturnini comitis Antiochiæ versari.

Abramio, episcopo Batnorum.

Quo in loco pietas tua versetur ab autumno prorsus ignoravi. Etenim incertos rumores repe-

Ἀβραμίῳ, ἐπισκόπῳ Βατνῶν.

Πάντα τὸν ἀπὸ τοῦ μετοπώρου χρόνον ἠγνόησα περὶ τῆς εὐλαβείας σου, ὅπου διάγεις. Καὶ γὰρ

* Alias CCCXV. Scripta anno 373.

(17) *Ἀπ' ἀλλοτρίων*. Coisl. primus ἐπ' ἀλλοτρίων.

(18) *Καταχρῖναι*. Harl., Reg. primus et Clarom. κατακρίνειν, et paulo post κατανοεῖν. Hic autem apposita erat in editis interrogationis nota, quam tollere satius esse existimavi ; neque tamen contendam, si quis apponendam judicet.

(19) *Πρὸς ταῖς*. Uterque Reg. et uterque Bigot. D cum Coisl. secundo μή ποτε προσθῶ ταῖς... μισανθρωπίαν οὐδέν.

(20) *Ἀρέσκεσθαι*. Ita octo mss. Editi ἀρκεῖσθαι. Ibidem tres vetustissimi codices ἐπεὶ μὴ τῇ ἐμῇ. Editi μηδὲ τῇ ἐμῇ, *nec ex mea sententia composita fuisse*.

(21) *Ἐνιαυτῶν*. Ita tres antiquissimi codices. Editi ἐτῶν.

(22) *Αὐτός*. Editi addunt ἐγώ, quod deest in sex nostris codicibus. Hic autem videtur Basilius Arium et Aetium designare, quorum primus Eustathii magister, alter discipulus fuerat, ut discimus ex epistolis 223 et 240.

(23) *Τόμον*. Editi post hanc vocem addunt ἀλλά, sed melius deest in tribus vetustissimis codicibus.

(24) *Ὡς ἐν ἀδικίᾳ*. Deest prima vocula in multis veteribus libris, non tamen in antiquissimis. Ibidem editi καταστήσας. Mss. ut in textu.

(25) *Τρεῖς θεούς*. Sæpe alias hunc trium deorum errorem Catholicis Ariani affinxerunt. Hunc Gregorius Nazianzenus, orat. 1, et 29, p. 16, et 489, refellit, ut a nonnullis propugnatum, quos nimis orthodoxos vocat. Sed tamen, cum nulla exstent sæculo quarto hujus erroris vestigia, credere malim ita locutum esse Gregorium, non quod ipse hujus hæresis sectatores deprehendisset, sed quod ea de re, quæ rem causamque non continebat, cum Arianis litigare nollet. Sic Basilius inter ea, quæ Eustathio subscribenda proponit in epist. 125, non omittit *fugiendos esse eos qui Filium Patri, et Filio Spiritum sanctum præponunt*. At id Basilius videtur potius concessisse Eustathio, quam sua sponte necessarium duxisse. Neque enim probabile est hoc errore quemquam insaniisse : sed Eustathius et alii Pneumatomachi hanc notam inurere tentabant veritatis defensoribus, ac in primis Basilio qui calumniam a se propulsat in epist. 251. Simile exemplum suppeditant Apolinaristæ, qui ut catholico dogmati invidiam crearent, duos Filios ab adversariis suis admitti et Mariam hominiparam dici fingebant. Gregorius Nazianzenus hunc errorem recens exortum esse dicit in orat. 14, p. 221. Nyssenus vero ut commentitium et ab Apolinaristis impudenter fictum explodit in epist. ad Eustathium, tom. III, p. 660.

πεπλανημένας τὰς φήμας εὕρισκον, τῶν μὲν ἀπαγγελλόντων ἐν Σαμοσάτοις διατρίβειν σου τὴν εὐλάβειαν, τῶν δὲ ἐν τῇ χώρᾳ· ἄλλων δὲ περὶ τὰς Βάτνας αὐτὰς διαβεβαιουμένων ἑωρακέναι· διὸ οὐδὲ συνεχῶς ἐπέστειλα. Νῦν δὲ, μαθὼν ἐν Ἀντιοχείᾳ διάγειν, ἐν τῇ οἰκίᾳ τοῦ αἰδεσιμωτάτου Σατορνίνου τοῦ κόμητος, ἔδωκα τὴν ἐπιστολὴν προθύμως τῷ ποθεινοτάτῳ καὶ εὐλαβεστάτῳ ἀδελφῷ Σαγκτισσίμῳ τῷ συμπρεσβυτέρῳ (26), δι' οὗ προσφθέγγομαί σου τὴν ἀγάπην, παρακαλῶν, ὅπουπερ ἂν ᾖς, μεμνῆσθαι μάλιστα μὲν τοῦ Θεοῦ, εἶτα καὶ ἡμῶν, οὓς ἀγαπᾷν ἐξ ἀρχῆς προείλου, καὶ ἔχειν ἐν τοῖς οἰκειοτάτοις ἀριθμουμένους.

riebam, aliis te Samosatis commorari nuntiantibus, aliis rure, aliis vero te circa Batnas ipsas visum a se esse affirmantibus: quapropter haud crebro scripsi. Nunc autem simul ut didici te Antiochiæ versari in ædibus colendissimi 225 Saturnini comitis, dedi epistolam libenter desideratissimo ac religiosissimo fratri Sanctissimo compresbytero: per quem saluto dilectionem tuam, obsecrans ut ubicunque fueris, in primis quidem memineris Dei, deinde et nostri, quos ab initio diligere statuisti, et inter maxime necessarios numerare.

ΕΠΙΣΤΟΛΗ ΡΛΓ'.

EPISTOLA CXXXIII*.

Petrum salutat et hortatur, ut, quemadmodum cæterarum rerum, ita etiam Athanasii in se amoris successor sit, et fraternitatis ubique diffusæ curam eodem studio, ac beatissimus ille vir, suscipiat.

Πέτρῳ, ἐπισκόπῳ Ἀλεξανδρείας.

Τῆς μὲν σωματικῆς φιλίας ὀφθαλμοὶ πρόξενοι γίνονται, καὶ ἡ διὰ μακροῦ χρόνου ἐγγινομένη συνήθεια βεβαιοῖ· τὴν δὲ ἀληθινὴν ἀγάπην ἡ τοῦ Πνεύματος δωρεὰ συνίστησι, συνάπτουσα μὲν τὰ μακρῷ διεστῶτα τόπῳ, γνωρίζουσα δὲ ἀλλήλοις τοὺς ἀγαπητούς, οὐ διὰ σωματικῶν χαρακτήρων, ἀλλὰ διὰ τῶν τῆς ψυχῆς (27) ἰδιωμάτων. Ὃ δὴ καὶ ἐφ' ἡμῶν ἡ τοῦ Κυρίου χάρις ἐποίησε, παρασχομένη ἡμᾶς ἰδεῖν σε τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς, καὶ περιπτύξασθαί σε τῇ ἀγάπῃ τῇ ἀληθινῇ, καὶ οἱονεὶ συμφυῆναί σοι, καὶ πρὸς μίαν ἐλθεῖν ἕνωσιν ἐκ τῆς κατὰ τὴν πίστιν κοινωνίας. Πεπείσμεθα γάρ σε ἀνδρὸς τοσούτου θρέμμα ὑπάρχοντα, καὶ τὴν ἐκ παλαιοῦ διατριβὴν μετ' αὐτοῦ λαχόντα, τῷ αὐτῷ πορεύεσθαι πνεύματι, καὶ τοῖς αὐτοῖς στοιχεῖν τῆς εὐσεβείας δόγμασι. Διὸ καὶ προσφθεγγόμεθά σου τὴν τιμιότητα, καὶ παρακαλοῦμεν μετὰ τῶν ἄλλων καὶ τὴν περὶ ἡμᾶς διάθεσιν τοῦ μεγάλου ἀνδρὸς διαδέξασθαι· ἐπιστέλλειν τε ἡμῖν συνήθως τὰ κατὰ σαυτὸν, καὶ ἐπιμελεῖσθαι τῆς πανταχοῦ ἀδελφότητος τοῖς αὐτοῖς σπλάγχνοις καὶ τῇ αὐτῇ προθυμίᾳ (28), ᾗ καὶ ὁ μακαριώτατος ἐκεῖνος περὶ πάντας ἐχρῆτο τοὺς ἀγαπῶντας τὸν Θεὸν ἐν ἀληθείᾳ.

Petro, episcopo Alexandriæ.

Corporalis quidem amicitiæ conciliatores sunt oculi, eamque diuturna consuetudo confirmat. Sed veram charitatem donum Spiritus constituit, conjungens longo distantia locorum intervallo, ac amicis præstans ut sese invicem cognoscant, non corporeis notis, sed animæ proprietatibus. Quod ipsum et in nobis Domini gratia perfecit, largiens ut te videremus animi oculis, teque amplecteremur vera dilectione, ac veluti cohæreremus tibi, et in unam veniremus unionem ex fidei communione. Nobis enim est persuasum te, viri talis alumnum, et longa illius consuetudine usum, eodem incedere spiritu, eademque pietatis dogmata sequi. Quapropter et tuam saluto præstantiam, obtestorque ut cum cæteris rebus etiam magni illius viri in nos amorem excipias, mihique sæpe de tuis rebus scribas, et curam suscipias fraternitatis ubique diffusæ, visceribus iisdem ac studio eodem, quo et beatissimus ille vir in omnes, qui Deum in veritate diligunt, usus est.

ΕΠΙΣΤΟΛΗ ΡΛΔ'.

EPISTOLA CXXXIV**.

Gratias agit quod nuper scripserit. Hortatur ut sæpius scribat. Negat se copiam habere librarii aut notarii.

Παιονίῳ πρεσβυτέρῳ.

Ὅσον ηὔφρανας ἡμᾶς τοῖς γράμμασιν, εἰκάζεις που πάντως αὐτοῖς οἷς ἐπέστειλας· οὕτω τὸ καθαρὸν τῆς καρδίας, ἀφ' ἧς προῆλθεν ἐκεῖνα τὰ ῥήματα, ἀκριβῶς ἐκ τῶν γραμμάτων κατεμηνύετο. Καὶ γὰρ ὀλκὸς (29) μὲν ὕδατος δείκνυσι τὴν οἰκείαν πηγὴν, λόγου δὲ φύσις τὴν προενεγκοῦσαν αὐτὸν καρδίαν χαρακτηρίζει. Ὥστε ἄτοπόν τε καὶ πολὺ τοῦ εἰκότος παρηλλαγμένον πεπονθέναι ὁμολογῶ. Σπουδάζων γὰρ ἀεὶ γράμμασιν ἐντυγχάνειν τῆς τελειότητός σου, ἐπειδὴ ἔλαβον εἰς χεῖρας τὴν ἐπιστολὴν, καὶ ἀν-

Pæonio presbytero.

Quantopere me litteris oblectaveris, profecto ex iis quæ scripsisti conjecturam facis: adeo puritas cordis, ex quo verba illa profluxere, accurate ex litteris perspiciebatur. Nam aquarum rivulus fontem suum indicat; sermonis autem natura pectus, unde emanavit, depingit ac designat. Quare absurdum quiddam et a verisimili longe alienum mihi fateor evenisse. Cum enim tuas semper litteras legere percuperem, ubi epistolam in manus sumpsi, ac legi, iis quæ scripta erant non sum

(26) *Συμπρεσβυτέρῳ.* Editi addunt ἡμῶν, quod deest in omnibus codicibus mss.

(27) *Τῆς ψυχῆς.* Sic Coisl. primus et Med. Editi τῆς ἀρετῆς, *virtutis proprietatibus.*

(28) *Προθυμίᾳ.* Ita iidem duo vetustissimi codices, multo melius quam alii et editi προμηθείᾳ, quæ tamen scriptura legitur ad marginem codicis Coisliniani.

(29) *Ὀλκός.* Ante hanc vocem editi habent καί, sed abest ab antiquissimis codicibus et pluribus aliis.

* Alias CCCXX. Scripta anno 373.

** Alias CCCXLI. Scripta anno 373.

delectatus magis, quam dolui, jacturam considerans, quanta nobis per silentii tempus evenerit. Sed quia scribere cœpisti, hoc facere ne intermittas; nam magis delectabis, quam qui multas pecunias avaris mittunt. Scriptor autem nullus **226** mihi aderat, neque ex iis qui eleganter scribunt, neque ex iis qui velociter. Nam quos exercueram, horum alii ad pristinum vitæ genus rediere; alii vero diuturnis morbis afflictati labores ferre non possunt.

A ἔγνων αὐτήν, οὐχ ἥσθην μᾶλλον τοῖς ἐπεσταλμένοις ἢ ἠνιάθην, τὴν ζημίαν, ὁπόση γέγονεν ἡμῖν κατὰ τὸν τῆς σιωπῆς χρόνον, διαλογιζόμενος. Ἀλλ' ἐπειδὴ ἤρξω γράφειν, μὴ διαλίπῃς (30) τοῦτο ποιῶν. Εὐφρανεῖς γὰρ πλέον ἢ οἱ τὰ πολλὰ χρήματα τοῖς φιλοπλούτοις διαπεμπόμενοι. Τῶν δὲ γραφέων οὐδείς μοι παρῆν, οὔτε τῶν καλλιγραφούντων οὔτε τῶν ταχυγράφων. Οὓς γὰρ ἔτυχον ἐξασκήσας, οἱ μὲν ἀνέδραμον ἐπὶ τὴν πρώτην τοῦ βίου συνήθειαν, οἱ δὲ ἀπειρήκασι πρὸς τοὺς πόνους, χρονίαις ἀῤῥωστίαις κεκακωμένοι.

EPISTOLA CXXXV*.

ΕΠΙΣΤΟΛΗ ΡΛΕ'.

Basilius ingenue exponit quid de duobus libris a Diodoro compositis sentiat, et de dialogis scribendis multa peracute observat. Sperat Diodorum plura scripturum: ipse vero tantum se a scribendo, quantum a valetudine et otio remotum esse dicit. Primum librum remittit; alterum retinet, volens describere, nec copiam habens tachygraphi.

Diodoro, Antiochiæ presbytero.

1. Legi missos a tua præstantia libros. Et secundo quidem valde oblectatus sum, non solum propter brevitatem, ut par erat hominem jam ad omnia segniter et debiliter sese habentem, verum etiam quod simul et frequens est sententiis, ac perspicue tum adversariorum objecta, tum etiam objectis responsa continet: et simplex nec elaboratum dicendi genus congruere mihi visum est Christiani proposito, non tam ad ostentationem, quam ad communem utilitatem scribentis. Prior vero, vim quidem eamdem in rebus habens, sed dictione uberiore et variis figuris ac dialogorum gratiis exornatus, multo mihi visus est et tempore ad legendum et mentis labore ad colligendas sententias ac memoria tenendas indigere. Adversariorum enim intertextæ vituperationes, laudesque nostrorum, etsi quasdam ex dialogo suavitates operi videntur afferre; quia tamen detinent et morantur, continuationem sententiæ divellunt, atque contentiosæ orationis firmitatem relaxant. Illud enim omnino solertiæ tuæ notum est, eos etiam ex philosophis exteris qui dialogos scripsere, Aristotelem quidem et Theophrastum statim res ipsas attigisse, quod conscii sibi essent deesse sibi lepores Platonicos. Plato autem ea est dicendi facultate, ut simul et sententias impugnet, et personas comico more describat, Thrasymachi quidem temeritatem ac impudentiam vituperans, Hippiæ vero levitatem mentis atque ignaviam, arrogantiam quoque et fastum Protagoræ. Ubi vero indefinitas personas in dialogos introducit, utitur quidem personis disserentibus ad rerum perspicuitatem, sed nihil aliud ex personis admiscet argumentis: id quod in *Legibus* præstitit.

B *Διοδώρῳ, πρεσβυτέρῳ Ἀντιοχείας* (31).

1. Ἐνέτυχον τοῖς ἀποσταλεῖσι βιβλίοις παρὰ τῆς τιμιότητός σου. Καὶ τῷ μὲν δευτέρῳ ὑπερήσθην, οὐ διὰ τὴν βραχύτητα μόνον, ὡς εἰκὸς ἦν τὸν ἀργῶς πρὸς πάντα καὶ ἀσθενῶς λοιπὸν διακείμενον, ἀλλ' ὅτι πυκνόν τε ἅμα ἐστὶ ταῖς ἐννοίαις, καὶ εὐκρινῶς ἐν αὐτῷ ἔχουσιν αἵ τε ἀντιθέσεις τῶν ὑπεναντίων, καὶ αἱ πρὸς αὐτὰς ἀπαντήσεις· καὶ τὸ τῆς λέξεως ἁπλοῦν τε καὶ ἀκατάσκευον πρέπον ἔδοξέ μοι εἶναι (32) προθέσει Χριστιανοῦ, οὐ πρὸς ἐπίδειξιν μᾶλλον ἢ κοινὴν ὠφέλειαν συγγράφοντος (33). Τὸ δὲ πρότερον, τὴν μὲν δύναμιν ἔχον τὴν αὐτὴν ἐν τοῖς πράγμασι, λέξει δὲ πολυτελεστέρᾳ καὶ σχήμασι ποικίλοις καὶ διαλογικαῖς χάρισι κεκομψευμένον, πολλοῦ μοι ἐφάνη καὶ χρόνου πρὸς τὸ ἐπελθεῖν (34), C καὶ πόνου διανοίας πρὸς τὸ καὶ συλλέξαι τὰς ἐννοίας, καὶ παρακατασχεῖν αὐτὰς τῇ μνήμῃ δεόμενον. Αἱ γὰρ ἐν τῷ μεταξὺ παρεμβαλλόμεναι διαβολαὶ τῶν ὑπεναντίων, καὶ συστάσεις τῶν ἡμετέρων, εἰ καὶ γλυκύτητάς τινας ἐπεισάγειν δοκοῦσι διαλεκτικὰς (35) τῷ συγγράμματι· ἀλλ' οὖν τῷ σχολὴν καὶ διατριβὴν ἐμποιεῖν, διασπῶσι μὲν τὸ συνεχὲς τῆς ἐννοίας, καὶ τοῦ ἐναγωνίου λόγου τὸν τόνον ὑποχαυνοῦσιν. Ἐκεῖνο γὰρ πάντως συνεῖδέ (36) σου ἡ ἀγχίνοια, ὅτι καὶ τῶν ἔξωθεν φιλοσόφων οἱ τοὺς διαλόγους συγγράψαντες, Ἀριστοτέλης μὲν καὶ Θεόφραστος, εὐθὺς αὐτῶν ἥψαντο τῶν πραγμάτων, διὰ τὸ συνειδέναι ἑαυτοῖς τῶν Πλατωνικῶν χαρίτων τὴν ἔνδειαν· Πλάτων δὲ τῇ ἐξουσίᾳ τοῦ λόγου ὁμοῦ μὲν τοῖς δόγμασι μάχεται, ὁμοῦ δὲ καὶ παρακωμῳδεῖ τὰ πρόσωπα, D Θρασυμάχου μὲν τὸ θρασὺ καὶ ἰταμὸν διαβάλλων, Ἱππίου δὲ τὸ κοῦφον τῆς διανοίας καὶ χαῦνον, καὶ Πρωταγόρου τὸ ἀλαζονικὸν καὶ ὑπέρογκον. Ὅπου δὲ ἀόριστα πρόσωπα ἐπεισάγει τοῖς διαλόγοις, τῆς μὲν εὐκρινείας ἕνεκεν τῶν πραγμάτων κέχρηται τοῖς προσδιαλεγομένοις (37), οὐδὲν δὲ ἕτερον ἐκ τῶν προσώπων ἐπεισκυκλεῖ ταῖς ὑποθέσεσιν· ὅπερ ἐποίησεν ἐν τοῖς *Νόμοις*.

* Alias CLXVII. Scripta anno 373.

(30) *Μὴ διαλίπῃς*. Multi codices non vetustissimi μὴ διαλίποις.

(31) *Διοδώρῳ*. Coisl. primus et Med. Θεοδώρῳ.

(32) *Εἶναι*. Hanc vocem addidimus ex Med., Harl., Coisl. primo et utroque Regio.

(33) *Συγγράφοντος*. Ita tres vetustissimi codices. Editi γράφοντος.

(34) *Ἐπελθεῖν*. Sic mss. sex pro eo quod erat in editis ἐξελθεῖν, vel ut in editione 2 Paris. ἐπεξελθεῖν.

(35) *Γλυκύτητας... διαλεκτικάς*. Med. et Harl. prima manu γλυκυτάτας... διαλέξεις.

(36) *Συνεῖδε*. Harl. σύνοιδε, sed secunda manu

(37) *Προσδιαλεγομένοις*. Tres codices non vetustissimi προδιαλεγομένοις.

2. Δεῖ οὖν καὶ ἡμᾶς τοὺς οὐ κατὰ φιλοτιμίαν A ἐρχομένους ἐπὶ τὸ γράφειν, ἀλλ' ὑποθήκας καταλιμπάνειν ὠφελίμων λόγων τῇ ἀδελφότητι προελομένους, ἐὰν μέν τι πᾶσι προκεκηρυγμένον ἐπὶ αὐθαδείᾳ τρόπου πρόσωπον ὑποβαλλώμεθα (38), τινὰ καὶ ἀπὸ προσώπου ποιότητος παραπλέκειν τῷ λόγῳ, εἴπερ ὅλως ἐπιβάλλει ἡμῖν διαβάλλειν ἀνθρώπους, τῶν πραγμάτων ἀφεμένους (39). Ἐὰν δὲ ἀόριστον ᾖ τὸ διαλεγόμενον, αἱ πρὸς τὰ πρόσωπα διαστάσεις (40) τὴν μὲν συνάφειαν διακόπτουσι, πρὸς οὐδὲν δὲ πέρας χρήσιμον ἀπαντῶσι (41). Ταῦτα εἶπον ἵνα δειχθῇ, ὅτι οὐκ εἰς κόλακος χεῖρας ἀπέστειλάς σου τοὺς πόνους, ἀλλὰ ἀδελφῷ τῷ γνησιωτάτῳ ἐκοινώνησας τῶν καμάτων. Εἶπον δὲ οὐ πρὸς ἐπανόρθωσιν τῶν γεγραμμένων, ἀλλὰ πρὸς φυλακὴν τῶν μελλόντων. Πάντως γὰρ ὁ τοσαύτῃ περὶ τὸ γράφειν ἕξει καὶ σπουδῇ B κεχρημένος οὐκ ἀποκνήσει γράφων· ἐπειδὴ οὐδὲ οἱ (42) τὰς ὑποθέσεις παρέχοντες ἀπολήγουσιν. Ἡμῖν δὲ ἀρκέσει μὲν ἀναγινώσκειν τὰ ὑμέτερα· τοῦ δὲ δύνασθαι γράφειν τι (43), τοσοῦτον ἀποδέομεν, ὅσον μικροῦ δέω λέγειν, καὶ τοῦ ὑγιαίνειν, ἢ καὶ τοῦ μετρίαν σχολὴν ἄγειν ἀπὸ τῶν πραγμάτων. Ἀπέστειλα δὲ νῦν διὰ τοῦ ἀναγνώστου τὸ μεῖζον καὶ πρότερον, ἐπελθὼν αὐτὸ ὡς ἐμοὶ δυνατόν. Τὸ δὲ δεύτερον (44) παρακατέσχον, βουλόμενος αὐτὰ μεταγράψαι, καὶ μὴ εὐπορῶν τέως τινὸς τῶν εἰς τάχος γραφόντων. Μέχρι γὰρ τοσαύτης ἦλθε πενίας τὰ ἐπίφθονα Καππαδοκῶν.

2. Oportet itaque et nos, qui non gloriæ studio ad scribendum ducimur, sed documenta relinquere utilium sermonum fraternitati instituimus, si quam omnibus jam decantatam ex morum pervicacia personam subjiciamus, nonnulla etiam ex personæ indole orationi attexere; si tamen nobis omnino decorum est homines vituperare, rebus omissis. Sed si indefinitæ **227** sint personæ disserentes, illi adversus personas excursus intercidunt continuationem, nec ad ullum finem utilem pertingunt. Hæc eo dixi, ut exploratum sit, te non misisse labores tuos in adulatoris manus, sed cum fratre maxime ingenuo communicasse. Dixi autem non ad eorum quæ scripta sunt correctionem, sed ad eorum quæ scribentur, cautionem. Nam profecto qui tanta in scribendo facultate et diligentia utitur, non deterrebitur a scribendo; quandoquidem et qui suppeditant argumenta, minime cessant. Nobis autem satis erit vestra legere: tantum enim abest ut scribere possimus, quantum ferme dixerim, ut valeamus, aut vel modicum otium habeamus a negotiis. Remisi autem nunc per lectorem majus ac primum volumen, a me, quantum mihi licuit, perlectum. Alterum vero retinui volens describere, nec copiam hactenus habens cujusquam, qui velociter scribat. Ad tantam enim penuriam invidendæ Cappadocum res devenere.

ΕΠΙΣΤΟΛΗ ΡΛϚʹ.

EPISTOLA CXXXVI*.

Morbum suum describit Basilius, queritur res ecclesiasticas dilapsas esse et proditas. Jamdudum Eusebium invisisset, nisi eum detinuisset per duos menses Eustathii diaconi morbus, ac deinde alii, qui cum Basilio erant, ægrotassent, ac postremo ipse Basilius.

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων. C

Eusebio, episcopo Samosatorum.

1. Ἐν οἵοις ἡμᾶς ὄντας κατέλαβεν ὁ χρηστὸς Ἰσαάκης (45), αὐτός σοι ἄμεινον διηγήσεται, εἰ καὶ μὴ ἀρκοῦσαν ἔχει τὴν γλῶσσαν, ὥστε τραγικῶς ἐξαγγεῖλαι τὸ ὑπεραῖρον τῶν παθῶν· τοσοῦτον ἦν τῆς ἀῤῥωστίας τὸ μέγεθος. Καὶ τὸ εἰκὸς δὲ παντὶ γνώριμον, τῷ ἐμὲ καὶ κατὰ βραχὺ ἐπισταμένῳ. Εἰ γὰρ ἐν τῇ δοκούσῃ εὐεξίᾳ τῶν ἀπεγνωσμένων πρὸς τὸ ζῆν ἀσθενέστερον διεκείμην, γινώσκειν ἔξεστι τίς ἂν ἤμην ἐπὶ τῆς ἀῤῥωστίας. Καίτοιγε ἐχρῆν (δὸς γὰρ τῷ πυρετῷ συγγνώμην ἐρεσχελοῦντι), ἐπειδή μοι κατὰ φύσιν ἦν τὸ νοσεῖν, ἐν τῇ μεταβολῇ ταύτῃ (46) τῆς ἕξεως ὑγείας μοι νῦν τὸ κράτιστον περιεῖναι.

1. Quo in statu deprehenderit nos vir probus Isaaces, ipse tibi melius enarrabit, licet lingua illius par non sit, ut tragice exponat quæ majorem in modum patiebar: tanta erat morbi magnitudo. Sed tamen quid verisimile sit, quisquis me vel paululum novit, perspicere potest. Nam, si dum videbar valere, iis, quorum desperatur salus, infirmior eram, qualis in morbo fuerim cognoscere licet. Quanquam oportebat (da enim veniam febri ineptienti), cum mihi morbus secundum naturam esset, in hac habitus mutatione nunc me in præclarissima valetudine constitui. Sed quia Domini

(38) *Ὑποβαλλώμεθα.* Post hanc vocem editi addunt χρή, quæ vox cum perincommode posita sit, quia δεῖ paulo ante præcessit, nec in Harl. codice reperiatur, nisi secunda manu, merito visa est delenda. Ibidem Vat. et Coisl. secundus et duo Regii codices: χρή τινα καὶ ἀπὸ προσώπου πεποιημένα.

(39) *Ἀφεμένους.* Ita tres vetustissimi codices cum duobus aliis. Editi immutatione prorsus inutili ἀφεμένοις.

(40) *Διαστάσεις.* Ita Med., Coisl. uterque, Harl. prima manu et Reg. secundus. Editi διαστάσεις.

(41) *Ἀπαντῶσι.* Post hoc verbum editi addunt τοῦ λόγου. Sed hæc desunt in sex mss. et in prima editione Basileensi.

(42) *Οὐδὲ οἱ.* Editi καὶ οἱ... οὐκ ἀπολήγουσιν. D Sed sequi maluimus tres optimos et vetustissimos libros.

(43) *Γράφειν τι.* Voculam addidimus ex Med., Harl., Coisl. utroque et Reg. secundo

(44) *Δεύτερον.* Editiones Parisienses addunt καὶ μικρότερον, sed hæc in nullo codice ms. reperimus, neque etiam occurrunt in editionibus Basileensibus.

(45) *Ἰσαάκης.* Ita Coisl. primus, Harl., Med. et Reg. primus et Bigot. alter. Editi Ἰσαάκιος. Quatuor alii mss. Ἰωσάκης.

(46) *Ταύτῃ.* Quatuor mss. non vetustissimi ταύτης. Mox editi παρεῖναι. Tres vetustissimi codices cum pluribus aliis περιεῖναι.

* Alias CCLVII. Scripta anno 373.

flagellum est, quod accessionibus pro merito nostro dolores intendit, in morbum ex morbo incidi, adeo ut quod inde consequitur, vel puero manifestum sit, nostrum illud integumentum necessario solutum iri; nisi forte Dei benignitas tempus nobis pro sua patientia ad pœnitentiam concedens, efficiat etiam nunc, ut sæpe antea, solutionem quamdam et exitum ex malis inextricabilibus. Atque hæc quidem, ut ei gratum et nobis utile, ita se habebunt.

2. Res autem ecclesiasticæ quomodo dilapsæ et proditæ sint, dum nos propriæ securitatis causa quæ ad proximum attinent negligimus, ac ne hoc quidem intelligere possumus, rebus communibus male cadentibus, privatas etiam simul perire, quid attinet vel dicere? Præsertim **228** ad te, qui cuncta longe ante prævidens et in antecessum testatus es et declarasti, et prior ipse exsurrexisti, et alios excitasti, litteras scribens, coram accedens, quid non agens, quam vocem non emittens! Quorum quidem meminimus, ut quæque res evenit, sed inde nihil jam adjuvamur. Nunc autem, nisi mihi mea peccata obstitissent (ac primum quidem religiosissimus ac dilectissimus frater noster Eustathius condiaconus in morbum gravem delapsus, totos me duos menses distinuit, dum diem ex die valetudinem illius exspecto: deinde qui mecum sunt omnes ægrotarunt, quorum reliquias narrabit frater Isaaces; postremo tandem ego ipse hoc sum morbo correptus), jamdudum apud tuam præstantiam forem, non rebus communibus quidpiam afferens emolumenti, sed mihimetipsi lucrum non parvum ex tuo congressu conciliians. Etenim statueram extra ecclesiastica esse tela, eo quod imparati simus adversus ea quæ struuntur ab adversariis. Servet te omnibus hominibus magna Dei manus, generosum fidei custodem, ac vigilantem Ecclesiarum defensorem, dignosque nos efficiat, qui tuo congressu ac colloquio ante obitum ad animarum nostrarum utilitatem potiamur.

Ἀλλ' ἐπειδὴ μάστιξ τοῦ Κυρίου ἐστὶ προσθήκαις ταῖς κατὰ τὴν ἡμετέραν ἀξίαν τὸ ἀλγεινὸν ἐπιτείνουσα, ἀσθένειαν ἐπὶ τῇ ἀσθενείᾳ προσεκτησάμην, ὥστε τὸ ἀπὸ τούτου καὶ παιδὶ φανερὸν εἶναι, ὅτι πᾶσα ἀνάγκη οἰχήσεσθαι ἡμῖν τὸ ἔλυτρον τοῦτο (47)· πλὴν εἰ μή που ἄρα ἡ τοῦ Θεοῦ φιλανθρωπία, ἡμῖν ἐν τῇ μακροθυμίᾳ αὐτοῦ χρόνους εἰς μετάνοιαν χαριζομένη, ποιήσειε καὶ νῦν, ὡς καὶ πολλάκις πρότερον, λύσιν τινὰ καὶ πόρον ἐκ τῶν ἀμηχάνων δεινῶν (48). Ταῦτα μὲν οὖν ἕξει, ὡς αὐτῷ φίλον καὶ ἡμῖν συμφέρον.

2. Τὰ δὲ τῶν ἐκκλησιῶν, ὅπως οἴχεται καὶ προπέποται, ἡμῶν τῆς οἰκείας ἀσφαλείας ἕνεκεν τὰ τῶν πλησίον περιορώντων, καὶ οὐδὲ τοῦτο συνορᾷν δυναμένων, ὅτι τῇ τοῦ κοινοῦ κακοπραγίᾳ (49) καὶ τὸ καθ' ἕκαστον συναπόλλυται, τί χρὴ καὶ λέγειν; Ἄλλως τε καὶ πρὸς ἄνδρα, ὃς, πόῤῥωθεν ἕκαστα προειδὼς, καὶ προδιεμαρτύρω καὶ προεκήρυξας, καὶ αὐτός τε προεξανέστης, καὶ τοὺς λοιποὺς συνεπήγειρας, ἐπιστέλλων, αὐτὸς παραγινόμενος, τί οὐ ποιῶν, τίνα φωνὴν οὐκ ἀφιείς! Ὧν μεμνήμεθα μὲν ἐφ' ἑκάστῳ τῶν ἐκβαινόντων, ὠφελούμεθα δὲ ἀπ' αὐτῶν οὐκέτι. Καὶ νῦν εἰ μὴ αἱ ἁμαρτίαι ἀντέστησάν μοι καὶ τὸ μὲν πρῶτον (50) ὁ εὐλαβέστατος καὶ ἀγαπητὸς ἀδελφὸς ἡμῶν Εὐστάθιος ὁ συνδιάκονος, εἰς νόσον χαλεπὴν καταπεσὼν, εἰς ὅλους με δύο παρέτεινε μῆνας, ἡμέραν ἐξ ἡμέρας τὴν σωτηρίαν αὐτοῦ περιμένοντα· ἔπειτα δὲ οἱ σὺν ἐμοὶ πάντες ἠσθένησαν, ὧν τὰ μὲν καταλείμματα ἐξαριθμήσεται ὁ ἀδελφὸς Ἰσαάκης· τὸ δὲ τελευταῖον αὐτὸς ἐγὼ τῇ νόσῳ κατεσχέθην ταύτῃ· ἐπεὶ πάλαι ἂν ἤμην παρὰ τὴν σὴν τιμιότητα, οὐχ ὄφελός τι τοῖς κοινοῖς παρεχόμενος, ἀλλ' ἐμαυτῷ μέγα κέρδος ἐκ τῆς συντυχίας σου κτώμενος. Καὶ γὰρ ἐγνώκειν ἔξω τῶν ἐκκλησιαστικῶν γενέσθαι βελῶν διὰ τὸ ἀφύλακτον ἡμῶν πρὸς τὰ σκευωρούμενα (51) παρὰ τῶν ἐναντίων. Σώζοι σε τῷ βίῳ παντὶ ἡ μεγάλη τοῦ Θεοῦ χεὶρ, τὸν γενναῖον φύλακα τῆς πίστεως, καὶ νήφοντα τῶν Ἐκκλησιῶν προστάτην· καὶ καταξιώσειεν ἡμᾶς πρὸ τῆς ἐξόδου τῆς συντυχίας σου ἐπ' ὠφελείᾳ τῶν ψυχῶν ἡμῶν.

(47) *Τοῦτο*. Ita mss. quatuor. Editi τούτου. Desunt hoc loco multæ voces in Med., Harl. et Coisl. primo, in quibus legitur οἰχήσεται, ac statim, cæteris omissis, ἐν τῇ μακροθυμίᾳ.

(48) *Δεινῶν*. Coisl. primus κακῶν.

(49) *Κακοπραγίᾳ*. Reg. secundus et Coisl. secundus δυσπραγίᾳ.

(50) *Τὸ μὲν πρῶτον*. Ita mss. Editio 1 Paris. τὸ μὴ πρῶτον.

(51) *Σκευωρούμενα*. Harl., Paris. et Clarom. σκαιωρούμενα. Hujus loci, qui subobscurus est, ea videtur esse sententia. Non dicit Basilius sibi in votis esse iter Samosatense, ut extra tela inimicorum sit. Quomodo enim tutior fuisset in extera regione? Metuendum potius erat ne in gregem eo absente lupi irruerent; quod periculum episcopis diu absentibus imminere ait pluribus locis. Rationem ergo reddit, cur colloquium et conspectum Eusebii non ad communem utilitatem, sed ad propriam profuturum speraret. Cum enim ei mutuas operas episcopi ad communem utilitatem non traderent, imparem se videbat evertendis adversariorum consiliis, satisque magnum sibi facturus videbatur, si sibi ipse consulens extra eorum tela esset, seque eorum subduceret furori, id quod etiam testatur supra in epistola ad Urbicium monachum. Sic animo affectus Samosatam cogitabat non communis, sed propriæ utilitatis causa. Nihil prorsus vidit in hoc loco Combefisius, qui sic interpretandum docet: *Putaveram esse me extra ecclesiasticorum tela*, etc.

ΕΠΙΣΤΟΛΗ ΡΛΖ'. — EPISTOLA CXXXVII*.

...silus cum jam totum mensem aquis calidis curaretur, hac utitur excusatione, cur, Antipatro gubernacula capessente, adesse non possit. Rogat ut judicium de quodam Palladiæ propinquæ suæ negotio in adventum suum differatur.

Ἀντιπάτρῳ.

Νῦν μοι δοκῶ μάλιστα ἐπαισθάνεσθαι τῆς ζημίας, ἣν ὑπομένω διὰ τὸ ἀῤῥωστεῖν· ὁπότε, ἀνδρὸς τοιούτου τὴν πατρίδα ἡμῶν ἐφέποντος, αὐτὸς ἀπεῖναι διὰ τὴν ἐπιμέλειαν τοῦ σώματος ἀναγκάζομαι. Μῆνα γὰρ ὅλον ἤδη προσκαθέζομαι (52) τῇ ἐκ τῶν αὐτοφυῶς θερμῶν (53) ὑδάτων θεραπείᾳ, ὡς δή τι ὄφελος ἐντεῦθεν ἕξων. Ἔοικα δὲ διακενῆς πονεῖν ἐπὶ τῆς ἐρημίας, ἢ καὶ γέλωτος τοῖς πολλοῖς ἄξιος εἶναι φαίνεσθαι, μηδὲ τῆς παροιμίας ἀκούων τῆς οὐδὲν τὰ θερμῶν ὄφελος εἶναι τοῖς τεθνηκόσι λεγούσης. Ὥσπερ καὶ οὕτως ἔχων βούλομαι πάντα παρεὶς καταλαβεῖν σου τὴν σεμνοπρέπειαν· ὥστε τῶν ἐν σοὶ καλῶν ἀπολαύειν, καὶ τὰ κατὰ τὸν οἶκον τὸν ἐμαυτοῦ πράγματα διὰ τῆς σῆς ὀρθότητος εὐπρεπῶς διαθέσθαι. Ἐμὸς γάρ ἐστιν ἴδιος ὁ τῆς σεμνοτάτης μητρὸς ἡμῶν Παλλαδίας οἶκος· ἣν οὐ μόνον ἡ τοῦ γένους οἰκειότης ἡμῖν συνάπτει, ἀλλὰ καὶ τὸ τοῦ τρόπου δεξιὸν ἀντὶ μητρὸς ἡμῖν εἶναι πεποίηκεν. Ἐπεὶ οὖν κεκίνηταί τις ταραχὴ περὶ τὸν οἶκον αὐτῆς, ἀξιοῦμέν σου τὴν μεγαλόνοιαν μικρὸν ὑπερθέσθαι τὴν ἐξέτασιν, καὶ ἀναμεῖναι ἡμῶν τὴν παρουσίαν, οὐχ ὥστε διαφθαρῆναι τὸ δίκαιον (μυριάκις γὰρ ἂν ἀποθανεῖν ἑλοίμην, ἢ τοιαύτην αἰτῆσαι χάριν παρὰ ἑκάστου φίλου τοῖς νόμοις καὶ τῷ δικαίῳ), ἀλλ' ὥστε ἃ οὐχ εὐπρεπὲς ἐμοὶ γράφειν, ταῦτα ἀπὸ στόματος ἐπαγγέλλοντός μου μαθεῖν. Οὕτω γὰρ οὔτε αὐτὸς τῆς ἀληθείας διαμαρτήσῃ, οὔτε ἡμεῖς πεισόμεθά τι τῶν ἀβουλήτων. Δέομαι οὖν, τοῦ προσώπου ἐν ἀσφαλείᾳ ὄντος καὶ κατεχομένου παρὰ τῆς τάξεως, ἀνεπαχθῆ ταύτην χάριν καὶ ἀνεπίφθονον ἡμῖν καταθέσθαι.

A *Antipatro.*

Nunc mihi videor maxime sentire damnum quod ex morbo patior, quando, tanto viro patriæ nostræ gubernacula capessente, ipse abesse ob curationem corporis cogor. Jam enim totum mensem aquis natura calidis curor, ut inde aliquid utilitatis accepturus. Videor autem frustra laborare in solitudine, vel etiam dignus esse quem plerique rideant, ut qui ne proverbium quidem intelligam, quod mortuos calidis non juvari dicit. Quapropter, quanquam ita me habeo, prætermissis rebus omnibus, ad tuam amplitudinem proficisci volo, ut bonis quæ in te sunt, perfruar, et domus meæ rebus, per integritatem tuam, ut par est, consulam. Propria enim mea est matris nostræ colendissimæ Palladiæ domus : quam non solum generis propinquitas nobis conjungit, sed etiam morum probitas fecit, ut matris loco eam haberemus. B Cum igitur tumultus quidam circa illius domum commotus sit, rogamus tuam magnanimitatem, ut paulisper disquisitionem differas, adventumque nostrum exspectes, non ut jus corrumpatur (millies enim mori mallem, quam ejusmodi gratiam a judice **229** legum jurisque amante exposcere), sed ut ea quæ a me scribi non decet, me referente ex meo ipsius ore discas. Nam hoc pacto neque tu a veritate aberrabis, neque nos quidquam molesti patiemur. Rogo igitur, ut, cum persona in tuto posita sit atque a cohorte detineatur, hanc gratiam molestia et invidia carentem nobis non deneges. C

ΕΠΙΣΤΟΛΗ ΡΛΗ'. — EPISTOLA CXXXVIII**

Morbum suum, cujus tum quinquagesimus erat dies, excusat, cur in Syriam proficisci non possit, quamvis hujus rei cupidissimus sit, ut consiliis Eusebii ad multa, quæ scribere non licet, utatur. Interim nuntiat ei quid Evagrius Roma rediens proposuerit. Narrat Sebastenos detecto ulcere Eustathii ad se confugere, seque ab Iconiensibus advocari, ut episcopum illis det, mortuo Faustino. His de rebus consilium exquirit Eusebii.

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

1. Τίνα με οἴει ψυχὴν ἐσχηκέναι, ὅτε τὴν ἐπιστολὴν ἐδεξάμην τῆς θεοσεβείας σου; Εἰ μὲν γὰρ πρὸς τὴν ἐν τῷ γράμματι ἀπεῖδον διάθεσιν, εὐθὺς ὥρμων ἵπτασθαι τὴν εὐθὺς Σύρων· εἰ δὲ πρὸς τὴν ἀῤῥωστίαν τοῦ σώματος, ὑφ' ἧς πεπεδημένος ἐκείμην, ᾐσθανόμην οὐχὶ τοῦ πέτεσθαι μόνον, ἀλλὰ καὶ τοῦ ἐπὶ τῆς κλίνης στρέφεσθαι ἐνδεῶς ἔχων. Πεντηκοστὴν γὰρ ταύτην ἡμέραν ἦγον ἐν τῇ ἀῤῥωστίᾳ, καθ' ἣν ἐπέστη ἡμῖν ὁ ἀγαπητὸς καὶ σπουδαιότατος ἀδελφὸς ἡμῶν συνδιάκονος Ἐλπίδιος· πολλὰ μὲν τῷ πυρετῷ δαπανηθείς· ὅς, ἀπορίᾳ τῆς τρεφούσης αὐτὸν

Eusebio, episcopo Samosatorum.

1. Quo me animo putas fuisse, cum epistolam accepi pietatis tuæ? Si enim ad studium quod mihi in epistola significasti, respiciebam, statim ut recta ad Syros convolarem, incitabar; sin autem ad corporis imbecillitatem, qua constrictus D decumbebam, non modo id mihi deesse sentiebam, ut volare possem, sed etiam ut me in lecto convertere. Nam quinquagesimum hunc diem agebam in infirmitate, cum advenit nobis dilectus ac optimus frater noster condiaconus Elpidius. Multum quidem febre eram confectus : quæ nutriente ma-

(52) Ἤδη προσκαθέζομαι. Ita Harl. et Med. cum tribus aliis. Deerat ἤδη in editis, et legebatur προσκαθέζομαι.

(53) θερμῶν. Deest ea vox in codicibus Med et Coisl. primo. Sed cum illud, αὐτοφυῶν θερμῶν, quod est in aliis mss. et editis, vitiosum sit, legere non dubitavi αὐτοφυῶς, ut in epistola sequenti ad Eusebium, omnibus codicibus mss. et editis consentientibus, legitur.

* Alias CCCLXVI. Scripta anno 373.

** Alias VIII. Scripta anno 373.

teria destituta, et in arida hac carne velut in exusto quodam ellychnio circumvoluta, marcorem ac longam ægritudinem peperit. Deinde vero antiqua mea plaga, jecur illud accedens, exclusit me a cibis, expulit ab oculis somnum, et in confiniis detinuit vitæ ac mortis, tantum vivere sinens, quantum opus erat ad sentiendos dolores, quibus me exstimulabat. Quare et aquis usus sum natura calidis, et nonnulla a medicis remedia accepi. Omnia autem superavit ingens illud malum, quod quidem, si adsit consuetudo, forte alius perferat, subito autem inflictum nullus adeo adamantinus ut sustineat. A quo diu vexatus, nunquam tantum dolui, quantum nunc ab eo impeditus, quominus in sinceræ tuæ dilectionis congressum colloquiumque veniam. Quali enim sim animi voluptate privatus, novi et ipse, etsi extremo digito dulcissimum Ecclesiæ vestræ mel anno præterito degustavi.

2. Mihi autem et ob alia necessaria negotia opus erat, tuam ut pietatem convenirem, ac de multis communicarem, et multa discerem. Neque enim licet hic veram charitatem deprehendere. Quod si quis etiam omnino amantem inveniat, tamen nemo est, qui possit æque ac perfecta tua prudentia atque experientia, quam ex multis pro Ecclesiis laboribus consecutus es, consilium nobis de rebus propositis dare. Ac cætera quidem scribere non licet: quæ vero vel proferre tutum sit, hæc sunt. Presbyter Evagrius, Pompeiani Antiochensis filius, qui **230** quondam in Occidentem cum beato Eusebio profectus fuerat, rediit nunc Roma, petens a nobis epistolam, ad verbum ipsa illa quæ ab eis scripta sunt, continentem (nostra autem nobis retro retulit, ut viris illic accuratioribus non placentia), ac legationem aliquam per viros fide dignos celeriter mitti, ut speciosam illi occasionem habeant nos invisendi. Qui Sebastiæ idem ac nos sentiunt, occulto pravæ opinionis Eustathii ulcere detecto, aliquam a nobis ecclesiasticam sollicitudinem exposcunt. Iconium civitas est Pisidiæ, olim quidem post primam maxima, nunc vero et ipsa præsidet ei parti, quæ ex diversis segmentis com-

A ὕλης, τῇ ξηρᾷ ταύτῃ σαρκὶ, οἷον θρυαλλίδι κεκαυμένῃ περιειλούμενος, μαρασμὸν (54) καὶ χρονίαν ἐπήγαγεν ἀῤῥωστίαν· τὰ δὲ ἐφεξῆς, ἡ ἀρχαία πληγή μου, τὸ ἧπαρ τοῦτο διαδεξάμενον, ἀπέκλεισε μὲν με τῶν σιτίων, ἀπεδίωξε δὲ τῶν ὀμμάτων τὸν ὕπνον, ἐν μεθορίοις δὲ κατέσχε ζωῆς καὶ θανάτου, τοσοῦτον ζῆν ἐπιτρέπον (55), ὅσον τῶν ἀπ' αὐτοῦ δυσχερῶν ἐπαισθάνεσθαι. Ὥστε καὶ ὕδασιν ἐχρησάμην αὐτοφυῶς θερμοῖς, καί τινας παρ' ἰατρῶν ἐπιμελείας κατεδεξάμην. Ἅπαντα δὲ ἤλεγξε τὸ νεανικὸν τοῦτο κακόν· ὃ, τοῦ μὲν ἔθους παρόντος, κἂν ἄλλος ἐνέγκοι (56), ἀμελετήτως δὲ προσπεσόντος, οὐδεὶς οὕτως ἀδαμάντινος ὥστε ἀντισχεῖν. Ὑφ' οὗ πολὺν ὀχληθεὶς χρόνον, οὐδέποτε οὕτως ἠνιάθην, ὅσον νῦν, ἐμποδισθεὶς παρ' αὐτοῦ πρὸς τὴν συντυχίαν τῆς ἀληθινῆς B ἀγάπης σου. Οἵας γὰρ ἀπεστερήθημεν (57) θυμηδίας, οἶδα καὶ αὐτὸς, εἰ καὶ ἄκρῳ δακτύλῳ τοῦ γλυκυτάτου μέλιτος τῆς παρ' ὑμῖν Ἐκκλησίας ἀπεγευσάμην πέρυσιν.

2. Ἐγὼ δὲ καὶ ἄλλων ἀναγκαίων ἕνεκεν πραγμάτων ἐδεόμην εἰς ταυτὸν (58) γενέσθαι τῇ θεοσεβείᾳ σου, καὶ περὶ πολλῶν μὲν ἀνακοινώσασθαι, πολλὰ δὲ μαθεῖν. Καὶ γὰρ οὐδέ ἐστιν ἐνταῦθα οὐδὲ ἀγάπης ἀληθινῆς ἐπιτυχεῖν. Ὅταν δὲ καὶ πάνυ τις ἀγαπῶντα εὕροι (59), οὐκ ἔστιν ὁ δυνάμενος παραπλησίως τῇ τελείᾳ σου φρονήσει καὶ τῇ ἐμπειρίᾳ, ἣν ἐκ πολλῶν τῶν περὶ τὰς ἐκκλησίας συνελέξω καμάτων, δοῦναι γνώμην ἡμῖν περὶ τῶν προκειμένων. Τὰ μὲν οὖν ἄλλα οὐκ ἐνῆν γράφειν· ἃ δ' οὖν καὶ C ἐξενεγκεῖν ἀσφαλὲς, ταῦτά ἐστιν. Ὁ πρεσβύτερος Εὐάγριος, ὁ υἱὸς Πομπηϊανοῦ τοῦ Ἀντιοχέως, ὁ συναπάρας ποτὲ ἐπὶ τὴν δύσιν τῷ μακαρίῳ (59*) Εὐσεβίῳ ἐπανῆκε νῦν ἐκ τῆς Ῥώμης, ἀπαιτῶν ἡμᾶς ἐπιστολὴν, αὐτὰ τὰ παρ' ἐκείνων γεγραμμένα ἔχουσαν αὐτολεξεὶ (ἀνεκόμισε δὲ ἡμῖν εἰς τοὐπίσω τὰ παρ' ἡμῶν, ὡς οὐκ ἀρέσαντα τοῖς ἀκριβεστέροις τῶν ἐκεῖ), καὶ πρεσβείαν τινὰ δι' ἀνδρῶν ἀξιολόγων ἤδη κατεπείγεσθαι, ὑπὲρ τοῦ εὐπρόσωπον ἔχειν ἀφορμὴν τοὺς ἄνδρας τῆς ἐπισκέψεως ἡμῶν. Οἱ κατὰ Σεβάστειαν τὰ ἡμέτερα φρονοῦντες, Εὐσταθίου τὸ ὕπουλον τῆς κακοδοξίας ἕλκος ἀπογυμνώσαντες, ἀπαιτοῦσί τινα παρ' ἡμῶν ἐκκλησιαστικὴν (60) ἐπιμέλειαν. Ἰκόνιον πόλις ἐστὶ τῆς Πισιδίας, τὸ μὲν παλαιὸν μετὰ τὴν μεγίστην

(54) *Μαρασμόν*. Ita Harl. et Med. Editi μερασμώδη. Coisl. primus et Reg. secundus μαρασμώδη.

(55) *Ἐπιτρέπον*. Ita mss., melius quam editi ἐπιτρέπων.

(56) *Ἐνέγκοι*. Ita mss. octo. Editio Hagan. ἐνέγκοις. Aliæ ἤνεγκεν.

(57) *Ἀπεστερήθημεν*. Sic duo antiquissimi codices Harl. et Coisl. primus. Editi ἀπεστερήθην. Paulo post quatuor codices recentiores ἀπεγευσάμεθα.

(58) *Εἰς ταυτόν*. Harl. εἰς ταυτό. Paulo post editi Καὶ γὰρ οὐδέν. Sex mss. et editio Hagan. ut in textu.

(59) *Εὕροι*. Sic tres vetustissimi codices. Editi εὕρῃ.

(59*) *Μακαρίῳ*. Quatuor codices non vetustissimi addunt ἀνδρί. Paulo post editio Basileensis secunda et Parisienses ἤτει κατεπείγεσθαι. Septem mss. et vetustiores editiones ut in textu. Qui contextum D emendare voluerunt, cum minus animadverterent illud ἤδη ἐπείγεσθαι referri ad verbum ἀπαιτῶν quod præcedit, posuerunt ἤτει pro ἤδη. Lucem attulimus ope parenthesis. Vide Addenda.

(60) *Ἐκκλησιαστικήν*. Editio Parisiensis addit αὐτῶν, quæ vox melius et elegantius deest in aliis editionibus et mss. Perspicimus ex epistola 151, multos Sebastiæ a communione Eustathii secessisse. Hi ad Basilium, ut primatum in has regiones habentem, confugerunt. Cura autem ecclesiastica, quam a Basilio petunt, interdum eo spectat, ut pulso episcopo alius ordinetur; velut cum Xystus III, epist. 1, p. 1235, minatur episcopis hæresi faventibus: *Ecclesiarum ab ipsis occupatarum curam fore, si non ipsi sibi consuluerint*. At Sebasteni non videntur id petiisse; neque enim sub Valente fieri potuisset; sed Basilio regendos se ac gubernandos, ut episcopo carentes, commisisse.

ἡ πρώτη, νῦν δὲ καὶ αὐτὴ προκάθηται (61) μέρους, A ἐκ διαφόρων τμημάτων συναχθὲν, ἐπαρχίας ἰδίας οἰκονομίαν ἐδέξατο. Αὕτη καλεῖ (62) καὶ ἡμᾶς εἰς ἐπίσκεψιν, ὥστε αὐτῇ δοῦναι ἐπίσκοπον. Τετελεύτηκε γὰρ ὁ Φαυστῖνος. Εἰ οὖν δεῖ μὴ κατοκνεῖν τὰς ὑπερορίους χειροτονίας, καὶ ποίαν τινὰ χρὴ δοῦναι τοῖς Σεβαστηνοῖς ἀπόκρισιν, καὶ πῶς πρὸς τὰς τοῦ Εὐαγρίου διατεθῆναι γνώμας· ἐδεόμην διδαχθῆναι αὐτὸς δι' ἐμαυτοῦ συντυχὼν τῇ τιμιότητί σου, ὧν πάντων (63) ἀπεστερήθην διὰ τὴν παροῦσαν ἀσθένειαν. Ἐὰν μὲν οὖν ᾖ τινος ἐπιτυχεῖν ταχέως πρὸς ἡμᾶς ἀφικνουμένου, καταξίωσον περὶ πάντων ἀποστεῖλαί μοι τὰς ἀποκρίσεις· εἰ δὲ μὴ, εὖξαι ἐλθεῖν ἐπὶ νοῦν μοι, ὅπερ εὐάρεστον ᾖ τῷ Κυρίῳ. Ἐν δὲ τῇ συνόδῳ μνήμην ἡμῶν κέλευσον γενέσθαι, καὶ αὐτὸς δὲ πρόσευξαι ὑπὲρ ἡμῶν, καὶ τὸν λαὸν συμπαράλαβε (64), ἵνα B τὰς λειπομένας ἡμέρας ἢ ὥρας τῆς παροικίας ἡμῶν καταξιωθῶμεν δουλεῦσαι, ὡς ἔστιν εὐάρεστον τῷ Κυρίῳ.

posita, propriæ provinciæ sortita est gubernationem. Ipsa et nos invitat, ut se invisamus, ut episcopum ei demus. Mortuus est enim Faustinus. An igitur ordinationes peregrinas oporteat non detrectare, qualemque oporteat dare Sebastenis responsionem, et quomodo erga Evagrii consilia affici par sit, edoceri ipse per me volebam, conveniens tuam præstantiam : quibus omnibus præsens me infirmitas privavit. Si quem ergo nactus fueris cito ad nos venientem, dignare de omnibus mihi responsa mittere : sin minus, precare in mentem mihi veniat quod fuerit Deo acceptum. In conventu autem mentionem nostri jube fieri, et ipse quoque precare pro nobis, et populum tibi adjunge, ut reliquos dies aut horas peregrinationis nostræ servire, ut Domino gratum est, nobis donetur.

ΕΠΙΣΤΟΛΗ ΡΛΘ'.

EPISTOLA CXXXIX*.

Alexandrinos oblata occasione Eugenii monachi consolatur Basilius, et ad constantiam gravissima persecutione vexatos hortatur. Libenter eos inviseret, nisi morbo et Luporum metu abesse prohiberetur.

Τοῖς Ἀλεξανδρεῦσιν

1. Ἡμᾶς μὲν ἡ ἀκοὴ τῶν γεγενημένων κατά τε τὴν Ἀλεξάνδρειαν καὶ τὴν λοιπὴν Αἴγυπτον διωγμῶν πάλαι κατέλαβε, καὶ διέθηκε τὰς ψυχὰς, ὡς εἰκὸς ἦν. Ἐλογισάμεθα γὰρ τὸ ἔντεχνον τοῦ διαβολικοῦ πολέμου· ὃς, ἐπειδὴ (65) εἶδεν ἐν τοῖς παρὰ τῶν ἐχθρῶν (66) διωγμοῖς πληθυνομένην τὴν Ἐκκλησίαν καὶ μᾶλλον θάλλουσαν, μετέστρεψεν ἑαυτοῦ τὴν βουλὴν (67), καὶ οὐκέτι ἐκ τοῦ προφανοῦς πολεμεῖ, ἀλλὰ κεκρυμμένα ἡμῖν τὰ ἔνεδρα τίθησι, καλύπτων αὐτοῦ τὴν ἐπιβουλὴν διὰ τοῦ ὀνόματος ὃ περιφέρουσιν, ἵνα καὶ πάθωμεν τὰ αὐτὰ τοῖς πατράσιν ἡμῶν, καὶ μὴ δόξωμεν πάσχειν ὑπὲρ Χριστοῦ, διὰ τὸ Χριστιανῶν ὄνομα ἔχειν καὶ τοὺς διώκοντας. Ταῦτα λογιζόμενοι πολὺν χρόνον ἐκαθέσθημεν, ἐπὶ τῇ ἀγγελίᾳ τῶν γεγενημένων (68) ἐκπεπληγμένοι. Καὶ γὰρ τῷ ὄντι ἤχησαν ἡμῶν ἀμφότερα τὰ ὦτα, μαθόντα τὴν ἀναιδῆ καὶ μισάνθρωπον αἵρεσιν τῶν διωξάντων ὑμᾶς· ὅτι οὐχ ἡλικίαν ᾐδέσθησαν, οὐ τοὺς

Alexandrinis.

1. Ad nos quidem jamdudum persecutionum, quæ Alexandriæ ac in reliqua Ægypto factæ sunt, rumor ac fama pervenit, atque, ut par erat, animos nostros affecit. Perspeximus enim astutiam belli diabolici, qui, ubi vidit in hostium persecutionibus multiplicari Ecclesiam ac magis florere, mutavit C suum ipsius consilium, nec jam aperte bellum gerit, sed occultas nobis insidias struit, obtegens callidam nocendi voluntatem nomine quod circumferunt, **231** ut et patiamur eadem quæ patres nostri, nec videamur pati pro Christo, eo quod Christianorum nomen habeant et ipsi persecutores. Hæc considerantes diu sedimus, nuntio rerum gestarum obstupefacti. Revera namque insonuerunt utræque nostræ aures, cum didicimus impudentem atque inhumanam hæresim persecutorum vestrorum, qui non ætatem reveriti sunt, non labores vitæ pie actæ, non amorem populorum ; imo vero

(61) *Προκάθηται*. Tres mss. non vetustissimi πρώτη κάθηται.

(62) *Καλεῖ*. Harl. et Coisl. primus κεκλήκει. Med. κεκίνηκεν.

(63) *Ὧν πάντων*. Harl. prima manu et Med. ὡς πάντων.

(64) *Συμπαράλαβε*. Rogat Eusebium Basilius, ut præter consuetas orationes unam aliquam pro se indicat, et populo ipse præeat; velut cum Athanasius dicebat : *Precemur pro salute religiosissimi imperatoris Constantii :* statimque populus una voce acclamavit : *Christe, auxiliare Constantio*. (*Apol. ad Constant.*, n. 10.) Fiebant interdum ejusmodi extra ordinem preces. Audierat Joannes Hierosolymitanus S. Epiphanium sic pro eo in sacrificiis solitum precari : *Domine, præsta Joanni ut recte credat*. Fatetur Epiphanius in epistola ad eumdem Joannem se corde quidem sic semper orasse; sed negat se ejusmodi preces in alienas aures protulisse; sed tantummodo in completa oratione secundum ritum mysteriorum et pro omnibus et pro Joanne quoque dicere : *Custodi illum, qui prædicat veritatem*, vel certe ita : *Tu præsta, Domine, ut ille verbum prædicet veritatis*. Non videtur Epiphanius ante has preces D populum admonuisse. At Basilius rogat Eusebium ut id non omittat.

(65) *Ὃς, ἐπειδή*. Ita vetustissimi duo codices Med. et Coisl. In Harlæano non exstat hæc epistola. Editi πῶς, ἐπειδή.

(66) *Τῶν ἐχθρῶν*. Vaticanus et quatuor alii codices habent τῶν ἐθνῶν, *in gentium persecutionibus*. Sed tamen quia Medicæus codex et Coisl. primus retinent vulgatam lectionem, quæ sua sponte vitiosa non est, nihil mutandum existimavi.

(67) *Ἑαυτοῦ τὴν βουλήν*. Ita sex mss. pro eo quod erat in editis αὐτοῦ τὴν ἐπιβουλήν. Habet etiam Vaticanus codex αὐτοῦ τὴν βουλήν. Paulo post Coisl. primus κεκρυμμένας τὰς ἐνέδρας. Ibidem Coisl. secundus et tres Regii καλύπτων αὐτῶν.

(68) *Γεγενημένων*. Coisl. secundus et tres Regii γενομένων. Paulo post editi τὰ ὦτα, μαθόντων. Med. et Coisl. primus ut in textu.

* Alias LXXI. Scripta anno 373.

cruciarunt corpora, affeceruntque ignominia, et in exsilium ejecerunt, et quorum bona invenire potuerunt, ea diripuere : neque hominum veriti improbationem, neque horrendam justi Judicis remunerationem prævidentes. Hæc nos perculserunt, et propemodum mente emoverunt. Ad has autem cogitationes illa etiam accessit : Num Dominus Ecclesias suas reliquit? num novissima hora est, et defectio per hæc ingreditur, ut reveletur tandem iniquus ille, filius perditionis qui adversatur, et effertur adversus omnem qui dicitur Deus aut numen [21]?

2. Sed tamen sive temporaria est ista tentatio, ferte illam, boni Christi athletæ : sive etiam res summo interitui traditæ sunt, animo ne concidamus ob præsentia, sed exspectemus e cœlis revelationem, et adventum magni Dei et Salvatoris nostri Jesu Christi. Etenim, si creatura omnis dissolvetur, et transmutabitur mundi hujus figura, quid mirum est nos quoque, qui rerum creatarum pars sumus, communibus malis affici, ac tradi afflictionibus, quas pro virium nostrarum modulo infligit nobis justus Judex, non tentari nos sinens supra id quod possumus, sed dans una cum tentatione exitum, ut perferre possimus [22]? Exspectant vos, fratres, martyrum coronæ ; parati sunt confessorum chori manus vobis porrigere, inque suum numerum recipere. Memineritis veterum sanctorum, quorum nemo deliciis inserviens, aut adulationibus delinitus, coronas patientiæ consecutus est ; sed omnes, per magnas afflictationes quasi per ignem tentati, experimentum sui dederunt. Alii enim ludibriis et flagris probati sunt, alii dissecti sunt, alii denique occisione gladii occubuerunt [23]. Hæ sunt gloriationes sanctorum. Beatus qui dignus habetur qui patiatur pro Christo. Beatior qui majora patitur, quandoquidem afflictiones temporis præsentis dignæ non sunt quæ comparentur cum gloria quæ deinceps revelabitur in nobis [24].

ἐν τῇ πολιτείᾳ (69) καμάτους, οὐ λαῶν ἀγάπην· ἀλλὰ καὶ ᾐκίσαντο τὰ σώματα, καὶ ἠτίμωσαν, καὶ ἐξορίαις παρέδωκαν, καὶ διήρπασαν τὰς ὑπάρξεις ὧν εὑρεῖν ἠδυνήθησαν· οὔτε τὴν παρὰ ἀνθρώπων κατάγνωσιν (70) ἐντρεπόμενοι, οὔτε τὴν φοβερὰν τοῦ δικαίου Κριτοῦ ἀνταπόδοσιν προορώμενοι. Ταῦτα ἡμᾶς ἐξέπληξε, καὶ μικροῦ ἔξω ἐποίησε τῶν λογισμῶν. Συνεισῆλθε δὲ τούτοις τοῖς διαλογισμοῖς κἀκείνη ἡ ἔννοια· Ἆρα μὴ ἐγκατέλιπεν ἑαυτοῦ τὰς Ἐκκλησίας παντελῶς ὁ Κύριος; ἆρα μὴ ἐσχάτη ὥρα ἐστὶ, καὶ ἡ ἀποστασία διὰ τούτων λαμβάνει τὴν εἴσοδον, ἵνα λοιπὸν ἀποκαλυφθῇ ὁ ἄνομος, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος, καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα;

2. Πλὴν εἴτε πρόσκαιρός ἐστιν ὁ πειρασμὸς, βαστάσατε αὐτὸν, οἱ καλοὶ τοῦ Χριστοῦ ἀγωνισταί· εἴτε καὶ τῇ παντελεῖ φθορᾷ τὰ πράγματα παραδίδοται (71), μὴ ἀκηδιάσωμεν πρὸς τὰ παρόντα, ἀλλ' ἀναμείνωμεν τὴν ἐξ οὐρανῶν ἀποκάλυψιν καὶ ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰ γὰρ πᾶσα ἡ κτίσις λυθήσεται, καὶ μεταποιηθήσεται τὸ σχῆμα τοῦ κόσμου τούτου, τί θαυμαστὸν καὶ ἡμᾶς, μέρος ὄντας τῆς κτίσεως, παθεῖν τὰ κοινὰ πάθη, καὶ παραδοθῆναι θλίψεσιν, ἃς κατὰ τὸ μέτρον τῆς δυνάμεως ἡμῶν (72) ἐπάγει ἡμῖν ὁ δίκαιος Κριτὴς, οὐκ ἐῶν ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ διδοὺς σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δυνηθῆναι ὑπενεγκεῖν; Ἀναμένουσιν ὑμᾶς, ἀδελφοὶ, οἱ τῶν μαρτύρων στέφανοι· ἕτοιμοί εἰσιν οἱ χοροὶ τῶν ὁμολογητῶν προτεῖναι ὑμῖν τὰς χεῖρας, καὶ ὑποδέξασθαι ὑμᾶς εἰς τὸν ἴδιον ἀριθμόν. Μνήσθητε τῶν πάλαι ἁγίων, ὅτι οὐδεὶς τρυφῶν, οὐδὲ κολακευόμενος (73), τῶν στεφάνων τῆς ὑπομονῆς ἠξιώθη· ἀλλὰ πάντες, διὰ μεγάλων θλίψεων πυρωθέντες (74), τὸ δοκίμιον ἐπεδείξαντο. Οἱ μὲν γὰρ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἄλλοι δὲ (75) ἐπρίσθησαν, οἱ δὲ ἐν φόνῳ μαχαίρας ἀπέθανον. Ταῦτά ἐστι τὰ σεμνολογήματα τῶν ἁγίων. Μακάριος ὁ καταξιωθεὶς τῶν ὑπὲρ Χριστοῦ παθημάτων. Μακαριώτερος δὲ ὁ πλεονάσας ἐν τοῖς παθήμασι· διότι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι (76) εἰς ἡμᾶς.

[21] II Thess. II, 4. [22] I Cor. x, 13. [23] Hebr. XI, 35-37. [24] Rom. VIII, 18.

(69) *Πολιτείᾳ*. Ita Med. et Coisl. uterque cum duobus Regiis. Edd. πολιᾷ, *labores in canitie*. Non omnino displicet vulgata scriptura : confirmari enim posset ex epistola Petri Alexandrini apud Theodoretum, *Hist.*, lib. IV, c. 22, ex qua discimus Arianorum furorem in novemdecim presbyteros et diaconos, quorum nonnulli octogesimum annum excesserant, exarsisse. Sed præferenda videtur codicum mss. auctoritas. His enim verbis, *non ætatem reveriti sunt*, satis indicavit Basilius nefaria hæreticorum facinora in senes et pueros; nam ne pueris quidem pepercerunt. Quamobrem legendum duximus ἐν τῇ πολιτείᾳ, *labores vitæ pie institutæ*, id est, vitæ monasticæ sanctitatem. Ex iis enim qui custodiæ mancipati, verberati, lacerati, torti, ad Phennensia et Proconnesia metalla damnati sunt, plerosque monachos fuisse docet epistola modo citata. Non dissimulabo τοὺς ἐν τῇ πολιτείᾳ καμάτους, de laboribus in reipublicæ administratione susceptis intelligi posse; sed magis placet prima interpretatio.

(70) *Κατάγνωσιν*. Med. et Coisl. 1 κατάκρισιν.

(71) *Παραδίδοται*. Ita Med. et Coisl. primus cum pluribus aliis. Editi παραδίδονται.

(72) *Ἡμῶν*. Ita mss. Editio prima Paris. ἡμᾶς. In vetustioribus deest. Paulo post editio 1 Paris. δυνηθῆναι ἡμῶν, secunda δυνηθῆναι ἡμᾶς. Deest ultima vox in quatuor mss. Med. et Coisl. primo et duobus Regiis et antiquis editionibus.

(73) *Οὐδὲ κολακευόμενος*. Ita Med. et Coisl. primus cum pluribus aliis. Editi οὐ κολακευόμενος. Secunda Paris. ἢ κολακευόμενος.

(74) *Πυρωθέντες*. Ita Coisl. uterque cum tribus Regiis. Editio Hagan. πορωθέντες. Basil. et Paris. πορευθέντες. Ibidem Reg. secundus ὑπεδέξαντο, *acceperunt*.

(75) *Ἄλλοι δέ*, etc. Sic Vat. et Coisl. secundus cum tribus Regiis. Editi ἄλλοι δὲ ἐπειράσθησαν, ἐπρίσθησαν, ἐν φόνῳ.

(76) *Ἀποκαλυφθῆναι*. Quatuor mss. ἀποκαλύπτεσθαι. Mox in tribus legitur αὐτῷ μοι, et infra in quatuor δύνασθαι μεταβαίνειν.

3. Εἰ μὲν οὖν ἦν δυνατὸν αὐτόν με παραγενέσθαι, οὐδὲν ἂν προετίμησα τῆς συντυχίας ὑμῶν· ὥστε καὶ ἰδεῖν τοὺς ἀθλητὰς τοῦ Χριστοῦ, καὶ περιπτύξασθαι, καὶ κοινωνῆσαι τῶν προσευχῶν καὶ τῶν πνευματικῶν ἐν ὑμῖν χαρισμάτων· ἐπειδὴ δὲ τὸ σῶμά μοι λοιπὸν ὑπὸ χρονίας νόσου κατανάλωται, ὡς μηδὲ ἀπὸ τῆς κλίνης δύνασθαί με καταβαίνειν, καὶ οἱ ἐφεδρεύοντες ἡμῖν πολλοὶ, ὡς λύκοι ἅρπαγες, ἐπιτηροῦντες καιρὸν, πότε δυνηθῶσι διαρπάσαι τὰ πρόβατα τοῦ Χριστοῦ, ἀναγκαίως ἐπὶ τὴν διὰ τοῦ γράμματος ἐπίσκεψιν ἦλθον· παρακαλῶν προηγουμένως μὲν ἐκτενεῖς τὰς ὑπὲρ ἐμοῦ ποιεῖσθαι ὑμᾶς δεήσεις, ἵνα καταξιωθῶ τὰς γοῦν λειπομένας ἡμέρας ἢ ὥρας δουλεῦσαι τῷ Κυρίῳ κατὰ τὸ Εὐαγγέλιον τῆς βασιλείας· ἔπειτα καὶ συγγνώμην ἔχειν μου τῇ ἀπολείψει καὶ τῇ βραδυτῆτι ταύτῃ τῶν γραμμάτων. Μόλις γὰρ ηὐπορήσαμεν ἀνθρώπου, τοῦ δυναμένου ἐξυπηρετήσασθαι ἡμῶν τῇ ἐπιθυμίᾳ. Λέγομεν δὲ τὸν υἱὸν ἡμῶν Εὐγένιον τὸν μονάζοντα· δι' οὗ παρακαλῶ εὔξασθαι ὑπὲρ ἡμῶν καὶ τῆς Ἐκκλησίας πάσης, καὶ ἀντιγράψαι ἡμῖν τὰ περὶ ὑμῶν, ἵνα γνόντες εὐθυμότερον διατεθῶμεν.

A **232** 3. Quod si fieri posset, ut ad vos ipse proficiscerer, nihil prætulissem congressui vestro, ut et Christi athletas viderem amplecterer que, et precum, ac donorum spiritualium, quæ in vobis sunt, particeps fierem. Sed quia corpus meum jam diuturno morbo confectum est, adeo ut ne e lecto quidem possim descendere; et quia multi nobis insidiantur, instar luporum rapacium, occasionem observantes, si quando Christi oves rapere possint, necessario vos per litteras invisere constitui: adhortans vos, primum quidem, ut intente precemini pro me, ut dignus fiam, qui reliquos saltem dies aut horas Domino secundum regni Evangelium serviam; deinde vero ut etiam ignoscatis absentiæ meæ et huic litterarum dila- B tioni ac moræ. Vix enim copiam habuimus hominis, qui nostro desiderio posset subservire. Dico autem filium nostrum Eugenium monachum, per quem obsecro vos, ut pro nobis ac universa Ecclesia oretis, ac nobis rescribatis de rebus vestris, ut his cognitis lætiores efficiamur.

ΕΠΙΣΤΟΛΗ ΡΜ'.

EPISTOLA CXL*.

Antiochenos Basilius ob corporis debilitatem invisere non potest, sed eos per litteras in ærumnis consolatur et ad patientiam hortatur. Apponit fidem Nicænam, mentis suæ fetus tradere non audens; additque Pneumatomachos excommunicandos.

Τῇ Ἀντιοχέων Ἐκκλησίᾳ.

1. *Τίς δώσει μοι πτέρυγας, ὡσεὶ περιστερᾶς; καὶ πετασθήσομαι* (77) πρὸς ὑμᾶς, καὶ καταπαύσω τὸν πόθον ὃν ἔχω ἐπὶ τῇ συντυχίᾳ τῆς ὑμετέρας ἀγάπης. Νυνὶ δὲ οὐχὶ πτερύγων ἐνδεῶς ἔχω μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ σώματος, πάλαι μέν μοι ὑπὸ μακρᾶς τῆς ἀῤῥωστίας πεπονηκότος, νῦν δὲ ὑπὸ τῶν συνεχῶν θλίψεων παντελῶς συντετριμμένου. Τίς γὰρ οὕτως ἀδαμάντινος τὴν ψυχὴν, τίς οὕτω παντελῶς ἀσυμπαθὴς καὶ ἀνήμερος, ὡς ἀκούων τοῦ πανταχόθεν ἡμᾶς (78) προσβάλλοντος στεναγμοῦ, οἷον ἀπό τινος χοροῦ κατηφοῦς κοινόν τινα θρῆνον καὶ σύμφωνον προσηχοῦντος, μὴ οὐχὶ παθεῖν τὴν ψυχὴν, καὶ καταχαμφθῆναι εἰς γῆν, καὶ ταῖς ἀμηχάνοις ταύταις μερίμναις παντελῶς ἐκτακῆναι; Ἀλλὰ δυνατὸς ὁ ἅγιος Θεὸς δοῦναί τινα λύσιν τῶν ἀμηχάνων, καὶ χαρίσασθαι ἡμῖν τινα τῶν μακρῶν πόνων ἀναπνοήν. Ὥστε καὶ ὑμᾶς τὴν αὐτὴν ἔχειν ἀξιῶ παράκλησιν, καὶ τῇ ἐλπίδι τῆς παρακλήσεως χαίροντας ὑμᾶς τὸ παρὸν ἀλγεινὸν τῶν θλίψεων ὑπομένειν. Εἴτε γὰρ ἁμαρτημάτων ἀποτίννυμεν δίκας, ἱκαναὶ αἱ μάστιγες πρὸς παραίτησιν (79) λοιπὸν τῆς ἐφ' ἡμῖν ὀργῆς τοῦ Θεοῦ· εἴτε εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας διὰ τῶν πειρασμῶν τούτων κεκλήμεθα (80), δίκαιος ὁ ἀθλοθέτης μὴ ἐᾶσαι ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα ὑπενεγκεῖν· ἀλλ' ἐπὶ τοῖς προπεπονημένοις ἀποδοῦναι ἡμῖν τὸν τῆς ὑπομονῆς

Ecclesiæ Antiochenæ.

1. *Quis dabit mihi alas, sicut columbæ? et vo-* C *labo* [28] ad vos, ac explebo meum congrediendi cum vestra charitate desiderium. Nunc autem non solum alæ mihi desunt, sed ipsum etiam corpus, dudum quidem mihi longa ægritudine debilitatum, nunc vero molestiis continuis penitus attritum. Quis enim animo ita adamantino, quis ita commiserationis omnis ac mansuetudinis expers, ut audiens gemitum undique aures nostras ferientem, velut ex tristi quodam choro communem quamdam ac consonam lamentationem edente, non animo doleat, non humi procumbat, et non penitus inextricabilibus his curis tabescat? Sed Deus sanctus potest nos ex iis quæ inextricabilia sunt solvere, et aliquam nobis ex diutinis laboribus respirationem largiri. Quare et vos idem volo D solatium habere, ac spe consolationis gaudentes præsentem afflictionum dolorem perferre. Sive enim peccatorum solvimus pœnas, sufficiunt flagella ad avertendam deinceps Dei in nos iram; sive ad sustinenda pro pietate certamina his tentationibus vocamur, justus est certaminum arbiter, ut non sinat tentari nos ultra quam ferre possumus: sed nobis reddat pro toleratis jam laboribus, patientiæ et spei in ipsum nostræ coronam. Itaque ne defatigemur, obeundis pro pietate certaminibus,

[28] Psal. LIV, 7.

(77) *Πετασθήσομαι.* Unus Regius codex a Combefisio citatus πετανθήσομαι.

(78) *Ἡμᾶς.* Reg. secundus et Coisl. secundus ἡμῖν.

(79) *Πρὸς παραίτησιν.* Ita sex mss. Editi πρὸς παρέκτισιν.

(80) *Κεκλήμεθα.* Sic Med. et Coisl. primus cum aliis quatuor. Editi βεβαιούμεθα, *confirmamur*

* Alias LX. Scripta anno 373.

neque per desperationem labores jam a nobis exantlatos projiciamus Non enim una res fortiter gesta, neque brevis labor constantiam animi declarat : sed qui **233** corda nostra probat, vult ut longa et prolixa probatione coronam justitiæ consequamur. Solum infractus servetur animus noster, inconcussum custodiatur fidei in Christum firmamentum, et veniet cito adjutor noster : veniet, et non tardabit. *Exspecta enim tribulationem super tribulationem, spem super spem : adhuc parum, adhuc parum.* Sic novit recreare promissione futuri alumnos suos Spiritus sanctus. Spes enim post afflictiones, nec longe absunt quæ sperantur. Nam etiamsi quis totam dicat humanam vitam, brevissimum est omnino spatium, si conferatur cum infinito illo sæculo, quod in spe repositum est.

A μονῆς καὶ τῆς εἰς αὐτὸν ἐλπίδος στέφανον. Μὴ οὖν ἀποκάμωμεν ἐναθλοῦντες εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας, μηδὲ δι' ἀνελπιστίας τὰ πονηθέντα ἡμῖν προώμεθα. Οὐ γὰρ μία πρᾶξις ἀνδρείας, οὐδὲ βραχὺς πόνος τὸ τῆς ψυχῆς καρτερὸν διαδείκνυσιν· ἀλλ' ὁ δοκιμάζων ἡμῶν τὰς καρδίας διὰ μακρᾶς καὶ παρατεταμένης τῆς δοκιμασίας βούλεται ἡμᾶς τῆς δικαιοσύνης στεφανίτας ἀποδειχθῆναι (81). Μόνον ἀνένδοτον φυλασσέσθω τὸ φρόνημα ἡμῶν, ἀσάλευτον τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως διατηρείσθω, καὶ ἥξει ἐν τάχει ὁ ἀντιληψόμενος ἡμῶν· ἥξει καὶ οὐ χρονιεῖ. *Προσδέχου γὰρ θλῖψιν ἐπὶ θλίψει, ἐλπίδα ἐπ' ἐλπίδι· ἔτι μικρὸν, ἔτι μικρόν.* Οὕτως οἶδε ψυχαγωγεῖν τῇ ἐπαγγελίᾳ τοῦ μέλλοντος τοὺς ἑαυτοῦ τροφίμους τὸ Πνεῦμα τὸ ἅγιον. Μετὰ B γὰρ τὰς θλίψεις ἡ ἐλπίς· ἐκ τοῦ σύνεγγυς δὲ πάρεστι τὰ ἐλπιζόμενα. Κἂν γὰρ ὅλον τις εἴποι τὸν ἀνθρώπινον βίον, σμικρότατόν ἐστι διάστημα παντελῶς, συγκρίσει ἐκείνου τοῦ ἀπεράντου αἰῶνος τοῦ ἐν ταῖς ἐλπίσιν ἀποκειμένου.

2. Fidem autem nos neque ab aliis scriptam nobis recentiorem suscipimus, neque ipsi mentis nostræ fetus tradere audemus, ne humana faciamus pietatis verba : sed quæ a sanctis Patribus edocti sumus, ea iis qui nos interrogant, annuntiamus. Viget igitur a patrum nostrorum temporibus in nostra Ecclesia fides a Patribus Nicææ congregatis conscripta, quam arbitramur et apud vos etiam in ore esse : sed tamen non recusamus, ne segnitiei crimen sustineamus, ipsa quoque verba in epistola referre. Hæc autem sunt : *Credimus in unum Deum Patrem omnipotentem, omnium sive visibilium, sive invisibilium factorem. Et in unum Dominum Jesum Christum, Filium Dei, genitum ex Patre unigenitum, hoc est, ex essentia Patris; lumen de lumine, Deum verum ex Deo vero : genitum, non factum, consubstantialem Patri, per quem omnia facta sunt, et quæ in cœlo sunt, et quæ in terra. Qui propter nos homines et propter nostram salutem descendit : incarnatus est, homo factus est, passus est, et resurrexit tertia die : ascendit ad cœlos, venturus est ad judicandum vivos et mortuos. Et in Spiritum sanctum. Qui autem dicunt, erat aliquando, quando non erat; et antequam gigneretur, non erat; et quod ex non exsistentibus factus est; aut ex alia hypostasi aut essentia esse dicunt, aut mutabilem, aut alterabilem Filium Dei, eos anathematizat catholica et apostolica Ecclesia.* His credimus : sed quia definita non est de Spiritu sancto doctrina, nondum tunc pneumatomachis

2. Πίστιν δὲ ἡμεῖς οὔτε παρ' ἄλλων γραφομένην ἡμῖν νεωτέραν παραδεχόμεθα, οὔτε αὐτοὶ τὰ τῆς ἡμετέρας διανοίας γεννήματα παραδιδόναι τολμῶμεν, ἵνα μὴ ἀνθρώπινα ποιήσωμεν (82) τὰ τῆς εὐσεβείας ῥήματα· ἀλλ' ἅπερ παρὰ τῶν ἁγίων Πατέρων δεδιδάγμεθα, ταῦτα τοῖς ἐρωτῶσιν ἡμᾶς διαγγέλλομεν. Ἔστι τοίνυν ἐκ πατέρων ἐμπολιτευομένη τῇ Ἐκκλησίᾳ ἡμῶν (83) ἡ γραφεῖσα παρὰ τῶν ἁγίων Πατέρων πίστις τῶν κατὰ τὴν Νίκαιαν συνελθόντων· ἣν ἡγούμεθα μὲν διὰ στόματος εἶναι καὶ παρ' ὑμῖν, C οὐ παραιτούμεθα δὲ, ἵνα μὴ ὄκνου ἔγκλημα ἀπενεγκώμεθα, καὶ αὐτὰ τὰ ῥήματα ἐνσημᾶναι τῷ γράμματι. Ἔστι δὲ ταῦτα· *Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ὁρατῶν τε πάντων καὶ ἀοράτων ποιητήν. Καὶ εἰς ἕνα Κύριον* (84) *Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ Πατρὸς μονογενῆ· τουτέστιν, ἐκ τῆς οὐσίας τοῦ Πατρός· φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα* (85)· *σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα* (86), *καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· ἀνελθόντα εἰς οὐρανοὺς, ἐρχόμενον κρῖναι ζῶντας* D *καὶ νεκρούς. Καὶ εἰς τὸ ἅγιον Πνεῦμα. Τοὺς δὲ λέγοντας, Ἦν ποτε, ὅτε οὐκ ἦν· καὶ, Πρὶν γεννηθῆναι οὐκ ἦν· καὶ, ὅτι Ἐξ οὐκ ὄντων ἐγένετο· ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι,*

(81) *Ἀποδειχθῆναι.* Ita Med. et Coisl. uterque, et Vat. cum duobus Regiis. Editi ἀναδειχθῆναι. Non multo post editi post στερέωμα addunt ἡμῶν, quæ vox deest in quinque mss.

(82) *Ποιήσωμεν.* Ita septem mss.; unde miror legi in editis λογίζωνται.

(83) *Τῇ Ἐκκλησίᾳ ἡμῶν.* Nicænam formulam Cæsaream attulerat S. Leontius, qui huic synodo interfuerat. Ejusdem fidei acerrimus defensor exstitit Hermogenes, Leontii successor, ut perspici potest ex epist. 81. At Dianius qui Hermogeni successit, non videtur ejus vestigiis semper institisse. Sæpe enim Arianorum formulis subscripsit. Non ideo tamen Nicæna formula Cæsareæ oblitterata, ut hoc loco testatur Basilius : ac ipsius Dianii perhonorificum de hac fide et de Nicænis Patribus testimonium habemus in epist. 51.

(84) *Κύριον.* Editio Paris. et Basileensis secunda addunt ἡμῶν, quæ vox deest in antiquioribus editionibus et codicibus Med. Coisl. primo et tribus aliis.

(85) *Κατελθόντα.* Editi addunt ἐκ τῶν οὐρανῶν, quæ desiderantur in sex mss.

(86) *Παθόντα.* Hanc vocem addidi ex Med. et Coisl. utroque, et utroque Regio.

ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία. Πιστεύομεν τούτοις. Ἐπειδὴ δὲ ἀδιόριστός ἐστιν ὁ περὶ τοῦ ἁγίου Πνεύματος λόγος, οὔπω τότε τῶν πνευματομάχων ἀναφανέντων, τὸ χρῆναι ἀναθεματίζεσθαι τοὺς λέγοντας τῆς κτιστῆς εἶναι καὶ δουλικῆς φύσεως τὸ Πνεῦμα τὸ ἅγιον ἐσίγησαν. Οὐδὲν γὰρ ὅλως τῆς θείας καὶ μακαρίας Τριάδος κτιστόν.

A apparentibus, anathematizandos esse eos, qui dicunt creatæ esse ac servilis naturæ Spiritum sanctum, silentio prætermiserunt. Nihil enim omnino in divina ac beata Trinitate creatum est.

ΕΠΙΣΤΟΛΗ ΡΜΑ'.

234 EPISTOLA CXLI*.

Cum questus fuisset Eusebius quod Basilius ad se non venisset, cumque eum hortatus fuisset ad rerum ecclesiasticarum defensionem, Basilius absentiam tuetur morbi excusatione; res ecclesiasticas non sua culpa adversariis tradi demonstrat, sed episcoporum sibi communione conjunctorum, ad quos et Bosporius nuper accessit. Narrat quomodo eos hortatus sit, cum ad urbem ipsius morte audita venissent; sed queritur, quod statim ac recesserunt, ad ingenium redeant.

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

1. Ἐδεξάμην ἤδη δύο ἐπιστολὰς παρὰ τῆς ἐνθέου καὶ τελειοτάτης φρονήσεώς σου· ὧν ἡ μὲν ὑπέγραφεν ἡμῖν ἐναργῶς, ὅπως μὲν προσεδοκήθημεν ὑπὸ τοῦ λαοῦ τοῦ ὑπὸ τὴν χεῖρα τῆς ὁσιότητός σου, ὅσον δὲ ἐλυπήσαμεν ἀπολειφθέντες τῆς ἁγιωτάτης συνόδου. Ἡ δὲ ἑτέρα, ἡ παλαιοτέρα μὲν, ὡς εἰκάζω τῷ γράμματι, ὕστερον δὲ ἡμῖν ἀποδοθεῖσα, διδασκαλίαν περιεῖχε πρέπουσάν σοι καὶ ἡμῖν ἀναγκαίαν, μὴ καταρᾳθυμεῖν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, μηδὲ κατὰ μικρὸν προΐεσθαι τοῖς ὑπεναντίοις τὰ πράγματα· ἀφ' ὧν τὰ μὲν ἐκείνων αὐξήσει, τὰ δὲ ἡμέτερα μειωθήσεται. Καὶ οἶμαι πρὸς ἑκατέραν ἀποκεκρίσθαι· πλὴν ἀλλὰ καὶ νῦν (ἐπειδὴ ἄδηλον εἰ οἱ πιστευθέντες τὴν διακονίαν διέσωσαν ἡμῶν τὰς ἀποκρίσεις) περὶ τῶν αὐτῶν ἀπολογοῦμαι· πρὸς μὲν τὴν ἀπόλειψιν ἀληθεστάτην πρόφασιν γράφων, ἧς οἶμαι τὴν ἀκοὴν καὶ μέχρι τῆς σῆς ὁσιότητος διαδεδηκέναι, ὅτι ὑπὸ ἀῤῥωστίας κατεσχέθην, τῆς μέχρις αὐτῶν με τῶν πυλῶν τοῦ θανάτου καταγαγούσης. Καὶ ἔτι καὶ νῦν, ἡνίκα ἀπέστελλον περὶ τούτων, λείψανα φέρων τῆς ἀῤῥωστίας ἔγραφον. Ταῦτα δέ ἐστι τοιαῦτα, ὥστε ἐξαρκεῖν ἑτέρῳ νοσήματα (87) εἶναι δύσφορα.

2. Πρὸς δὲ τὸ, ὅτι οὐ ῥᾳθυμίᾳ ἡμετέρᾳ τὰ τῶν Ἐκκλησιῶν τοῖς ἐναντίοις προδέδοται, εἰδέναι βούλομαι τὴν θεοσέβειάν σου, ὅτι οἱ κοινωνικοὶ δῆθεν ἡμῖν τῶν ἐπισκόπων, ἢ ὄκνῳ, ἢ τῷ πρὸς ἡμᾶς ὑπόπτως ἔχειν ἔτι καὶ μὴ καθαρῶς, ἢ τῇ παρὰ τοῦ διαβόλου ἐγγινομένῃ πρὸς τὰς ἀγαθὰς πράξεις ἐναντιώσει, συνάρασθαι (88) ἡμῖν οὐκ ἀνέχονται. Ἀλλὰ σχήματι μὲν δῆθεν οἱ πλείους ἐσμὲν μετ' ἀλλήλων, προστεθέντος ἡμῖν καὶ τοῦ χρηστοῦ Βοσπορίου· ἀληθείᾳ δὲ πρὸς οὐδὲν ἡμῖν τῶν ἀναγκαιοτάτων συναίρονται· ὥστε με καὶ ὑπὸ τῆς ἀθυμίας ταύτης τὸ πλεῖστον μέρος πρὸς τὴν ἀνάληψιν ἐμποδίζεσθαι, συνεχῶς μοι τῶν ἀῤῥωστημάτων ἐκ τῆς σφοδρᾶς λύπης ἀποστρεφόντων. Τί δ' ἂν ποιήσαιμι μόνος (89), τῶν κανόνων,

(87) Ἑτέρῳ νοσήματα. Ita Harl., Med., Coisl. primus, Vat., Clarom. Editi ἑτέρων νοσήματι. Nonnulli mss. ἑτέρῳ νοσήματι.

(88) Συνάρασθαι. Ita tres antiquissimi codices cum pluribus aliis. Editi συναίρεσθαι.

(89) Μόνος. Hæc vox addita ex septem mss. Canones illos, qui apostolis afflicti fuere, nonnunquam citat Basilius in Epistolis canonicis. Videtur hoc loco respicere ad vigesimum septimum, ubi præscribitur, ut in unaquaque provincia episcopi

Eusebio, episcopo Samosatorum.

1. Jam duas litteras accepi a divina tua et absolutissima prudentia, quarum una nitide nobis describebat, quomodo a populo sub manu sanctitatis B tuæ constituto exspectati fuerimus, quantumque intulerimus doloris a sanctissimo conventu absentes. Altera vero, antiquior quidem, ut e scriptura conjicio, sed posterius nobis reddita, documenta continebat te digna et nobis necessaria, ut ne Dei Ecclesias negligamus, neve paulatim negotia adversariis tradamus, unde res eorum augeantur, nostræ vero minuantur. Ac mihi quidem videor utrique respondisse, sed tamen etiam nunc (siquidem incertum est an ii quibus hoc ministerium commissum fuerat, responsa nostra servaverint) de iisdem causam dico: quod quidem ad absentiam attinet, C excusationem verissimam scribens, cujus famam etiam usque ad tuam sanctitatem pervenisse puto: quod morbo detentus fuerim, qui me usque ad ipsas mortis januas perduxit. Imo etiam nunc cum de his scriberem, adhuc ferens morbi reliquias scribebam. Hæ autem sunt ejusmodi, ut alteri possint esse morbus ad ferendum difficilis.

2. Quod autem non nostra segnitie res Ecclesiarum adversariis traditæ sunt, hoc pietati tuæ perspectum esse volo, episcopos nobis communione conjunctos, sive socordia, sive quod adhuc suspicioso in nos nec puro affecti sunt animo, sive diabolo bonis operibus obstante, suam nobis operam præstare nolle. Sed specie quidem plures inter nos D conjungimur, adjuncto nobis et optimo Bosporio: at revera nullam ad rem ex his, quæ maxime sunt necessariæ, nos adjuvant: ita ut maxima ex parte hæc animi obstet ægritudo, quominus vires resumam, continenter mihi morbis ex vehementi mœrore redeuntibus. Quid autem solus facere possim, quandoquidem canones, ut et ipse non ignoras, uni

nihil majoris rei incipiant sine sententia illius, qui inter eos primus, ac unusquisque iis contentus sit, quæ ad parœciam suam pertinent: sed nec ille absque omnium voluntate quidquam faciat. Erat Basilius hujus canonis observandi studiosus, et quamvis nominis fama et sedis dignitate plurimum posset, nunquam ab eo communionis restitutionem impetraro

* Alias CCLXII. Scripta anno 373.

ministeria ejusmodi non concedunt? Jam vero quodnam remedium non adhibui? Quodnam judicium ipsis non revocavi in memoriam, partim per litteras, partim cum coram congressi essemus? Venerunt enim et usque ad urbem, audito mortis meæ nuntio. Sed quia Deo visum est, ut me vivum deprehenderent, eos, ut par erat, sum allocutus. Ac præsentem quidem reverentur, et omnia quæcunque officii sunt pollicentur: at simul ut recesserunt, iterum recurrunt ad suam ipsorum sententiam. In his nos quoque communis rerum status participes sumus, Domino **235** palam nos deserente, quorum charitas ob multiplicatam iniquitatem refrixit. Sed nobis ad omnia sufficiat magna tua ac potentissima apud Deum deprecatio. Forte enim aut rebus aliquid proderimus, aut si optato exitu aberremus, condemnationem effugiemus.

A ὡς καὶ αὐτὸς οἶδας, ἐνὶ τὰς τοιαύτας οἰκονομίας μὴ συγχωρούντων; Καίτοι τίνα θεραπείαν οὐκ ἐθεράπευσα; Ποίου κρίματος αὐτοὺς οὐκ ἀνέμνησα τὰ μὲν διὰ γραμμάτων, τὰ δὲ καὶ διὰ τῆς συντυχίας; Ἦλθον γὰρ καὶ μέχρι τῆς πόλεως, κατὰ ἀκοὴν τοῦ ἐμοῦ θανάτου. Ἐπεὶ δὲ ἔδοξε τῷ Θεῷ ζῶντας ἡμᾶς παρ' αὐτῶν καταληφθῆναι, διελέχθημεν αὐτοῖς τὰ εἰκότα. Καὶ παρόντα μὲν αἰδοῦνται, καὶ ὑπισχνοῦνται τὰ εἰκότα πάντα· ἀπολειφθέντες δὲ πάλιν πρὸς τὴν ἑαυτῶν ἀνατρέχουσι γνώμην. Ταῦτα καὶ ἡμεῖς τῆς κοινῆς καταστάσεως τῶν πραγμάτων ἀπολαύομεν, προδήλως τοῦ Κυρίου ἐγκαταλιπόντος ἡμᾶς, τοὺς διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψύξαντας τὴν ἀγάπην. Ἀλλὰ πρὸς πάντα ἡμῖν ἀρκεσάτω ἡ μεγάλη σου καὶ δυνατωτάτη πρὸς Θεὸν ἱκεσία. Τάχα γὰρ ἂν
B ἢ γενοίμεθά τι τοῖς πράγμασι χρήσιμοι (90), ἢ, διαμαρτόντες (91) τῶν σπουδαζομένων, φύγοιμεν τὴν κατάκρισιν.

EPISTOLA CXLII*.

ΕΠΙΣΤΟΛΗ ΡΜΒʹ.

Rogat Basilius ut pauperum hospitia vectigalibus eximantur.

Numerario præsidum.

Convocavi omnes ad conventum beati martyris Eupsychii fratres nostros chorepiscopos, ut notos facerem dignitati tuæ. Sed quia abfuisti, per litteras eos necesse est sistere integritati tuæ. Cognosce igitur fratrem istum, qui dignus est ob Domini timorem cui tua prudentia fidem habeat. Et quæcunque pauperum causa ad tuam bonam voluntatem retulerit, ei ut verum dicenti digneris fidem habere, atque afflictatos pro virili adjuvare. Dignaberis autem procul dubio et pauperum domum ad pagos ipsi commissos pertinentem invisere, ac omnino vectigalibus eximere. Hoc enim jam et tuo collegæ visum est exiguam egenorum possessionem tributis eximere.

Νουμεραρίῳ ἐπάρχων (92).

Συνήγαγον (93) μὲν πάντας ἐν τῇ συνόδῳ τοῦ μακαρίου μάρτυρος Εὐψυχίου τοὺς ἀδελφοὺς ἡμῶν τοὺς χωρεπισκόπους, ὥστε γνωρίμους ποιῆσαι τῇ τιμιότητί σου· ἐπεὶ δὲ ἀπελείφθης, διὰ γραμμάτων αὐτοὺς ἀναγκαῖόν ἐστι προσαχθῆναί σου τῇ τελειότητι. Γνώριζε τοίνυν τὸν ἀδελφὸν τόνδε, ἄξιον ὄντα τοῦ πιστεύεσθαι παρὰ τῆς σῆς φρονήσεως διὰ τὸν φόβον
C τοῦ Κυρίου. Καὶ ἅπερ ἂν τῶν πτωχῶν ἕνεκεν ἀναφέρῃ σου τῇ ἀγαθῇ προαιρέσει, καταξίωσον ὡς ἀληθεύοντι πείθεσθαι, καὶ τὴν δυνατὴν ἐπικουρίαν παρέχεσθαι τοῖς καταπονουμένοις. Καταξιώσεις δὲ δηλονότι καὶ πτωχοτροφίαν τῆς συμμορίας τῆς ὑπ' αὐτὸν ἐπισκέψασθαι, καὶ πάντῃ ἀνεῖναι τῆς συντελείας. Τοῦτο γὰρ ἤδη καὶ τῷ ἑταίρῳ σου συνήρεσε τὴν μικρὰν κτῆσιν τῶν πενήτων ἀλειτούργητον καταστῆσαι.

EPISTOLA CXLIII**.

ΕΠΙΣΤΟΛΗ ΡΜΓʹ.

Idem petit ab altero numerario.

Alteri numerario.

Mihi quidem si liceret dignitatem tuam convenire, per me ipse prorsus retulissem quibus de rebus sollicitus sum, et afflictorum defensionem suscepissem. Sed cum me corporis infirma valetudo ac negotiorum impedimenta retrahant, mei loco hunc fratrem chorepiscopum tibi commendo, ut ei aures

Ἑτέρῳ νουμεραρίῳ.

Εἰ μὲν αὐτῷ μοι δυνατὸν ην συμπαρεῖναι τῇ τιμιό-
D τητί σου, δι' ἐμαυτοῦ ἂν πάντως ἀνήνεγκα περὶ ὧν ἐβουλόμην, καὶ προέστην τῶν καταπονουμένων· ἐπεὶ δέ με ἀῤῥωστία σώματος καὶ ἀσχολίαι πραγμάτων ἀφέλκουσιν (94), ἀντ' ἐμαυτοῦ σοι τὸν ἀδελφὸν τόνδε τὸν χωρεπίσκοπον συνίστημι· ὥστε, σὲ αὐτῷ γνη-

impetrare potuerunt Marcelli discipuli, antequam Petri Alexandrini auctoritas accessisset: et cum ab episcopis in Palæstina exsulantibus non exspectato aliorum episcoporum consensu restituti fuissent, factum moleste tulit et libere reprehendit, epist. 265.

* Alias CCCCXVIII. Scripta anno 373.

** Alias CCCCXIX. Scripta anno 373.

(90) *Χρήσιμοι*. Legendum puto χρήσιμον, ut jam observavi ad epist 72.

(91) *Διαμαρτόντες*. Ita quinque mss. Editi διαμαρτάνοντες. Reg. secundus et Paris. διαμαρτῶντες.

(92) *Ἐπάρχων*. Reg. secundus et Coisl. secundus ἐπαρχιῶν. Sanxerat Valens anno 365, ut numerarii consularium et præsidum vocarentur deinceps tabularii. Sed forte lex illa minus fuit observata: vel huic epistolæ, ut pluribus aliis, non a Basilio, sed post eum a librariis titulus præfixus.

(93) *Συνήγαγον*. Coisl. uterque et Reg. secundus συνηγάγομεν.

(94) *Ἀφέλκουσιν*. Ita sex codices mss. pro eo quod est in editis ἀνθέλκουσιν. Paulo post ope Coisl. primi et Reg. secundi emendavimus quod erat in editis ὥστε σεαυτῷ.

σίως προσχοντα, χρήσασθαι συμβούλῳ, ὡς φιλαληθῶς καὶ ἐμφρόνως δυναμένῳ συμβουλεῦσαι περὶ τῶν πραγμάτων. Τὸ γὰρ πτωχοτροφεῖον τὸ παρ' αὐτοῦ οἰκονομούμενον ἐπειδὰν καταξιώσῃς θεάσασθαι [ὄψει γὰρ, εὖ οἶδα, καὶ οὐ παραδραμῇ, ἐπειδὴ οὐδὲ ἄπειρος (95) εἶ τοῦ ἔργου· ἀλλ', ὡς ὁ δεῖνά μοι ἀνήνεγκεν, ἓν τῶν ἐν τῇ Ἀμασείᾳ ἐξ ὧν ἔδωκέ σοι ὁ Κύριος διατρέφεις (96)], ἐπειδὰν οὖν ἴδῃς καὶ τοῦτο, πάντα αὐτῷ παρέξῃ τὰ ἐπιζητούμενα. Ἤδη γάρ μοι καὶ ὁ ἑταῖρός σου (97) κατεπηγγείλατο φιλανθρωπίαν τινὰ περὶ τὰ πτωχοτροφεῖα. Τοῦτο δὲ λέγω, οὐχ ἵνα ἄλλον αὐτὸς μιμήσῃ (σὲ γὰρ εἰκὸς ἑτέροις εἶναι τῶν καλῶν ἡγεμόνα), ἀλλ' ἵνα γνῷς, ὅτι δὴ περὶ αὐτῶν τούτων καὶ ἄλλοι ἡμᾶς ἐδυσωπήθησαν (98).

A sincere accommodans, ipso utaris consiliario, ut homine et amore veritatis et prudentia ad consilium de rebus dandum idoneo. Postquam enim pauperum hospitium ab eo gubernatum visere dignatus fueris (invises enim, sat scio, nec præteribis: siquidem nec rei inexpertus es: sed, ut a quodam ad me relatum est, unum ex his quæ Amaseæ constructa sunt, ex bonis quæ tibi Dominus tradidit sustentas), ubi, inquam, et hoc videris; concedes ei omnia quæ opus erunt. Jam enim et collega tuus aliquam mihi erga egenorum hospitia humanitatem pollicitus est. Hoc autem dico, non ut alium ipse imiteris (par enim te aliis recte factorum ducem esse), sed ut scias jam nobis ab aliis reverentiam his in rebus habitam fuisse.

ΕΠΙΣΤΟΛΗ ΡΜΔ'.

236 EPISTOLA CXLIV*.

Eamdem immunitatem petit ac in duabus præcedentibus epistolis.

Τρακτευτῇ τῶν ἐπάρχων.

Γνωρίζεις πάντως τόνδε ἐκ τῆς κατὰ τὴν πόλιν συντυχίας· ὅμως δέ σοι αὐτὸν καὶ διὰ τῆς ἐπιστολῆς προσάγομεν συνιστῶντες, ὅτι εἰς πολλά σοι τῶν σπουδαζομένων χρήσιμος ἔσται, διὰ τὸ καὶ συνετῶς καὶ εὐλαβῶς δύνασθαι ὑποτίθεσθαι τὰ πρακτέα. Ἃ δὲ ἐμοὶ εἰς τὸ οὖς διελέχθης, ταῦτα νῦν ἐστι καιρὸς ἐπιδείξασθαι, ἐπειδάν σοι ὁ προειρημένος ἀδελφὸς τὰ τῶν πτωχῶν ὑποδείξῃ.

B *Tractatori præsidum.*

Cognoscis profecto illum ex mutuo in urbe colloquio. Sed tamen eum tibi et per litteras sisto et commendo, ut ad multa, quæ tibi curæ sunt, utilem futurum, eo quod pie ac prudenter possit agenda suggerere. Quæ autem mihi in aurem dixisti, ea nunc tempus est exsequi; postquam memoratus frater pauperum statum tibi indicaverit.

ΕΠΙΣΤΟΛΗ ΡΜΕ'.

EPISTOLA CXLV**.

Quamvis multæ magnæque rationes Eusebium prohibere videantur, quominus peregre eat; non tamen desperat Basilius eum omnia impedimenta superaturum. Quare eum rogat, ne spem Ecclesiæ Cæsariensis irritam faciat, quam de ejus adventu Basilius anno præterito Syria rediens attulerat.

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

Οἶδα τοὺς μυρίους πόνους (99) σου, οὓς ἀνέτλης ὑπὲρ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ· καὶ τῶν ἀσχολιῶν τὸ πλῆθος οὐκ ἀγνοῶ, ἃς ἔχεις· τὴν οἰκονομίαν οὐ παρέργως, ἀλλὰ κατὰ τὸ θέλημα τοῦ Κυρίου διατιθέμενος. Καὶ τὸν ἐκ γειτόνων ὑμῖν ἐπικαθήμενον ἐννοῶ (1), ᾧ ἀνάγκη ὑμᾶς, ὥσπερ ὄρνιθας ἀετῷ ὑποπτήσσοντας, μὴ πόῤῥω τῆς σκέπης ἕκαστον ἀποτρέχειν. Τούτων με οὐδὲν λέληθεν. Ἀλλ' ὁ πόθος πρᾶγμα βίαιον, καὶ ἐλπίσαι τὰ μὴ ἐνδεχόμενα, καὶ ἐγχειρῆσαι τοῖς ἀδυνάτοις (2)· μᾶλλον δὲ ἡ ἐπὶ Κύριον ἐλπὶς ἰσχυρότατον πάντων. Οὐ γὰρ ἀλόγῳ ἐπιθυμίᾳ, ἀλλ' ἰσχύϊ πίστεως προσδοκῶ καὶ πόρον ἐν ἀμηχάνοις φανήσεσθαι, καὶ πάντων ῥᾳδίως σε (3)

Eusebio, episcopo Samosatorum.

Novi innumeros labores tuos, quos pro Dei Ecclesiis exantlasti; nec negotiorum multitudinem
C ignoro, quibus detineris; commissam administrationem non perfunctorie, sed secundum Dei voluntatem gerens. Illum etiam cogito, qui vobis e propinquo imminet, sub quo vos necesse est, veluti aves sub aquila formidantes, non longe a suo quemque tecto excurrere. Horum nihil me latet. Sed desiderium res violenta, tum in iis sperandis quæ parabilia non sunt, tum in aggrediendis quæ fieri non possunt: vel potius spes in Domino omnium rerum fortissima. Non enim temeraria cupiditate, sed fidei robore exspecto aliquem futurum

(95) Ἄπειρος. Uterque Coisl. cum Reg. secundo et Paris. ἄπορος, *Non cares facultatibus ad hoc opus.*

(96) Διατρέφεις. Ita Coisl. uterque et Vat. Editio prima Paris. διατρέφοις. Paulo post editi παρέξεις. Coisl. uterque, Med. et Reg. secundus ut in textu.

(97) Ὁ ἑταῖρός σου. Duo erant numerarii in unaquaque provincia. Non tamen collega hoc loco intelligitur alter numerarius, cui superior inscripta epistola. Huic enim Basilius similiter dicit beneficium sibi in pauperes ab ipsius collega promissum fuisse. Quare collegam utriusque numerarii interpretor tractatorem præsidum, cujus promissa in epistola sequenti reposcuntur. Is cum munus administraret magna cum numerariis necessitudine conjunctum, eorum collega dici poterat.

(98) Ἐδυσωπήθησαν. Sic Coisl. secundus e Reg. secundus. Editi ἐδυσώπησαν.

(99) Πόνους. Quatuor mss. κόπους. Infra Harl., Med. et Claromt. θέλημα τοῦ Θεοῦ.

D (1) Ἐννοῶ. Quamvis hoc verbum non omnino necessarium sit: quia tamen legitur in codicibus Harl., Med., Claromt., Coisl. secundo, et Reg. secundo, recipiendum visum est in contextum. Ibidem editi ᾧ ἀνάγκη ἡμᾶς. Melius in Coisl. primo et aliis nonnullis quos secuti sumus.

(2) Ἀδυνάτοις. Editi post hanc vocem addunt ποιεῖ, sed in nullo prorsus ex nostris octo mss. reperitur.

(3) Ῥᾳδίως σε. Deest vocula in editis, legitur in omnibus mss. Ibidem editi περιγενέσθαι. Harl. et Coisl. primus ut in textu.

* Alias CCCCXX. Scripta anno 373.

** Alias CCLV. Scripta anno 373.

etiam in rebus difficillimis exitum, teque omnia impedimenta superaturum, ut Ecclesiarum amicissimam videas, atque etiam ab ipsa conspiciaris : quod quidem omnium illi bonorum antiquissimum est, vultum tuum conspicere, ac tuam vocem audire. Cave igitur spes illius vanas ac irritas facias. Anno enim præterito cum e Syria rediens, promissum quod acceperam reportavi, quomodo eam putas spe suspensam a me fuisse? Ne igitur in aliud tempus differas illius visitationem, vir admirande. Nam etiamsi fieri possit, ipsam ut aliquando invisas, sed non etiam nobiscum, quos urget morbus ab hac tandem ærumnosa vita secedere.

A τῶν κωλυμάτων περιγενήσεσθαι, πρὸς τὸ ἰδεῖν σε τὴν φιλτάτην τῶν Ἐκκλησιῶν, καὶ μέντοι καὶ ὀφθῆναι παρ' αὐτῆς· ὃ πάντων αὐτῇ τῶν ἀγαθῶν προτιμότατον, τῷ σῷ προσβλέψαι (4) προσώπῳ, καὶ τῆς σῆς ἀκοῦσαι φωνῆς. Μὴ τοίνυν αὐτῇ τὰς ἐλπίδας ἀτελεῖς καταστήσῃς. Καὶ γὰρ πέρυσιν, ἀπὸ τῆς Συρίας ἐπανελθὼν (5), ἣν ἐδεξάμην ἐπαγγελίαν, ταύτην διακομίσας, πῶς οἴει μετέωρον αὐτὴν κατέστησα ταῖς ἐλπίσι; Μὴ οὖν εἰς ἄλλον καιρὸν ὑπέρθῃ τὴν ἐπίσκεψιν αὐτῆς (6), ὦ θαυμάσιε. Καὶ γὰρ ἐὰν ᾖ δυνατὸν ἰδεῖν αὐτήν ποτε, ἀλλ' οὐχὶ καὶ μεθ' ἡμῶν, οὓς ἐπείγει ἡ νόσος ἀπᾶραι λοιπὸν τοῦ ὀδυνηροῦ τούτου βίου.

EPISTOLA CXLVI*.

ΕΠΙΣΤΟΛΗ ΡΜϚ'.

Antiochum, qui manu sua salutem apposuerat, vicissim salutat Basilius et hortatur, ut animæ saluti animum intendat.

Antiocho.

Non possum te inertiæ aut pigritiæ accusare, quod cum tempus incidisset scribendi, conticueris. Quam enim veneranda mihi **237** manu salutem misisti, hanc pluris facio quam multas epistolas. Te igitur vicissim saluto, ac exhortor, ut strenue ad animæ salutem incumbas, omnes carnis affectiones ratione frenans, ac indesinenter Dei cogitationem velut in sanctissimo quodam templo, ita in animo tuo consecratam habens : atque ut in actione omni et in omni sermone ante oculos habeas Christi judicium ; ita ut tibi opera singula ad accuratum illud ac tremendum examen collecta, gloriam in die remunerationis afferant, coram omni creatura laudem consequenti Quod si non gravetur ad nos usque proficisci magnus ille vir, parum non erit lucri te una cum ipso in nostra regione conspicere.

B *Ἀντιόχῳ* (7).

Οὐκ ἔχω μέμψασθαί σοι ἀργίαν οὐδὲ ῥᾳθυμίαν, ὅτι, καιροῦ παραπεσόντος (8) γραμμάτων, ἀπεσιώπησας. Ἣν γὰρ διὰ τῆς τιμίας ἐμοὶ χειρὸς διεπέμψω προσηγορίαν, πολλῶν ἐπιστολῶν τιμιωτέραν ποιοῦμαι. Ἀντὶ οὖν ταύτης προσαγορεύω σε, καὶ παρακαλῶ σπουδαίως ἀντέχεσθαι τῆς κατὰ ψυχὴν σωτηρίας, πάντα τὰ πάθη τῆς σαρκὸς παιδαγωγοῦντα τῷ λόγῳ, καὶ διηνεκῶς τὴν περὶ Θεοῦ ἔννοιαν, οἷον ἐν ναῷ τινι ἁγιωτάτῳ, τῇ σαυτοῦ ψυχῇ ἐνιδρυμένην ἔχοντα· ἐπὶ πάσης δὲ πράξεως καὶ παντὸς λόγου πρὸ ὀφθαλμῶν λαμβάνειν τὸ τοῦ Χριστοῦ (9) δικαστήριον, ὥστε σοι τὰς κατὰ μέρος ἐνεργείας συναχθείσας ἐπὶ τῆς ἀκριβοῦς ἐκείνης καὶ φοβερᾶς ἐξετάσεως δόξαν ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεως
C ἐνεγκεῖν, ἐπὶ πάσης τῆς κτίσεως τῶν ἐπαίνων ἀξιουμένῳ. Εἰ δὲ καταδέχοιτο τὴν μέχρις ἡμῶν ὁδὸν ὁ μέγας, οὐ μικρὸν κέρδος ἰδεῖν σε μετ' αὐτοῦ ἐπὶ τῆς ἡμετέρας.

EPISTOLA CXLVII**.

ΕΠΙΣΤΟΛΗ ΡΜΖ'.

Aburgio Basilius Maximum commendat, ac rogat, ut hominem longe optimum, qui Cappadociæ præses fuerat, omnibus rebus spoliatum, et in ærumnis jacentem adversus calumniam tueatur.

Aburgio.

Fabulam hactenus credebam Homeri carmina, cum perlegerem alteram illius poesis partem, in qua Ulyssis calamitates narrat Sed fabulosa illa hactenus et incredibilia, omnino nos probabilia existimare docuit longe optimi Maximi calamitas. Nam et hic præfuit genti non vilissimæ, quemadmodum ille dux fuit Cephalleniorum. Ac Ulysses quidem

Ἀβουργίῳ.

Μῦθον ἐνόμιζον τέως τὰ τοῦ Ὁμήρου, ὅτε ἐπῄειν αὐτοῦ τὸ ἕτερον μέρος τῆς ποιήσεως, ἐν ᾧ τὰ τοῦ Ὀδυσσέως πάθη μεταδιδάσκει. Ἀλλ' ἐκεῖνα τὰ μυ-
D θικὰ τέως καὶ ἄπιστα πάνυ ἡμᾶς πιθανὰ νομίζειν ἐδίδαξεν ἡ περὶ τὸν πάντα ἄριστον Μάξιμον περιπέτεια. Καὶ γὰρ καὶ οὗτος ἄρχων ἐγένετο ἔθνους οὐ φαυλοτάτου, ὥσπερ ἐκεῖνος ὁ στρατηγὸς (10) τῶν

* Alias CCLXVIII. Scripta anno 373.

** Alias CCCLVI. Scripta anno 373.

(4) *Προσβλέψαι*. Ita summo consensu veteres libri. Editio prima Paris. προβλέψαι.

(5) *Ἐπανελθών*. Sic Harl. et Coisl. primus cum pluribus aliis. Editio 1 Paris. ἀπανελθών.

(6) *Αὐτῆς*. Hanc vocem addidimus ex septem mss. Harlæanus codex αὐτῶν.

(7) *Ἀντιόχῳ*. Legitur in omnibus mss. et editis τῷ αὐτῷ, quia scilicet hæc epistola sequitur epistolam 31, alias 267. Sed tamen perspicuum est hanc epistolam non inscriptam fuisse Eusebio, quem Basilius designat his verbis : *Quod si magnus ille vir*, etc., sed ipsius fratris filio, quem Basilius, ut æqualem, vel forte etiam natu minorem, ad pietatem hortatur.

(8) *Παραπεσόντος*. Sic quatuor vetustissimi codices, Harl., Med., Coisl., Vat. et alii nonnulli. Editi παρεμπεσόντος. Paulo post auctoritate quinque codicum, quorum nonnulli antiquissimi, transposuimus ἐμοί, cum legeretur in editis ἐμοὶ διεπέμψω.

(9) *Χριστοῦ*. Sic plerique mss. codices. Editi Κυρίου.

(10) *Ὁ στρατηγός*. Additus articulus ex tribus vetustissimis codicibus et tribus aliis. Ibidem. Reg. secundus et Coisl. secundus Κεφαλήνων.

Κεφαλλήνων. Καὶ πολλὰ χρήματα ἄγων ἐκεῖνος, A γυμνὸς ἐπανῆλθε· καὶ τοῦτον οὕτως ἡ συμφορὰ διέθηκεν, ὡς κινδυνεῦσαι ἐν ἀλλοτρίοις ῥάκεσιν ὀφθῆναι τοῖς οἴκοι (11). Καὶ ταῦτα πέπονθε, Λαιστρυγόνας τάχα που ἐφ' ἑαυτὸν παροξύνας, καὶ Σκύλλῃ περιπεσὼν ἐν γυναικείᾳ μορφῇ κυνείαν ἐχούσῃ ἀπανθρωπίαν καὶ ἀγριότητα. Ἐπεὶ οὖν μόλις αὐτῷ ὑπῆρξε τὸν ἄφυκτον τοῦτον διανήξασθαι κλύδωνα, σὲ δι' ἡμῶν ἱκετεύει, ἀξιῶν αἰδεσθῆναι τὴν κοινὴν φύσιν, καὶ ἐπὶ ταῖς παρ' ἀξίαν αὐτοῦ συμφοραῖς ἀλγήσαντα, μὴ σιωπῇ κρύψαι τὰ κατ' αὐτὸν, ἀλλὰ διαγγεῖλαι τοῖς ἐν δυνάμει, ὥστε μάλιστα μὲν καὶ γενέσθαι τινὰ αὐτῷ βοήθειαν πρὸς τὴν σκευωρηθεῖσαν (12) ἐπήρειαν· εἰ δὲ μὴ, δημοσιευθῆναι γοῦν τὴν προαίρεσιν τοῦ εἰς αὐτὸν ἐμπαροινήσαντος. Ἀρκοῦσα γὰρ τῷ ἠδικημένῳ παραμυθία ἡ τῶν ἐπιβουλευσάντων αὐτῷ B τῆς πονηρίας φανέρωσις.

cum pecuniæ plurimum exportasset, nudus reversus est: hunc autem eo res adversæ redegerunt, ut pene in alienis et laceris pannis domui suæ visus sit. Atque hæc perpessus est, forte quia Læstrygonas in se instigavit, ac in Scyllam incidit, habentem in muliebri forma caninam immanitatem ac feritatem. Cum igitur vix ei licuerit ex ineluctabili illa procella emergere, te mea opera supplex rogat, ut naturam communem verearis, ac calamitatibus, quas non merito suo passus est, commotus de rebus illius non taceas, sed viris potentibus nunties, in primis ut præsidii aliquid contra structam calumniam habeat: sin minus, ut propositum illius, qui in ipsum debacchatus est, divulgetur. Non leve enim homini injuriis affecto solatium, eorum, qui ipsi insidiati sunt, improbitatis declaratio.

ΕΠΙΣΤΟΛΗ ΡΜΗ'.

EPISTOLA CXLVIII*.

Maximum Trajano commendat Basilius, ac rogat ut ei in judicio patrocinium impendat.

Τραϊανῷ.

Πολλὴν φέρει τοῖς καταπονουμένοις παραμυθίαν, καὶ τὸ ἔχειν ἀποδύρασθαι τὰς ἑαυτῶν συμφοράς· καὶ μάλιστα, ὅταν ἀνδρῶν ἐπιτύχωσι δυναμένων ἐκ τῆς τοῦ τρόπου καλοκαγαθίας συμπαθῆσαι τοῖς ἀλγεινοῖς. Ὅθεν καὶ ὁ αἰδεσιμώτατος ἀδελφὸς Μάξιμος, ὁ τῆς πατρίδος ἡμῶν ἡγησάμενος, παθὼν οἷα οὐδέπω (13) τις ἀνθρώπων ἕτερος, καὶ πάντων μὲν γυμνωθεὶς τῶν προσόντων, ὅσα τε ἦν αὐτῷ πατρῷα, C καὶ ὅσα ἐκ προτέρων πόνων ὑπῆρχε (14) συνειλεγμένα, κακοπαθήσας δὲ τῷ σώματι μυρία ταῖς ἄνω (15) καὶ κάτω πλάναις, καὶ οὐδὲ αὐτὴν τὴν ἐπιτιμίαν ἀνεπηρέαστον διασώσας, ἧς ἕνεκα πάντα πονεῖν τοῖς ἐλευθέροις σύνηθες, πολλὰ μὲν πρὸς ἡμᾶς περὶ τῶν συμβάντων αὐτῷ ἀπωλοφύρατο, ἠξίωσε δὲ δι' ἡμῶν, ὡς ἐν κεφαλαίῳ φανερὰν γενέσθαι σοι τὴν περιστᾶσαν αὐτῷ τῶν κακῶν Ἰλιάδα. Κἀγὼ, ἐπειδὴ ἄλλως οὐδὲν ἀφελεῖν αὐτοῦ τῶν δεινῶν ἠδυνήθην, ἑτοίμως ταύτην ἔδωκα τὴν χάριν· τὸ ὀλίγα ἐκ πολλῶν, ὧν ἤκουσα παρ' αὐτοῦ, διαγγεῖλαι τῇ κοσμιότητί σου· ἐπειδὴ αὐτὸς ἐρυθριᾷν μοι ἐδόκει τὰς ἑαυτοῦ συμφορὰς ἐναργῶς διηγήσασθαι. Εἰ γὰρ καὶ πονηρὸν τὸν ἠδικηκότα συνίστησι τὰ γενόμενα (16), ἀλλ' οὖν γε τὸν πεπονθότα τῆς ἐλεεινοτά- D της ὄντα μερίδος δείκνυσιν· ἐπειδὴ αὐτὸ τὸ περιπεσεῖν τοῖς θεηλάτοις κακοῖς ἀπόδειξίν πως ἔχειν δοκεῖ τοῦ παραδεδόσθαι τοῖς πάθεσιν. Ἀλλ' ἀρκεῖ (17) αὐτῷ πρὸς παραμυθίαν τῶν συμβάντων τὸ εὐμενεῖ αὐτὸν προσβλέψαι τῷ ὄμματί σε, καὶ τὴν πολυαρκῆ χάριν, ἧς πάντες ἀπολαύοντες δαπανᾷν οὐ δύνανται (τὴν τῆς σῆς ἡμερότητος λέγω), καὶ ἐπ' αὐτὸν ἀφ-

Trajano.

Multum affert afflictis solatii vel posse deflere calamitates suas; maxime, cum viros nacti fuerint morum probitate idoneos, qui eorum doloribus commoveantur. Unde et omni honore dignus frater Maximus, qui patriæ nostræ præfuit, talia passus, qualia nondum quisquam hominum, et suis rebus omnibus tum paternis tum pristino labore partis nudatus, **238** innumeris afflictus corporis incommodis, dum susdeque errat, ac ne ipsum quidem civis statum, cujus causa liberi nihil intentatum relinquere solent, ab injuriis integrum retinens, pluribus apud me casus suos lamentatus est, ac rogavit, ut malorum suorum Iliadem breviter tibi ante oculos ponerem. Ego autem cum aliter illius ærumnas levare non possem, libenter id præstiti beneficii, ut pauca ex multis quæ ab eo audivi, dignitati tuæ referrem, quandoquidem eum pudebat, ut mihi videbatur, calamitates suas aperte exponere. Nam quæ evenere, si auctorem injuriæ nequam esse demonstrant, certe eum qui passus est, maxima miseratione dignum ostendunt: siquidem illud ipsum in mala divinitus immissa incidere argumento est quodammodo eum qui hæc patitur afflictationibus esse traditum. Sed tamen satis est illi ad solatium malorum, ut benigno illum aspicias oculo, ac uberem illam gratiam, quam omnes experiuntur, nec tamen possunt absumere (gratiam dico lenitatis tuæ) etiam in illum extendas. In judicio autem magno ei fore ad vincendum præsidio patrocinium tuum, nobis omnibus certo persuasum est.

(11) *Τοῖς οἴκοι.* Sic tres vetustissimi codices et Clarom. Editi τοῖς οἰκείοις.

(12) *Σκευωρηθεῖσαν.* Harl. et Clarom. σκαιωρηθεῖσαν.

(13) *Οὐδέπω.* Ita Harl. cum quinque aliis. Editi οὔπω.

(14) *Ὑπῆρχε.* Hoc verbum addidimus ex Harl., Med. et Clarom.

(15) *Ταῖς ἄνω.* Ita Harl., Med., Coisl. uterque, Reg. uterque et uterque Bigot. Editi ταῖς τε ἄνω.

(16) *Τὰ γενόμενα.* Sic tres vetustissimi codices et alii nonnulli. Editi τὰ γεγονότα.

(17) *Ἀρκεῖ.* Male in editione 1 Paris. ἀρκεῖν contra veterum codicum fidem.

* Alias CCLXXVI. Scripta anno 373.

Atque omnium dignissimus est ipse ille, qui meas A litteras, ut sibi aliquid profuturas poposcit, quem cum aliis videamus totis suæ vocis viribus laudes gravitatis tuæ prædicantem.

εθῆναι. Ὅτι δὲ καὶ ἐν δικαστηρίοις μεγάλη αὐτῷ ἀφορμὴ πρὸς τὴν νίκην ἡ παρὰ σοῦ ῥοπὴ, πάντες ἀκριβῶς πεπείσμεθα. Δικαιότατος δὲ πάντων καὶ αὐτὸς οὗτος, ὁ τὴν ἐπιστολὴν ἡμῶν, ὥς τι ὄφελος αὐτῷ ἐσομένην, ἐπιζητήσας· ὃν μετὰ τῶν ἄλλων ἴδοιμεν τῇ κατὰ δύναμιν αὐτοῦ (18) φωνῇ τὴν σὴν εὐφημοῦντα σεμνότητα.

EPISTOLA CXLIX*.

ΕΠΙΣΤΟΛΗ ΡΜΘ'.

Is ad quem scripta est hæc epistola, viderat primordia ærumnarum Maximi; sed postea pœnæ ac contumeliæ graviora inflictæ sunt, ac vicarius modo advenerat, ut mala expleret. Homini miserrimo opem implorat Basilius.

Trajano.

Ipse oculis vidisti calamitatem viri quondam clari, sed nunc miserrimi omnium Maximi qui patriæ nostræ præfuerat, atque utinam non præ- B fuisset! Existimo enim fore, ut multi gentium gubernacula fugiant, si administrationes ad ejusmodi exitum rediture sunt. Quare quid opus est singula enarrem, et quæ vidi, et quæ audivi, viro ob eximiam ingenii aciem idoneo, qui ex paucis factis ea quæ omittuntur existimet? Sed tamen forte superflua loqui tibi non videbor, hoc si dixero, cum multa et gravia ante tuum adventum in ipsum perpetrata sint, quæ postea gesta sunt talia esse, ut superiora humanitatem existimare cogant. Tantam contumeliæ et damni et ipsius corporis incommodorum magnitudinem **239** habuere, quæ in ipsum postmodum a vicario excogitata sunt. Et nunc cum cohortalibus apparitoribus venit, ut reliqua sua mala hic impleat, C nisi tu magnam tuam manum prætendere velis afflicto. Supervacaneam rem scio me facere, qui tuam clementiam ad humanitatem adhorter. Quia tamen hunc virum cupio juvare, dignitatem tuam rogo, ut innatæ tibi ad bonum propensioni aliquid mea causa adjicias: adeo ut manifesta sit homini meæ pro illo deprecationis utilitas.

Τραϊανῷ (19).

Καὶ αὐτὸς ὑπέβαλες (20) ὀφθαλμῷ τὴν κακοπάθειαν τοῦ πρότερον μὲν εὐδοκίμου, νῦν δὲ ἐλεεινοτάτου πάντων Μαξίμου, τοῦ ἄρξαντος τῆς πατρίδος ἡμῶν, ὡς οὐκ ὤφελεν (21)! Οἶμαι γὰρ ἂν πολλοῖς ἀπευκτὴν ἔσεσθαι τὴν τῶν ἐθνῶν ἀρχὴν, εἰ πρὸς τοιοῦτον πέρας μέλλουσι καταστρέφειν αἱ προστασίαι. Ὥστε τί δεῖ ἡμᾶς τὰ καθ' ἕκαστον ἐπαγγέλλειν, ὧν τε εἴδομεν, ὧν τε ἠκούσαμεν, ἀνδρὶ διὰ πολλὴν τῆς διανοίας ὀξύτητα ἱκανῷ ἐξ ὀλίγων τῶν πραχθέντων στοχάσασθαι τὰ λειπόμενα; Πλὴν ἐκεῖνό γε εἰπὼν, ἴσως οὐ περιττός σοι φανήσομαι, ὅτι πολλῶν ὄντων καὶ δεινῶν τῶν εἰς αὐτὸν τολμηθέντων πρὸ τῆς σῆς παρουσίας, τοιαῦτα γέγονε τὰ μετὰ ταῦτα, ὡς φιλανθρωπίαν ποιῆσαι νομισθῆναι τὰ φθάσαντα. Τοσαύτην εἶχεν ὑπερβολὴν ὕβρεως καὶ ζημίας, καὶ τῆς εἰς αὐτὸ τὸ σῶμα κακοπαθείας (22), τὰ δὴ ὕστερον αὐτῷ παρὰ τοῦ κρατοῦντος ἐξευρεθέντα. Καὶ νῦν ἔμφρουρος ἥκει τὰ λείψανα τῶν ὧδε κακῶν αὐτοῦ ἀποπληρώσων, ἐὰν μὴ σὺ τὴν μεγάλην σαυτοῦ χεῖρα ὑπερσχεῖν ἐθελήσῃς τῷ καταπονουμένῳ. Περιττὸν μὲν οὖν οἶδα ποιῶν, τὴν σὴν χρηστότητα εἰς φιλανθρωπίαν παρακαλῶν. Πλὴν ἀλλ' ἐπειδὴ βούλομαι γενέσθαι χρήσιμος τῷ ἀνδρὶ, ἱκετεύω σου τὴν σεμνοπρέπειαν προσθεῖναί τι τῇ ἐκ φύσεως περὶ τὸ καλὸν σπουδῇ δι' ἡμᾶς, ὥστε ἐναργὲς τῷ ἀνδρὶ γενέσθαι τῆς ὑπὲρ αὐτοῦ παρακλήσεως ἡμῶν τὸ ὄφελος.

* Alias CCCLXXVII. Scripta anna 373.

(18) *Αὐτοῦ*. Hanc vocem addidimus ex Harl., Med. et Clarom.

(19) *Τραϊανῷ*. Legitur in omnibus editis et mss. codicibus τῷ αὐτῷ, *eidem*, Trajano scilicet: ad quem scripta superior epistola. Quare non ausus sum hunc titulum mutare; sed tamen nullus dubito, quin hæc epistola ad Trajanum minime scripta sit. Is enim ad quem scripta est, oculis suis viderat calamitates Maximi. At Trajanus nihil prorsus audierat de his ærumnis; et ideirco Basilium Maximus rogavit, ut eas Trajano breviter exponeret.

(20) *Ὑπέβαλες*. Med., Reg. secundus et Coisl. secundus ὑπέλαβες.

(21) *Οὐκ ὤφελεν*. Ita mss. sex. Editi οὐκ ὤφειλεν.

(22) *Κακοπαθείας*. Hac voce non quæstionis tormenta, quibus subjici non poterant præsides provinciarum, nisi in crimine majestatis, sed ea potius incommoda intelligi debent, quæ ab homine lautiori vitæ assueto, dum bonis omnibus spoliatus fugit, abesse non possunt. Hinc in præcedenti D epistola, ut ex octo veteribus libris legimus, corporis incommoda, quæ Maximus sustinuit, ex illius potissimum fuga et variis susdeque erroribus repetuntur. Videtur autem accusatus repetundarum fuisse, et idcirco omnibus rebus spoliatus; quia etsi minime convictus fuit, per vim tamen et impressionem vicarii, quadrupli pœnam, quam leges convictis infligebant, coactus est persolvere. Hinc etiam civis statu non omnino excidit, nec eum tamen integrum et illæsum retinuit, ut in superiori epistola legimus. Nam judices repetundarum convicti *ablatis codicillorum insignibus, et honore exuti, inter pessimos quosque et plebeios* habebantur, ut sancitur *Cod. Theod.* lib. I, tit. 27, leg. 1; nec tamen infames et intestabiles erant, ut observat Gothofredus ad eamdem legem.

ΕΠΙΣΤΟΛΗ ΡΝ'.

Heraclidas ab Amphilochio accusatus, quod non secum secederet in deserta loca, ut promiserat, pluribus refellit hanc criminationem. Exponit quid rerum agat in pauperum hospitio ad urbem Cæsaream; seque ab Amphilochio separari negat, quamvis locorum intervallo disjunctus sit. Refert deinde quæ præcepta a Basilio acceperit: hortatur ut Amphilochius ad Basilium veniat, a quo erudiri melius esse statuit, quum in desertis locis vagari.

Ἀμφιλοχίῳ, ὡς παρὰ Ἡρακλείδου.

A

1. Ἐγὼ καὶ τῶν ὁμιληθέντων ἡμῖν πρὸς ἀλλήλους ποτὲ μέμνημαι, καὶ ὧν τε αὐτὸς εἶπον, ὧν τε ἤκουσα παρὰ τῆς εὐγενείας σου, οὐκ ἐπιλέλησμαι. Καὶ νῦν βίος μέν με δημόσιος οὐ κατέχει. Εἰ γὰρ καὶ τῇ καρδίᾳ ὁ αὐτός εἰμι, καὶ οὔπω τὸν παλαιὸν ἀπεδυσάμην ἄνθρωπον, πλήν τῷ γε σχήματι, καὶ τῷ μακρὰν ἐμαυτὸν (23) ποιῆσαι τῶν τοῦ βίου πραγμάτων, ἔδοξα λοιπὸν, οἷον ἐπιβεβηκέναι τῆς ὁδοῦ (24) τῆς κατὰ Χριστὸν πολιτείας. Καθέζομαι δὲ ἐπ' ἐμαυτοῦ, ὥσπερ οἱ εἰς πέλαγος ἀφιέναι μέλλοντες, ἀποσκοπεύων τὸ μέλλον. Οἱ μὲν γὰρ πλέοντες ἀνέμων χρῄζουσι πρὸς τὴν εὔπλοιαν, ἡμεῖς δὲ τοῦ χειραγωγήσοντος ἡμᾶς, καὶ ἀσφαλῶς διὰ τῶν ἁλμυρῶν κυμάτων τοῦ βίου παραπέμψοντος. Χρῄζειν γὰρ ἐμαυτὸν λογίζομαι πρῶτον μὲν χαλινοῦ πρὸς τὴν νεότητα, ἔπειτα κέντρων (25) πρὸς τὸν δρόμον τῆς εὐσεβείας. Τούτων δὲ πρόξενος λόγος δηλονότι, νῦν μὲν παιδαγωγῶν ἡμῶν τὸ ἄτακτον, νῦν δὲ τὸ νωθρὸν τῆς ψυχῆς διεγείρων. Πάλιν μοι χρεία φαρμάκων ἑτέρων, ὥστε τὸν ἐκ τῆς συνηθείας ἀποπλύνασθαι ῥύπον. Οἶδας γὰρ, ὅτι ἡμεῖς, οἱ πολὺν χρόνον ἐνεθισθέντες τῇ ἀγορᾷ, ἀφειδῶς μὲν ἔχομεν τῶν ῥημάτων, ἀφυλάκτως δὲ πρὸς τὰς ἐν τῇ διανοίᾳ συνισταμένας ἐκ τοῦ πονηροῦ (26) φαντασίας. Ἡττήμεθα δὲ καὶ τιμῆς, καὶ τὸ ἐφ' ἑαυτοῖς τι φρονεῖν οὐ ῥᾳδίως ἀποτιθέμεθα. Πρὸς ταῦτα μεγάλου μοι δεῖν καὶ ἐμπείρου λογίζομαι διδασκάλου. Ἔπειτα μέντοι καὶ τὸν ὀφθαλμὸν τῆς ψυχῆς ἀποκαθαρθῆναι, ὥστε πᾶσαν τὴν ἀπὸ τῆς ἀγνοίας ἐπισκότησιν, οἱονεί τινα λήμην, ἀφαιρεθέντα, δύνασθαι ἐνατενίζειν τῷ κάλλει τῆς δόξης τοῦ Θεοῦ, οὐ μικροῦ ἔργου κρίνω, οὐδ' ἐπ' ὀλίγον τὴν ὠφέλειαν φέρειν. Ἃ καὶ τὴν σὴν λογιότητα γνωρίζειν, καὶ ἐπιθυμεῖν ὑπάρξαι τινὰ εἰς ταύτην τὴν βοήθειαν ἀκριβῶς ἐπίσταμαι (27)· καὶ ἐάν ποτε δῷ ὁ Θεὸς εἰς ταυτὸν ἀφικέσθαι τῇ κοσμιότητί σου, δηλονότι πλείονα μαθήσομαι ὑπὲρ ὧν φροντίζειν με χρή. Νῦν γὰρ ὑπὸ πολλῆς ἀμαθίας οὐδὲ ὅσων ἐνδεής (28) εἰμι γνωρίζειν δύναμαι· πλήν γε ὅτι οὐδὲν μετεμέλησέ μοι τῆς πρώτης ὁρμῆς, οὔτε ὀκλάζει μου ἡ ψυχὴ πρὸς τὸν σκοπὸν τοῦ κατὰ Θεὸν βίου, ὅπερ ἠγωνίασας ἐπ' ἐμοὶ, καλῶς καὶ προσηκόντως σαυτῷ ποιῶν, μήποτε, στραφεὶς εἰς τὰ ὀπίσω, στήλη γένωμαι ἁλὸς, ὅπερ γυνή τις ἔπαθεν, ὥσπερ ἀκούω. D

EPISTOLA CL*.

Amphilochio, Heraclidæ nomine.

1. Ego et eorum, quæ inter nos aliquando disseruimus, memini: nec quid dixerim, quid ex generosa tua indole audierim, oblitus sum; et nunc vita publica non distineor. Quanquam enim corde idem sum, ac veterem hominem nondum exui; tamen ipsa specie, et quod longe a sæculi negotiis recesserim, videor jam vitæ secundum Christum viam ingressus esse. Sedeo autem mecum ipse, velut qui sese mari commissuri sunt, prospiciens futurum. Nam qui navigant, ventis indigent ad felicem cursum; nobis vero opus est qui nos manu ducat, ac tuto per amaros vitæ fluctus transvehat. Nam indigere me perspicio, B primum quidem freno adversus juventutem; deinde stimulis ad pietatis cursum. Horum autem conciliatrix ratio videlicet, nunc quidem temperans quod in nobis incompositum est, nunc vero animæ pigritiam excitans. Rursus indigeo remediis aliis, ut sordes ex consuetudine contractas eluam. Scis enim nos, qui diu foro assuefacti fuimus, nec parcos esse verborum, nec cautos adversus eas, quæ in mente excitantur a maligno, cogitationes. Vincimur autem et honore, nec facile de nobis ipsis magni aliquid sentire desinimus. Adversus hæc magno mihi opus esse et perito arbitror magistro. Deinde vero expurgari etiam animæ oculum, ut omnibus ignorationis tenebris quasi lippitudine aliqua liberatus, fixo C intuitu pulchritudinem majestatis Dei conspicere possit, non parvi laboris esse reor, neque parum afferre utilitatis. Atque hæc tuam quoque prudentiam perspicere, ac optare ut aliquis detur ad eam rem adjutor, exploratum habeo: ac si Deus aliquando dederit, ut tuam dignitatem conveniam, plura certe de quibus sollicitum me esse par est, ediscam. Nunc enim, **240** quæ mea est imperitia, quot et quantis indigeam ne cognoscere quidem possum; sed tamen me primi conatus non pœnitet, neque labat et vacillat anima in proposito vivendi secundum Deum; quod ipsum mihi timuisti, præclare teque digne faciens, ne conversus retrorsum, salis statua fierem, quod mulieri cuidam contigisse audio [26]. Sed adhuc me

[26] Gen. XIX, 26.

(23) *Ἐμαυτόν*. Hanc vocem addidimus ex novem mss.

(24) *Τῆς ὁδοῦ*. Regius quidam ms. τοῦ οὐδοῦ, *limen ingressus*: quæ quidem scriptura valde arrideret, si faverent alii codices, aut vitium inesset vulgato contextui. Paulo post Coisl. primus σκοπῶν.

(25) *Κέντρων*. Quatuor mss. κέντρου. Paulo post editi λόγος τις. Vocula deest in quinque veteribus libris, non tamen in antiquissimis.

(26) *Ἐκ τοῦ πονηροῦ*. Quinque mss. ἐκ τῆς πονηρίας. Sed Coisl. primus et Medicæus consentiunt cum editis. In Harlæano autem codice non reperitur hæc epistola.

(27) *Ἐπίσταμαι*. Med. et Coisl. primus πέπεισμαι.

(28) *Ὅσων ἐνδεής*. Coisl. primus et quidam Reg. ὅσον ἐνδεής. Infra idem Coisl. et Med. ὡς ἀκούω.

* Alias CCCXCII. Scripta anno 373.

cohibent externæ potestates, quasi magistratus desertorem aliquem reposcant. Detinet autem me maxime meum ipsius cor, eorum quæ dixi sibi conscium.

2. Quoniam autem meministi pactorum, teque denuntiasti accusaturum, mihi in hac mea tristitia risum movisti, quod etiamnum rhetor sis, nec a timore incutiendo discedas. Ego namque ita existimo, nisi omnino ut imperitus aberrem a veritate, unam esse viam ad Dominum ducentem, et quicunque ad ipsum pergunt, itineris ejusdem esse socios, et eodem vitæ fœdere progredi. Quare quo abiens separari a te possum, nec tecum simul vivere, et tecum servire Deo, ad quem simul confugimus? Corpora enim nostra locis disjungentur; sed profecto Dei oculus ambos simul intuetur; siquidem et vita mea digna fuerit, quæ a Dei oculis conspiciatur; hoc enim legi alicubi in Psalmis: *Oculi Domini super justos* [27]. Equidem cupio et tibi et cuivis alii propositum tuo simile habenti etiam corpore conjungi, et ante Patrem nostrum, qui in cœlis est, tota nocte ac die tecum genua flectere, et si quis alius est, qui rite Deum invocet. Novi enim communionem in precibus multum utilitatis afferre. Quod si quoties mihi contigerit in diverso angulo jacenti ingemiscere, mendacium me omnino sequetur; pugnare non possum adversus ea quæ a te dicta sunt, meque ipse ut mendacem condemno, si quid ejusmodi locutus sum secundum pristinam indifferentiam, quod me mendacii crimine obstringat.

3. Postquam prope Cæsaream veni, ut rerum statum perspicerem, in ipsa urbe nolui commorari, sed ad proximum pauperum hospitium confugi, ut ibi discerem quæ volebam. Deinde cum eo venisset ex more religiosissimus episcopus, retuli ad eum quibus de rebus mandaverat eruditio tua. Quæ autem respondit, ea nec memoria retineri poterant, et epistolæ modum superabant. In summa autem de paupertate hunc dixit esse modum, ut extrema tunica suam quisque possessionem definiat. Atque ex Evangelio testimonia exhibebat: unum quidem Joannis Baptistæ dicentis: *Qui habet duas tunicas, det non habenti* [28]: aliud autem Domini vetantis, ne discipuli duas

Ἀλλ' ἔτι μέν με καὶ αἱ ἔξωθεν ἀρχαὶ συστέλλουσιν, ὥσπερ λειποτάκτην τινὰ τῶν ἀρχόντων ἀναζητούντων (29)· ἐπέχει δέ με μάλιστα ἡ ἐμοῦ αὐτοῦ καρδία, ἐκεῖνα μαρτυροῦσα ἑαυτῇ ἅπερ εἴρηκα.

2. Ἐπειδὴ δὲ συνθηκῶν ἐμνήσθης, καὶ κατηγορεῖν ἐπηγγείλω, γελάσαι με ἐποίησας ἐν ταύτῃ τῇ κατηφείᾳ μου, ὅτι ἔτι ῥήτωρ εἶ, καὶ τῆς δεινότητος οὐκ ἀφίστασαι. Ἐγὼ γὰρ οὕτω νομίζω (30), εἰ μὴ πάντη ὡς ἀμαθὴς διαμαρτάνω τῆς ἀληθείας, μίαν εἶναι ὁδὸν τὴν πρὸς τὸν Κύριον ἄγουσαν, καὶ πάντας τοὺς πρὸς αὐτὸν πορευομένους συνοδεύειν ἀλλήλοις, καὶ κατὰ μίαν συνθήκην τοῦ βίου πορεύεσθαι. Ὥστε ποῦ ἀπελθὼν χωρισθῆναί σου δύναμαι, καὶ μὴ μετὰ σοῦ ζῆν, καὶ μετὰ σοῦ δουλεύειν Θεῷ, ᾧ κοινῇ προσεφύγομεν; Τὰ μὲν γὰρ σώματα ἡμῶν τόποις διαστήσεται· ὁ δὲ τοῦ Θεοῦ ὀφθαλμὸς κοινῇ ἀμφοτέρους ἐφορᾷ δηλονότι· εἴπερ οὖν ἄξιος καὶ ὁ ἐμὸς βίος ὑπὸ τῶν ὀφθαλμῶν τοῦ Θεοῦ ἐποπτεύεσθαι· ἀνέγνων γάρ που ἐν Ψαλμοῖς, ὅτι *Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους*. Ἐγὼ μὲν γὰρ εὔχομαι καὶ σοὶ καὶ παντὶ τῷ παραπλησίως (31) σοι προαιρουμένῳ καὶ τῷ σώματι συνεῖναι, καὶ πᾶσαν νύκτα καὶ ἡμέραν μετὰ σοῦ κλίνειν τὰ γόνατα πρὸς τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς, καὶ εἴ τις ἄλλος ἀξίως ἐπικαλούμενος τὸν Θεόν· οἶδα γὰρ τὴν ἐν ταῖς προσευχαῖς κοινωνίαν πολὺ τὸ κέρδος φέρουσαν (32)· εἰ δὲ, ὁσάκις ὑπάρξῃ μοι ἐν διαφόρῳ γωνιδίῳ (33) παρεῤῥιμμένῳ στενάζειν, ἀκολουθήσει μοι πάντως τὸ ψεύδεσθαι, μάχεσθαι μὲν (34) πρὸς τὸν λόγον οὐκ ἔχω, ἤδη δὲ ὡς ψεύστου ἐμαυτὸν κατακρίνω, εἴ τι τοιοῦτον κατὰ τὴν παλαιὰν ἀδιαφορίαν ἐφθεγξάμην, ὃ με τῷ κρίματι τοῦ ψεύδους ὑπόδικον καθιστᾷ.

3. Γενόμενος δὲ πλησίον Καισαρείας, ὥστε γνωρίσαι τὰ πράγματα, καὶ αὐτῇ παραβαλεῖν τῇ πόλει μὴ ἀνασχόμενος, τῷ πλησίον προσέφυγον πτωχοτροφείῳ, ὥστε ἐκεῖ μαθεῖν περὶ ὧν ἐβουλόμην. Εἶτα κατὰ συνήθειαν ἐπιδημήσαντι τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ ἀνήνεγκα περὶ ὧν ἐπέταξεν (35) ἡμῖν ἡ λογιότης σου. Καὶ ἃ μὲν ἀπεκρίνατο, οὔτε τῇ μνήμῃ φυλαχθῆναι παρ' ἡμῶν δυνατὸν (36) ἦν, καὶ ἐπιστολῆς ὑπερέβαινε μέτρον. Ὡς ἐν κεφαλαίῳ δὲ περὶ τῆς ἀκτημοσύνης ἐκεῖνο ἔφη τὸ μέτρον εἶναι, ὥστε εἰς τὸν ἔσχατον χιτῶνα ἕκαστον ἑαυτῷ περιιστάναι (37) τὴν κτῆσιν. Καὶ παρείχετο ἡμῖν ἐκ τοῦ Εὐαγγελίου τὰς ἀποδείξεις· μίαν μὲν, ὡς Ἰωάννου τοῦ βαπτιστοῦ εἰπόντος· *Ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ*

[27] Psal. XXXIII, 16. [28] Luc. III, 11.

2. Primum itaque, quod in ejusmodi rebus maximum est, morem nostrum objicere possumus, ut vim legis habentem, eo quod nobis a viris sanctis traditæ sint regulæ. Mos autem ille est ejusmodi, ut si quis impuritatis vitio aliquando victus in illicitam duarum sororum conjunctionem inciderit, neque id matrimonium existimetur, neque omnino in Ecclesiæ cœtum admittantur, priusquam a se invicem dirimantur. Quare etiamsi nihil aliud dici posset, satis esset ipsa consuetudo ad boni custodiam. Sed quia qui hanc scripsit epistolam, adulterino argumento malum tantum conatus est in mores hominum inducere, necesse est, ut nec ratiocinationum subsidium omittamus, quanquam, in rebus valde conspicuis, argumentatione potior est uniuscujusque prænotio.

3. Scriptum est, inquit, in Levitico: *Uxorem super sorore ejus non accipies æmulam, ad revelandam turpitudinem ejus super eam, adhuc vivente ea* [22]. Inde igitur manifestum esse dicit mortuæ sororem accipere licere. Ad hoc primum quidem dicam, quæcunque lex dicit, iis qui in lege sunt dicere; alioqui sic et circumcisioni et Sabbato et abstinentiæ ciborum subjiciemur. Neque enim si quid inveniamus appositum nostris voluptatibus, jugo servitutis legis nos ipsi subjiciemus: si quid autem visum fuerit grave in legalibus, tunc ad libertatem, **250** quæ in Christo est, confugiemus. Interrogati sumus an scriptum sit, ut accipiatur uxor post ipsius sororem. Di-

A ἀξιόπιστον ἐθελῆσαι ποιῆσαι τοῖς ἀκροωμένοις. Ὅς γε, ἐρωτηθεὶς ὑπό τινος, εἰ θεμιτὸν αὐτῷ (99) πρὸς γάμον ἀγαγέσθαι τῆς γυναικὸς τελευτησάσης τὴν ἀδελφὴν, οὐκ ἔφριξε τὴν ἐρώτησιν, ἀλλὰ καὶ πράως ἤνεγκε τὴν ἀκοὴν, καὶ τὸ ἀσελγὲς ἐπιθύμημα πάνυ γενναίως (1) καὶ ἀγωνιστικῶς συγκατέπραξεν. Εἰ μὲν οὖν παρῆν μοι τὸ γράμμα, αὐτὸ ἂν ἀπέστειλα, καὶ ἐξήρκεις (2) σαυτῷ τε ἀμῦναι καὶ τῇ ἀληθείᾳ· ἐπεὶ δὲ ὁ δείξας πάλιν ἀφείλετο, καὶ ὥσπερ τι τρόπαιον καθ' ἡμῶν περιέφερε, κεκωλυκότων τὸ ἐξ ἀρχῆς, ἔγγραφον ἔχειν λέγων τὴν ἐξουσίαν· ἐπέστειλα νῦν σοι, ὥστε διπλῇ τῇ χειρὶ ἡμᾶς ἐλθεῖν ἐπὶ τὸν νόθον ἐκεῖνον λόγον, καὶ μηδεμίαν αὐτῷ ἰσχὺν καταλιπεῖν, ἵνα μὴ ἔχῃ βλάπτειν ῥᾳδίως τοὺς ἐντυγχάνοντας.

B 2. Πρῶτον μὲν οὖν, ὃ μέγιστον ἐπὶ τῶν τοιούτων ἐστὶ, τὸ παρ' ἡμῖν ἔθος, ὃ ἔχομεν προβάλλειν, νόμου δύναμιν ἔχον, διὰ τὸ ὑφ' ἁγίων ἀνδρῶν τοὺς θεσμοὺς ἡμῖν παραδοθῆναι. Τοῦτο δὲ τοιοῦτόν ἐστιν· ἐάν τις, πάθει ἀκαθαρσίας ποτὲ κρατηθεὶς, ἐκπέσῃ πρὸς δυεῖν ἀδελφῶν ἄθεσμον κοινωνίαν, μήτε γάμον ἡγεῖσθαι τοῦτον (3), μηθ' ὅλως εἰς Ἐκκλησίας πλήρωμα παραδέχεσθαι πρότερον, ἢ διαλῦσαι αὐτοὺς ἀπ' ἀλλήλων. Ὥστε εἰ καὶ μηδὲν ἕτερον εἰπεῖν ἦν, ἐξήρκει τὸ ἔθος πρὸς τὴν τοῦ καλοῦ (4) φυλακήν. Ἐπειδὴ δὲ ὁ τὴν ἐπιστολὴν γράψας, ἐπιχειρήματι κιβδήλῳ κακὸν τοσοῦτον ἐπειράθη τῷ βίῳ ἐπαγαγεῖν, ἀνάγκη μηδὲ ἡμᾶς τῆς ἐκ τῶν λογισμῶν βοηθείας ὑφέσθαι· καίτοι γε ἐπὶ τῶν σφόδρα ἐναργῶν μείζων ἐστὶ τοῦ λόγου ἡ παρ' ἑκάστου (5) πρόληψις.

C

3. Γέγραπται, φησὶν, ἐν τῷ Λευϊτικῷ· *Γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον, ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῇ, ἔτι ζώσης αὐτῆς*. Δῆλον δὴ οὖν ἐκ τούτου εἶναί φησιν, ὅτι συγχωρεῖται λαμβάνειν τελευτησάσης. Πρὸς δὴ τοῦτο πρῶτον μὲν ἐκεῖνο ἐρῶ· ὅτι, ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ (6)· ἐπεὶ οὕτω γε καὶ περιτομῇ, καὶ Σαββάτῳ, καὶ ἀποχῇ βρωμάτων ὑποκεισόμεθα. Οὐ γὰρ δὴ, ἐὰν μέν τι εὕρωμεν συντρέχον ἡμῶν ταῖς ἡδοναῖς, τῷ ζυγῷ τῆς δουλείας τοῦ νόμου ἑαυτοὺς ὑποθήσομεν· ἐὰν δέ τι φανῇ βαρὺ τῶν νομίμων, τότε πρὸς τὴν ἐν Χριστῷ ἐλευθερίαν ἀποδραμούμεθα. D Ἠρωτήθημεν (7) εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ. Εἴπομεν, ὅπερ ἀσφαλὲς ἡμῖν

[22] Levit. XVIII, 18.

(99) *Αὐτῷ*. Sic tres vetustissimi codices et Coisl. secundus. Editi αὐτόν. Deest ea vox in codice Coisl. qui sæculo nono exaratus, atque hanc epistolam cum aliis synodorum et sanctorum Patrum canonibus complectitur.

(1) *Γενναίως*. Editi addunt αὐτῷ, quod deest in tribus vetustissimis codicibus.

(2) *Ἐξήρκεις*. Sic mss. novem. Editi ἐξήρκει.

(3) *Τοῦτον*. Ita octo mss. quorum quatuor longe vetustissimi. Editi τοῦτο.

(4) *Καλοῦ*. Sic editi et codices Harl. et Med. Legitur in tribus Coislinianis codicibus et quatuor aliis κακοῦ, *ad malum cavendum*. Utra scriptura potior videri debeat, nec facile est statuere, nec magni momenti. Vulgatam retinere malui, quam confirmat Gregorius Nazianzenus orat. XXIII, p. 410, ubi Heronem canem esse dicit, *non latratu, sed boni custodia, et vigiliis pro animarum salute susceptis*. Οὐδὲ τὴν ὑλακὴν, ἀλλὰ τὴν φυλακὴν τοῦ καλοῦ, καὶ τὸ ὑπὲρ τῶν ψυχῶν ἄγρυπνον.

(5) *Παρ' ἑκάστου*. Quatuor mss. recentiores παρ' ἑκάστῳ. Sic etiam habet vetustissima canonum collectio Coisliniana.

(6) *Λαλεῖ*. Quatuor codices non antiquissimi λέγει.

(7) *Ἠρωτήθημεν*. Non male unus codex Regius ἠρώτησεν, et paulo post εἴπωμεν, *interrogavit... dicamus*, etc. Consentit in secunda voce Coisl. secundus.

καὶ ἀληθές, ὅτι οὐ γέγραπται. Τὸ δ' ἐκ τῆς τοῦ ἀκολούθου ἐπιφορᾶς, τὸ σιωπηθὲν συλλογίζεσθαι νομοθετοῦντός ἐστιν, οὐ τὰ τοῦ νόμου λέγοντος· ἐπεὶ οὕτω γε ἐξέσται τῷ βουλομένῳ κατατολμῆσαι καὶ ἔτι ζώσης τῆς γυναικὸς λαμβάνειν τὴν ἀδελφήν. Τὸ γὰρ αὐτὸ τοῦτο σόφισμα καὶ ἐπ' ἐκείνου ἁρμόζει. Γέγραπται γάρ, φησίν, *Οὐ λήψῃ ἀντίζηλον*, ὡς τήν γε ἔξω τοῦ ζήλου λαβεῖν οὐκ ἐκώλυσεν. Ὁ δὴ συνηγορῶν τῷ πάθει ἀζηλότυπον εἶναι διοριεῖται τὸ ἦθος τῶν ἀδελφῶν. Ἀνῃρημένης οὖν τῆς αἰτίας, δι' ἣν ἀπηγόρευσε τὴν ἀμφοτέρων συνοίκησιν, τί τὸ κωλῦον ἔσται (8) λαμβάνειν τὰς ἀδελφάς; Ἀλλ' οὐ γέγραπται ταῦτα, φήσομεν. Ἀλλ' οὐδὲ ἐκεῖνα ὥρισται. Ἡ δὲ ἔννοια τοῦ ἀκολούθου ὁμοίως ἀμφοτέραις (9) τὴν ἄδειαν δίδωσιν. Ἔδει δέ, καὶ μικρὸν (10) ἐπὶ τὰ κατόπιν τῆς νομοθεσίας ἐπαναδραμόντα, ἀπηλλάχθαι πραγμάτων. Ἔοικε γὰρ οὐ πᾶν εἶδος ἁμαρτημάτων περιλαμβάνειν ὁ νομοθέτης· ἀλλ' ἰδίως ἀπαγορεύειν τὰ τῶν Αἰγυπτίων, ὅθεν ἀπῆρεν ὁ Ἰσραήλ, καὶ τὰ τῶν Χαναναίων, πρὸς οὓς μεθίστατο. Ἔχει γὰρ οὕτως ἡ λέξις· *Κατὰ τὰ ἐπιτηδεύματα τῆς Αἰγύπτου, ἐν ᾗ παρῳκήσατε ἐπ' αὐτῆς, οὐ ποιήσετε· καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναάν, εἰς ἣν ἐγὼ εἰσάξω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ ἐν τοῖς νομίμοις* (11) *αὐτῶν οὐ πορεύσεσθε*. Ὥστε τοῦτο εἰκός που (12) τὸ εἶδος τῆς ἁμαρτίας μὴ ἐμπολιτεύεσθαι τότε παρὰ τοῖς ἔθνεσι· διὸ μηδὲ τῆς ἐπ' αὐτῷ φυλακῆς προσδεηθῆναι τὸν νομοθέτην, ἀλλ' ἀρκεσθῆναι τῷ ἀδιδάκτῳ ἔθει πρὸς τὴν τοῦ μύσους διαβολήν. Πῶς οὖν, τὸ μεῖζον ἀπαγορεύσας, τὸ ἔλαττον ἐσιώπησεν; Ὅτι ἐδόκει πολλοὺς τῶν φιλοσάρκων, πρὸς τὸ ἔτι ζώσαις ἀδελφαῖς συνοικεῖν, τὸ ὑπόδειγμα βλάπτειν τοῦ πατριάρχου. Ἡμᾶς δὲ τί χρὴ ποιεῖν; Τὰ γεγραμμένα λέγειν, ἢ τὰ σιωπηθέντα προσεξεργάζεσθαι; Αὐτίκα τὸ μὴ δεῖν μιᾷ ἑταίρᾳ κεχρῆσθαι πατέρα καὶ υἱὸν ἐν μὲν τοῖς νόμοις τούτοις οὐ γέγραπται, παρὰ δὲ τῷ Προφήτῃ μεγίστης κατηγορίας ἠξίωται. *Υἱὸς γάρ*, φησι, *καὶ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην εἰσεπορεύοντο*. Πόσα δὲ εἴδη ἄλλα τῶν ἀκαθάρτων παθῶν τὸ μὲν τῶν δαιμόνων διδασκαλεῖον ἐξεῦρεν, ἡ δὲ θεία Γραφὴ ἀπεσιώπησε, τὸ σεμνὸν ἑαυτῆς ταῖς τῶν αἰσχρῶν ὀνομασίαις καταῤῥυπαίνειν οὐχ αἱρουμένη, ἀλλὰ γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέβαλεν! Ὡς καὶ ὁ ἀπόστολος Παῦλός φησι· *Πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις*· τῷ τῆς ἀκαθαρσίας ὀνόματι τάς τε τῶν ἀῤῥένων ἀῤῥητοποιίας καὶ τὰς τῶν θηλειῶν περιλαμβάνων. Ὥστε οὐ πάντως ἡ σιωπὴ ἄδειαν φέρει τοῖς φιληδόνοις.

A cimus, quod tutum nobis est et verum, hoc scriptum non esse. Quod autem silentio prætermissum est, id per consecutionis illationem colligere, legislatoris est, non legem recitantis; siquidem hoc pacto licebit volenti facinus aggredi, etiam adhuc viventis uxoris accipere sororem. Nam ipsum illud sophisma etiam ad eam rem appositum est. Scriptum est, inquit, *Non accipies æmulam*: proinde accipi eam extra æmulationem non prohibuit. Qui autem libidini patrocinabitur, æmulationis expertem esse affirmabit indolem sororum. Quare sublata causa, ob quam ambarum connubium prohibuit, quid impediet quominus sorores accipiantur? Sed hæc scripta non sunt, aiemus. Sed neque illa statuta sunt. Consecu-B tionis autem intelligentia pariter ambabus licentiam tribuit. Verum oportebat paulisper ad ea quæ legem præcedunt recurrendo, difficultate liberari. Videtur enim non omne peccatorum genus comprehendere legislator: sed peculiariter Ægyptiorum unde Israel exierat, et Chananæorum ad quos transferebatur, mores interdicere. Sic enim habet ad verbum: *Secundum instituta terræ Ægypti, in qua habitastis in ea, non facietis: et secundum instituta terræ Chanaan, in quam ego inducam vos illuc, non facietis, neque in legitimis eorum ambulabitis* [34]. Verisimile est hoc peccati genus tunc inter gentes non viguisse. Quapropter opus non fuit legislatori, ut illud ca-C vendum curaret: sed satis ei fuit mos non doctus ad sceleris reprehensionem. Quomodo igitur majore vetito, minus prætermisit? Quia videbatur multis carni indulgentibus, ut cum sororibus adhuc viventibus habitarent, noxium esse exemplum patriarchæ. Nos autem quid facere oportet? Quæ scripta sunt dicere, an prætermissa accuratius scrutari? Protinus, non oportere uti una pellice patrem et filium, in his legibus scriptum non est, sed apud Prophetam crimini maximo datur. *Filius enim*, inquit, *et pater ad eamdem puellam ingrediebantur* [35]. Quot autem alia cupiditatum impurarum genera dæmonum quidem doctrina excogitavit, tacuit vero divina Scriptura, honestatem suam rerum turpium appellationibus D fœdare nolens, sed generatim impuritates vituperavit! Sic ut et Apostolus Paulus ait: *Fornicatio autem et omnis immunditia ne nominetur quidem in vobis, sicut decet sanctos* [36]: immunditiæ nomine tum virorum tum mulierum obscena facinora comprehendens. Quare non omnino silentium licentiam dat voluptariis.

[34] Levit. XVIII, 3. [35] Amos II, 7. [36] Ephes. V, 3.

(8) *Κωλῦον ἔσται*. Ita mss. octo. Editi κωλύον ἐστί.

(9) *Ἀμφοτέραις*. Ita tres vetustissimi codices. Editi ἀμφοτέροις.

(10) *Καὶ μικρόν*. Deest conjunctio in uno codice Regio et in Coisliniana canonum collectione.

(11) *Ἐν τοῖς νομίμοις*. Præpositio addita ex tribus vetustissimis mss.

(12) *Τοῦτο εἰκός που*. Editi τοῦτ' εἰ καί που, et paulo post φυλακῆς προσδεχθῆναι. Omnes mss. ut in textu, nisi quod nonnulli habent δεηθῆναι. Non multo post editi πολλοῖς τῶν φιλοσάρκων, quod emendavimus ope codicis Coisl. secundi.

4. Ego autem neque tacitam illam partem fuisse dico : imo etiam a legislatore vehementer admodum fuisse prohibitam. Illud enim, *Non ingredieris ad omnem carnis tuæ affinem ad revelandam eorum turpitudinem* [37], hanc etiam affinitatis speciem complectitur. Etenim quid **251** viro affine magis est quam sua ipsius uxor, imo quam sua ipsius caro? Non enim amplius duæ sunt, sed una caro. Itaque per uxorem soror ad viri affinitatem transit. Quemadmodum enim matrem uxoris non assumet, neque filiam uxoris, propterea quod neque suam ipsius matrem, neque suam ipsius filiam; ita nec uxoris sororem, propterea quod neque suam ipsius sororem. Et vice versa, neque uxori licebit sese viri affinibus conjungere. Sunt enim utrinque communia affinitatis jura. Ego porro cuilibet de nuptiis consulenti testificor, præterire figuram hujus mundi, et tempus breve esse, *Ut qui habent uxores tanquam non habentes sint* [38]. Quod si mihi perperam legat illud: *Crescite et multiplicamini* [39] : rideo legum tempora non discernentem. Fornicationis remedium nuptiæ secundæ, non occasio lasciviæ. Si se non continent, nubant, inquit [40], non vero et nubentes legem violent.

5. Isti autem, quorum animus vitio turpitudinis lippus est, ne ad naturam quidem respiciunt, quæ jam olim generis nomina discrevit. Ex qua enim cognatione natos appellabunt? Fratresne, an consobrinos vocabunt? siquidem nomen utrumque eis ob confusionem congruit. Ne facias, o homo, amitam novercam infantium; nec quæ in matris loco fovere debet, eam æmulatione implacabili armaveris. Nam solum novercarum genus etiam post mortem odium ac inimicitiam extendit. Imo, alii inimici mortuis reconciliantur; novercæ odisse post mortem incipiunt. Summa dictorum hæc est : Si quis legitime nuptias appetit, totus orbis terrarum patet : sin libidine impellitur, ob id magis etiam excludatur, *Ut discat vas suum possidere in sanctificatione et honore, non in passione desiderii* [41]. Me plura dicere parantem modus epistolæ cohibet. Precor autem, ut vel nostra admonitio vitium superet, vel non serpat in nostram regionem hoc piaculum; sed in quibus admissum est locis, in his permaneat.

4. Ἐγὼ δὲ οὐδὲ σεσιωπῆσθαι τὸ μέρος τοῦτό φημι, ἀλλὰ καὶ πάνυ σφοδρῶς ἀπηγορευκέναι τὸν νομοθέτην. Τὸ γὰρ, *Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτῶν*, ἐμπεριεκτικόν ἐστι καὶ τούτου τοῦ εἴδους τῆς οἰκειότητος. Τί γὰρ ἂν γένοιτο οἰκειότερον ἀνδρὶ τῆς ἑαυτοῦ γυναικὸς, μᾶλλον δὲ τῆς ἑαυτοῦ σαρκός; Οὐ γὰρ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. Ὥστε διὰ τῆς γυναικὸς ἡ ἀδελφὴ πρὸς τὴν τοῦ ἀνδρὸς οἰκειότητα μεταβαίνει. Ὡς γὰρ μητέρα γυναικὸς οὐ λήψεται, οὐδὲ θυγατέρα τῆς γυναικὸς, διότι μηδὲ τὴν ἑαυτοῦ μητέρα, μηδὲ τὴν ἑαυτοῦ θυγατέρα· οὕτως οὐδ' ἀδελφὴν γυναικὸς, διότι μηδὲ ἀδελφὴν ἑαυτοῦ. Καὶ τὸ ἀνάπαλιν, οὐδὲ τῇ γυναικὶ ἐξέσται τοῖς οἰκείοις τοῦ ἀνδρὸς συνοικεῖν. Κοινὰ γὰρ ἐπ' ἀμφοτέρων τῆς συγγενείας τὰ δίκαια. Ἐγὼ δὲ παντὶ τῷ περὶ γάμου βουλευομένῳ διαμαρτύρομαι, ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ ὁ καιρὸς συνεσταλμένος ἐστὶν, *Ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν*. Ἐὰν δέ μοι παραναγινώσκῃ τὸ, *Αὐξάνεσθε καὶ πληθύνεσθε*· καταγελῶ τοῦ τῶν νομοθεσιῶν τοὺς καιροὺς μὴ διακρίνοντος. Πορνείας παραμυθία ὁ δεύτερος γάμος, οὐκ ἐφόδιον εἰς ἀσέλγειαν. Εἰ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν, φησίν· οὐχὶ δὲ καὶ γαμοῦντες παρανομείτωσαν.

5. Οἱ δὲ οὐδὲ πρὸς τὴν φύσιν ἀποβλέπουσιν, οἱ τὴν ψυχὴν λημῶντες τῷ πάθει τῆς ἀτιμίας, πάλαι διακρίνασαν τὰς τοῦ γένους προσηγορίας. Ἐκ ποίας γὰρ συγγενείας τοὺς γεννηθέντας προσαγορεύσουσιν; Ἀδελφοὺς αὐτοὺς ἀλλήλων ἢ ἀνεψιοὺς προσεροῦσιν; ἀμφότερα γὰρ αὐτοῖς προσαρμόσει διὰ τὴν σύγχυσιν. Μὴ ποιήσῃς, ὦ ἄνθρωπε, τὴν θείαν μητρυιὰν τῶν νηπίων· μηδὲ τὴν ἐν μητρὸς τάξει θάλπειν ὀφείλουσαν, ταύτην ἐφοπλίσῃς ταῖς ἀμειλίκτοις ζηλοτυπίαις. Μόνον γὰρ τὸ γένος (13) τῶν μητρυιῶν καὶ μετὰ θάνατον ἐλαύνει τὴν ἔχθραν· μᾶλλον δὲ οἱ μὲν ἄλλως πολέμιοι τοῖς τεθνηκόσι σπένδονται· αἱ δὲ μητρυιαὶ τοῦ μίσους μετὰ τὸν θάνατον ἄρχονται. Κεφάλαιον δὲ τῶν εἰρημένων, Εἰ μὲν νόμῳ τις ὁρμᾶται πρὸς τὸν γάμον, ἤνοικται πᾶσα ἡ οἰκουμένη· εἰ δὲ ἐμπαθὴς αὐτῷ ἡ σπουδὴ, διὰ τοῦτο καὶ πλέον ἀποκλεισθήτω, *Ἵνα μάθῃ τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας*. Πλείονά με λέγειν ὡρμημένον τὸ μέτρον ἐπέχει (14) τῆς ἐπιστολῆς. Εὔχομαι δὲ ἢ τὴν παραίνεσιν ἡμῶν ἰσχυροτέραν τοῦ πάθους ἀποδειχθῆναι, ἢ μὴ ἐπιδημῆσαι τῇ ἡμετέρᾳ (15) τὸ ἄγος τοῦτο· ἀλλ' ἐν οἷς ἂν ἐτολμήθη τόποις ἐναπομεῖναι.

[37] Levit. XVIII, 6. [38] I Cor. VII, 29. [39] Gen. I, 28; IX, 1. [40] I Cor. VII, 9. [41] I Thess. IV, 4.

(13) *Τὸ γένος*. Sic tres vetustissimi codices cum pluribus aliis. Editi τὸ μῖσος. Ibidem Coisl. primus καὶ ὑπὲρ θάνατον.

(14) *Ἐπέχει*. Sic iidem codices. Editi ἐπέσχε.

(15) *Τῇ ἡμετέρᾳ*. Perspicitur ex conclusione hujus epistolæ incestas illas nuptias, quæ huic epistolæ occasionem dederunt, non contractas in Ecclesia Cæsariensi fuisse. Ac profecto, qua erat constantia Basilius in vindicandis Ecclesiæ suæ institutis, minime dubium quin ei, qui uxoris mortuæ sororem duxerat, longe fuisset epistolæ Diodoro afflictæ præsidium.

ΕΠΙΣΤΟΛΗ ΡΞΑ΄.

EPISTOLA CLXI*

Amphilochium consolatur Basilius, tum cum fugeret ordinationem, gratiæ retibus irretitum. Hortatur ut pravæ doctrinæ pravisque moribus constanter obsistat. Rogat ut si se longo morbo debilitatum invisere velit, nec tempus nec signum exspectet.

Ἀμφιλοχίῳ (16), *χειροτονηθέντι ἐπισκόπῳ.*

A 1. Εὐλογητὸς ὁ Θεὸς, ὁ τοὺς καθ' ἑκάστην γενεὰν εὐαρεστοῦντας αὐτῷ ἐκλεγόμενος, καὶ γνωρίζων τὰ σκεύη τῆς ἐκλογῆς, καὶ κεχρημένος αὐτοῖς πρὸς τὴν λειτουργίαν τῶν ἁγίων· ὁ καὶ νῦν σε φεύγοντα, ὡς αὐτὸς φῄς, οὐχ ἡμᾶς, ἀλλὰ τὴν δι' ἡμῶν προσδοκωμένην κλῆσιν, τοῖς ἀφύκτοις δικτύοις τῆς χάριτος σαγηνεύσας, καὶ ἀγαγὼν εἰς τὰ μέσα τῆς Πισιδίας, ὥστε ἀνθρώπους ζωγρεῖν τῷ Κυρίῳ, καὶ ἕλκειν ἀπὸ τοῦ βυθοῦ εἰς τὸ φῶς τοὺς ἐζωγρημένους ὑπὸ τοῦ διαβόλου εἰς τὸ ἐκείνου θέλημα. Λέγε οὖν καὶ σὺ τὰ τοῦ μακαρίου Δαβίδ· *Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;* Τοιαῦτα γὰρ θαυματουργεῖ ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης. Ὄνοι (17) ἀπόλλυνται, ἵνα βασιλεὺς Ἰσραὴλ γένηται. Ἀλλ' ἐκεῖνος μὲν, Ἰσραηλίτης ὢν, τῷ Ἰσραὴλ ἐδόθη· σὲ δὲ ἡ θρεψαμένη καὶ πρὸς τοσοῦτον ἀναβιβάσασα τῆς ἀρετῆς ὕψος οὐκ ἔχει, ἀλλὰ τὴν γείτονα ὁρᾷ τῷ ἰδίῳ κόσμῳ σεμνυνομένην. Ἐπειδὴ δὲ εἷς λαὸς πάντες οἱ εἰς Χριστὸν ἠλπικότες, καὶ μία Ἐκκλησία νῦν οἱ Χριστοῦ, κἂν ἐκ διαφόρων τόπων προσαγορεύηται, χαίρει καὶ ἡ πατρὶς καὶ εὐφραίνεται ταῖς τοῦ Κυρίου οἰκονομίαις, καὶ οὐχ ἡγεῖται ἕνα ἄνδρα ἐζημιῶσθαι, ἀλλὰ δι' ἑνὸς Ἐκκλησίας ὅλας προσειληφέναι. Μόνον παράσχοι ὁ Κύριος καὶ παρόντας ὁρᾷν ἡμᾶς (18), καὶ ἀπόντας ἀκούειν τὴν προκοπήν σου, τὴν ἐν τῷ Εὐαγγελίῳ, καὶ τὴν εὐταξίαν τῶν Ἐκκλησιῶν.

2. Ἀνδρίζου τοίνυν καὶ ἴσχυε, καὶ προπορεύου τοῦ λαοῦ, ὃν ἐπίστευσε τῇ δεξιᾷ σου ὁ Ὕψιστος. Καὶ ὡς νοήμων κυβέρνησιν ποιησάμενος, πάσης ζάλης ἀπὸ τῶν αἱρετικῶν πνευμάτων ἐγειρομένης ὑψηλότερος γενόμενος τῇ γνώμῃ, ἀβάπτιστον τοῖς ἁλμυροῖς καὶ πικροῖς τῆς κακοδοξίας κύμασι διαφύλασσε (19) τὴν ὁλκάδα, ἀναμένων τὴν γαλήνην, ἣν ποιήσει ὁ Κύριος, ἐπειδὰν εὑρεθῇ φωνὴ ἀξία τοῦ διαναστῆσαι αὐτὸν πρὸς τὴν ἐπιτίμησιν τῶν πνευμάτων καὶ τῆς θαλάσσης. Εἰ δὲ βούλει ἡμᾶς λοιπὸν ὑπὸ τῆς μακρᾶς ἀῤῥωστίας ἐπειγομένους (20) πρὸς τὴν ἀναγκαίαν ἔξοδον ἐπισκέψασθαι, μήτε καιρὸν ἀναμείνῃς μήτε τὸ παρ' ἡμῶν σύνθημα· εἰδὼς, ὅτι πατρικοῖς σπλάγχνοις πᾶσα εὐκαιρία ἐστὶ περιπτύσσεσθαι τέκνον ἀγαπητὸν, καὶ λόγου παντὸς κρείττων ἡ κατὰ ψυχὴν διάθεσις. Βάρος δὲ ὑπερβαῖνον τὴν δύναμιν μὴ ὀδύρου. Εἰ μὲν γὰρ αὐτὸς ἦς ὁ μέλλων φέρειν τὸ βάσταγμα τοῦτο,

Amphilochio, ordinato episcopo.

1. Benedictus Deus, qui sibi placentes in singulis ætatibus eligit, electionisque secernit vasa, et his utitur ad ministerium sanctorum: qui nunc etiam te, cum fugeres, ut tumet dixisti, non nos, sed vocationem quam per nos futuram suspicabaris, inevitabilibus gratiæ retibus illigavit, ac in mediam Pisidiam deduxit, ut homines Domino capias, et ex profundo pertrahas ad lucem, quos cepit diabolus, ut suam ipsius faciant voluntatem. Dic **252** igitur et tu quæ beatus David dicebat: *Quo ibo a spiritu tuo? et quo a facie tua fugiam* [44]? Talia enim operatur miracula benignissimus Dominus noster. Asinæ pereunt [45], ut rex Israel fiat. Sed ille cum Israelita esset, Israeli datus est: te B vero non habet quæ enutrivit et ad tantum perduxit virtutis apicem: sed vicinam videt proprio ornatu decoram. Sed quia unus populus sunt quotquot in Christum sperant, et nunc una Ecclesia qui Christi sunt, quanquam ex multis locis nominatur; gaudet etiam patria, et lætatur Domini dispensationibus, neque amisisse se unum virum existimat, sed per unum totas Ecclesias acquisivisse. Tantummodo largiatur Dominus, ut et præsentes videamus, et absentes audiamus tuum in Evangelio profectum ac rectum Ecclesiarum ordinem.

2. Proinde age viriliter, corroborare, et præ C populo, quem credidit dextræ tuæ Altissimus. Atque, ut peritus gubernator, tempestate omni ab hæreticorum ventis excitata superior animo, immersabile custodi salsis et amaris pravæ doctrinæ fluctibus navigium; exspectans tranquillitatem, quam faciet Dominus, simul ut vox inventa fuerit digna, quæ ipsum excitet ut ventos et mare increpet. Quod si nos jam longa ægritudine properantes ad necessarium exitum invisere cupis, nec tempus nec a nobis signum exspectes: quippe cum scias nullum tempus paternis visceribus commodum non esse ad dilecti filii complexum, ac sermone omni præstantiorem esse mentis affectionem. Noli onus viribus fortius lamentari. Si enim ipse hoc esses oneris portaturus, ne sic quidem grave D foret, sed prorsus intolerabile. Si vero Dominus tecum portat, *Jacta super Dominum curam tuam,*

[44] Psal. CXXXVIII, 7. [45] I Reg. IX, 3.

(16) *Ἀμφιλοχίῳ*, etc. Hunc titulum eruimus ex codicibus Coisl. primo, Med., Vat. et uno ex Regiis. Editi habent tantum τῷ αὐτῷ.

(17) *Ὄνοι*. Ita Coisl. primus et Med. cum duobus Regiis et utroque Bigot. Editi ἐχθροί, *inimici pereunt*. Non exstat hæc epistola in codice Harlæano.

(18) *Ὁρᾷν ἡμᾶς*. Ita plerique mss. Editi ὁρᾷν ὑμᾶς, *ut te videam*.

(19) *Διαφύλασσε*. Ita mss. novem. Editi διαφύλαξαι.

(20) *Ἐπειγομένους*. Coisl. primus ἐπαγομένους.

* Alias CCCXCIII. Scripta anno 374.

et ipse faciet [44]. Sine te hoc unum commoneam, ut in omnibus caveas, ne ipse pravis moribus una cum aliis abripiare, sed mala quæ prius obtinuerunt, per datam a Deo tibi sapientiam in melius transferas. Misit enim te Christus, non ut alios sequare, sed ut ipse præeas his qui salvantur. Quin etiam, rogo, pro me preceris, ut si adhuc in hac vita remaneo, dignus habear qui te una cum tua Ecclesia videam; sin hinc jam abire jubeor, illic vos videamus apud Dominum, illam quidem, tanquam vitem, bonis operibus affluentem; te vero, tanquam sapientem agricolam et bonum servum demenso conservis tempestive distribuendo, mercedem fidelis prudentisque dispensatoris reportantem. Quotquot mecum sunt, pietatem tuam salutant. Valens lætusque sis in Domino: clarus in donis Spiritus et sapientiæ custodiaris.

A οὐδὲ οὕτως ἂν ἦν βαρὺ, ἀλλὰ φορητὸν (21) παντελῶς· εἰ δὲ Κύριος ὁ συνδιαφέρων, *Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός ποιήσει.* Μόνον ἐκεῖνο παραφυλάσσειν ἐν πᾶσι παρακλήθητι, μὴ αὐτὸς τοῖς μοχθηροῖς ἔθεσι συμπεριφέρεσθαι, ἀλλὰ τὰ κακῶς προειλημμένα διὰ τῆς δεδομένης σοι παρὰ Θεοῦ σοφίας μετατιθέναι πρὸς τὸ χρήσιμον. Καὶ γὰρ ἀπέστειλέ σε Χριστὸς οὐχ ἑτέροις κατακολουθεῖν, ἀλλ' αὐτὸν καθηγεῖσθαι τῶν σωζομένων. Καὶ παρακαλοῦμεν προσεύχεσθαι ὑπὲρ ἡμῶν, ἵνα, ἐὰν μὲν ἔτι ὦμεν ἐπὶ τῆς ζωῆς ταύτης, ἰδεῖν σε μετὰ τῆς Ἐκκλησίας καταξιωθῶμεν· ἐὰν δὲ ἀπελθεῖν λοιπὸν προσταχθῶμεν, ἐκεῖ ὑμᾶς ἴδωμεν παρὰ τῷ Κυρίῳ, τὴν μὲν ὡς ἄμπελον εὐθηνοῦσαν ἐπ' ἀγαθοῖς ἔργοις· σὲ δὲ, ὡς σοφὸν γεωργὸν καὶ B ἀγαθὸν δοῦλον ἐν καιρῷ διδόντα τοῖς ὁμοδούλοις τὸ σιτομέτριον, πιστοῦ καὶ φρονίμου οἰκονόμου τὸν μισθὸν κομιζόμενον. Οἱ σὺν ἡμῖν πάντες ἀσπάζονταί σου τὴν εὐλάβειαν. Ἐῤῥωμένος καὶ εὔθυμος ἐν Κυρίῳ εἴης· εὐδοκιμῶν ἐπὶ χαρίσμασι Πνεύματος καὶ σοφίας φυλαχθείης.

253 EPISTOLA CLXII*.

ΕΠΙΣΤΟΛΗ ΡΞΒ'.

Non desperat Basilius se precibus Eusebii impetraturum, ut ad eum veniat, et morbo sanetur, quo a die Paschæ usque ad hunc diem laborat, tam vario et multiplici ut exprimi non possit. Sperat tamen Baraclium fratrem satis multa dicturum, ut causa dilationis probetur.

Eusebio, episcopo Samosatorum.

Videtur me res eadem et tardum facere ad scribendum, et rursus scribendi necessitatem afferre. Cum enim ad itineris mei respicio debitum, et congressus emolumentum considero, plane mihi epistolas contemnere subit, ut quæ ne umbræ quidem rationem explere possint, si cum veritate comparentur. Rursus autem cum cogito hoc unicum solatium maximis et præcipuis privato superesse, ut virum tantum salutem, et pro more solito rogem, ut ne mei obliviscatur in precibus; subit mihi litteras non parvi facere. Ac spem quidem adventus nec ipse projicere animo volo, nec tuam pietatem desperare. Pudet enim me, si non precibus tuis tantum videar confidere, ut vel juvenis ex sene fiam, si hoc necessarium sit, non solum paulo valentior, ex infirmo et prorsus attenuato, qualis sane nunc sum. Cur autem jam non adsim, causas verbis dicere haud mihi facile, non solum præsenti infirmitate impedito, sed etiam nunquam habenti tantam dicendi facultatem, ut multiplicem ac varium morbum perspicue exprimam. Cæterum a die Paschæ usque ad hunc diem febres, ventris resolutiones, et viscerum commotiones, sicut fluctus me immergentes, emergere

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

Ἔοικέ μοι τοῦτο καὶ ὄκνον ἐμποιεῖν πρὸς τὸ γράφειν, καὶ ἀναγκαῖον αὐτὸ πάλιν ὑποδεικνύναι. Ὅταν μὲν γὰρ πρὸς τὸ τῆς ἐπιδημίας τῆς ἐμαυτοῦ ἀπίδω (22) χρέος, καὶ τὸ τῆς συντυχίας ὑπολογίσωμαι C ὄφελος, πάνυ μοι τῶν ἐπιστολῶν ὑπερορᾷν ἔπεισιν, ὡς οὐδὲ σκιᾶς λόγον ἐκπληροῦν δυναμένων πρὸς τὴν ἀλήθειαν· ὅταν δὲ πάλιν λογίσωμαι, ὅτι μόνη παραμυθία ἐστὶ τῶν μεγίστων καὶ πρώτων διαμαρτόντα προσειπεῖν ἄνδρα τοσοῦτον, καὶ ἱκετεῦσαι συνήθως (23), ὥστε μὴ ἐπιλανθάνεσθαι ἡμῶν ἐπὶ τῶν προσευχῶν, οὐ μικρόν τί μοι κρίνειν τὸ τῶν ἐπιστολῶν ἔπεισι. Τὴν μὲν οὖν ἐλπίδα τῆς παρουσίας οὔτε αὐτὸς ῥίψαι τῆς ψυχῆς βούλομαι, οὔτε τὴν σὴν θεοσέβειαν ἀπογνῶναι. Αἰσχύνομαι γὰρ εἰ μὴ ταῖς σαῖς εὐχαῖς τοσοῦτον φανείην θαρσῶν, ὡς καὶ νέος (24) ἐκ γέροντος ἔσεσθαι, εἰ τούτου γένοιτο χρεία, οὐχ ὅπως ἐῤῥωμενέστερος μικρὸν ἐξ ἀσθενοῦς καὶ ἐξιτήλου παντάπασιν, ὁποῖος δὴ νῦν εἰμι. Τοῦ δὲ μὴ ἤδη παρεῖναι τὰ αἴτια λόγῳ μὲν εἰπεῖν οὐ ῥᾴδιον, οὐ μόνον D ὑπὸ τῆς παρούσης ἀσθενείας ἐξειργομένῳ, ἀλλ' οὐδὲ σχόντι ποτὲ τοσαύτην τοῦ λόγου δύναμιν, ὥστε παντοδαπὴν (25) καὶ ποικίλην νόσον ἐξαγγεῖλαι. Πλὴν ὅτι ἀπὸ τῆς ἡμέρας τοῦ Πάσχα μέχρι νῦν (26) πυρετοὶ καὶ διάῤῥοιαι, καὶ σπλάγχνων ἐπαναστάσεις,

[44] Psal. LIV, 23.

* Alias CCLVIII. Scripta anno 374.

(21) Ἀλλὰ φορητόν. Legendum ἀφόρητον, ut sententiam habeamus Basilio dignam. Non enim is erat qui episcopale onus sine Christo prorsus tolerabile diceret.

(22) Ἀπίδω. Sic mss. septem. Editi ἐπίδω. Mox editi πάνυ με. Octo mss. πάνυ μοι.

(23) Συνήθως. Sic tres vetustissimi codices. Editi τὰ συνήθη.

(24) Ὡς καὶ νέος. Sic Harl., Coisl. primus et plerique alii. Editio 1 Paris. ὡς καὶ νέους. Mox editi εἰ καὶ τοῦτο γένοιτο χρεῖος. Novem mss. ut in textu, nisi quod in tribus recentioribus legitur γένηται.

(25) Παντοδαπήν. Quatuor mss. non vetustissimi addunt οὕτω.

(26) Μέχρι νῦν. Sic tres vetustissimi codices et alii nonnulli. Editi μέχρι τοῦ νῦν.

ὥσπερ κύματά με ἐπιβαπτίζοντα ὑπερσχεῖν οὐκ ἐᾷ. Τὰ δὲ παρόντα οἷα καὶ τίνα (27) ἦν, εἴποι ἂν καὶ ὁ ἀδελφὸς Βάραχος (28), εἰ καὶ μὴ τῆς ἀληθείας ἀξίως, ἀλλ' ὅσον μαρτυρῆσαι τῇ αἰτίᾳ τῆς ὑπερθέσεως (29). Πάνυ δὲ πέπεισμαι, εἰ γνησίως ἡμῖν συνεύξαιο, πάνθ' ἡμῖν λυθήσεσθαι (30) ῥᾳδίως τὰ δυσχερῆ.

A non sinunt. Præsentia autem quæ et qualia sint, dicere poterit et frater Barachus, si minus eo modo qui dignus sit veritate, saltem quantum satis est ad dilationis causam significandam. Omnino autem persuasum mihi est, si nobiscum sincere precatus fueris, me ab omnibus molestiis facile liberatum iri.

ΕΠΙΣΤΟΛΗ ΡΞΓ'. — EPISTOLA CLXIII*

Laudat Jovini litteras, in quibus ejus animus depictus erat. Libenter eum inviseret, nisi morbo detineretur, qui et quantus sit, narrandum testi oculato Amphilochio relinquit.

Ἰοβίνῳ κόμητι.

Εἶδόν σου τὴν ψυχὴν ἐν τοῖς γράμμασι. Καὶ γὰρ τῷ ὄντι οὐδεὶς γραφεὺς χαρακτῆρα σώματος οὕτως ἀκριβῶς ἐκλαβεῖν δύναται, ὡς λόγος ἐξεικονίσαι τῆς ψυχῆς τὰ ἀπόῤῥητα. Τότε γὰρ τὸ τοῦ ἤθους εὐσταθὲς, καὶ τὸ τῆς τιμῆς ἀληθινὸν (31), καὶ τὸ τῆς γνώμης ἐν πᾶσιν ἀκέραιον (32) ἱκανῶς ἡμῖν ὁ ἐν τοῖς γράμμασι λόγος ἐχαρακτήρισεν· ὅθεν καὶ μεγάλην ἡμῖν παραμυθίαν τῆς ἀπολείψεώς σου παρέσχετο. Μὴ τοίνυν διαλίπῃς τῇ ἀεὶ παραπιπτούσῃ προφάσει χρώμενος πρὸς τὸ ἐπιστέλλειν, καὶ τὴν διὰ μακροῦ ταύτην ὁμιλίαν χαρίζεσθαι· ἐπειδὴ τῆς κατ' ὀφθαλμοὺς συντυχίας (33) ἀπόγνωσιν ἡμῖν λοιπὸν ἡ ἀσθένεια τοῦ σώματος ἐμποιεῖ. Ἣν ὁπόση ἐστὶν ἐρεῖ σοι ὁ θεοφιλέστατος ἐπίσκοπος Ἀμφιλόχιος, ὁ καὶ γνωρίσας τῷ ἐπὶ πλεῖον συγγεγενῆσθαι ἡμῖν, καὶ δυνατὸς ὢν λόγῳ παραστῆσαι τὰ θεαθέντα. Γνωρίζεσθαι δὲ βούλομαι τὰ ἐμαυτοῦ δυσχερῆ οὐκ ἄλλου τινὸς ἕνεκεν ἢ τῆς πρὸς τὸ ἐφεξῆς συγγνώμης, ὡς μὴ ῥᾳθυμίας ἔχειν κατάγνωσιν, ἐὰν ἄρα ἐλλίπωμεν τὴν ἐπίσκεψιν ὑμῶν. Καίτοιγε οὐκ ἀπολογίας μᾶλλον ἢ παραμυθίας δεῖ πρὸς τὴν ζημίαν ταύτην. Εἰ γὰρ ἦν μοι δυνατὸν συνεῖναί σου τῇ σεμνότητι, πολλῷ ἂν ἐγὼ τῶν παρ' ἄλλοις σπουδαζομένων ταύτην ἐμαυτῷ τιμιωτέραν ἐθέμην

Jovino comiti.

Vidi tuum animum in litteris. Nam revera pictor nullus tam accurate corporis effigiem assequi po- B test, quam oratio mentis arcana exprimere. Nam et morum gravitatem, et honoris veritatem, et animi in omnibus sinceritatem apte nobis effinxit litterarum sermo; unde et tuæ absentiæ magnum nobis solatium attulit. Quare non te fugiat qualibet oblata scribendi occasione uti, atque hoc ex longo intervallo colloquium impertire; quandoquidem **254** coram conveniendi spem abstulit corporis infirmitas; quæ quanta sit dicet tibi religiosissimus episcopus Amphilochius, qui et rem novit eo quod multum nobiscum fuerit, et quæ vidit verbis exprimere potest. Cæterum nota esse volo incommoda mea, non aliam ob causam, nisi ut deinceps veniam consequar, et pigritiæ crimen effugiam, si vos invi- C sere omittam. Quanquam hujus rei jactura non tam accusatione indiget quam consolatione. Nam si possem cum tua gravitate convenire, id equidem iis, quæ studio digna aliis videntur, longe antiquius haberem.

ΕΠΙΣΤΟΛΗ ΡΞΔ' — EPISTOLA CLXIV**.

Laudat Basilius eximias Ascholii litteras, et gratias agit ob missum ad se martyris corpus, cujus hortator fuerat Ascholius. Sed mœrore affectum se dicit, dum comparat cum præsenti rerum statu, quæ de beato Eutyche et de martyrum constantia scripserat Ascholius.

Ἀσχολίῳ, ἐπισκόπῳ Θεσσαλονίκης.

1. Ὅσης ἡμᾶς εὐφροσύνης ἐνέπλησε τὰ γράμματα τῆς ὁσιότητός σου, ἡμεῖς μὲν οὐκ ἂν ῥᾳδίως ἐνδείξασθαι δυνηθείημεν, ἀσθενοῦντος τοῦ λόγου πρὸς τὴν ἐνάργειαν (34)· αὐτὸς δὲ καὶ παρὰ σεαυτῷ (35) εἰκάζειν ὀφείλεις, τεκμαιρόμενος τῷ κάλλει τῶν ἐπεσταλμένων. Τί γὰρ οὐκ εἶχε τὰ γράμ-

Ascholio, episcopo Thessalonicæ.

1. Quanto nos gaudio repleverint litteræ sanctitatis tuæ, nos sane non facile demonstrare possimus; sermo siquidem rei clare explicandæ impar D est; ipse autem apud teipsum existimare debes, ex eorum quæ scripsisti pulchritudine conjecturam faciens. Quid enim non habebat epistola?

(27) *Καὶ τίνα.* Hæc addita ex tribus vetustissimis codicibus et pluribus aliis.

(28) *Βάραχος.* Sic scribitur hoc nomen in utroque Coisl., Med., Harl., duobus Regiis et utroque Bigot. Editi Βάρουχος.

(29) *Ὑπερθέσεως.* Male in septem mss. non vetustissimis ὑποθέσεως.

(30) *Λυθήσεσθαι.* Sic mss. summo consensu. Editi λυθήσεται.

(31) *Ἀληθινόν.* Ita tres vetustissimi codices. Editi ἀληθές.

(32) *Ἀκέραιον.* Sic Medicæus codex, melius multo quam editi καίριον, *sententiæ in omnibus opportunitatem.* Codex Harlæanus prima manu εὔκαιρον.

(33) *Συντυχίας.* In hac voce tres vetustissimos codices secuti sumus. Editi ὁμιλίας.

(34) *Πρὸς τὴν ἐνάργειαν.* Ita quinque codices non antiquissimi, nempe Coisl. secundus, Regius secundus, Clarom., Paris. et Bigot. In aliis legitur ἐνέργειαν, sicque habuit prima manu Harlæanus. Sed cum in aliis hujus epistolæ simillimis locis legatur ἐνάργειαν, nullo dissentiente codice; nihil mutandum duximus.

(35) *Παρὰ σεαυτῷ.* Harl. παρὰ σεαυτοῦ.

* Alias CCCLXXVIII. Scripta anno 374.

** Alias CCCXXXVIII. Scripta anno 374.

Nonne in Dominum amorem? Nonne mirum quiddam de martyribus, ita perspicue certaminis modum describens, ut res nobis poneret ob oculos? Nonne et in nos ipsos honorem ac dilectionem? Nonne quidquid præclarissimum quis dixerit? ita ut, ubi epistolam in manus sumpsi, eamque legi sæpius, ac redundantem in ea gratiam Spiritus perspexi, mihi viderer priscis temporibus versari, cum florerent Ecclesiæ Dei, fide radicatæ, conjunctæ charitate, membris variis quasi in corpore uno unam conspirationem habentibus: cum manifesti essent qui persequebantur, manifesti itidem qui patiebantur persecutionem: cum populi bello oppugnati multiplicarentur, ac martyrum sanguis Ecclesias irrigans, veritatis athletas multo plures aleret, posterioribus priorum exemplo sese ad certamen parantibus. Tunc Christiani pacem habebamus inter nos: pacem illam quam reliquit Dominus, cujus nunc ne vestigium quidem nobis jam superest, adeo illam crudeliter a nobis invicem abegimus. Verumtamen redierunt animi nostri ad priscam illam beatitudinem, ubi litteræ ex remota regione venerunt, dilectionis pulchritudine efflorescentes; ac martyr nobis advenit a barbaris ultra Istrum habitantibus, per se ipse prædicans fidei illic vigentis integritatem. Quis animarum nostrarum his in rebus lætitiam enarrare possit? Quænam excogitetur dicendi vis, quæ clare valeat affectum in corde nostro reconditum **255** enarrare? Profecto cum vidimus athletam, illius hortatorem felicem prædicavimus: qui apud justum judicem justitiæ coronam et ipse recipiet, eo quod multos ad certandum pro pietate corroboraverit.

2. Quoniam beatum virum Eutychen in memoriam nobis revocasti, patriamque nostram exornasti, ut quæ pietatis semina præbuerit, oblectasti quidem nos recordatione præteritorum, sed affecisti tristitia his quæ videmus arguendis. Enimvero nemo nostrum Eutychi virtute similis: qui utique tantum abest ut barbaros Spiritus virtute ac donorum illius efficacia mansuefaciamus, ut eos etiam qui mansueti sunt, peccatorum nostrorum magnitudine feroces reddamus. Nobis enim causam et peccatis nostris ascribimus, cur tantopere diffusa sit hæreticorum potentia. Etenim nulla fere pars orbis terrarum hæresis incendium effugit. Tua autem narratio, athletica certamina, corpora pro pietate dilacerata, furor barbarorum ab hominibus corde impavidis contemptus, varia tormenta persequentium, decertantium in omnibus constantia, lignum, aqua, quibus consummati martyres. No-

(36) *Τῆς ἀθλήσεως*. Male in quatuor mss. non vetustissimis legitur τῆς φύσεως.

(37) *Ἡμῖν*. Ita Harl. et Coisl. primus. Editi ἡμῶν. Ibidem editi τὴν καθ' ἡμᾶς. Tres antiquissimi codices cum duobus aliis ut in textu.

(38) *Ἤγομεν*. Ita Harl. et Coisl. primus cum tribus aliis. Editi εἴχομεν.

A ματα; Οὐ τὴν πρὸς Κύριον ἀγάπην; Οὐ τὸ περὶ τοὺς μάρτυρας θαῦμα, οὕτως ἐναργῶς τὸν τρόπον τῆς ἀθλήσεως (36) ὑπογράφοντα, ὥστε ὑπ' ὄψιν ἡμῖν (37) ἀγαγεῖν τὰ πράγματα; Οὐ τὴν περὶ ἡμᾶς αὐτοὺς τιμήν τε καὶ διάθεσιν; Οὐχ ὅ τι ἂν εἴποι τις τῶν καλλίστων; ὥστε, ὅτε εἰς χεῖρας τὴν ἐπιστολὴν ἐδεξάμεθα, καὶ ἀνέγνωμεν αὐτὴν πολλάκις, καὶ τὴν βρύουσαν ἐν αὐτῇ χάριν τοῦ Πνεύματος κατεμάθομεν, νομίσαι ἡμᾶς ἐπὶ τῶν ἀρχαίων καιρῶν γεγενῆσθαι, ἡνίκα ἤνθουν αἱ Ἐκκλησίαι τοῦ Θεοῦ, ἐρριζωμέναι τῇ πίστει, ἡνωμέναι τῇ ἀγάπῃ, ὥσπερ ἐν ἑνὶ σώματι μιᾶς συμπνοίας διαφόρων μελῶν ὑπαρχούσης· ὅτε φανεροὶ μὲν οἱ διώκοντες, φανεροὶ δὲ οἱ διωκόμενοι· πολεμούμενοι δὲ οἱ λαοὶ πλείους ἐγίνοντο, καὶ τὸ αἷμα τῶν μαρτύρων, ἄρδον τὰς Ἐκ-
B κλησίας, πολυπλασίονας τοὺς ἀγωνιστὰς τῆς εὐσεβείας ἐξέτρεφε, τῷ ζήλῳ τῶν προλαβόντων ἐπαποδυομένων τῶν ἐφεξῆς. Τότε Χριστιανοὶ μὲν πρὸς ἀλλήλους εἰρήνην ἤγομεν (38)· εἰρήνην ἐκείνην, ἣν ὁ Κύριος ἡμῖν κατέλιπεν, ἧς νῦν οὐδ' ἴχνος ἡμῖν λοιπὸν ὑπολέλειπται, οὕτως αὐτὴν ἀπηνῶς ἀπ' ἀλλήλων ἀπεδιώξαμεν. Πλὴν ἀλλ' ὅτι αἱ ψυχαὶ ἡμῶν πρὸς τὴν παλαιὰν ἐκείνην μακαριότητα ἐπανῆλθον, ἐπειδὴ γράμματα μὲν ἦλθεν ἐκ τῆς μακρόθεν (39), ἀνθοῦντα τῷ τῆς ἀγάπης κάλλει, μάρτυς δὲ ἡμῖν ἐπεδήμησεν ἐκ τῶν ἐπέκεινα Ἴστρου βαρβάρων, δι' ἑαυτοῦ κηρύσσων τῆς ἐκεῖ πολιτευομένης πίστεως τὴν ἀκρίβειαν. Τίς ἂν τὴν ἐπὶ τούτοις εὐφροσύνην τῶν ψυχῶν ἡμῶν διηγήσαιτο; Τίς ἂν ἐπινοηθείη δύ-
C ναμις λόγου ἐναργῶς ἐξαγγεῖλαι τὴν ἐν τῷ κρυπτῷ τῆς καρδίας ἡμῶν διάθεσιν δυναμένη; Ὅτε μέντοι εἴδομεν τὸν ἀθλητὴν, ἐμακαρίσαμεν αὐτοῦ τὸν ἀλείπτην· ὃς παρὰ τῷ δικαίῳ κριτῇ τὸν τῆς δικαιοσύνης στέφανον καὶ αὐτὸς ἀπολήψεται, πολλοὺς εἰς τὸν ὑπὲρ τῆς εὐσεβείας ἐπιρρώσας ἀγῶνα.

2. Ἐπεὶ δὲ καὶ τοῦ μακαρίου ἀνδρὸς Εὐτυχοῦς εἰς μνήμην ἡμᾶς ἤγαγες, καὶ ἐσέμνυνας ἡμῶν τὴν πατρίδα, ὡς αὐτὴν παρασχομένην τῆς εὐσεβείας τὰ σπέρματα· εὔφρανας μὲν ἡμᾶς τῇ ὑπομνήσει τῶν παλαιῶν, ἐλύπησας δὲ τῷ ἐλέγχῳ τῶν ὁρωμένων. Οὐδεὶς γὰρ ἡμῶν Εὐτυχεῖ τὴν ἀρετὴν παραπλήσιος· οἵ γε τοσοῦτον ἀπέχομεν βαρβάρους ἐξημερῶσαι τῇ δυνάμει τοῦ Πνεύματος, καὶ τῇ ἐνεργείᾳ τῶν παρ' αὐτοῦ χαρισμάτων, ὥστε καὶ τοὺς ἡμέρως ἔχοντας
D τῇ ὑπερβολῇ τῶν ἁμαρτιῶν ἡμῶν ἐξηγριῶσθαι. Ἑαυτοῖς γὰρ λογιζόμεθα καὶ ταῖς ἡμετέραις ἁμαρτίαις τὴν αἰτίαν τοῦ ἐπὶ τοσοῦτον χυθῆναι τὴν τῶν αἱρετικῶν δυναστείαν. Σχεδὸν γὰρ οὐδὲν μέρος (40) τῆς οἰκουμένης διαπέφευγε τὸν ἐκ τῆς αἱρέσεως ἐμπρησμόν. Τὰ δὲ σὰ διηγήματα, ἐνστάσεις ἀθλητικαὶ (41), σώματα ὑπὲρ τῆς εὐσεβείας καταξαινόμενα, θυμὸς βαρβαρικὸς ὑπὸ τῶν ἀκαταπλήκτων τὴν καρδίαν καταφρονούμενος, αἱ ποικίλαι βάσανοι τῶν

(39) *Ἐκ τῆς μακρόθεν*. Harl., Med., Reg. primus, Vat. et Bigot. alter ἐκ γῆς μακρόθεν

(40) *Μέρος*. Editi addunt ἔτι, quod melius videtur deesse in tribus antiquissimis codicibus.

(41) *Ἐνστάσεις ἀθλητικαί*. Ita Harl., Med. et Coisl. primus. Editi ἔνστασις ἀθλητική.

…κότων, αἱ διὰ πάντων ἐνστάσεις τῶν ἀγωνιζομένων, τὸ ξύλον, τὸ ὕδωρ (42), τὰ τελειωτικὰ τῶν μαρτύρων. Τὰ δὲ ἡμέτερα οἷα; Ἀπέψυκται ἡ ἀγάπη. Πορθεῖται ἡ τῶν Πατέρων διδασκαλία· ναυάγια περὶ τὴν πίστιν πυκνά· σιγᾷ τῶν εὐσεβούντων τὰ στόματα· λαοὶ τῶν εὐκτηρίων οἴκων ἐξελαθέντες ἐν τῷ ὑπαίθρῳ πρὸς τὸν ἐν οὐρανοῖς Δεσπότην τὰς χεῖρας αἴρουσι. Καὶ αἱ μὲν θλίψεις βαρεῖαι, μαρτύριον δὲ οὐδαμοῦ, διὰ τὸ τοὺς κακοῦντας ἡμᾶς τὴν αὐτὴν ἡμῖν ἔχειν προσηγορίαν. Ὑπὲρ τούτων αὐτός τε δεήθητι τοῦ Κυρίου, καὶ πάντας τοὺς γενναίους ἀθλητὰς τοῦ Χριστοῦ εἰς τὴν ὑπὲρ τῶν Ἐκκλησιῶν (43) προσευχὴν συμπαράλαβε· ἵνα, εἴπερ ἔτι χρόνοι τινὲς ὑπολείπονται τῇ συστάσει τοῦ κόσμου, καὶ μὴ πρὸς τὴν ἐναντίαν φορὰν συνελαύνεται τὰ πάντα, διαλλαγεὶς ὁ Θεὸς ταῖς ἑαυτοῦ Ἐκκλησίαις, ἐπαναγάγῃ αὐτὰς πρὸς τὴν ἀρχαίαν εἰρήνην.

stra vero qualia sunt? Refrixit charitas. Patrum vastatur doctrina: naufragia circa fidem crebra: silent piorum ora: populus a precationis ædibus abactus, sub dio ad Dominum, qui in cœlis est, manus attollit. Ac graves quidem sunt afflictiones, nusquam tamen martyrium; eo quod qui nos vexant, eodem ac nos appellentur nomine. Eam ob causam cum ipse Dominum precare, tum strenuos omnes Christi athletas ad adhibendas pro Ecclesiis preces tibi adjunge: ut si quid adhuc temporis superest mundi constitutioni, nec jam in contrarium impetum feruntur omnia, reconciliatus Ecclesiis suis Deus, ipsas ad priscam pacem reducat.

ΕΠΙΣΤΟΛΗ ΡΞΕ'.

EPISTOLA CLXV*.

Narrat Basilius acceptam ex Sorani litteris lætitiam, eumque laudat, quod et antea pro fide certamina sustinuerit, et nunc martyris nuper coronati corpore patriam honoraverit. Rogat ut pro se precetur.

Ἀσχολίῳ (44), ἐπισκόπῳ Θεσσαλονίκης.

Παλαιὰν ἡμῖν εὐχὴν ὁ ἅγιος Θεὸς ἐξεπλήρωσε, καταξιώσας ἡμᾶς γράμμασι τῆς ἀληθινῆς σου θεοσεβείας ἐντυχεῖν. Τὸ μὲν γὰρ μέγιστον καὶ τῆς μεγίστης σπουδῆς ἄξιον, αὐτόν σε ἰδεῖν καὶ ὀφθῆναί σοι, καὶ τῶν ἐν σοὶ τοῦ Πνεύματος χαρισμάτων δι' ἑαυτῶν ἀπολαῦσαι· ἐπειδὴ δὲ τοῦτο ἥ τε τοῦ τόπου διάστασις ἀφαιρεῖται, καὶ αἱ ἰδίᾳ ἑκάτερον ἡμῶν κατέχουσαι περιστάσεις· δευτέρας εὐχῆς ἄξιον γράμμασι συνεχέσι τῆς ἐν Χριστῷ σου (45) ἀγάπης τρέφεσθαι τὴν ψυχήν. Ὃ καὶ νῦν ἡμῖν ὑπῆρξεν, ὅτε ἐλάβομεν εἰς χεῖρας τὴν ἐπιστολὴν τῆς συνέσεώς σου. Πλέον γὰρ ἢ διπλασίους ἐγενόμεθα τῇ ἀπολαύσει τῶν ἐπεσταλμένων. Καὶ γὰρ ἦν τῷ ὄντι καὶ αὐτήν σου καθορᾶν τὴν ψυχὴν, οἷον δι' ἐσόπτρου τινὸς τῶν λόγων διαφαινομένην. Πολυπλασίονα δὲ ἡμῖν τὴν εὐφροσύνην ἐποίει οὐ μόνον τὸ τοιοῦτον εἶναί σε ὁποῖον ἡ πάντων μαρτυρία παρίστησιν, ἀλλ' ὅτι τὰ ἐν σοὶ καλὰ τῆς πατρίδος ἡμῶν ἐστι σεμνολογήματα. Οἷον γὰρ εὐθαλής τις κλάδος ῥίζης γενναίας ἀφορμηθεὶς, τῶν πνευματικῶν καρπῶν τὴν ὑπερορίαν ἐνέπλησας. Ὥστε εἰκότως ἡ πατρὶς ἡμῶν τοῖς οἰκείοις βλαστήμασιν ἐπαγάλλεται. Καὶ ἡνίκα τοὺς ὑπὲρ τῆς πίστεως ἀγῶνας διήθλεις (46), ἐδόξαζε τὸν Θεὸν, ἀκούουσα τὴν τῶν Πατέρων ἀγαθὴν κληρονομίαν διαφυλαττομένην ἐν σοί. Οἷα δέ

Ascholio, episcopo Thessalonicæ.

Votum nobis antiquum adimplevit Deus sanctus, cum nobis dignatus est concedere, ut veræ pietatis tuæ litteras acciperemus. Hoc enim maximum est et maxime exoptandum, videre te et videri a te, ac Spiritus donis, quæ in te sunt, per nosmetipsos perfrui. Sed quia id et loci distantia aufert, et negotia quibus privatim uterque nostrum detinemur; in **256** secundis votis fuerit, ut anima frequentibus tuæ in Christo charitatis litteris alatur. Quod et nunc nobis contigit, cum prudentiæ tuæ epistolam in manus sumpsimus. Plus enim quam gemini facti sumus, iis quæ a te scripta sunt perfruentes. Erat enim revera et tuam ipsius intueri animam, velut in speculo quodam, ita in sermone relucentem. Illud autem multiplici me lætitia affecit, non solum quod is sis quem omnium testimonia prædicant: sed etiam quod egregiæ tuæ dotes patriæ nostræ sint ornamenta. Enim vero veluti viridis quidam surculus ab eximia radice profectus, fructibus spiritualibus nationem exteram replevisti. Quare nec injuria patria nostra de suis gloriatur germinibus. Et cum pro fide certamina sustineres, Deum glorificabat, bonam Patrum hæreditatem in te audiens custodiri. Tua autem nunc qualia sunt? Martyre, qui nuper in vicina

(42) *Τὸ ξύλον, τὸ ὕδωρ*. Hæc facile explicantur et illustrantur ex epistola Ecclesiæ Gotthiæ, quæ simul cum corpore S. Sabæ martyris ad Ecclesiam Cæsariensem missa est. Sic legitur sub finem hujus epistolæ: Τότε κατάγουσιν αὐτὸν εἰς τὸ ὕδωρ εὐχαριστοῦντα καὶ δοξάζοντα τὸν Θεόν... Καὶ ῥίψαντες αὐτὸν, καὶ ἐπιθέντες αὐτῷ ξύλον κατὰ τοῦ τραχήλου, ἐπίεζον εἰς τὸ βάθος. Καὶ οὕτω τελεωθεὶς διὰ ξύλου καὶ ὕδατος, ἄχραντον ἐφύλαξε τῆς σωτηρίας τὸ σύμβολον, ὢν ἐτῶν τριάκοντα ὀκτώ. *Tunc ab eis deductus est ad aquam, gratias agens et glorificans Deum. Ac præcipitem illum dantes, et lignum illius collo imponentes, mersaverunt profundo. Sicque consummatus per lignum et aquam, intaminatum servavit salutis symbolum, annos natus triginta octo.*

(43) *Ὑπὲρ τῶν Ἐκκλησιῶν*. Sic iidem tres antiquissimi codices. Editi ὑπὲρ τῆς Ἐκκλησίας.

(44) *Ἀσχολίῳ*. Quamvis omnes codices mss. et editi hanc epistolam Ascholio inscribant, nullus tamen dubito, quin Sorano Scythiæ duci scripta fuerit: idque in *Vita S. Basilii* probare conabimur.

(45) *Τῆς ἐν Χριστῷ σου*. Illud pronomen, quod ad sententiæ seriem necessarium videtur, desumpsimus ex codice Harlæano.

(46) *Διήθλεις*. Ita novem mss. Editi διῆλθες.

* Alias CCCXXXIX. Scripta anno 374.

vobis barbaria decertavit, patriam honorasti, velut gratus agricola ad eos qui semina præbuerunt, fructuum primitias mittens. Vere digna Christi athleta dona; martyr veritatis nuper justitiæ corona redimitus, quem et læti suscepimus, ac Deo, qui jam in omnibus gentibus Christi sui Evangelium adimplevit, gloriam dedimus. Sine autem hoc te rogem, ut nostri qui te diligimus, memineris in precibus, ac sedulo Dominum pro animabus nostris preceris; ut et nobis aliquando donetur Deo incipere servire secundum viam mandatorum ipsius, quæ nobis dedit ad salutem.

A σου (47) καὶ τὰ παρόντα; Μάρτυρι, νέον (48) ἀθλήσαντι ἐπὶ τῆς γείτονος ὑμῖν βαρβάρου, τὴν ἐνεγκοῦσαν ἐτίμησας, οἷόν τις εὐγνώμων γεωργὸς τοῖς παρασχομένοις τὰ σπέρματα τὰς ἀπαρχὰς τῶν καρπῶν ἀποπέμπων. Ὄντως (49) πρέποντα ἀθλητῇ Χριστοῦ τὰ δῶρα· μάρτυς (50) τῆς ἀληθείας ἄρτι τὸν τῆς δικαιοσύνης ἀναδησάμενος στέφανον, ὃν καὶ ὑπεδεξάμεθα χαίροντες, καὶ ἐδοξάσαμεν τὸν Θεὸν τὸν ἐν πᾶσι τοῖς ἔθνεσι πληρώσαντα λοιπὸν τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ αὐτοῦ. Παρακέκλησο δὲ καὶ ἡμῶν τῶν ἀγαπώντων σε μεμνῆσθαι ἐν ταῖς προσευχαῖς, καὶ σπουδαίως ὑπὲρ τῶν ψυχῶν ἡμῶν προσεύχεσθαι τῷ Κυρίῳ, ἵνα καταξιωθῶμέν ποτε ἄρξασθαι καὶ αὐτοὶ δουλεύειν τῷ Θεῷ, κατὰ τὴν ὁδὸν τῶν ἐντολῶν αὐτοῦ, ἃς ἔδωκεν ἡμῖν εἰς σωτηρίαν.

EPISTOLA CLXVI*.

ΕΠΙΣΤΟΛΗ ΡΞϚ'.

Basilius seu potius Gregorius beatum prædicat Eupraxium, quod ad Eusebium se conferat; sed multo beatiorem ipsum Eusebium, cui exsilium gratulatur, eumque rogat ut pro se precetur et ad se vergat scribere.

Eusebio, episcopo Samosatorum.

B *Εὐσεβίῳ* (51), *ἐπισκόπῳ Σαμοσάτων.*

Carus mihi in omnibus, etc. **257**

Τὰ πάντα τίμιος ὢν ἡμῖν, κ. τ. λ.

Vide inter S. Gregorii Nazianzeni Epistolas, epist. 65.

EPISTOLA CLXVII**.

ΕΠΙΣΤΟΛΗ ΡΞΖ'.

Basilius, seu potius Gregorius acceptam ex litteris Eusebii lætitiam significat; molestias excusat et negotia, quod eum non invisat; ipsius litteras sibi et lucro et honori apud multos esse testatur.

Eusebio, episcopo Samosatorum.

Et cum scribis, et cum nostri memor es, lætitia nos afficis; et quod hoc majus est, cum nobis in litteris benedicis. Nos porro, si digni tuis laboribus et tuo pro Christo certamine essemus, concessum nobis fuisset, ut ad te profecti pietatem tuam complecteremur, ac patientiæ in ærumnis exemplum caperemus. Sed quia ea re indigni sumus, molestiis multis ac negotiis detenti, quod secundum est, facimus; salutamus tuam præstantiam, precamurque ut ne nostri defatigeris meminisse. Nam litteris tuis dignos haberi non lucrum duntaxat nobis est; sed gloriatio etiam apud multos atque ornamentum, quod apud virum virtute tanta præditum, tamque Deo conjunctum, ut ei alios etiam tum sermone, tum exemplo conjungere queat, aliquo in numero simus.

Εὐσεβίῳ (52), *ἐπισκόπῳ Σαμοσάτων.*

Καὶ γράφων καὶ μεμνημένος εὐφραίνεις ἡμᾶς, καὶ τὸ τούτου μεῖζον, εὐλογῶν ἡμᾶς ἐν τοῖς γράμμασιν. Ἡμεῖς δὲ, εἰ μὲν (53) ἄξιοι τῶν σῶν παθημάτων, καὶ τῆς ὑπὲρ Χριστοῦ ἀθλήσεως, κατηξιώθημεν ἂν καὶ μέχρι σοῦ γενόμενοι περιπτύξασθαί σου τὴν θεοσέβειαν, καὶ τύπον λαβεῖν τῆς ἐν τοῖς παθήμασι καρ- C τερίας· ἐπειδὴ δὲ ἀνάξιοι τούτου τυγχάνομεν, πολλαῖς θλίψεσι καὶ ἀσχολίαις ἐνεχόμενοι, ὃ δεύτερόν ἐστι ποιοῦμεν· προσαγορεύομεν τὴν σὴν τελειότητα, καὶ ἀξιοῦμεν μὴ κάμνειν σε μεμνημένον ἡμῶν. Οὐ γὰρ ὠφέλεια μόνον ἡμῖν τῶν σῶν καταξιοῦσθαι γραμμάτων, ἀλλὰ καὶ καύχημα πρὸς τοὺς πολλοὺς καὶ καλλώπισμα, ὅτι λόγος ἡμῶν ἐστι παρὰ ἀνδρὶ τοσούτῳ τὴν ἀρετὴν καὶ τοσαύτην ἔχοντι πρὸς Θεὸν οἰκειότητα, ὥστε καὶ ἄλλους οἰκειοῦν δύνασθαι καὶ λόγῳ καὶ ὑποδείγματι.

EPISTOLA CLXVIII***.

ΕΠΙΣΤΟΛΗ ΡΞΗ'.

Quantum dolet Basilius Ecclesiam pastore destitutam, tantum Antiochi felicitatem prædicat, quod cum Eusebio versetur.

Antiocho, presbytero, fratris Eusebii filio, qui cum patruo exsulante versabatur.

D *Ἀντιόχῳ, πρεσβυτέρῳ, ἀδελφιδῷ συνόντι ἐν τῇ ἐξορίᾳ.*

Quantum doleo Ecclesiam pastoris tanti destitu-

Ὅσον ὀδύρομαι τὴν Ἐκκλησίαν τὴν στερηθεῖσαν

* Alias CCLI. Scripta anno 374.

** Alias CCLII. Scripta anno 374.

*** Alias CCLXIX. Scripta anno 374.

(47) *Οἷα δέ σου*. Med. et alii nonnulli οἷα δέ σοι.

(48) *Μάρτυρι νέον*. Ita Coisl. primus, Vat., Reg. secundus et Paris. Editi μαρτυρεῖ νέῳ. Ibidem quinque mss. ἀνθήσαντα. Bigot. et Harl. secunda manu ἀθλήσαντα.

(49) *Ὄντως*. Editi addunt γάρ, quod melius deest in sex mss. Ibidem editi ἀληθῆ Χριστοῦ.

(50) *Μάρτυς... ἀναδησάμενος*. Medicæus codex cum Regio secundo et Coisl. secundo μάρτυρα... ἀναδησάμενον.

(51) *Εὐσεβίῳ*, etc. Addunt editi πρεσβύτερος ὤν, sed prorsus vitiose; nec leguntur apud Gregorium Nazianzenum, cujus inter epistolas hæc trigesima est, ipsique videtur tribuenda. Hinc a nostris codicibus abest, excepto Coisliniano primo.

(52) *Εὐσεβίῳ*. Hæc etiam epistola Gregorio adjudicanda, nec eam ullus habet ex codicibus nostris præter Coislinianum primum.

(53) *Εἰ μέν*. Sic Gregorius Nazianzenus et Coisl. primus. Editiones Basilii ἐσμέν. Paulo post pro ca

τῆς τοῦ τοιούτου ποιμένος ἐπιστασίας, τοσοῦτον μακαρίζω ὑμᾶς καταξιωθέντας ἐν τοιούτῳ καιρῷ συνεῖναι ἀνδρὶ τὸν μέγαν ὑπὲρ τῆς εὐσεβείας (54) ἀθλοῦντι ἀγῶνα. Πέπεισμαι γάρ, ὅτι ὁ Κύριος καὶ ὑμᾶς τῆς αὐτῆς μερίδος καταξιώσει, τοὺς καλῶς ὑπείφοντας καὶ ἐπεγείροντας αὐτοῦ τὴν προθυμίαν. Πόσον δὲ κέρδος ἐν ἡσυχίᾳ βαθείᾳ ἀπολαύειν ἀνδρὸς τοσαῦτα μὲν ἐκ τῆς μαθήσεως, τοσαῦτα δὲ ἐκ τῆς πείρας τῶν πραγμάτων συνειληχότος! Ὥστε πέπεισμαι ὑμᾶς νῦν ἐγνωκέναι τὸν ἄνδρα, ἡλίκος ἐστὶ τὴν σύνεσιν· διότι ἐν τῷ παρελθόντι χρόνῳ καὶ αὐτὸς τὴν διάνοιαν εἶχεν εἰς πολλὰ σχιζομένην, καὶ ὑμεῖς οὐκ ἤγετε σχολὴν ἀπὸ τῶν τοῦ βίου πραγμάτων, ὥστε ὅλοι προσκεῖσθαι τῷ πνευματικῷ νάματι τῷ ἀπὸ καθαρᾶς καρδίας τοῦ ἀνδρὸς προχεομένῳ. Ἀλλὰ παράσχοι ὁ Κύριος ὑμᾶς καὶ αὐτῷ παράκλησιν εἶναι, καὶ αὐτοὺς μὴ δεῖσθαι τῆς ἑτέρων παρηγορίας. Ὅπερ οὖν καὶ πέπεισμαι περὶ τῶν καρδιῶν ὑμῶν, τεκμαιρόμενος τῇ τε ἐμαυτοῦ πείρᾳ, ἣν πρὸς ὀλίγον ὑμῶν ἐπειράθην, καὶ τῇ μεγάλῃ διδασκαλίᾳ τοῦ καλοῦ καθηγητοῦ, οὗ μιᾶς ἡμέρας συνουσία αὐτάρκης ἐστιν ἐφόδιον πρὸς σωτηρίαν.

A tam regimine, tantum felices vos prædico, quibus contigit ejusmodi tempore cum viro esse magnum pro pietate certamen decertante. Persuasum enim mihi est vos quoque, a quibus propensa illius voluntas præclare excitatur et exstimulatur, eamdem sortem a Domino consecuturos. Quantum autem lucrum in summo otio perfrui viro tot ac tanta tum ex doctrina, tum ex rerum experientia consecuto! Quare certo scio vobis nunc demum cognitum esse virum illum, quali sit prudentia; propterea quod præterito tempore et ipse mentem habebat in multa distractam, nec vobis tantum erat a vitæ negotiis otii, ut toti **258** accumberetis ad spirituale fluentum e puro viri pectore promanans. Sed largiatur Dominus, ut et vos ei sitis so-B latio, et ipsi aliorum non indigeatis consolatione. Quod utique persuasum habeo de cordibus vestris, conjecturam faciens et ex mea ipsius experientia, qua vestri paulisper periculum feci, et ex optimi magistri summa doctrina, quocum vel unum diem versari satis est ad salutem viatici.

ΕΠΙΣΤΟΛΗ ΡΞΘ'.

EPISTOLA CLXIX*.

Glycerius quidam diaconus, cum multas virgines congregasset, et noctu aufugiens choros cum illis duceret, Gregorius hanc captivitatem collegit. Unde eum rogat Basilius, ut Glycerium redire jubeat, virginesque a tyrannide liberet, saltem eas quæ redire volunt. Glycerio modeste redeunti veniam promittit; secus vero, depositionem minatur.

Γρηγορίῳ (55) *Βασίλειος.*

Πρᾶγμα μὲν ὑπέστης ἐπιεικὲς καὶ ἥμερον (56) καὶ φιλάνθρωπον, τὴν τοῦ καταφρονητοῦ Γλυκερίου (τέως γὰρ οὕτω γράφομεν) αἰχμαλωσίαν συναγαγών, καὶ τὴν κοινὴν ἀσχημοσύνην ἡμῶν, ὡς οἷόν τε ἦν, συγκαλύψας· δεῖ δὲ ὅμως τὴν σὴν εὐλάβειαν μαθοῦσαν τὰ κατ' αὐτὸν, οὕτω λῦσαι τὴν ἀτιμίαν. Οὗτος ὁ νῦν σοβαρὸς καὶ σεμνὸς ὑμῖν Γλυκέριος ἐχειροτονήθη μὲν παρ' ἡμῶν τῆς κατὰ Οὐήνεσαν (57) Ἐκκλησίας διάκονος, ὡς καὶ τῷ πρεσβυτέρῳ διακονήσων, καὶ τοῦ ἔργου τῆς Ἐκκλησίας ἐπιμελησόμενος. Καὶ γάρ ἐστιν, εἰ καὶ τὰ ἄλλα δύστροπος ὁ ἀνήρ, ἀλλὰ τὰ ἐγχείρα οὐκ ἀφυής. Ἐπεὶ δὲ κατέστη, τοῦ μὲν ἔργου ἠμέλησε τοσοῦτον, ὅσον οὐδὲ τὴν ἀρχὴν γεγονότος. Παρθένους δὲ ἀθλίας συναγαγών, κατ' ἰδίαν ἐξουσίαν καὶ αὐθεντίαν, τὰς μὲν ἑκούσας προσδραμούσας αὐτῷ (οἶσθα δὲ τὸ τῶν νέων περὶ τὰ τοιαῦτα πρόχειρον), τὰς δὲ ἀκούσας ἀγελαρχεῖν ἐπεχείρησε, καὶ πατριαρχίας ὄνομα ἑαυτῷ καὶ σχῆμα περιθεὶς, ἐξαίφνης ἐσοβαρεύσατο, οὐκ ἔκ τινος ἀκολουθίας (58) καὶ εὐσεβείας ἐπὶ τοῦτο ἐλθών, ἀλλ' ἀφορμὴν βίου ταύτην

Gregorio Basilius.

Negotium quidem suscepisti lene, atque huma-C num, cum contemptoris Glycerii (sic enim interim scribimus) captivitatem collegisti, communeque nostrum dedecus, quoad ejus fieri potuit, contexisti. Operæ autem pretium est, ut pietas tua gestarum ab eo rerum certior facta, sic ignominiam diluat. Gravis ille nunc et venerandus apud vos Glycerius a me quidem ordinatus est Venensis Ecclesiæ diaconus, ut et presbytero ministraret, et opus Ecclesiæ curaret. Est enim, quamvis ad alia absurdus, saltem ad manuum officia haud male a natura comparatus. Posteaquam autem diaconus institutus est, opus quidem perinde neglexit, ac si nullum ei prorsus impositum esset. Coactis autem miseris virginibus, privata auctoritate atque potentia, partim sua sponte ad eum accurrentibus (nec enim te D fugit, quam ad hujusmodi res prompta sit juventus), partim invitis et repugnantibus, gregis imperium sibi arrogare aggressus est; ac patriarchæ nomine et habitu sibi imposito, statim insolenter se efferre

ped desumpsimus ex Gregorio, κατηξιώθημεν ἂν καὶ μέχρι σοῦ γενόμενοι περιπτύξασθαί σου τὴν θεοσέβειαν, editiones Basilii habebant εὐχόμεθα ἰδεῖν τὴν θεοσέβειαν.

(54) *Τῆς εὐσεβείας*. Tres codices recentiores τῆς Ἐκκλησίας.

(55) *Γρηγορίῳ*. Nyssenum aut Nazianzenum intelligit Tillemontius, sed Nazianzeno inscribunt vetusti codices. Nam in Coisl. primo inscribitur τῷ αὐτῷ. Præcedit autem epistola 71, quam ad Nazianzenum scriptam esse nemo dubitat. In Harlæano autem legitur manu recentiore Γρηγορίῳ ἑταίρῳ, qui titulus jejunior quidem est et exilior, quam ut episcopos deceat, sed tamen indicat epistolam ad Gregorium Nazianzenum scriptam fuisse. Reperitur eadem epistola cum duabus sequentibus inter epistolas Gregorii Nazianzeni, suntque 205, 206, 207.

(56) *Ἐπιεικὲς καὶ ἥμερον*. Harl. recentiore manu ἐπιεικῶς ἥμερον. Sic etiam legitur apud Gregorium Nazianzenum.

(57) *Οὐήνεσαν*. Harl. Σύνναααν. Coisl. Οὐήεσαν. Naz. Οὐήνατα.

(58) *Ἀκολουθίας*. Editi addunt δικαίας, quod merito expungunt codices Med. et Coisl. primus. In Harlæano tota pene epistola scripta est manu recenti.

* Alias CCCCXII. Scripta circa annum 374.

cœpit, non causa aliqua probabili ac pietate eo deveniens, verum hanc parandi victus rationem, ut alius quamlibet aliam, sibi proponens: ac parum abfuit quin totam etiam Ecclesiam sedibus suis commoveret; contemnens presbyterum suum, virum et vitæ instituto et ætate venerandum, contemnens chorepiscopum, ac nos etiam tanquam nullius pretii homines; semperque tumultibus ac perturbationinibus urbem atque universum clerum implens. Ac tandem, ubi a me et a chorepiscopo levibus verbis objurgatus est, ne contemptor evaderet (nam juvenes etiam ad eamdem contumaciam exercebat), facinus admodum audax et inhumanum excogitat. Virgines, quotquot potuit, per sacrilegium prædatus, nocte observata, fugam capessit. Omnino tibi gravia hæc videbuntur. Tempus **259** quoque considera. Habebatur ibi conventus, atque ingens undecunque, ut par est, confluebat multitudo. Ille autem vicissim chorum suum introduxit, juvenes sequentem ac tripudiantem, ac plurimum quidem tristitiæ piis afferentem, plurimum autem risus lascivis et lingua procacibus. Neque his contentus, etsi tam atrocibus et horrendis; sed etiam parentes, ut audio, virginum orbitatem non ferentes, atque dispersam turbam reducere cupientes, et ad filiarum suarum pedes cum gemitibus, ut consentaneum est, accidentes, admirandus juvenis cum prædatoria sua manu contumeliis atque ignominia afficit. Hæc velim ne ferenda existimet pietas tua: etenim hoc ludibrium commune omnium nostrum est; sed in primis jube eum cum virginibus redire. Misericordiam enim aliquam, si modo cum tuis litteris revertatur, poterit consequi; sin minus, virgines saltem ad Ecclesiam earum matrem remitte. Quod si hoc fieri nequit, at certe in eas quæ redire volunt, tyrannidem exerceri ne patiaris; sed persuade ut ad nos revertantur; alioqui Deum et homines testamur hæc minime recte fieri, nec ex Ecclesiæ legibus. Glycerius autem si cum disciplina et congruenti modestia redeat, id optimum: secus vero, sit a ministerio remotus.

A ὥσπερ ἄλλος ἄλλην τινὰ προστησάμενος, καὶ μικροῦ τὴν Ἐκκλησίαν πᾶσαν ἀνάστατον πεποίηκε, περιφρονῶν μὲν τὸν ἑαυτοῦ πρεσβύτερον, ἄνδρα καὶ πολιτείᾳ καὶ ἡλικίᾳ αἰδέσιμον, περιφρονῶν δὲ τὸν χωρεπίσκοπον (59), καὶ ἡμᾶς ὡς οὐδενὸς ἀξίους· θορύβων δὲ ἀεὶ καὶ ταραχῶν πληρῶν τὴν πόλιν, καὶ σύμπαν τὸ ἱερατεῖον. Καὶ τέλος, ἵνα τι (60) λόγῳ ἐπιτιμηθῇ μικρὸν παρ' ἡμῶν καὶ τοῦ χωρεπισκόπου, πρὸς τὸ μὴ καταφρονεῖν αὐτὸν (καὶ γὰρ καὶ τοὺς νέους ἐγύμναζεν εἰς τὴν αὐτὴν ἀπόνοιαν), πρᾶγμα διανοεῖται λίαν τολμηρὸν καὶ ἀπάνθρωπον. Συλήσας τῶν παρθένων ὅσας ἠδύνατο, καὶ νύκτα τηρήσας, δραπέτης γίνεται. Πάνυ σοι δεινὰ ταῦτα φανεῖται (61). Σκόπει καὶ τὸν καιρόν. Ἤγετο μὲν ἡ ἐκεῖσε σύνοδος, καὶ πολὺ πανταχόθεν, ὡς εἰκὸς, ἐπέῤῥει τὸ πλῆθος. Ὁ δὲ B ἀντεξῆγε τὸν ἑαυτοῦ χορὸν νέοις (62) ἑπόμενον, καὶ περιχορεύοντα, καὶ πολλὴν μὲν κατήφειαν κινοῦντα τοῖς εὐλαβέσι, πολὺν δὲ γέλωτα τοῖς ἀκρατέσι καὶ τὴν γλῶσσαν ἑτοιμοτέροις. Καὶ οὐκ ἀρκεῖ ταῦτα, καίπερ τηλικαῦτα ὄντα τὸ μέγεθος· ἀλλ' ἔτι καὶ τοὺς γονεῖς, ὡς πυνθάνομαι, τῶν παρθένων τὴν ἀτεκνίαν οὐ φέροντας, καὶ τὴν διασπορὰν ἐπαναγαγεῖν βουλομένους, καὶ μετ' ὀδυρμῶν προσπίπτοντας, ὡς εἰκὸς, ταῖς ἑαυτῶν θυγατράσι, περιυβρίζει καὶ ἀτιμοῖ (63) ὁ θαυμαστὸς νεανίσκος μετὰ τοῦ λῃστρικοῦ συντάγματος. Ταῦτα μὴ ἀνεκτὰ φανήτω τῇ σῇ εὐλαβείᾳ· καὶ γὰρ κοινὸς (64) πάντων ἡμῶν ὁ γέλως· ἀλλὰ μάλιστα μὲν αὐτὸν κέλευσον μετὰ τῶν παρθένων ἐπανελθεῖν. Τύχοι γὰρ ἂν τινος φιλανθρωπίας, εἰ μετὰ τῶν ἐπανήκοι γραμμάτων· εἰ δὲ μὴ, τάς γε παρθένους C ἀπόπεμψον τῇ μητρὶ αὐτῶν τῇ Ἐκκλησίᾳ. Εἰ δὲ μὴ (65), τάς γε βουλομένας τυραννεῖσθαι μὴ συγχωρήσῃς, ἀλλ' ἐπανελθεῖν τύπωσον (66) πρὸς ἡμᾶς· ἢ μαρτυρόμεθά σοι (67) ὃ καὶ Θεῷ καὶ ἀνθρώποις, ὅτι μὴ καλῶς ταῦτα γίνεται, μηδὲ θεσμοῖς Ἐκκλησίας. Γλυκέριος δὲ εἰ μὲν ἐπανέλθοι μετ' ἐπιστήμης (68) καὶ τῆς πρεπούσης (69) εὐσταθείας, τοῦτο ἄριστον· εἰ δὲ μὴ, ἔστω πεπαυμένος τῆς ὑπηρεσίας.

(59) *Τὸν χωρεπίσκοπον*. Med. et Coisl. primus τὸν ἐπίσκοπον.

(60) *Ἵνα τι*. Combefisius legendum putat ἵνα μή. Quasi dicat Basilius Glycerium ne increparetur aufugisse. Sed nihil prorsus mutandum, cum illud ἵνα idem sonet hoc loco ac *ubi* sive *postquam*. Hoc enim sensu usurpatur in epist. 199. Sic etiam in oratione S. Ephrem *in S. Basilium* p. 58. Ἵνα οὖν καὶ ὁ Κύριος σπλαγχνισθῇ ἐπ' ἐμέ: *Ubi ergo Dominus erga me misericordia commotus fuit*.

(61) *Φανεῖται*. Harl. φαίνεται.

(62) *Ὁ δὲ... νέοις*. Legitur Ὁ δὲ... νέος apud Gregorium.

(63) *Ἀτιμοῖ*. Harl. ἀτιμάζει. Sed prima manu habuit ἀτιμοῖ. Legitur etiam ἀτιμάζει apud Gregorium.

(64) *Καὶ γὰρ κοινός*. Ita tres nostri vetustissimi codices: plures enim in hanc epistolam reperire non licuit. Sic etiam apud Greg. Editiones Basilii Καὶ γὰρ κοινόν.

D (65) *Εἰ δὲ μή*. Editi addunt τοῦτο, quod deest in tribus nostris mss.

(66) *Τύπωσον*. Vox Basilio familiaris. Sic enim pluribus in locis usurpatur.

(67) *Μαρτυρόμεθά σοι*. Coisl. μαρτυρόμεθά σοι. Harl. μαρτυρόμεθα Θεὸν καὶ ἀνθρώπους· *testamur Deum et homines*. Sic etiam apud Gregorium, nisi quod legitur μαρτυρώμεθα.

(68) *Ἐπιστήμης*. Legendum putat Combefisius ἐπιστολῆς. Sic legitur apud Greg. Nazianz., et ad marginem ἐπιστήμης. Quæ quidem vox cum legatur in tribus nostris vetustissimis codicibus, non video cur mutanda sit. Sæpe enim idem valet ac disciplina et ordo.

(69) *Πρεπούσης*. Ita mss. et Greg. Naz. Editiones Basilii παρούσης.

ΕΠΙΣΤΟΛΗ ΡΟ'.

Glycerio veniam pollicetur Basilius, si cito redeat, secus vero, depositionem minatur.

A *Γλυκερίῳ.*

Μέχρι τίνος ἀπονοῇ, καὶ κακῶς μὲν βουλεύῃ περὶ σεαυτοῦ, κινεῖς δὲ (70) ἡμᾶς, αἰσχύνεις δὲ τὸ κοινὸν τάγμα τῶν μοναστῶν; Ἐπάνελθε οὖν τῷ Θεῷ θαῤῥῶν καὶ ἡμῖν, οὗ τὴν φιλανθρωπίαν μιμούμεθα. Εἰ γὰρ καὶ πατρικῶς ἐπετιμήσαμεν, ἀλλὰ καὶ συγγνωσόμεθα πατρικῶς (71). Ταῦτά σοι παρ' ἡμῶν· ἐπειδὴ πολλοί τε ἱκετεύουσιν ἄλλοι, καὶ πρὸ τῶν ἄλλων ὁ σὸς πρεσβύτερος, οὗ τὴν πολιὰν αἰδούμεθα καὶ τὴν εὐσπλαγχνίαν. Εἰ δὲ μακρύνεις (72) ἀφ' ἡμῶν, τοῦ βαθμοῦ μὲν πάντως (73) ἐκπέπτωκας· ἐκπεσῇ δὲ καὶ τοῦ Θεοῦ μετὰ τῶν μελῶν σου καὶ τῆς στολῆς, οἷς ἄγεις τὰς νέας οὐ πρὸς Θεὸν, ἀλλ' εἰς βάραθρον.

EPISTOLA CLXX*.

Glycerio

Quousque tandem amentia præceps ageris, et tibi quidem ipse male consules, animos autem nostros concitabis, atque universum monachorum cœtum infamia et dedecore afficies? Redi igitur Deo fretus et nobis, qui ejus benignitatem imitamur. Nam si paterno animo reprehendimus, etiam paterno animo ignoscemus. Ita tecum agimus: siquidem multi alii tua causa supplicant, et ante alios presbyter tuus, cujus canitiem et misericordiam reveremur. Quod si diutius a nobis te removes, gradu quidem omnino excidisti; Deum autem etiam amittes, cum tuis cantilenis et stola: quibus rebus ducis adolescentulas non ad Deum, sed ad barathrum.

ΕΠΙΣΤΟΛΗ ΡΟΑ'.

Queritur iterum Basilius, quod Glycerius et virgines nondum redierint.

B *Γρηγορίῳ.*

Ἐπέσταλκά σοι καὶ πρώην περὶ Γλυκερίου καὶ τῶν παρθένων. Οἱ δὲ οὐδέπω καὶ τήμερον ἐπανήκασιν, ἀλλ' ἔτι μέλλουσιν, οὐκ οἶδα ὅθεν καὶ ὅπως. Οὐ γὰρ ἂν ἐκεῖνό σου καταγνοίην, ὡς ἐφ' ἡμετέρᾳ διαβολῇ τοῦτο ποιεῖς, ἢ αὐτὸς πάσχων τι πρὸς ἡμᾶς, ἢ ἄλλοις χαριζόμενος. Ἡκέτωσαν οὖν μηδὲν δεδοικότες· σὺ γενοῦ τούτου (74) ἐγγυητής. Καὶ γὰρ ἀλγοῦμεν τεμνομένων (75) τῶν μελῶν, εἰ καὶ καλῶς (76) ἐτμήθησαν. Εἰ δὲ ἀντιτείνοιεν, ἐπ' ἄλλους τὸ βάρος, ἡμεῖς δὲ ἀποπλυνόμεθα.

EPISTOLA CLXXI**.

Gregorio.

Scripsi ad te et antea de Glycerio et virginibus. At illi necdum hodie redierunt: verum adhuc morantur; qua de causa, et quomodo nescio. Neque enim tibi hoc crimen intulerim, quod invidiæ nobis creandæ **260** causa id facias, vel ipse nonnihil nobis offensus, vel gratiam ab aliis iniens. Veniant igitur, omni metu posito: esto tu hujus rei sponsor. Angimur enim dum membra abscinduntur, etiamsi recte præcisa sint. Quod si restiterint, aliorum erit onus, nos autem abluimur.

ΕΠΙΣΤΟΛΗ ΡΟΒ'.

Significat Basilius se ex Sophronii litteris et lætitiam eo majorem, quo tunc rarior erat charitas, collegisse; et summum cum hoc Patrum fidei defensore colloquendi desiderium concepisse.

C *Σωφρονίῳ ἐπισκόπῳ* (77).

Ὅπως ηὔφρανας ἡμᾶς τοῖς γράμμασιν, οὐδὲν δεόμεθα γράφειν. Εἰκάζεις γὰρ πάντως αὐτοῖς οἷς ἐπέστειλας τοιούτοις οὖσι. Τὸν γὰρ πρῶτον καρπὸν τοῦ Πνεύματος, τὴν ἀγάπην, ἔδειξας ἡμῖν διὰ τοῦ γράμματος. Τούτου δὲ τί ἂν γένοιτο τιμιώτερον ἡμῖν ἐν τῇ παρούσῃ τῶν καιρῶν καταστάσει, ἡνίκα, διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ἐψύγη τῶν πολλῶν ἡ ἀγάπη; Οὐδὲν γὰρ οὕτω σπάνιον νῦν ὡς ἀδελφοῦ συντυχία πνευματικοῦ, καὶ ῥῆμα εἰρηνικὸν, καὶ πνευματικὴ κοινωνία, ἣν εὑρόντες ἐν τῇ σῇ τελειότητι ὑπερευχαριστήσαμεν τῷ Κυρίῳ, δεόμενοι καὶ τῆς τελείας ἐπὶ σοὶ μετασχεῖν εὐφροσύνης. Εἰ γὰρ

EPISTOLA CLXXII***.

Sophronio episcopo.

Quanta me lætitia litteræ tuæ affecerint, scribere nihil mihi opus est. Id enim profecto conjicis ex his quæ scripsisti, cum talia sint. Primum enim Spiritus fructum, charitatem, mihi per epistolam ostendisti. Quid autem ea re mihi possit esse antiquius in hoc temporum statu, quo propter multiplicatam iniquitatem refrixit multorum charitas? Nunc enim nihil est tam rarum, quam spiritualis fratris congressus, et verbum pacificum, et spiritualis communio: quam in tua integritate nactus, Domino gratias egi, orans ut et cumulata in te lætitia perfruar. Si enim tales epistolæ, qualis con-

(70) *Κινεῖς δέ*. Ita Harl. Editi κινεῖς μέν. Habet etiam Gregorius Nazianzenus ut edidimus.

(71) *Συγγνωσόμεθα πατρικῶς*. Male apud Gregorium legitur πνευματικῶς.

(72) *Μακρύνεις*. Harl. μακρύνοις.

(73) *Πάντως*. Reg. secundus παντός.

(74) *Σὺ γενοῦ τούτου*. Ita mss. tres. Editi συγγενοῦ τούτων. Legitur etiam τούτων apud Greg.

(75) *Τεμνομένων*. Legitur apud Greg. τεμνόμενοι τῶν μελῶν· *abscissi a membris*.

(76) *Καλῶς*. Ita Harlæani codicis ope emendavi- D mus quod in editis legebatur κακῶς.

(77) *Σωφρονίῳ ἐπισκόπῳ*. Sic editi, Coisl. primus, Med. et alii nonnulli. Vat. et Clarom. habent tantum Σωφρονίῳ. At prorsus mendose Harlæanus codex et alii nonnulli, in quibus præcedit epistola ad Sophronium magistrum, habent τῷ αὐτῷ. Perspicuum enim est hanc epistolam ad episcopum, non ad magistrum officiorum scriptam esse.

* Alias CCCCXIV. Scripta circa annum 374.

** Alias CCCCXIII. Scripta circa annum 374.

*** Alias CCCXXXV. Scripta circa annum 374.

gressus? Et si eminus sic capis, quanti eris pretii tum cum cominus conspicieris? Scito autem, nisi negotiorum innumerabilium multitudo detineret ac ineluctabilis illa necessitas qua constringor, ipsum me ad tuam integritatem properaturum fuisse. Quanquam magnum quidem impedimentum est, quominus movear, vetus illa corporis ægritudo; sed tamen ob speratam utilitatem hoc impedimentum esse non duxissem. Congredi enim cum viro, eadem sentiente, et Patrum iidem defendente, uti de te venerandi fratres et compresbyteri narrant, est profecto ad priscam Ecclesiarum beatitudinem reverti; cum pauci quidem disputandi morbo laborarent, omnes autem tranquillo essent animo, mandata citra pudorem perficientes, per nudam et simplicem confessionem Domino servientes [14], ac fidem in Patrem et Filium et Spiritum sanctum inviolabilem et minime curiosam servantes.

A ἐπιστολαὶ τοιαῦται, ὁποία ἡ συντυχία; Καὶ εἰ πόῤῥωθεν οὕτως αἱρεῖς, πόσου ἄξιος ἔσῃ ἐγγύθεν ἡμῖν ἐπιφανείς; Εὖ δὲ ἴσθι (78), εἰ μὴ μυρίων ἀσχολιῶν περιεῖχε πλῆθος (79), καὶ αἱ ἀπαραίτητοι αὗται ἀνάγκαι αἷς ἐνδεδέμεθα, αὐτόν με ἐπειχθῆναι πρὸς τὴν σὴν τελειότητα. Καίτοιγε μέγα μοι ἐμπόδιόν ἐστι πρὸς τὰς κινήσεις ἡ παλαιὰ αὕτη τοῦ σώματος ἀῤῥωστία, ἀλλ' ὅμως οὐκ ἂν ὑπελογισάμην τοῦτο ἐμπόδιον τῆς προσδοκωμένης ἕνεκεν ὠφελείας. Τὸ γὰρ ἀνδρὶ τὰ αὐτὰ φρονοῦντι, καὶ τὴν τῶν Πατέρων πρεσβεύοντι πίστιν, ὡς ὁ τῶν τιμίων ἀδελφῶν καὶ συμπρεσβυτέρων λόγος (80), καταξιωθῆναι περιτυχεῖν, ὄντως ἐστὶν εἰς τὴν ἀρχαίαν μακαριότητα τῶν Ἐκκλησιῶν ἐπανελθεῖν, ὅτε ὀλίγοι μὲν ἦσαν οἱ νοσοῦντες περὶ ζητήσεις, ἐν ἡσυχίᾳ δὲ ἦσαν πάντες, B ἐργάται ὄντες τῶν ἐντολῶν (81) ἀνεπαίσχυντοι, διὰ τῆς ἁπλῆς καὶ ἀπεριέργου ὁμολογίας λατρεύοντες τῷ Κυρίῳ (82), καὶ ἄσυλον τὴν πίστιν καὶ ἀπερίεργον τὴν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα διαφυλάσσοντες.

EPISTOLA CLXXIII*.

ΕΠΙΣΤΟΛΗ ΡΟΓ'.

Declarat Basilius se raro scribere, dum metuit ne litteræ intercipiuntur: exponit in quo consistat vitæ evangelicæ institutum, quod Theodora amplexa fuerat.

Theodoræ canonicæ.

Tardus sum ad scribendum, quod minime persuasum mihi sit litteras meas omnino reddi charitati tuæ, sed perferentium improbitate innumeros alios eas prius legere; **261** cum præsertim ea nunc sit rerum perturbatio in orbe terrarum. Quare exspecto dum quodam modo incuser, ac litteræ violenter reposcantur: ut hoc argumento eas reddi cognoscam. Sive autem scribam, sive taceam, unum mihi opus est, in animo dignitatis tuæ retinere memoriam, ac Dominum precari, ut det tibi cursum boni illius instituti, quod elegisti, absolvere. Vere enim non leve certamen est promittenti, quæ ex promissis consequuntur adjicere. Nam evangelicum vivendi genus amplecti cujusvis est: sed etiam ad minima quæque observationem perducere, nec quidquam eorum, quæ illic scripta sunt negligere, hoc pauci admodum ex his quos novimus, perfecere: nempe lingua refrænata uti, et erudito ex Evangelii mente oculo: operari manibus secundum propositum Deo placendi: pedes item movere, et uno quo-

Πρὸς Θεοδώραν κανονικήν (83).

Ὀχνηροὺς ἡμᾶς ποιεῖ πρὸς τὸ γράφειν τὸ μὴ πεπεῖσθαι τὰς ἐπιστολὰς ἡμῶν πάντως (84) ἐγχειρίζεσθαι τῇ σῇ ἀγάπῃ, ἀλλὰ κακίᾳ τῶν διακονούντων μυρίους προεντυγχάνειν ἑτέρους, καὶ μάλιστα νῦν C οὕτω τεταραγμένων (85) τῶν κατὰ τὴν οἰκουμένην πραγμάτων. Διόπερ ἀναμένω τρόπον τινὰ μεμφθῆναι, καὶ ἀπαιτηθῆναι βιαίως τὰς ἐπιστολάς, ὥστε αὐτῷ τούτῳ τεκμηρίῳ χρήσασθαι τῆς ἀποδόσεως. Καὶ γράφοντες μὲν οὖν καὶ σιωπῶντες ἓν ἔργον ἔχομεν, ἐν ταῖς καρδίαις ἡμῶν φυλάσσειν τὴν μνήμην τῆς κοσμιότητός σου, καὶ προσεύχεσθαι τῷ Κυρίῳ δοῦναί σοι τελέσαι τὸν δρόμον τῆς ἀγαθῆς πολιτείας, καθὰ προείλου. Τῷ ὄντι γὰρ οὐ μικρὸς ἀγὼν ὁμολογοῦντι (86) τῆς ἐπαγγελίας τὰ ἐφεξῆς ἐπάγειν. Τὸ μὲν γὰρ προελέσθαι τὴν κατὰ τὸ Εὐαγγέλιον πολιτείαν παντός· τὸ δὲ καὶ μέχρι τῶν μικροτάτων ἄγειν τὴν παρατήρησιν, καὶ μηδὲν τῶν ἐκεῖ γεγραμμένων παροφθῆναι, τοῦτο πάνυ ὀλίγοις τῶν εἰς ἡμετέραν γνῶσιν ἡκόντων κατώρθωται· ὥστε D καὶ γλώσσῃ πεπεδημένῃ (87) κεχρῆσθαι καὶ ὀφθαλμῷ

[14] II Tim. II, 15.

* Alias CCCII. Scripta circa annum 374.

(78) *Εὖ δὲ ἴσθι*. Pro his vocibus legitur in Coisl. primo ὥστε με. In Medicæo ὥστε μοι.

(79) *Πλῆθος*. Editi addunt ἡμᾶς, quod deest in novem codicibus mss.

(80) *Λόγος*. Hic etiam editi addunt περὶ σοῦ, quæ verba nullo prorsus in codice ms. reperiuntur.

(81) *Ἐντολῶν*. Editi addunt τοῦ Θεοῦ sine necessaria ratione et præter omnium codicum mss. fidem.

(82) *Λατρεύοντες τῷ Κυρίῳ, καί*. Desunt hæc verba in Coisliniano primo et in Medicæo.

(83) *Πρὸς Θεοδώραν κανονικήν*. Ita mss. sex. Editi Θεοδώρᾳ κανονικῇ. Addit Harl. Περὶ βίου κανονικοῦ, *de vita canonica*.

(84) *Πάντως*. Ita omnes nostri veteres libri. Editi παντας. Paulo post iidem editi μυρίοις... ἑτέροις. Septem mss. ut in textu.

(85) *Τεταραγμένων*. Ita Coisl. uterque, Harl., Med. et Bigot. Editi τεταγμένων. Paulo post editi ἀναμένομεν. Omnes mss. ut in textu.

(86) *Ὁμολογοῦντι*. Ita tres vetustissimi codices. Editi ὁμολογοῦντά τι. Ibidem quinque mss. τῇ ἐπαγγελίᾳ. Sed sequi maluimus tres vetustissimos, qui hoc loco cum editis consentiunt, nisi quod habent ἐπάγειν pro eo quod erat in editis ἐπαγαγεῖν.

(87) *Πεπεδημένῃ*. Magis placuit hæc scriptura codicum Harl. et Coisl. primi, quam vulgata πεπαιδευμένῃ, *lingua castigata*. Iidem codices et alii non nulli κεχρῆσθαι. Editi χρῆσθαι.

πεπαιδαγωγημένῳ κατὰ τὸ βούλημα τοῦ Εὐαγγελίου, καὶ χερσὶν ἐνεργεῖν κατὰ τὸν σκοπὸν τῆς εὐαρεστήσεως τοῦ Θεοῦ, καὶ πόδας κινεῖν, καὶ ἑκάστῳ τῶν μελῶν οὕτω κεχρῆσθαι, ὡς ἐξ ἀρχῆς ὁ Δημιουργὸς ἡμῶν ᾠκονόμησε· τὸ ἐν τῇ καταστολῇ κόσμιον, τὸ ἐν ταῖς συντυχίαις τῶν ἀνδρῶν πεφυλαγμένον, τὸ ἐν βρώμασιν αὔταρκες, τὸ ἐν τῇ κυήσει τῶν ἀναγκαίων ἀπέριττον. Ταῦτα πάντα μικρὰ μὲν ἁπλῶς οὕτω λεγόμενα, μεγάλου δὲ ἀγῶνος εἰς τὸ κατορθωθῆναι χρῄζοντα, ὡς ἐπ' αὐτῆς (88) τῆς ἀληθείας εὕρομεν. Καὶ μὲν καὶ τὸ ἐν τῇ ταπεινοφροσύνῃ τέλειον, ὡς μήτε προγόνων περιφανείας μεμνῆσθαι, μήτε, εἴ τι ὑπάρχει (89) ἡμῖν ἐκ φύσεως πλεονέκτημα ἢ κατὰ σῶμα ἢ κατὰ ψυχὴν, τούτῳ ἐπαίρεσθαι, μήτε τὰς ἔξωθεν περὶ ἡμῶν ὑπολήψεις ἀφορμὴν ἐπάρσεώς τε καὶ φυσιώσεως ποιεῖσθαι, ταῦτα τοῦ εὐαγγελικοῦ B ἔχεται βίου. Τὸ ἐν ἐγκρατείᾳ εὔτονον, τὸ ἐν προσευχαῖς φιλόπονον, τὸ ἐν φιλαδελφίᾳ συμπαθὲς, τὸ πρὸς τοὺς δεομένους κοινωνικὸν, τὸ τοῦ φρονήματος καταβεβλημένον, ὁ συντριμμὸς τῆς καρδίας, τὸ τῆς πίστεως ὑγιὲς, τὸ ἐν σκυθρωπότητι ὁμαλὸν, μηδέποτε τῆς ἐννοίας ἡμῶν λειπούσης (90) τοῦ φοβεροῦ καὶ ἀπαραιτήτου δικαστηρίου τὴν μνήμην· πρὸς ὃ ἐπειγόμεθα μὲν ἅπαντες, μέμνηνται δὲ αὐτοῦ, καὶ τὴν ἀπ' αὐτοῦ ἔκβασιν ἀγωνιῶσιν ἐλάχιστοι (91).

que membro sic uti, ut initio Conditor noster ordinavit: modestia in vestitu, cautio in virorum colloquiis, in cibis frugalitas, in rerum necessariarum possessione nihil superflui. Hæc omnia exigua quidem dum sic simpliciter narrantur, sed magno certamine ad perficiendum indigent, quemadmodum reipsa comperimus. Sed et humilitatis perfectio, adeo ut neque majorum claritatis meminerimus, nec si quid nobis insit a natura aut corporis aut animi ornamentum, inde efferamur, neque externas de nobis opiniones ansam elationis ac tumoris faciamus: hæc cum vita evangelica connexa sunt. Ad hæc constantia in abstinentia, in precando sedulitas, in fraterna dilectione commiseratio, liberalitas erga indigentes, spiritus animique abjectio, cordis contritio, fidei sanitas, in mœrore æquabilitas; nunquam intermittente cogitatione nostra terribilis illius et ineluctabilis judicii recordationem, ad quod omnes quidem festinamus, sed qui illius reminiscantur, ac de illius exitu sint solliciti, paucissimi sunt.

ΕΠΙΣΤΟΛΗ ΡΟΔ'.

EPISTOLA CLXXIV*

Luro scribit huic viduæ Basilius, ne quid ei periculi creet. Hortatur ut a divini judicii cogitatione animum non dimoveat, nec tamen nimia distringatur sollicitudine.

Πρὸς ἐλευθέραν.

Ἐγὼ, καὶ πάνυ βουλόμενος συνεχῶς ἐπιστέλλειν C τῇ εὐγενείᾳ ὑμῶν, ἐπέσχον (92) ἐμαυτὸν ἀεὶ, μήπως δόξω τινὰς ὑμῖν πειρασμοὺς ἐπεγείρειν, διὰ τοὺς φιλέχθρως πρὸς ἡμᾶς διακειμένους· καὶ, ὡς ἀκούω, μέχρι καὶ τούτων τὴν ἔχθραν ἐλαύνοντας, ὥστε πολυπραγμονεῖν (93) εἴ πού τις καὶ γράμμα ἡμέτερον δέχοιτο. Ἐπειδὴ δὲ αὐτὴ, καλῶς ποιοῦσα, κατῆρξας τοῦ γράμματος, καὶ ἐπέστειλας ἡμῖν ἃ ἐχρῆν περὶ τῶν κατὰ τὴν ψυχήν σου πραγμάτων ἀνακοινουμένη, προετράπην εἰς τὸ ἀντεπιστεῖλαι· ὁμοῦ μὲν τὰ ἐν τῷ παρελθόντι χρόνῳ ἐλλειφθέντα ἐπανορθούμενος, ὁμοῦ δὲ καὶ πρὸς τὰ ἐπεσταλμένα παρὰ τῆς σῆς εὐγενείας ἀποκρινόμενος. Ὅτι μακαρία ἐστὶ ψυχὴ, ἡ νυκτὸς καὶ ἡμέρας μηδεμίαν ἄλλην μέριμναν στρέφουσα, ἢ πῶς ἐπὶ τῆς μεγάλης ἡμέρας, D καθ' ἣν πᾶσα ἡ κτίσις περιστήσεται τὸν κριτὴν, τὰς εὐθύνας τῶν πεπραγμένων ἀποδιδοῦσα, καὶ αὐτὴ

Ad viduam.

Equidem etsi omnino cupiebam ad tuam nobilitatem sæpissime scribere, me ipse semper cohibui, ne quas vobis tentationes viderer suscitare, propter eos qui infenso in me sunt animo, atque etiam, ut audio, inimicitiam eo usque perducunt, ut curiosius inquirant, an quis a me litteras accipiat. Sed quia **262** ipsa præclare faciens, litteras cœpisti mittere, ac scripsisti nobis, ut par erat, de rebus animæ tuæ communicans, incitatus sum ad rescribendum, cum ea quæ præterito tempore omissa sunt, sarciens, tum etiam ad ea quæ a tua nobilitate scripta sunt, respondens. Nempe beata est anima illa, quæ noctu ac interdiu nullam aliam curam versat, nisi quomodo in die illa magna, in qua creatura omnis actionum suarum rationem reddituга judicem circumstabit, possit et ipsa vitæ suæ rationem facile ponere. Qui enim

(88) *Ὡς ἐπ' αὐτῆς*. Deest ὡς in quatuor mss. non antiquissimis. Ibidem editi εὑρήκαμεν. Tres vetustissimi codices et alii nonnulli ut in textu.

(89) *Ὑπάρχει*. Ita tres antiquissimi codices. Editi ἐνυπάρχει. Ibidem Med. et Coisl. primus φύσεως πλεονέκτημα sine præpositione.

(90) *Ἡμῶν λειπούσης... τὴν μνήμην*. Ita tres vetustissimi codices et Clarom. nisi quod Harlæanus codex habet ἐπιλειπούσης. Editi non habent τὴν μνήμην, sed hunc locum sic exhibent: μηδέποτε τῆς ἐννοίας ἐπιλειπούσης ἡμᾶς τοῦ, etc. *Nunquam a nobis recedente cogitatione terribilis illius*, etc.

(91) Supplementum ad hanc epistolam ut anecdotum Latine tantum et corruptissime edidit Petrus Aloysius Galletius (ap. Amaduzzi *Anecdota litteraria*, tom. I, p. 23). Incipit: *Multis vero exsistentibus quæ a divina Scriptura manifestata sunt, et his qui a studiosis debent dirigi et Deo placere festinantibus in præsentiarum moti, a vobis solum, sicut didici*, etc., corrupte. Desinit: *Fructusque dignos pœnitentiæ ostendere Dei beneplacentia et cooperatione Domini nostri Jesu Christi. Amen.* Sed quæ inedita putavit vir doctissimus, ea totidem verbis Græce et Latine, emendatius etiam, legere est epist. 22, supra. EDIT.

(92) *Ἐπέσχον*. Ita mss. summo consensu, et paulo post φιλέχθρως. Editi ἀπέσχον et φιλεχθῶς.

(93) *Πολυπραγμονεῖν*. Harl. et Coisl. primus φιλοπραγμονεῖν, quod idem significat. Paulo post idem Coisl. ὡς ἐχρῆν.

* Alias CCLXXXIII. Scripta circa annum 374.

A diem illam atque horam ante oculos positam habet, semperque suam pro illo tribunali, quod decipi nequit, defensionem meditatur, is aut nihil aut omnino levissima peccabit; quia peccare nobis ob absentiam timoris Dei contingit. Quibus autem clare obversabitur intentarum minarum exspectatio, his nullum tempus dabit insitus timor in involuntarias actiones aut cogitationes incidendi. Itaque Dei memineris, et illius timorem in corde habeto, atque ad communionem precum omnes adjunge. Magnum enim est eorum qui Deum placare possunt auxilium. Neque hæc facere intermiseris. Nam et viventibus nobis in hac carne bona erit adjutrix precatio, et inde proficiscentibus idoneum viaticum ad futurum ævum. Quemadmodum autem B sollicitudo res bona est, ita rursus animum despondere et desperare, ac de salute diffidere, res sunt animæ noxiæ. Spem itaque in Dei bonitate colloca, et illius auxilium exspecta : certo sciens, si recte ac sincere ad ipsum convertamur, futurum ut non modo nos omnino non rejiciat, sed etiam nobis adhuc precum verba proferentibus dicat : Ecce adsum.

δυνηθῇ κούφως ἀποθέσθαι τὸν λόγον τῶν βεβιωμένων. Ὁ γὰρ ἐκείνην τὴν ἡμέραν καὶ τὴν ὥραν πρὸ ὀφθαλμῶν τιθέμενος, καὶ ἀεὶ μελετῶν τὴν ἐπὶ τοῦ ἀπαραλογίστου (94) κριτηρίου ἀπολογίαν, ὁ τοιοῦτος ἢ οὐδὲν παντελῶς, ἢ ἐλάχιστα ἁμαρτήσεται· διότι τὸ ἁμαρτάνειν ἡμῖν κατὰ ἀπουσίαν τοῦ φόβου τοῦ Θεοῦ (95) γίνεται. Οἷς δ' ἂν ἐναργὴς παρῇ τῶν ἀπειλουμένων ἡ προσδοκία, οὐδένα καιρὸν δώσει τοῖς τοιούτοις ὁ σύνοικος φόβος εἰς ἀβουλήτους πράξεις ἢ ἐνθυμήσεις ἐκπεσεῖν (96). Καὶ μέμνησο τοίνυν τοῦ Θεοῦ, καὶ ἔχε τὸν αὐτοῦ φόβον ἐν τῇ καρδίᾳ, καὶ πάντας εἰς τὴν κοινωνίαν τῶν εὐχῶν παραλάμβανε. Μεγάλη γὰρ καὶ ἡ τῶν δυναμένων δυσωπεῖν τὸν Θεὸν βοήθεια. Καὶ μὴ διαλίπῃς ταῦτα ποιοῦσα. Καὶ γὰρ καὶ ζῶσιν ἡμῖν τὴν ἐν σαρκὶ ταύτῃ ζωὴν ἀγαθὴ ἔσται βοηθὸς ἡ προσευχή· καὶ ἀπερχομένοις ἐντεῦθεν ἐφόδιον διαρκὲς πρὸς τὸν αἰῶνα τὸν μέλλοντα. Ὥσπερ δὲ ἡ φροντὶς πρᾶγμά ἐστιν ἀγαθὸν, οὕτω πάλιν ἡ ἀθυμία καὶ ἡ ἀπόγνωσις, καὶ τὸ δυσελπίστως ἔχειν πρὸς σωτηρίαν, τῶν βλαπτόντων ἐστὶ τὴν ψυχήν. Ἐπέλπιζε τοίνυν τῇ ἀγαθότητι τοῦ Θεοῦ, καὶ ἐκδέχου αὐτοῦ τὴν ἀντίληψιν, γινώσκουσα, ὅτι, ἐὰν καλῶς καὶ γνησίως πρὸς αὐτὸν ἐπιστραφῶμεν, οὐ μόνον οὐκ ἀποῤῥίψει ἡμᾶς εἰς τὸ παντελὲς, ἀλλ' ἔτι λαλούντων ἡμῶν τὰ ῥήματα τῆς προσευχῆς ἐρεῖ· Ἰδοὺ πάρειμι.

EPISTOLA CLXXV*.

ΕΠΙΣΤΟΛΗ ΡΟΕ'.

De fide nihil vult scribere Basilius, ac de calumniatoribus suis queritur.

C *Magneniano comiti.*

Non ita pridem scribebat mihi gravitas tua, cum nonnulla alia, tum ut de fide scriberem, aperte præcipiens. Ego porro tuum hujus rei admiror studium, ac Deum rogo, ut indefessa tibi insit bonorum electio, ac semper progrediens tum scientia, tum bonis operibus, perfectus evadas. Sed quia nolo de fide scriptum relinquere, nec diversas fidei professiones scribere, recusavi mittere quæ postulastis. Cæterum mihi videmini erudiri ab hominibus illic nihil agentibus, qui ut me calumnientur nonnulla proferunt; quasi inde seipsos sint commendaturi, si de me turpissima mentiantur. Illos enim nudat præteritum tempus, et progrediens experientia notiores faciet. Nos autem præcipimus iis, qui in D Christum sperant, nihil curiose præter antiquam 263 fidem inquirere : sed quemadmodum credimus, ita et baptizari, et quemadmodum baptizamur, ita et glorificare. Nomina autem nobis satis est ea confiteri quæ a sancta Scriptura accepimus, et in his novitatem vitare. Non enim in inventione

Μαγνηνιανῷ (97) κόμητι.

Πρώην ἐπέστελλέ μοι ἡ σεμνότης σου ἄλλα τινὰ, καὶ περὶ πίστεως γράψαι ἡμᾶς ἐναργῶς προστάσσουσα. Ἀλλ' ἐγὼ τὴν μὲν σὴν περὶ τὸ πρᾶγμα ἄγαμαι σπουδὴν, καὶ εὔχομαι τῷ Θεῷ ἀνενδότως σοι τῶν ἀγαθῶν τὴν αἵρεσιν ἐνυπάρχειν, καὶ ἀεί σε προκόπτοντα καὶ γνώσει καὶ ἔργοις ἀγαθοῖς τελειοῦσθαι· διὰ δὲ τὸ μὴ βούλεσθαι περὶ πίστεως σύνταγμα καταλιμπάνειν, μηδὲ γράφειν διαφόρους πίστεις, παρετηρησάμην ἀποστεῖλαι ἃ ἐπεζητήσατε. Πλὴν δοκεῖτέ μοι περιηχεῖσθαι παρὰ τῶν αὐτόθι, τῶν μηδὲν ἐργαζομένων, οἳ ἐπὶ (98) διαβολῇ ἡμετέρᾳ λέγουσί τινα, ὡς ἐκ τούτου ἑαυτοὺς συστήσοντες (99), ἐὰν ἡμῶν τὰ αἴσχιστα καταψεύσωνται. Ἐκείνους μὲν γὰρ φανεροῖ ὁ παρελθὼν χρόνος, καὶ προϊοῦσα ἡ πεῖρα φανερωτέρους ποιήσει· ἡμεῖς δὲ παρακαλοῦμεν τοὺς ἠλπικότας εἰς Χριστὸν, μηδὲν παρὰ τὴν ἀρχαίαν περιεργάζεσθαι πίστιν· ἀλλ' ὡς πιστεύομεν, οὕτω καὶ βαπτίζεσθαι, ὡς δὲ βαπτιζόμεθα, οὕτω καὶ δοξολογεῖν. Ὀνόματα δὲ ἡμῖν ἀρκεῖ (1) ἐκεῖνα ὁμολογεῖν, ἃ παρελάβομεν παρὰ τῆς

* Alias CCCCX. Scripta circa ann. 374.

(94) *Ἀπαραλογίστου.* Ita mss. septem. Editi ἀπαραλογήτου. Paulo post ope codicum Harl. et Coisl. primi emendavimus quod erat in editis ἢ οὐδὲν ἢ παντελῶς ἐλάχιστα.

(95) *Τοῦ Θεοῦ.* Ita tres vetustissimi codices. Desunt in aliis. Editi τοῦ Κυρίου. Paulo post editi ἐνεργὴς παρῇ τῶν ἀπαιτουμένων. Omnes mss. ut in textu.

(96) *Ἐκπεσεῖν.* Multi codices non antiquissimi ἐκπίπτειν. Non multo post plures mss. ταύτην ζωήν.

(97) *Μαγνηνιανῷ.* Med. Μαγνινιανῷ. Editi Μαγνημιανῷ.

(98) *Οἳ ἐπί.* Ita Coisl. primus et Reg. secundus. Editi ὁ ἐπί.

(99) *Συστήσοντες.* Ita Coisl. primus, Med., Vat., Clarom. et Reg. secundus. Editi συστήσαντες.

(1) *Ἀρκεῖ.* Medicæus codex ἀρκεῖν.

ἁγίας Γραφῆς, καὶ τὴν ἐπὶ τούτοις καινοτομίαν διαφεύγειν. Οὐ γὰρ ἐν τῇ ἐφευρέσει τῶν προσηγοριῶν ἡ σωτηρία ἡμῶν, ἀλλ' ἐν τῇ ὑγιεῖ περὶ τῆς θεότητος εἰς ἣν πεπιστεύκαμεν ὁμολογίᾳ.

A nominum nostra salus, sed in sana divinitatis, in quam credimus, confessione.

ΕΠΙΣΤΟΛΗ ΡΟϚ'. / EPISTOLA CLXXVI*.

Amphilochium invitat Basilius ad diem festum S. Eupsychii, rogatque ut tribus diebus ante ipsum diem festum adveniat

Ἀμφιλοχίῳ, ἐπισκόπῳ Ἰκονίου.

Παράσχοι ὁ ἅγιος Θεὸς ἐρρωμένῳ σοι τὸ σῶμα, καὶ ἀπὸ πάσης ἀσχολίας ἀνειμένῳ, καὶ πάντα πράττοντι κατὰ νοῦν, τὴν ἐπιστολὴν ἡμῶν ταύτην εἰς χεῖρας ἐλθεῖν, ἵνα μὴ ἄπρακτος ἡμῶν ἡ παράκλησις γένηται, ἣν παρακαλοῦμεν νῦν ἐπιφανῆναί σε ἡμῶν τῇ πόλει, ἐπὶ τῷ σεμνοτέραν γενέσθαι τὴν πανήγυριν, ἣν δι' ἔτους ἄγειν ἐπὶ τοῖς μάρτυσιν ἔθος ἐστὶν ἡμῶν τῇ Ἐκκλησίᾳ. Πέπεισο γάρ, τιμιώτατέ μοι καὶ ποθεινότατε ὡς ἀληθῶς, ὅτι πολλῶν εἰς πεῖραν ἐλθὼν ὁ παρ' ἡμῖν (2) λαός, τῆς οὐδενὸς οὕτως ἀντέχεται ἐπιτυχίας, ὡς τῆς σῆς παρουσίας· τοιοῦτον κέντρον ἀγάπης ἐκ τῆς μικρᾶς ἐκείνης συντυχίας ἐναφῆκας. Ἵνα οὖν καὶ ὁ Κύριος δοξασθῇ, καὶ λαοὶ εὐφρανθῶσι, καὶ τιμηθῶσι μάρτυρες, καὶ ἡμεῖς οἱ γέροντες τῆς ὀφειλομένης ἡμῖν παρὰ τέκνου γνησίου τύχωμεν θεραπείας, καταξίωσον ἀόκνως μέχρις ἡμῶν διαβῆναι, καὶ προλαβεῖν τὰς ἡμέρας τῆς συνόδου· ὥστε ἐπὶ σχολῆς ἡμᾶς ἀλλήλοις συγγενέσθαι, καὶ συμπαρακληθῆναι διὰ τῆς κοινωνίας τῶν πνευματικῶν χαρισμάτων. Ἔστι δὲ ἡ ἡμέρα τῇ πέμπτῃ (3) τοῦ Σεπτεμβρίου. Διὸ παρακαλοῦμεν πρὸ τριῶν ἡμερῶν ἐπιστῆναι, ἵνα καὶ τοῦ πτωχοτροφείου τὴν μνήμην (4) μεγάλην ποιήσῃς τῇ παρουσίᾳ. Ἐρρωμένος καὶ εὔθυμος ἐν Κυρίῳ ὑπερευχόμενός μου διαφυλαχθείης μοι καὶ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ χάριτι τοῦ Κυρίου.

Amphilochio, episcopo Iconii.

Faxit Deus sanctus, ut tibi corpore valenti, et omnibus negotiis soluto, et omnia ex sententia gerenti hæc epistola nostra in manus veniat; ut inanis et irrita non sit nostra adhortatio, qua te rogamus, ut nunc in civitatem nostram advenias, quo conventus, quem quotannis agere in honorem martyrum mos est Ecclesiæ nostræ, illu-
B strior fiat. Nam persuasum sit tibi, vir mihi colendissime et vere quam desideratissime, populum nostrum, cum multos expertus sit, nullius præsentiam ita desiderare, ut tuam, tantum ei amoris aculeum brevi illo congressu immisisti. Ut igitur et Domino gloria tribuatur, et populi lætitia, et honore martyres afficiantur, ac nos senes debita nobis a filio germano consequamur obsequia, ne dedigneris ad nos usque impiger accedere, atque conventus dies prævertere; ut otiose mutuum inter nos colloquium habeamus, nosque invicem donorum spiritualium communicatione consolemur. Præstitutus porro dies est Septembris quintus. Quamobrem, quæso, tribus diebus tempus illud
C anticipato, ut et memoriam ptochotrophii præsentia tua insignem efficias. Sanus, lætusque in Domino, et pro me deprecans serveris mihi et Ecclesiæ Dei per gratiam Domini.

ΕΠΙΣΤΟΛΗ ΡΟΖ'. / EPISTOLA CLXXVII**.

Commendat Basilius Eusebium, qui calumniis appetitus gravissimum judicium sustinebat tempore molestissimo.

Σωφρονίῳ μαγίστρῳ.

Καταλέγειν μὲν πάντας τοὺς δι' ἡμᾶς (5) εὐεργετηθέντας παρὰ τῆς σῆς μεγαλονοίας οὐ ῥᾴδιον· οὕτω πολλοὺς μὲν σύνισμεν ἑαυτοῖς εὐπεποιηκόσι διὰ τῆς μεγάλης σου χειρός, ἣν ὁ Κύριος ἡμῖν σύμμαχον ἐπὶ τῶν μεγίστων καιρῶν ἐχαρίσατο· δικαιό-

Sophronio magistro.

Recensere omnes, qui propter me beneficiis a tua magnanimitate affecti sunt, non facile est; adeo multis conscius mihi sum me bene fecisse per magnam tuam manum, quam mihi Dominus gravissimis temporibus adiutricem largitus est.

(2) *Παρ' ἡμῖν*. Editi παρ' ἡμῶν contra veterum codicum fidem.

(3) *Τῇ πέμπτῃ*. Nolui immutare hunc contextum, quia sic reperitur in utroque Coisl., Med. utroque, Reg., Vat. et utroque Bigot. Nisi quod in nonnullis legitur τοῦ Σεπτεμβρίου μηνὸς τῇ πέμπτῃ. Non exstat hæc epistola in codice Harlæano. Legitur in editis τῇ ε'. Sed tamen legendum videtur τῇ ἑβδόμῃ· *die septima Septembris*. Hoc enim die memoria S. Eupsychii martyris apud Græcos celebratur: idque Basilius ipse testatur in epistola 100, consentientibus tribus vetustissimis codicibus, et utroque Regio, Coisl. secundo, Vat. ac Bigot. altero.

(4) *Τὴν μνήμην*. Existimat Tillemontius Amphilochium sic invitari, ut dum in ptochotrophio diversatur, locus ex ejus præsentia memorabilis fieret. Sed quid necesse fuit eum tribus ante diem festum diebus advenire? Num si ad diem præsti-
D tum venisset, ptochotrophio nihil honoris ex illius præsentia accessisset? Itaque τὴν μνήμην interpretor, ecclesiam in ptochotrophio exstructam, de qua Basilius loquitur in epist. 94. Nemo nescit Ecclesias, in quibus martyrum reliquiæ asservabantur, memorias dici solere. Porro Amphilochius, si tribus ante festum diebus venisset, non dubium est, quin ptochotrophio exceptus (ibi enim excipiebantur insignes personæ), mysteria in ecclesia illius loci celebrasset. Quamobrem rogat Basilius tempus tribus diebus anticipet, ut non solum S. Eupsychii diem festum obeat, sed *et memoriam ptochotrophii* præsentia sua insignem efficiat.

(5) *Δι' ἡμᾶς*. Ita Coisl. primus; quæ scriptura magis placet quam vulgata δι' ἡμῶν, *per me*.

* Alias CCCXCIV. Scripta anno 374.

** Alias CCCXXXIV. Scripta anno 374.

Omnium autem dignissimus est qui juvetur, is quem nunc tibi per litteras **264** meas sisto, colendissimus frater noster Eusebius, absurda appetitus calumnia, quam propulsare solius tuæ est probitatis. Quapropter rogo, ut et juris habens rationem, et ad humanam conditionem respiciens, et consueta in me beneficia conferens, huic viro omnium loco sis, eumque una cum veritate adjuves. Nam præsidii non parum in jure positum habet; quod quidem, nisi tempus præsens læserit, facile erit clare et ineluctabiliter demonstrare.

A τατος δὲ πάντων καὶ ὁ νῦν προσαγόμενος διὰ τοῦ γράμματος ἡμῶν τυγχάνει (6), ὁ αἰδεσιμώτατος ἀδελφὸς (7) Εὐσέβιος, παραλόγῳ συκοφαντίᾳ περιπεσὼν, ἣν ἀποσκεδάσαι μόνης ἐστὶ τῆς σῆς ὀρθότητος. Διὸ παρακαλοῦμεν, καὶ τῷ δικαίῳ χαριζόμενον, καὶ πρὸς τὸ ἀνθρώπινον ἀφορῶντα, καὶ ἡμῖν τὰς συνήθεις παρεχόμενον χάριτας, ἀντὶ πάντων γενέσθαι τῷ ἀνδρὶ, καὶ προστῆναι αὐτοῦ μετὰ τῆς ἀληθείας. Ἔχει γὰρ οὐ μικρὰν συμμαχίαν τὴν ἀπὸ τοῦ δικαίου· ἣν, εἰ μὴ ὁ παρὼν καιρὸς καταβλάψειε, πάνυ ῥᾴδιον σαφῶς καὶ ἀναντιῤῥήτως ἐπιδειχθήσεσθαι (8).

EPISTOLA CLXXVIII*.

ΕΠΙΣΤΟΛΗ ΡΟΗ.

Commendat Basilius eundem Eusebium, ac rogat, ne quia multi in atrocissimis sceleribus deprehensi, in eum hæc suspicio redundet

Aburgio.

Scio me tuæ dignitati multos sæpenumero commendasse, et gravissimis temporibus non parum afflictis profuisse. Sed nullum antea missum a me ad tuam præstantiam memini, qui mihi charior foret, aut qui de rebus majoris momenti decertaret, quam desideratissimus filius Eusebius, qui nunc tibi has a me litteras reddit. Qui quidem quali implicatus sit negotio, ipse, si modo tempus idoneum nanciscatur, gravitati tuæ narrabit. Quæ autem a me dici par est, hæc sunt: non committendum esse ut viri causa detorqueatur; aut quia multi in atrocissimis sceleribus deprehensi sunt, in eum hæc multorum suspicio redundet; sed judicium ei concedendum esse, et in illius vitam inquirendum. Ita enim facillime calumnia manifesta fiet, ac vir ille justissimum patrocinium nactus, perpetuus erit beneficii a tua humanitate accepti præco.

B *Ἀβουργίῳ.*

Πολλοὺς οἶδα πολλάκις συστήσας τῇ τιμιότητί σου, καὶ γενόμενος ἐπὶ μεγίστων καιρῶν χρήσιμος ἱκανῶς τοῖς καταπονουμένοις. Οὐ μὴν τιμιώτερόν γε ἐμοὶ, οὐδ' ὑπὲρ μειζόνων ἀγωνιζόμενον οἶδα πρότερον παραπέμψας τῇ κοσμιότητί σου τοῦ ποθεινοτάτου υἱοῦ Εὐσεβίου, τοῦ νῦν τὴν ἐπιστολὴν ταύτην ἐγχειρίζοντός σοι παρ' ἡμῶν. Ὃς ποταπῷ μὲν συμπέπλεκται πράγματι, αὐτὸς, ἂν τύχοι τινὸς καιροῦ, διηγήσεταί σου τῇ σεμνότητι· ἃ δὲ παρ' ἡμῶν λεχθῆναι προσῆκε, ταῦτά ἐστι· μὴ παρασυρῆναι τὸν ἄνδρα, μηδὲ τῷ πολλοὺς πεφηνέναι τοὺς ἐπὶ ταῖς χαλεπωτάταις (9) πράξεσιν ἑαλωκότας, καὶ αὐτόν τι τῆς τῶν πολλῶν ὑπονοίας παραπολαῦσαι· ἀλλὰ τυχεῖν δικαστηρίου, καὶ εἰς ἐξέτασιν αὐτοῦ τὸν C βίον ἀχθῆναι. Ῥᾷστα γὰρ οὕτω καὶ ἡ συκοφαντία φανερὰ γενήσεται, καὶ ὁ ἀνὴρ τυχὼν τῆς δικαιοτάτης προστασίας κήρυξ ἔσται διηνεκὴς τῶν ὑπηργμένων αὐτῷ παρὰ τῆς σῆς ἡμερότητος.

EPISTOLA CLXXIX**.

ΕΠΙΣΤΟΛΗ ΡΟΘ'.

Commendat Basilius hominem gravi calumnia in judicium vocatum.

Arinthæo.

Libertati amicum te esse et perhumanum satis nos docent et generosa indoles, et quod te communem omnibus præbes. Quapropter fidenter deprecatorem me præbeo pro viro ex longa quidem majorum serie claro, sed per se majori honore ac reverentia digno ob insitam morum suavitatem; ut meo rogatu opem illi feras, judicium sustinenti leve illud quidem et contemnendum, si veritas spe-

Ἀρινθαίῳ.

Καὶ φιλελεύθερόν σε εἶναι καὶ φιλάνθρωπον τό τε τῆς φύσεως εὐγενὲς καὶ τὸ πρὸς πάντας κοινωνικὸν ἱκανῶς ἡμᾶς ἐκδιδάσκει. Διὸ θαῤῥούντως (10) πρεσβεύομεν ὑπὲρ ἀνδρὸς λαμπροῦ μὲν ἄνωθεν καὶ ἐκ προγόνων (11), πλείονος δὲ δι' ἑαυτὸν τιμῆς καὶ D αἰδοῦς ἀξίου διὰ τὴν ἐνυπάρχουσαν αὐτῷ τῶν τρόπων ἡμερότητα· ὥστε σε παρακληθέντα ὑφ' ἡμῶν παραστῆναι αὐτῷ ἀγωνιζομένῳ δίκην, τῆς μὲν ἀλη-

* Alias CCCLX. Scripta anno 374.

** Alias CCCLXXX. Scripta anno 374.

(6) *Τυγχάνει.* Sic mss. octo. Editi τυγχάνειν.

(7) *Ἀδελφός.* Ante hanc vocem editi apponunt ἡμῶν, quod deest in tribus vetustissimis codicibus.

(8) *Ἐπιδειχθήσεσθαι.* Ita Harl. codex, cui favent sex alii, in quibus legitur ἐπιδειχθήσεται. Editi ἐπιδειχθῆναι.

(9) *Ἐπὶ ταῖς χαλεπωτάταις.* Indicat Basilius horribilem illam tragœdiam, quæ sub Valente acta est, cum deprehensi fuissent qui de illius successore per sortes inquisierant. Tunc *omnium fere ordinum multitudo, quam nominatim recensere est arduum*, inquit Ammianus, *in plagas calumniarum conjecta, percussorum dexteras fatigavit, tormentis et plumbo et verberibus ante debilitata: sumptumque est de quibusdam sine spiramento vel mora supplicium, dum quæritur an sumi deberet: et ut pecudum ubique trucidatio cernebatur.* Rerum crudeliter gestarum seriem et modos accurate describit idem scriptor lib. XXIX, c. 1 et 2. Merito ergo metuebat Basilius, ne his calumniis implicatus Eusebius parum haberet in sua innocentia præsidii.

(10) *Θαῤῥούντως.* Tres recentiores codices θαῤῥοῦντες.

(11) *Καὶ ἐκ προγόνων.* Conjunctio addita ex Coisl. primo et Harl.

θείας ἕνεκεν (12) εὐκαταφρόνητον, ἐναγώνιον δὲ A ἄλλως διὰ τὸ τῆς συκοφαντίας βαρύ. Μεγάλη γὰρ ἂν γένοιτο αὐτῷ ῥοπὴ πρὸς σωτηρίαν, εἰ καταξιώσειάς τι ῥῆμα φιλάνθρωπον ὑπὲρ αὐτοῦ προέσθαι (13), προηγουμένως μὲν τῷ δικαίῳ χαριζόμενος, ἔπειτα καὶ ἡμῖν τοῖς ἐξαιρέτοις σου τὴν συνήθη τιμὴν καὶ χάριν καὶ ἐν τούτῳ χαριζόμενος.

...cletur, sed alioqui difficile et molestum ob calumniæ vehementiam. Multum enim illi accedet ad salutem momenti, si quid benigne pro eo dicere digneris, in primis id juri deferens: deinde etiam et nobis summis tuis amicis, consuetum honorem et officium in hoc quoque tribuens.

ΕΠΙΣΤΟΛΗ ΡΠ'.

265 EPISTOLA CLXXX*.

Sophronio Basilius commendat Eumathium nobilem et disertum virum gravissima calamitate afflictum.

Σωφρονίῳ μαγίστρῳ, Εὐμαθίου ἕνεκεν.

Ἀνδρὶ ἀξιολόγῳ περιτυχὼν περιστάσει οὐκ ἀνεκτῇ κεχρημένῳ, ἔπαθον τὴν ψυχήν. Τί γὰρ οὐκ ἔμελλον, ἄνθρωπος ὤν, ἀνθρώπῳ ἐλευθέρῳ παρ' ἀξίαν ἐμπεπλεγμένῳ πράγμασι συναλγεῖν; Καὶ βουλευσάμενος (14) πῶς ἂν γενοίμην αὐτῷ χρήσιμος, B μίαν εὗρον λύσιν τῆς κατεχούσης αὐτὸν δυσχερείας, εἰ τῇ σῇ κοσμιότητι ποιήσαιμι γνώριμον. Σὸν οὖν τὸ ἐφεξῆς, τὴν σαυτοῦ σπουδήν, ἣν εἰς πολλοὺς ἐφ' ἡμῖν (15) μάρτυσιν ἐπιδέδειξαι, καὶ αὐτῷ παρασχέσθαι. Τὸ δὲ πρᾶγμα γνωρίσει ἡ ἐπιδοθεῖσα παρ' αὐτοῦ δέησις τοῖς βασιλεῦσιν, ἣν καὶ λαβεῖν εἰς χεῖρας, καὶ συμπρᾶξαι τῷ ἀνδρὶ τὰ δυνατὰ παρακλήθητι. Καὶ γὰρ Χριστιανῷ χαρίζῃ (16), καὶ εὐγενεῖ, καὶ ἀπὸ λόγου πολλοῦ τὸ αἰδέσιμον ἐπαγομένῳ. Ἐὰν δὲ προσθῶμεν, ὅτι καὶ ἡμεῖς μεγάλην διὰ τῆς εἰς αὐτὸν εὐποιΐας ὑποδεχόμεθα (17) χάριν, πάντως, κἂν μικρὸν ᾖ ἄλλως τὸ ἡμέτερον, ἀλλὰ τῆς σῆς σεμνότητος (18) ἀεὶ ἐν λόγῳ ποιεῖσθαι τὰ καθ' ἡμᾶς ἀνεχομένης, οὐ μικρὸν φανεῖται τὸ χαρισθὲν ἡμῖν.

Sophronio magistro, in Eumathii gratiam.

In egregium virum cum incidissem calamitate intolerabili afflictum, animum invasit dolor. Quomodo enim potuissem, cum sim homo, hominis ingenui præter meritum negotiis implicati dolore non moveri? Mecum autem reputans quomodo ei prodesse possem, unam inveni molestiæ illum detinentis solutionem, si eum tuæ dignitati notum facerem. Jam autem tuum est, idem studium, quod in multos, nobis testibus, ostendisti, huic quoque exhibere. Rem autem cognitam faciet supplex libellus ab eo imperatoribus traditus: quem velim et in manus sumas, et pro virili adsis homini. Certe enim in Christianum beneficus eris, et nobilem, et ob multam doctrinam venerandum. Quod si addiderim te conferendo in eum beneficio magnam apud nos quoque inire gratiam, certe quamvis res meæ parvi sint pretii, tua tamen gravitate earum semper rationem habere non dedignante, non parvum videbitur quod mihi gratum fiet.

ΕΠΙΣΤΟΛΗ ΡΠΑ'.

EPISTOLA CLXXXI**.

Rogat Otreium Basilius ut sese invicem consolentur; iste quidem quæ Samosatis perferentur, ad Basilium scribendo; Basilius vero, quæ ex Thracia didicerit, ei nuntiando.

Ὀτρηΐῳ Μελητίνης. C

Οἶδα, ὅτι καὶ τῆς σῆς εὐλαβείας τοσοῦτον ἅπτεται ὁ χωρισμὸς τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου, ὅσον καὶ ἡμῶν αὐτῶν. Ἐπεὶ οὖν ἀμφότεροι χρῄζομεν παρακλήσεως, ἀλλήλοις γενώμεθα παραμυθία. Καὶ σύ τε ἡμῖν ἐπίστελλε τὰ ἐκ Σαμοσάτων, ἡμεῖς τε ἅπερ ἂν μάθωμεν ἀπὸ τῆς Θρᾴκης, ἀπαγγελοῦμεν. Φέρει γὰρ ἐμοὶ μὲν τὸ γινώσκειν τοῦ λαοῦ τὴν ἔνστασιν οὐ μικρὰν ῥᾳστώνην ἐκ τῶν παρόντων λυπηρῶν, τῇ δὲ σῇ χρηστότητι τὸ διδάσκεσθαι ἐν οἷς ἐστιν ὁ κοινὸς ἡμῶν πατήρ. Ἀμέλει καὶ νῦν οὐ γράμμασι σημαίνειν ἔχομεν· ἀλλ' αὐτὸν παρεστήσαμέν σοι τὸν ἀκριβῶς εἰδότα, καὶ *ἀπαγγέλλοντα* (19) ἐν οἷς αὐτὸν κατέλιπε, καὶ ὅπως καὶ *φέροντα* (20) τὰ συμπίπτοντα. Εὔχου τοίνυν καὶ ὑπὲρ αὐτοῦ, καὶ ὑπὲρ ἡμῶν, ἵνα ὁ Κύριος ταχεῖαν ἀπαγάγῃ τῶν δεινῶν τούτων τὴν λύσιν.

Otreio Meletines.

Haud ignoro tuam pietatem separatione ac exsilio Eusebii episcopi religiosissimi tam moveri, quam memetipsum. Cum itaque uterque indigeamus consolatione, simus alter alteri solatio. Et tu scribe nobis quæ Samosatis ad te perferentur, et ego quæ ex Thracia didicero, nuntiabo. Nam nec mihi, populi constantiam cognoscere, parvam affert ex præsentibus molestiis allevationem, nec tibi, de communis patris nostri rebus edoceri. Nunc sane non possumus hæc perscribere: sed tibi sistimus, qui ea accurate novit, et narrabit quo in statu ipsum reliquerit, et quo animo ærumnas perferentem. Precare igitur et pro ipso et pro me, ut Dominus quam celerrime ab his nos angustiis liberet.

(12) *Ἕνεκεν*. Ita sex mss. Editi ἕνεκα.
(13) *Προέσθαι*. Ita mss. sex. Editi προΐεσθαι.
(14) *Βουλευσάμενος*. Editi addunt οὖν, quod abest a novem mss.
(15) *Ἐφ' ἡμῖν*. Sic Med. et Coisl. 1, melius quam alii et editi ὑφ' ἡμῖν.
(16) *Χαρίζῃ*. Ita Coisl. primus cum quatuor aliis et Harl. secunda manu. Editi χαρίζει.
(17) *Ὑποδεχόμεθα*. Ita mss. sex. Coisl. primus ἀποδεχόμεθα. Editi ἀποδεξόμεθα.
(18) *Τῆς σῆς σεμνότητος*. Sic tres vetustissimi codices, et paulo post ἀνεχομένης. Quæ quidem D scriptura, cum per se nihil habeat vitii et tanta auctoritate nitatur, visa est præferenda vulgatæ τῇ σῇ σεμνότητι... ἀνεχομένῃ. Videntur ita scripsisse librarii, ut scriptura clarior fieret, quamvis non esset obscura.
(19) *Ἀπαγγέλλοντα*. Coisl. secundus et Reg. secundus ἀπαγγελοῦντα.
(20) *Καὶ φέροντα*. Ita tres vetustissimi codices cum aliis quatuor. Vulgata scriptura φέροιτο nullo prorsus in codice ms. legitur.

* Alias CCCXXXIII. Scripta anno 374.
** Alias CCCXVI. Scripta anno 374.

EPISTOLA CLXXXII*.

Gratulatur de præliis pro fide; precatur ut perseverantia donetur a Domino

Presbyteris Samosatensibus.

A Quantum doleo orbatam considerans Ecclesiam, tantum vos beatos prædico, ad talem perductos certaminis mensuram: quam **266** quidem det vobis Dominus patienter decurrere, ut et fidelis dispensationis et generosæ constantiæ, quam pro Christi nomine ostendistis, mercedem magnam consequamini.

ΕΠΙΣΤΟΛΗ ΡΠΒ'.

Τοῖς πρεσβυτέροις Σαμοσάτων (21).

Ὅσον λυπούμεθα ἐνθυμούμενοι τὴν ἐρημίαν τῆς Ἐκκλησίας, τοσοῦτον μακαρίζομεν ὑμᾶς, εἰς τοῦτο φθάσαντας τὸ μέτρον τῆς ἀθλήσεως, ὃ παράσχοι ὑμῖν (22) ὁ Κύριος μακροθύμως παρελθεῖν, ἵνα καὶ τῆς πιστῆς οἰκονομίας, καὶ τῆς γενναίας ἐνστάσεως, ἣν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἐπεδείξασθε, τὸν μέγαν μισθὸν ὑποδέξησθε.

EPISTOLA CLXXXIII**.

Laudat Basilius Samosatensium labores et pro fide prælia: hortatur ad perseverantiam ac rogat ut ad se scribant.

Samosatorum senatui.

Cum considero tentationem per totum jam orbem esse diffusam, ac maximas Syriæ urbes eadem ac vos mala expertas; nullibi tamen adeo spectatum, B ac bonis operibus clarum senatum esse, ut nunc vester ob bonorum operum studium fama celebratur: parum abest quin gratias etiam habeam his quæ Deus fieri permisit. Nisi enim evenisset illa calamitas, probatio vestra non inclaruisset. Quare videtur, quod caminus est auro, id esse virtutis cultoribus, tolerata pro spe in Deum afflictatio. Ergo agite, o admirandi, date operam, ut jam exantlatis laboribus alios deinceps dignos adjiciatis, ac fundamento amplo videamini imponere coronidem illustriorem, et circumstetis ecclesiæ pastorem, ubi Dominus ei dederit in suo conspici throno, alii aliud pro Dei Ecclesia gestum narrantes, in illa autem magna Domini die, unusquisque pro laborum ratione a Deo magnificentissimo mercedem recepturi. C Quod si memineritis nostri, et ad nos, quoties integrum erit, detis litteras; æqua sane facietis, par pari referentes, et simul nos voluptate afficietis non levi, vocis vestræ nobis jucundissimæ manifesta per litteras signa mittentes.

ΕΠΙΣΤΟΛΗ ΡΠΓ'.

Πολιτευομένοις Σαμοσάτων (23).

Ὅταν ἀπίδω, ὅτι ὁ μὲν πειρασμὸς κατα πάσης ἤδη κέχυται τῆς οἰκουμένης, καὶ αἱ μέγισται τῶν ἐπὶ Συρίας πόλεων τῶν ἴσων ὑμῖν (24) πεπείραντα: παθημάτων, οὐ πανταχοῦ δὲ οὕτω δόκιμον καὶ διαπρεπὲς ἐπ' ἀγαθοῖς ἔργοις τὸ βουλευτήριον, ὡς τὸ ὑμέτερον νῦν ἐπὶ τῇ σπουδῇ τῶν ἀγαθῶν ἔργων διαβεβόηται· ἐγγύς εἰμι καὶ χάριν ἔχειν τοῖς οἰκονομηθεῖσιν (25). Εἰ γὰρ μὴ ἐγεγόνει ἡ θλίψις αὕτη, οὐκ ἂν ὑμῶν διεφάνη τὸ δόκιμον. Ὥστε ἔοικεν, ὅπερ ἐστὶ κάμινος χρυσῷ, τοῦτο εἶναι ἡ ὑπὲρ τῆς εἰς Θεὸν ἐλπίδος θλίψις τοῖς ἀντιποιουμένοις τινὸς ἀρετῆς. Ἄγε οὖν, ὦ θαυμάσιοι, ὅπως τοῖς προπεπονημένοις ἄξια ἐπαγάγητε τὰ ἑπόμενα, καὶ φανῆτε μεγάλῃ κρηπῖδι ἀξιολογωτέραν ἐπιτιθέντες τὴν κορυφὴν (26)· καὶ περίστητε μὲν τὸν ποιμένα τῆς ἐκκλησίας, ὅταν δῷ ὁ Κύριος αὐτὸν ἐπὶ τῶν ἰδίων (27) φανῆναι θρόνων, ἄλλος ἄλλο τι τῶν ὑπὲρ τῆς Ἐκκλησίας τοῦ Θεοῦ πεπολιτευμένων ἡμῖν διηγούμενοι, ἐν δὲ τῇ μεγάλῃ τοῦ Κυρίου ἡμέρᾳ ἕκαστος κατὰ τὴν ἀναλογίαν τῶν πεπονημένων παρὰ τοῦ μεγαλοδώρου Θεοῦ δεχόμενοι τὴν ἀντίδοσιν. Ἡμῶν δὲ μεμνημένοι, καὶ ἐπιστέλλοντες ὁσάκις ἂν ᾖ δυνατὸν, δίκαιά τε ποιήσετε τοῖς ἴσοις ἡμᾶς ἀμειβόμενοι, καὶ ἅμα οὐ μικρῶς ἡμᾶς εὐφρανεῖτε, τῆς ἡδίστης ἡμῖν φωνῆς ὑμῶν ἐναργῆ σύμβολα διὰ τῶν γραμμάτων διαπεμπόμενοι.

* Alias CCLXVI. Scripta anno 374.

** Alias CCXCIV. Scripta anno 374.

(21) *Τοῖς πρεσβυτέροις Σαμοσάτων*. Sic legitur hic titulus in tribus vetustissimis codicibus et ad marginem in Claromontano. Occurrit iterum hæc epistola in codice Medicæo, ac secundo loco inscribitur Παυλίνῳ πρεσβυτέρῳ. Sic etiam habent Reg. uterque, Coisl. secundus et Parisiensis. Codex Claromontanus Παυλίνῳ πρεσβυτέρῳ ἐν ἐξορίᾳ ὄντι, *Paulino presbytero exsulanti*. Editi Παυλίνῳ πρεσβύτῃ, *Paulino seni*. Appositam in contextu lectionem confirmat ipsa epistola non unum tantummodo alloquens, sed omnes generatim Samosatenses presbyteros, quorum in persecutione enituit, absente Eusebio, constantia.

(22) *Ὑμῖν*. Coisl. primus et Medicæus utroque loco ἡμῖν.

(23) *Πολιτευομένοις Σαμοσάτων*. Editi et Reg. secundus ac Coisl. secundus addunt ἀγαπητικὴ προσφώνησις, *amica salutatio*; sed hæc desunt in aliis mss.

(24) *Τῶν ἴσων ὑμῖν*. Editi et nonnulli mss. τῶν ἴσων ἡμῖν.

D (25) *Ἔχειν τοῖς οἰκονομηθεῖσιν*. Nititur hæc scriptura solo codice Medicæo; sed prorsus necessaria videtur esse, ut dignam habeamus Basilio sententiam. Nam si legamus cum editis et aliis mss. χάριν ἔχειν ἐπὶ τοῖς οἰκονομηθεῖσιν, sensus erit: Parum abfuit quin gratias agerem Deo ob ea quæ vobis evenire permisit. At quomodo Basilius parum abfuisse dicit, quin faceret quod præscriptum est, ut Deo in omnibus gratiæ agantur? Multo ergo dignior Basilio sententia: *Parum abfuit quin gratias haberem iis quæ vobis evenerunt*. In eamdem sententiam loquitur Basilius in libro *De Spiritu sancto* cap. 6, p. 10, cum ait se inimicis gratias acturum ob eorum convicia, nisi de ipsorum exitio doleret. Sic etiam Machabæorum mater apud Gregorium Nazianzenum orat. 22, p. 405, ait se tyranno pene gratias agere.

(26) *Κορυφήν*. Reg. secundus et Coisl. secundus ac Paris. κορωνίδες. Paulo post iidem ἐὰν δῷ.

(27) *Ἐπὶ τῶν ἰδίων*, etc. Ita Harl. cum tribus aliis. Editi ἐπὶ τὸν ἴδιον φανῆναι θρόνον.

ΕΠΙΣΤΟΛΗ ΡΠΔ'.

EPISTOLA CLXXXIV*.

Eustathium rogat Basilius ut quamvis in defendenda Ecclesia occupatus sit ad se tamen scribat, quoties poterit, seque idem facturum promittit.

Εὐσταθίῳ, ἐπισκόπῳ Ἱμμερίας (28).

Οἶδα, ὅτι στυγνοποιὸν πρᾶγμα ἡ ὀρφανία, καὶ πολυάσχολον, διὰ τὸ ἐρημίαν ἐπάγειν τῶν προεστώτων. Ὅθεν λογίζομαι καὶ τὴν σὴν εὐλάβειαν ἐπιστυγνάζουσαν τοῖς συμβεβηκόσι μὴ ἐπιστέλλειν ἡμῖν, καὶ ὁμοῦ ἐν πλείονι εἶναι νῦν ἀσχολίᾳ, περιτρέχειν (29) τὰ τοῦ Χριστοῦ ποίμνια, διὰ τὴν πανταχόθεν τῶν ἐχθρῶν ἐπανάστασιν. Ἀλλ' ἐπειδὴ πάσης λύπης παρηγορία ἡ πρὸς τοὺς ὁμοψύχους ἐστὶν ὁμιλία, καταξίου, ὁσάκις ἂν δυνατόν σοι, ἐπιστέλλειν ἡμῖν, καὶ αὐτός τε ἀναπαύεσθαι ἐν τῷ φθέγγεσθαι πρὸς ἡμᾶς, καὶ ἡμᾶς παρηγορεῖν ἐν τῷ μεταδιδόναι ἡμῖν τῶν σεαυτοῦ ῥημάτων. Τοῦτο δὲ καὶ ἡμεῖς σπουδάσομεν ποιῆσαι, ὁσάκις ἂν ἡμῖν ἐνδιδῷ τὰ πράγματα. Εὔχου δὲ καὶ αὐτὸς καὶ πᾶσαν τὴν ἀδελφότητα παρακάλεσον σπουδαίως δυσωπεῖν τὸν Κύριον, ἵνα δείξῃ ποτὲ ἡμῖν λύσιν τῆς περιεχούσης ἡμᾶς κατηφείας.

Eustatmo, Himmeriæ episcopo.

(64) *Κατὰ ποίαν αἰτίαν*. Sequitur in hoc canone Basilius Romanas leges, quas tamen fatetur cum Evangelio minus consentire. Lex Constantini jubet *in repudio mittendo a femina hæc sola crimina inquiri, si homicidam, vel medicamentarium, vel sepulcrorum dissolutorem maritum suum esse probaverit*. At eadem lege viris conceditur, ut adulteras uxores dimittant. Aliud discrimen hoc in canone uxores inter et maritos ponitur, quod uxor injuste dimissa, si ab alio ducatur, adulterii notam non effugiat; dimissus autem injuste maritus nec adulter sit, si aliam ducat, nec quæ ab eo ducitur, adultera. Cæterum Basilius ante episcopatum eodem jure uxorem ac maritum esse censebat. Nam in *Moralibus*, reg. 73, p. 308, statuit *virum ab uxore, aut uxorem a viro non debere separari, nisi quis deprehendatur in adulterio*. Utrique pariter interdicit novis nuptiis, sive repudient, sive repudientur.

(65) *Μὴ φέρουσα*. Sic mss. plerique omnes. Editi μὴ φέρει.

(66) *Προσετάχθη*. Sic mss. plerique omnes. Editi προσετάγη.

quia facit ut ipsa adulterium committat; et quæ una cum ipso habitat, est adultera, quia alienum virum ad se traduxit.

X. Qui jurant se ordinationem non accepturos, ejurantes, ne cogantur pejerare. Etsi enim videtur aliquis esse canon, qui ejusmodi hominibus concedat; experientia tamen cognovimus eos qui pejerarunt, felices exitus non habere. Consideranda autem sunt, et species jurisjurandi, et verba, et animus quo juraverunt, et sigillatim quæ verbis addita fuerunt, adeo ut si nulla prorsus sit rei leniendæ ratio, tales omnino dimittendi sint. Quod autem attinet ad Severi negotium, videlicet ad presbyterum ab ipso ordinatum, videtur mihi res temperamentum ejusmodi habere, si idem et tibi videatur. Agrum illum Mestiæ subjectum, cui ille vir addictus fuit, jube Vasodis subesse. Sic enim nec pejerabit ille a loco non recedens, nec Longinus, secum habens Cyriacum, in causa erit cur deserta sit ecclesia, neque animam suam per otium damnabit. Neque nos aliquid præter canones efficere videbimur, accommodatione utentes in Cyriacum, qui cum se Mindanis permansurum jurasset, tamen translationem suscepit. Reditus enim erit jurisjurandi observatio. **275** Œconomiæ autem a

διότι ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ ἡ συνοικοῦσα αὐτῷ, μοιχαλὶς, διότι ἀλλότριον ἄνδρα πρὸς ἑαυτὴν μετέστησεν.

Ι'. Οἱ ὀμνύοντες μὴ καταδέχεσθαι τὴν χειροτονίαν, ἐξομνύμενοι, μὴ ἀναγκαζέσθωσαν ἐπιορκεῖν. Εἰ γὰρ καὶ δοκεῖ τις εἶναι κανὼν (67) ὁ συγχωρῶν τοῖς τοιούτοις· ἀλλὰ πείρᾳ ἐγνώκαμεν, ὅτι οὐκ εὐοδοῦνται οἱ παρορκήσαντες. Σκοπεῖν δὲ δεῖ καὶ τὸ εἶδος τοῦ ὅρκου, καὶ τὰ ῥήματα, καὶ τὴν διάθεσιν ἀφ' ἧς ὀμωμόκασι, καὶ τὰς κατὰ λεπτὸν ἐν τοῖς ῥήμασι προσθήκας· ὡς, ἐὰν μηδεμία ᾖ μηδαμόθεν παραμυθία, χρὴ παντελῶς ἐᾷν τοὺς τοιούτους. Τὸ μέντοι κατὰ Σευῆρον (68) πρᾶγμα, ἤτοι τὸν ὑπὸ τούτου χειροτονηθέντα πρεσβύτερον, τοιαύτην τινά μοι δοκεῖ παραμυθίαν ἔχειν, εἰ καί σοι συνδοκεῖ. Τὸν ἀγρὸν ἐκεῖνον τὸν ὑποκείμενον τῇ Μηστείᾳ (69), ᾧ ἐπεκηρύχθη ὁ ἄνθρωπος, κέλευσον Οὐασόδοις ὑποτελεῖν. Οὕτω γὰρ κἀκεῖνος οὐ παρορκήσει (70) μὴ ἀναχωρῶν τοῦ τόπου· καὶ ὁ Λογγῖνος, ἔχων τὸν Κυριακὸν μεθ' ἑαυτοῦ, οὐκ ἐρημώσει τὴν ἐκκλησίαν, οὐδὲ τὴν ἑαυτοῦ ψυχὴν διὰ τῆς ἀργίας καταδικάσει (71). Καὶ ἡμεῖς δόξομεν μὴ παρὰ κανόνας ποιεῖν τι, συμπεριφερόμενοι τῷ Κυριακῷ, ὀμόσαντι μὲν συμπαραμένειν Μινδανοῖς (72), καταδεξαμένῳ δὲ τὴν μετάθεσιν. Ἡ γὰρ ἐπάνοδος φυλακὴ ἔσται τοῦ ὅρκου. Τὸ δὲ εἶξαι αὐτὸν τῇ οἰκ-

(67) *Κανών*. Videtur hunc canonem secutus esse S. Athanasius, cum Dracontium, qui juraverat se abiturum, si ordinaretur episcopus, ac ordinatus fugerat, ad suscipiendam Ecclesiæ curam, nulla habita jurisjurandi ratione, hortatus est.

(68) *Κατὰ Σευῆρον*. Perobscurus hic canon videtur sic explicari posse. Longinus presbyter erat in agro Mestiæ subjecto. Sed cum is depositus esset ob aliquod delictum, ac forte honorem sacerdotii retineret, ut nonnunquam fiebat, Severus episcopus in ejus locum transtulit Cyriacum, quem antea Mindanis ordinaverat, ac jurare coegerat se Mindanis mansurum. Nihil hac in re statui posse videbatur, quod non in magnam aliquam difficultatem incurreret. Nam si in agro Mestiæ subjecto Cyriacus remaneret, perjurii culpam sustinebat. Si rediret Mindana, ager Mestiæ subjectus presbytero carebat, atque hujus incommodi culpa redundabat in caput Longini, qui ob delictum depositus fuerat. Quid igitur Basilius? Utrique occurrit incommodo; jubet agrum, qui Mestiæ subjectus erat, Vasodis subjici, id est loco, cui subjecta erant Mindana. Hoc ex remedio duo consequebatur Basilius, ut et ager ille presbytero non careret, et Cyriacus ibi remanens, Mindana tamen redire censeretur, cum jam hic locus eidem ac Mindana chorepiscopo pareret.

(69) *Μηστείᾳ*. Sic quatuor mss. Editi Μισθίᾳ. Coisl. primus Μηστίᾳ. Nonnulli mss. Μησθείᾳ. Paulo post editi Οὐασάδοις, plerique mss. ut in textu.

(70) *Παρορκήσει*. Sic mss. plerique. Editi παρορκίσει.

(71) *Διὰ τῆς ἀργίας καταδικάσει*. His vocibus rite explicatis, totus canon qui valde obscurus est, illustrabitur. Balsamon et Zonaras tenebras offundunt, dum Longinum illum existimant hominem potentem fuisse, qui se vastaturum Ecclesiam minabatur, nisi in agro suo retineret Cyriacum presbyterum. At illud, διὰ τῆς ἀργίας, *neque per otium animam suam condemnabit*, depositum fuisse probat Longinum agri Mestiæ subjecti presbyterum. Id enim sonat ἀργία apud Basilium. Sic can. 69: *Lector si cum sua sponsa ante matrimonium commercium habuerit*, ἐνιαυτὸν ἀργήσας, *postquam anno otiatus fuerit, ad legendum suscipietur*. Paregorio in epist. 55 sic minas intentat, nisi mulierem dimittat subintroductam: Τελευτήσεις ἀργῶν, καὶ δώσεις τῷ Κυρίῳ λόγον τῆς σεαυτοῦ ἀργίας. *Morieris otiosus et rationem Domino reddes otii tui*. In canone 15 Apostol. ἀργία est depositionis pœna. Eodem sensu apud Epiphanium, hæres. 73, cap. ultimo usurpatur verbum ἀργεῖν. Erat ergo dejectus sacerdotio Longinus ob aliquod delictum, quod multo gravius visum fuisset, si recedente Cyriaco, nemo alius regendæ Ecclesiæ idoneus occurrisset. Huic incommodo ut medeatur Basilius, rem tractat ita prudenter, ut nec Cyriacus perjurii reus sit, nec Longini peccato quidam veluti cumulus ob desertam et viduam ecclesiam addatur.

(72) *Μινδανοῖς*. Erant ergo Mindana Vasodis subjecta, id est chorepiscopo Vasodis sedenti; siquidem Basilius agrum Mestiæ subjectum Vasodis subjici jubet, ut Cyriacus ex agro, in quem translatus fuerat, non discedens, redire tamen Mindana censeatur. Ex quo etiam colligi potest vel Cyriacum non stricte jurasse Mindanis se mansurum, sed paulo latius de tota regione, quæ sub eodem erat ac Mindana chorepiscopo, jusjurandum concepisse; vel Basilium, ut in re difficili ac molesta, benignam interpretationem adhibuisse. Sed prior sententia magis arridet, quia summa erat Basilii in jurisjurandi observatione religio. Exemplum satis simile occurrit apud S. Augustinum, qui rem paulo aliter ac Basilius temperavit. Nam cum Timotheus quidam Severo episcopo jurasset nunquam se ab eo recessurum, isque postea ordinatus alibi diaconus, nec redire posse videretur ad Severum ob susceptam ordinationem, nec ubi ordinatus fuerat remanere ob religionem jurisjurandi; censuit Augustinus una cum Alypio et Samsucio non futurum perjurii reum Timotheum, si non per ipsum, sed per Severum fieret, ut ab eo discederet; quandoquidem de sua Timotheus, non de Severi voluntate juraverat, nec vicissim Severus sese jurejurando obstrinxerat. Aug., epist. 62 et 63.

νομίζω εἰς ἐπιορκίαν αὐτῷ οὐ λογισθήσεται, διὰ τὸ μὴ A προσκεῖσθαι τῷ ὅρκῳ, μηδὲ πρὸς βραχὺ ἀναχωρήσειν (73) Μινδάνων, ἀλλὰ παραμενεῖν εἰς τὸ ἐφεξῆς. Σευήρῳ δὲ, προφασιζομένῳ τὴν λήθην, ἡμεῖς συγχωρήσομεν, εἰπόντες, ὅτι τῶν κρυπτῶν γνώστης οὐ περιόψεται τὴν ἑαυτοῦ Ἐκκλησίαν ὑπὸ τοιούτου λυμαινομένην· ποιοῦντος μὲν ἀκανονίστως τὸ ἐξ ἀρχῆς, ὅρκῳ δὲ καταδεσμοῦντος παρὰ τὰ Εὐαγγέλια· παρορκεῖν δὲ διδάσκοντος δι' ὧν μετετέθη, ψευδομένου δὲ νῦν δι' ὧν (74) τὴν λήθην σχηματίζεται. Ἐπειδὴ δὲ οὐκ ἐσμὲν καρδιῶν κριταὶ, ἀλλ' ἐξ ὧν ἀκούομεν κρίνομεν· δῶμεν τῷ Κυρίῳ τὴν ἐκδίκησιν, αὐτοὶ δὲ ἀδιακρίτως αὐτὸν δεξώμεθα, συγγνώμην δόντες ἀνθρωπίνῳ πάθει, τῇ λήθῃ.

ΙΑ'. Ὁ δὲ τὸν ἀκούσιον ποιήσας φόνον ἀρκούντως B ἐξεπλήρωσε τὴν δίκην ἐν τοῖς ἕνδεκα ἔτεσι. Δῆλον γὰρ, ὅτι ἐπὶ τῶν πληγέντων τὰ Μωϋσέως παρατηρήσομεν· καὶ τὸν κατακλιθέντα μὲν ἐπὶ τῶν πληγῶν ἃς ἔλαβε, βαδίσαντα δὲ πάλιν ἐπὶ τῇ ῥάβδῳ αὐτοῦ, οὐ λογισόμεθα πεφονεῦσθαι. Εἰ δὲ καὶ οὐκ ἐξανέστη μετὰ τὰς πληγὰς, ἀλλ' οὖν τῷ μὴ προελέσθαι αὐτὸν ἀνελεῖν ὁ τυπτήσας φονευτὴς μὲν, ἀλλ' ἀκούσιος διὰ τὴν πρόθεσιν.

ΙΒ'. Τοὺς διγάμους παντελῶς ὁ κανὼν τῆς ὑπηρεσίας ἀπέκλεισε.

ΙΓ'. Τοὺς ἐν πολέμοις φόνους οἱ πατέρες ἡμῶν ἐν τοῖς φόνοις οὐκ ἐλογίσαντο· ἐμοὶ δοκεῖν, συγγνώμην δόντες τοῖς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις. Τάχα δὲ καλῶς ἔχει συμβουλεύειν, ὡς τὰς C χεῖρας μὴ καθαρούς, τριῶν ἐτῶν (75) τῆς κοινωνίας μόνης ἀπέχεσθαι.

ΙΔ'. Ὁ τόκους λαμβάνων (76), ἐὰν καταδέξηται τὸ ἄδικον κέρδος εἰς πτωχοὺς ἀναλῶσαι, καὶ τοῦ λοιποῦ τοῦ νοσήματος τῆς φιλοχρηματίας ἀπαλλαγῆναι, δεκτός ἐστιν εἰς ἱερωσύνην.

ΙΕ'. Θαυμάζω δέ σου, τὴν γραμματικὴν ἀκρίβειαν ἐπὶ τῆς Γραφῆς ἀπαιτοῦντος, καὶ λογιζομένου, ὅτι ἠναγκασμένη ἐστὶν ἡ λέξις τῆς ἑρμηνείας τὸ αὐτῆς ἐπίσημον ἐκδιδούσης, οὐ τὸ κυρίως ὑπὸ τῆς Ἑβραΐδος φωνῆς σημαινόμενον μετατιθείσης. Ἐπεὶ δὲ δεῖ μὴ ἀργῶς παρελθεῖν τὸ ὑπ' ἀνδρὸς ζητητικοῦ κινηθὲν πρόβλημα, τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ οἱ ἰχθύες

dispensationi si cesserit, id ei perjurii loco non imputabitur, quippe quia jurijurando adjectum non est ne paululum quidem Mindanis recessurum, sed deinceps permansurum. Nos autem Severo oblivionem causanti sic ignoscemus, ut eum moneamus, occultorum cognitorem suam ipsius Ecclesiam non passurum ab ejusmodi homine labefactari : qui præter canones ab initio fecit, ac jurejurando contra Evangelia astringit, et perjurium transferendo edocet, ac postremo, dum oblivionem simulat, mentitur. Sed quoniam cordium judices non sumus, sed ex iis quæ audimus, judicamus, demus Domino vindictam, eumque citra examen suscipiamus, humano vitio, oblivioni scilicet, ignoscentes.

XI. Qui autem involuntariam cædem fecit, undecim annorum spatio abunde judicio satisfecit. Nam dubio procul, erga eos qui percussi sunt, Moysis præscripta observabimus, ac eum qui decubuit quidem post acceptas plagas, sed iterum baculo suo innixus ambulavit, non censebimus occisum fuisse. Sin autem non surrexit post plagas, quia tamen non voluit occidere is qui perculit, homicida quidem est, sed involuntarius propter propositum.

XII. Canon omnino digamos a ministerio exclusit.

XIII. Cædes in bellis factas patres nostri pro cædibus non habuere; iis, ut mihi videtur, qui pro pudicitia ac pietate pugnant, ignoscentes. Fortasse tamen recte suadebitur, ut ipsi, cum manus eorum puræ non sint, per tres annos a sola communione abstineant.

XIV. Qui usuras accipit, si voluerit injustum lucrum in pauperes insumere, et deinceps ab avaritiæ morbo liberari, ad sacerdotium admitti potest.

XV. Miror sane quod grammaticam in Scriptura diligentiam requiras, ac dictionem coactam esse putes illius interpretationis, quæ suum ipsius significatum commode exprimit, neque id transfert, quod proprie Hebraica voce significatur. Sed quia segniter non prætereunda quæstio, quæ a viro quærendi studioso proposita est : aves cœli, et pisces

(73) Ἀναχωρησειν. Sic plerique mss. Editi ἀναχωρῆσαι.

(74) Νῦν δι' ὧν. Primam voculam, quæ deerat in editis, agnoscunt plerique mss. codices.

(75) Τριῶν ἐτῶν. Multa observant in hoc loco Basilii canonum interpretes Balsamon, Zonaras et Alexius Aristenus : 1° Consilium dari a sancto Patre, non legem imponi, nec militum conscientiam ei pollutam videri, sed manus non puras; 2° objecisse hunc canonem episcopos imperatori Phocæ, cum eos qui in bello occiderant inter martyres referri vellet; 3° hunc canonem non fuisse observatum, utpote minus appositum ad publicam utilitatem, ac præterea minus consentaneum Athanasii sententiæ, qui in epistola ad Amun, *adversarios in bello occidere, et legibus permissum et laude dignum esse* pronuntiat.

(76) Τόκους λαμβάνων. Ex his patet ejusmodi D peccatum non in insignibus pœnitentiæ gradibus, sed inter consistentes expiatum fuisse. Alioqui ad illum in sacerdotium non reliquisset Basilius. Atque ex hac lenitate illud etiam colligi possit, canonem 17 Nicænum, qui clericos usuram exigentes deponi jubet, non sine benigna interpretatione in Cappadocia observatum fuisse. Videntur enim Græci canonem 44 apostolorum sequi maluisse quam Nicænum; siquidem in canone decimo Trullano, itidem ut in canone pseudoapostolico, sanciunt, *ut episcopus, presbyter, vel diaconus, qui usuras vel quæ dicuntur centesimas accipit, vel cesset vel deponatur.* Conjici ergo possit Basilium ejusmodi peccato, quod in laicis leniter punit, non gravissimam pœnam in clericis statim irrogasse. Illius autem lenitatem inde repetit Balsamon, quod fenus civilium legum auctoritate comprobaretur.

maris [83], etiam in mundi creatione eamdem sortiti sunt generationem. Nam genera utraque ex aquis producta sunt. Causa autem, quod utrisque eadem est proprietas. Hi enim in mari natant, illæ vero in aere. Itaque eam ob causam communiter eorum facta mentio. Hoc autem loquendi genus, quod ad pisces quidem attinet, non convenienter redditum est: at quod ad omnia in aquis degentia, **276** valde etiam proprie. Nam aves cœli sunt homini subjectæ, itemque maris pisces, et non ipsi solum, sed omnia etiam, quæ marium semitas perambulant. Non enim si quid est aquatile, continuo piscis est, ut sunt cetacea, balænæ, et zygænæ, et delphines, et phocæ, ad hæc et equi, et canes, et serræ, et gladii, et boves marini; si vis autem, et urticæ, et pectines, et omnia testacea, quorum nullum est piscis, et omnia quæ semitas marium perambulant: quare tria sunt genera, aves cœli, pisces maris, et quæcunque aquatilia quidem sunt, sed a piscibus distincta, semitas marium ipsa quoque perambulant.

XVI. Neeman autem non magnus apud Dominum, sed apud dominum suum [84], hoc est, unus erat ex iis qui magna pollebant auctoritate apud regem Syrorum. Itaque animum diligenter attende ad Scripturam, et quæstionis sua sponte occurret solutio.

A τῆς θαλάσσης καὶ ἐν τῇ κοσμοποιίᾳ τὴν αὐτὴν ἔλαχον γένεσιν. Ἐκ τῶν ὑδάτων γὰρ ἐξήχθη ἀμφότερα τὰ γένη. Τὸ δὲ αἴτιον, ὅτι ταυτόν ἐστιν ἑκατέροις ἰδίωμα. Τὰ μὲν γὰρ διανήχεται τὸ ὕδωρ, τὰ δὲ ἐπινήχεται τῷ ἀέρι. Διὰ τοῦτο μὲν οὖν κοινῇ αὐτῶν ἐπεμνήσθη. Τὸ δὲ σχῆμα τοῦ λόγου ὡς μὲν πρὸς τοὺς ἰχθύας ἀκαταλλήλως ἀποδοθὲν (77), ὡς δὲ πρὸς πάντα τὰ ἐν ὕδασι διαιτώμενα καὶ πάνυ οἰκείως. Τὰ γὰρ πετεινὰ τοῦ οὐρανοῦ ὑποτέτακται τῷ ἀνθρώπῳ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης· καὶ οὐκ αὐτοὶ μόνοι, ἀλλὰ καὶ πάντα τὰ διαπορευόμενα τρίβους θαλασσῶν. Οὐ γὰρ εἴ τι ἔνυδρον, καὶ ἰχθύς ἐστιν, ὡς τὰ κητώδη, φάλαιναι (78), καὶ ζύγαιναι, καὶ δελφῖνες, καὶ φῶκαι, καὶ προσέτι ἵπποι, καὶ κύνες, καὶ πρίονες, καὶ ξιφίαι, καὶ οἱ θαλάσσιοι βοῦς· εἰ δὲ βούλει, B καὶ ἀκαλῆφαι, καὶ κτένες, καὶ τὰ ὀστρακόδερμα πάντα, ὧν οὐδέν ἐστιν ἰχθύς, καὶ πάντα ἃ διαπορεύεται τρίβους θαλασσῶν (79)· ὡς εἶναι τρία τὰ γένη, πετεινὰ οὐρανοῦ, ἰχθύας θαλάσσης, καὶ ὅσα τῶν ἐνύδρων τοῖς ἰχθύσιν ἀντιστελλόμενα διαπορεύονται καὶ αὐτὰ τὰς τρίβους θαλασσῶν.

ΙϚʹ. Ὁ δὲ Νεεμὰν (80) οὐχὶ μέγας παρὰ Κυρίῳ, ἀλλὰ παρ' αὐτῷ κυρίῳ αὐτοῦ· τουτέστι, τῶν παραδυναστευόντων ἦν τῷ βασιλεῖ τῶν Σύρων. Πρόσεχε οὖν ἀκριβῶς τῇ Γραφῇ, καὶ αὐτόθεν εὑρήσεις τὴν λύσιν τοῦ ζητήματος.

EPISTOLA CLXXXIX*.

ΕΠΙΣΤΟΛΗ ΡΠΘʹ.

Laudat Eustathium Basilius, quod sibi dolorem abstersisset in gravissimis inimicorum injuriis, nunc hoc, nunc illud, nunc tres deos, nunc Sabellii errorem affingentium. His criminibus depulsi, novitatem objiciebant, eo quod unam divinitatem admitteret in tribus personis. Fatetur Basilius de postremo crimine: et cum illi unam in tribus divinitatem rejicerent, ut excluderent Spiritum sanctum, demonstrat eum ut in baptismo, ita in aliis etiam Patri et Filio adjungi debere; et cum ei divina nomina tribuantur, Dei nomen non esse denegandum, quod etiam simulacris et dæmoniis tributum. Cum autem objicerent hac voce naturam designari, probat in tribus personis, ut unam operationem, ita unam esse naturam.

Eustathio archiatro.

1. Omnibus quidem vobis, qui artem medicam tractatis, humanitas disciplina est. Ac mihi videtur, qui omnibus rebus, quæ quidem in vita studio habentur, scientiam vestram anteponit, decenter judicare, nec aberrare a recto; siquidem pretiosissima omnium rerum vita fugienda est et molesta, nisi illam liceat cum sanitate conjunctam habere; vestra autem ars conciliatrix est sanitatis. Sed in te præsertim scientia suis est absoluta numeris, ac majores tibi ipse constituis humanitatis terminos, non corporibus definiens artis beneficium, sed et animi morborum suscipiens curationem. Hæc au-

C

Εὐσταθίῳ (81) ἀρχιάτρῳ.

1. Ἔστι μὲν καὶ πᾶσιν ὑμῖν τοῖς τὴν ἰατρικὴν μετιοῦσι φιλανθρωπία τὸ ἐπιτήδευμα. Καί μοι δοκεῖ τῶν κατὰ τὸν βίον σπουδαζομένων ἁπάντων ὁ τὴν ὑμετέραν προτιθεὶς ἐπιστήμην ἐπιτυχεῖν ἂν τῆς πρεπούσης κρίσεως, καὶ μὴ διαμαρτεῖν τοῦ προσήκοντος (82)· εἴπερ τὸ πάντων προτιμότατον, ἡ ζωὴ φευκτόν ἐστι καὶ ἐπώδυνον, ἐὰν μὴ μεθ' ὑγείας ἐξῇ ταύτην ἔχειν· ὑγείας δὲ χορηγὸς ἡ ὑμετέρα τέχνη. Ἀλλά σοι διαφερόντως περιδέξιός ἐστιν ἡ ἐπιστήμη, καὶ μείζονας ποιεῖς σεαυτῷ τῆς φιλανθρωπίας τοὺς ὅρους, οὐ μέχρι τῶν σωμάτων περιορίζων τὴν ἐκ τῆς τέχνης χάριν, ἀλλὰ καὶ τῶν

[83] Psal. VIII, 9. [84] IV Reg. V, 1.

* Alias LXXX. Scripta anno 374 exeunte, aut ineunte 375.

(77) Ἀποδοθέν. Sic omnes mss. Editi ἀπεδόθη.

(78) Φάλαιναι. Ita quinque melioris notæ codices, quibus favent plures alii, in quibus legitur φάλλαιναι. Editi βάλαιναι et ζύγεναι. Mss. ζυγαῖναι. Paulo post editi βόες, mss. βοῦς.

(79) Θαλασσῶν. Consentiunt in hac voce mss. codices. Editi θαλάσσης.

(80) Νεεμάν. Sic mss. codices plerique, nonnulli Ναιμάν. Editi Νααμάν.

(81) Ἀρχιάτρῳ. Sic, pro eo quod erat in editis D ἰατρῷ, posuimus, ut in epist. 151. Legitur hæc epistola inter opera S. Gregorii Nysseni tom. III, p. 6. In ora Regii cujusdam codicis num. 2896 hæc leguntur: Ἰστέον, ὅτι τὴν ἐπιστολὴν ταύτην τοῦ Νύσσης εἶναι λέγουσί τινες. Ἔοικε δὲ, ὅσον ἀπὸ τοῦ χαρακτῆρος τῆς γραφῆς· *Sciendum est hanc epist. Nysseni esse nonnullos dicere; idque verisimile est, quantum ex scribendi ratione perspicitur.*

(82) Τοῦ προσήκοντος. Vat., Coisl. secundus et duo Regii τοῦ πρέποντος. Medicæus consentit cum editis. In Harlæano autem et Coisliniano primo non reperitur hæc epistola.

ψυχικῶν ἀῤῥωστημάτων ἐπινοῶν τὴν διόρθωσιν. A Ταῦτα δὲ λέγω, οὐ μόνον ταῖς τῶν πολλῶν φήμαις ἑπόμενος, ἀλλὰ καὶ τῇ κατ' ἐμαυτὸν διδαχθεὶς πείρᾳ, ἐν πολλοῖς τε ἄλλοις, καὶ διαφερόντως νῦν ἐν τῇ τῶν ἐχθρῶν ἡμῶν ἀνεκδιηγήτῳ κακίᾳ· ἣν ῥεύματος πονηροῦ δίκην κατὰ τῆς ζωῆς ἡμῶν ἐπιῤῥυεῖσαν (83) εὐμηχάνως διέχεας, τὴν βαρεῖαν ταύτην φλεγμονὴν τῆς καρδίας ἡμῶν τῇ ἐπαντλήσει τῶν παρηγορικῶν λόγων διαφορήσας. Ἐγὼ γὰρ (84), πρὸς τὴν ἐπάλληλον τῶν ἐχθρῶν ἡμῶν καὶ ποικίλην καθ' ἡμῶν ἐπιχείρησιν ἀποβλέπων, σιωπᾷν ᾤμην δεῖν, καὶ δέχεσθαι καθ' ἡσυχίαν τὰ ἐπαγόμενα. (85) μηδὲ ἀντερεῖν τοῖς καθωπλισμένοις τῷ ψεύδει, τῷ πονηρῷ τούτῳ ὅπλῳ, τῷ καὶ διὰ τῆς ἀληθείας πολλάκις τὴν ἀκμὴν εἰσωθοῦντι. Σὺ δὲ, καλῶς ποιῶν, μὴ καταπροδιδόναι τὴν ἀλήθειαν ἐνεκελεύου (86), ἀλλὰ δι- B ελέγχειν τοὺς συκοφάντας, ὡς ἂν μὴ πολλοὶ παραβλαβεῖεν, κατευημεροῦντος τῆς ἀληθείας τοῦ ψεύδους.

2. Ἔδοξαν οὖν μοι παραπλήσιόν τι ποιεῖν τῷ Αἰσωπείῳ μύθῳ οἱ τὸ ἀπροφάσιστον καθ' ἡμῶν ἀναλαβόντες μῖσος. Ὡς γὰρ ἐκεῖνος ἐγκλήματά τινα τῷ ἀρνίῳ τὸν λύκον προφέρειν ἐποίησεν, αἰσχυνόμενον δῆθεν τὸ δοκεῖν ἄνευ δικαίας προφάσεως ἀναιρεῖν τὸν μηδὲν προλυπήσαντα· τοῦ δὲ ἀρνὸς (87) πᾶσαν τὴν ἐκ συκοφαντίας ἐπαγομένην αἰτίαν εὐχερῶς διαλύοντος, μηδὲν μᾶλλον ὑφίεσθαι τῆς ὁρμῆς τὸν λύκον, ἀλλὰ τοῖς μὲν δικαίοις ἡττᾶσθαι, τοῖς δὲ ὀδοῦσι νικᾷν· οὕτως οἷς τὸ καθ' ἡμῶν μῖσος ὥς τι τῶν ἀγαθῶν ἐσπουδάσθη, ἐρυθριῶντες τάχα τὸ δοκεῖν ἄνευ αἰτίας μισεῖν, αἰτίας πλάττουσι καθ' ἡμῶν καὶ ἐγκλήματα, καὶ οὐδενὶ τῶν λεγομένων μέχρι παντὸς ἐμμένουσιν· ἀλλὰ νῦν μὲν τοῦτο, μετ' ὀλίγον δὲ C ἄλλο, καὶ αὖθις ἕτερον τῆς καθ' ἡμῶν δυσμενείας τὸ αἴτιον λέγουσι. Βέβηκε δὲ αὐτοῖς ἐπ' οὐδενὸς ἡ κακία· ἀλλ' ὅταν τούτου τοῦ ἐγκλήματος ἀποσεισθῶσιν, ἑτέρῳ προσφύονται, καὶ ἀπ' ἐκείνου πάλιν καταλαμβάνουσιν ἕτερον· κἂν πάντα διαλυθῇ τὰ ἐγκλήματα, τοῦ μισεῖν οὐκ ἀφίστανται. Τρεῖς θεοὺς (88) πρεσβεύεσθαι παρ' ἡμῶν αἰτιῶνται, καὶ περιηχοῦσι τὰς ἀκοὰς τῶν πολλῶν, καὶ πιθανῶς κατασκευάζοντες τὴν διαβολὴν ταύτην οὐ παύονται. Ἀλλ' ὑπερμάχεται ἡμῶν ἡ ἀλήθεια, καὶ ἐν κοινῷ πρὸς πάντας, καὶ ἰδίᾳ πρὸς τοὺς ἐντυγχάνοντας, δεικνύντων ἡμῶν, ὅτι ἀναθεματίζεται παρ' ἡμῶν πᾶς ὁ τρεῖς λέγων θεοὺς, καὶ οὐδὲ Χριστιανὸς εἶναι κρίνεται. Ἀλλ' ὅταν τοῦτο ἀκούσωσι, πρόχειρος αὐτοῖς καθ' ἡμῶν D ὁ Σαβέλλιος, καὶ ἡ ἐξ ἐκείνου νόσος ἐπιθρυλλεῖται τῷ ἡμετέρῳ λόγῳ. Πάλιν καὶ πρὸς τοῦτο ἡμεῖς τὸ σύνηθες ὅπλον τὴν ἀλήθειαν προβαλλόμεθα· δεικνύντες, ὅτι ἐπίσης τῷ Ἰουδαϊσμῷ καὶ τὴν τοιαύτην αἵρεσιν φρίττομεν.

3. Τί οὖν; ἆρα μετὰ τοσαύτας ἐγχειρήσεις ἀποκαμόντες (89) ἡσύχασαν; Οὐκ ἔστι ταῦτα (90). Ἀλλὰ

A tem dico non solum famam plurimorum sequens, sed mea etiam edoctus experientia, cum in aliis multis rebus, tum maxime nunc in hac inimicorum nostrorum non enarrabili malitia, quam in nostram vitam mali fluenti more effusam solerter dissipasti: cum gravem illam cordis nostri inflammationem infusis consolationis verbis excussisti. Ego enim ad alternantem inimicorum nostrorum variumque contra nos conatum respiciens, tacere existimabam oportere, ac inflicta mala silentio perferre, neque contradicere hominibus mendacio armatis, malo illo jaculo, quod et per ipsam veritatem non raro cuspidem adigit. Tu vero recte **277** fecisti, quod hortatus es, ut ne veritatem proderem, sed redarguerem sycophantas, ne plures lædantur, prosperos B mendacio contra veritatem successus habente.

2. Visi sunt igitur mihi simile quiddam facere Æsopi fabulæ, qui sine ulla prorsus causa odium in nos susceperunt. Quemadmodum enim ille fingit, crimina quædam agno lupum inferre, verecundantem videlicet sine justa causa eum, qui prius nihil læsisset, occidere videri; sed cum agnus omnem ex calumnia illatam criminationem facile diluisset, non idcirco lupum de impetu quidquam remittere, sed jure quidem vinci, dentibus vero vincere: ita qui odium nostri veluti præclarum quiddam studio habuere, cum forte erubescerent, si sine causa odisse viderentur, causas contra nos et criminationes fingunt, nec in ullo eorum quæ dictitant, C constanter insistunt, sed modo hanc, paulo post illam, et rursus aliam suæ in nos inimicitiæ causam assignant. Nulla autem in re consistit eorum malitia; sed postquam hac criminatione depulsi fuerint, ad aliam adhærescunt, et rursus ab ista ad aliam confugiunt; nec, si omnia dissoluta fuerint crimina, odisse desistunt. Tres deos a nobis prædicari causantur, atque hac eorum criminatione aures vulgi circumsonant, neque hanc calumniam subtiliter struere desinunt. Sed pugnat pro nobis veritas, cum et publice omnibus, et privatim accedentibus demonstremus, anathematizari a nobis quisquis tres deos dicit, ac ne Christianum quidem judicari. Sed ubi hoc audiverint, in prom- D ptu illis contra nos Sabellius: et illius morbum doctrinæ nostræ rumor affingit. Rursus his quoque consueta arma, veritatem opponimus; demonstrantes æque ac Judaismum hanc nos hæresim perhorrescere.

3. Quid igitur? num post tantos conatus defessi quieverunt? Nequaquam. Sed novitatem nobis obji-

(83) *Ἐπιῤῥυεῖσαν*. Ita Vat. cum tribus aliis et Nyss. ac editione Hagan. Legitur ἐπιῤῥέουσαν in Parisiensi, et ἀποῤῥυεῖσαν in Basileensi.

(84) *Ἐγὼ γάρ*. Ita Med. cum tribus aliis et Nyss. Editi Ἐγὼ δέ.

(85) Vide Addenda.

(86) *Ἐνεκελεύου*. Ita mss. sex. Editi ἐνεκέλευες. Nyss. ἐνεκελεύσω.

(87) *Τοῦ δὲ ἀρνός*. Leve discrimen inter hanc scripturam et vulgatam τοῦ δὲ ἀρνίου, sed eam sequi maluimus quam quinque veteres libri commendant, et editio Haganoensis. Nyssenus τοῦ δὲ ἀρνοῦ.

(88) *Τρεῖς θεούς*. De hoc trium deorum errore vide Not. ad epist. 131.

(89) *Ἀποκαμόντες*. Ita Med. et tres alii. Editi ἀποκάμνοντες.

(90) Vide Addenda.

A ciunt, qui nos sic incusant quod tres hypostases confiteamur: criminantur quod unam bonitatem et unam potentiam et unam divinitatem dicamus. Neque id extra veritatem: dicimus enim. Sed criminando objiciunt, non sic suam habere consuetudinem, nec Scripturam assentiri. Quid igitur ad hoc quoque nos? Non putamus æquum esse, ut vigentem apud ipsos consuetudinem, rectæ doctrinæ legem et normam ducamus. Etenim si valet ad rectæ doctrinæ demonstrationem consuetudo, licet et nobis profecto usitatum apud nos morem opponere. Quod si hunc illi rejiciunt, neque nobis prorsus illos sequi necesse. Itaque Scriptura divinitus inspirata nobis sit arbitra; et apud quos inventa fuerint dogmata divinis verbis consona, ad eos accedet omnino veritatis suffragium.
B Quodnam igitur crimen est? Duo enim simul in accusatione nobis illata objecerunt; unum, quod dividamus hypostases; alterum, quod nullum ex nominibus quæ **278** Deo conveniunt, pluraliter numeremus, sed unam, ut dictum est, bonitatem et potentiam, et divinitatem, et quæcunque talia sunt, singulariter enuntiemus. Quod quidem attinet ad divisionem hypostaseωn, ab ea minime alieni fuerint, qui essentiarum diversitatem in divina decernunt natura. Non enim par est, ut qui tres dicunt essentias, non etiam tres hypostases dicant. Itaque hoc solum crimini datur, quod quæ de divina natura dicuntur nomina, singulariter pronuntiemus.
C

4. Sed prompta nobis adversus hoc et manifesta ratio. Qui enim condemnat eos qui unam dicunt divinitatem, necessario aut multas dicenti, aut nullam assentietur. Non enim potest aliud quidquam, præter id quod dictum est, excogitari. Sed nec multas dici divinitus inspirata patitur doctrina, quæ sicubi meminit divinitatis, singulariter eam commemorat, nempe: *In ipso habitat omnis plenitudo divinitatis* [55]; et alibi: *Invisibilia enim ipsius a creatione mundi, per ea quæ facta sunt, intellecta conspiciuntur, tum sempiterna ejus virtus, tum divinitas* [56]. Si igitur in multitudinem extendere numerum divinitatum, illorum solum est, qui errore
D multitudinis deorum laborant: omnino autem divinitatem negare, atheorum fuerit; qua ratione incusamur, quod unam confiteamur divinitatem? Sed apertius orationis suæ nudant propositum: Patri quidem convenire, ut Deus sit, ac Filium similiter divinitatis nomine honorari assentientes; Spiritum vero, qui una cum Patre et Filio numeratur, divi-

A καινοτομίαν ἡμῖν προφέρουσιν, οὑτωσὶ τὸ ἔγκλημα καθ' ἡμῶν συντιθέντες τρεῖς ὑποστάσεις ὁμολογούντων (91)· μίαν ἀγαθότητα, καὶ μίαν δύναμιν, καὶ μίαν θεότητα λέγειν ἡμᾶς αἰτιῶνται. Καὶ οὐκ ἔξω τοῦτό φασι τῆς ἀληθείας· λέγομεν γάρ. Ἀλλ' ἐγκαλοῦντες τοῦτο προφέρουσιν, ὅτι ἡ συνήθεια αὐτῶν τοῦτο οὐκ ἔχει, καὶ ἡ Γραφὴ οὐ συντίθεται. Τί οὖν καὶ πρὸς τοῦτο ἡμεῖς; Οὐ νομίζομεν δίκαιον εἶναι τὴν παρ' αὐτοῖς ἐπικρατοῦσαν συνήθειαν νόμον καὶ κανόνα τοῦ ὀρθοῦ ποιεῖσθαι λόγου. Εἰ γὰρ ἰσχυρόν ἐστιν εἰς ἀπόδειξιν ὀρθότητος ἡ συνήθεια, ἔξεστι καὶ ἡμῖν πάντως ἀντιπροβάλλεσθαι τὴν παρ' ἡμῖν ἐπικρατοῦσαν συνήθειαν. Εἰ δὲ παραγράφονται ταύτην ἐκεῖνοι, οὐδὲ ἡμῖν (92) πάντως ἀκολουθητέον ἐκείνοις. Οὐκοῦν ἡ θεόπνευστος ἡμῖν διαιτησάτω Γραφή· καὶ
B παρ' οἷς ἂν εὑρεθῇ τὰ δόγματα συνῳδὰ τοῖς θείοις λόγοις, ἐπὶ τούτους ἥξει πάντως τῆς ἀληθείας ἡ ψῆφος. Τί οὖν ἐστι τὸ ἔγκλημα; Δύο γὰρ κατὰ ταυτὸν ἐν τῇ κατηγορίᾳ τῇ καθ' ἡμῶν προενήνεκται· ἓν μὲν τὸ διαιρεῖν τὰς ὑποστάσεις· ἕτερον δὲ τὸ μηκέτι μηδὲν τῶν θεοπρεπῶν ὀνομάτων πληθυντικῶς ἀριθμεῖν, ἀλλὰ μίαν, καθὼς προείρηται, τὴν ἀγαθότητα, καὶ τὴν δύναμιν, καὶ τὴν θεότητα, καὶ πάντα τὰ τοιαῦτα μοναδικῶς ἐξαγγέλλειν. Πρὸς μὲν οὖν τὴν διαίρεσιν τῶν ὑποστάσεων οὐκ ἂν ἔχοιεν ἀλλοτρίως οἱ τὴν ἑτερότητα τῶν οὐσιῶν ἐπὶ τῆς θείας δογματίζοντες φύσεως. Οὐ γὰρ εἰκός ἐστι τοὺς τρεῖς λέγοντας οὐσίας μὴ καὶ τρεῖς ὑποστάσεις λέγειν. Οὐκοῦν τοῦτο μόνον ἐστὶν ἐν ἐγκλήματι, τὸ τὰ ἐπι-
C λεγόμενα τῇ θείᾳ (93) φύσει ὀνόματα μοναδικῶς καταγγέλλειν.

4. Ἀλλ' ἕτοιμος ἡμῖν πρὸς τοῦτο καὶ σαφὴς ὁ λόγος. Ὁ γὰρ καταγινώσκων τῶν μίαν λεγόντων θεότητα ἐξ ἀνάγκης τῷ πολλὰς λέγοντι, ἢ τῷ μηδεμίαν συνθήσεται. Οὐ γάρ ἐστι δυνατὸν ἕτερόν τι παρὰ τὸ εἰρημένον ἐπινοῆσαι. Ἀλλ' οὔτε πολλὰς λέγειν ἡ θεόπνευστος συγχωρεῖ διδασκαλία, εἴπου καὶ μέμνηται, μοναχῶς τῆς θεότητος (94) μνημονεύουσα, ὅτι *Ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος*· καὶ ἑτέρωθι· *Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης*. Εἰ οὖν εἰς πλῆθος ἐκτείνειν τὸν ἀριθμὸν τῶν θεοτήτων, μόνων
D τῶν τὴν πολύθεον πλάνην νενοσηκότων ἐστί· τὸ δὲ καθόλου ἀρνεῖσθαι τὴν θεότητα τῶν ἀθέων ἂν εἴη· τίς λόγος ἐστὶν ὁ διαβάλλων ἡμᾶς ἐπὶ τῷ μίαν ὁμολογεῖν τὴν θεότητα; Ἀλλ' ἐκκαλύπτουσι φανερώτερον τὸν τοῦ λόγου σκοπόν· ἐπὶ μὲν τοῦ Πατρὸς καταδέχεσθαι τὸν Θεὸν εἶναι, καὶ τὸν Υἱὸν ὡσαύτως τιμᾶσθαι τῷ τῆς θεότητος ὀνόματι συντιθέμενοι· τὸ δὲ Πνεῦμα, Πατρὶ καὶ Υἱῷ συναριθμούμενον,

[55] Colos. II, 9. [56] Rom. I, 20.

(91) *Ὁμολογούντων*. In uno ex Regiis codicibus ὁμολογοῦντας, et paulo post in Medicæo λέγοντας ἡμᾶς.

(92) *Οὐδὲ ἡμῖν*. Primam vocem addidimus ex sex mss. et Nysseno. Paulo post editi ἐπὶ τούτοις ἥξει πάντως ἡ θεία τῆς. Sex mss. et Nyssenus ut in textu.

(93) *Τῇ θείᾳ*. Editi ἐν τῇ θείᾳ, sed deest præpositio in sex nostris mss.

(94) *Μοναχῶς τῆς θεότητος*. Ita sex mss. et vetustæ editiones ac Greg. Nyss. Editio Paris. τῆς θεότητος μοναδικῶς αὐτῆς.

μηκέτι καὶ τῇ τῆς θεότητος ἐννοίᾳ συμπαραλαμβάνεσθαι· ἀλλ' ἐκ Πατρὸς μέχρι τοῦ Υἱοῦ ἱσταμένην τὴν τῆς θεότητος δύναμιν, ἀποκρίνειν τῆς θεϊκῆς δόξης τὴν φύσιν τοῦ Πνεύματος. Οὐκοῦν ἀπολογητέον καὶ ἡμῖν, ὡς ἂν οἷοί τε ὦμεν, διὰ βραχέων καὶ πρὸς ταύτην τὴν ἔννοιαν.

5. (95) Τίς οὖν ὁ ἡμέτερος λόγος; Παραδιδοὺς ὁ Κύριος τὴν σωτήριον πίστιν τοῖς μαθητευομένοις τῷ λόγῳ, τῷ Πατρὶ καὶ τῷ Υἱῷ συνάπτει καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Τὸ δὲ συνημμένον ἅπαξ διὰ πάντων φαμὲν τὴν συνάφειαν ἔχειν. Οὐ γὰρ, ἐν τινὶ συντεταγμένον, ἐν ἑτέροις ἀποσχοινίζεται. Ἀλλ' ἐν τῇ ζωοποιῷ δυνάμει, καθ' ἣν ἐκ τοῦ φθαρτοῦ βίου εἰς ἀθανασίαν ἡ φύσις ἡμῶν μετασκευάζεται, συμπαραληφθεῖσα ἡ τοῦ Πνεύματος δύναμις Πατρὶ καὶ Υἱῷ, καὶ ἐν πολλοῖς ἑτέροις, οἷον ἐν τῇ κατὰ τὸ ἀγαθὸν ἐννοίᾳ, καὶ τὸ ἅγιόν τε καὶ ἀΐδιον, σοφὸν, εὐθὲς, ἡγεμονικὸν, δυνατὸν, καὶ πανταχοῦ δηλονότι τὸ ἀχώριστον ἔχει ἐν πᾶσι τοῖς πρὸς τὸ κρεῖττον ὑπειλημμένοις ὀνόμασιν (96). Οὐκοῦν ἡγούμεθα καλῶς ἔχειν τὸ ἐν τοσαύταις ἐννοίαις ὑψηλαῖς τε καὶ θεοπρεπέσι συναπτόμενον Πατρὶ καὶ Υἱῷ ἐν οὐδενὶ διακεκρίσθαι νομίζειν. Οὐδὲ γὰρ οἴδαμέν τινα τῶν περὶ τὴν θείαν φύσιν ἐπινοουμένων ὀνομάτων τὴν κατὰ τὸ κρεῖττον καὶ τὸ χεῖρον διαφοράν· ὡς εὐαγὲς (97) εἶναι οἴεσθαι τὴν ἐν τοῖς καταδεεστέροις τῶν ὀνομάτων κοινωνίαν συγχωροῦντας τῷ Πνεύματι, τῶν ὑπεραιρόντων κρίνειν ἀνάξιον. Πάντα γὰρ τὰ θεοπρεπῆ νοήματά τε καὶ ὀνόματα ὁμοτίμως ἔχει πρὸς ἄλληλα, τῷ μηδὲν περὶ τὴν τοῦ ὑποκειμένου διαφωνεῖν (98) σημασίαν. Οὐ γὰρ ἐπ' ἄλλο τι ὑποκείμενον χειραγωγεῖ τὴν διάνοιαν τοῦ ἀγαθοῦ ἡ προσηγορία, ἐφ' ἕτερον δὲ ἡ τοῦ σοφοῦ, καὶ τοῦ δυνατοῦ, καὶ τοῦ δικαίου· ἀλλ' ὅσαπερ ἂν εἴπῃς ὀνόματα, ἓν διὰ πάντων ἐστὶ τὸ σημαινόμενον. Κἂν Θεὸν εἴπῃς, τὸν αὐτὸν ἐνεδείξω ὃν διὰ τῶν λοιπῶν ὀνομάτων ἐνόησας. Εἰ δὲ πάντα τὰ ὀνόματα τῇ θείᾳ φύσει ἐπιλεγόμενα ἰσοδυναμεῖ ἀλλήλοις κατὰ τὴν τοῦ ὑποκειμένου ἔνδειξιν, ἄλλα κατὰ (99) ἄλλην ἔμφασιν ἐπὶ τὸ αὐτὸ τὴν διάνοιαν ἡμῶν ὁδηγοῦντα· τίς ὁ λόγος τὴν ἐν τοῖς ἄλλοις ὀνόμασι κοινωνίαν, πρὸς Πατέρα τε καὶ Υἱὸν συγχωροῦντα τῷ Πνεύματι, μόνης ἀποσχοινίζειν αὐτὸ τῆς θεότητος; ἀνάγκη γὰρ πᾶσα ἢ καὶ ἐν τούτῳ διδόναι τὴν κοινωνίαν, ἢ μηδὲ τὴν ἐν τοῖς λοιποῖς συγχωρεῖν. Εἰ γὰρ ἐν ἐκείνοις ἄξιον, οὐδὲ ἐν τούτῳ (1) πάντως ἀνάξιον. Εἰ δὲ μικρότερον, κατὰ τὸν ἐκείνων λόγον, ἐστὶν ἢ ὥστε τοῦ τῆς θεότητος ὀνόματος πρὸς Πατέρα τε καὶ Υἱὸν τὴν κοινωνίαν χωρῆσαι, οὐδὲ ἄλλου τινὸς τῶν θεοπρεπῶν ὀνομάτων μετέχειν ἄξιον (2). Καταμανθανόμενα γὰρ καὶ συγκρινόμενα πρὸς ἄλληλα τὰ ὀνόματα διὰ τῆς ἑκάστοις (3) ἐνθεωρουμέ-

A nitatis notione minime comprehendi, sed a Patre ad Filium usque terminata divinitatis potentia, naturam Spiritus a divina gloria secerni. Disserendum igitur et nobis, ut poterimus, breviter, contra hanc quoque sententiam.

5. Quæ est igitur nostra ratio? Tradens Dominus salutarem fidem iis, qui in doctrina instituuntur, Patri ac Filio conjungit et Spiritum sanctum. Quod autem semel conjunctum est, id per omnia conjunctum esse dicimus. Non enim in aliquo conjunctum, in aliis sejungitur. Sed in potentia vivifica, per quam ex corruptibili vita ad immortalitatem natura nostra transfertur, potentia Spiritus una cum Patre et Filio assumpta, et in multis B aliis, velut in notione boni, et sancti, et æterni, sapientis, recti, principalis, potentis, etiam ubique inseparabilis est, videlicet in omnibus nominibus præstantiorem intelligentiam habentibus. Quapropter id rectum esse arbitramur, ut, qui in tot sublimibus Deoque competentibus notionibus conjungitur Patri et Filio, eum nulla in re separari existimemus. Neque enim novimus ullam nominum, quæ circa divinam naturam intelliguntur, secundum melius ac deterius differentiam, ut pium esse existimemus, nominum inferiorum communionem concedentes Spiritui, præstantioribus indignum judicare. Omnia namque Deo competentia tum cogitata, tum **279** nomina sunt inter se ejusdem dignitatis, eo quod nihil circa subjecti significa- C tionem habeant discriminis. Non enim mentis cogitationem ad aliud quoddam subjectum perducit boni appellatio, et ad aliud, sapientis, potentis, et justi: sed quæcunque protuleris nomina, unum prorsus omnia significant. Quod si dixeris Deum, eumdem significasti, quem per reliqua nomina intellexisti. Quod si omnia quæ de divina natura dicuntur, nomina, idem inter se, ad subjecti designationem valent, alia pro alia rei considerandæ ratione mentem nostram ad idem deducentia; quæ ratio est, aliorum nominum communionem Spiritui cum Patre et Filio concedentem, a sola illum arcere divinitate? nam necesse est omnino, aut communionem in hoc etiam dare, aut nec in reliquis D deferre. Etenim si in illis dignus, profecto neque in hoc indignus. Quod si minor est, ut isti dictitant, quam ut divinitatis nomen cum Patre et Filio commune habeat; neque dignus erit, qui ullius alius ex nominibus Deo competentibus particeps sit. Considerata enim et comparata inter se nomina per eam notionem, quam in singulis speculamur,

(95) Vide Addenda.

(96) *Ὀνόμασιν.* Editi addunt καὶ τὴν συνάφειαν. Sed hæc desunt in Med. et Coisl. secundo ac Reg. secundo et Nyss. In tribus aliis codicibus legitur tantum τὴν συνάφειαν sine conjunctione.

(97) *Ὡς εὐαγές.* Sic Med. et tres Regii. Sic etiam legitur apud Gregorium Nyss. Editiones Basilii, excepta Haganoensi, ὡς ἐναγές, *ut nefas ducamus.*

(98) *Διαφωνεῖν.* Ita mss. quatuor. Sic etiam Gregorius Nyssenus. Editiones vetustæ Basilii διαφέρειν. Basileensis secunda et Paris. διαφέρειν

(99) *Ἄλλα κατά.* Unus ex Regiis ἀλλ' οὐ κατά.

(1) *Οὐδὲ ἐν τούτῳ.* Medicæus cum tribus aliis οὐδὲ ἐν τούτοις.

(2) *Ἄξιον.* Editi ἦν ἄξιον. Deest vocula in quinque mss. et apud Greg. Nyss.

(3) *Ἑκάστοις ἐνθεωρουμένης.* Ita mss. quinque, pro eo quod erat in editis ἐν ἑκάστοις θεωρουμένης.

invenientur Dei appellatione non inferiora. Ejus rei argumentum est, quod hoc nomine multa etiam ex inferioribus vocantur; imo Scriptura divina non parca est hujus equivocæ appellationis, ne in absurdis quidem et repugnantibus rebus, velut cum simulacra Dei appellatione designat. *Dii enim*, inquit, *qui cœlum et terram non fecerunt, tollantur, et subter terram conjiciantur* [57]; item: *Omnes*, inquit, *dii gentium dæmonia* [58]. Et pythonissa cum incantationibus suis Sauli animas evocaret, de iis animabus quæ requirebantur, deos vidisse se dixit [59]. Quin et ipse Balaam, cum augur quidam esset et vates, et per manum, ut ait Scriptura, vaticinia ferret, et dæmonum doctrinam per auguralem curiositatem sibi ipse comparasset, Deum consuluisse memoratur a Scriptura [60]. Ac multa ejusmodi licet ex Scripturis divinis colligentem demonstrare, hoc nomen supra reliquas appellationes, quæ Deo dignæ sunt, nihil habere præcipui: quandoquidem ipsum, ut dictum est, etiam de rebus absurdis et repugnantibus æquivoce usurpatum invenimus. At sancti nomen, et incorrupti, et recti, et boni, nusquam communicatum cum rebus indignis a Scriptura edocti sumus. Igitur si nomina, quæ præcipuo modo de sola divina natura pie usurpantur, Spiritui sancto cum Patre et Filio communia esse non negant; quæ jam ratio est, illud solum contendere, non communicari, quod, secundum æquivocum quemdam usum, et dæmoniis et simulacris impertiri demonstratum est?

280 6. Sed aiunt naturam hac appellatione demonstrari, communem autem non esse cum Patre et Filio Spiritus naturam, ac proinde nec in hoc nomine communionis eum esse participem. Ostendant igitur, quibus rebus diversitatem naturæ agnoverint. Si enim posset ipsa per se natura divina cerni, et quid ei proprium, quid alienum ex manifestis rebus inveniri; sane opus nobis non esset verbis aut signis aliis ad rei quæsitæ intelligentiam. Sed quoniam illa quidem sublimior est, quam ut a quærentibus possit intelligi, ex quibusdam autem conjecturis de rebus cognitionem nostram fugientibus ratiocinamur; necesse prorsus est ex operationibus nos manu duci ad divinæ naturæ investigationem. Itaque si viderimus inter se differre operationes, quæ a Patre et Filio et Spiritu sancto fiunt, naturas etiam, quæ operantur, inter

νης ἐμφάσεως, εὑρεθήσεται μηδὲν τῆς τοῦ Θεοῦ προσηγορίας ἔλαττον ἔχοντα. Τεκμήριον δὲ, ὅτι τούτῳ μὲν τῷ ὀνόματι πολλὰ καὶ τῶν καταδεεστέρων ἐπονομάζεται· μᾶλλον δὲ οὐ φείδεται ἡ θεία Γραφὴ τῆς ὁμωνυμίας ταύτης, οὐδὲ ἐπὶ τῶν ἀπεμφαινόντων πραγμάτων, ὡς ὅταν τὰ εἴδωλα τῇ τοῦ Θεοῦ προσηγορίᾳ κατονομάζῃ. *Θεοὶ γὰρ*, φησὶν, *οἳ οὐκ ἐποίησαν τὸν οὐρανὸν καὶ τὴν γῆν, ἀρθήτωσαν, καὶ ὑποκάτω τῆς γῆς βληθήτωσαν*· καὶ, *Πάντες*, φησὶν, *οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια*. Καὶ ἡ ἐγγαστρίμυθος, ἐν ταῖς μαγγανείαις αὐτῆς ψυχαγωγοῦσα τῷ Σαοὺλ (4) τὰς ἐπιζητουμένας ψυχὰς, θεοὺς ἑωρακέναι φησίν. Ἀλλὰ καὶ ὁ Βαλαὰμ οἰωνιστής τις ὢν καὶ μάντις, καὶ διὰ χειρὸς τὰ μαντεῖα φέρων, καθώς φησιν ἡ Γραφὴ, καὶ τὴν ἐκ δαιμόνων διδασκαλίαν διὰ τῆς οἰωνιστικῆς περιεργίας ἑαυτῷ κατορθώσας, παρὰ Θεοῦ συμβουλεύεσθαι ὑπὸ τῆς Γραφῆς ἱστορεῖται. Καὶ πολλὰ τοιαῦτά ἐστι συλλεξάμενον ἐκ τῶν θείων παραθέσθαι Γραφῶν· ὅτι τὸ ὄνομα τοῦτο οὐδὲν ὑπὲρ τὰς λοιπὰς τὰς θεοπρεπεῖς προσηγορίας πρωτεύει, ὅτε, καθὼς εἴρηται, καὶ ἐπὶ τῶν ἀπεμφαινόντων ὁμωνύμως λεγόμενον εὑρίσκομεν. Τὸ δὲ τοῦ ἁγίου ὄνομα, καὶ τοῦ ἀφθάρτου, καὶ τοῦ εὐθέος, καὶ τοῦ ἀγαθοῦ, οὐδαμοῦ κοινοποιούμενον πρὸς τὰ μὴ δέοντα παρὰ τῆς Γραφῆς ἐδιδάχθημεν. Οὐκοῦν, εἰ ἐν τοῖς ἐξαιρέτως ἐπὶ μόνης τῆς θείας φύσεως εὐσεβῶς λεγομένοις ὀνόμασι κοινωνεῖν τὸ ἅγιον Πνεῦμα πρὸς τὸν Υἱὸν καὶ τὸν Πατέρα οὐκ ἀντιλέγουσι, τίς ὁ λόγος, τούτῳ μόνῳ κατασκευάζειν ἀκοινώνητον εἶναι, οὗ μετέχειν ἐδείχθη, κατά τινα ὁμώνυμον χρῆσιν καὶ τὰ δαιμόνια καὶ τὰ εἴδωλα;

6. Ἀλλὰ λέγουσι φύσεως ἐνδεικτικὴν εἶναι τὴν προσηγορίαν ταύτην· ἀκοινώνητον δὲ εἶναι πρὸς Πατέρα καὶ Υἱὸν τὴν τοῦ Πνεύματος φύσιν, καὶ διὰ τοῦτο μηδὲ τῆς κατὰ τὸ ὄνομα τοῦτο κοινωνίας μετέχειν. Οὐκοῦν δειξάτωσαν, διὰ τίνων τὸ τῆς φύσεως παρηλλαγμένον ἐπέγνωσαν. Εἰ μὲν γὰρ ἦν δυνατὸν αὐτὴν ἐφ' ἑαυτῆς τὴν θείαν φύσιν θεωρηθῆναι, καὶ τό τε οἰκείως ἔχον καὶ τὸ ἀλλοτρίως διὰ τῶν φαινομένων εὑρεῖν, οὐκ ἂν πάντως ἐδεήθημεν λόγων ἢ τεκμηρίων ἑτέρων πρὸς τὴν τοῦ ζητουμένου κατάληψιν· ἐπειδὴ δὲ ἡ μὲν ὑψηλοτέρα τῆς τῶν ζητουμένων ἐστὶ κατανοήσεως, ἐκ δὲ τεκμηρίων τινῶν περὶ τῶν διαφευγόντων τὴν γνῶσιν (5) ἡμῶν λογιζόμεθα· ἀνάγκη πᾶσα διὰ τῶν ἐνεργειῶν ἡμᾶς χειραγωγεῖσθαι πρὸς τὴν τῆς θείας φύσεως ἔρευναν. Οὐκοῦν, ἐὰν ἴδωμεν διαφερούσας ἀλλήλων τὰς ἐνεργείας τὰς παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύ-

[57] Jer. x, 11. [58] Psal. xcv, 5. [59] I Reg. xxviii, 13. [60] Num. xxii, 19 seqq.

(4) *Τῷ Σαούλ*. Sic emendamus ope codicis Medicæi, quod prave in editis legebatur τὸν Σαούλ, *demulcens Saulem*. Videtur hunc locum admodum negligenter legisse Sculteius, dum putat animam Samuelis hoc loco evocatam dici. Unde concludit hanc sententiam pugnare cum iis quæ leguntur in commentario *in Isaiam* n. 218, ubi sic legitur: Ἡ ἐγγαστρίμυθος τῷ Σαοὺλ διὰ τῶν δαιμόνων ἀνήγγειλε τὴν μέλλουσαν ἧτταν. Δαίμονες γὰρ ἦσαν οἱ κατασχηματίζοντες ἑαυτοὺς εἰς τὸ τοῦ Σαμουὴλ πρόσωπον. *Ventriloqua Sauli per dæmones enuntiavit futuram cladem. Erant enim dæmones qui induerant Samuelis personam*. Hæc profecto non pugnant cum his quæ in hac epistola leguntur. Nam Basilius non solum non dicit animam Samuelis vere apparuisse; sed etiam non obscure indicat dæmones sub animarum specie evocatos fuisse. Probat enim hoc loco Dei nomen in Scriptura ipsis etiam interdum tribui dæmoniis: atque in hunc usum adhibet pythonissæ testimonium, quæ evocatas animas deos appellavit.

(5) *Τὴν γνῶσιν*. Ita mss. sex. Editi μνήμην.

ματος ἐνεργουμένας, διαφόρους εἶναι καὶ τὰς ἐνεργούσας φύσεις ἐκ τῆς ἑτερότητος τῶν ἐνεργειῶν στοχασόμεθα (6). Οὐδὲ γὰρ ἐνδέχεται τὰ διεστῶτα κατὰ τὸν τῆς φύσεως λόγον πρὸς τὸ τῶν ἐνεργειῶν εἶδος ἀλλήλοις συνενεχθῆναι· (7) οὔτε ψύχει τὸ πῦρ, οὔτε θερμαίνει ὁ κρύσταλλος· ἀλλὰ τῇ τῶν φύσεων διαφορᾷ συνδιαχωρίζονται ἀπ' ἀλλήλων καὶ αἱ παρὰ τούτων ἐνέργειαι. Ἐὰν δὲ μίαν νοήσωμεν τὴν (8) ἐνέργειαν Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος ἁγίου, ἐν μηδενὶ διαφέρουσάν τι ἢ παραλλάσσουσαν· ἀνάγκη τῇ ταυτότητι τῆς ἐνεργείας τὸ ἡνωμένον τῆς φύσεως συλλογίζεσθαι.

7. Ἁγιάζει, καὶ ζωοποιεῖ, καὶ φωτίζει, καὶ παρακαλεῖ, καὶ πάντα τὰ τοιαῦτα, ὁμοίως ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ μηδεὶς κατ' ἐξαίρετον ἀπονεμέτω τῇ ἐνεργείᾳ τοῦ Πνεύματος τὴν ἁγιαστικὴν ἐξουσίαν, ἀκούσας τοῦ Σωτῆρος ἐν τῷ Εὐαγγελίῳ περὶ τῶν μαθητῶν πρὸς τὸν Πατέρα λέγοντος· *Πάτερ, ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου.* Ὡσαύτως δὲ καὶ τὰ ἄλλα πάντα κατὰ τὸ ἴσον ἐνεργεῖται τοῖς ἀξίοις παρὰ τοῦ Πατρός τε καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· πᾶσα χάρις καὶ δύναμις, ἡ ὁδηγία, ἡ ζωή, ἡ παράκλησις, ἡ πρὸς τὸ ἀθάνατον μεταβολή, ἡ εἰς ἐλευθερίαν μετάστασις, καὶ εἴ τι ἄλλο ἐστὶν ἀγαθόν, ὃ μέχρις ἡμῶν (9) καταβαίνει. Ἡ δὲ ὑπὲρ ἡμᾶς οἰκονομία, ἔν τε τῇ νοητῇ κτίσει καὶ τῇ αἰσθητῇ, εἴ τι χρὴ διὰ τῶν γινωσκομένων ἡμῖν καὶ περὶ τῶν ὑπερκειμένων στοχάζεσθαι, οὐδὲ αὐτὴ τῆς τοῦ ἁγίου (10) Πνεύματος ἐνεργείας καὶ δυνάμεως ἔξω καθέστηκεν, ἑκάστου κατὰ τὴν ἰδίαν ἀξίαν τε καὶ χρείαν τῆς ὠφελείας μεταλαμβάνοντος. Εἰ γὰρ καὶ ἄδηλος τῇ αἰσθήσει τῇ ἡμετέρᾳ ἡ περὶ τῶν ἄνω τῆς ἡμετέρας φύσεως διάταξίς (11) τε καὶ διοίκησις, ὅμως ἐκ τῆς ἀκολουθίας εὐλογώτερον ἄν τις σύνθοιτο διὰ τῶν ἡμῖν γνωρίμων ἐνεργὸν εἶναι καὶ ἐπ' ἐκείνων τὴν τοῦ Πνεύματος δύναμιν, ἢ ἀπεξενῶσθαι τῆς ἐν τοῖς ὑπερκειμένοις οἰκονομίας. Ὁ μὲν γὰρ ἐκεῖνο λέγων ψιλὴν καὶ ἀκατάσκευον τὴν βλασφημίαν προβάλλεται (12), οὐδενὶ λογισμῷ κατασκευάζων τὴν ἀτοπίαν· ὁ δὲ συντιθέμενος καὶ τὰ ὑπὲρ ἡμᾶς μετὰ Πατρὸς καὶ Υἱοῦ τῇ δυνάμει τοῦ Πνεύματος οἰκονομεῖσθαι, ἐναργεῖ τεκμηρίῳ τῷ κατὰ τὴν ἰδίαν ζωὴν ἐπερειδόμενος περὶ τούτων διισχυρίζεται. Οὐκοῦν ἡ τῆς ἐνεργείας ταυτότης ἐπὶ Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος ἁγίου δείκνυσι σαφῶς τὸ τῆς φύσεως ἀπαράλλακτον. Ὥστε, κἂν φύσιν σημαίνῃ τὸ τῆς θεότητος ὄνομα, κυρίως καὶ τῷ ἁγίῳ Πνεύματι τὴν προσηγορίαν ἐφαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συντίθεται.

se differentes esse, ex operationum diversitate conjicimus. Neque enim fieri potest, ut quæ naturæ ratione discrepant, in forma operationum inter se consentiant: nec ignis refrigescit, nec glacies calefacit; sed cum naturarum differentia simul etiam inter se discrepant quæ ab illis fiunt operationes. Si autem unam intellexerimus et Patris et Filii et Spiritus sancti operationem, nihil in ulla re differentem aut variantem; necesse est ex operationis identitate unitatem colligi naturæ.

7. Sanctificat, et vivificat, et illuminat, et consolatur, et omnia ejusmodi pariter facit Pater, et Filius, et Spiritus sanctus. Nec quisquam præcipue tribuat Spiritui sancto potestatem sanctificandi, cum audiat Salvatorem in Evangelio de discipulis dicentem Patri: *Pater, sanctifica eos in nomine tuo* [1]. Similiter autem et reliqua omnia ex æquo peraguntur in iis qui digni sunt, a Patre et Filio, et Spiritu sancto: omnis gratia et virtus, ductus, vita, consolatio, ad immortalitatem transmutatio, transitus ad libertatem, et si quid aliud boni, quod ad nos usque pertingat. Œconomia itidem, quæ supra nos est, sive ad spiritualem sive ad sensibilem creaturam spectet, si ex iis quæ cognoscimus, etiam de iis quæ supra nos sunt conjiciendum, ne ipsa quidem citra Spiritus sancti operationem ac virtutem constituit, unoquoque pro propria dignitate et usu beneficium accipiente. Etsi enim obscura est sensui nostro eorum, quæ supra naturam nostram sunt, ordinatio et gubernatio, tamen æquius quis ex consecutione colligat per ea quæ nobis nota sunt, Spiritus virtutem in illis etiam esse efficacem, quam esse a rerum supernarum gubernatione abalienatam. Qui enim illud dicit, nudam et inconcinnam blasphemiam profert, nulla ratione absurdum commentum confirmans: qui vero confitetur ea etiam quæ supra nos sunt, cum Patre et Filio virtute Spiritus **281** regi, claro indicio ex sua ipsius vita ducto innixus, de his affirmat. Itaque operationis identitas in Patre et Filio et Spiritu sancto perspicue ostendit absolutissimam naturæ similitudinem. Quare etiamsi divinitatis nomen naturam indicet, proprie tamen appellationem illam sancto quoque Spiritui aptari, essentiæ communio demonstrat.

[1] Joan. XVII, 17.

(6) *Στοχασόμεθα.* Sic emendavimus ex Greg. Nyss. quod erat in editionibus Basilii στοχαζόμεθα.

(7) Vide Addenda.

(8) *Ἐὰν δὲ μίαν νοήσωμεν τήν.* Sic Medicæus codex cum tribus aliis et Greg. Editi Ἰδόντες οὖν τήν.

(9) *Ἡμῶν.* Editi addunt τῶν ἀνθρώπων, quod deest in Medicæo et quatuor aliis et Greg. Nyss. Iidem editi ἡμᾶς. Quinque mss. et Greg. Nyss. ut in textu.

(10) *Τοῦ ἁγίου.* Ita mss. sex et Greg. Nyss. Editi τοῦ παναγίου.

(11) *Διάταξις.* Sic emendat editio Greg. Nyss. quod legebatur in editionibus Basilii διάλεξις.

(12) *Προβάλλεται.* Ita codices mss. et Greg. Nyss. Editi προσβάλλεται.

8. Sed ignoro quo pacto ad naturæ significationem nomen divinitatis trahant, qui nihil non confingunt : quasi non audierint ex Scriptura, id quod a natura est institutione et electione non comparari. Moses enim deus institutus est Ægyptiorum, cum is, qui oraculum edebat, ita ad ipsum locutus : *Deum te dedi Pharaoni* [12]. Appellatio igitur notam potestatis cujusdam, sive inspectricis sive operatricis, præ se fert. At natura divina, in omnibus quæ excogitantur nominibus, ipsa, ut est, manet inexplicabilis; quæ nostra est doctrina. Cum enim beneficum, judicem, et bonum, et justum et reliqua alia ejusdem generis didicimus, operationum edocti sumus differentiam : sed operantis naturam nihilo magis ex operationum notione cognoscere possumus. Si quis enim definitionem reddat uniuscujusque illorum nominum, et ipsius naturæ, circa quam nomina, non eamdem utrorumque reddet definitionem. Quorum autem definitio alia, horum etiam natura diversa. Igitur aliud quidem est essentia, ad quam exprimendam nondum vox ulla inventa est : alia vero nominum ipsius significatio, quæ ex operatione aliqua aut dignitate imponuntur. Itaque nullum esse in operationibus discrimen ex nominum communione comperimus : at naturæ diversitatem nullo argumento claro deprehendimus : siquidem, ut dictum est, operationum identitas naturæ communionem significat. Sive igitur nomen est operationis divinitas; ut unam Patris et Filii et Spiritus sancti operationem, ita divinitatem unam esse dicimus : sive divinitatis nomen, quæ est multorum opinio, naturam indicat; quia nulla invenitur in natura diversitas, non immerito unius divinitatis esse sanctam Trinitatem definimus.

8. Ἀλλ' οὐκ οἶδα ὅπως ἐπὶ τὴν τῆς φύσεως ἔνδειξιν τὴν προσηγορίαν τῆς θεότητος φέρουσιν, οἱ πάντα κατασκευάζοντες, ὥσπερ οὐκ ἀκηκοότες παρὰ τῆς Γραφῆς, ὅτι χειροτονητὴ (13) φύσις οὐ γίνεται. Μωϋσῆς δὲ τῶν Αἰγυπτίων ἐχειροτονήθη θεὸς, οὕτω πρὸς αὐτὸν εἰπόντος τοῦ χρηματίζοντος, ὅτι θεόν σε δέδωκα τῷ Φαραώ (14). Οὐκοῦν ἐξουσίας τινὸς, εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς, ἔνδειξιν ἡ προσηγορία φέρει. Ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. Εὐεργέτην γὰρ, καὶ κριτὴν, ἀγαθόν τε καὶ δίκαιον, καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες (15), ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν· τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν οὐδὲν μᾶλλον διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. Ὅταν γὰρ ἀποδῷ τις λόγον ἑκάστου τε τούτων τῶν ὀνομάτων καὶ αὐτῆς τῆς φύσεως περὶ ἣν τὰ ὀνόματα, οὐ τὸν αὐτὸν ἀμφοτέρων ἀποδώσει λόγον. Ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ ἡ φύσις διάφορος. Οὐκοῦν ἄλλο μέν τί ἐστιν ἡ οὐσία, ἧς οὔπω λόγος (16) μηνυτὴς ἐξευρέθη· ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων. Τὸ μὲν οὖν ἐν ταῖς ἐνεργείαις μηδεμίαν εἶναι διαφορὰν ἐκ τῆς τῶν ὀνομάτων κοινωνίας εὑρίσκομεν· τῆς δὲ κατὰ τὴν φύσιν παραλλαγῆς οὐδεμίαν καταλαμβάνομεν ἐναργῆ τὴν ἀπόδειξιν· καθὼς εἴρηται, τῆς τῶν ἐνεργειῶν ταυτότητος τὸ κοινὸν τῆς φύσεως ὑποσημαινούσης (17). Εἴτε οὖν ἐνεργείας ὄνομα ἡ θεότης, ὡς μίαν ἐνέργειαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, οὕτω μίαν φαμὲν εἶναι τὴν θεότητα (18)· εἴτε, κατὰ τὰς τῶν πολλῶν δόξας, φύσεως ἐνδεικτικόν ἐστι τὸ τῆς θεότητος ὄνομα· διὰ τὸ μηδεμίαν εὑρίσκειν ἐν τῇ φύσει παραλλαγὴν, οὐκ ἀπεικότως μιᾶς θεότητος τὴν ἁγίαν Τριάδα διορίζομεθα.

[12] Exod. vii, 1.

(13) Χειροτονητή. Ita mss. septem. Editiones Basilii et Greg. Nyss. χειροτονία, excepta Haganoensi et Basileensi prima, quæ consentiunt cum codicibus mss. Similiter Basilius in epist. 8, num. 11, demonstrat immerito Dei titulum Pneumatomachos deferre nolle Spiritui sancto; siquidem Dei nomen ex operatione, nempe *ex eo quod posuerit omnia, vel spectet omnia*, deducitur. Si quis autem hanc epistolam, in qua diserte Spiritus sanctus appellatur Deus, idcirco Gregorio Nysseno adjudicet potius quam Basilio, quia Basilius Dei appellatione, cum de Spiritu sancto loqueretur, parcius creditur usus fuisse; hæc certe ratio levissima videri debet. Etsi enim Basilius in una aliqua oratione, nempe anno 371, cum adessent malevoli exploratores, hac voce magnis de causis abstinuit, non idcirco aliis temporibus pariter abstinuisse credendus est. Nam sæpe, ut testatur Gregorius Nazianzenus orat. 20, pag. 365, Deum Spiritum e superiore loco prædicabat, ubi per tempus licebat, et privatim interrogantibus libenter confitebatur : Ἐπεὶ ὅτι γε παντὸς μᾶλλον ᾔδει τὸ Πνεῦμα Θεὸν, δῆλον μὲν ἐξ ὧν καὶ δημοσίᾳ τοῦτο πολλάκις ἐκήρυξεν, εἴ ποτε καιρὸς ἦν, καὶ ἰδίᾳ τοῖς ἐρωτῶσι προθύμως ἀνωμολόγησε. In libro *De Spiritu sancto* probat cap. 21, Spiritum esse Dominum ex variis Scripturæ testimoniis; Deum etiam vocari in Scripturis sic ibidem docet : Τί δὲ, ὁ θεόπνευστον τὴν Γραφὴν ὀνομάζων, διὰ τῆς ἐπιπνοίας τοῦ ἁγίου Πνεύματος συγγραφεῖσαν, μὴ τοῖς τοῦ καθυβρίζοντος καὶ κατασμικρύνοντος αὐτὸ προσρήμασι κέχρηται; *Quid, qui Scripturam divinitus inspiratam appellat, eo quod afflatu Spiritus scripta sit, num contumeliosis et Spiritum attenuantibus verbis utitur?*

(14) Τῷ Φαραώ. Legitur τοῦ Φαραώ in duobus codicibus, nempe Coisl. secundo et uno ex Regiis.

(15) *Μαθόντες*. Codex Medicæus μανθάνοντες.

(16) Λόγος. Deest ea vox in uno ex Regiis codicibus.

(17) Ὑποσημαινούσης. Codex Mædicæus ἐπισημαινούσης.

(18) *Τὴν θεότητα*. Legitur καὶ τὴν θεότητα in tribus codicibus non antiquissimis. Sic etiam paulo post in Regio secundo et uno ex Regiis εἴτε καὶ κατὰ τὰς τῶν πολλῶν.

ΕΠΙΣΤΟΛΗ ΡϞ'.

282 EPISTOLA CXC*.

Amphilochium admonet Basilius de ratione et modo episcopatus in Ecclesia Isaurorum restituendi. Tum narrat se cum Georgio collocutum esse et ad Valerium scripsisse, ut Amphilochius mandaverat. Breviter etiam de rebus Nysseni et de inimicorum molitionibus. Philonis de manna sententiam, et Scripturæ de curribus Pharaonis testimonium exponit : et acceptas a Sympio communionis litteras commemorat.

Ἀμφιλοχίῳ, ἐπισκόπῳ Ἰκονίου. A

1. Ἀξίως τῆς σεαυτοῦ (19) ἐμμελείας καὶ σπουδῆς, ἧς ἀεὶ ἐπαινέτης εἰμὶ ἐγὼ, ἐμερίμνησας τὰ περὶ τῆς Ἐκκλησίας Ἰσαύρων (20). Ὅτι μὲν οὖν τῷ παντὶ λυσιτελέστερον ἦν εἰς πλείονας ἐπισκόπους καταδιαιρεθῆναι τὴν μέριμναν, αὐτόθεν εἶναι δῆλον καὶ τῷ τυχόντι νομίζω· οὐδὲ γὰρ τὴν σὴν σύνεσιν τοῦτο ἔλαθεν, ἀλλ' ὡς ἔχει καὶ ἐπεσημήνω καλῶς, καὶ ἐγνώρισας ἡμῖν· ἐπεὶ δὲ (21) οὐκ εὔκολον εὑρεῖν ἄνδρας ἀξίους, μήπου (22) ἕως βουλόμεθα τὸ ἐκ τοῦ πλήθους ἀξιόπιστον ἔχειν, καὶ ὑπὸ πλειόνων ἀκριβέστερον ποιεῖν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ οἰκονομεῖσθαι, λάθωμεν διὰ τὸ τῶν καλουμένων ἀδόκιμον εἰς εὐτέλειαν τὸν λόγον καταβαλόντες, ἀδιαφορίας μελέτην τοῖς λαοῖς ἐμποιεῖν; Οἶδας γὰρ καὶ αὐτὸς, ὅτι ὁποῖοι δ' ἂν ὦσιν οἱ προεστῶτες, τοιαῦτα ὡς ἐπὶ τὸ B πολὺ (23) καὶ τὰ ἤθη τῶν ἀρχομένων γίνεσθαι εἴωθεν. Ὥστε τάχα βέλτιον ἕνα τινὰ δόκιμον, εἴπερ καὶ τοῦτο ῥᾴδιον, προβαλέσθαι τῆς πόλεως προστάτην, καὶ ἐπιτρέψαι τῷ ἐκείνου κινδύνῳ οἰκονομεῖσθαι τὰ καθ' ἕκαστον· μόνον ἐὰν ᾖ τις δοῦλος Θεοῦ, ἐργάτης ἀνεπαίσχυντος, μὴ σκοπῶν τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν· ὃς, ἐὰν εἰδῇ ἑαυτὸν μικρότερον πρὸς τὴν φροντίδα, προσλήψεται ἐργάτας εἰς τὸν θερισμόν. Ἐὰν οὖν εὕρωμεν τοιοῦτον, ὁμολογῶ πολλῶν ἀντάξιον εἶναι τὸν ἕνα, καὶ ταῖς Ἐκκλησίαις λυσιτελέστερον, καὶ ἡμῖν δὲ ἀκινδυνότερον, οὕτως οἰκονομῆσαι τῶν ψυχῶν τὴν ἐπιμέλειαν. Ἐὰν δὲ τοῦτο μὴ ῥᾴδιον ᾖ (24), σπουδὴ γενέσθω ἡμῖν πρότερον (25) ταῖς μικροπολιτείαις ἤτοι C μικροκωμίαις ταῖς ἐκ παλαιοῦ ἐπισκόπων θρόνον ἐχούσαις δοῦναι τοὺς προϊσταμένους· καὶ τότε τὸν τῆς πόλεως ἀναστήσομεν (26), μήποτε ἐμπόδιον ἡμῖν πρὸς τὴν μετὰ ταῦτα οἰκονομίαν γένηται ὁ προβαλλόμενος (27), καὶ εὐθὺς ἀρξώμεθα ἡμεῖς τοῖς οἴκοι πολεμεῖν, διὰ τὸ πλειόνων βούλεσθαι ἄρχειν· καὶ μὴ καταδέχηται τὰς χειροτονίας τῶν ἐπισκόπων. Ἐὰν

Amphilochio, episcopo Iconii.

1. Prout dignum erat tua concinnitate ac diligentia, cujus semper ego laudator, curasti res Ecclesiæ Isaurorum. Illud autem universis utilius esse, ut in plures episcopos dividatur sollicitudo, sua sponte manifestum cuique esse arbitror. Neque enim tuam hoc prudentiam latet : sed quomodo res se habeat et recte observasti, et nobis significasti. Sed quia non facile est reperire qui digni sint, annon forte, dum volumus ex multitudine auctoritatem habere, ac perficere, ut Dei Ecclesia a pluribus accuratius gubernetur; imprudentes doctrinam ob eorum, qui vocati fuerint, indignitatem in contemptum adducentes, indifferentiæ populos assuefaciemus? Nam et ipse nosti, quales sint qui præsunt, tales plerumque et eorum qui parent mores esse solere. Quamobrem forte satius esset unum aliquem probatum et spectatum, si et id facile fieri potest, præficere civitati, eique committere singula suo ipsius periculo dispensanda : tantum Dei servus sit, operarius non prave pudens, non suis, sed multorum attentus commodis, ut salutem adipiscantur : qui si se ipse noverit imparem sollicitudini, adjunget sibi operarios ad messem. Si quem ergo ejusmodi inveniamus, fateor multorum instar unum esse, ac Ecclesiis utilius esse et nobis tutius, sic animarum curam dispensare. Quod si id non facile, demus primum operam, ut parvis civitatibus sive parvis pagis jam olim episcopalem sedem habentibus demus præpositos; ac tum demum civitatis restituemus episcopum, ne forte nobis ad futuram deinceps œconomiam obstet, qui ordinatus fuerit, ac statim incipiamus bello domestico laborare, dum pluribus præesse vult, nec consentit ordinationi episcoporum. Quod si hoc grave fuerit, nec per tempus liceat, id tua prudentia faciendum

(19) *Τῆς σεαυτοῦ*. Editio secunda Parisiensis et nonnulli mss. τῆς ἑαυτοῦ.

(20) *Ἰσαύρων*. Hoc negotium diu protractum est; nam Basilius anno 375 in Pisidiam profectus, ut episcopos, cum Amphilochio hæc de causa congregatos, consilio ac sententia sua juvaret. Ipse testatur in epist. 216, venisse se in Pisidiam, ut cum episcopis illius provinciæ ea constitueret, *quæ ad fratres Isauriæ spectant*, τὰ κατὰ τοὺς ἐν τῇ Ἰσαυρίᾳ ἀδελφούς. Existimat Tillemontius non de Isauriæ provincia hic agi, sed tantum de civitate, quæ Isaurus dicebatur. Unde varias in conjecturas fertur : vel enim legendum esse putat ἐν τῇ Ἰσαύρῳ, vel Isauriæ nomine hanc civitatem vocatam fuisse, ut in Testamento S. Gregorii Nazianzeni appellatur : vel denique Amphilochium hanc urbem in Isauriæ provincia collocare, quamvis attributa aliæ provinciæ esset : quemadmodum etiam Iconium in Pisidia collocat. Libenter amplecterer doctissimi viri opinionem, nisi me deterrerent hæc epistolæ verba, *ut Isaurorum episcopo suus circumscribatur circulus, eo quod nonnullos vicinos ordinet.* Ex his enim perspicitur non de solo urbis episcopo, non de vicinis tantum episcopis, quos ille ordinabat, sed de pluribus aliis deliberationem fuisse.

(21) *Ἐπεὶ δέ*. Sic Reg. secundus et Coisl. secundus. Claromontanus ἐπειδὴ δέ. Editi ἐπειδή.

(22) *Μήπου*. Editi μήπω, quod emendavimus ope D Coisl. primi.

(23) *Ἐπὶ τὸ πολύ*. Nonnulli codices recentiores ἐπὶ πολύ.

(24) *Ῥᾴδιον ᾖ*. Sic emendavimus ope Reg. secundi et Coisl. secundi quod prave in editis legebatur ῥᾴδιον, ἡ σπουδή.

(25) Vide Addenda.

(26) *Ἀναστήσομεν*. Coisl. primus ἀναστήσωμεν.

(27) *Ὁ προβαλλόμενος*. Duo mss. ὁ προβεβλημένος. Mox Coisl. secundus et Reg. secundus τοὺς οἴκοι. Ibidem malim καταδέχεσθαι.

* Alias CCCCVI Scripta anno 374.

curet, ut circumscribatur Isaurorum episcopo suus circulus, eo quod vicinos quosdam ordinet. Reliquum autem **283** nobis reservatum erit, ut reliquis omnibus episcopos demus, quos maxime idoneos ipsi judicaverimus multo examine præmisso.

2. Georgium, ut pietas tua jussit, percontati sumus: respondit autem ea quæ tua etiam religio retulit; sed de his rebus necesse est quieto animo simus, curam domus in Dominum projicientes. Confido enim Deo sancto, daturum illum intelligentiam, ut alio modo liberemur a necessitatibus, et vacuam molestiis vitam consequamur. Hoc certe si visum non fuerit, ipse digneris ad me commentarium mittere, de qua oporteat dignitate curam impendere, ut hoc beneficium a potentioribus quibusque amicis aggrediamur exposcere, sive gratis, sive etiam modico pretio, prout Dominus nobis faverit. Scripsi, ut præcepisti, ad fratrem Valerium. Res Nyssenæ eo in statu sunt, in quo erant a te relictæ, et ope tuarum precum cedunt in melius. Eorum autem, qui tunc a nobis abscissi sunt, alii quidem ad aulam se contulerunt, alii vero remanent, inde exspectantes rumorem. Potest autem Dominus tum horum spem frustrari, tum illorum reditum irritum reddere.

3. Manna Philo explicans ait, velut ex traditione quadam Judaica edoctus, illius qualitatem esse ejusmodi, ut pro comedentis desiderio mutaretur; ac per se quidem esse tanquam milium melli incoctum; nunc autem panis, nunc carnis vicem explere: carnis autem, vel volatilium vel terrestrium animalium: modo etiam olerum saporem referre, idque pro uniuscujusque desiderio: piscium itidem, adeo ut proprietas qualitatis uniuscujusque

δὲ τοῦτο βαρὺ ᾖ, καὶ ὁ χρόνος μὴ ἐπιτρέπῃ, ἐκεῖνο σπουδασάτω ἡ σὴ σύνεσις, τοῦ ποιῆσαι περιγράψαι τῷ Ἰσαύρων (28) τὸν ἴδιον κύκλον, διὰ τὸ χειροτονῆσαι αὐτὸν προσοίκους τινάς. Τὸ δὲ ἐφεξῆς ἡμῖν ὑπάρξει τεταμιευμένον, εἰς τὸ κατὰ τὸν προσήκοντα καιρὸν δοῦναι πᾶσι τοῖς λοιποῖς ἐπισκόπους, οὓς ἂν κυριωτέρους (29) εἶναι κρίνωμεν αὐτοὶ, διὰ πολλῆς ἐξετάσεως δοκιμάσαντες.

2. Ἠρωτήσαμεν Γεώργιον, ὡς ἐκέλευσεν ἡ θεοσέβειά σου, καὶ εἶπεν ἃ καὶ ἡ σὴ εὐλάβεια ἀνήνεγκεν· ἐφ' οἷς ἀνάγκη ἡμᾶς τὴν ἡσυχίαν ἄγειν, ἐπιῤῥίψαντας ἐπὶ Κύριον τὴν μέριμναν τοῦ οἴκου. Πιστεύω γὰρ τῷ ἁγίῳ Θεῷ, ὅτι δώσει σὺν ἡμῖν (30), πρὸς τῷ ἑτέρῳ τρόπῳ ἐξελέσθαι τῶν ἀναγκῶν, καὶ ἡμῖν ἄλυπον (31) τὴν ζωὴν προξενῆσαι. Ἐὰν οὖν οὐ δοκῇ (32) τοῦτο, αὐτὸς καταξίωσον ὑπομνηστικόν μοι ἀποστεῖλαι, περὶ τίνος χρὴ ἀξιώματος σπουδὴν εἰσενέγκασθαι, ἵνα ἀρξώμεθα αἰτεῖν ἕκαστον τῶν ἐν δυνάμει φίλων τὴν χάριν ταύτην, εἴτε προῖκα, εἴτε καὶ μετρίου τιμήματος, ὡς ἂν ἡμᾶς Κύριος εὐοδώσῃ. Ἐπέστειλα τῷ ἀδελφῷ Οὐαλερίῳ (33), ὡς προσέταξας. Τὰ Νύσσης πράγματα ὅμοιά ἐστι τοῖς παρὰ τῆς σῆς θεοσεβείας καταλειφθεῖσι (34), καὶ προκόπτει ἐπὶ τὸ βέλτιον τῇ συνεργίᾳ τῶν σῶν προσευχῶν. Οἱ μέντοι τότε ἀποῤῥαγέντες ἡμῶν, οἱ μὲν ἀπῆλθον ἐπὶ τὸ στρατόπεδον, οἱ δὲ μένουσι, (35) τὴν ἐκεῖθεν ἀναμένοντες φήμην. Δυνατὸς δὲ ὁ Κύριος καὶ τούτων ματαιῶσαι τὰς ἐλπίδας, κἀκείνοις ἄπρακτον τὴν ἐπάνοδον ποιῆσαι.

3. Τὸ μάννα ὁ Φίλων ἑρμηνεύων ἔφη, ὥσπερ ἐκ παραδόσεώς τινος Ἰουδαϊκῆς δεδιδαγμένος, τοιαύτην αὐτοῦ εἶναι τὴν ποιότητα, ὥστε κατὰ τὴν φαντασίαν τοῦ ἐσθίοντος μεταχίρνασθαι· καὶ εἶναι μὲν καθ' ἑαυτὸ οἱονεὶ κέγχρον ἑψημένον (36) ἐν μέλιτι, παρέχειν δὲ νῦν μὲν ἄρτου, νῦν δὲ κρέως· καὶ κρέως τοιοῦδε, ἢ πετεινοῦ ἢ χερσαίου· νῦν δὲ λαχάνου, καὶ λαχάνου τοῦ κατὰ τὴν ἐπιθυμίαν ἑκάστου· καὶ ἰχθύος, ὡς τὸ ἰδίωμα τῆς καθ' ἕκαστον γένος ποιότητος ἀκριβῶς

(28) *Τῷ Ἰσαύρων*. Ita Reg. secundus et Coisl. secundus. Editi τῷ Ἰσαύρῳ. Videtur Amphilochius hoc Basilii consilium secutus esse, id est, Isaurorum episcopo suum circulum circumscripsisse, ac sibi jus episcopatus in aliis civitatibus restituendi retinuisse. Nam cum Macedonius præcipuæ civitati præesset, ut perspicitur ex initio epistolæ tertiæ canonicæ; cumque alia superessent oppida episcopo destituta; Basilius, qui unum aliquem e suo clero promiserat, nec eum morbo debilitatum et imparem episcopalibus muniis factum mittere poterat, auctor est Amphilochio in eadem epistola canonica, ut aliquem ex recens baptizatis, *sive Macedonio videatur, sive non*, episcopum constituat.

(29) *Κυριωτέρους*. Quamvis ita habeant omnes mss. codices, vix tamen dubium quin legendum sit καιριωτέρους, atque hanc lectionem in interpretando secutus sum.

(30) *Δώσει σὺν ἡμῖν*. Nullus ex his verbis sensus eruetur, nisi legamus δώσει σύνεσιν. Ibidem editi πρὸς τῷ, quod emendavimus ope Coisl. secundi. Paulo post vocem Κύριος addidimus ex codice Medicæo. Videtur autem illa dignitas, quam se amici alicujus causa petiturum promittit Basilius, non administratio aliqua fuisse, sed tantum codicillaria dignitas. Hoc enim consilio hanc dignitatem petere statuerat, ut amici domus magnum aliquod incommodum effugeret. Porro in hunc usum impetrari solebant codicilli, ut curia, vel saltem duumviratus et civitatis cura vitarentur. Pretio autem impetratos non modo nulla immunitas, sed etiam multa sequebatur, ut perspicitur ex *Cod. Theod.* lib. VI, tit. 22. Sic enim habet lex secunda imperatoris Constantii: *Ab honoribus mercandis per suffragia, vel qualibet ambitione quærendis, certa multa prohibuit: cui addimus, ut quicunque fugientes obsequia curiarum, umbras et nomina affectaverint dignitatum, tricenas libras argenti inferre cogantur, manente illa præterita inlatione auri, qua perpetua lege constricti sunt.* Unde miror Basilium ab hac via tentanda non omnino alienum fuisse. Sed forte hæ leges non admodum accurate servabantur sub Valente.

(31) *Ἄλυπον*. Sic ope codicum mss. emendavimus. Male in editis ἄλυτον.

(32) *Οὐ δοκῇ*. Coisl. secundus δοκεῖ.

(33) *Οὐαλερίῳ*. Coisl. secundus Οὐαλλερίῳ.

(34) *Καταλειφθεῖσι*. Coisl. primus καταληφθεῖσι, *in eo statu, in quo erant a te inventa.*

(35) Vide Addenda.

(36) *Ἑψημένον*. Nonnulli codices ἑψημένην

ἐν τῇ γεύσει τοῦ ἐσθίοντος διασώζεσθαι. Ἅρματα ἀναβάτας τριστάτας ἔχοντα οἶδεν ἡ Γραφὴ, διὰ τὸ τῶν λοιπῶν ἁρμάτων δύο εἶναι τοὺς ἐπιβάτας, τόν τε ἡνίοχον καὶ τὸν ὁπλίτην· τὰ δὲ τοῦ Φαραὼ δύο μὲν εἶχε τοὺς πολεμοῦντας, ἕνα δὲ τὸν τὰς ἡνίας τῶν ἵππων ἔχοντα. Σύμπιος ἡμῖν ἐπέστειλε θεραπευτικὴν ἐπιστολὴν καὶ κοινωνικὴν, ᾧ ἡμεῖς ἀντιγράψαντες ἐπέμψαμεν τῇ εὐλαβείᾳ σου τὰ γράμματα, ἵνα ἄγαν ἐγκρίνας κελεύσῃς αὐτῷ ἀποσταλῆναι, δηλονότι μετὰ προσθήκης καὶ σῶν γραμμάτων. Ἐῤῥωμένος, εὔθυμος ἐν Κυρίῳ, ὑπερευχόμενός μου χαρισθείης μοι καὶ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ τῇ τοῦ Ἁγίου φιλανθρωπίᾳ.

A speciei in comedentis gustu omnino servaretur. Currus qui sessores tres haberent, agnovit Scriptura, siquidem reliquorum curruum sessores duo erant, auriga et miles armatus: Pharaonis autem currus bellatores duos habebant, et unum equorum habenas tenentem. Scripsit mihi Sympius epistolam officii et communionis causa, cui ego rescribens, litteras meas ad tuam pietatem misi, ut diligenter probatas ad illum jubeas transmitti, additis videlicet et tuis ipsius litteris. Valens, in Domino hilaris, pro me precans, serveris mihi et Dei Ecclesiæ, per sancti misericordiam.

ΕΠΙΣΤΟΛΗ ΡϞΑ'.

284 EPISTOLA CXCI*.

Gratias agit Basilius cuidam episcopo, qui prior scripserat; eumque hortatur, ut ipso urgente cum vicinis episcopis locus et tempus synodi indicentur, ad pristinam communionem, quam variæ suspiciones interruperant, tandem aliquando inter remotas Ecclesias instaurandam.

Ἀμφιλοχίῳ (37), *ἐπισκόπῳ Ἰκονίου.*

Ἐντυχόντες τοῖς γράμμασι τῆς εὐλαβείας σου, πολλὴν τῷ Θεῷ τὴν χάριν ἔσχομεν, ὅτι ἀρχαίας ἀγάπης ἴχνη εὕρομεν ἐν τοῖς ῥήμασι τῆς ἐπιστολῆς· ὅς γε οὐκ ἔπαθες τὸ τῶν πολλῶν, οὐδὲ φιλονείκως ἔσχες πρὸς τὸ μὴ καὶ αὐτὸς κατάρξαι τῆς ἀγαπητικῆς ὁμιλίας· ἀλλ' ὡς πεπαιδευμένος τὸ ἐκ ταπεινοφροσύνης μεγαλεῖον περιγινόμενον τοῖς ἁγίοις, οὕτως εἵλου διὰ τῶν δευτερείων ἔμπροσθεν ἡμῶν ἀποφανθῆναι. Καὶ γὰρ οὗτος νόμος τῆς ἐν Χριστιανοῖς νίκης, καὶ ὁ ἔλαττον ἔχειν καταδεξάμενος στεφανοῦται. Ἵνα οὖν μὴ ἀπολειφθῶμεν τοῦ ἀγαθοῦ ζήλου, ἰδοὺ καὶ αὐτοὶ ἀντιφθεγγόμεθά σου τὴν σεμνότητα, καὶ δείκνυμεν τὴν προαίρεσιν ἡμῶν, ὅτι, Θεοῦ χάριτι τῆς κατὰ τὴν πίστιν συμφωνίας ἐῤῥωμένης ἡμῖν (38), οὐδὲν ἕτερόν ἐστι τὸ ἐμποδίζον πρὸς τὸ εἶναι ἡμᾶς ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς ἐκλήθημεν ἐν μιᾷ ἐλπίδι διὰ τῆς κλήσεως. Τῆς οὖν σῆς ἐστιν ἀγάπης τῇ ἀγαθῇ ἀρχῇ καὶ τὰ ἐφεξῆς ἀποδοῦναι, συστατεῖν (39) μὲν περὶ σεαυτὸν τοὺς ὁμοψύχους, δηλῶσαι δὲ καὶ χρόνον καὶ τόπον τῆς συντυχίας, ἵνα οὕτω, τῇ

B *Amphilochio, episcopo Iconii.*

Lectis litteris pietatis tuæ, plurimas Deo gratias egi, quod antiquæ charitatis vestigia invenirem in verbis epistolæ; siquidem non quo plerique morbo laborasti, neque illud pertinaciter tenuisti, ne ipse inceptor esses amici colloquii: sed ut edoctus quam magnifica ex humilitate merces sanctis eveniat, ita elegisti secundas tenendo, prior me inveniri. Hæc enim lex est Christianæ victoriæ, et qui minus habere non recusat, coronatur. Ne igitur desimus bono studio, ecce et nos gravitatem tuam resalutamus, et quid nobis sit sententiæ demonstramus: nempe firmato inter nos, Dei gratia, in fide consensu, nihil esse quod impediat, quo-C minus simus unum corpus et unus spiritus, sicut vocati sumus in una spe per vocationem. Itaque charitatis tuæ est, bono initio et quæ consequuntur adjicere, unanimes tuos tecum conjungere, ac tempus et locum congressus indicare, ut sic, Dei gratia nos invicem excipientes, ad priscam dilectionis formam Ecclesias gubernemus; fratres ex

(37) *Ἀμφιλοχίῳ.* Codices omnes, editi et mss., hanc epistolam inscribunt Amphilochio: sed luce clarius est ad eum scriptam non fuisse: nec difficile est conjicere ad illum episcopum datam fuisse, de quo mentio facta in epistola præcedenti. Suspicatur Tillemontius hanc epistolam scriptam esse ad aliquem ex Lyciæ episcopis, de quibus agit Basilius in epistola 218. Cum enim audiisset hos episcopos ab Arianis alienos esse, et ipsius communionem amplecti velle; scripsit Amphilochio, eumque hortatus est, ut illorum animos periclitaretur. Inde conjicit Tillemontius aliquem ex illis episcopis, accepta Amphilochii epistola, ad Basilium scripsisse. Sed tempus non quadrat. Cum enim verisimillimum sit hanc epistolam in præcedenti indicari et designari; cumque epistola 218, in qua de episcopis Lyciæ agitur, anno 375 scripta sit post reditum ex Ponto: necesse est hoc loco aliud negotium, ac alios, quam Lyciæ, episcopos intelligere. Deinde vero, ut observat idem doctissimus scriptor, videtur episcopus, cui scribit Basilius, metropolitanus fuisse; siquidem rogat Basilius ut unanimes suos consociet, ac locum et tempus conveniendi designet. At episcopus Myræ, qui Lyciæ metropolitanus erat, non recensetur inter eos qui Basilii communionem appetebant: sed tribus ejusdem urbis presbyteris hæc laus tribuitur, quod argumento est episcopum male audiisse. Longe ergo probabilior alia Tillemontii conjectura, hanc epistolam inscribi Sympio, de quo in epist. præcedenti, sive Symposio Seleuciæ episcopo, qui concilio Constantinopolitano interfuit anno 381. Hæc sententia confirmatur ex epist. 204, in qua Basilius Isauros enumerat inter suos communica-D tores. Porro nemo non videt facile fuisse librariis in his Sympii et Symposii vocibus errare. Quæcunque autem statuatur opinio, facile perspicitur gravissimum esse in titulo epistolæ erratum. Neque enim de reconciliatione Basilius agere potuit cum Amphilochio, cum inter utrumque semper exstiterit arctissima conjunctio.

(38) *Ἡμῖν.* Quamvis in quatuor veteribus libris legatur ὑμῖν, magis tamen arridet scriptura codicum Coisl. primi et Med. qui cum editis consentiunt. In Harlæano autem non exstat hæc epistola. Paulo post idem Coisl. primus ἐλπίδι τῆς πίστεως; Medicæus ἐλπίδι τῆς κλήσεως.

(39) *Συσταθεῖν.* Codices tres non antiquissimi συντάττειν.

* Alias CCCXCVIII. Scripta anno 374.

utraque parte venientes tanquam propria membra suscipiendo, tanquam ad amicos mittendo, et rursus tanquam ab amicis excipiendo. Hæc enim erat olim Ecclesiæ gloria, ut ab orbis termino ad terminum brevibus tesseris, veluti viatico instructi fratres ex unaquaque Ecclesia patres ac fratres omnes invenirent; quod ipsum cum aliis nunc hostis Ecclesiarum Christi de nobis prædatus est, ac singulis civitatibus circumscribimur, et unusquisque proximum suspectum habemus. Et **285** quid aliud dicam, nisi charitatem nostram refrixisse, qua sola Dominus noster suos discipulos dixit, veluti propria nota, dignosci? Ac prius quidem, si videbitur, ipsi vos ipsos mutuo cognoscite, ut sciamus quibuscum nobis futura sit consensio. Atque hoc pacto consensu uno locum aliquem utrisque commodum, tempusque itineri faciendo idoneum eligentes, alii ad alios convolabimus, nosque in via diriget Dominus. Valeas, lætusque sis ac preceris pro me, mihique Sancti benignitate doneris.

A τοῦ Θεοῦ χάριτι ἀπολαβόντες ἀλλήλους, τῷ ἀρχαίῳ εἴδει τῆς ἀγάπης τὰς Ἐκκλησίας οἰκονομήσωμεν· τοὺς παρ' ἑκατέρου μέρους βαδίζοντας τῶν ἀδελφῶν ὡς ἴδια μέλη προσιέμενοι, προπέμποντες ὡς ἐπὶ οἰκείους, καὶ ὑποδεχόμενοι (40) πάλιν ὡς παρ' οἰκείων. Τοῦτο γὰρ ἦν ποτε τῆς Ἐκκλησίας τὸ καύχημα, ὅτι ἀπὸ τῶν περάτων τῆς οἰκουμένης ἐπὶ τὰ πέρατα μικροῖς συμβόλοις (41) ἐφοδιαζόμενοι οἱ ἐξ ἑκάστης Ἐκκλησίας ἀδελφοὶ πάντας πατέρας καὶ ἀδελφοὺς εὕρισκον· ὃ νῦν μετὰ τῶν ἄλλων ἀφήρηται ἡμῶν ὁ ἐχθρὸς τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ, καὶ κατὰ πόλεις περιγεγράμμεθα, καὶ ἕκαστος δι' ὑποψίας ἔχομεν τὸν πλησίον. Καὶ τί γὰρ ἄλλο, ἢ ἐψύξαμεν τὴν ἀγάπην, ἀφ' ἧς μόνης τοὺς ἑαυτοῦ μαθητὰς ὁ Κύριος ἡμῶν εἶπε χαρακτηρίζεσθαι; Καὶ B εἰ δοκεῖ, πρότερον αὐτοὶ μετ' ἀλλήλων γνωρίσατε ἑαυτούς, ἵνα γνῶμεν πρὸς τίνας ἡμῖν ἔσται ἡ συμφωνία. Καὶ οὕτως ἐκ κοινῆς συγκαταθέσεως τόπον τινὰ τοῖς ἀμφοτέροις (42) ἀνεπαχθῆ, καὶ χρόνον ταῖς ὁδοιπορίαις πρέποντα ἐκλεξάμενοι, δραμούμεθα παρ' ἀλλήλοις, καὶ ὁ Κύριος ἡμᾶς κατευοδώσει. Ἐῤῥωμένος καὶ εὔθυμος εἴης, ὑπερευχόμενός μου, καὶ χαρισθείης μοι τῇ τοῦ Ἁγίου (43) φιλανθρωπίᾳ.

EPISTOLA CXCII*.

ΕΠΙΣΤΟΛΗ ΡϞΒ'.

Cum Sophronius petenti aliquid Basilio ita annuisset, ut seipse duplex beneficium accepisse diceret, nempe litteras Basilii et occasionem bene de eo merendi, Basilius gratias agit in hac epistola, sibique rem eo gratiorem fuisse significat, quod a Sophronio proficisceretur.

Sophronio magistro.

Si ipse duplex accepisti beneficium, quemadmodum mihi immensa quadam bene faciendi voluntate scripsisti, unum, quod acceperis litteras, alterum, quod tuam meo usui operam navaveris; quantam existimandum est me habere gratiam, qui et litteras suavissimæ tuæ vocis legi, et id quod

Σωφρονίῳ μαγίστρῳ.

C Εἰ αὐτὸς διπλῆν ἔλαβες χάριν, ὡς αὐτὸς τῇ ἀνυπερβλήτῳ προθυμίᾳ περὶ τὰ ἀγαθὰ ἔργα ἐπέστειλας ἡμῖν, μίαν μὲν τῷ δέξασθαι (44) γράμματα, δευτέραν δὲ τῷ ὑπουργῆσαι τῇ χρείᾳ ἡμῶν· πόσην τινὰ χρὴ νομίζειν ἡμᾶς ἔχειν τὴν χάριν, γράμμασί τε τῆς ἡδίστης φωνῆς ἐντυχόντας, καὶ τὴν ἐπιζητηθεῖσαν

* Alias CCCXXIX. Scripta anno 374.

(40) *Ὑποδεχόμενοι*. Ita septem mss. Editi ἀποδεχόμενοι.

(41) *Συμβόλοις*. Sic Coisl. primus et Med. Editi συμβολαίοις. Ad auctoritatem vetustissimorum codicum accedit ipsius Basilii testimonium, qui eadem voce utitur in loco simillimo ex epistola 203, in qua sic loquitur: Ἡμεῖς δὲ, ἐκείνων ὄντες τῶν πατέρων, οἳ ἐνομοθέτησαν διὰ μικρῶν χαρακτήρων τὰ τῆς ἐπιμιξίας σύμβολα ἀπὸ περάτων τῆς γῆς εἰς πέρατα περιφέρεσθαι, καὶ πάντας πᾶσι πολίτας καὶ οἰκείους εἶναι, νῦν ἀποτέμνομεν ἑαυτοὺς τῆς οἰκουμένης, καὶ οὔτε ἐπαισχυνόμεθα τῇ μονώσει, D οὔτε ζημίαν φέρειν τὸν διασπασμὸν τῆς ὁμονοίας τιθέμεθα, οὔτε φρίσσομεν, ὅτι εἰς ἡμᾶς φθάνει ἡ φοβερὰ τοῦ Κυρίου ἡμῶν προφητεία, εἰπόντος, etc.: *Nos autem, qui filii sumus illorum patrum, qui legem tulerunt, ut brevibus notis commercii signa a terminis orbis terrarum usque ad terminos circumferrentur, ac omnes omnibus cives et propinqui essent, nunc abscindimus nosmetipsos ab orbe terrarum, neque nos pudet solitudinis, nec damnum ferre dissolutionem concordiæ ducimus; neque horrescimus, quod ad nos pervenerit terribilis Domini nostri prophetia dicentis*, etc. Sæpe alias Basilius luctuosa tempora deplorat. Sed tamen cum dissolutionem concordiæ in allato testimonio describit, vel cum ait infra in hac epistola, *singulis civitatibus circumscribimur*, non de se ipso loquitur, sed aliorum mala deflet, ut sua propria. Quanto enim studio arserit fovendæ cum omnibus communionis, perspici potest, tum ex lætitia, quam ei litteræ ab Ecclesiis remotis scriptæ afferebant, tum ex iis quæ scripsit et gessit, ut maritimos episcopos, Neocæsarienses, Lyciæ Ecclesias sibi charitate devinciret. Testatur in epistola 204, secum communicare Pisidas, Lycaones, Isauros, Phryges, Armenos Neocæsariensibus vicinos, Macedones, Achæos, Illyrios, Gallos, Hispanos, totam simul Italiam, Siculos, Afros, et quidquid sani in Ægypto et Syria supererat.

(42) *Τοῖς ἀμφοτέροις*. Ita Coisl. primus et Med. Editi τὸν ἀμφοτέροις. Paulo post editi παρ' ἀλλήλους. Uterque Coisl. et plures alii ut in textu. Utrum ad effectum perducta fuerint, quæ hic proponuntur a Basilio, nullo cognoscimus monumento. Semel eum in Pisidiam, nempe anno 375, venisse et cum Amphilochio ac vicinis episcopis consiliatum esse scimus. Sed ante hoc tempus jam Isauros inter communicatores suos enumeraverat in epist. 204, ex quo conjicimus Basilium, etiamsi cum his episcopis non convenerit, pacem cum illis et communionem per litteras redintegrasse. Præterquamquod nulla necessitas erat conveniendi, cum tota res per litteras confici posset; forte congressum anni tempestas et Basilii morbi interpellarunt.

(43) *Τοῦ ἁγίου*. Editi addunt Θεοῦ. Sed ea vox deest in codicibus Med. et Coisl. utroque et tribus aliis.

(44) *Τῷ δέξασθαι*. Legitur τὸ in utroque Coisl. et Reg. secundo, et paulo post τὸ ὑπουργῆσαι

μείαν τοσούτῳ τάχει πληρωθεῖσαν ὁρῶντας! Ὥστε, A ἡδέως δεξάμενοι τὸ ἀποσταλὲν (45) διὰ τὴν οἰκείαν αὐτοῦ φύσιν, πολλῷ ἥδιον αὐτὸ προσηκάμεθα τῷ σὲ εἶναι τὸν τῆς κατασκευῆς αὐτοῦ προεστῶτα. Παράσχοι δὲ ἡμῖν ὁ Κύριος ἰδεῖν σε ἐν τάχει, ὥστε ἀπὸ γλώττης ὁμολογῆσαι τὴν χάριν, καὶ πάντων ὁμοῦ τῶν ἐν σοὶ καλῶν ἀπολαῦσαι.

expetebam tam celeriter confectum vidi! Itaque id quod missum est sua sponte pergratum fuit: sed longe libentius hoc ipsum eo nomine suscepi, quod tu rei illius conficiendæ exstiteris dux et auctor. Det autem nobis Dominus te cito videre, ut lingua gratias referamus, omnibusque simul bonis tuis perfruamur.

ΕΠΙΣΤΟΛΗ ΡϞΓ'.

EPISTOLA CXCIII*.

Peracute Basilius sese cum gruibus comparat. Quominus se ad solitudinem Meletii conferret, tum negotiorum exteriorum occupationibus detentus fuerat, tum vehementibus ac continuis febribus, quæ illum ita debilitaverunt, ut aranea infirmior videretur. Venturum se ad Meletium promittit verno tempore, si Dei ope ex hoc morbo evaserit.

Μελετίῳ ἀρχιάτρῳ (46).

Ἡμῖν (47) οὐδ' ὅσον ταῖς γεράνοις ὑπάρχει τὰ δυσχερῆ τοῦ χειμῶνος διαφυγεῖν· ἀλλ' ἕνεκα μὲν τοῦ προϊδέσθαι τὸ μέλλον, οὐδὲν ἴσως τῶν γεράνων χεί- B ρους (48) ἐσμέν· τῷ δὲ κατὰ τὸν βίον αὐτεξουσίῳ τοσοῦτον τῶν ὀρνίθων ἀπολιμπανόμεθα, ὅσον καὶ τοῦ πέτεσθαι δύνασθαι, μικροῦ δεῖν. Πρῶτον μὲν γάρ με ἀσχολίαι τινὲς τῶν κατὰ τὸν βίον πραγμάτων ἐπέσχον (49)· ἔπειτα δὲ πυρετοὶ συνεχεῖς καὶ λάβροι οὕτω μου τὸ σῶμα κατεδαπάνησαν, ὥστε φανῆναί τι καὶ ἐμοῦ λεπτότερον, αὐτὸς ἐγὼ ἐμαυτοῦ· εἶτα τεταρταίων προσβολαὶ πρὸς πλεῖον ἢ εἴκοσι διαρκέσασαι κύκλους. Νυνὶ δὲ, ὅτε δοκῶ τῶν πυρετῶν ἀπηλλάχθαι, οὕτως ὑπὸ τῆς ἀδυναμίας διάκειμαι, ὥστε μηδὲν ἐν τούτῳ ἀποδεῖν ἀραχνίου. Ὅθεν μοι πᾶσα μὲν ὁδὸς ἄβατος, πᾶσα δὲ πνεύματος προσβολὴ πλείονα φέρει τὸν κίνδυνον ἢ αἱ τρικυμίαι τοῖς πλέουσιν. Ἀνάγκη τοίνυν ὑπὸ δωματίῳ κεκρύφθαι, καὶ ἀναμένειν τὸ ἔαρ, ἐάνπερ διαρκέσαι πρὸς C αὐτὸ δυνηθῶμεν, ἀλλὰ μὴ προδιαμάρτοιμεν (50) ὑπὸ τοῦ κακοῦ τοῦ τοῖς σπλάγχνοις ἐνιδρυμένου. Ἐὰν δὲ διασώσῃ ἡμᾶς ὁ Κύριος τῇ μεγάλῃ αὐτοῦ χειρὶ, ἀσμενέστατα μὲν τὴν ἐσχατιὰν ὑμῶν καταληψόμεθα· ἀσμενέστατα δὲ σὲ τὴν φίλην ἡμῖν κεφαλὴν περιπτυξόμεθα. Μόνον εὔχου πρὸς τὸ συμφέρον τῇ ψυχῇ τὴν ζωὴν ἡμῶν οἰκονομεῖσθαι.

Meletio archiatro.

Nobis ne quantum quidem gruibus licet hiemis incommoda effugere; sed quantum quidem ad futuri prænotionem attinet, nihil forte deteriores gruibus sumus; quod vero ad vitæ libertatem spectat, tanto fere ab avibus distamus, quanto a volandi facultate. Primum quidem occupationes me nonnullæ negotiorum exteriorum detinuerunt deinde continuæ ac vehementes febres corpus meum usque adeo consumpserunt, ut visum sit aliquid etiam me tenuius, ego videlicet meipso. Præterea quartanarum accessus ultra viginti **286** vices persliterunt. Nunc autem cum a febribus liber esse videor, ita sum debilis, ut nihil in hoc ab aranea differam. Unde mihi omne iter impervium, et quilibet auræ impulsus periculosior, quam fluctus decumani navigantibus. Necesse est ergo domi latitare, et tempus vernum exspectare, si modo eo usque perdurare possim, nec prius spe excidam ob morbum visceribus insidentem. Quod si me Dominus magna sua manu servaverit, libentissime me conferam ad vestram solitudinem: libentissime te charum mihi caput amplectar. Tantum roga, ut de mea vita, prout animæ meæ conducit, statuatur.

ΕΠΙΣΤΟΛΗ ΡϞΔ'.

EPISTOLA CXCIV**.

Zoili litteris respondet Basilius, hortatur ut sæpe scribat. Morbi sui magnitudinem exprimi non posse dicit; sed vires a Deo exspectat ad patienter ferendum.

Ζωΐλῳ.

Οἷα ποιεῖς, ὦ θαυμάσιε, προλαμβάνων ἡμᾶς εἰς τὸ τῆς ταπεινώσεως μέτρον; ὅς γε, τοιοῦτος ὢν τὴν D παίδευσιν, καὶ οὕτως εἰδὼς ἐπιστέλλειν, ὡς δηλοῖ τὰ γράμματα, ὅμως ἀξιοῖς, ὡς ἐπὶ τολμηροτέρᾳ

Zoilo

Quid agis, vir egregie, prævertens me humilitatis modo? qui cum tanta sis ornatus eruditione, ac scribendi adeo peritus, ut litteræ demonstrant, tamen postulas, ut in audaciore quodam conatu

(45) *Τὸ ἀποσταλέν*. Manifesta est necessitudo hujus epistolæ cum centesima nonagesima. Promiserat Basilius se apud potentiores amicos acturum, si ita Amphilochio videretur, et dignitatem aliquam petiturum, ut amici domus magnum aliquod incommodum effugeret. Observavimus hanc dignitatem non in aliqua administratione, sed in codicillis positam fuisse. Quod ergo tam celeriter confectum misit Sophronius magister officiorum, nihil aliud videtur esse, quam codicillaria aliqua dignitas. Id autem pretio impetratum fuisse, nec Sophronii liberalitas patitur suspicari, nec scriptæ ab eo ad Basilium perhonorifice litteræ.

(46) Ἀρχιάτρῳ. Medicæus codex et duo alii recentiores ἀρχιήτρῳ. Regius primus et Bigot. ἰατρῷ.

(47) *Ἡμῖν*. Coisl. primus et Harl. Ἡμῖν δέ.

(48) *Χείρους*. Hanc vocem addidimus ex septem mss.

(49) *Ἐπέσχον*. Ita tres vetustissimi codices. Editi κατέσχον. Paulo post iidem codices cum tribus aliis οὕτω μου. Editi οὕτως μου.

(50) *Προδιαμάρτοιμεν*. Non male Vaticanus codex et ad marginem Claromontanus προδιαρπασθῶμεν, *nisi prius abripiar morbo visceribus insidente.* Nihil tamen mutandum duximus, quia vulgata scriptura nec sua sponte vitiosa est, et pluribus antiquis codicibus nititur.

* Alias CCCLXIX. Scripta anno 375.

** Alias CCCLXVIII. Scripta anno 375.

et meritis tuis majore, veniam tibi a nobis dari. Verum prætermissa hac ironia, scribe nobis ad omnem occasionem. Sive enim eloquentiæ non sum expers, eloquentis viri litteras libentissime legam: sive quantum sit charitatis bonum, e Scriptura didici, maximo prorsus in pretio est hominis me diligentis colloquium. Utinam autem perscribas quæ tibi precor bona, corporis valetudinem, ac domus totius prosperitatem! Jam quod ad res nostras spectat, scito eas solito non esse tolerabiliores. Satis autem erit hoc dicere, ut tibi corporis nostri infirmitas demonstretur. Nam morbi nunc detinentis magnitudinem, nec verbis demonstrare facile, nec re persuadere: siquidem iis quæ noveras, majus quidpiam a nobis ad infirmitatem inventum est. Jam Dei boni opus est vires mihi sufficere, ut patienter feram inflictas corporis ad nostram utilitatem plagas ab eo qui bene nobis facit Deo.

A τινὶ ἐγχειρήσει καὶ ὑπερβαινούσῃ σου τὴν ἀξίαν, συγγνώμης παρ' ἡμῶν τυγχάνειν. Ἀλλά, τῆς εἰρωνείας ταύτης ἀφέμενος, ἐπίστελλε ἡμῖν διὰ πάσης προφάσεως. Εἴτε γὰρ ἡμῖν λόγων μέτεστιν, ἥδιστα λογίου ἀνδρὸς γράμμασιν ἐντευξόμεθα (51)· εἴτε καὶ τὸ τῆς ἀγάπης καλὸν ὅσον ἐστὶ, παρὰ τῆς Γραφῆς πεπαιδεύμεθα, τοῦ παντὸς ἀξίαν τιθέμεθα ἀνδρὸς ἀγαπῶντος ἡμᾶς ὁμιλίαν. Εἴη δέ σε γράφειν ἃ εὐχόμεθά σοι ἀγαθὰ, ὑγείαν σώματος, καὶ εὐθηνίαν οἴκου παντός! Τὰ δὲ ἡμέτερα μηδὲν ἀνεκτότερα γίνωσκε τῆς συνηθείας εἶναι. Ἀρκεῖ δὲ τοσοῦτον εἰπεῖν, καὶ ἐνδείξασθαί σοι τοῦ σώματος ἡμῶν τὴν ἀσθένειαν. Τὴν γὰρ νῦν κατέχουσαν ἡμᾶς εἰς τὸ ἀῤῥωστεῖν ὑπερβολὴν, οὔτε λόγῳ ἐνδείξασθαι ῥᾴδιον, οὔτε ἔργῳ πεισθῆναι· εἴπερ ἐκείνων, ὧν αὐτὸς B ᾔδεις, εὑρέθη τι πλεῖον παρ' ἡμῶν εἰς ἀῤῥωστίαν. Θεοῦ δὲ τοῦ ἀγαθοῦ ἔργον δοῦναι ἡμῖν δύναμιν, πρὸς τὸ ἐν ὑπομονῇ φέρειν τὰς ἐπὶ συμφέροντι ἡμῖν ἐπαγομένας εἰς τὸ σῶμα πληγὰς παρὰ τοῦ εὐεργετοῦντος ἡμᾶς Κυρίου.

EPISTOLA CXCV*.

ΕΠΙΣΤΟΛΗ ΡϞΕ'.

Rationem reddit Basilius cur raro scribat: ad postulandum a Deo reditum episcoporum hortatur.

Euphronio, episcopo Coloniæ Armeniæ.

Propterea quod longe dissita est a viis publicis Colonia, quam tibi Dominus gubernandam credidit, etiamsi sæpe cæteris minoris Armeniæ fratribus scribam, ægre tamen ad tuam pietatem litteras mitto, neminem sperans futurum, qui illas eo usque perferat. Cum autem nunc sperem aut te adfuturum, aut epistolam ab episcopis quibus scribo, esse **287** ad te transmittendam; et tuæ scribo pietati, et te per litteras saluto; cum te certiorem faciens videri me adhuc in terra versari; tum adhortans, pro me ut preceris, ut ærumnas ac calamitates minuat Dominus, et vehemens illud doloris pondus, nunc cordibus nostris incumbentis, veluti nubem quamdam, a nobis submoveat. Hoc autem continget, si celerem det reditum religiosissimis episcopis, qui nunc dispersi sunt, pœnas pro pietate pendentes.

Εὐφρονίῳ, ἐπισκόπῳ Κολωνείας Ἀρμενίας.

Διὰ τὸ μακρὰν ἀπῳκίσθαι τῶν ὁδευομένων τόπων τὴν Κολώνειαν, ἣν ὁ Κύριος ἔδωκεν ὑπὸ σοὶ διεθύνεσθαι, πολλάκις κἂν τοῖς ἄλλοις ἀδελφοῖς ἐπιστέλλωμεν τοῖς κατὰ τὴν μικρὰν Ἀρμενίαν, ὀκνηρῶς πέμπομεν γράμματα πρὸς τὴν εὐλάβειάν σου, μηδένα ἐλπίζοντες εἶναι τὸν μέχρις ἐκείνων διακομίζοντα. Ἀλλὰ νῦν ἢ αὐτόν σε παρέσεσθαι προσδοκῶντες, ἢ C διαπεμφθήσεσθαι τὴν ἐπιστολὴν παρὰ τῶν ἐπισκόπων οἷς ἐπεστείλαμεν, καὶ γράφομεν τῇ εὐλαβείᾳ σου, καὶ προσαγορεύομέν σε διὰ τοῦ γράμματος, ὁμοῦ μὲν σημαίνοντες, ὅτι δοκοῦμεν ἔτι εἶναι ὑπὲρ τῆς γῆς, ὁμοῦ δὲ παρακαλοῦντες προσεύχεσθαι ὑπὲρ ἡμῶν, ἵνα ὁ Κύριος ἐλαττώσῃ τὰς θλίψεις, καὶ τὸ πολὺ τοῦτο βάρος τῆς ὀδύνης τῆς νῦν ἐπικειμένης ταῖς καρδίαις ἡμῶν, οἷόν τι νέφος, ἀφ' ἡμῶν ἀπαγάγῃ. Ἔσται δὲ τοῦτο ἐὰν ταχεῖαν δῷ τὴν ἐπάνοδον τοῖς θεοφιλεστάτοις ἐπισκόποις, οἳ νῦν εἰσιν ἐν τῇ διασπορᾷ, δίκας διδόντες ὑπὲρ τῆς εὐσεβείας.

EPISTOLA CXCVI**.

ΕΠΙΣΤΟΛΗ ΡϞϚ'.

Basilius Aburgio gratulatur summos honores, ac prosperum incepti exitum precatur, seque gravissimis morbis debilitatum significat.

Aburgio

Prosilire te instar stellarum, modo in hac, modo in illa barbarorum regione apparentem, nunc quidem annonam militibus subministrantem, nunc vero imperatori in splendido apparatu

Ἀβουργίῳ.

D Διάττειν σε ὡς τοὺς ἀστέρας, ἄλλοτε κατ' ἄλλο μέρος τῆς βαρβαρικῆς ἀνίσχοντα, νῦν μὲν σιτηρέσια στρατιωτικὰ παρέχοντα (52), νῦν δὲ βασιλεῖ φαινόμενον μετὰ λαμπροῦ τοῦ σχήματος, ἢ τῶν

* Alias CCCXII. Scripta anno 375.
** Alias CCCLIX. Scripta anno 375.

(51) *Ἐντευξόμεθα*. Sic mss. codices et prima editio Parisiensis. Legitur in secunda ἐντευξοίμεθα.

(52) *Στρατιωτικὰ παρέχοντα*. Sic Harl. et uterque Coisl. cum Reg. secundo. Editi τῷ στρατιωτικῷ. Sæpe in provincias extra ordinem mittebantur qui annonam militarem expedirent et diligentius curarent, ut docet Gothofredus ad lib. VII Cod. Theod. Munus ejusmodi Aburgio commissum gratulatur Basilius.

ἀγαθῶν ἄγγελος φήμη ἀγγέλλουσα ἡμῖν (53) οὐ διαλείπει. Εὐχόμεθα δὲ τῷ Θεῷ, κατὰ λόγον (54) σοι προϊοῦσαν τὴν ἐπιχείρησιν, ἐπὶ μέγα σε προελθεῖν, καὶ φανῆναί ποτε τῇ πατρίδι ἕως ἐσμὲν ὑπὲρ γῆς, καὶ τὸν ἀέρα τοῦτον ἀνέλκομεν (55). Τοσοῦτον γὰρ μέτεστιν ἡμῖν τοῦ βίου, ὅσον ἀναπνεῖν μόνον.

astantem, nuntia bonorum fama nobis narrare non cessat. Deum autem precor, ut, incepto tibi pro meritis succedente, ad magnum quiddam eveharis: et tandem aliquando conspiciaris in patria, dum in terris versor atque hunc aerem duco. In hoc enim tantum vitæ particeps sum, quod respiro.

ΕΠΙΣΤΟΛΗ ΡϞΖ'*

EPISTOLA CXCVII*.

Ambrosius missis clericis Basilium rogaverat, ut sibi corpus beati Dionysii Mediolanensis redderetur. Respondet ejus litteris Basilius, mirabilem gratulatur electionem, hortatur ad Patrum sequenda vestigia, narratque accurate, quomodo corpus beati Dionysii a fidelibus, qui illud custodiebant, impetratum fuerit, ac veras esse illius reliquias asseverat, et certissimis argumentis confirmat.

Ἀμβροσίῳ, ἐπισκόπῳ Μεδιολάνων.

1. Μεγάλαι ἀεὶ καὶ πολλαὶ τοῦ Δεσπότου ἡμῶν αἱ δωρεαὶ, καὶ οὔτε τὸ μέγεθος αὐτῶν μετρητὸν, οὔτε τὸ πλῆθος ἀριθμητόν. Μία δὲ τῶν μεγίστων δωρεῶν ἐστι τοῖς εὐαισθήτως δεχομένοις τὰς χάριτας καὶ ἡ παροῦσα αὕτη, ὅτι πλεῖστον (56) ἡμᾶς τῇ θέσει τοῦ τόπου διῃρημένους ἔδωκεν ἀλλήλοις συνάπτεσθαι διὰ τῆς ἐν τοῖς γράμμασι προσφωνήσεως. Καὶ γνώσεως τρόπον διττὸν ἡμῖν ἐχαρίσατο· ἕνα μὲν διὰ τῆς συντυχίας, ἕτερον δὲ τὸν διὰ τῆς τοῦ γράμματος ὁμιλίας. Ἐπεὶ οὖν ἐγνωρίσαμέν σε δι' ὧν ἐφθέγξω· καὶ ἐγνωρίσαμεν, οὐ τὸν σωματικὸν χαρακτῆρα ταῖς μνήμαις ἡμῶν ἐντυπωσάμενοι, ἀλλὰ τοῦ ἔσω ἀνθρώπου τὸ κάλλος τῇ ποικιλίᾳ τῶν λόγων καταμαθόντες, ὅτι ἕκαστος ἡμῶν ἐκ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ· ἐδοξάσαμεν τὸν Θεὸν ἡμῶν, τὸν καθ' ἑκάστην γενεὰν ἐκλεγόμενον τοὺς αὐτῷ εὐαρεστοῦντας· ὃς πρότερον μὲν ἐκ τῶν ποιμνίων τῶν προβάτων ἤγειρεν ἄρχοντα τῷ λαῷ αὐτοῦ· καὶ τὸν Ἀμὼς ἐκ τοῦ αἰπολίου ἐνδυναμώσας διὰ τοῦ Πνεύματος, ὕψωσεν εἰς προφήτην· νῦν δὲ ἄνδρα ἐκ τῆς βασιλευούσης πόλεως, ἀρχὴν ὅλου ἔθνους πεπιστευμένον, ὑψηλὸν τῷ φρονήματι, γένους λαμπρότητι, περιφανείᾳ βίου, λόγων δυνάμει, πᾶσι τοῖς (57) κατὰ τὸν βίον περίβλεπτον, εἵλκυσεν εἰς τὴν τῶν ποιμνίων τοῦ Χριστοῦ ἐπιμέλειαν. Ὃς, πάντα ῥίψας τὰ τοῦ βίου πλεονεκτήματα, καὶ ἡγησάμενος αὐτὰ ζημίαν ἵνα Χριστὸν κερδήσῃ (58), τοὺς οἴακας δέξασθαι ἐπετράπη τῆς μεγάλης καὶ περιβοήτου νηὸς ἐπὶ τῇ εἰς Θεὸν πίστει, τοῦ Χριστοῦ Ἐκκλησίας. Ἄγε τοίνυν, ὦ θεοῦ ἄνθρωπε, ἐπειδὴ οὐ παρ' ἀνθρώπων παρέλαβες ἢ ἐδιδάχθης τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, ἀλλ' αὐτός σε ὁ Κύριος ἀπὸ τῶν κριτῶν τῆς γῆς ἐπὶ τὴν καθέδραν (59) τῶν ἀποστόλων μετέθηκεν,

Ambrosio, episcopo Mediolanensi.

1. Magna semper et multa Domini nostri dona, nec eorum magnitudinem metiri, aut multitudinem fas est numerare. Unum autem ex maximis donis, illud etiam est his qui non sine sensu beneficia suscipiunt, quod nunc longissime nobis locorum intervallo distantibus dedit inter nos conjungi per litterarum allocutionem. Ac cognoscendi quidem modum duplicem nobis impertivit: unum per congressum, alterum vero per litterarum colloquium. Quoniam igitur cognovimus te ex his quæ locutus es: cognovimus autem, non corporis figuram memoriæ nostræ imprimentes, sed hominis interni pulchritudinem ex sermonum varietate perspicientes, siquidem unusquisque nostrum ex abundantia cordis loquitur [62]; glorificavimus Deum nostrum qui singulis ætatibus eligit eos qui ipsi placent, ac prius quidem ex ovium grege suscitavit principem populo suo, et Amos ex caprili corroboratum a Spiritu in prophetam evexit; nunc autem virum ex regia urbe, gentis totius rectorem, **288** animo sublimem, generis claritate, opum splendore, dicendi facultate omnibus in sæculo degentibus conspicuum, ad gregis Christi curam pertraxit. Qui projiciens omnia sæculi ornamenta, eaque damnum existimans ut Christum lucrifaciat, commissa gubernacula suscepit magnæ et ob fidem in Deum celeberrimæ navis, Christi Ecclesiæ. Age igitur, o homo Dei, quandoquidem non ab hominibus accepisti aut edoctus es Evangelium Christi, sed ipse te Dominus ex terræ judicibus ad cathedram apostolorum transtulit: certa bonum certamen: infirmitates populi cura, si quem forte Arianæ insaniæ labes attigit: renova vetera Patrum

[62] Matth. XII, 34.

(53) *Ἀγγέλλουσα ἡμῖν.* Duo vetustissimi codices Coisl. et Med. ἀγγέλλουσα ὑμᾶς.

(54) *Κατὰ λόγον.* Mallet Combefisius κατὰ νοῦν. Sed inutilis illius conjectura. Quemadmodum enim dicitur παράλογος συμφορά, *calamitas inopinata*, ut est apud Plutarchum initio libri *De consolatione;* cur non etiam dicatur inceptum aliquod κατὰ λόγον succedere, cum exspectationi et meritis respondet?

(55) *Ἀνέλκομεν.* Ita mss. sex, pro eo quod erat in editis ἕλκομεν.

(56) *Ὅτι πλεῖστον.* Ita mss. et antiquæ editiones. Editio Parisiensis ὅτι πλεῖον.

(57) *Πᾶσι τοῖς.* Ita Harl. uterque Reg. et uterque Coisl. Editi πράγμασι τοῖς. Editio Hagan. ἔργοις τοῖς, *rebus in sæculo gestis.*

(58) *Κερδήσῃ.* Harlæanus codex cum Medicæo κερδήσῃς, et mox ἐπετράπης. Ibidem deest δέξασθαι in utroque Regio et Coisl. secundo, quod quidem elegantius videtur abesse, nec tamen delevi, quia non omnino vitiosum est et in aliis antiquioribus codicibus legitur. Mox vitiose in utroque Regio et Coisl. secundo τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ.

(59) *Ἐπὶ τὴν καθέδραν.* Sic tres vetustissimi codices. Editi ἐπὶ τὴν προεδρίαν. Legitur vulgata scriptura ad oram codicis Harl.

* Alias LV. Scripta anno 375.

vestigia, et dilectionis erga nos fundamento, quod a te jactum est, da operam ut superstruas frequentia salutationum. Sic enim poterimus vicini inter nos esse spiritu etiamsi habitatione terrestri plurimum sejungamur.

A ἀγωνίζου τὸν καλὸν ἀγῶνα, διόρθωσαι τὰ ἀῤῥωστήματα τοῦ λαοῦ, εἴ τινος ἄρα τὸ πάθος τῆς Ἀρειανῆς (60) μανίας ἥψατο· ἀνανέωσαι τὰ ἀρχαῖα τῶν Πατέρων ἴχνη, καὶ τῆς πρὸς ἡμᾶς ἀγάπης ὃν κατεβάλου (61) θεμέλιον ἐποικοδομεῖν σπούδαζε τῇ συνεχείᾳ τῶν προσρήσεων. Οὕτω γὰρ δυνησόμεθα ἐγγὺς ἀλλήλων εἶναι τῷ πνεύματι, εἰ καὶ τῇ οἰκήσει τῇ ἐπὶ τῆς γῆς παμπληθὲς ἀπῳκίσμεθα.

2. Tuus autem in beatissimum Dionysium episcopum ardor animi omnem de te erga Dominum amorem, reverentiam in antecessores, et studium fidei testatur. Animi enim erga fideles conservos affectio refertur ad Dominum, cui servierunt; et quisquis eos, qui pro fide decertarunt, honorat, eodem se fidei ardore accendi ostendit, ita ut una et eadem actio multiplicis virtutis testimonium habeat. Notum autem facimus tuæ in Christo charitati, optimos fratres, qui a tua pietate ad boni operis ministerium electi fuerunt, primum quidem toti clero laudem conciliasse morum suorum concinnitate; siquidem sua ipsorum modestia communem omnium gravitatem indicabant; deinde vero omni studio ac diligentia usos, hiemem imperviam non reformidasse, ac omni constantia fidelibus beati corporis custodibus persuasisse, ut ipsis suæ ipsorum vitæ præsidium concederent. Noveris autem, nunquam futurum fuisse, ut principatus aut hominum potestates vim hominibus illis afferre possent; nisi horum fratrum animi firmitas eos flexisset ut cederent. Contulit autem plurimum ad optatam rem conficiendam et charissimi ac religiosissimi filii nostri Therasii compresbyteri præsentia, qui laboribus itineris sponte susceptis, vehementiorem fidelium illius loci impetum compressit, et cum reluctantes oratione sua flexisset, coram presbyteris, diaconis, multisque aliis Deum timentibus sublatas cum debita reverentia reliquias fratribus servavit: quas vos tanto cum gaudio suscipite, quanto cum mœrore prosecuti sunt illarum custodes. Nemo dubitet, nemo **289** ambigat: hic ille est invictus athleta. Ossa illa novit Dominus, quæ una cum beata anima dimicarunt. Hæc cum ipsa coronabit in justa illa remunerationis ipsius die, uti scriptum est: Oportet nos stare ante tribunal Christi, ut referat unusquisque secundum ea quæ per corpus egit [44]. Una arca erat, quæ venerandum illud corpus excepit: nullus prope ipsum jacuit; insigne fuit sepulcrum; martyris honor ei delatus. Christiani, qui ipsum hospitio exceperant, tunc et suis manibus deposuerunt, et nunc extulerunt. Illi fleverunt quidem tanquam patre et patrono orbati:

2. Ἡ δὲ περὶ τὸν μακαριώτατον (62) Διονύσιον τὸν ἐπίσκοπον φιλοτιμία σου καὶ σπουδὴ πᾶσάν σοι μαρτυρεῖ ἀγάπην πρὸς τὸν Κύριον, τιμὴν εἰς τοὺς προλαβόντας, σπουδὴν περὶ τὴν πίστιν. Ἡ γὰρ πρὸς τοὺς εὔνους τῶν ὁμοδούλων διάθεσις τὴν ἀναφορὰν ἐπὶ τὸν Δεσπότην ἔχει, ᾧ δεδουλεύκασι· καὶ ὁ τοὺς διὰ πίστιν ἠθληκότας τιμῶν δῆλός ἐστι τὸν ἴσον B ζῆλον ἔχων τῆς πίστεως· ὥστε μία αὕτη πρᾶξις πολλῆς ἀρετῆς ἔχει τὴν μαρτυρίαν. Γνωρίζομεν δὲ σου τῇ ἐν Χριστῷ ἀγάπῃ, ὅτι οἱ σπουδαιότατοι ἀδελφοὶ, οἱ παρὰ τῆς εὐλαβείας σου εἰς τὴν τοῦ ἀγαθοῦ ἔργου διακονίαν προτιμηθέντες, πρῶτον μὲν παντὶ τῷ κλήρῳ ἔπαινον ἤνεγκαν διὰ τῆς ἐμμελείας τῶν τρόπων· ἐν γὰρ τῇ καθ' ἑαυτοὺς εὐσχημοσύνῃ τὸ κοινὸν πάντων εὐσταθὲς κατεμήνυον· ἔπειτα, πάσῃ σπουδῇ καὶ ἐμμελείᾳ χρησάμενοι, κατετόλμησαν μὲν χειμῶνος ἀβάτου, ἔπεισαν δὲ μετὰ πάσης εὐτονίας τοὺς πιστοὺς φύλακας τοῦ μακαρίου σώματος τὰ φυλακτήρια τῆς ἑαυτῶν ζωῆς παραχωρῆσαι τούτοις. Καὶ γίνωσκε, ὅτι οὔτε ἀρχαὶ, οὔτε δυναστεῖαι ἀνθρώπων ἐξίσχυσαν ἄν ποτε βιάσασθαι τοὺς ἀνθρώπους ἐκείνους· εἰ μὴ τὸ εὔτονον C τῆς προαιρέσεως τῶν ἀδελφῶν τούτων ἐξεδυσώπησεν αὐτοὺς πρὸς τὴν συγχώρησιν. Συνήργησε δὲ μάλιστα πρὸς τὸ καταπραχθῆναι τὰ σπουδαζόμενα καὶ ἡ παρουσία τοῦ ποθεινοτάτου καὶ εὐλαβεστάτου υἱοῦ ἡμῶν Θηρασίου τοῦ συμπρεσβυτέρου, ὃς, αὐθαιρέτως τὸν κόπον τῆς ὁδοιπορίας ὑποδεξάμενος, ἔπαυσε μὲν τὸ σφοδρὸν τῆς ὁρμῆς τῶν ἐκεῖ πιστῶν, λόγῳ δὲ συμπείσας τοὺς ἀντεχομένους, ἐπὶ πρεσβυτέρων καὶ διακόνων καὶ ἄλλων πολλῶν τῶν φοβουμένων τὸν Κύριον μετὰ τῆς πρεπούσης εὐλαβείας ἀνελόμενος τὰ λείψανα, συνδιέσωσε τοῖς ἀδελφοῖς· ἃ μετὰ τοσαύτης χαρᾶς ὑποδέξασθε, μεθ' ὅσης λύπης προέπεμψαν οἱ φυλάσσοντες. Μηδεὶς διακρινέσθω· μηδεὶς ἀμφιβαλλέτω· οὗτός ἐστιν ἐκεῖνος ὁ D ἀήττητος ἀθλητής. Ταῦτα γνωρίζει τὰ ὀστᾶ ὁ Κύριος, τὰ συνδιαθλήσαντα τῇ μακαρίᾳ ψυχῇ. Ταῦτα μετ' αὐτῆς στεφανώσει ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεως αὐτοῦ τῇ δικαίᾳ, κατὰ τὸ γεγραμμένον· ὅτι δεῖ ἡμᾶς παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος πρὸς ἃ ἔπραξε διὰ τοῦ σώματος. Μία λάρναξ ἦν ἡ ὑποδεξαμένη τὸ τίμιον ἐκεῖνο σῶμα· οὐδεὶς ὁ πλησίον αὐτοῦ κατακείμενος· ἐπίσημα

[44] Rom. XIV, 10; II Cor. V, 10.

(60) Ἀρειανῆς. Sic tres vetustissimi codices cum Regio primo. Editi Ἀρειανικῆς.

(61) Κατεβάλου. Ita mss. codices. Editi κατεβάλλου. Ibidem editi τοῦτον θεμέλιον. Prima vox melius abest a codicibus Harl. et Med.

(62) Ἡ δὲ περὶ τὸν μακαριώτατον. Ante hæc verba desinit epistola Basilii in omnibus editis et mss. codicibus, excepto Harlæano codice, qui insignem hanc partem, qua translationis S. Dionysii historia narratur, percommode nobis suppeditavit.]

ἡ ταφή· μάρτυρος ἡ τιμή. Χριστιανοὶ, οἱ ξενίσαντες, καὶ ταῖς ἰδίαις χερσὶ κατέθεντο τότε, καὶ ἀνείλοντο νῦν. Οὗτοι ἔκλαυσαν μὲν ὡς πατέρος καὶ προστάτου στερούμενοι· προέπεμψαν δὲ, τὴν ὑμετέραν χαρὰν τῆς ἰδίας παρακλήσεως προτιμοτέραν θέμενοι. Οἱ παραδόντες τοίνυν εὐλαβεῖς· οἱ ὑποδεξάμενοι ἀκριβεῖς. Οὐδαμοῦ ψεῦδος· οὐδαμοῦ δόλος· μαρτυροῦμεν ἡμεῖς· ἀσυκοφάντητος ἔστω παρ' ὑμῶν ἡ ἀλήθεια.

A sed tamen prosecuti sunt, gaudium vestrum suæ consolationi præferentes. Pii ergo, qui tradiderunt; diligentes, qui susceperunt. Nusquam mendacium; nusquam dolus; testamur nos; extra calumniam sit apud vos veritas.

ΕΠΙΣΤΟΛΗ ΡϞΗ'.

EPISTOLA CXCVIII*.

Cur non sæpe scripserit, excusat hiemem, et clericorum suorum alienum a peregrinando animum. Scribit tandem per fratrem rure accersitum, quocum dimittit Eusebium lectorem, quem properantem ad Eusebium retinuerat. Nihil dicit de iis quæ novata sunt in Oriente, quia hæc fratres nuntiabunt. Ita se ægrotare significat, ut vivendi spem abjecerit.

Εὐσεβίῳ (63), *ἐπισκόπῳ Σαμοσάτων.*

1. Μετὰ τὴν ἐπιστολὴν, τὴν διὰ τῶν (64) ὀφφικιαλίων κομισθεῖσαν ἡμῖν, μίαν ἄλλην ἐδεξάμην μετὰ ταῦτα πρὸς ἡμᾶς ἀποσταλεῖσαν. Αὐτοὶ δὲ ἐπεστείλαμεν οὐ πολλὰς μὲν, διὰ τὸ μηδὲ ἐπιτυχεῖν τῶν πρὸς ὑμᾶς ἀφικνουμένων, πλὴν πλείους τῶν τεσσάρων, ἐν αἷς καὶ τὰς ἀπὸ Σαμοσάτων κομισθείσας ἡμῖν ἐπὶ τοῖς πρώτοις γράμμασι τῆς σῆς θεοσεβείας ἐσφραγισμένας διεπεμψάμεθα τῷ αἰδεσιμωτάτῳ ἀδελφῷ Λεοντίῳ τῷ ἐξισωτῇ τῆς Νικαίας, παρακαλέσαντες δι' ἐκείνου τῷ φροντίζοντι τῆς οἰκίας τοῦ αἰδεσιμωτάτου ἀδελφοῦ Σωφρονίου ἀποκομισθῆναι, ὥστε ἐκεῖνον ἐπιμεληθῆναι τῆς πρὸς ὑμᾶς διακομιδῆς (65). Ἐπεὶ οὖν πολλὰς διαβαίνουσι χεῖρας αἱ ἐπιστολαὶ, εἰκὸς τὴν παρὰ ἕνα ἀσχολίαν ἢ ῥᾳθυμίαν αἰτίαν γενέσθαι τοῦ μὴ ὑποδέχεσθαι τὴν σὴν εὐλάβειαν. Ὥστε συγγνώμην ἔχε, παρακαλοῦμεν, τῇ σπάνει τῶν γραμμάτων. Τὸ δὲ, ὅτι, ἀποστεῖλαί τινα δέον ἐξ ἡμῶν αὐτῶν, οὐκ ἐποιήσαμεν, τοῦτο αὐτὸς μὲν τῇ σεαυτοῦ συνέσει ὀρθῶς ἐπεζήτησας (66), καὶ καθήψω ἡμῶν· γίνωσκε δὲ τὸν παρ' ἡμῖν χειμῶνα τοσοῦτον γεγενῆσθαι, ὥστε πάσας μὲν ὁδοὺς ἐγκλεισθῆναι μέχρι τῶν ἡμερῶν τοῦ Πάσχα, μηδένα δὲ ἡμᾶς ἔχειν τὸν εὐθαρσῶς πρὸς τὰ τῆς ὁδοῦ δυσχερῆ διακείμενον. Καὶ γὰρ, εἰ καὶ πολυάνθρωπόν πως εἶναι δοκεῖ τὸ ἱερατεῖον ἡμῶν, ἀλλὰ ἀνθρώπων ἀμελετήτως ἐχόντων πρὸς τὰς ὁδοιπορίας, διὰ τὸ μήτε ἐμπορεύεσθαι, μήτε τὴν ἔξω διατριβὴν αἱρεῖσθαι, τὰς δὲ ἑδραίας τῶν τεχνῶν μεταχειρίζεσθαι τοὺς πολλοὺς, ἐκεῖθεν ἔχοντας τὴν ἀφορμὴν τοῦ ἐφημέρου (67) βίου. Αὐτίκα καὶ τὸν ἀδελφὸν τοῦτον, ὃν

Eusebio, episcopo Samosatorum.

1. Post epistolam, quam officiales ad me detule- B runt, unam aliam postea accepi ad me missam. Ego autem scripsi, non multas quidem, eo quod nactus non sim qui ad vos proficiscerentur, sed tamen plus quatuor, in quibus et eas, quæ ad me Samosatis post priores pietatis tuæ epistolas delatæ fuerant, obsignatas misimus colendissimo fratri Leontio Nicææ peræquatori, adhortantes, ut illius opera colendissimi fratris Sophronii domus procuratori darentur, ita ut ille ad te perferendas curaret. Cum igitur per multas transeant manus epistolæ, verisimile est unius alicujus negotiis aut segnitie fieri, ut pietas tua eas non recipiat. Quare veniam da, rogamus, litterarum paucitati. Quod autem, cum aliquem mittere oporteret ex nobis ipsis, minime fecimus; id recte pro tua prudentia C requisivisti, nosque reprehendisti. Noveris tamen tantam apud nos fuisse hiemem, ut viæ omnes usque ad dies Paschæ fuerint interclusæ, nec quemquam haberemus, qui sibi ad itineris incommoda fideret. Quanquam enim etiam hominum numero ingens quodammodo videtur esse clerus noster; at hominum ad itinera inexercitatorum, eo quod neque mercaturam faciant, neque libenter extra patriam **290** morentur: sed sedentarias artes exerceant plerique, unde victum sibi quotidianum comparant. Quinetiam ecce hoc fratre, quem nunc ad tuam pietatem misimus, rure accersito, litterarum ad tuam pietatem ministro usi sumus, ut et res nostras clare tibi exponat, et tuas nobis per-

(8) *Ἀναβαπτίζομεν*. Dicebat S. Cyprianus hæreticos non rebaptizari, sed baptizari, epist. 71 et 73. Unde Adelphius a Thasvalte in concilio Carthaginensi: *Sine causa quidam*, inquit, *falso et invidioso verbo impugnant veritatem, ut rebaptizare nos dicant, quando Ecclesia hæreticos non rebaptizet, sed baptizet*, p. 334 novæ edit. Cum Basilio consentit canon 19 Nicænus, in quo statuitur eos qui ex Paulianis ad Ecclesiam catholicam confugiunt, rebaptizari debere.

(9) *Μένειν*. Editi ἄγαμος μένειν, sed prima vox in nullo reperitur ms. codice, nec necessaria est.

D (10) *Πρὸς ἀνάγκην*. Zonaras stupro per vim illato sic veniam concedi existimat, ut diaconissa, si hanc contumeliam passa sit, deponatur. Probat opinionem suam ex canone 28 Basilii et ex primo Ancyrano. Sed tamen magnum videtur esse discrimen inter diaconissam, quæ nullum prorsus peccato consensum præbuit, et presbyterum qui illegitimis nuptiis imprudens implicatus est, ut in canone 28 Basilii legitur; aut sacrificavit, et postea reluctatus est, ut refertur in canone primo Ancyrano.

(11) *Καταδίκαις*. Mirari subit cur id Basilius publice condemnari neget, quod in can. 4 ab Eucharistia quinquennium excludi decernit. Sed observandum est trigamos, etsi annis quinque ab Eucharistia removerentur, non tamen in flentium aut substratorum locum, velut in graviori peccato, amandatos fuisse. Erant enim hi duo ordines ad pœnitentiæ notam maxime insignes, ita ut sub-

ΕΠΙΣΤΟΛΗ Σ'.

EPISTOLA CC*.

Basilius morbis et negotiis detentus nihil Amphilochio per totam hiemem scripserat, sed oblata occasione scribit per Meletium: hortatur ut sibi solutionem e corpore precetur, et Ecclesiæ suæ, sive se vivo, sive ad Dominum translato, curam suscipiat. Meletium et Melitium ei commendat, eumque invitat ad memoriam S. Eupsychii.

Ἀμφιλοχίῳ, ἐπισκόπῳ Ἰκονίου. A

Ἡμᾶς ἀῤῥωστίαι ἐξ ἀῤῥωστιῶν τε διαδεχόμεναι, καὶ ἀσχολίαι ἐκκλησιαστικῶν τε ὁμοῦ πραγμάτων καὶ τῶν ταῖς Ἐκκλησίαις ἐπηρεαζόντων (12), συνέσχον παρὰ πάντα τὸν χειμῶνα, καὶ τὸν μέχρι ταύτης τῆς ἐπιστολῆς χρόνον. Διὸ οὔτε ἀποστεῖλαί τινα, οὔτε ἐπισκέψασθαι (13) τὴν εὐλάβειάν σου δυνατὸν ἡμῖν ἐγένετο. Εἰκάζομεν δὲ καὶ τὰ σὰ τοιαῦτα ἕτερα εἶναι· οὐ κατὰ τὴν ἀῤῥωστίαν λέγω, μὴ γένοιτο· παράσχοι γὰρ ὁ Κύριος ὑγείαν τῷ σώματί σου διαρκῆ πρὸς ὑπηρεσίαν τῶν ἐντολῶν αὐτοῦ· ἀλλ' ὅτι ἡ μέριμνα τῶν Ἐκκλησιῶν καὶ σοὶ τὸν αὐτὸν ἐμβάλλει περισπασμόν. Καὶ νῦν ἔμελλόν τινα ἀποστέλλειν αὐτοῦ τούτου ἕνεκεν, ὥστε γνωρίσαι ἡμῖν τὰ περὶ τῆς διαθέσεώς σου. Ἐπεὶ δὲ ὁ ποθεινότατος υἱὸς Μελέτιος, παραπέμπων τοὺς νεολέκτους, ὑπέμνησεν ἡμᾶς, ὅτι εἴη σε δι' αὐτοῦ προσειπεῖν, ἐδεξάμεθα τὴν ὑπόθεσιν τῶν γραμμάτων ἄσμενοι, καὶ τῷ διακόνῳ (14) τῶν ἐπιστολῶν ἐπεδράμομεν, ἀνδρὶ ἐξαρκοῦντι καὶ ἀντ' ἐπιστολῆς εἶναι, διά τε τὸ τοῦ τρόπου φιλάληθες, καὶ διὰ τὸ μηδὲν ἀγνοεῖν τῶν καθ' ἡμᾶς. Δι' οὗ παρακαλοῦμεν τὴν εὐλάβειάν σου προηγουμένως εὔχεσθαι ὑπὲρ ἡμῶν, ἵνα δῷ Κύριος ἐμοὶ μὲν ἀπαλλαγὴν τοῦ φορτικοῦ τούτου σώματος, ταῖς δὲ Ἐκκλησίαις αὐτοῦ τὴν εἰρήνην, σοὶ δὲ ἡσυχίαν καὶ ἄδειαν τοῦ, ἐπειδὰν διαθῇ (15) τὰ κατὰ τὴν Λυκαονίαν ἀποστολικῶς, ὡς ἤρξω, ἐπισκέπτεσθαι καὶ τὰ ὧδε, κἄν τε ἐνδημῶμεν τῇ σαρκὶ, κἂν ἀποδημῆσαι ἤδη πρὸς τὸν Κύριον ἐπιταχθῶμεν, ἵνα αὐτὸς, ὡς ἰδίων, ὅπερ οὖν καὶ ἔστιν, ἀντέχῃ τῶν καθ' ἡμᾶς τόπων, καὶ στηρίζῃς μὲν τὰ σαθρὰ, ἐπεγείρῃς δὲ τὰ νωθρὰ, πάντα δὲ τῇ χάριτι τοῦ Πνεύματος, τοῦ ὄντος ἐν σοὶ, μετακοσμήσῃς πρὸς τὸ εὐάρεστον τῷ Κυρίῳ. Τοὺς δὲ τιμιωτάτους υἱοὺς ἡμῶν Μελέτιον καὶ Μελίτιον (16), οὓς πόῤῥωθεν οἶδας καὶ ἑαυτοῦ κρίνεις, ἔχε ἐν παρακαταθήκῃ, εὐχόμενος ὑπὲρ αὐτῶν. Αὔταρκες γὰρ

Amphilochio, Iconii episcopo.

Morbi me ex morbis excipiunt, et occupationes tum ex negotiis ecclesiasticis ortæ, tum ab iis qui Ecclesiis nocent, exhibitæ, per totam hiemem et usque ad hujus epistolæ tempus detinuerunt. Quare nec quemquam mittere, nec pietatem tuam invisere, integrum nobis fuit. Conjicio autem et reliquas tuas res similiter se habere; non quoad valetudinem dico, absit; det enim Dominus sanitatem corpori tuo continuam ad exsequenda ipsius **298** mandata: sed quod sollicitudo Ecclesiarum te quoque simili modo districtum teneat. Et nunc eram aliquem missurus hac ipsa de causa, ut de rerum tuarum statu certior fierem. At ubi desideratissimus filius Meletius, qui milites recens collectos deducit, B copiam esse indicavit, ut te ipsius opera salutarem, libenter amplexus sum scribendi occasionem, et ad ministrum litterarum accurri, virum qui possit etiam epistolæ esse loco, tum propter animum veri amantem, tum quod nihil rerum nostrarum ignoret. Per hunc tuam pietatem adhortamur, in primis ut pro me preceris, ut concedat Dominus mihi quidem solutionem ex hoc importuno corpore, suis autem Ecclesiis pacem, tibi vero quietem et facultatem, postquam more apostolico, ut cœpisti, res Lycaoniæ composueris, etiam huc nostra invisendi, sive in carne versemur, sive jam ad Dominum migrare jussi fuerimus, ut ipse tanquam tuarum, quod sane verum est, curam suscipias nostrarum regionum: ac infirma constabilias, languida excites, C et omnia Spiritus, qui in te est, gratia in id quod Domino placitum fuerit, transmutes. Cæterum valde honorandos filios nostros Meletium et Melitium, quos jamdudum nosti, quosque tuos esse judicas, commendatos habe, ac pro ipsis precare. Hoc enim ipsis satis erit ad omnem securitatem. Quare et

stratorum locus proprie vocetur *pœnitentia* can. 22, ubi Basilius jubet raptores primo anno *flere*, secundo *ad auditionem admitti*, tertio *ad pœnitentiam*. At obscurior erat inter consistentes pœnitentia; mulierum adulterarum vita in periculum non veniebat, si in hoc ordine pœnitentiam agerent: nec usura et alia ejusmodi peccata, quæ inter consistentes expiata fuerant, aditum ad sacerdotium, Basilii judicio, præcludebant. Non immerito ergo Basilius publice trigamos condemnari negat, quos can. 4 non inter flentes aut substratos rejecerat, sed duobus aut tribus annis audire, ac postea jusserat consistere. Vide canonem 80, ubi de trigamis longe severius statuit. Balsamon et Zonaras trigamiam publice non condemnari idem esse putant ac non dissolvi; sed veriorem, mea quidem sententia, Aristenus hanc causam affert, quod cum flentibus non collocarentur.

(12) *Ἐπηρεαζόντων*. Eadem utitur excusatione in epist. 203 ad episcopos maritimos, ubi sua cum iis, qui doctrinam veritatis impugnant, certamina commemorat. Videtur autem in utraque epistola non solum exhibita ab hæreticis nunquam quiescentibus negotia indicare, sed etiam operam quam in scribendo ad eos refellendos libro *De Spiritu sancto* impendebat.

(13) *Ἐπισκέψασθαι*. Hunc locum corruperunt qui in editis post hanc vocem addiderunt τινὰ πρὸς τήν. Hæc enim desunt in novem mss.

(14) *Τῷ διακόνῳ*. Dubitat Tillemontius utrum litterarum minister intelligi debeat is qui fert litteras, an qui scribit. At liquet Meletium hic designari, eumque non alio quam perferendæ Basilii epistolæ munere perfunctum. Præterea διάκονος, sive minister litterarum, apud Basilium dici solet D is qui eas perfert, ut perspici potest ex pluribus locis, quæ longum sit annumerare.

(15) *Διαθῇ*. Multi codices non tamen antiquissimi διαθῇς. Iidem infra μετακομίσῃς πρὸς τό

(16) *Καὶ Μελίτιον*. Legitur Μελέτιον καὶ Μελίτιον in omnibus fere melioris notæ codicibus, Harl., Med., Coisl. utroque et uno ex Regiis. Ibidem nonnulli veteres libri ἔχε ἐν παραθήκῃ.

* Alias CCCXCVII, scripta anno 375.

eos qui una cum tua sanctitate sunt, et clerum A omnem, populumque qui a te pascitur, et religiosissimos fratres nostros ac comministros dignare nostro nomine salutare. Memoriæ beatissimi martyris Eupsychii memineris, nec exspectes ut moneam te iterum : neque des operam ut ad ipsum præstitutum diem accedas : sed ut hunc prævenias, nosque exhilares, si modo adhuc in terra versemur. Interim valens in Domino, ac pro nobis orans, serveris nobis et Dei Ecclesiis sancti gratia.

αὐτοῖς τοῦτο πρὸς πᾶσαν ἀσφάλειαν. Ὥστε καὶ τοὺς συνόντας τῇ ὁσιότητί σου, καὶ πάντα τὸν κλῆρον καὶ τὸν λαὸν τὸν ὑπὸ σοῦ ποιμαινόμενον, καὶ τοὺς θεοφιλεστάτους ἀδελφοὺς ἡμῶν (17) καὶ συλλειτουργοὺς προσειπεῖν παρ' ἡμῶν καταξίωσον. Τῆς μνήμης τοῦ μακαριωτάτου μάρτυρος Εὐψυχίου μέμνησαι καὶ μὴ ἀναμείνῃς δευτέραν ὑπόμνησιν, μηδὲ ἐμπρόθεσμον σπουδάσῃς ποιήσασθαι τὴν ἀπάντησιν, ἀλλὰ προλαβεῖν καὶ εὐφρᾶναι ἡμᾶς, ἐὰν ἄρα ἔτι ὦμεν ἐπὶ τῆς γῆς. Ἕως τότε ἐῤῥωμένος ἐν Κυρίῳ, ὑπερευχόμενος (18) ἡμῶν, διαφυλαχθείης ἡμῖν καὶ ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις χάριτι τοῦ ἁγίου.

EPISTOLA CCI*.

ΕΠΙΣΤΟΛΗ ΣΑ'.

Pluribus de causis congredi cum Amphilochio cupiebat Basilius ; sed cum utrumque morbus detinuisset, veniam p... Basilius ac vicissim concedit.

Amphilochio, Iconii episcopo

Multis de causis cupio tecum congredi, ut et te consiliario utar de rebus quæ in manibus sunt, ac omnino ut te longo videns intervallo solatium aliquod habeam absentiæ. Sed cum eadem utrumque distinuerint, tum quæ tibi incidit infirmitas, tum mea illa vetustior ægrotatio, quæ nondum abscessit ; veniam utrique, si placet, uterque demus, ut per nosmetipsos culpam invicem dimittamus.

B *Ἀμφιλοχίῳ, ἐπισκόπῳ Ἰκονίου.*

Πολλῶν ἕνεκεν ἐπιθυμῶ (19) συντυχεῖν σοι, ἵνα καὶ συμβούλῳ χρήσωμαι περὶ τῶν ἐν χερσὶ πραγμάτων, καὶ ὅλως, ἵνα διὰ μακροῦ θεασάμενός σε, ἔχω παραμυθίαν τινὰ τῆς ἀπολείψεως. Ἐπειδὴ δὲ τὰ αὐτὰ ἀμφοτέρους ἐπέσχεν, ἥ τε ὑμῖν συμβᾶσα ἀσθένεια, καὶ ἡ παλαιοτέρα ἡμῶν ἀῤῥωστία, μήπω ἀπολείψασα, ἀμφοτέροις δῶμεν συγγνώμην, εἰ βούλει, ἀμφότεροι· ὥστε δι' ἑαυτῶν ἀλλήλους ἀφεῖναι τοῦ ἐγκλήματος.

299 EPISTOLA CCII**.

ΕΠΙΣΤΟΛΗ ΣΒ'.

Basilius morbi reliquiis detentus Amphilochium rogat, ut synodus differatur in paucos dies : aut, si urgent negotia, ipse tanquam præsens numeretur.

Amphilochio, Iconii episcopo.

Et alias quidem pro magno ducerem cum gravitate tua congredi, sed nunc maxime, cum talis sit conveniendi causa. Sed quia reliquiæ morbi mei tales sunt, ut ne minimum quidem mihi motum permittant, quippe qui, postquam curru ad martyres usque profectus sum, rursus fere in eumdem reciderim morbum ; ideo veniam mihi a vobis dari necesse est. Quod si fieri potest ut res in paucos dies differatur, et adero vobiscum, Deo largiente, et sollicitudines partiar. Sin autem urgent negotia, peragite, Deo adjuvante, quæ in manibus sunt : me autem inter vos tanquam præsentem, et eorum, quæ præclare gerentur, socium annumerate. Sanus et in Domino lætus, et pro me orans serveris Dei Ecclesiæ, sancti gratia.

C *Ἀμφιλοχίῳ, ἐπισκόπῳ Ἰκονίου.*

Καὶ ἄλλως μέν μοι πολλοῦ ἄξιον τὸ συντυγχάνειν τῇ σεμνότητί σου, νῦν δὲ καὶ μάλιστα, ὅτε τοιοῦτον ἐστι τὸ συνάγον ἡμᾶς πρᾶγμα. Ἀλλ' ἐπειδὴ τὰ λείψανα τῆς ἀῤῥωστίας μου τοιαῦτα, ὡς μηδὲ τὴν βραχυτάτην μοι κίνησιν συγχωρεῖν, ὅς γε, ἵνα τὴν μέχρι τῶν μαρτύρων (20) ὁδὸν ὀχήματι πορευθῶ, πάλιν μικροῦ πρὸς τὴν αὐτὴν ὑπέστρεψα νόσον, ἀνάγκη συγγνώμης τυχεῖν παρ' ὑμῶν. Κἂν μὲν ᾖ δυνατὸν ὑπερτεθῆναι τὸ πρᾶγμα ὀλίγαις ὕστερον ἡμέραις, καὶ συνέσομαι ὑμῖν τῇ τοῦ Θεοῦ χάριτι, καὶ κοινωνήσω τῶν φροντίδων. Ἐὰν δὲ ἐπείγῃ τὰ σπουδαζόμενα, πράξατε μὲν τῇ τοῦ Θεοῦ συνεργίᾳ τὰ ἐν χερσί· συναριθμήσατε δέ με ἑαυτοῖς, ὡς παρόντα, καὶ τῶν καλῶς γινομένων συνεφαπτόμενον. Ἐῤῥωμένος καὶ D εὔθυμος ἐν Κυρίῳ, ὑπερευχόμενός μου, φυλαχθείης τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ χάριτι τοῦ ἁγίου.

* Alias CCII. Scripta anno 375.

** Alias CCCXCVI. Scripta anno 375.

(17) *Ἀδελφοὺς ἡμῶν.* Pro his vocibus legitur ἐπισκόπους in codice Claromontano. Revera episcopos designat Basilius ; sed hæc scriptura e margine videtur in textum irrepsisse.

(18) *Ὑπερευχόμενος.* Hanc vocem, quæ deerat in editis, reperimus in octo mss. codicibus.

(19) *Ἐπιθυμῶ.* Vat. ἐπεθύμουν.

(20) *Μέχρι τῶν μαρτύρων.* Conjicit Tillemontius Basilium curru vectum fuisse ad Memoriam S. Eupsychii. Sed non quadrant tempora. Scripta enim hæc epistola est multo ante mensem Septembrem, quo mense dies festus S. Eupsychii recolebatur. Multæ aliæ erant martyrum Memoriæ prope Cæsaream, velut S. Julittæ et S. Gordii, tom. II, p. 31 et 141. Neutrum tamen a Basilio designari puto ; quia utriusque anniversarius dies mense Januario redibat. Sed minime dubium quin plures alios habuerit Cæsarea. Nam Gregorius Nyssenus in epistola de iis qui adeunt Hierosolyma, declarat plura propemodum esse altaria in Cappadocia, quam in toto terrarum orbe, tom. III, p. 653.

ΕΠΙΣΤΟΛΗ ΣΓ'.

EPISTOLA CCIII*.

asilium cum episcopis maritimis congredi cupientem multa detinuere: exspectantem dum Cappadociam ab hæreticis vexatam inviserent, aut scriberent, spes fefellit. Prior itaque scribit; seque ait paratum esse accusatoribus coram eis respondere, ac sese eorum judicio committere. Sed rogat ne se indicta causa condemnent, nec aliorum communione videantur sibi non indigere, cum nihil hac cogitatione alienum magis sit ab unitate et ecclesiasticis institutis. Postulat ut vel ad se veniant, vel locum congressus indicent, nec sibi necessitatem afferant doloris, quem hactenus corde pressit, aliis Ecclesiis significandi. Hæc solus quidem scripsit, sed aliorum Cappadocum hortatu per fratrem Petrum presbyterum misit.

Τοῖς παραλιώταις ἐπισκόποις. A

1. Ἐγένετό μοι πολλὴ ὁρμὴ τῆς συντυχίας ὑμῶν, :αὶ ἀεί τι ἐπεγένετο (21) κώλυμα, ἐμποδίζον μου τῇ :ροθυμίᾳ. Ἡ γὰρ ἡ τοῦ σώματος ἀσθένεια συνεπόδισέ ε :ἣν οὐκ ἀγνοεῖτε πάντως, ὅση μοι πάρεστιν ἐκ τῆς :ρώτης ἡλικίας μέχρι τοῦ γήρως τούτου, συντραφεῖσά μοι, καὶ παιδεύουσά με, κατὰ τὴν δικαίαν ρίσιν τοῦ πάντα ἐν σοφίᾳ οἰκονομοῦντος Θεοῦ), ἢ αἱ ῶν Ἐκκλησιῶν ἐπιμέλειαι, ἢ οἱ πρὸς τοὺς ἐπανισταένους τῷ λόγῳ τῆς ἀληθείας ἀγῶνες. Διὸ μέχρι τοῦ αρόντος ἐν θλίψει πολλῇ καὶ λύπῃ διάγω, συνειδὼς, :τι τὸ καθ' ὑμᾶς ἐλλέλειπταί μοι. Ἐγὼ γὰρ ἀκούσας αρὰ τοῦ Θεοῦ τοῦ διὰ τοῦτο τὴν διὰ σαρκὸς ἐπιδημίαν καταδεξαμένου, ἵνα καὶ τοῖς ὑποδείγμασι τῶν :ρακτέων ῥυθμίσῃ τὸν βίον ἡμῶν, καὶ διὰ τῆς ἰδίας ωνῆς ἀναγγείλῃ ἡμῖν τὸ Εὐαγγέλιον τῆς βασιλείας, B :τι *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους* (22)· καὶ ὅτι ἐξιτήριον δῶρον (23) τοῖς ἑαυτοῦ μαθηταῖς, μέλλων συμπληρῶν τὴν ἐν σαρκὶ οἰκονομίαν, τὴν ἑαυτοῦ εἰρήνην ὁ Κύριος κατέλιπεν εἰπών· *Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν* (24)· οὐ δύναμαι εῖσαι ἐμαυτὸν, ὅτι ἄνευ τῆς ἐν ἀλλήλοις ἀγάπης καὶ νευ τοῦ, τὸ εἰς ἐμὲ ἧκον (25), εἰρηνεύειν πρὸς πάντας, δύναμαι ἄξιος κληθῆναι δοῦλος Ἰησοῦ Χριστοῦ. ολὺν μὲν γὰρ ἀνέμεινα χρόνον, εἴποτε καὶ παρὰ ῆς ὑμετέρας ἀγάπης γένηταί τις πρὸς ἡμᾶς ἐπίσκεψις. Οὐ γὰρ ἀγνοεῖτε, ὅτι, δημοσίᾳ προκείμενοι :άσιν, ὥσπερ οἱ ἐν τῇ θαλάσσῃ προβεβλημένοι σκόπελοι, ἡμεῖς τὸν θυμὸν τῶν αἱρετικῶν κυμάτων ὑποεχόμεθα, καὶ περὶ ἡμᾶς ῥηγνύμενοι (26), τὰ κατόπιν ἡμῶν οὐκ ἐπικλύζουσι. Τὸ δὲ, *ἡμεῖς*, ὅταν εἴπω, ὐκ εἰς τὴν ἀνθρωπίνην ἀναφέρω δύναμιν, ἀλλ' εἰς ὴν τοῦ Θεοῦ χάριν, τοῦ ἐν τῇ ἀσθενείᾳ τῶν ἀνθρώπων τὸ δυνατὸν ἑαυτοῦ δεικνύντος, καθά φησιν ὁ

Maritimis episcopis

1. Inerat mihi magnum desiderium vestri congressus, sed semper aliquid supervenit impedimenti, meæ obstans cupiditati. Vel enim me corporis infirmitas constrinxit (quam prorsus non ignoratis, quanta mihi adsit, a prima ætate ad hanc usque senectutem enutrita mecum, meque castigans secundum justum Dei judicium, qui omnia in sapientia moderatur), vel Ecclesiarum sollicitudines, vel cum iis, qui doctrinam veritatis impugnant, certamina. Quocirca in hunc usque diem in multa afflictione tristitiaque dego, eo quod mihi conscius sim vestra mihi deesse. Ego enim cum audiverim a Deo, qui eam ob causam carnem assumere voluit, ut et exemplis rerum agendarum dirigeret vitam nostram, et propria voce annuntiaret nobis Evangelium regni: cum, inquam, ex eo audiverim: *In hoc cognoscent omnes, quod discipuli mei estis, si diligatis invicem* [77], cumque extremum munus discipulis suis, suam **300** in carne dispensationem absoluturus, pacem suam Dominus reliquerit, dicens: *Pacem relinquo vobis, pacem meam do vobis* [78]; mihi ipse persuadere non queo, me sine mutua charitate, et nisi, quantum in me est, pacem cum omnibus habeam, dignum posse Jesu Christi servum vocari. Longo enim exspectavi tempore, an et vestra nos aliquando charitas visitaret. Non enim ignoratis, nos palam omnibus propositos, veluti scopulos in mari prominentes, C furorem fluctuum hæreticorum excipere: eosque dum circa nos franguntur, ea quæ retro nos sunt, non alluere. Illud autem, *nos*, cum dico, non ad humanas refero vires, sed ad Dei gratiam, qui in hominum imbecillitate potentiam suam declarat, quemadmodum ait propheta ex persona Domini

[77] Joan. XIII, 35. [78] Joan. XIV, 27.

(21) *Ἐπεγένετο.* Ita mss. septem. Editi ἐγένετο. Paulo post Harl. et Med. συνεπόδισέ με. Editi συνεπόδισέ μοι. Ibidem Vat. et Reg. primus τὴν προθυμίαν.

(22) *Ἐὰν ἀγαπᾶτε ἀλλήλους.* Ita tres vetustissimi codices, Harl. prima manu, Med. et Coisl. primus, qui ad marginem habet vulgatam lectionem eadem manu, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. Habent etiam ἔχητε duo alii mss. Editi ἔχετε.

(23) *Ἐξιτήριον δῶρον.* Gregorius Nazianzenus orat. 14, p. 223, *Christus hinc discedens*, inquit, *pacem reliquit nobis*, ὥσπερ ἄλλο τι ἐξιτήριον, *veluti illud quoddam extremum munus.* Ideo autem hoc testimonium Gregorii attuli, quia appositum videtur ad emendandum quod supra legitur in libro *De Spiritu sancto*, cap. 29, n. 73, nempe Athenogenem reliquisse hymnum discipulis suis ὥσπερ τι ἀλεξιτήριον, *tanquam aliquod amuletum.* Satius videtur legere, ut in quatuor mss., ὥσπερ ἄλλο τι ἐξιτήριον.

(24) *Ὑμῖν.* Hanc vocem addidimus ex sex veteribus libris. Ibidem editi τῆς πρὸς ἀλλήλους. Quatuor mss. τῆς εἰς ἀλλήλους. Tres vetustissimi ut in textu.

(25) *Ἄνευ τοῦ, τὸ εἰς ἐμὲ ἧκον.* Emendavimus ope duorum codicum, Harl. et Med., quod prave D in aliis et editis legebatur, ἄνευ τοῦ εἰς ἐμὲ ἥκοντος. Paulo post etsi satis commode Reg. secundus et Coisl. secundus habent ἀξίως κληθῆναι, non tamen mutavimus scripturam aliorum mss. et editorum, quæ vitiosa non videtur.

(26) *Ῥηγνύμενοι.* Ita Haganoensis editio et Basileensis prima et sex mss. Editiones aliæ ῥηγνύμενα.

* Alias LXXVII. Scripta anno 375.

dicens : *An me non timebitis, qui arenam mari terminum posui* [79]? nam omnium infirmissima ac vilissima re, arena, ingens ac grave pelagus constrinxit Omnipotens. Quoniam igitur et res nostræ sic se habent ; par erat a vestra charitate aliquos ex germanis fratribus continenter mitti, qui nos afflictos inviserent, et amicas litteras ad nos venire crebrius, quæ partim studium nostrum confirmarent, partim vero, si qua in re offendimus, corrigerent. Non enim negamus nos innumeris erratis obnoxios esse, cum homines simus et in carne vivamus.

προφήτης ἐκ προσώπου Κυρίου λέγων· *Ἢ ἐμὲ οὐ φοβηθήσεσθε, τὸν ταθέντα ἄμμον ὅριον τῇ θαλάσσῃ ;* τῷ γὰρ ἀσθενεστάτῳ πάντων (27) καὶ εὐκαταφρονήτῳ πράγματι, τῇ ψάμμῳ, τὴν μεγάλην καὶ βαρεῖαν θάλασσαν ἐπέδησεν ὁ δυνατός. Ἐπεὶ οὖν τοιοῦτόν τί ἐστι καὶ τὸ καθ' ἡμᾶς, ἀκόλουθον ἦν παρὰ τῆς ὑμετέρας ἀγάπης καὶ τῶν γνησίων τινὰς ἀποστέλλεσθαι συνεχῶς εἰς ἐπίσκεψιν ἡμῶν τῶν καταπονουμένων, καὶ γράμματα ἀγαπητικὰ φοιτᾷν πρὸς ἡμᾶς (28) συνεχέστερον, τοῦτο μὲν στηρίζοντα ἡμῶν τὴν προθυμίαν, τοῦτο δὲ, καὶ εἴ τι σφαλλόμεθα ἐπανορθούμενα (29). Οὐχ ἀρνούμεθα γὰρ μυρίοις σφάλμασιν ὑποκεῖσθαι, ἄνθρωποι ὄντες καὶ ἐν σαρκὶ ζῶντες.

2. Sed quia superiori tempore, vel minus videntes quid deceret, non præstitistis quæ nobis debebantur, fratres in primis colendi, vel nonnullorum in nos calumniis præoccupati dignos non judicastis, quos ex charitate inviseretis ; ecce nunc priores scribimus : ac illata nobis crimina, profitemur paratos esse, coram vobis diluere ; modo tantum adducantur qui nobis injuriam faciunt, ut contra nos adversa fronte coram vestra pietate prodeant. Nam et nos convicti peccatum nostrum agnoscemus : et vobis postquam convicti fuerimus, venia erit apud Dominum, quod vos ex nostra peccatorum communione subtraxeritis : et qui convicerint, mercedem habebunt, ut qui occultam nostram malitiam patefecerint. Sed si antequam convincamur, nos condemnetis ; nos quidem nihil lædemur, nisi quod rei omnium nobis pretiosissimæ, charitatis vobiscum intercedentis, jacturam faciemus : vos vero et hoc idem pati, si nos non habeatis, et cum **301** Evangelio videbimini pugnare dicenti : *Nunquid lex nostra judicat hominem, nisi prius audierit, et cognoverit quid faciat* [80]? Et qui in nos calumnias effundit, eorum quæ dicit argumenta non proferens, comperietur sibi ipse nomen pravum asciscere ex illegitimo verborum usu. Calumniantem enim quomodo vocare convenit, nisi ei cognomen, quod ex ipsa re profitetur, imponendo ? Neque igitur is qui nobis conviciatur, diabolus sit, sed accusator : imo vero

2. Ἀλλ' ἐπειδὴ τὸν πρὸ τούτου χρόνον, ἢ διὰ τὸ μὴ συνιδεῖν τὸ πρέπον, παρελίπετε (30) τὰ ὀφειλόμενα ἡμῖν, ἀδελφοὶ τιμιώτατοι, ἢ διὰ τὸ προληφθῆναι παρά τινων εἰς τὰς καθ' ἡμῶν διαβολὰς, οὐκ ἐνομίσατε ἡμᾶς ἀξίους εἶναι ἀγαπητικῆς ἐπισκέψεως· ἰδοὺ νῦν καὶ κατάρχομεν τοῦ γράμματος αὐτοὶ, καὶ τὰς ἐπιφερομένας ἡμῖν αἰτίας ὁμολογοῦμεν ἑτοίμως ἔχειν (31) ὑφ' ὑμῶν ἀποδύσασθαι· μόνον ἐὰν καταδέχωνται οἱ ὑβρίζοντες ἡμᾶς, ἀντιπρόσωποι ἡμῖν ἐπὶ τῆς ὑμετέρας εὐλαβείας καταστῆναι. Ἐλεγχθέντες μὲν γὰρ καὶ ἡμεῖς τὴν ἁμαρτίαν ἡμῶν ἐπιγνωσόμεθα· καὶ ὑμεῖς μετὰ τοὺς ἐλέγχους συγγνώμην ἕξετε παρὰ τῷ Κυρίῳ, ἐκ τῆς τῶν ἁμαρτωλῶν (32) ἡμῶν κοινωνίας ἑαυτοὺς ὑποστέλλοντες· καὶ οἱ ἐλέγξαντες, μισθὸν ἕξουσιν, ὡς τὴν κεκρυμμένην ἡμῶν κακίαν δημοσιεύσαντες. Ἐὰν δὲ πρὸ τῶν ἐλέγχων καταδικάζητε ἡμᾶς, ἡμεῖς μὲν οὐδὲν ἐσόμεθα ἠδικημένοι, ἐκτὸς τοῦ ζημιωθῆναι τὸ πάντων ἡμῖν τιμιώτατον κτῆμα τὴν πρὸς ὑμᾶς ἀγάπην (33). Ὑμεῖς δὲ, καὶ τοῦτο αὐτὸ πείσεσθαι (34) ἡμᾶς οὐκ ἔχοντες, καὶ τῷ Εὐαγγελίῳ δόξετε μάχεσθαι τῷ εἰπόντι· *Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ πρῶτον, καὶ γνῷ τί ποιεῖ ;* Ὁ δὲ καταχέων ἡμῶν τὰς λοιδορίας, τὸν δὲ τῶν λεγομένων ἔλεγχον μὴ ἐπάγων, φανήσεται πονηρὰν ἑαυτῷ προσηγορίαν ἐπενεγκὼν, ἐκ τῆς ἀτόπου τῶν λόγων χρήσεως. Τὸν γὰρ διαβάλλοντα πῶς ἄλλως προσῆκεν ὀνομάζειν, ἢ οὐχὶ ἣν ἐξ αὐτοῦ τοῦ πράγματος ἐπιτηδεύει προσηγορίαν αὐτῷ τιθεμένους ; Μήτε οὖν ὁ λοιδορῶν

[79] Jer. v, 22. [80] Joan. vii, 51.

(27) *Πάντων*. Deest in Vat. et duobus aliis. Paulo post editi τοιοῦτό τι. Uterque Coisl. et Harl. et uterque Reg. ut in textu.

(28) *Πρὸς ἡμᾶς*. Editi addunt ἐπιτρέψασθαι. Duo mss. ἐπιτρέψατε. Sed multo commodius hoc verbum deest in Harlæano, Medicæo et duobus aliis.

(29) *Ἐπανορθούμενα*. Ita Harl., Med. et Coisl. primus. Editi διορθούμενα.

(30) *Παρελίπετε*. Sic Harl. et Coisl. primus cum tribus aliis. Editi παραλείπεται. Ibidem Coisl. primus et alii nonnulli τὰ ὀφειλόμενα ὑμῖν. Sed præferenda videtur aliorum mss. et editorum scriptura.

(31) *Ἔχειν*. Ita mss. octo. Editi ἔχοντες. Ibidem editi μόνως ἐάν. Harl., Coisl. primus et alii nonnulli ut in textu.

(32) *Τῶν ἁμαρτωλῶν*. Harl. τῶν ἁμαρτιῶν.

(33) *Τὴν πρὸς ὑμᾶς ἀγάπην*. Combefisius pronuntiat *plane legendum* πρὸς ἡμᾶς. Sed nihil prorsus mutandum. His enim verbis, τὴν πρὸς ὑμᾶς ἀγάπην, designat Basilius charitatem sibi cum maritimis episcopis intercedentem. Simili sensu legimus in epist. 245, τὴν πρὸς σὲ ἀγάπην, *amicitiam mihi tecum intercedentem*. Unde etiam illud Plutarchi in libro Περὶ πολυφιλίας, Τὸ σφόδρα φιλεῖν καὶ φιλεῖσθαι πρὸς πολλοὺς οὐκ ἔστιν, *vehementer diligere ac diligi inter multos non contingit*.

(34) *Πείσεσθαι*. Sic cum Harl., Vat. et Coisl. primo legimus, referendo ad verbum quod sequitur, nempe δόξετε. Editi πείσεσθε. Paulo post Med. et Coisl. primus ὁ νόμος ὑμῶν. Legitur ἡμῶν in Harlæano codice. Quatuor alii mss. ὁ νόμος κρίνει.

ὑμᾶς διάβολος ἔστω, ἀλλὰ κατήγορος· μᾶλλον δὲ μηδὲ τὸ τοῦ κατηγόρου δεχέσθω ὄνομα, ἀλλ' ἀδελφὸς ἔστω ἐν ἀγάπῃ νουθετῶν, καὶ ἐπὶ διορθώσει ἐπάγων τὸν ἔλεγχον· μήτε ὑμεῖς λοιδοριῶν γένησθε (35) ἀκροαταὶ, ἀλλ' ἐλέγχων δοκιμασταί· μήτε ἡμεῖς ἀνιάτρευτοι καταλειφθῶμεν, μὴ φανερουμένης ἡμῖν τῆς ἁμαρτίας ἡμῶν.

3. Μὴ γὰρ ἐκεῖνος ὑμᾶς ὁ λογισμὸς κατεχέτω, ὅτι οἱ τὴν παραλίαν οἰκοῦντες ἔξω ἐσμὲν τοῦ πάθους τῶν πολλῶν, καὶ οὐδὲν τῆς παρ' ἑτέρων ἐπικουρίας δεόμεθα· ὥστε τίς ἡμῖν χρεία τῆς πρὸς ἑτέρους κοινωνίας; Ὁ γὰρ Κύριος τὰς μὲν νήσους τῆς (36) ἠπείρου διὰ θαλάσσης διέστησε, τοὺς δὲ νησιώτας τοῖς ἠπειρώταις διὰ τῆς ἀγάπης συνέδησεν. Οὐδὲν ἡμᾶς χωρίζει ἀπ' ἀλλήλων, ἀδελφοὶ, ἐὰν μὴ τῇ προαιρέσει τὸν χωρισμὸν ὑποστῶμεν. Εἷς ἡμῶν Κύριος, μία πίστις, ἐλπὶς ἡ αὐτή. Εἴτε κεφαλὴν ἑαυτοὺς τῆς καθόλου Ἐκκλησίας λογίζεσθε, οὐ δύναται ἡ κεφαλὴ εἰπεῖν τοῖς ποσὶ, Χρείαν ὑμῶν οὐκ ἔχω· εἴτε καὶ ἐν ἄλλῃ τάξει τῶν ἐκκλησιαστικῶν μελῶν ἑαυτοὺς τάσσετε, οὐ δύνασθε λέγειν τοῖς ἐν τῷ αὐτῷ σώματι κατατεταγμένοις (37) ἡμῖν τὸ, Χρείαν ὑμῶν οὐκ ἔχομεν. Αἵ τε γὰρ χεῖρες ἀλλήλων δέονται, καὶ οἱ πόδες ἀλλήλους στηρίζουσι, καὶ οἱ ὀφθαλμοὶ ἐν τῇ συμφωνίᾳ τὸ ἐναργὲς τῆς καταλήψεως ἔχουσιν. Ἡμεῖς μὲν γὰρ ὁμολογοῦμεν τὸ ἑαυτῶν ἀσθενές· καὶ ἐπιζητοῦμεν τὴν σύμπνοιαν ὑμῶν. Οἴδαμεν γὰρ, ὅτι, κἂν μὴ παρῆτε τῷ σώματι, τῇ διὰ τῶν εὐχῶν βοηθείᾳ μέγα παρέξετε ἡμῖν ἐν τοῖς ἀναγκαιοτάτοις καιροῖς ὄφελος. Ὑμᾶς δὲ οὐκ ἔστιν οὔτε παρὰ ἀνθρώποις εὐπρεπὲς, οὔτε τῷ Θεῷ εὐάρεστον ταῖς τοιαύταις κεχρῆσθαι φωναῖς, αἷς οὐδὲ τὰ ἔθνη κέχρηνται τὰ μὴ εἰδότα τὸν Θεόν. Ἀλλὰ κἀκεῖνα ἀκούομεν, κἂν εἰς πάντα αὐτάρκη τὴν χώραν νέμωνται, τῆς γοῦν τῶν μελλόντων ἕνεκεν ἀδηλίας τὴν πρὸς ἀλλήλους συμμαχίαν ἀσπάζεσθαι, καὶ τὴν ἐπιμιξίαν ὡς ἔχουσάν τι κέρδος μεταδιώκειν. Ἡμεῖς δὲ, ἐκείνων ὄντες τῶν πατέρων, οἳ ἐνομοθέτησαν διὰ μικρῶν χαρακτήρων τὰ τῆς κοινωνίας (38) σύμβολα ἀπὸ περάτων τῆς γῆς εἰς πέρατα περιφέρεσθαι, καὶ πάντας πᾶσι πολίτας καὶ οἰκείους εἶναι, νῦν ἀποτέμνομεν ἑαυτοὺς τῆς οἰκουμένης, καὶ οὔτε ἐπαισχυνόμεθα τῇ μονώσει, οὔτε ζημίαν φέρειν τὸν διασπασμὸν τῆς ὁμονοίας τιθέμεθα· οὔτε φρισσόμεν, ὅτι εἰς ἡμᾶς φθάνει ἡ φοβερὰ τοῦ Κυρίου ἡμῶν προφητεία, εἰπόντος, ὅτι *Διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν*.

4. Μὴ ταῦτα, ἀδελφοὶ τιμιώτατοι, μὴ ἀνάσχησθε τοῦτο (39), ἀλλὰ καὶ ἐπὶ τοῖς παρελθοῦσι παρακαλέσατε ἡμᾶς γράμμασιν εἰρηνικοῖς καὶ ἀγαπητικαῖς προσφωνήσεσιν, οἱονεὶ πραείᾳ τινὶ ἐπαφῇ τὸ τῆς καρδίας ἡμῶν ἕλκος, ὃ ἐκ τῆς παρελθούσης ἀμελείας ἐνεποιήσατε ἡμῖν, παραμυθούμενοι. Καὶ εἴτε αὐτοὶ

A neque accusatoris accipiat nomen, sed frater sit admonens in charitate, et ad emendationem arguens; neque vos conviciorum auditores sitis, sed argumentorum judices: neque nos incurati relinquamur, nostro nobis non indicato delicto.

3. Non enim vos illa cogitatio detineat: Nos qui maritima loca incolimus, extra multorum malum sumus, nec aliorum indigemus auxilio: quamobrem quid nobis opus est cum aliis communio? Dominus enim insulas quidem a continente per mare divisit: insularum vero incolas per charitatem cum incolis continentis junxit. Nihil nos ab invicem, fratres, separat, nisi animi proposito
B dissociemur. Unus nobis est Dominus, una fides [81], spes eadem. Sive caput vosipsos universæ Ecclesiæ existimatis, non potest caput dicere pedibus: Non est mihi opus vobis. Sive vos in alio membrorum ecclesiasticorum ordine reponitis, nobis in eodem corpore constitutis non potestis dicere: Vestri non indigemus [82]. Nam et manus altera alterius eget, et pes alter alterum firmat, et oculi per concordiam clare ac perspicue vident. Nos enim nostram ipsorum imbecillitatem confitemur, ac conspirationem vestram exposcimus. Novimus enim fore, ut etiamsi corpore non adsitis, precum subsidio non parum nobis emolumenti, temporibus maxime necessariis, afferatis. Vos autem nec
C coram hominibus decorum est, nec Deo placitum ejusmodi uti vocibus, quibus ne gentes quidem utuntur, quæ Deum ignorant. Quin et illas audimus, etiamsi omnibus abundantem regionem incolant, saltem ob incertum futurorum eventum, fœdus inter se libenter inire, ac commercium tanquam alicui rei utile persequi. Nos autem ex illis orti patribus, qui legem tulerunt, ut brevibus notis communionis signa a terminis orbis terrarum usque ad terminos circumferrentur, atque omnes omnibus cives et propinqui essent: nunc nos ipsi abscindimus ab orbe terrarum, nec nos pudet solitudinis: nec damnum ferre distractionem concordiæ ducimus: neque horremus, quod ad nos pervenerit formidanda prophetia Domini nostri,
D qui dixit: *Quoniam abundavit iniquitas, refrigescet charitas multorum* [83].

4. Nolite, fratres reverendissimi, nolite hoc ferre, sed nos potius de præteritis consolemini, pacificis litteris et amicis salutationibus, veluti
302 leni quodam contactu, pectoris nostri vulnus, quod nobis per præteritam incuriam fecistis, demulcentes. Ac sive ipsi vultis ad nos accedere,

[81] Ephes. IV, 5. [82] I Cor. XII, 14-21. [83] Matth. XXIV, 12

(35) *Γένησθε*. Harl. et Med. γίνεσθε.
(36) *Τὰς μὲν νήσους τῆς*. Ita sex mss. Editi τὰς νήσους μὲν ἀπὸ τῆς.
(37) *Κατατεταγμένοις*. Ita mss. septem. Editi τεταγμένοις. Ibidem Harl. et Med. οὐκ ἔχω.
(38) *Κοινωνίας*. Ita Harl., Med. et Coisl. primus, qui tamen habet in margine ἐπιμιξίας, ut editi.
(39) *Τοῦτο*. Hanc vocem apposuimus ex mss. septem, pro eo quod erat in editis ταῦτα. Deest primum ταῦτα in duobus codicibus non antiquissimis, nempe Regio primo et Coisl. secundo.

et per vos ipsi morbos nostros perscrutari, utrum vere tales sint, quales auditis, an ex mendacii additamentis graviora vobis peccata nostra nuntientur, etiam id fiat. Parati sumus supinis manibus advenientes vos excipere, nosque ipsi ad diligens examen offerre; tantummodo iis quæ fient, præeat charitas. Sive vultis apud vos aliquem locum designare, in quo et debitum vobis visitationis officium persolvamus; et nos ipsi, quantum fieri potest, probandos exhibeamus, ut et præterita sanentur, et deinceps nullus calumniæ locus relinquatur; et hoc fiat. Omnino enim, quanquam infirmam circumferimus carnem, tamen quandiu respirabimus, nihil debemus eorum omittere, quæ ad ædificationem Ecclesiarum Christi pertinent. Itaque hanc nostram obtestationem ne eludatis, neque nos eo necessitatis adducatis, ut et aliis dolorem nostrum aperiamus. Nam hactenus, quod quidem vos non lateat, fratres, mœstitiam in nobis ipsis premimus; cum pudeat remotioribus nostris communicatoribus, vestram a nobis alienationem declarare, ne et illos affligamus, et gaudium his qui nos oderunt, afferamus. Nunc solus hæc scripsi; sed de consilio omnium in Cappadocia fratrum misi, qui et me rogarunt ut ne quovis uterer ministro litterarum, sed idoneo viro, qui quæcunque omisimus in epistola, ne longius sermo protraheretur, sua ipsius prudentia, quam ex Dei gratia habet, expleat. Dicimus autem optatissimum nobis ac religiosissimum fratrem Petrum compresbyterum, quem et excipite in charitate, atque ad nos cum pace dimittite, ut nobis bonorum nuntius sit.

A βούλεσθε πρὸς ἡμᾶς ἀπαντῆσαι, καὶ δι' ἑαυτῶν ἐρευνῆσαι τὰ ἀῤῥωστήματα ἡμῶν, εἰ ὄντως τοιαῦτά ἐστιν οἷα ἀκούετε (40), ἢ ταῖς ἐκ τοῦ ψεύδους προσθήκαις βαρύτερα ὑμῖν ἀπαγγέλλεται τὰ ἁμαρτήματα ἡμῶν, γενέσθω καὶ τοῦτο· ἕτοιμοι ἡμεῖς ὑπτίαις χερσὶ τὴν παρουσίαν ὑμῶν ὑποδέξασθαι, καὶ προθεῖναι ἑαυτοὺς εἰς ἀκριβῆ βάσανον· μόνον ἀγάπη ἡγείσθω (41) τῶν γινομένων· εἴτε καὶ βούλεσθε παρ' ἑαυτοῖς ὑποδεῖξαί τινα τόπον, ἐν ᾧ γενόμενοι, καὶ ὑμῖν τὸ ὀφειλόμενον τῆς ἐπισκέψεως χρέος ἀποπληρώσομεν, καὶ ἑαυτῶν τὴν ἐνδεχομένην πεῖραν παρέξομεν, ὥστε καὶ τὰ προλαβόντα ἰάσασθαι, καὶ τοῦ λοιποῦ μηδεμίαν διαβολαῖς (42) χώραν καταλιπεῖν· καὶ τοῦτο γενέσθω. Πάντως γὰρ, εἰ καὶ ἀσθενῆ περιφέρομεν σάρκα, ἀλλ' ἕως ἀναπνέ- B ωμεν (43), ὑπεύθυνοί ἐσμεν μηδὲν ἐλλιμπάνειν τῶν εἰς οἰκοδομὴν τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ. Μὴ οὖν παραλογίσησθε ἡμῶν τὴν παράκλησιν ταύτην, μὴ εἰς ἀνάγκην ἡμᾶς ἀγάγητε, καὶ πρὸς ἄλλους ἐξειπεῖν τὴν ὀδύνην ἡμῶν. Μέχρι γὰρ νῦν, γινώσκετε, ἀδελφοὶ, ἐν ἑαυτοῖς τὴν λύπην στέγομεν, αἰσχυνόμενοι τοῖς πόῤῥωθεν ἡμῶν κοινωνικοῖς τὴν πρὸς ἡμᾶς ἀλλοτρίωσιν ὑμῶν διαγγεῖλαι· ἵνα μὴ κἀκείνους θλίψωμεν, καὶ χαρὰν τοῖς μισοῦσιν ἡμᾶς ἐμποιήσωμεν. Ταῦτα μόνος ἐπέστειλα νῦν· γνώμῃ δὲ τῶν ἐν Καππαδοκίᾳ πάντων ἀδελφῶν ἔπεμψα (44), οἳ καὶ παρεκάλεσάν με, μὴ τῷ τυχόντι χρήσασθαι διακόνῳ τοῦ γράμματος, ἀλλ' ἀνδρὶ, ὃς δυνήσεται ὅσα διὰ τῆς ἐπιστολῆς παρήκαμεν, φοβούμενοι μὴ εἰς ἀμετρίαν C πολλὴν τὸν λόγον ἐκβάλωμεν, ταῦτα διὰ τῆς ἑαυτοῦ συνέσεως, ἣν ἔχει ἐκ τῆς χάριτος τοῦ Θεοῦ, ἀναπληρῶσαι. Λέγομεν δὲ τὸν ποθεινότατον ἡμῖν καὶ εὐλαβέστατον ἀδελφὸν Πέτρον τὸν συμπρεσβύτερον, ὃν καὶ δέξασθε ἐν ἀγάπῃ καὶ προπέμψατε πρὸς ἡμᾶς εἰρηνικῶς, ἵνα γένηται ἡμῖν ἀγαθῶν ἄγγελος.

EPISTOLA CCIV*.

ΕΠΙΣΤΟΛΗ ΣΔ'.

Queritur Basilius apud presbyteros Neocæsarienses, ac per eos apud totam civitatem, quod cum sibi tot ac tantæ cum illis necessitudines intercedant, absentem se condemnent et oderint, ac calumniis in vitam suam et fidem instructis aures præbeant. Declarat se non tam sua, quam illorum causa ad defensionem aggredi. Postulat ut si sanabilia sunt sua peccata, admoneatur; sin autem insanabilia, publice ab adversario prodeunte arguatur. Quod spectat ad fidem, rogat ut idoneis instructi sint præsidiis, qui de suis scriptis judicium ferent; ea tamen libenter illorum judicio committit. Fidem suam defendit et ex puerili institutione accepta ab avia Macrina; et ex perpetuo Arianæ hæresis odio, ex qua nonnullos redeuntes suscepit, fidem Nicænam confitentes recepit, idque comprobante beatissimo Athanasio. His addit suam cum plurimis Ecclesiis, quas recenset, communionem: unde demonstrat ab illarum Ecclesiarum communione discessuros, si a sua discedant, ac rogat ne se cogant apud has Ecclesias dolorem hactenus corde pressum depromere, sed potius meminerint antiquæ inter Ecclesiam Cæsariensem et Neocæsariensem conjunctionis.

Ad Neocæsarienses.

D

Τοῖς Νεοκαισαρεῦσιν (45).

1. Multo tempore siluimus inter nos, fratres omni honore dignissimi nobis ac charissimi, non secus ac qui ad iram concitati **303** sunt. Quis autem ita iratus et implacabilis injuriæ auctori, ut ortam ex odio iracundiam per totam fere hominis

1. Πολὺν χρόνον ἀπεσιωπήσαμεν πρὸς ἀλλήλους, ἀδελφοὶ τιμιώτατοι ἡμῖν καὶ περιπόθητοι, ὥσπερ οἱ πρὸς ὀργὴν διαναστάντες. Καίτοι τίς οὕτω βαρύμηνις καὶ δυσδιάλλακτος τῷ λελυπηκότι, ὥστε διὰ σχεδὸν ἀνθρώπου γενεᾶς τὴν ἐκ τοῦ μίσους ὀργὴν

* Alias LXXV. Scripta anno 375.

(40) *Οἷα ἀκούετε.* Ita mss. septem. Editi ἃ ἀκούετε.

(41) *Ἡγείσθω.* Ita tres vetustissimi codices. Editi προηγείσθω. Paulo post editi καὶ ἡμῖν τό. Sex mss. ut in textu. Ibidem legimus γενόμενοι et infra γενέσθω, quia sic habent plerique mss.

(42) *Διαβολαῖς.* Sic tres vetustissimi codices cum duobus aliis. Editi διαβολῆς.

(43) *Ἀναπνέωμεν.* Ita Harl. et Coisl. primus. Nonnulli alii ἀναπνέομεν. Editi ἂν πνέωμεν.

(44) *Ἔπεμψα.* Ita Harl. et Med. multo melius quam editi ἔγραψα.

(45) *Τοῖς Νεοκαισαρεῦσιν.* Scripta est hæc epistola presbyteris Neocæsariensibus, per quos ad infra, n. 2, se totam civitatem alloqui. Eamdem epistolam indicat in epist. 207, cum ait se antea toti scripsisse presbyterio, nec responsum accepisse.

συμπαρεκτεῖναι; Ὃ περὶ ἡμᾶς ἔστιν ἰδεῖν γινόμενον (46-47), οὐδεμιᾶς τοῦ διεζεῦχθαι δικαίας ἀφορμῆς ὑπαρχούσης, οὐκοῦν ὅσα γε ἴσμεν αὐτοί· ἀλλὰ τὸ ἐναντίον, πολλῶν καὶ μεγάλων πρὸς τὴν ἄκραν ἡμῖν φιλίαν καὶ ἕνωσιν ἐνυπαρχόντων τὸ ἐξ ἀρχῆς· ἑνὸς μὲν τοῦ μεγίστου καὶ πρώτου, τῆς ἐντολῆς τοῦ Κυρίου διαῤῥήδην εἰπόντος, ὅτι *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους*· καὶ πάλιν τοῦ Ἀποστόλου σαφῶς τὸ τῆς ἀγάπης καλὸν παριστῶντος ἡμῖν, τοῦτο μὲν ἐν οἷς ἀποφαίνεται πλήρωμα νόμου εἶναι τὴν ἀγάπην, τοῦτο δὲ ὅταν προτίθησι πάντων ὁμοῦ τῶν μεγάλων τὸ τῆς ἀγάπης καλὸν, ἐν οἷς φησιν· *Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ* B *μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστᾶν* (48), *ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Κἂν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ παραδῶ τὸ σῶμά μου ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι*· οὐχ ὡς δυναμένου ποτὲ τῶν ἀπηριθμημένων ἑκάστου δίχα τῆς ἀγάπης ἐνεργηθῆναι, ἀλλὰ βουλομένου τοῦ ἁγίου, ὡς αὐτὸς εἶπε, τῷ καθ' ὑπερβολὴν τρόπῳ τὴν κατὰ πάντων ὑπεροχὴν προσμαρτυρῆσαι τῇ ἐντολῇ.

2. Δεύτερον δὲ, ὅτι, εἴ τι μέγα συμβάλλεται πρὸς συνάφειαν καὶ τὸ τῶν αὐτῶν μετασχεῖν διδασκάλων, οἱ αὐτοὶ ὑμῖν τέ εἰσι καὶ ἡμῖν διδάσκαλοί τε τῶν μυστηρίων τοῦ Θεοῦ, καὶ πατέρες πνευματικοὶ, οἱ C ἐξ ἀρχῆς τὴν Ἐκκλησίαν τὴν ὑμετέραν θεμελιώσαντες· Γρηγόριον λέγω τὸν πάνυ, καὶ ὅσοι ἐφεξῆς ἐκείνῳ τῆς παρ' ὑμῖν (49) ἐπισκοπῆς τὸν θρόνον διαδεξάμενοι, ἄλλος ἐπ' ἄλλῳ, ὥσπερ τινὲς ἀστέρες ἐπανατέλλοντες, κατὰ τῶν αὐτῶν ἰχνῶν ἐπέβησαν, ὥστε εὔγνωστα καταλιπεῖν τῆς κατ' οὐρανὸν (50) πολιτείας τὰ σημεῖα τοῖς βουλομένοις. Εἰ δὲ καὶ αἱ σωματικαὶ οἰκειότητες οὐκ ἀπόβλητοι, ἀλλὰ καὶ μέγα (51) συμβαλλόμεναι πρὸς ἀῤῥαγῆ συνάφειαν καὶ κοινωνίαν βίου· καὶ ταῦτα ἡμῖν ὑπῆρξε πρὸς ὑμᾶς τὰ δίκαια. Τίνος οὖν ἕνεκεν, ὦ σεμνοτάτη πόλεων (δι' ὑμῶν γὰρ τῇ πόλει πάσῃ διαλέγομαι), οὐ γράμμα ἥμερον (52) αὐτόθεν, οὐ φωνὴ δεξιὰ, ἀλλ' ἤνοικται μὲν ὑμῶν τὰ ὦτα τοῖς διαβάλλειν ἐπιχειροῦσιν; ὥστε τοσοῦτον πλέον στενάζειν ὀφείλω, ὅσῳπερ ἂν D

A ætatem extendat? Quod tamen videre est usu nobis evenisse : quamvis nulla sit justa disjunctionis causa, quod quidem sciamus; sed contra, multa et magna ad summam nobis amicitiam et conjunctionem exstiterint ab initio; unum quidem, illudque maximum et primum, Domini præceptum diserte dicentis : *In hoc cognoscent omnes, quod discipuli mei estis, si vos mutuo diligitis* [84]. Quod quidem charitatis bonum rursus Apostolus perspicue nobis exponit, modo quidem, cum pronuntiat complementum legis esse charitatem, modo vero, cum charitatis bonum omnibus simul magnis bonis præfert, dum ait : *Si linguis hominum loquar et angelorum, charitatem autem non habeam, factus sum æs sonans, ut cymbalum tinniens. Et si habeam* B *prophetiam, et noverim mysteria omnia, et omnem scientiam : et si habeam fidem omnem, ita ut montes transferam, charitatem autem non habeam, nihil sum. Et si insumam in alimoniam omnes facultates, meas et tradam corpus meum ut comburatur, charitatem autem non habeam, nihil utilitatis capio* [85]; non quod possint aliquando singula, quæ enumerata sunt, sine dilectione perfici : sed quod Sanctus voluerit, ut ipse dixit, adhibita hyperbolæ figura, præstantiam omnia superantem huic mandato tribuere.

2. Alterum huc accedit, quod, si quid magni affert ad conjunctionem, etiam iisdem uti magistris, iidem nobis sint ac vobis magistri mysterio- C rum Dei, et patres spirituales, qui initio Ecclesiam vestram fundarunt : Gregorium dico summum illum virum, et quotquot post eum sedi apud vos episcopali succedentes, alius post alium, veluti stellæ quædam exorientes, iisdem vestigiis institerunt, adeo ut nemini obscura reliquerint cœlestis instituti monumenta. Quod si et corporeæ necessitudines contemnendæ non sunt, sed multum etiam ad firmam conjunctionem vitæque societatem conducunt, hæc quoque nobis jura vobiscum intercedunt. Quare ergo, o urbium ornatissima (per vos enim urbem totam alloquor), nullæ istinc mansuetæ litteræ, nulla vox optabilis, sed apertæ sunt aures vestræ, his qui calumniari conantur? unde eo plus ingemiscere debeo, quo magis video D ad exitum perduci quod intendunt : siquidem

[84] Joan. XIII, 35. [85] I Cor. XIII, 1-3.

(46-47) *Γινόμενον*. Ita tres vetustissimi codices cum pluribus aliis. Editi γενόμενον.

(48) *Μεθιστᾷν*. Sic uterque Coisl., Harl. et Med. Editi μεθιστάνειν. Paulo post Harl. et Coisl. secundus κἂν παραδῶ. Non longe Med. et Coisl. primus μυστηρίων τοῦ Χριστοῦ.

(49) *Τῆς παρ' ὑμῖν*. Ita Coisl. primus et Harl. cum aliis nonnullis. Editi τῆς παρ' ὑμῶν.

(50) *Κατ' οὐρανόν*. Sic mss. sex pro eo quod erat in editis κατ' αὐτῶν. Ibidem editio Hagan. et Basileensis prima et septem mss. δύσγνωστα καταλιπεῖν, *obscura cœlestis instituti monumenta*. Quod erratum miror in tot codices irrepsisse. Cæterum recte emendatum est in editionibus recentioribus, quas secuti sumus.

(51) *Καὶ μέγα*. Ita sex mss. Editi καὶ μεγάλα. Paulo post editi ὑμῖν ὑπῆρξε πρὸς ἡμᾶς. Iidem mss. ut in textu.

(52) *Ἥμερον*. Quamvis hanc scripturam solus codex Reg. secundus suppeditet, eam tamen adsciscere in textum non dubitavi, tum quia illud, γράμμα ὑμέτερον, quod habent editi, idem prorsus sonat ac γράμμα αὐτόθεν, tum quia favent Harl. et uterque Coisl. in quibus legitur γράμμα ἡμέτερον. Ibidem vocula μὲν addita ex septem mss. Idem Reg. codex non multo post τοσούτῳ πλέον.

calumniæ opus auctorem manifestum habet : qui, cum ex multis malefactis notus sit, tamen hac maxime nequitia dignoscitur, ita ut nomen ei factum fuerit peccatum. Sed tamen ferte meam dicendi libertatem : utramque aurem meis sycophantis aperientes, omnia animo citra examen recipitis, nec quisquam **304** est qui mendacium a veritate secernat. Quis unquam malarum criminationum penuria laboravit, solus contendens? quis mentiens convictus, absente eo qui calumniis appetitur? quænam oratio non probabilis audientibus, si maledicus asseveret rem ita se habere, is autem cui maledicitur, nec adsit, nec contumelias audiat? Nonne et ipsa sæculi consuetudo hæc vos edocet, eum, qui æquus et communis auditor futurus est, non debere totum abduci a præoccupante, sed et defensionem exspectare ejus, qui reus agitur, ut sic ex collatione utriusque sermonis, veritas elucescat? *Justum judicium judicate* [86] : præceptum est unum ex maxime necessariis ad salutem.

3. Atque hæc dico, non oblitus verborum Apostoli, qui fugiens humana judicia, totam suam vitam illius judicii, quod decipi non potest, examini reservabat, ubi ait : *Mihi autem pro minimo est ut a vobis judicer, aut ab humano die* [87]. Sed tamen quia aures vestras falsæ criminationes præoccuparunt, ac calumniis petita est vita nostra, petita etiam nostra in Deum fides ; haud ignorans tres simul personas a calumniatore lædi : nocet enim et ei quem calumniatur, et iis quos alloquitur, et sibi ipse : de meo equidem damno tacuissem, probe sciatis, non quod vestram existimationem contemnam (quomodo enim qui, ne eam amittam, hæc scribo et nunc contendo?), sed quod videam ex tribus qui læduntur, eum qui minus læditur, me esse. Ego enim vestri jacturam facio, vobis veritas eripitur ; et qui horum auctor est, me quidem a vobis sejungit, ipse vero se a Domino abalienat : fieri enim non potest ut quis Deo, vetita patrando, conjungatur. Vestra igitur causa magis quam mea loquor, et ut vos damno intolerabili eximam. Quod enim majus cuiquam malum accidat, quam si rem omnium pretiosissimam amittat veritatem?

4. Quid igitur dico, fratres? Non peccati expertem me esse, nec vitam meam refertam non esse innumeris delictis. Nam me ipse novi, nec cesso lacrymas ob peccata perfundere, si forte possim

A μᾶλλον ἴδω τὸ σπουδαζόμενον· ἐπειδὴ τὸ τῆς διαβολῆς ἔργον φανερὸν ἔχει τὸν καθηγούμενον· ὃς, ἀπὸ πολλῶν ὑπάρχων ἀδικημάτων γνώριμος, ἀπὸ ταύτης μάλιστα τῆς πονηρίας χαρακτηρίζεται, ὥστε καὶ ὄνομα αὐτῷ γενέσθαι τὴν ἁμαρτίαν. Πλὴν ἀλλ' ὑμεῖς ἀνάσχεσθέ μου τῆς παῤῥησίας· ἀμφοτέρας τὰς ἀκοὰς τοῖς διαβάλλουσιν ἡμᾶς ἀναπετάσαντες, πάντα ἀνεξετάστως ταῖς ψυχαῖς παραδέχεσθε· καὶ οὐδεὶς ὁ τοῦ ἀληθοῦς τὸ ψεῦδος φυλοκρινῶν (53). Τίς ἠπόρησέ ποτε πονηρῶν ἐγκλημάτων μόνος ἀγωνιζόμενος; τίς ἠλέγχθη ψευδόμενος, μὴ παρόντος τοῦ συκοφαντουμένου; ποῖον ῥῆμα οὐκ ἔστι πιθανὸν τοῖς ἀκούουσιν, ἐὰν ὁ μὲν λοίδορος διατείνηται, ἢ μὴν οὕτως ἔχειν, ὁ δὲ λοιδορούμενος μήτε παρῇ, μήτε ἐπακούῃ τῶν βλασφημιῶν; Οὐδὲ αὐτὴ ἡ τοῦ βίου συνήθεια παιδεύει B ὑμᾶς πρὸς ταῦτα, ὅτι δεῖ τὸν μέλλοντα ἴσον καὶ κοινὸν ἀκροατὴν γενήσεσθαι (54), μὴ ὅλον ἀπάγεσθαι παρὰ τοῦ προλαβόντος, ἀλλ' ἀναμένειν καὶ τὴν ἀπολογίαν τοῦ ἐναγομένου, ἵν' οὕτως ἐκ τῆς παραθέσεως, ἑκατέρων τῶν λόγων διαδειχθῇ ἡ ἀλήθεια; *Κρίμα δίκαιον κρίνατε*· πρόσταγμά ἐστιν ἓν τῶν ἀναγκαιοτάτων εἰς σωτηρίαν.

3. Καὶ ταῦτα λέγω, οὐκ ἐπιλελησμένος τῶν ἀποστολικῶν ῥημάτων, ὅτι, φεύγων ἐκεῖνος τὰ ἀνθρώπινα κριτήρια, ὅλον ἑαυτοῦ τὸν βίον ταῖς εὐθύναις τοῦ ἀνεξαπατήτου δικαστηρίου ἐταμιεύετο ἐν οἷς φησιν· *Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας*. Ἀλλ' ὅμως ἐπειδὴ προλαβοῦσαι διαβολαὶ ψευδεῖς κατέσχον ὑμῶν τὰς ἀκοὰς, καὶ διαβέβληται μὲν ἡμῶν ὁ βίος, διαβέ- C βληται δὲ ἡ περὶ τὸν Θεὸν ἡμῶν πίστις, εἰδὼς, ὅτι τρισὶν ὁμοῦ προσώποις τὴν βλάβην προστρίβεται ὁ διαβάλλων· τόν τε γὰρ συκοφαντούμενον ἀδικεῖ, καὶ πρὸς οὓς ὁ λόγος ἐστὶν αὐτῷ, καὶ ἑαυτόν· τῆς μὲν ἐμαυτοῦ βλάβης κἂν ἀπεσιώπησα, εὖ ἴστε, οὐ καταφρονῶν τῆς παρ' ὑμῖν (55) ὑπολήψεως, (πῶς γὰρ ὅς γε, ἵνα μὴ ταύτην ζημιωθῶ, ταῦτα ἐπιστέλλω καὶ ἀγωνίζομαι νῦν;) ἀλλ' ὁρῶν, ὅτι ἐν τρισὶ τοῖς βλαπτομένοις ὁ τὰ ἐλάττονα ζημιούμενος, εἰμὶ ἐγώ. Ἐγὼ μὲν γὰρ ὑμᾶς ἀποστεροῦμαι, ὑμεῖς δὲ τὴν ἀλήθειαν ἀφαιρεῖσθε· καὶ ὁ τούτων αἴτιος ἐμὲ μὲν ὑμῶν ἀφίστησιν, ἑαυτὸν δὲ ἀλλοτριοῖ τοῦ Κυρίου· διότι οὐκ ἔστι Θεῷ ἐκ τῶν ἀπηγορευμένων οἰκειωθῆναι. Ὑμῶν οὖν μᾶλλον ἕνεκεν ἢ ἐμαυτοῦ ποιοῦμαι τοὺς λόγους, καὶ τοῦ ὑμᾶς ἐξελέσθαι βλάβης οὐκ ἀνεκτῆς. Τί γὰρ D ἂν καὶ μεῖζον πάθοι (56) κακόν τις τὸ τιμιώτατον τῶν ὄντων ζημιωθεὶς, τὴν ἀλήθειαν;

4. Τί οὖν φημι, ἀδελφοί; Οὐχ ὅτι ἀναμάρτητός τις ἐγὼ, οὐθ' ὅτι ὁ βίος ὁ ἐμὸς οὐχὶ πλήρης ἐστὶ μυρίων ἐλαττωμάτων· οἶδα γὰρ ἐμαυτὸν, καὶ οὐ διαλείπω γε στάζων τὸ δάκρυον ὑπὲρ τῶν ἁμαρτημά-

[86] Joan. VII, 24. [87] I Cor. IV, 3.

(53) *Φυλοκρινῶν*. Ita tres vetustissimi codices, nisi quod in Med. legitur φυλλοκρινῶν. Editi φιλοκρινῶν. Scriptura codicum mss. confirmatur ex libro *De Spiritu sancto* c. 29, p. 73, et epist. 237.

(54) *Γενήσεσθαι*. Med. et Coisl. primus γενέσθαι.

(55) *Τῆς παρ' ὑμῖν*. Ita tres vetustissimi codices et Reg. primus. Editi τῆς παρ' ὑμῶν. Mox editio 2 Paris. εἰμί. Ἐγὼ μὲν γάρ. Aliæ et mss. ut in textu.

(56) *Πάθοι*. Ita tres vetustissimi mss. et alii nonnulli. Editi πάθῃ, excepta tamen editione Hagan.

των, εἴ πως δυνηθείην ἐξιλάσασθαί μου τὸν Θεὸν, A καὶ διαφυγεῖν τὴν ἀπειληθεῖσαν κόλασιν· ἀλλ᾽ ὅτι ὁ τὰ ἡμέτερα κρίνων, εἰ μὲν καθαρὸν ἔχειν διαβεβαιοῦται τὸν ὀφθαλμὸν, καρφολογείτω ἡμῶν τὸ ὄμμα (57). Ὁμολογοῦμεν γὰρ δεῖσθαι πολλῆς τῆς ἐκ τῶν ὑγιαινόντων ἐπιμελείας· εἰ δὲ τοῦτο μὲν οὐκ ἂν εἴποι, καὶ τοσούτῳ γε πλέον οὐκ ἐρεῖ, ὅσῳπερ ἂν μᾶλλον ᾖ καθαρὸς (διότι ἴδιον τῶν τελείων τὸ μὴ ἑαυτοὺς ὑπεραίρειν· ἐπεὶ πάντως ὑπόδικοι τῇ ἀλαζονείᾳ τοῦ Φαρισαίου γενήσονται, ὃς, ἑαυτὸν δικαιῶν, κατέκρινε τὸν τελώνην), μετ᾽ ἐμοῦ (58) ζητείτω τὸν ἰατρὸν, καὶ μὴ πρὸ καιροῦ κρινέτω, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς ἀποκαλύψει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. Μεμνήσθω δὲ καὶ τοῦ εἰπόντος· *Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε*· καὶ, *Μὴ καταδικάζετε, ἵνα μὴ καταδικασθῆτε*. Ὅλως δὲ, ἀδελφοὶ, εἰ μὲν ἰάσιμα B ἡμῶν ἐστι τὰ πλημμελήματα, τί οὐχὶ πείθεται (59) τῷ διδασκάλῳ τῶν Ἐκκλησιῶν λέγοντι· *Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον*; Εἰ δὲ ἀνίατος ἡμῶν ἡ ἀνομία, τί οὐχὶ εἰς πρόσωπον ἡμῖν ἀντικαθίσταται, καὶ δημοσιεύσας ἡμῶν τὰ ἀνομήματα, ἐλευθεροῖ τῆς παρ᾽ ἡμῶν βλάβης τὰς Ἐκκλησίας; Μὴ τοίνυν ἀνάσχησθε τῆς ὑπ᾽ ὀδόντα λαλουμένης καθ᾽ ἡμῶν λοιδορίας. Τοῦτο γὰρ κἂν παιδίσκη μία τῶν ἐκ μύλωνος ποιήσειε, κἂν τῶν ἀγοραίων τις μεθ᾽ ὑπερβολῆς ἐπιδείξαιτο, οἷς ἡ γλῶσσα πρὸς πᾶσαν ἠκόνηται λοιδορίαν. Ἀλλ᾽ εἰσὶν ἐπίσκοποι· κληθῶσιν εἰς ἀκρόασιν. Ἔστι κλῆρος κατὰ πᾶσαν τοῦ Θεοῦ παροικίαν· συναχθήτωσαν οἱ δοκιμώτατοι. Λεγέτω μετὰ παῤῥησίας ὁ βουλόμενος, ἵνα ἔλεγχος ᾖ τὸ γινόμενον, C καὶ μὴ λοιδορία. Ὑπ᾽ ὄψιν ἀγέτω τὰ λανθάνοντά μου τῆς πονηρίας· μισείτω δὲ μηδὲ τότε, ἀλλὰ νουθετείτω ὡς ἀδελφόν. Ἐλεεῖσθαί που δικαιότεροί ἐσμεν παρὰ τῶν μακαρίων ἀνδρῶν καὶ ἀναμαρτήτων οἱ ἁμαρτωλοὶ (60) ἡμεῖς μᾶλλον ἢ χαλεπαίνεσθαι.

5. Εἰ δὲ περὶ πίστιν τὸ σφάλμα, δειχθήτω ἡμῖν ἡ συγγραφή· πάλιν ἴσον καὶ κοινὸν κριτήριον καθιστάτω. Ἀναγνωσθήτω τὸ ἔγκλημα. Δοκιμασθήτω, εἰ μὴ ἀγνοίᾳ τοῦ ἐγκαλοῦντος ἔγκλημα εἶναι δοκεῖ μᾶλλον, ἢ τῇ ἑαυτοῦ φύσει κατεγνωσμένον ἐστὶ τὸ γράμμα. Πολλὰ γὰρ τῶν καλῶν οὐ δοκεῖ εἶναι τοιαῦτα τοῖς τὸ κριτήριον τῆς διανοίας οὐκ ἀκριβὲς κεκτημένοις. Ἐπεὶ καὶ τὰ ἰσοβαρῆ τῶν ὄγκων οὐκ ἴσα εἶναι δοκεῖ, ὅταν μὴ ἰσοῤῥόπως ἔχωσι πρὸς ἀλλήλας αἱ πλάστιγγες. Καὶ τὸ μέλι ἤδη πικρόν τισι κατεφάνη, D τὴν γευστικὴν αἴσθησιν ὑπὸ τοῦ πάθους διεφθαρμένοις. Ἀλλὰ καὶ ὀφθαλμὸς οὐχ ὑγιῶς ἔχων πολλὰ μὲν τῶν ὄντων οὐκ εἶδε, πολλὰ δὲ τῶν οὐκ ὄντων ὑπέθετο. Καὶ τοίνυν καὶ ἐπὶ τῆς τῶν λόγων δυνάμεως τὸ ἴσον ὁρῶ πολλάκις γινόμενον, ὅταν της τῶν

Deum meum placare, et supplicium intentatum effugere. Sed hoc dico: is qui nostra judicat, si purum quidem habere se oculum affirmat, festucas in nostris oculis investiget. Confitemur enim nos plurima bene valentium cura indigere. Quod si hoc non dixerit et certe tanto minus dicet, quanto purior fuerit (siquidem proprium est perfectorum sese non efferre; alioquin omnino obnoxii arrogantiæ Pharisæi essent, qui sese justificans publicanum condemnabat), mecum quærat medicum; nec ante tempus judicet, donec veniat Dominus, qui revelabit occulta tenebrarum, et deteget consilia cordium [88]. Meminerit autem et illius, qui dixit: *Nolite judicare ut non judicemini* [89]: item, *Nolite condemnare, ut non condemnemini* [90]. Omnino **305** autem, fratres, siquidem sanabilia sunt nostra delicta; cur morem non gerit doctori Ecclesiarum dicenti, *Argue, increpa, obsecra* [91]? Sin autem insanabilis nostra iniquitas, cur contra non stat adversa fronte et evulgans nostra delicta, liberat a pernicie, quam inferimus, Ecclesias? Itaque ne feratis prolatum intra dentes contra nos convicium. Id enim vel una aliqua ex pistrino ancilla fecerit; in hoc supra modum enituerit unus aliquis ex hominibus abjectissimis, quorum lingua ad omne exacuta convicium. Sed sunt episcopi: vocentur ad audiendum. Est clerus in unaquaque Dei parœcia: congregentur spectatissimi. Libere loquatur qui volet, ut quod fiet probatio sit, non convicium. Oculis subjiciatur occulta mea improbitas: oderit autem ne tunc quidem, sed admoneat ut fratrem. Æquum est ut misericordiam hominibus beatis et peccati expertibus nos peccatores moveamus, magis quam indignationem.

5. Quod si circa fidem error est, ostendatur nobis scriptum: rursus æquum et commune judicium sedeat. Legatur crimen. Expendatur an non magis accusantis ignoratione crimen esse videatur, quam scriptum sua sponte condemnandum sit. Multa enim ex his quæ præclare se habent, talia esse non videntur hominibus accuratum mentis judicium non habentibus. Nam et æqualis ponderis moles non videntur esse æquales, si lances inter se æquilibres non sint. Ipsum etiam mel nonnullis visum est amarum, quorum gustus morbo corruptus. Sed et oculus non sanus multa eorum quæ sunt non videt, et multa quæ non sunt comminiscitur. Atque etiam in judicio de scriptis ferendo idem plerumque video fieri, cum eorum,

[88] I Cor. IV, 5. [89] Matth. VII, 1. [90] Luc. VI, 37. [91] II Tim. IV, 2.

(57) *Ἡμῶν τὸ ὄμμα*. Coisl. primus et Med. habent ἡμῖν. Paulo post editi καθαρὸς αὐτός. Omnes mss. ut in textu.

(58) *Μετ᾽ ἐμοῦ*. Sic libri veteres, pro eo quod erat in editis μήτ᾽ ἐμοῦ. Paulo post editi κριθῆτε καὶ τοῦ. Deest articulus in omnibus mss.

διεπώσασθε; Γρηγόριος οὐ κατεκαλύπτετο ἐπὶ τῶν προσευχῶν. Πῶς γάρ; ὅ γε τοῦ Ἀποστόλου γνήσιος μαθητὴς τοῦ εἰπόντος· *Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων καταισχύνει τὴν κεφαλὴν αὐτοῦ*· καὶ, *Ἀνὴρ μὲν οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν αὐτοῦ* (7), *εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων*. Ἔφευγε τοὺς ὅρκους ἡ καθαρὰ ἐκείνη ψυχὴ, καὶ ἀξία τῆς τοῦ ἁγίου Πνεύματος κοινωνίας, ἀρκουμένη τῷ ναὶ καὶ τῷ οὒ, διὰ τὸ πρόσταγμα τοῦ Κυρίου τοῦ εἰπόντος· *Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως*. Οὐχ ἠνείχετο εἰπεῖν τὸν ἑαυτοῦ ἀδελφὸν μωρὸν ἐκεῖνος· ἐφοβεῖτο γὰρ τὴν ἀπειλὴν τοῦ Κυρίου (8). Θυμὸς καὶ ὀργὴ καὶ πικρία ἐκ τοῦ στόματος ἐκείνου οὐκ ἐξεπορεύετο. Λοιδορίαν ἐμίσει ὡς εἰς βασιλείαν οὐρανῶν οὐκ εἰσάγουσαν. Φθόνος καὶ ὑπερηφάνεια τῆς ἀδόλου ψυχῆς ἐκείνης ἀπελήλατο. Οὐκ ἂν παρέστη τῷ θυσιαστηρίῳ, πρὶν καταλλαγῆναι τῷ ἀδελφῷ. Ψευδῆ λόγον καὶ τεχνικὸν ἐπὶ διαβολῇ τινων μεμηχανημένον οὕτως ἐβδελύττετο, ὡς εἰδὼς, ὅτι τὸ ψεῦδος ἐκ τοῦ διαβόλου γεγένηται, καὶ ὅτι Κύριος ἀπολεῖ πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Τούτων εἰ μηδέν ἐστιν ἐν ὑμῖν, ἀλλὰ καθαρεύετε πάντων· τῷ ὄντι ἐστὲ μαθηταὶ τοῦ μαθητοῦ τῶν ἐντολῶν τοῦ Κυρίου. Εἰ δὲ μὴ, σκοπεῖτε μὴ τὸν κώνωπα διυλίζετε, περὶ μὲν ἤχου φωνῆς τοῦ κατὰ τὰς ψαλμῳδίας ἀκριβολογούμενοι, τὰς δὲ μεγίστας τῶν ἐντολῶν παραλύοντες. Εἰς τούτους με τοὺς λόγους ἤγαγεν ἡ ἀνάγκη τῆς ἀπολογίας, ἵνα διδαχθῆτε ἐκβάλλειν τὴν δοκὸν τῶν ὀφθαλμῶν ὑμῶν, καὶ τότε ἐξαίρειν τὰ ἀλλότρια κάρφη. Πλὴν ἀλλὰ πάντα συγχωροῦμεν, εἰ καὶ ὅτι οὐδὲν ἀνεξέταστον παρὰ τῷ Θεῷ. Μόνον ἐῤῥώσθω τὰ προηγούμενα, καὶ τὰς περὶ τὴν πίστιν καινοτομίας καταπιγάσατε. Τὰς ὑποστάσεις μὴ ἀθετεῖτε. Τὸ ὄνομα τοῦ Χριστοῦ μὴ ἀπαρνεῖσθε. Τὰς τοῦ Γρηγορίου φωνὰς μὴ παρεξηγεῖσθε. Εἰ δὲ μὴ, ἕως ἂν ἐμπνέωμεν καὶ δυνώμεθα φθέγγεσθαι, ἀμήχανον ἡμᾶς ἐπὶ τοσαύτῃ λύμῃ ψυχῶν σιωπᾶν.

A vastis? Gregorius non operiebatur **312** in precibus. Quomodo enim? qui verus erat Apostoli discipulus dicentis: *Omnis vir orans aut prophetans velato capite, deturpat caput suum* [93], et *Vir quidem non debet velare caput suum, cum sit imago et gloria Dei* [94]. Juramenta fugiebat pura illa anima, et digna Spiritus sancti consortio, contenta his vocibus: *Ita* et *Non*, propter præceptum Domini, qui dixit: *At ego dico vobis, ne juretis omnino* [95]. Non audebat ille fratrem suum fatuum appellare [96]; verebatur enim comminationem Domini. Indignatio et ira et acerbitas ex illius ore non proficiscebantur. Convicium odio habebat, ut in regnum cœlorum non perducens. Invidia et arrogantia ab illa doli experte anima facessebant. Non accessisset ad B altare, antequam reconciliaretur fratri. Mendacem sermonem et artificiose ad aliquorum calumniam instructum ita abominabatur, ut qui sciret mendacium ex diabolo ortum esse, Dominumque eos omnes qui mendacium loquuntur, perditurum [97]. Horum si nihil in vobis est, sed puri estis ab omnibus; vere discipuli estis ejus, qui mandatorum Domini discipulus fuit. Sin minus, videte ne culicem coletis, de vocis quidem sono in psalmorum cantu litigantes, mandata vero maxima dissolventes. Ad hos me sermones adduxit necessitas causæ defendendæ, ut discatis trabem ex oculis vestris ejicere, et ita demum festucas alienas extrahere. Verumtamen omnia condonamus; quanquam nihil C est quod non perscrutetur Dominus. Tantummodo sana sint quæ sunt præcipua, et novitates circa fidem compescite. Hypostases ne evertatis. Nomen Christi ne abnegetis. Gregorii verba ne falso interpretemini. Alioquin dum respirabimus, loquendique erit facultas, fieri non poterit ut in tanta animarum pernicie sileamus.

ΕΠΙΣΤΟΛΗ ΣΗ΄.

EPISTOLA CCVIII*.

Eulancium rogat ne se Neocæsariensium causa oderit, qui olim propter se ab aliis odio habebatur.

Εὐλαγκίῳ (9).

Μακρὸν ἀπεσιώπησας χρόνον, καὶ ταῦτα λαλίστατος ὢν, καὶ μελέτην τοῦτο καὶ τέχνην ποιησάμενος, ἀεί τι λαλεῖν (10) καὶ σεαυτὸν δεικνύναι διὰ τῶν

Eulancio

Diu tacuisti, idque cum sis loquacissimus, atque hoc exercitationis artisque loco habueris, semper aliquid loqui, et teipsum dicendo ostendere. Sed

[93] I Cor. XI, 4. [94] ibid. 7. [95] Matth. v, 35. [96] ibid. 22. [97] Psal. v, 7.

cessa in martyrum Memoriis fuisse, ut eorum, qui a simulacrorum cultu recentes venerant, infirmitati consuleret; sed ea temporis progressu in spiritualem lætitiam magna ex parte conversa, *Vit. Greg*, p. 574., 2. Neque etiam secum ipse pugnat Basilius, cum Neocæsarienses laudat in libro *De Spiritu sancto*, quod Gregorii instituta arctissime teneant, hic autem vituperat, quod ea omnino reliquerint. Illic enim respicit ad exteriora instituta, hic autem ad virtutum exempla, convicii et iracundiæ fugam, odium jurisjurandi et mendacii.

(7) *Τὴν κεφαλὴν αὐτοῦ*. Desunt hæc verba in quinque veteribus libris. In Medicæo autem et D Harl. deest tantum illud αὐτοῦ. Videtur hanc Neocæsariensium consuetudinem animo intueri Basilius, cum statuit in Regula morali 56, cap. 7, nec viros tecto capite, nec mulieres detecto, precari debere.

(8) *Τοῦ Κυρίου*. Harl. et Med. τοῦ Θεοῦ.

(9) *Εὐλαγκίῳ*. Addunt Coisl. primus et Med. φιλικὴ προσηγορία, *amica salutatio*. Harl. Εὐλακκίῳ.

(10) *Ἀεί τι λαλεῖν*. Coisl. primus, Harl. et Paris. ἀεὶ, τὸ λαλεῖν, *hoc exercitationis artisque loco semper habueris, loqui* etc., id est, dicendi arti semper studueris. Quamvis hæc scriptura non omnino displiceat, potior tamen videtur vulgata, et magis

* Alias CCLXXXI. Scripta anno 375.

calumniæ opus auctorem manifestum habet : qui, cum ex multis malefactis notus sit, tamen hac maxime nequitia dignoscitur, ita ut nomen ei factum fuerit peccatum. Sed tamen ferte meam dicendi libertatem : utramque aurem meis sycophantis aperientes, omnia animo citra examen recipitis, nec quisquam **304** est qui mendacium a veritate secernat. Quis unquam malarum criminationum penuria laboravit, solus contendens? quis mentiens convictus, absente eo qui calumniis appetitur? quænam oratio non probabilis audientibus, si maledicus asseveret rem ita se habere, is autem cui maledicitur, nec adsit, nec contumelias audiat? Nonne et ipsa sæculi consuetudo hæc vos edocet, eum, qui æquus et communis auditor futurus est, non debere totum abduci a praeoccupante, sed et defensionem exspectare ejus, qui reus agitur, ut sic ex collatione utriusque sermonis, veritas elucescat? *Justum judicium judicate* [86] : præceptum est unum ex maxime necessariis ad salutem.

3. Atque hæc dico, non oblitus verborum Apostoli, qui fugiens humana judicia, totam suam vitam illius judicii, quod decipi non potest, examini reservabat, ubi ait : *Mihi autem pro minimo est ut a vobis judicer, aut ab humano die* [87]. Sed tamen quia aures vestras falsæ criminationes præoccuparunt, ac calumniis petita est vita nostra, petita etiam nostra in Deum fides ; haud ignorans tres simul personas a calumniatore lædi : nocet enim et ei quem calumniatur, et iis quos alloquitur, et sibi ipse : de meo equidem damno tacuissem, probe sciatis, non quod vestram existimationem contemnam (quomodo enim qui, ne eam amittam, hæc scribo et nunc contendo?), sed quod videam ex tribus qui læduntur, eum qui minus læditur, me esse. Ego enim vestri jacturam facio, vobis veritas eripitur ; et qui horum auctor est, me quidem a vobis sejungit, ipse vero se a Domino abalienat : fieri enim non potest ut quis Deo, vetita patrando, conjungatur. Vestra igitur causa magis quam mea loquor, et ut vos damno intolerabili eximam. Quod enim majus cuiquam malum accidat, quam si rem omnium pretiosissimam amittat veritatem ?

4. Quid igitur dico, fratres? Non peccati expertem me esse, nec vitam meam refertam non esse innumeris delictis. Nam me ipse novi, nec cesso lacrymas ob peccata perfundere, si forte possim

A μᾶλλον ἴδω τὸ σπουδαζόμενον· ἐπειδὴ τὸ τῆς διαβολῆς ἔργον φανερὸν ἔχει τὸν καθηγούμενον· ὅς, ἀπὸ πολλῶν ὑπάρχων ἀδικημάτων γνώριμος, ἀπὸ ταύτης μάλιστα τῆς πονηρίας χαρακτηρίζεται, ὥστε καὶ ὄνομα αὐτῷ γενέσθαι τὴν ἁμαρτίαν. Πλὴν ἀλλ' ὑμεῖς ἀνάσχεσθέ μου τῆς παῤῥησίας· ἀμφοτέρας τὰς ἀκοὰς τοῖς διαβάλλουσιν ἡμᾶς ἀναπετάσαντες, πάντα ἀνεξετάστως ταῖς ψυχαῖς παραδέχεσθε· καὶ οὐδεὶς ὁ τοῦ ἀληθοῦς τὸ ψεῦδος φυλοκρινῶν (53). Τίς ἠπόρησέ ποτε πονηρῶν ἐγκλημάτων μόνος ἀγωνιζόμενος; τίς ἠλέγχθη ψευδόμενος, μὴ παρόντος τοῦ συκοφαντουμένου; ποῖον ῥῆμα οὐκ ἔστι πιθανὸν τοῖς ἀκούουσιν, ἐὰν ὁ μὲν λοίδορος διατείνηται, ἦ μὴν οὕτως ἔχειν, ὁ δὲ λοιδορούμενος μήτε παρῇ, μήτε ἐπακούῃ τῶν βλασφημιῶν; Οὐδὲ αὐτὴ ἡ τοῦ βίου συνήθεια παιδεύει B ὑμᾶς πρὸς ταῦτα, ὅτι δεῖ τὸν μέλλοντα ἴσον καὶ κοινὸν ἀκροατὴν γενήσεσθαι (54), μὴ ὅλον ἀπάγεσθαι παρὰ τοῦ προλαβόντος, ἀλλ' ἀναμένειν καὶ τὴν ἀπολογίαν τοῦ ἐναγομένου, ἵν' οὕτως ἐκ τῆς παραθέσεως ἑκατέρων τῶν λόγων διαδειχθῇ ἡ ἀλήθεια; *Κρῖμα δίκαιον κρίνατε*· πρόσταγμά ἐστιν ἓν τῶν ἀναγκαιοτάτων εἰς σωτηρίαν.

3. Καὶ ταῦτα λέγω, οὐκ ἐπιλελησμένος τῶν ἀποστολικῶν ῥημάτων, ὅτι, φεύγων ἐκεῖνος τὰ ἀνθρώπινα κριτήρια, ὅλον ἑαυτοῦ τὸν βίον ταῖς εὐθύναις τοῦ ἀνεξαπατήτου δικαστηρίου ἐταμιεύετο ἐν οἷς φησιν· *Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας*. Ἀλλ' ὅμως ἐπειδὴ προλαβοῦσαι διαβολαὶ ψευδεῖς κατέσχον ὑμῶν τὰς ἀκοάς, καὶ διαβέβληται μὲν ἡμῶν ὁ βίος, διαβέC βληται δὲ ἡ περὶ τὸν Θεὸν ἡμῶν πίστις, εἰδώς, ὅτι τρισὶν ὁμοῦ προσώποις τὴν βλάβην προστρίβεται ὁ διαβάλλων· τόν τε γὰρ συκοφαντούμενον ἀδικεῖ, καὶ πρὸς οὓς ὁ λόγος ἐστὶν αὐτῷ, καὶ ἑαυτόν· τῆς μὲν ἐμαυτοῦ βλάβης κἂν ἀπεσιώπησα, εὖ ἴστε, οὐ καταφρονῶν τῆς παρ' ὑμῖν (55) ὑπολήψεως, (πῶς γὰρ ὅς γε, ἵνα μὴ ταύτην ζημιωθῶ, ταῦτα ἐπιστέλλω καὶ ἀγωνίζομαι νῦν;) ἀλλ' ὁρῶν, ὅτι ἐν τρισὶ τοῖς βλαπτομένοις ὁ τὰ ἐλάττονα ζημιούμενος, εἰμὶ ἐγώ. Ἐγὼ μὲν γὰρ ὑμᾶς ἀποστεροῦμαι, ὑμεῖς δὲ τὴν ἀλήθειαν ἀφαιρεῖσθε· καὶ ὁ τούτων αἴτιος ἐμὲ μὲν ὑμῶν διίστησιν, ἑαυτὸν δὲ ἀλλοτριοῖ τοῦ Κυρίου· διότι οὐκ ἔστι Θεῷ ἐκ τῶν ἀπηγορευμένων οἰκειωθῆναι. Ὑμῶν οὖν μᾶλλον ἕνεκεν ἢ ἐμαυτοῦ ποιοῦμαι τοὺς λόγους· καὶ τοῦ ὑμᾶς ἐξελέσθαι βλάβης οὐκ ἀνεκτῆς. Τί γὰρ D ἂν καὶ μεῖζον πάθοι (56) κακόν τις τὸ τιμιώτατον τῶν ὄντων ζημιωθεὶς, τὴν ἀλήθειαν;

4. Τί οὖν φημι, ἀδελφοί; Οὐχ ὅτι ἀναμάρτητός τις ἐγώ, οὐθ' ὅτι ὁ βίος ὁ ἐμὸς οὐχὶ πλήρης ἐστὶ μυρίων ἐλαττωμάτων· οἶδα γὰρ ἐμαυτὸν, καὶ οὐ διαλείπω γε στάζων τὸ δάκρυον ὑπὲρ τῶν ἁμαρτημά-

[86] Joan. vii, 24. [87] I Cor. iv, 3.

(53) *Φυλοκρινῶν*. Ita tres vetustissimi codices, nisi quod in Med. legitur φυλλοκρινῶν. Editi φιλοκρινῶν. Scriptura codicum mss. confirmatur ex libro *De Spiritu sancto* c. 29, p. 73, et epist. 237.

(54) *Γενήσεσθαι*. Med. et Coisl. primus γενέσθαι.

(55) *Τῆς παρ' ὑμῖν*. Ita tres vetustissimi codices et Reg. primus. Editi τῆς παρ' ὑμῶν. Mox editio 2 Paris. εἰμί. Ἐγὼ μὲν γάρ. Aliæ et mss. ut in textu.

(56) *Πάθοι*. Ita tres vetustissimi mss. et alii nonnulli. Editi πάθῃ, excepta tamen editione Hagan.

των, εἴ πως δυνηθείην ἐξιλάσασθαί μου τὸν Θεὸν, A καὶ διαφυγεῖν τὴν ἀπειληθεῖσαν κόλασιν· ἀλλ' ὅτι ὁ τὰ ἡμέτερα κρίνων, εἰ μὲν καθαρὸν ἔχειν διαβεβαιοῦται τὸν ὀφθαλμὸν, καρφολογείτω ἡμῶν τὸ ὄμμα (57). Ὁμολογοῦμεν γὰρ δεῖσθαι πολλῆς τῆς ἐκ τῶν ὑγιαινόντων ἐπιμελείας· εἰ δὲ τοῦτο μὲν οὐκ ἂν εἴποι, καὶ τοσούτῳ γε πλέον οὐκ ἐρεῖ, ὅσῳπερ ἂν μᾶλλον ᾖ καθαρὸς (διότι ἴδιον τῶν τελείων τὸ μὴ ἑαυτοὺς ὑπεραίρειν· ἐπεὶ πάντως ὑπόδικοι τῇ ἀλαζονείᾳ τοῦ Φαρισαίου γενήσονται, ὃς, ἑαυτὸν δικαιῶν, κατέκρινε τὸν τελώνην), μετ' ἐμοῦ (58) ζητείτω τὸν ἰατρὸν, καὶ μὴ πρὸ καιροῦ κρινέτω, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς ἀποκαλύψει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. Μεμνήσθω δὲ καὶ τοῦ εἰπόντος· *Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε·* καὶ, *Μὴ καταδικάζετε, ἵνα μὴ καταδικασθῆτε.* B Ὅλως δὲ, ἀδελφοὶ, εἰ μὲν ἰάσιμα ἡμῶν ἐστι τὰ πλημμελήματα, τί οὐχὶ πείθεται (59) τῷ διδασκάλῳ τῶν Ἐκκλησιῶν λέγοντι· *Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον;* Εἰ δὲ ἀνίατος ἡμῶν ἡ ἀνομία, τί οὐχὶ εἰς πρόσωπον ἡμῖν ἀντικαθίσταται, καὶ δημοσιεύσας ἡμῶν τὰ ἀνομήματα, ἐλευθεροῖ τῆς παρ' ἡμῶν βλάβης τὰς Ἐκκλησίας; Μὴ τοίνυν ἀνάσχησθε τῆς ὑπ' ὀδόντα λαλουμένης καθ' ἡμῶν λοιδορίας. Τοῦτο γὰρ κἂν παιδίσκη μία τῶν ἐκ μύλωνος ποιήσειε, κἂν τῶν ἀγοραίων τις μεθ' ὑπερβολῆς ἐπιδείξαιτο, οἷς ἡ γλῶσσα πρὸς πᾶσαν ἠκόνηται λοιδορίαν. Ἀλλ' εἰσὶν ἐπίσκοποι· κληθῶσιν εἰς ἀκρόασιν. Ἔστι κλῆρος κατὰ πᾶσαν τοῦ Θεοῦ παροικίαν· συναχθήτωσαν οἱ δοκιμώτατοι. Λεγέτω μετὰ παῤῥησίας ὁ βουλόμενος, ἵνα ἔλεγχος ᾖ τὸ γινόμενον, C καὶ μὴ λοιδορία. Ὑπ' ὄψιν ἀγέτω τὰ λανθάνοντά μου τῆς πονηρίας· μισείτω δὲ μηδὲ τότε, ἀλλὰ νουθετείτω ὡς ἀδελφόν. Ἐλεεῖσθαί που δικαιότεροί ἐσμεν παρὰ τῶν μακαρίων ἀνδρῶν καὶ ἀναμαρτήτων οἱ ἁμαρτωλοὶ (60) ἡμεῖς μᾶλλον ἢ χαλεπαίνεσθαι.

5. Εἰ δὲ περὶ πίστιν τὸ σφάλμα, δειχθήτω ἡμῖν ἡ συγγραφή· πάλιν ἴσον καὶ κοινὸν κριτήριον καθιζέσθω. Ἀναγνωσθήτω τὸ ἔγκλημα. Δοκιμασθήτω, εἰ μὴ ἀγνοίᾳ τοῦ ἐγκαλοῦντος ἔγκλημα εἶναι δοκεῖ μᾶλλον, ἢ τῇ ἑαυτοῦ φύσει κατεγνωσμένον ἐστὶ τὸ γράμμα. Πολλὰ γὰρ τῶν καλῶν οὐ δοκεῖ εἶναι τοιαῦτα τοῖς τὸ κριτήριον τῆς διανοίας οὐκ ἀκριβὲς κεκτημένοις. Ἐπεὶ καὶ τὰ ἰσοβαρῆ τῶν ὄγκων οὐκ ἴσα εἶναι δοκεῖ, ὅταν μὴ ἰσοῤῥόπως ἔχωσι πρὸς ἀλλήλας αἱ πλάστιγγες. D Καὶ τὸ μέλι ἤδη πικρόν τισι κατεφάνη, τὴν γευστικὴν αἴσθησιν ὑπὸ τοῦ πάθους διεφθαρμένοις. Ἀλλὰ καὶ ὀφθαλμὸς οὐχ ὑγιῶς ἔχων πολλὰ μὲν τῶν ὄντων οὐκ εἶδε, πολλὰ δὲ τῶν οὐκ ὄντων ὑπέθετο. Καὶ τοίνυν καὶ ἐπὶ τῆς τῶν λόγων δυνάμεως τὸ ἴσον ὁρῶ πολλάκις γινόμενον, ὅταν της τῶν

Deum meum placare, et supplicium intentatum effugere. Sed hoc dico : is qui nostra judicat, si purum quidem habere se oculum affirmat, festucas in nostris oculis investiget. Confitemur enim nos plurima bene valentium cura indigere. Quod si hoc non dixerit et certe tanto minus dicet, quanto purior fuerit (siquidem proprium est perfectorum sese non efferre; alioquin omnino obnoxii arrogantiæ Pharisæi essent, qui sese justificans publicanum condemnabat), mecum quærat medicum; nec ante tempus judicet, donec veniat Dominus, qui revelabit occulta tenebrarum, et deteget consilia cordium [88]. Meminerit autem et illius, qui dixit : *Nolite judicare ut non judicemini* [89] : item, *Nolite condemnare, ut non condemnemini* [90]. Omnino **305** autem, fratres, siquidem sanabilia sunt nostra delicta; cur morem non gerit doctori Ecclesiarum dicenti, *Argue, increpa, obsecra* [91]? Sin autem insanabilis nostra iniquitas, cur contra non stat adversa fronte et evulgans nostra delicta, liberat a pernicie, quam inferimus, Ecclesias? Itaque ne feratis prolatum intra dentes contra nos convicium. Id enim vel una aliqua ex pistrino ancilla fecerit; in hoc supra modum enituerit unus aliquis ex hominibus abjectissimis, quorum lingua ad omne exacuta convicium. Sed sunt episcopi : vocentur ad audiendum. Est clerus in unaquaque Dei parœcia : congregentur spectatissimi. Libere loquatur qui volet, ut quod fiet probatio sit, non convicium. Oculis subjiciatur occulta mea improbitas : oderit autem ne tunc quidem, sed admoneat ut fratrem. Æquum est ut misericordiam hominibus beatis et peccati expertibus nos peccatores moveamus, magis quam indignationem.

5. Quod si circa fidem error est, ostendatur nobis scriptum : rursus æquum et commune judicium sedeat. Legatur crimen. Expendatur an non magis accusantis ignoratione crimen esse videatur, quam scriptum sua sponte condemnandum sit. Multa enim ex his quæ præclare se habent, talia esse non videntur hominibus accuratum mentis judicium non habentibus. Nam et æqualis ponderis moles non videntur esse æquales, si lances inter se æquilibres non sint. Ipsum etiam mel nonnullis visum est amarum, quorum gustus morbo corruptus. Sed et oculus non sanus multa eorum quæ sunt non videt, et multa quæ non sunt comminiscitur. Atque etiam in judicio de scriptis ferendo idem plerumque video fieri, cum eorum,

[88] I Cor. IV, 5. [89] Matth. VII, 1. [90] Luc. VI, 37. [91] II Tim. IV, 2.

(57) *Ἡμῶν τὸ ὄμμα.* Coisl. primus et Med. habent ἡμῖν. Paulo post editi καθαρὸς αὐτός. Omnes mss. ut in textu.

(58) *Μετ' ἐμοῦ.* Sic libri veteres, pro eo quod erat in editis μήτ' ἐμοῦ. Paulo post editi κριθῆτε καὶ τοῦ. Deest articulus in omnibus mss.

(59) *Πείθεται.* Sic Med. et Harl. cum tribus aliis. Editi πείθεσθε. Confirmatur hæc scriptura, tum ex his quæ sequuntur, tum etiam ex aliis ad Neocæsarienses epistolis, in quibus Basilius odii et dissensionis causas in eorum episcopum videtur potissimum conferre. Sed ea de re uberius agemus in *Vita S. Basilii.*

(60) *Οἱ ἁμαρτωλοί.* Sic mss. sex. Editi εἰ ἁμαρτωλοί.

qui scripserunt, facultate judex inferior est. Nam iisdem fere præsidiis instructos esse oportet, et qui de scriptis judicat, et qui scribit. Nisi forte de agriculturæ operibus non potest judicare qui non est agricola; et quid dissonum consonumve in musicis modis non dignoscet musicæ non peritus: statim vero sermonum erit judex, quicunque voluerit; qui tamen nec præceptorem suum potest ostendere, nec tempus quo didicit, nec quidquam omnino majus minusve de litteris audivit. Jam vero ego novi et in Spiritus oraculis non licere cuilibet examen aggredi verborum; sed ei, qui Spiritum habet discernendi; quemadmodum docuit nos Apostolus, qui in donorum divisionibus dixit: *Huic quidem per Spiritum datur sermo sapientiæ, alii vero sermo scientiæ secundum eumdem Spiritum: alii fides in eodem Spiritu: alii operationes virtutum: alii prophetia, alii discretiones spirituum* [92]. Quare si nostra quidem spiritualia sunt, ostendat se habere donum discretionis spiritualium, qui nostra judicare vult. Sin autem, ut ipse conviciatur, a **306** sapientia hujus mundi proficiscuntur; ostendat peritum sese mundi sapientiæ, et tunc ei suffragia judicii committemus. Nec quisquam putet hæc ad fugiendas probationes a me excogitari. Permitto enim vobis, fratres optatissimi, ut eorum, de quibus accusor, examen penes vos sit. An usque adeo tardo estis ingenio, ut omnibus patronis indigeatis ad veritatem inveniendam? Sed si per se minime controversa vobis videantur, persuadete nugatoribus, ut contentionis studium dimittant. Si vero non nihil videtur esse ambigui, interrogate nos per aliquos internuntios, qui nostra ministrare fideliter possint: aut etiam scriptas, si ita videbitur, exposcite a nobis explanationes. Omnino autem omni modo curate, ut ne ista citra examen relinquatis.

. Nostræ autem fidei quæ possit illustrior esse probatio, quam quod educati sumus sub avia beata muliere, ex vobis orta? Macrinam dico celeberrimam illam, a qua edocti sumus beatissimi Gregorii verba, quæcunque usque ad ipsam memoriæ con-

A συγγραψαμένων ἕξεως ὁ κριτὴς ἀπολιμπάνηται. Δεῖ γὰρ σχεδὸν ἐκ τῆς αὐτῆς παρασκευῆς ὡρμῆσθαι τόν τε κρίνοντα τοὺς λόγους καὶ τὸν συγγράφοντα. Ἢ τὰ μὲν γεωργίας ἔργα οὐ δυνατός (61) ἐστι κρίνειν ὅγε μὴ γεωργικὸς, καὶ τὸ ἐκμελές τε καὶ ἐμμελὲς τῶν κατὰ μουσικὴν ῥυθμῶν οὐ διαγνώσεται ὁ μὴ τὴν ἐπιστήμην ἔχων τῆς μουσικῆς· λόγων δὲ κριτὴς εὐθὺς ὁ βουλόμενος ἔσται (62), ὁ μήτε διδάσκαλον ἔχων ἑαυτοῦ δεικνύναι, οὔτε χρόνον ἐν ᾧ μεμάθηκεν, οὔτε ὅλως ἐπαΐων τι μικρὸν ἢ μεῖζον τῶν περὶ λόγους. Ἐγὼ δὲ ὁρῶ, ὅτι καὶ ἐν τοῖς λογίοις τοῦ Πνεύματος (63) οὐ παντὶ ἐξῆν ἐπιβάλλειν τῇ ἐξετάσει τῶν εἰρημένων, ἀλλὰ τῷ ἔχοντι τὸ Πνεῦμα τῆς διακρίσεως, καθὼς ἐδίδαξεν ἡμᾶς ὁ Ἀπόστολος, ἐν ταῖς διαιρέσεσι τῶν χαρισμάτων εἰπών· *Ὧ μὲν γὰρ διὰ* B *τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα· ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι* (64)· *ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων· ἄλλῳ προφητεία, ἄλλῳ διακρίσεις πνευμάτων*. Ὥστε εἰ μὲν πνευματικὰ τὰ ἡμέτερα, δεικνύτω ἑαυτὸν ἔχοντα τὸ χάρισμα τῆς διακρίσεως τῶν πνευματικῶν ὁ τὰ ἡμέτερα κρίνειν βουλόμενος· εἰ δὲ, ὡς αὐτὸς λοιδορεῖ, ἀπὸ τῆς σοφίας ἐστὶ τοῦ κόσμου τούτου, δειξάτω ἑαυτὸν ἔμπειρον τῆς σοφίας τοῦ κόσμου (65), καὶ τότε αὐτῷ τὰς ψήφους τῆς κρίσεως ἐπιτρέψομεν. Καὶ μηδεὶς οἰέσθω ταῦτα πρὸς ἀποφυγὴν τῶν ἐλέγχων ἐπινοεῖσθαι παρ' ἡμῶν. Ὑμῖν γὰρ ἐπιτρέπω, ποθεινότατοι ἀδελφοὶ, ἐφ' ἑαυτῶν ποιήσασθαι τῶν ἐγκαλουμένων ἡμῖν τὴν C ἐξέτασιν. Οὕτως ἐστὲ βραδεῖς τὴν διάνοιαν, ὥστε πάντων δεῖσθαι (66) τῶν συνηγόρων πρὸς τὴν τοῦ ἀληθοῦς εὕρεσιν; Ἀλλ' ἐὰν μὲν ἀναντίῤῥητα ὑμῖν φανῇ ἐφ' ἑαυτῶν, πείσατε τοὺς ἐρεσχελοῦντας ἀφέσθαι πάσης φιλονεικίας· ἐὰν δέ τι δοκεῖ (67) καὶ ἀμφίβολον ἔχειν, ἐρωτήσατε ἡμᾶς διά τινων μεσιτῶν, δυναμένων πιστῶς διακονήσασθαι τὰ ἡμέτερα· ἢ καὶ ἐγγράφους, εἰ δοκεῖ, ἀπαιτήσατε ἡμᾶς τὰς ἀποδείξεις. Πάντως δὲ παντὶ τρόπῳ σπουδάσατε μὴ ἀνεξέταστα ταῦτα καταλιπεῖν.

6. Πίστεως δὲ τῆς ἡμετέρας τίς ἂν καὶ γένοιτο (68) ἐναργεστέρα ἀπόδειξις ἢ ὅτι τραφέντες ἡμεῖς ὑπὸ τίτθῃ μακαρίᾳ γυναικὶ, παρ' ὑμῶν ὡρμημένῃ; Μακρίναν λέγω τὴν περιβόητον, παρ' ἧς ἐδιδάχθημεν τὰ τοῦ μακαριωτάτου Γρηγορίου ῥήματα, ὅσα πρὸς

[92] I Cor. XII, 8-10.

(61) *Οὐ δυνατός*. Harl. et duo alii ἀδύνατος.

(62) *Ὁ βουλόμενος ἔσται*. Ita mss. sex. Editi ἔσεται.

(63) *Λογίοις τοῦ Πνεύματος*. Ita mss. et vetustæ editiones. Basileensis secunda et Paris. habent λόγοις Πνεύματος ἁγίου.

(64) *Πνεύματι*. Addunt editi ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ Πνεύματι. Sed hæc desunt in omnibus nostris mss.

(65) *Τοῦ κόσμου*. Editi addunt τούτου quod deest in sex nostris mss. Non difficile est ex hoc loco perspicere, episcopum illum Neocæsariensem, qui Basilio tantum molestiæ exhibuit, indoctum hominem fuisse. Atque id confirmatur ex epistola 207, n. 1, ubi eum Basilius ait lingua perstrepere, et cavillationibus suis verisimilitudinis colorem illinere non posse.

D (66) *Πάντων δεῖσθαι*. Editio Basileensis secunda et Parisiensis πάντως δεῖσθαι, *ut omnino patronis indigeatis*. Etsi hæc scriptura videtur prima specie satis commode posita, tamen longe præferenda est ea quam in textum recepimus. Nititur enim auctoritate sex codicum mss., Harl., Med., Coisl. utriusque et utriusque Regii, et editionum Hagan. ac Basileensis primæ. Præterea melius conducit proposito Basilii, qui peracute declarat absurde facturos Neocæsarienses, si per se ipsi dijudicare nolint, quasi omnes patroni et ejusmodi judicium essent advocandi.

(67) *Δοκεῖ*. Sic tres vetustissimi codices. Editi δοκῇ, excepta tamen editione Haganoensi.

(68) *Καὶ γένοιτο*. Conjunctio addita ex sex mss.

αὐτὴν ἀκολουθίᾳ μνήμης διασωθέντα αὐτή τε ἐφύλαττε, καὶ ἡμᾶς ἔτι νηπίους ὄντας ἔπλαττε καὶ ἐμόρφου τοῖς τῆς εὐσεβείας δόγμασιν. Ἐπειδὴ δὲ καὶ αὐτοὶ τὴν τοῦ φρονεῖν δύναμιν ἀπελάβομεν, τοῦ λόγου ἡμῖν διὰ τῆς ἡλικίας συμπληρωθέντος, πολλὴν ἐπελθόντες γῆν τε καὶ θάλασσαν, εἴ τινας εὕρομεν τῷ παραδοθέντι κανόνι τῆς εὐσεβείας στοιχοῦντας, τούτους καὶ πατέρας ἐπεγραψάμεθα, καὶ ὁδηγοὺς τῶν ψυχῶν ἡμῶν εἰς τὴν πρὸς Θεὸν πορείαν ἐποιησάμεθα. Καὶ μέχρι γε τῆς ὥρας ταύτης, χάριτι τοῦ καλέσαντος ἡμᾶς κλήσει ἁγίᾳ εἰς τὴν ἑαυτοῦ ἐπίγνωσιν, οὐδένα οἴδαμεν λόγον ἐχθρὸν τῆς ὑγιαινούσης διδασκαλίας ταῖς καρδίαις παραδεξάμενοι· οὐδὲ μολυνθέντες ποτὲ τὰς ψυχὰς τῇ δυσωνύμῳ τῶν Ἀρειανῶν βλασφημίᾳ. Ἀλλ' εἴ τινάς ποτε ὡρμημένους ἐξ ἐκείνου τοῦ διδασκάλου εἰς κοινωνίαν προσελαβόμεθα, ἐπικρυπτομένους τὴν ἐν τῷ βάθει νόσον, καὶ ῥήματα λαλοῦντας εὐσεβῆ, ἢ τοῖς γε παρ' ἡμῶν λεγομένοις μὴ ἀντιτείνοντας, οὕτω προσηκάμεθα, οὔτε πᾶσαν ἑαυτοῖς τὴν κατ' αὐτοὺς (69) κρίσιν ἐπιτρέψαντες, ἀλλὰ ταῖς προεξενεχθείσαις περὶ αὐτῶν ψήφοις παρὰ τῶν Πατέρων ἡμῶν ἀκολουθήσαντες. Ἐγὼ γὰρ δεξάμενος γράμματα (70) τοῦ μακαριωτάτου Πατρὸς Ἀθανασίου τοῦ τῆς Ἀλεξανδρείας ἐπισκόπου, ἃ καὶ ἔχω ἐν ταῖς χερσὶ, καὶ προβάλλομαι τοῖς ἐπιζητοῦσιν, ἐν οἷς φανερῶς διηγόρευσαν, εἴ τις ἐκ τῆς τῶν Ἀρειανῶν αἱρέσεως βούλοιτο μετατίθεσθαι, ὁμολογῶν τὴν ἐν Νικαίᾳ πίστιν (71), τοῦτον προσίεσθαι, μηδὲν διακρινομένους ἐπ' αὐτῷ· καὶ τούτου τοῦ δόγματος κοινωνούς μοι παρεχομένου τούς τε τῆς Μακεδονίας καὶ τῆς Ἀχαΐας ἐπισκόπους ἅπαντας· νομίζων ἀναγκαῖον εἶναι ἀκολουθεῖν ἀνδρὶ τοσούτῳ διὰ τὸ ἀξιόπιστον τῶν νομοθετησάντων, ὁμοῦ δὲ καὶ ἐπιθυμῶν τὸν τῆς εἰρηνοποιίας μισθὸν ὑποδέξασθαι, τοὺς ταύτην ὁμολογοῦντας τὴν πίστιν ἐγκατέταττον τῇ μερίδι τῶν κοινωνικῶν.

A tinuatione conservata cum ipsa custodiebat, tum nos adhuc infantes fingebat et informabat pietatis dogmatibus. Postquam autem et nos sapiendi facultatem accepimus, ratione in nobis per ætatem completa, multum telluris ac pelagi peragrantes, si quos invenimus secundum traditam pietatis regulam ambulantes, eos et patrum loco habuimus, et duces animarum nostrarum, in via quæ ad Deum ducit, secuti sumus. Atque ad hanc usque horam, gratias illius, qui nos vocavit vocatione sancta ad sui cognitionem, nec sermonem ullum scimus sanæ doctrinæ inimicum in corda nostra intrasse; nec animas nostras infami Arianorum blasphemia contaminatas unquam fuisse. Sed si quos aliquando ab illo magistro profectos in communionem admisimus, B morbum intimo corde occultantes, et pia verba loquentes, aut certe iis quæ a nobis dicebantur, non repugnantes, ita suscepimus; cum non omne de talibus judicium nobis ipsis permitteremus, sed sententiam, quæ prius lata de illis fuerat a Patribus nostris, sequeremur. Ego enim cum accepissem litteras beatissimi Patris Athanasii Alexandriæ episcopi, quas et in manibus habeo, et ostendo exposcentibus, in quibus clare pronuntiavit, si quis ex Arianorum hæresi voluerit transferri Nicænam fidem confitens, eum admittendum esse, nec esse in eo recipiendo hæsitandum; cumque ille mihi hujus decreti socios citasset, tum Macedoniæ, tum Achaiæ episcopos omnes; ratus C **307** necesse esse tantum virum sequi ob eorum, qui legem tulerant, auctoritatem, simulque cupiens pacificationis mercedem consequi, fidem illam confitentes ascribebam numero communicatorum.

7. Δικαιότερον δὲ τὰ καθ' ἡμᾶς κρίνεσθαι μὴ ἐξ ἑνὸς ἢ δευτέρου τῶν μὴ ὀρθοποδούντων πρὸς τὴν ἀλήθειαν, ἀλλ' ἐκ τοῦ πλήθους τῶν κατὰ τὴν οἰκουμένην ἐπισκόπων συνημμένων ἡμῖν χάριτι τοῦ Κυρίου. Ἐξετασθῶσι δὲ Πισίδαι, Λυκάονες, Ἴσαυροι, Φρύγες ἑκάτεροι, Ἀρμενίων ὅσον ὑμῖν ἐστι πρόσοικον, Μακεδόνες, Ἀχαιοὶ, Ἰλλύριοι, Γάλλοι, Ἱσπανοὶ (72), Ἰταλία σύμπασα, Σικελιῶται, Ἄφροι, Αἰγύπτου τὸ ὑγιαῖνον, τῆς Συρίας ὁπόσον λείψανον· οἵτινες πέμπουσί τε πρὸς ἡμᾶς γράμματα, καὶ πάλιν δέχονται παρ' ἡμῶν. Ὧν ἔστιν ὑμῖν ἔκ τε τῶν ἐκεῖθεν φερομένων γραμμάτων μαθεῖν καὶ ἐκ τῶν ἐντεῦθεν πάλιν ἀντιπεμπομένων αὐτοῖς διδαχθῆναι, ὅτι σύμψυχοι πάντες ἐσμὲν, τὸ ἓν φρονοῦντες. Ὥστε

7. Justius est autem res nostras judicari, non ex uno aut altero non recte in veritate ambulantibus, sed ex multitudine episcoporum, qui nobis in toto terrarum orbe per Domini gratiam conjuncti sunt. Interrogentur autem Pisidæ, Lycaones, Isauri, Phryges utrique, Armeniorum quidquid vobis est vicinum, Macedones, Achæi, Illyrii, Galli, Hispani, Italia tota, Siculi, Afri, Ægypti pars sana, quidquid est reliqui in Syria: qui et ad nos litteras D mittunt, et rursus a nobis accipiunt. Ex quibus litteris, tum quæ illinc afferuntur, tum quæ rursus vice versa hinc ad ipsos mittuntur, discere vobis licet nos omnes esse unanimes, idemque sentire. Quapropter communionem nostram qui refugit,

(69) *Οὔτε... κατ' αὐτούς*. Ita mss. sex. Editi οὐ... κατὰ τοὺς τοιούτους. Ibidem Coisl. primus προσενεχθείσαις.

(70) *Γράμματα*. Editio Paris. addit παρά, sed præpositio deest in septem mss. et antiquioribus editionibus. Quod autem de Athanasii sententia testatur Basilius, id confirmatur cum ab ipso Athanasio, qui in epist. ad Rufianum non solum in Ægypto, sed etiam in Græcia, in Hispania et Gallia et ubique idem episcopis placuisse declarat; tum etiam a Liberio papa, qui in epist. 13 Ægyptios omnes et Achivos ejusdem sententiæ testes citat. Sed mirum est cur Occidentalium testimonium aut Athanasius in epistola ad Basilium prætermiserit, vel ipse Basilius hac in epistola prætermittat. Causam investigare conabimur in *Vita S. Basilii*.

(71) *Τὴν ἐν Νικαίᾳ πίστιν*. Ita mss. sex. Editi τῶν ἐν Νικαίᾳ τὴν πίστιν.

(72) *Ἱσπανοί*. Legitur Σπάνοι in codicibus Harl., Vat., Coisl. secundo et utroque Regio. Inter has provincias non recenset Basilius Ciliciam et Galatiam, quia his in regionibus grassabatur hæresis, neque etiam Asiæ diœcesim, quam Basilio valde suspectam fuisse perspicimus ex epist. 218.

sinceritas vestra noverit eum sese a tota Ecclesia separare. Circumspicite, fratres, quibuscum vobis sit communio : si eam a nobis non suscipiatis, quis jam vos agniturus est? Nos eo necessitatis ne perducatis, ut triste quidpiam de charissima nobis Ecclesia statuamus. Ne committatis, ut quæ nunc corde premo, mecum ingemiscens, et deplorans luctuosum tempus, quo citra ullam causam Ecclesiæ maximæ, et jam olim inter se fraternis animis conjunctæ, nunc dissident; ne committatis, inquam, ut hæc apud omnes simul communicatores deplorem. Ne cogatis me voces promere, quas hactenus rationis freno occultatas apud me contineo. Satius est nos e medio tolli et Ecclesias inter se consentire, quam propter pueriles nostras simultates tantum mali populis Dei inferri. Percontamini Patres vestros, et annuntiabunt vobis, parœcias, etsi locorum situ videbantur inter se divisæ, at animo unum fuisse, unoque consilio solitas gubernari. Frequentissime populus miscebatur; frequentissime e clero alii ad alios veniebant; ipsis vero pastoribus tantum inerat mutui amoris, ut uterque altero in iis, quæ ad Dominum attinent, magistro ac duce uteretur.

A ὁ τὴν πρὸς ἡμᾶς κοινωνίαν ἀποδιδράσκων μὴ λανθανέτω ὑμῶν τὴν ἀκρίβειαν, πάσης ἑαυτὸν τῆς Ἐκκλησίας ἀποῤῥηγνύς (73). Περιβλέψασθε (74), ἀδελφοί, πρὸς τίνας ἐστὶν ὑμῖν ἡ κοινωνία· ἐπειδὰν παρ' ἡμῶν μὴ δεχθῆτε, τίς λοιπὸν ὑμᾶς ἐπιγνώσεται; Μὴ ἀγάγητε ἡμᾶς εἰς ἀνάγκην σκυθρωπόν τι βουλεύσασθαι περὶ τῆς φιλτάτης ἡμῖν Ἐκκλησίας. Μὴ ποιήσητέ με, ἃ νῦν ἐν τῇ καρδίᾳ κρύπτω τῇ ἐμαυτοῦ, κατ' ἐμαυτὸν στενάζων καὶ ὀδυρόμενος τοῦ καιροῦ τὴν κακότητα, ὅτι, αἰτίας οὐκ οὔσης, αἱ μέγισται τῶν Ἐκκλησιῶν, καὶ ἐκ παλαιοῦ πρὸς ἀλλήλας ἀδελφῶν τάξιν ἐπέχουσαι (75), αὗται νῦν διεστήκασι· μὴ με ποιήσητε ταῦτα πρὸς πάντας ὁμοῦ τοὺς κοινωνικοὺς ἀποδύρασθαι. Μὴ ἐκβιάσησθέ με ἀφεῖναι ῥήματα, ἃ μέχρι τοῦ νῦν τῷ ἐκ τοῦ λογισμοῦ χαλινῷ B κεκρυμμένα ἔχω παρ' ἐμαυτῷ. Βέλτιόν ἐστιν ἡμᾶς ἐκ ποδῶν γενέσθαι, τὰς δὲ Ἐκκλησίας ὁμονοεῖν πρὸς ἀλλήλας, ἢ διὰ τὰς μειρακιώδεις ἡμῶν μικροψυχίας κακὸν τοσοῦτον ἐπάγεσθαι τοῖς λαοῖς τοῦ Θεοῦ. Ἐρωτήσατε τοὺς Πατέρας ὑμῶν, καὶ ἀναγγελοῦσιν ὑμῖν, ὅτι, εἰ καὶ τῇ θέσει τοῦ τόπου διῃρῆσθαι ἐδόκουν αἱ παροικίαι (76), ἀλλὰ τῷ γε φρονήματι ἓν ἦσαν, καὶ μιᾷ γνώμῃ ἐκυβερνῶντο. Συνεχεῖς μὲν τοῦ λαοῦ αἱ ἐπιμιξίαι· συνεχεῖς δὲ τοῦ κλήρου ἐπιδημίαι· αὐτοῖς δὲ τοῖς ποιμέσι τοσοῦτον περιῆν τῆς πρὸς ἀλλήλους ἀγάπης, ὥστε ἑκάτερον αὐτῶν διδασκάλῳ τῷ ἑτέρῳ καὶ ἡγεμόνι χρῆσθαι εἰς τὰ πρὸς Κύριον.

308 EPISTOLA CCV.

ΕΠΙΣΤΟΛΗ ΣΕ'.

Elpidium rogat, misso iterum Meletio presbytero, ut, eo agente cum episcopis maritimis, locus et tempus ad concordiam stabiliendam constituantur.

Elpidio episcopo.

Rursus dilectum et compresbyterum Meletium impulimus, ut tuæ dilectioni nostram salutationem perferat. Cui quanquam omnino statueram parcere ob infirmitatem, quam sponte sibi ipse ascivit, redigens carnem in servitutem ob Evangelium Christi; tamen cum mihi ipsi decorum esse existimans salutare te per ejusmodi viros, qui, quæcunque litteras effugerint, per se valeant supplere, et veluti loco epistolæ vivæ esse et scribenti et epistolam recipienti : tum etiam ipsius desiderium explens, quo semper tuam præstantiam prosequitur, ex quo bonorum quibus præditus es, periculum fecit; ipsum etiam nunc ut ad te proficiscatur exoravi, ac per eum et visitationis solvimus debitum, et rogamus ut pro nobis ac pro Ecclesia

C *Ἐλπιδίῳ ἐπισκόπῳ.*

Πάλιν ἡμεῖς τὸν ἀγαπητὸν καὶ συμπρεσβύτερον (77) Μελέτιον ἐκινήσαμεν, ἐπὶ τὴν σὴν ἀγάπην προσηγορίας ἡμῶν διακομίζοντα. Οὗ εἰ καὶ πάνυ ἐγνώκειμεν φείδεσθαι διὰ τὴν ἀσθένειαν, ἣν ἑκουσίως ἑαυτῷ ἐπηγάγετο, δουλαγωγῶν τὴν σάρκα διὰ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, ὅμως καὶ ἡμῖν αὐτοῖς πρέπον εἶναι κρίναντες (78) διὰ τοιούτων προσφθέγγεσθαί σε, τῶν δυναμένων ὅσα διαφεύγει τὸ γράμμα παρ' ἑαυτῶν ῥᾳδίως ἀναπληρῶσαι, καὶ οἱονεὶ ἀντ' ἐπιστολῆς ἐμψύχου γενέσθαι τῷ τε γράφοντι καὶ τῷ δεχομένῳ· καὶ τὸν αὐτοῦ δὲ πόθον ἀναπληροῦντες, ὃν ἔχει ἀεὶ περὶ τὴν σὴν τελειότητα, ἀφ' οὗ εἰς πεῖραν ἀφίκετο τῶν ἐν σοὶ καλῶν· καὶ νῦν αὐτὸν ἐλθεῖν ὡς σὲ (79) ἐδυσωπήσαμεν, δι' οὗ καὶ τὸ τῆς ἐπισκέψεως ἀποπληροῦμεν χρέος, καὶ παρακαλοῦμεν D

Alias CCCXXII. Scripta anno 375.

(73) Ἀποῤῥηγνύς. Vetus est apud ecclesiasticos scriptores effatum, eum schismatis crimen incurrere, qui alium præter fas et jura excommunicat. Sed tamen ejusmodi schismatici non idcirco ab exteriore Ecclesiæ communione discedebant. At Basilius loquitur de hac exteriore communione, eaque carituros declarat, qui a sua discesserint. Quod quidem non accuratissime dictum videretur, nisi præcipue de Neocæsariensibus dictum esset. Nam Paulinus Antiochenus carebat communione Basilii, nec tamen Ecclesiarum Occidentalium communionem amiserat. At Neocæsarienses si in injuria Basilio facienda perstitissent, eumque coegissent apud communicatores suos querelas deferre, non dubium quin omnes illius causæ favissent, et justissima in Neocæsarienses indignatione exarsissent.

(74) *Περιβλέψασθε*. Editi addunt οὖν, quæ vocula deest in omnibus nostris mss.

(75) *Ἐπέχουσαι*. Coisl. primus κατέχουσαι.

(76) *Αἱ παροικίαι*. Editiones Basileensis secunda et Parisiensis addunt καὶ Ἐκκλησίαι, sed repugnant septem mss. et antiquiores editiones.

(77) Vide Addenda.

(78) *Κρίναντες*. Sic multi codices mss. Sed recentiores habent κρίνοντες.

(79) *Ἐλθεῖν ὡς σέ*. Hæc desunt in codicibus Med. et Harl.

προσεύχεσθαί σε ὑπὲρ ἡμῶν καὶ τῆς Ἐκκλησίας τοῦ Θεοῦ· ἵνα δῷ (80) ἡμῖν ὁ Κύριος ἤρεμον καὶ ἡσύχιον βίον διάγειν, τῆς ἐκ τῶν ἐχθρῶν τοῦ Εὐαγγελίου ἐπηρείας ἀπαλλαγέντας (81). Εἰ δὲ καὶ τῇ σῇ συνέσει ἀκόλουθον καὶ ἀναγκαῖον καταφαίνεται εἰς ταυτὸν ἡμᾶς ἀλλήλους ἐλθεῖν, καὶ συντυχεῖν καὶ τοῖς λοιποῖς τιμιωτάτοις ἀδελφοῖς τοῖς τὴν παραλίαν κατοικοῦσιν ἐπισκόποις, αὐτὸς καὶ ἡμῖν ἀπόδειξον τόπον καὶ καιρὸν καθ' ὃν ἔσται τοῦτο, καὶ τοῖς ἀδελφοῖς ἐπίστειλον, ἵνα, ἐπὶ ὡρισμένοις καταλιπόντες ἕκαστος τὴν ἐν χερσὶν ἀσχολίαν, δυνηθῶμέν τι τῶν εἰς οἰκοδομὴν τῆς Ἐκκλησίας τοῦ Θεοῦ ποιῆσαι, καὶ ἀνελεῖν μὲν τὰς ἐξ ὑπονοιῶν νῦν ἡμῖν πρὸς ἀλλήλους ἐγγινομένας λύπας, κυρῶσαι δὲ τὴν ἀγάπην, ἧς ἄνευ ἀτελῆ εἶναι πάσης ἐντολῆς ἐργασίαν αὐτὸς ἡμῖν ὁ Κύριος διωρίσατο.

A Dei preceris, ut Dominus det nobis ab injuria inimicorum Evangelii liberatis tranquillam ac quietam vitam agere. Quod si et tuæ prudentiæ consentaneum et necessarium videbitur, ut in unum veniamus, congrediamurque etiam cum reliquis reverendissimis fratribus maritimarum civitatum episcopis, ipse etiam nobis designa locum et tempus, quo hæc fient, et scribe fratribus, ut præstituto tempore relinquentes unusquisque ea quæ in manibus negotia, possimus aliquid ad ædificationem Ecclesiæ navare, ac tollere insitas nobis nunc ex suspicionibus inter nos molestias, ac charitatem firmare, sine qua mancam et imperfectam esse cujusvis præcepti observationem ipse nobis Dominus declaravit. B

ΕΠΙΣΤΟΛΗ ΣϚ'.

EPISTOLA CCVI.

Consolatur Elpidium, nepotis morte afflictum, ac, speratum congressum ne dolor interpellet, hortatur.

Ἐλπιδίῳ ἐπισκόπῳ (82) παραμυθητική.

Νῦν μάλιστα τῆς τοῦ σώματος ἀσθενείας αἰσθάνομαι, ὅτε ὁρῶ μοι τοσοῦτον ἐμποδίζουσαν τῇ τῆς ψυχῆς ὠφελείᾳ. Εἰ γάρ μοι κατὰ νοῦν (83) ἐχώρει τὰ πράγματα, οὐκ ἂν δι' ἐπιστολῶν, οὐδὲ διὰ μέσων ἀνθρώπων προσεφθεγγόμην ὑμᾶς· ἀλλ' αὐτὸς ἂν δι' ἐμαυτοῦ καὶ τὸ τῆς ἀγάπης ἀπεπλήρουν χρέος, καὶ ἐγγύθεν ἀπέλαυον τοῦ πνευματικοῦ (84) κέρδους. Νῦν δὲ οὕτω διάκειμαι, ὡς ἀγαπητῶς καὶ τὰς τῆς πατρίδος κινήσεις ὑφίστασθαι, ἃς ἀναγκαίως ποιούμεθα ἐπισκεπτόμενοι τὰς κατὰ τὴν χώραν ἡμῶν παροικίας. Ἀλλὰ παράσχοι ὁ Κύριος καὶ ὑμῖν ἰσχὺν καὶ προθυμίαν, καὶ ἐμοὶ πρὸς τῇ σπουδῇ (85) ἣν ἔχω νῦν, καὶ δύναμιν, ὥστε, καθὼς παρεκάλεσα ὑμᾶς, πραγματεύσασθαι ἡμῖν τὴν ἀπόλαυσιν, γενομένοις ἐπὶ τῆς Κομανικῆς ἐνορίας. Φοβοῦμαι δὲ περὶ τῆς σῆς κοσμιότητος, μήπου σοι ἐμπόδιον γένηται ἡ περὶ τῶν οἰκείων λύπη. Καὶ γὰρ ἔμαθον, ὅτι σε ἔθλιψε παιδίου τελευτή· οὗ τὴν στέρησιν, ὡς μὲν πάππῳ, λυπηρὰν εἰκὸς εἶναι, ὡς δὲ ἀνδρὶ πρὸς τοσοῦτον ἤδη διαβεβηκότι τῆς ἀρετῆς, καὶ ἐπισταμένῳ τῶν ἀνθρωπίνων τὴν φύσιν ἐκ τῆς κατὰ τὸν χρόνον ἐμπειρίας, καὶ ἐκ τῆς πνευματικῆς διδασκαλίας, ἀκόλουθον μὴ πάντη δύσφορον εἶναι τῶν οἰκειοτάτων τὸν χωρισμόν. Καὶ γὰρ οὐ τὰ αὐτὰ ἀπαιτεῖ ἡμᾶς τε καὶ τοὺς τυχόντας τῶν ἀνθρώπων ὁ Κύριος. Οἱ μὲν γὰρ συνηθείᾳ ζῶσιν· ἡμεῖς δὲ κανόνι τῆς πολιτείας τῇ ἐντολῇ τοῦ Κυρίου κεχρήμεθα, καὶ τοῖς προλαβοῦσι

Elpidio episcopo consolatoria.

Nunc maxime corporis infirmitatem sentio, cum eam video mihi tantopere obstare animæ utilitati. Si enim mihi res succederent ex sententia, non vos per litteras, neque per internuntios alloquerer, sed ipse per me et charitatis exsolverem debitum, et cominus perfruerer spirituali emolumento. Nunc autem ita me habeo, ut præclare mecum agi putem si vel in patria motus sustinere possim, quos mihi necesse est nostræ parœciæ pagos visitanti suscipere. C Sed et vobis Dominus robur et alacritatem et mihi præter studium, quod nunc **309** habeo largiatur et vires, ut, quemadmodum vos rogavi, fiat mihi copia vobis fruendi, cum in fines Comanicos venero. Metuo autem tuæ dignitati, ne te domesticus dolor interpellet. Didici namque afflictum te fuisse filioli interitu: cujus jacturam, ut avo, molestam quidem esse par est; sed ut viro tantos jam in virtute progressus adepto, et perspectam habenti rerum humanarum naturam tum ex temporis experientia, tum ex spirituali doctrina, consentaneum est intolerabilem non esse propinquissimorum disjunctionem. Non enim idem a nobis Dominus exposcit, quod a quibuslibet hominibus. Hi enim vivunt ex consuetudine: nobis autem D vivendi regula, Domini præceptum ac præterita beatorum virorum exempla, quorum magnitudo animi adversis temporibus maxime declarata est.

(80) Δῷ. Nonnulli mss. δώῃ.

(81) Ἀπαλλαγέντας. Ita Med. et Harl. quæ quidem scriptura Basilio usitata et familiaris, sed a recentioribus librariis videtur fuisse mutata in ἀπαλλαγεῖσιν, ut habent editi.

(82) Ἐλπιδίῳ ἐπισκόπῳ. Hunc titulum sic reposuimus, quia in tribus antiquissimis codicibus legitur: Τῷ αὐτῷ παραμυθητική· *Eidem consolatoria.* Præcedit autem in his codicibus epistola 205 ad eumdem Elpidium. Deest episcopi vox in editis. At in codicibus Vat. et Reg. primo legitur tantum: Παραμυθητική, omisso Elpidii nomine. In codice Regio secundo legitur ἑτέρῳ ὁμοία ἐπὶ ἐκγόνου ἀποβολῇ, et in codice Parisiensis Ecclesiæ: Παραμυθητική τινι ἐπὶ ἐκγόνου ἀποβολῇ· *Cuidam consolatoria ob mortem nepotis.* Præter auctoritatem vetustissimorum codicum, tanta est necessitudo huic epistolæ cum præcedenti, ut dubium esse non possit, quin ad Elpidium episcopum scripta sit.

(83) *Κατὰ νοῦν.* Harl. κατὰ ῥοῦν.

(84) *Πνευματικοῦ.* Editi addunt τούτου quod deest in sex mss.

(85) *Πρὸς τῇ σπουδῇ.* Ita tres vetustissimi codices cum pluribus aliis. Editi πρὸς τὴν σπουδήν. Paulo post iidem editi πραγματεύσασθαι ὑμῖν. Novem mss. ἡμῖν Subinde sex mss. μή που σοί. Editi μή πως σοί.

Alias CCCXLVIII. Scripta anno 375.

Ut igitur et ipse fortitudinis ac veræ ob sperata bona animi affectionis exemplum hominibus relinquas, invictum te a dolore ac molestis rebus excelsiorem exhibe, patiens in afflictione, spe lætus. Horum itaque nihil speratum nobis congressum impediat. Infantibus namque satis est ætas ut inculpati sint: nos autem debemus præscripta nobis ministeria Domino exhibere, atque in omnibus parati et expediti esse ad Ecclesiarum administrationem, cujus magna præmia fidelibus et prudentibus administris Dominus noster reservavit.

A τῶν μακαρίων ἀνδρῶν ὑποδείγμασιν, ὧν τὸ μεγαλοφυὲς τῆς διανοίας ἐπὶ τῶν περιστατικῶν καιρῶν μάλιστα διεδείκνυτο. Ἵνα οὖν καὶ αὐτὸς ὑπόδειγμα ἀνδρείας καὶ τῆς ἐπὶ τοῖς ἐλπιζομένοις ἀληθινῆς διαθέσεως καταλίπῃς τῷ βίῳ, δεῖξον σαυτὸν μὴ καμπτόμενον τῷ πάθει, ἀλλ' ὑψηλότερον ὄντα τῶν λυπηρῶν, τῇ μὲν θλίψει ὑπομένων, τῇ δὲ ἐλπίδι χαίρων. Μηδὲν οὖν τούτων γένηται κώλυμα πρὸς τὴν ἐλπιζομένην ἡμῖν συντυχίαν. Τοῖς μὲν γὰρ νηπίοις αὐτάρκης ἡ ἡλικία πρὸς τὸ ἀνέγκλητον· ἡμεῖς δὲ ὑπεύθυνοί ἐσμεν τὰ διατεταγμένα ἡμῖν ὑπηρετεῖν τῷ Δεσπότῃ, καὶ εἰς πάντα εὔθετοι εἶναι τῇ οἰκονομίᾳ τῶν Ἐκκλησιῶν, ἧς μεγάλους τοὺς μισθοὺς τοῖς πιστοῖς καὶ φρονίμοις οἰκονόμοις ὁ Κύριος ἡμῶν ἐταμιεύσατο.

EPISTOLA CVII*.

ΕΠΙΣΤΟΛΗ ΣΖ'.

Cum Neocæsarienses clerici omnes ad unum in odio Basilii cum episcopo suo consentirent; Basilius admonet eos, ut ne assententur homini errorem Sabellii inducenti, neve patiantur populum ab eo decipi. Is Basilium fugiebat, argui metuens: somnia fingebat, ut Basilii doctrinam persuaderet esse perniciosam. Causam odii rogatus, non aliam afferebat præter psalmos et cantum ac monasticam vitam: quæ instituta, nondum in Neocæsariensi Ecclesia recepta, vigebant in Cæsariensi. Utrumque illud institutum Basilius et sibi honori esse, et in aliis Ecclesiis vigere demonstrat. Objicientibus, hæc non fuisse tempore Gregorii, respondet nec litanias tunc fuisse, nec quidquam fere ex illius institutis apud eos superesse. Unde eos monet ut trabem ex oculis suis ejiciant, ac hæresim vitent; alioquin tacere se non posse in tanta animarum pernicie.

Ad clericos Neocæsarienses.

B *Τοῖς κατὰ Νεοκαισάρειαν* (86) *κληρικοῖς.*

1. Consensus in mei odio, et quod omnes ad unum belli nobis illati ducem sequimini, suadebat mihi, ut erga omnes pariter conticescerem, neque amici scripti, aut ullius colloquii essem inceptor, sed in silentio mœrorem meum concoquerem. Sed quia calumniæ silentio non prætermittendæ, non ut contradicendo nos ipsi ulciscamur, sed ne mendacium progredi et deceptos lædi patiamur, necessarium visum est hoc etiam omnibus proponere, et prudentiæ vestræ scribere, quamvis cum nuper toti presbyterio communiter scripsissem, nulla me responsione dignati sitis. Nolite assentari, fratres, iis, qui prava dogmata in animos vestros inducunt: neque despicite, dum populus Dei, vobis scientibus, **310** per impia dogmata subvertitur. Sabellius Afer et Marcellus Galata, soli ex omnibus ea ausi sunt et docere, et scribere, quæ nunc apud vos, velut sua ipsorum inventa, proferre aggrediuntur populi duces, lingua perstrepentes, sed ne verisimilitudinis quidem colorem his tricis et cavillationibus illinere valentes. Hi fanda atque nefanda in nos concionantur, et omni modo congressum nostrum declinant. Quamobrem? Nonne quia timent ne de pravis suis dogmatibus arguantur? Hi videlicet eo usque impudentiæ contra nos devenere ut et somnia quædam in nos

1. Ἡ μὲν συμφωνία τοῦ καθ' ἡμῶν μίσους, καὶ τὸ μέχρις ἑνὸς πάντας ἀκολουθῆσαι τῷ προεστῶτι τοῦ καθ' ἡμῶν πολέμου, ἔπειθέ με ὁμοίως ἀποσιωπᾷν πρὸς ἅπαντας, καὶ μήτε γράμματος φιλικοῦ μήτε τινὸς ὁμιλίας κατάρχειν, ἀλλ' ἐν ἡσυχίᾳ πέττειν τὴν ἐμαυτοῦ λύπην· ἐπειδὴ δὲ χρὴ πρὸς τὰς διαβολὰς μὴ (87) ἀποσιωπᾷν, οὐχ ἵνα διὰ τῆς ἀντιλογίας ἡμᾶς αὐτοὺς ἐκδικῶμεν, ἀλλ' ἵνα μὴ συγχωρήσωμεν εὐοδωθῆναι τῷ ψεύδει, καὶ τοὺς ἠπατημένους μὴ ἐναφῶμεν τῇ βλάβῃ, ἀναγκαῖον ἐφάνη μοι καὶ τοῦτο προθεῖναι τοῖς πᾶσι, καὶ ἐπιστεῖλαι ὑμῶν τῇ συνέσει, εἰ καὶ, ὅτι πρώην κοινῇ παντὶ τῷ πρεσβυτερίῳ γράψας, οὐδεμιᾶς παρ' ὑμῶν ἀποκρίσεως ἠξιώθην (88). C Μὴ κολακεύετε, ὦ ἀδελφοὶ, τοὺς τὰ πονηρὰ δόγματα ταῖς ψυχαῖς ὑμῶν ἐπάγοντας· μηδὲ καταδέξησθε περιορᾷν ἐν γνώσει ὑμετέρᾳ τὸν λαὸν τοῦ Θεοῦ διὰ τῶν ἀσεβῶν διδαγμάτων καταστρεφόμενον. Σαβέλλιος ὁ Λίβυς καὶ Μάρκελλος ὁ Γαλάτης μόνοι ἐκ πάντων ἐτόλμησαν καὶ διδάξαι ταῦτα καὶ γράψαι, ἅπερ νῦν παρ' ὑμῖν, ὡς ἴδια ἑαυτῶν εὑρήματα, ἐπιχειροῦσι προφέρειν οἱ καθηγούμενοι τοῦ λαοῦ, βαμβαίνοντες (89) τῇ γλώσσῃ, καὶ οὐδὲ εἰς πιθανὴν κατασκευὴν ἄγειν (90) τὰ σοφίσματα ταῦτα καὶ τοὺς παραλογισμοὺς ἐξαρκοῦντες. Οὗτοι ῥητὰ καὶ ἄῤῥητα καθ' ἡμῶν δημηγοροῦσι, καὶ πάντα τρόπον τὰς συντυχίας ἡμῶν ἐκκλίνουσι. Τίνος ἕνεκεν; Οὐχὶ τὸν

* Alias LXIII. Scripta anno 375.

(86) *Κατὰ Νεοκαισάρειαν.* Ita mss. tres vetustissimi cum duobus Regiis et Coisl. secundo. Male in editis κατὰ Νεοκαισαρείας. Non enim sic loqui solet Basilius. Post ope veterum codicum emendavimus quod minus accurate scriptum erat in editis μέχρις ἑνός et πεσεῖν τὴν ἐμαυτοῦ λύπην. In duobus tamen recentioribus mss. et in editionibus Hag. et Basil. legitur πέσσειν. Paris. 2 πέπτειν.

(87) *Πρὸς τὰς διαβολὰς μή.* Quinque codices non antiquissimi μήτε πρὸς τὰς διαβολάς. *Ne calumniæ quidem silentio prætermittendæ.* Post nonnulli codices recentiores προσθεῖναι τοῖς πᾶσι. D *Hoc etiam omnibus addere.*

(88) *Γράψας... ἠξιώθην.* Ita tres vetustissimi codices. Editi γράψαντες... ἠξιώθημεν.

(89) *Προφέρειν... βαμβαίνοντες.* Ita Harl., Med., Coisl. uterque cum tribus Regiis. Editi προσφέρειν... βομβαίνοντες.

(90) *Ἄγειν.* Ita tres vetustissimi codices; quinque alii ἀγαγεῖν. Editi ἐξαγαγεῖν.

ἐπὶ τοῖς πονηροῖς δόγμασιν ἑαυτῶν (91) ἔλεγχον ὑφορώμενοι; Οἵ γε ἐπὶ τοσοῦτον ἡμῶν κατηναισχύντησαν, ὥστε καὶ ὀνείρους τινὰς ἐφ' ἡμᾶς συμπλάσαι, διαβάλλοντες ἡμῶν τὰς διδασκαλίας, ὡς βλαβεράς· οἳ, κἂν πάντα τὰ τῶν φυλλοχόων μηνῶν φαντάσματα ταῖς ἑαυτῶν κεφαλαῖς ὑποδέξωνται, οὐδεμίαν ἡμῖν βλασφημίαν δυνήσονται προστρίψασθαι, πολλῶν ὄντων τῶν (92) ἐφ' ἑκάστης Ἐκκλησίας μαρτυρούντων τῇ ἀληθείᾳ.

2. Κἂν τὴν αἰτίαν ἐρωτηθῶσι τοῦ ἀκηρύκτου τούτου καὶ ἀσπόνδου πολέμου, ψαλμοὺς λέγουσι καὶ τρόπον μελῳδίας τῆς παρ' ὑμῖν (93) κεκρατηκυίας συνηθείας παρηλλαγμένον, καὶ τοιαῦτά τινα, ἐφ' οἷς ἐχρῆν αὐτοὺς ἐγκαλύπτεσθαι. Ἐγκαλούμεθα δὲ, ὅτι καὶ ἀνθρώπους ἔχομεν τῆς εὐσεβείας ἀσκητὰς, ἀποταξαμένους τῷ κόσμῳ, καὶ πάσαις ταῖς βιωτικαῖς μερίμναις, ἃς ἀκάνθαις παρεικάζει ὁ Κύριος, εἰς καρποφορίαν ἐλθεῖν (94) τὸν λόγον μὴ συγχωρούσαις. Οἱ τοιοῦτοι τὴν νεκρότητα τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέρουσι· καὶ ἄραντες τὸν ἑαυτῶν σταυρὸν, ἕπονται τῷ Θεῷ. Ἐγὼ δὲ παντὸς ἂν τιμησαίμην τοῦ ἐμαυτοῦ βίου, ἐμὰ εἶναι τὰ ἀδικήματα ταῦτα, καὶ ἔχειν ἄνδρας παρ' ἐμαυτῷ, ὑπ' ἐμοὶ διδασκάλῳ, τὴν ἄσκησιν ταύτην προελομένους. Νῦν δὲ ἐν Αἰγύπτῳ μὲν ἀκούω τοιαύτην εἶναι ἀνδρῶν ἀρετήν· καὶ τάχα τινὲς καὶ ἐπὶ τῆς Παλαιστίνης τὴν κατὰ τὸ Εὐαγγέλιον πολιτείαν κατορθοῦσιν. Ἀκούω δέ τινας καὶ ἐπὶ τῆς Μέσης τῶν ποταμῶν τελείους καὶ μακαρίους ἄνδρας. Ἡμεῖς δὲ παῖδές ἐσμεν πρός γε τὴν τῶν τελείων σύγκρισιν. Εἰ δὲ καὶ γυναῖκες εὐαγγελικῶς ζῆν προελόμεναι, παρθενίαν μὲν γάμου προτιμῶσαι, δουλαγωγοῦσαι (95) δὲ τὸ φρόνημα τῆς σαρκὸς, καὶ ἐν πένθει ζῶσαι τῷ μακαριζομένῳ, μακάριαι τῆς προαιρέσεως, ὅπου ἂν ὦσι τῆς γῆς. Παρὰ δὲ ἡμῖν (96) μικρὰ ταῦτα, στοιχουμένων ἔτι καὶ εἰσαγομένων πρὸς τὴν εὐσέβειαν. Εἰ δέ τινα ἀκοσμίαν τῷ βίῳ τῶν γυναικῶν ἐπιφέρουσιν, ἀπολογεῖσθαι μὲν ὑπὲρ αὐτῶν οὐ καταδέχομαι· ἐκεῖνο δὲ ὑμῖν διαμαρτύρομαι, ὅτι ἃ μέχρι νῦν ὁ Σατανᾶς ὁ πατὴρ τοῦ ψεύδους εἰπεῖν οὐ κατεδέξατο, ταῦτα αἱ ἄφοβοι καρδίαι, καὶ τὰ ἀχάλινωτα στόματα ἀεὶ (97) φθέγγεται ἀδεῶς. Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ὅτι ἡμεῖς εὐχόμεθα καὶ ἀνδρῶν καὶ γυναικῶν συντάγματα (98) ἔχειν· ὧν τὸ πολίτευμά ἐστιν ἐν οὐρανοῖς, τῶν τὴν σάρκα σταυρωσάντων σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις· οἳ οὐ μεριμνῶσι περὶ βρωμάτων καὶ ἐνδυμάτων· ἀλλ' ἀπερίσπαστοι ὄντες καὶ εὐπάρεδροι τῷ Κυρίῳ, νυκτὸς καὶ ἡμέρας προσμένουσι ταῖς δεήσεσιν. Ὧν τὸ στόμα οὐ λαλεῖ τὰ ἔργα τῶν ἀνθρώπων· ἀλλὰ ψάλλουσιν ὕμνους (99) τῷ Θεῷ ἡμῶν διηνεκῶς, ἐργαζόμενοι ταῖς ἑαυτῶν χερσὶν, ἵνα ἔχωσι μεταδιδόναι τοῖς χρείαν ἔχουσι.

A comminiscantur, doctrinam nostram ut perniciosam calumniantes : qui etiamsi omnia mensium, quibus folia cadunt, somnia et visa capitibus suis colligant, nullum nobis probrum poterunt inurere, cum plures sint in unaquaque Ecclesia, qui testimonium dent veritati.

2. Quod si causam rogentur implacabilis illius et inexpiabilis belli, psalmos dicunt, et melodiæ modum a consuetudine, quæ apud vos invaluit, diversum, et quædam ejusmodi, quorum eos par erat pudere. Incusamur autem, quod etiam homines habeamus pietatis cultores, qui nuntium remiserunt mundo et omnibus sæculi curis, quas B spinis comparat Dominus, verbum ad fructum ferendum pervenire non sinentibus. Ejusmodi homines mortificationem Jesu in corpore circumferunt, et crucem suam portantes, Deum sequuntur. Ego vero tota mea vita mercarer, ut mea essent hæc delicta, haberemque apud me viros, me doctore, hanc pietatis exercitationem profitentes. Nunc autem in Ægypto quidem audio talem esse virorum virtutem : ac fortasse nonnulli et in Palæstina evangelicam vitam excolunt : audio rursus aliquos et in Mesopotamia perfectos ac beatos viros. Nos autem pueri sumus, siquidem cum perfectis comparemur. Quod si et mulieres evangelicum vivendi genus profitentur, virginitatem præferentes nuptiis, petulantiam carnis redigentes in C servitutem et in luctu illo degentes qui beatus prædicatur, beatæ sunt ob propositum suum, ubicunque fuerint terrarum. Apud nos autem hæc parva et exilia sunt, ac hominum adhuc elementa discentium, quique introducuntur ad pietatem. Jam si quid dedecoris vitæ mulierum inferunt, eas defendere non libet. Illud tamen vobis testificor, quæ hactenus pater mendacii Satanas dicere non ausus est, ea semper a cordibus metus expertibus et effrenatis linguis audacter efferri. Scire autem vos volo, nos laudi ducere, quod virorum et mulierum cœtus habeamus, quorum conversatio in cœlis est: qui suam carnem una cum affectionibus ac cupiditatibus crucifixerunt : **311** qui nec de cibis nec D de indumentis sunt solliciti, sed minime distracti, et Domino continenter astantes, noctu diuque perseverant in orationibus. Quorum os non loquitur opera hominum ; sed hymnos Deo nostro concinunt continenter, operantes manibus suis, ut habeant unde impertiant indigentibus.

(91) *Δόγμασιν ἑαυτῶν*. Sic tres iidem vetustissimi codices. Editi ἑαυτῶν διδάγμασιν. Ibidem quinque codices non ita vetusti τὸν ἐν τοῖς.

(92) *Ὄντων τῶν*, etc. Deest hic articulus in quatuor mss. non antiquissimis.

(93) *Τῆς παρ' ὑμῖν*. Posterior editio Parisiensis et Regii duo codices ac Coisl. secundus et Harl. secunda manu τῆς παρ' ἡμῖν.

(94) *Ἐλθεῖν*. Ita septem mss. Editi ἀνελθεῖν.

(95) *Δουλαγωγοῦσαι*. Reg. secundus δουλαγωγοῦσι, et paulo post ζῶσι. Sed frustra librariorum aliquis emendare voluit scripturam non vitiosam.

(96) *Παρὰ δὲ ἡμῖν*. Emendavimus ope Harlæani codicis et Medicæi quod minus commode in aliis et in editis legebatur Παρὰ δὲ ἡμῶν.

(97) *Ἀεί*. Deest ea vox in Vaticano, Reg. secundo et Coisl. secundo.

(98) *Συντάγματα*. Ita mss. octo. Editi συστήματα.

(99) *Ὕμνους*. Ita veteres libri summo consensu.

3. Quod autem spectat ad psalmodiæ criminationem, qua maxime simpliciores territant ii, qui nos calumniantur, illud dicere habeo, recepta nunc instituta omnibus Dei Ecclesiis consona esse et consentientia. De nocte siquidem consurgit apud nos populus ad domum precationis, et in labore, in afflictatione ac jugibus lacrymis confitentes Deo, tandem a precatione surgentes, ad psalmodiam transeunt. Et nunc quidem in duas partes divisi, alternis succinentes psallunt, ac simul et meditationem Scripturarum inde corroborant, et animum attentum et cor evagationis expers sibi ipsi comparant. Postea rursus uni committentes, ut prior canat, reliqui succinunt; et sic posteaquam in psalmodiæ varietate noctem traduxere intermistis precibus, die jam illucescente, omnes simul velut ex uno ore et uno corde psalmum confessionis Domino concinunt, propria sibi unusquisque verba pœnitentiæ facientes. Cæterum horum gratia si nos fugitis, fugietis Ægyptios, fugietis et utrosque Libyes, Thebæos, Palæstinos, Arabes, Phœnices, Syros, et eos qui ad Euphratem habitant, ac omnes uno verbo apud quos vigiliæ precesque et communes psalmodiæ in pretio sunt.

4. Sed hæc, inquit, non erant tempore magni Gregorii. Sed neque litaniæ, quas nunc studio habetis. Neque id dico, ut vos redarguam; optarim enim vos omnes in lacrymis et jugi pœnitentia vivere. Nam et nos nihil aliud facimus, nisi quod pro peccatis nostris supplicamus; sed ita tamen, ut non humanis verbis, uti vos, sed oraculis Spiritus Deum nostrum placemus. Hæc autem non fuisse sub admirando Gregorio, quosnam habetis testes, qui quidem nihil ex illius institutis hactenus conser-

A 3. Πρὸς δὲ τὸ ἐπὶ ταῖς ψαλμῳδίαις ἔγκλημα, ᾧ μάλιστα τοὺς ἁπλουστέρους φοβοῦσιν οἱ διαβάλλοντες ἡμᾶς, ἐκεῖνο εἰπεῖν ἔχω· ὅτι τὰ νῦν κεκρατηκότα ἔθη πάσαις ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις συνῳδά ἐστι καὶ σύμφωνα. Ἐκ νυκτὸς γὰρ ὀρθρίζει παρ' ἡμῖν ὁ λαὸς ἐπὶ τὸν οἶκον τῆς προσευχῆς, καὶ ἐν πόνῳ καὶ θλίψει καὶ συνοχῇ δακρύων ἐξομολογούμενοι τῷ Θεῷ, τελευταῖον ἐξαναστάντες τῶν προσευχῶν, εἰς τὴν ψαλμῳδίαν καθίστανται. Καὶ νῦν μὲν, διχῇ διανεμηθέντες, ἀντιψάλλουσιν ἀλλήλοις, ὁμοῦ μὲν τὴν μελέτην τῶν λογίων ἐντεῦθεν κρατύνοντες, ὁμοῦ δὲ καὶ τὴν προσοχὴν καὶ τὸ ἀμετεώριστον τῶν καρδιῶν ἑαυτοῖς διοικούμενοι (1)· ἔπειτα πάλιν ἐπιτρέψαντες ἑνὶ κατάρχειν τοῦ μέλους, οἱ λοιποὶ ὑπηχοῦσι· καὶ οὕτως ἐν τῇ ποικιλίᾳ τῆς ψαλμῳδίας τὴν νύκτα B διενεγκόντες, μεταξὺ προσευχόμενοι, ἡμέρας ἤδη ὑπολαμπούσης, πάντες κοινῇ, ὡς ἐξ ἑνὸς στόματος καὶ μιᾶς καρδίας, τὸν τῆς ἐξομολογήσεως ψαλμὸν (2) ἀναφέρουσι τῷ Κυρίῳ, ἴδια ἑαυτῶν ἕκαστος τὰ ῥήματα τῆς μετανοίας ποιούμενοι. Ἐπὶ τούτοις λοιπὸν εἰ ἡμᾶς ἀποφεύγετε, φεύξεσθε (3) μὲν Αἰγυπτίους· φεύξεσθε δὲ καὶ Λίβυας ἀμφοτέρους, Θηβαίους, Παλαιστίνους, Ἄραβας, Φοίνικας, Σύρους, καὶ τοὺς πρὸς τῷ Εὐφράτῃ κατῳκισμένους, καὶ πάντας ἁπαξαπλῶς, παρ' οἷς ἀγρυπνίαι καὶ προσευχαὶ, καὶ αἱ κοιναὶ ψαλμῳδίαι τετίμηνται.

4. Ἀλλ' οὐκ ἦν, φησὶ, ταῦτα ἐπὶ τοῦ μεγάλου Γρηγορίου. Ἀλλ' οὐδὲ αἱ λιτανεῖαι (4), ἃς ὑμεῖς νῦν ἐπιτηδεύετε. Καὶ οὐ κατηγορῶν ὑμῶν λέγω· ηὐχόμην γὰρ πάντας ὑμᾶς ἐν δάκρυσι ζῇν, καὶ μετανοίᾳ C διηνεκεῖ. Ἐπεὶ καὶ ἡμεῖς οὐδὲν ἕτερον ἢ λιτανεύομεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν· πλὴν ὅσον οὐκ ἀνθρωπίνοις ῥήμασιν, ὥσπερ ὑμεῖς, ἀλλὰ τοῖς λογίοις τοῦ Πνεύματος τὸν Θεὸν ἡμῶν ἐξιλεούμεθα. Ὅτι δὲ οὐκ ἦν ταῦτα ἐπὶ τοῦ θαυμαστοῦ Γρηγορίου, τίνας ἔχετε μάρτυρας (5), οἵ γε οὐδὲν τῶν ἐκείνου (6) μέχρι νῦν

Editi ὕμνον. Mss. tres, nempe Harl. et Coisl. uterque, interpunctionis notam apponunt post διηνεκῶς, quod editi male conjungebant cum ἐργαζόμενοι. Non enim continuus erat manuum labor, sed continua psalmodia, quam ne ipse quidem labor interpellabat. Paulo post editi ἐν ψαλμῳδίαις. Omnes mss. ut in textu. Non longe iisdem auctoribus mutavimus quod in editis legebatur ἐν θλίψει καὶ ἐν συνοχῇ... ἀναστάντες.

(1) *Διοικούμενοι*. Ita octo mss. Editiones Basil. et Paris. διακονούμενοι. Hagan. διακούμενοι.

(2) *Τὸν τῆς ἐξομολογήσεως ψαλμόν*. In uno ex codicibus Regiis ad marginem legitur, τὸ, Δόξα ἐν ὑψίστοις, λέγει. *Gloria in altissimis, dicit*. Sed hujus scholii non magna auctoritas. Liquet enim psalmum quinquagesimum designari.

(3) *Φεύξεσθε*. Reg. secundus et Coisl. secundus φεύξασθε. Paulo post iidem codices συνεπιτηδεύετε. Mox editi Εὐφράτει. Mss. ut in textu.

(4) *Λιτανεῖαι*. Hac voce non supplicationes sive processiones designantur, ut in Euchologio Græcorum, sed preces ad pœnitentiam accommodatæ. Hoc enim tantum discriminis ponit Basilius inter Neocæsariensium ritum et Cæsariensium, quod primi humanis verbis, Cæsarienses vero oraculis Spiritus sancti Deum placent. Porro nullum processionis vestigium in illo psalmi confessionis cantandi ritu, qui Cæsareæ observatur.

(5) *Μάρτυρας*. Ita tres vetustissimi codices, Harl., Med. et Coisl. primus. Editi μαρτυρίας. Ibidem editi post hanc vocem addunt εἰπεῖν, sed hoc verbum deest in octo nostris codicibus, ex quibus ibidem addidimus οἵ γε, quæ voculæ deerant in editis.

(6) *Οὐδὲν τῶν ἐκείνου*. Videntur prima specie cum hac epistola pugnare, quæ in libro *De Spiritu sancto* leguntur cap. 29, n. 74. Ibi docet Basilius tantum esse Gregorii apud Neocæsarienses admirationem, ut *non factum aliquod, non dictum,* D *non ritum ullum mysticum, ultra quam ille reliquit, Ecclesiæ adjecerint*. Unde ait evenisse, ut multa apud illos manca essent et inchoata. Cur ergo in hac epistola nonnulla recens in Ecclesiam inducta commemorat, imo eos negat ex Gregorii institutis quidquam retinere? Hæc ut concilientur, observandum est, 1° Quæ leguntur in libro *De Spiritu sancto* accipi de insignibus et præcipuis institutis debere. His nihil addi, nihil detrahi passi sunt Neocæsarienses. Hinc nulla apud eos monasteria, nec liturgia, ut apud alias Ecclesias, novis ritibus locupletata. Doctrinæ Gregorii ita erant addicti, ut cum eorum episcopus Sabellianismum inducere tentaret, Gregorii verbis errorem prætexere cogeretur. Sed tamen in rebus levioris momenti non ita difficiles erant, sed nonnulla ad usus suos adjunxerunt; quales erant litaniæ: quale est etiam quod narrat Gregorius Nyssenus, oblectamenta quædam a Gregorio con-

διετώσασθε; Γρηγόριος οὐ κατεκαλύπτετο ἐπὶ τῶν προσευχῶν. Πῶς γάρ; ὅ γε τοῦ Ἀποστόλου γνήσιος μαθητὴς τοῦ εἰπόντος· *Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων καταισχύνει τὴν κεφαλὴν αὐτοῦ*· καὶ, *Ἀνὴρ μὲν οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν αὐτοῦ* (7), *εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων*. Ἔφευγε τοὺς ὅρκους ἡ καθαρὰ ἐκείνη ψυχὴ, καὶ ἀξία τῆς τοῦ ἁγίου Πνεύματος κοινωνίας, ἀρκουμένη τῷ ναὶ καὶ τῷ οὔ, διὰ τὸ πρόσταγμα τοῦ Κυρίου τοῦ εἰπόντος· *Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως*. Οὐχ ἠνείχετο εἰπεῖν τὸν ἑαυτοῦ ἀδελφὸν μωρὸν ἐκεῖνος· ἐφοβεῖτο γὰρ τὴν ἀπειλὴν τοῦ Κυρίου (8). Θυμὸς καὶ ὀργὴ καὶ πικρία ἐκ τοῦ στόματος ἐκείνου οὐκ ἐξεπορεύετο. Λοιδορίαν ἐμίσει ὡς εἰς βασιλείαν οὐρανῶν οὐκ εἰσάγουσαν. Φθόνος καὶ ὑπερηφάνεια τῆς ἀδόλου ψυχῆς ἐκείνης ἀπελήλατο. Οὐκ ἂν παρέστη τῷ θυσιαστηρίῳ, πρὶν καταλλαγῆναι τῷ ἀδελφῷ. Ψευδῆ λόγον καὶ τεχνικὸν ἐπὶ διαβολῇ τινων μεμηχανημένον οὕτως ἐβδελύττετο, ὡς εἰδὼς, ὅτι τὸ ψεῦδος ἐκ τοῦ διαβόλου γεγένηται, καὶ ὅτι Κύριος ἀπολεῖ πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Τούτων εἰ μηδέν ἐστιν ἐν ὑμῖν, ἀλλὰ καθαρεύετε πάντων· τῷ ὄντι ἐστὲ μαθηταὶ τοῦ μαθητοῦ τῶν ἐντολῶν τοῦ Κυρίου. Εἰ δὲ μὴ, σκοπεῖτε μὴ τὸν κώνωπα διυλίζετε, περὶ μὲν ἤχου φωνῆς τοῦ κατὰ τὰς ψαλμῳδίας ἀκριβολογούμενοι, τὰς δὲ μεγίστας τῶν ἐντολῶν παραλύοντες. Εἰς τούτους με τοὺς λόγους ἤγαγεν ἡ ἀνάγκη τῆς ἀπολογίας, ἵνα διδαχθῆτε ἐκβάλλειν τὴν δοκὸν τῶν ὀφθαλμῶν ὑμῶν, καὶ τότε ἐξαίρειν τὰ ἀλλότρια κάρφη. Πλὴν ἀλλὰ πάντα συγχωροῦμεν, εἰ καὶ ὅτι οὐδὲν ἀνεξέταστον παρὰ τῷ Θεῷ. Μόνον ἐῤῥώσθω τὰ προηγούμενα, καὶ τὰς περὶ τὴν πίστιν καινοτομίας καταστιγάσατε. Τὰς ὑποστάσεις μὴ ἀθετεῖτε. Τὸ ὄνομα τοῦ Χριστοῦ μὴ ἀπαρνεῖσθε. Τὰς τοῦ Γρηγορίου φωνὰς μὴ παρεξηγεῖσθε. Εἰ δὲ μὴ, ἕως ἂν ἐμπνέωμεν καὶ δυνώμεθα φθέγγεσθαι, ἀμήχανον ἡμᾶς ἐπὶ τοσαύτῃ λύμῃ ψυχῶν σιωπᾷν.

vastis? Gregorius non operiebatur **312** in precibus. Quomodo enim? qui verus erat Apostoli discipulus dicentis : *Omnis vir orans aut prophetans velato capite, deturpat caput suum* [93], et *Vir quidem non debet velare caput suum, cum sit imago et gloria Dei* [94]. Juramenta fugiebat pura illa anima, et digna Spiritus sancti consortio, contenta his vocibus : *Ita* et *Non*, propter præceptum Domini, qui dixit : *At ego dico vobis, ne juretis omnino* [95]. Non audebat ille fratrem suum fatuum appellare [96]; verebatur enim comminationem Domini. Indignatio et ira et acerbitas ex illius ore non proficiscebantur. Convicium odio habebat, ut in regnum cœlorum non perducens. Invidia et arrogantia ab illa doli experte anima facessebant. Non accessisset ad altare, antequam reconciliaretur fratri. Mendacem sermonem et artificiose ad aliquorum calumniam instructum ita abominabatur, ut qui sciret mendacium ex diabolo ortum esse, Dominumque eos omnes qui mendacium loquuntur, perditurum [97]. Horum si nihil in vobis est, sed puri estis ab omnibus; vere discipuli estis ejus, qui mandatorum Domini discipulus fuit. Sin minus, videte ne culicem coletis, de vocis quidem sono in psalmorum cantu litigantes, mandata vero maxima dissolventes. Ad hos me sermones adduxit necessitas causæ defendendæ, ut discatis trabem ex oculis vestris ejicere, et ita demum festucas alienas extrahere. Verumtamen omnia condonamus; quanquam nihil est quod non perscrutetur Dominus. Tantummodo sana sint quæ sunt præcipua, et novitates circa fidem compescite. Hypostases ne evertatis. Nomen Christi ne abnegetis. Gregorii verba ne falso interpretemini. Alioquin dum respirabimus, loquendique erit facultas, fieri non poterit ut in tanta animarum pernicie sileamus.

ΕΠΙΣΤΟΛΗ ΣΗ'.

EPISTOLA CCVIII*.

Eulancium rogat ne se Neocæsariensium causa oderit, qui olim propter se ab aliis odio habebatur.

Εὐλαγκίῳ (9).

Μακρὸν ἀπεσιώπησας χρόνον, καὶ ταῦτα λαλίστατος ὢν, καὶ μελέτην τοῦτο καὶ τέχνην ποιησάμενος, ἀεί τι λαλεῖν (10) καὶ σεαυτὸν δεικνύναι διὰ τῶν

Eulancio

Diu tacuisti, idque cum sis loquacissimus, atque hoc exercitationis artisque loco habueris, semper aliquid loqui, et teipsum dicendo ostendere. Sed

[93] I Cor. xi, 4. [94] ibid. 7. [95] Matth. v, 35. [96] ibid. 22. [97] Psal. v, 7.

cessa in martyrum Memoriis fuisse, ut eorum, qui a simulacrorum cultu recentes venerant, infirmitati consuleret; sed ea temporis progressu in spiritualem lætitiam magna ex parte conversa, *Vit. Greg*, p. 574., 2. Neque etiam secum ipse pugnat Basilius, cum Neocæsarienses laudat in libro *De Spiritu sancto*, quod Gregorii instituta arctissime teneant, hic autem vituperat, quod ea omnino reliquerint. Illic enim respicit ad exteriora instituta, hic autem ad virtutum exempla, convicii et iracundiæ fugam, odium jurisjurandi et mendacii.

(7) *Τὴν κεφαλὴν αὐτοῦ*. Desunt hæc verba in quinque veteribus libris. In Medicæo autem et Harl. deest tantum illud αὐτοῦ. Videtur hanc Neocæsariensium consuetudinem animo intueri Basilius, cum statuit in Regula morali 56, cap. 7, nec viros tecto capite, nec mulieres detecto, precari debere.

(8) *Τοῦ Κυρίου*. Harl. et Med. τοῦ Θεοῦ.

(9) *Εὐλαγκίῳ*. Addunt Coisl. primus et Med. φιλικὴ προσηγορία, *amica salutatio*. Harl. Εὐλαχκίῳ.

(10) *Ἀεί τι λαλεῖν*. Coisl. primus, Harl. et Paris. ἀεί, τὸ λαλεῖν, *hoc exercitationis artisque loco semper habueris, loqui* etc., id est, dicendi arti semper studueris. Quamvis hæc scriptura non omnino displiceat, potior tamen videtur vulgata, et magis

* Alias CCLXXXI. Scripta anno 375.

videtur Neocæsarea tui erga me silentii esse causa. Ac in beneficii quidem loco videmur accipere, quod qui illic sunt nostri non meminerint : siquidem non honorifica, ut referunt qui audierunt, de nobis mentio. Sed tu olim eras ex iis qui nostra causa odio habebantur, non ex iis qui me propter alios odisse velint. Itaque idem sis; et scribens ubicunque fueris, et nostri, ut par est, memor, si qua tibi æquitatis cura. Æquum est enim his, qui priores amarunt, parem amorem rependere.

A λόγων. Ἀλλ' ἔοικεν ἡ Νεοκαισάρεια αἰτία εἶναί σοι τῆς πρὸς ἡμᾶς σιωπῆς. Καὶ ἐοίκαμεν ἀντὶ χάριτος δέχεσθαι τὸ μὴ μνημονεύεσθαι παρὰ τοῖς αὐτοῦ (11)· ἐπειδὴ ἡμῖν ἡ μνήμη οὐκ ἀγαθή ἐστιν, ὡς ὁ τῶν ἀκουόντων λόγος. Ἀλλὰ σὺ πάλαι τῶν μισουμένων ἦσθα δι' ἡμᾶς, οὐ τῶν δι' ἑτέρους (12) ἡμᾶς μισεῖν ἀνεχομένων. Ὁ αὐτὸς τοίνυν ἔσο, καὶ ἐπιστέλλων οὗπερ ἂν ᾖς, καὶ μεμνημένος ἡμῶν τὰ εἰκότα, εἴ τι σοι μέλει τοῦ δικαίου. Δίκαιον δήπου τῆς ἀγάπης τοῖς ἴσοις ἀμείβεσθαι τοὺς ὑπάρξαντας.

313 EPISTOLA CCIX*.

ΕΠΙΣΤΟΛΗ ΣΘ'.

Gratias agit Basilius amico pro se prælia sustinenti ; hortatur ut litterarum paucitatem incusare et talia debita pergat exigere.

Sine inscriptione defensionis causa.

B

Sortito tibi obtigit, ut mecum molestias partireris et prælia pro me sustineres. Id autem fortis animi demonstrationem habet. Nam qui nostra moderatur Deus, his qui magna ferre possunt certamina, majores probandæ virtutis occasiones præstat. Et tu ergo ad explorationem tuæ in amicitia virtutis, veluti fornacem auro, tuam ipsius vitam proposuisti. Precamur igitur Deum, ut et cæteri meliores fiant, et tu similis tui ipse permaneas ; nec talia desinas incusare, qualia nunc incusas, litterarum paucitatem instar maximæ injuriæ nobis objiciens. Est enim amici accusatio, ac persta in talibus exigendis debitis : non enim adeo absurdus quidam sum amicitiæ debitor.

Ἀνεπίγραφος ἐπὶ ἀπολογίᾳ.

Συνεκληρώθης ταῖς λύπαις καὶ τοῖς ὑπὲρ ἡμῶν ἀγῶσι. Τοῦτο δὲ ἀπόδειξιν ἔχει νεανικῆς ψυχῆς. Ὁ γὰρ τὰ ἡμέτερα οἰκονομῶν Θεὸς τοῖς τὰ μεγάλα διαφέρειν δυναμένοις ἀγωνίσματα, μείζονας ὑποθέσεις εὐδοκιμήσεων προξενεῖ. Καὶ σὺ τοίνυν βάσανον τῆς περὶ τοὺς φίλους ἀρετῆς (13), ὥσπερ τὴν κάμινον τῷ χρυσίῳ, τὸν σαυτοῦ βίον προέθηκας. Εὐχόμεθα οὖν τῷ Θεῷ καὶ τοὺς λοιποὺς βελτίους γενέσθαι, καὶ σὲ ὅμοιον ἑαυτῷ διαμεῖναι· καὶ τὰ τοιαῦτα ἐγκαλοῦντα μὴ παύσασθαι, οἷα νῦν ἐνεκάλεσας, τὴν τῶν γραμμάτων ἔνδειαν ἀντὶ μεγίστης ἀδικίας ἡμῖν προφέρων. Φίλου γὰρ τὸ ἔγκλημα, καὶ ἀνάμενε τῷ τὰ τοιαῦτα (14) ἀπαιτεῖν ὀφλήματα. Οὐ γὰρ οὕτω τις ἄτοπός εἰμι φιλίας χρήστης (15).

EPISTOLA CCX**.

ΕΠΙΣΤΟΛΗ ΣΙ'.

Cum Basilio prope Neocæsaream adveniente ortus fuisset tumultus in civitate, ac alii fugerent, alii somniis fictis terrorem spargerent ; Basilius causam exponit cur ad hæc loca venerit. Causam tumultus rejicit in ducum invidiam et consilium inducendæ hæresis Sabellianæ. Hanc hæresim refellit Basilius, ac promittit se molestum non fore, si errorem negent : sed si persistent in errore, ad alias Ecclesias scripturum. Locum Gregorii explicat, quo isti in epistola ad Anthimum abusi fuerant. Ipsum etiam Meletium, misso aliquo scripto, periclitati fuerant. Neocæsarienses monet ne falsis somniis decipiantur, quæ etiamsi essent Evangelio consentanea, quia tamen charitatem lædunt, iis prorsus supersedendum esset.

Ad primores Neocæsareæ.

C

1. Plane nihil opus erat, ut meum vobis enuntiarem consilium, aut quibus nunc de causis in his sim locis, exponerem. Nam alioqui, neque unus sum ex iis qui publico gaudent, neque res tot testibus digna est. Sed opinor, non quæ volumus facimus, sed ea ad quæ nos provocant vestri duces. Mihi enim omnino ignorari magis studio fuit, quam gloriæ cupidis in luce versari. Sed quia omnium, ut audio, qui in vestra civitate sunt, aures circumsonuerunt, et quidam verborum artifices et mendacii architecti, ad hoc ipsum mercede conducti, res meas vobis enarrant ; faciendum minime duxi, ut

Τοῖς κατὰ Νεοκαισάρειαν λογιωτάτοις (16).

1. Ὅλως μὲν οὐδὲν ἐδεόμην τὴν ἐμαυτοῦ γνώμην δημοσιεύειν ὑμῖν, οὐδὲ τὰς αἰτίας λέγειν, δι' ἃς νῦν ἐγὼ ἐπὶ τῶν τόπων εἰμὶ τούτων· καὶ γὰρ οὐδὲ ἄλλως τῶν φανητιώντων ἐγὼ, οὐδὲ τὸ πρᾶγμα τοσούτων μαρτύρων ἄξιον· ἀλλ' οἶμαι, οὐχ ἃ βουλόμεθα ποιοῦμεν, ἀλλ' ἐφ' ἃ προκαλοῦνται ἡμᾶς οἱ καθηγούμενοι. Ἐπεὶ ἔμοιγε τὸ παντελῶς ἀγνοεῖσθαι πλέον ἐσπούδασται ἢ τοῖς φιλοδόξοις τὸ διαφαίνεσθαι. Ἐπεὶ δὲ πάντων, ὡς ἀκούω (17), τῶν κατὰ τὴν ὑμετέραν πόλιν τὰ ὦτα διατεθρύλληται, καὶ εἰσί τινες λογοποιοὶ, δημιουργοὶ τοῦ ψεύδους, πρὸς αὐτὸ τοῦτο μεμισθωμένοι, οἳ τὰ ἐμὰ ὑμῖν ἐξηγοῦν-

* Alias CCXXVII. Scripta anno 375.

** Alias LXIV. Scripta anno 375.

magis consentanea loquacitati, quam non sine lepore Basilius objicit Eulancio. Similiter in epist. 20 linguam sophistæ negat silere unquam posse.

(11) *Τὸ μὴ .... παρὰ τοῖς αὐτοῦ*, Sic ope utriusque Coisl. emendavimus quod erat in editis τὸ μνημονεύεσθαι παρὰ τοῦ αὐτοῦ. Paulo post editi ἀγαθὴ ὁμοίως ἐστὶν ὥσπερ. Sex mss. ut in textu.

(12) *Δι' ἑτέρους*. Ita sex mss. Editi τῶν ἑτέρων. Paulo post mss. septem ἔσο. Editi ἔσῃ.

(13) *Τῆς... ἀρετῆς*. Codex Vaticanus τὴν ἀρετήν.

D (14) *Τῷ τὰ τοιαῦτα*. Prima vocula, quam ex Coisl. secundo et Reg. secundo eruimus, deerat in editis. Coisl. primus τὸ τὰ τοιαῦτα.

(15) *Χρήστης*. Ita Coisl. uterque, Vat. et Reg. secundus. Vox illa in Medicæo codice corrupta. Editi χρεώστης, quod idem sonat.

(16) *Τοῖς... λογιωτάτοις*. Harl., Coisl. primus et unus ex Regiis πρὸς τούς... λογιωτάτους. Duo alii τοῖς αὐτοῖς.

(17) *Ὡς ἀκούω*. Ita novem mss. Editi ὧν ἀκούω.

...αι· οὐκ ᾠήθην δεῖν περιιδεῖν ὑμᾶς γνώμῃ πονηρᾷ καὶ φωνῇ ῥυπώσῃ διδασκομένους, ἀλλ' αὐτὸς εἰπεῖν τὰ ἐμαυτοῦ ὅπως ἔχει. Ἐγὼ καὶ διὰ τὴν ἐκ παιδός μοι πρὸς τὸ χωρίον τοῦτο συνήθειαν (ἐνταῦθα γὰρ ἐτράφην παρὰ τῇ ἐμαυτοῦ τίτθῃ [18]), καὶ διὰ τὴν μετὰ ταῦτα ἐπὶ πλεῖστον διατριβὴν, ὅτε φεύγων τοὺς πολιτικοὺς θορύβους, ἐπιτήδειον ἐμφιλοσοφῆσαι διὰ τὴν ἐκ τῆς ἐρημίας ἡσυχίαν τὸ χωρίον τοῦτο καταμαθὼν, πολλῶν ἐτῶν ἐφεξῆς ἐνδιέτριψα χρόνον. καὶ διὰ τὴν νῦν τῶν ἀδελφῶν ἐνοίκησιν, βραχείας ἀναπνοῆς ἐκ τῶν κατεχουσῶν ἡμᾶς ἀσχολιῶν ἐπιτυχὼν, ἄσμενος ἦλθον ἐπὶ τὴν ἐσχατιὰν ταύτην· οὐχ ὡς ἑτέροις ἐντεῦθεν πράγματα παρέξων, ἀλλ' ὡς αὐτὸς τὴν ἐμαυτοῦ θεραπεύσων (19) ἐπιθυμίαν.

2. Τί οὖν χρὴ πρὸς ὀνείρους καταφεύγειν, καὶ ὀνειροσκόπους μισθοῦσθαι, καὶ ἐν ταῖς πανδήμοις ἑστιάσεσιν ἡμᾶς ποιεῖσθαι παροίνιον διήγημα; Ἐγὼ γὰρ, εἰ καὶ παρ' ἄλλοις τισὶν ἦσαν αἱ διαβολαὶ, ὑμᾶς ἂν τῆς ἐμαυτοῦ γνώμης μάρτυρας παρεστησάμην. Καὶ νῦν ἀξιῶ αὐτῶν ἕκαστον τῶν παλαιῶν ἐκείνων ἀναμνησθῆναι, ὅτε ἐκάλει μὲν ἡμᾶς ἡ πόλις ἐπὶ τὴν τῶν νέων ἐπιμέλειαν, πρεσβεία δὲ παρῆν τῶν παρ' ὑμῖν ἀνδρῶν οἱ ἐν τέλει· μετὰ δὲ ταῦτα, ὅπως πανδημεὶ πάντες περιχυθέντες ἡμᾶς, τί μὲν οὐχὶ διδόντες; τί δὲ οὐχ ὑπισχνούμενοι; ὅμως κατασχεῖν ἡμᾶς οὐκ ἠδυνήθησαν. Πῶς οὖν ὁ τότε καλούμενος οὐχ ὑπακούων, νῦν ἐπεχείρουν ἄκλητος εἰσωθίζεσθαι (20); πῶς δὲ ὁ τοὺς ἐπαινοῦντάς με καὶ θαυμάζοντας ἀποφεύγων, ἔμελλον ἂν νῦν διώκειν τοὺς διαβάλλοντας; Μὴ οἰηθῆτε, ὦ ἄριστοι· οὐχ οὕτως εὔωνα (21) τὰ ἡμέτερα. Οὔτε γὰρ ἄν τις ἀκυβερνήτου πλοίου σωφρονῶν ἐπιβαίη, οὔτε Ἐκκλησίᾳ παραβάλοι, ἧ τὸν κλύδωνα καὶ τὴν ζάλην αὐτοὶ οἱ ἐπὶ τῶν οἰάκων καθεζόμενοι ἐμποιοῦσι. Πόθεν γὰρ γέγονε θορύβου πλήρης ἡ πόλις, ὅτε οἱ μὲν ἔφευγον, οὐδενὸς διώκοντος, οἱ δὲ ὑπεξῄεσαν (22), οὐδενὸς πτοοῦντος· χρησμολόγοι δὲ καὶ ὀνειροσκόποι πάντες (23) ἐμορμολύττοντο; πόθεν ἄλλοθεν ταῦτα; Ἢ οὐχὶ καὶ παιδὶ γνώριμον, ὅτι ἐκ τῶν ἡγουμένων τοῦ πλήθους; ὧν τὰς αἰτίας τῆς ἔχθρας ἐμοὶ μὲν οὐχ εὐπρεπὲς λέγειν, ὑμῖν δὲ συνορᾷν καὶ πάνυ ῥᾴδιον. Ὅταν γὰρ ἡ μὲν πικρία καὶ ἡ διάστασις μηδεμίαν ἔχοι (24) ὑπερβολὴν εἰς χαλεπότητα, ἡ δὲ τῆς αἰτίας ἐξήγησις ἀνυπόστατος παντελῶς καὶ καταγέλαστος ᾖ, δῆλόν ἐστι τῆς ψυχῆς τὸ ἀῤῥώστημα, ἀλλοτρίοις μὲν ἀγαθοῖς ἐπισυμβαῖνον, οἰκεῖον δὲ καὶ πρῶτον (25) κακὸν ὑπάρχον τῷ κεκτημένῳ. Οἷς καὶ ἄλλο ἔτι τι χάριεν πρόσεστιν. Ἀμυσσόμενοι γὰρ ἐν τῷ βάθει καὶ ὀδυνώμενοι, ἐκλαλῆσαι τὴν συμφορὰν

A vos parvi penderem malo animo sordidaque voce edoceri, sed ut mea ipse eloquerer, quomodo se habeant. Equidem et quia huic loco assuetus sum a puero (hic enim apud aviam meam educatus sum), et quia ibi postea perdiu sum commoratus, cum civiles tumultus fugiens, in hoc loco, quem ad philosophandum ob solitudinis quietum idoneum esse cognoveram, annos plures continuos consumpsi; et quia fratres nunc ibi habitant, brevem a negotiis quibus detineor, respirationem nactus, lubens ad hanc solitudinem accessi; non ut inde aliis negotia **314** exhiberem, sed ut meo ipse morem gererem desiderio.

2. Quid igitur opus est ad somnia confugere, et B somniorum speculatores conducere, et nos in publicis conviviis inter pocula fabulam facere? Ego enim si apud alios calumniis peterer, vos meæ sententiæ testes citassem. Et nunc unumquemque vestrum rogo, ut vetera illa in memoriam revocetis, cum nos civitas ad curam juvenum suscipiendam vocaret, ac legatio adesset optimatum: quomodo etiam postea omnes passim nos circumsteterint, quid non dantes? quid non pollicentes? nec tamen detinere nos potuerint. Quomodo igitur qui tunc vocatus morem non gessi, nunc me intrudere aggrederer invocatus? quomodo qui laudantes me atque admirantes fugiebam, nunc calumniantes persequerer? Hoc in animum ne inducatis, o optimi; C non ita viles sunt res nostræ. Neque enim quisquam, si sapiat, navigium gubernatore destitutum conscendet, neque ad Ecclesiam accedet, in qua tempestatem ac procellam illi ipsi, qui ad clavum sedent, excitant. Unde enim exstitit tumultu plena civitas, cum fugerent alii, nemine persequente, alii clanculum egrederentur, nemine invadente, arioli vero et somniorum interpretes omnes terrorem spargerent? ex qua alia hæc causa? Nonne vel puero compertum ex populi ducibus esse? quorum inimicitiæ causas mihi quidem non decorum dicere, vobis vero intelligere omnino facile est. Quando enim acerbitas et discordia ad extremum sævitiæ cumulum perducuntur, causæ autem expositio inanis prorsus est et ridicula, manifestus est animi D morbus, alienis quidem bonis superveniens, sed domesticum ac primum malum ægrotantis. Inest etiam illis aliud lepidum. Dum enim dilacerantur intus, et cruciantur, calamitatem prodere per pudorem non licet. Atque hæc eorum animi labes non

(18) *Τίτθῃ*. Coisl. primus et unus ex Regiis τήθῃ, quod idem prorsus significat. Hic autem perspicuum est non nutricem a Basilio designari, sed aviam Macrinam, a qua se educatum fuisse supra dicebat in epist. 204.

(19) *Θεραπεύσων*. Nonnulli codices mss. θεραπεύων.

(20) *Εἰσωθίζεσθαι*. Sic mss. octo, pro eo quod erat in editis εἰσοικίζεσθαι. Paulo ante editi καὶ οὐχ ὑπακούων. Deest illud καί in codicibus Harl., Med. et tribus aliis et editione Haganoensi.

(21) *Εὔωνα*. Harl. et unus ex Regiis ἕωλα. Paulo post editi παραβάλλοι. Sex mss. ut in textu.

(22) *Ὑπεξῄεσαν*. Harl. et Med. cum uno ex Regiis ἐπεξῄεσαν.

(23) *Πάντες*. Editi πάντας, *neminem non terrerent*, excepta tamen editione Haganoensi et Basileensi prima. Lectio hæc satis commoda videtur, sed nullo prorsus nititur codice ms

(24) *Ἔχοι*. Ita Harl., Med., Coisl. primus, et unus ex Regiis. Tres alii ἔχῃ. Editi ἔχει.

(25) *Πρῶτον*. Ita octo mss. Editi πρώτως. Paulo post editi καὶ ἄλλο τι. Iidem mss. ut in textu.

ex iis solum, quæ adversum nos acta sunt, sed ex reliqua etiam vita perspicitur. Quod si etiam ignota esset, non magnum rebus accederet detrimentum. Certissimam autem causam, cur congressum nostrum fugiendum censeant, ignotam fortasse pluribus vestrum, ego docebo. Audite igitur.

3. Fidei eversio apud vos excogitatur inimica apostolicis et evangelicis doctrinis, inimica traditioni Gregorii vere magni, et eorum, qui ei successerunt usque ad beatum Musonium, cujus profecto documenta etiamnum in vestris auribus resonant. Nam Sabellii malum, olim quidem exortum, sed traditione magni illius viri exstinctum, conantur nunc isti renovare, qui dum timent ne arguantur, somnia in nos fingunt. Vos autem capita illa vino gravata valere jubentes, quæ per crapulam evectus, ac **315** deinde exæstuans vapor in visa impellit; a nobis qui vigilamus, et ob Dei timorem tacere non possumus, perniciem vestram audite. Judaismus et Sabelliana hæresis, sub Christianismi specie in evangelicam prædicationem invecta. Qui enim rem unam, personis multiplicem, Patrem et Filium et Spiritum sanctum dicit, unamque trium ponit hypostasim, quid aliud facit, nisi quod Unigeniti sempiternam negat præexsistentiam? Negat autem et dispensatorium ejus ad homines adventum, descensum ad inferos, resurrectionem, judicium: negat etiam proprias Spiritus operationes. Apud vos autem nunc et audaciora audio tentari, quam ab insulso Sabellio. Narrant enim, ut referunt qui audierunt, contendere eos qui apud vos sapientes sunt, ac dicere traditum non esse nomen Unigeniti, sed nomen adversarii; eosque in hoc lætari ac efferri, ut in proprio invento. Dictum est enim, inquit, *Ego veni in nomine Patris mei, et non recepistis me: si alius in nomine suo venerit, hunc recipietis* [88]. Et quoniam dictum est: *Docete omnes gentes, baptizantes eos in nomine Patris et Filii et Spiritus sancti* [89]· perspicuum est, inquiunt, nomen unum esse. Non enim dictum est, *in nominibus*, sed, *in nomine*.

4. Hæc non sine rubore scripsi vobis, quia con-

A ὑπὸ τῆς αἰσχύνης οὐκ ἐπιτρέπονται. Τοῦτο μὲν οὖν οὐκ ἐκ τῶν πρὸς ἡμᾶς μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ λοιποῦ βίου γνώριμόν ἐστι τῆς ψυχῆς αὐτῶν τὸ πάθημα· εἰ δὲ καὶ ἀγνοοῖτο (26), οὐ μεγάλη ζημία τοῖς πράγμασι. Τὴν δὲ ἀληθεστάτην αἰτίαν δι' ἣν φευκτὴν ἡμῶν τὴν συντυχίαν τίθενται, λανθάνουσαν ἴσως τοὺς πολλοὺς ὑμῶν, ἐγὼ διδάξω. Ἀλλ' ἀκούσατε.

3. Πίστεως διαστροφὴ παρ' ὑμῖν μελετᾶται, ἐχθρὰ μὲν τοῖς ἀποστολικοῖς καὶ εὐαγγελικοῖς δόγμασιν, ἐχθρὰ δὲ τῇ παραδόσει τοῦ μεγάλου ὡς ἀληθῶς Γρηγορίου, καὶ τῶν ἐφεξῆς ἀπ' ἐκείνου μέχρι τοῦ μακαρίου Μουσωνίου· οὗ τὰ διδάγματα ἔναυλα ὑμῖν ἐστιν ἔτι καὶ νῦν δηλονότι. Τὸ γὰρ τοῦ Σαβελλίου κακὸν, πάλαι μὲν κινηθὲν, κατασβεσθὲν δὲ τῇ παραδόσει τοῦ μεγάλου (27), B ἐπιχειροῦσι νῦν ἀνανεοῦσθαι οὗτοι, οἱ φόβῳ τῶν ἐλέγχων τοὺς καθ' ἡμῶν ὀνείρους πλάττοντες. Ἀλλ' ὑμεῖς τὰς οἰνοβαρεῖς κεφαλὰς, ἃς ὁ ἐκ τῆς κραιπάλης ἀναφερόμενος ἀτμὸς, εἶτα ἐγκυμαίνων (28), καταφαντάζει, χαίρειν ἀφέντες, παρὰ τῶν ἐγρηγορότων ἡμῶν (29), καὶ διὰ τὸν τοῦ Θεοῦ φόβον μὴ δυναμένων ἡσυχάζειν, τὴν βλάβην ὑμῶν ἀκούσατε. Ἰουδαϊσμός ἐστιν ὁ Σαβελλισμὸς, ἐν προσχήματι Χριστιανισμοῦ τῷ εὐαγγελικῷ κηρύγματι ἐπεισαγόμενος. Ὁ γὰρ ἓν πρᾶγμα πολυπρόσωπον (30) λέγων Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, καὶ μίαν τῶν τριῶν τὴν ὑπόστασιν ἐκτιθέμενος, τί ἄλλο ποιεῖ, ἢ οὐχὶ ἀρνεῖται μὲν τὴν προαιώνιον τοῦ Μονογενοῦς ὕπαρξιν; ἀρνεῖται δὲ καὶ τὴν οἰκονομικὴν αὐτοῦ πρὸς ἀνθρώπους ἐπιδημίαν, C τὴν εἰς ᾅδου κάθοδον, τὴν ἀνάστασιν, τὴν κρίσιν· ἀρνεῖται δὲ καὶ τὰς ἰδιαζούσας τοῦ Πνεύματος ἐνεργείας. Παρὰ δὲ ὑμῖν νῦν καὶ νεανικώτερα ἀκούω τολμᾶσθαι τοῦ ματαιόφρονος Σαβελλίου. Λέγουσι γὰρ, ὡς οἱ ἀκηκοότες (31) φασὶ, διατείνεσθαι τοὺς παρ' ὑμῖν σοφοὺς καὶ λέγειν, ὅτι ὄνομα τοῦ Μονογενοῦς οὐ παραδέδοται, ὄνομα δὲ τοῦ ἀντικειμένου ἐστί· καὶ ἐπὶ τούτῳ γάννυσθαι μὲν, καὶ μέγα φρονεῖν, ὡς ἐπὶ οἰκείῳ εὑρήματι. Εἴρηται γὰρ, φησίν· *Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐκ ἐλάβετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ἰδίῳ ὀνόματι, ἐκεῖνον λήψεσθε.* Καὶ διὰ τὸ εἰρῆσθαι, *Μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος*, δῆλόν ἐστι, φασὶν (32), ὅτι ἕν ἐστιν ὄνομα. Οὐ γὰρ εἴρηται, εἰς τὰ *ὀνόματα*, ἀλλ', *εἰς τὸ ὄνομα*.

D 4. Ταῦτα ἐρυθριῶν ἔγραφον ὑμῖν, ὅτι ἀφ' αἵμα-

[88] Joan. v, 43. [89] Matth. xxviii, 19.

(26) Ἀγνοοῖτο. Sic mss. codices octo. Editio Parisiensis ἠγνοεῖτο, Basil. et Hagan. ἀγνοεῖτο. Infra editi ἔναυλά ἐστι καὶ νῦν ἡμῖν. Septem mss. ut in textu.

(27) *Τοῦ μεγάλου*. Ita tres vetustissimi codices cum duobus Regiis, et editione Haganoensi et Basileensi. Parisiensis addit Γρηγορίου. Similiter Basilius in epist. 146 Eusebium designat, non addito nomine Eusebii. Duo alii codices Regii cum Vaticano et Coisl. secundo κατασβεσθὲν δὲ παρὰ τῶν πατέρων.

(28) *Ἐγκυμαίνων*. Harl. et unus ex Regiis ἀτμὸς ἐκμαίνων. Deest etiam εἶτα in codice Medicæo.

(29) *Ἡμῶν*. Hanc vocem addidimus ex mss. octo.

(30) *Πολυπρόσωπον*. Ita Hagan. editio et Basileensis et octo mss. Editio Parisiensis πολυώνυμον. Infra Basilius hanc hæresim vocat ἀνώνυμον, et nomen Filii ab ea negari declarat. Paulo post editi τί ἄλλο ποιεῖ, οὐχί. Iidem mss. ut in textu.

(31) *Ἀκηκοότες*. Editio Paris. addit αὐτῶν, quod nec sua sponte necessarium est, et in octo mss. ac in antiquis editionibus deest. Non multo infra iidem editi Εἴρηται γὰρ, φασίν. Octo mss. et editio Hagan. ut in textu.

(32) *Φασίν*. Medicæus et unus ex Regiis φησί.

A τῆς ἡμετέρου εἰσὶν οἱ τούτοις ἔνοχοι, καὶ καταστενάζω τῆς ἐμαυτοῦ ψυχῆς, ὅτι ἀναγκάζομαι, ὥσπερ οἱ πρὸς δύο πυκτεύοντες, τὰς ἐφ' ἑκάτερα τοῦ λόγου παρατροπὰς κρούων τοῖς ἐλέγχοις, καὶ καταβάλλων, τὴν προσήκουσαν ἰσχὺν ἀποδιδόναι τῇ ἀληθείᾳ. Ἐντεῦθεν γὰρ ὁ Ἀνόμοιος ἡμᾶς σπαράσσει· ἑτέρωθεν δὲ, ὡς ἔοικεν, ὁ Σαβέλλιος. Ἀλλ' ὑμᾶς παρακαλῶ, τοῖς βδελυροῖς τούτοις καὶ μηδένα παρατρέψαι δυναμένοις σοφίσμασι μὴ προσέχειν τὸν νοῦν· εἰδέναι δὲ, ὅτι ἔστι τὸ ὄνομα τοῦ Χριστοῦ (33) τὸ ὑπὲρ πᾶν ὄνομα, αὐτὸ τὸ καλεῖσθαι (34) αὐτὸν Υἱὸν τοῦ Θεοῦ, καὶ κατὰ τὸν Πέτρου λόγον· *Οὐδὲ ἔστιν ἕτερον ὄνομα ὑπὸ τὸν οὐρανὸν, τὸ δεδομένον ἐν ἀνθρώποις* (35), *ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς*. Πρὸς δὲ τὸ, ὅτι *Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου*, ἐκεῖνο εἰδέναι χρὴ, ὅτι, ἀρχὴν B ἑαυτοῦ καὶ αἰτίαν ἐπιγραφόμενος τὸν Πατέρα, ταῦτα λέγει. Εἰ δὲ εἴρηται, *Πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος* (36), οὐ παρὰ τοῦτο χρὴ νομίζειν ἓν ἡμῖν ὄνομα παραδεδόσθαι. Ὡς γὰρ ὁ εἰπὼν, Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος, τρία μὲν εἶπεν ὀνόματα, συνέδησε δὲ αὐτὰ ἀλλήλοις διὰ τῆς, *καὶ*, συλλαβῆς· οὕτως ὁ εἰπὼν ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, τρία εἰπὼν, συνέπλεξεν αὐτὰ τῷ συνδέσμῳ, ἑκάστῳ ὀνόματι ἴδιον ὑποβεβλῆσθαι τὸ σημαινόμενον ἐκδιδάσκων· διότι πραγμάτων ἐστὶ σημαντικὰ τὰ ὀνόματα. Τὰ δὲ πράγματα ἰδιάζουσαν καὶ αὐτοτελῆ τὴν ὕπαρξιν ἔχειν οὐδεὶς τῶν καὶ μικρὸν μετεχόντων τοῦ φρονεῖν ἀμφιβάλλει. Πατρὸς γὰρ καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος φύσις μὲν ἡ C αὐτὴ, καὶ θεότης μία· ὀνόματα δὲ διάφορα, περιωρισμένας καὶ ἀπηρτισμένας τὰς ἐννοίας ἡμῖν παριστῶντα. Ἀμήχανον γὰρ, μὴ ἐν τοῖς ἑκάστου ἰδιώμασι τὴν διάνοιαν γενομένην ἀσύγχυτον, δυνηθῆναι Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι τὴν δοξολογίαν ἀποπληρῶσαι. Ἐὰν μὲν οὖν ἀρνῶνται μὴ λέγειν ταῦτα, μηδὲ διδάσκειν οὕτω, κατώρθωται ἡμῖν τὰ σπουδαζόμενα. Καίτοι χαλεπὴν αὐτοῖς οὖσαν ὁρῶ τὴν ἄρνησιν, διὰ τὸ πολλοὺς ἔχειν τῶν λόγων τούτων τοὺς μάρτυρας. Πλὴν ἀλλ' οὐ σκοποῦμεν τὰ παρελθόντα, τὰ παρόντα μόνον ὑγιαινέτωσαν. Ἐὰν δὲ τοῖς αὐτοῖς ἐπιμένωσιν, ἀνάγκη καὶ πρὸς ἄλλας Ἐκκλησίας ἐκβοῆσαι ἡμᾶς τὴν καθ' ὑμᾶς συμφορὰν, καὶ ποιῆσαι παρὰ πλειόνων ἐπισκόπων γράμματα ὑμῖν ἀφικέσθαι, τὸ μέγεθος τοῦτο τῆς ὑποκατασκευαζομένης (37) ἀσεβείας καταρρηγνύντα. Ἢ γὰρ προὔργου τι ἔσται εἰς τὴν σπουδὴν, ἢ πάντως ἡ παροῦσα διαμαρτυρία ἀφήσει ἡμᾶς τῆς αἰτίας ἐπὶ τοῦ κριτηρίου.

5. Ἤδη δὲ καὶ ἐν συντάγμασιν οἰκείοις κατεβάλοντο τοὺς λόγους τούτους· οὕσπερ καὶ ἀπέστειλαν πρῶ-

sanguinei nostri sunt, qui his implicantur, et de animæ meæ situ ingemisco, quod cogar, velut ii qui contra duos pugnant, doctrinæ ex utraque parte corruptelas argumentis pulsans et evertens, consentaneum veritati robur reddere. Hinc enim nos dilacerat Anomœus: illinc, ut apparet, Sabellius. Verum obsecro vos, ut ne exsecrandis his ac neminem subvertere valentibus sophismatibus animum intendatis: sed sciatis, Christi nomen quod est super omne nomen, hoc ipsum esse, quod Filius Dei vocatur; et secundum Petri dictum, *Neque esse aliud nomen sub cælo datum hominibus, in quo oportent nos salvos fieri* [1]. Quod autem attinet ad illud, *Ego veni in nomine Patris mei*, sciendum est eum, cum Patrem profiteretur sui ipsius principium ac causam, hæc dixisse. Quod si dictum est: *Euntes baptizate in nomine Patris et Filii et Spiritus sancti*, non idcirco putandum est nomen unum nobis fuisse traditum. Quemadmodum enim qui dicit, Paulus et Silvanus et Timotheus, tria quidem pronuntiavit nomina, sed ea inter se per *et* syllabam colligavit, sic qui dicit nomen Patris et Filii et Spiritus sancti, tria dicens, connexuit ipsa per conjunctionem, unicuique nomini proprium subesse significatum **316** docens; nam res ipsas significant nomina. Res autem propriam exsistentiam ac per se perfectam habere, nemo vel parum intelligens dubitat. Nam Patris et Filii et Spiritus sancti natura quidem eadem et divinitas una: nomina vero diversa, circumscriptas et absolutas notiones nobis exhibentia. Fieri enim non potest, ut mens, nisi in uniuscujusque proprietatibus sine confusione considerandis versetur, Patri et Filio et Spiritui sancto glorificationem persolvat. Jam si negent se hæc dicere, aut ita docere, propositum sumus assecuti. Quanquam difficile illis esse video negare, propterea quod non pauci sunt horum sermonum testes. Sed tamen non spectamus præterita, tantummodo sana sint præsentia. Quod si in iisdem perseveraverint, necesse habebimus et ad alias Ecclesias calamitatem vestram clamitare, ac perficere ut ad vos veniant a pluribus episcopis litteræ, quæ hanc assurgentis impietatis molem perfringant. Vel enim id ad propositum nostrum proderit, vel sane hæc obtestatio nos a culpa in judicio liberabit.

5. Jam autem et in propriis scriptis injecerunt hos sermones, quos primum quidem miserunt ho-

[1] Act. IV, 12.

(33) *Χριστοῦ*. Addit editio Paris., Ἰησοῦ, sed deest in octo mss. et antiquis editionibus.

(34) *Τὸ καλεῖσθαι*, etc. Editio Paris. τοῦτο καλεῖσθαι αὐτὸν Υἱὸν τοῦ Θεοῦ, κατὰ τὸν τοῦ, etc. Codices nostri et antiquæ editiones summo consensu ut in textu.

(35) *Ἐν ἀνθρώποις*. Deest præpositio in Med., Harl. et uno ex Regiis.

(36) *Πνεύματος*. Editio Paris. addit καὶ οὐκ εἰς D τὰ ὀνόματα. Sed repugnant octo codices nostri et vetustæ editiones, in quibus hæc desunt. Iisdem codicibus freti mutavimus quod infra in editis legebatur ταῦτα ἀλλήλοις et τῷ καὶ συνδέσμῳ. Habent etiam τῷ συνδέσμῳ vetustæ editiones.

(37) *Ὑποκατασκευαζομένης*. Ita octo mss. Editi ὑποσκευαζομένης. Paulo post editio Paris. ἐκ τῆς σπουδῆς. Iidem codices et editiones vetustæ ut in textu.

mini Dei Meletio episcopo: deinde acceptis ab ipso convenientibus responsis, quemadmodum monstrorum matres pudore suffusæ ob naturæ vitia, ita ipsi quoque turpes suos fœtus in congruentibus tenebris abditos enutriunt. Immisere etiam per epistolam tentamenta quædam unanimi nostro Anthimo Tyanorum episcopo, quasi Gregorius in fidei expositione dixerit Patrem et Filium mentis quidem cogitatione duo esse, sed hypostasi unum. Hoc autem non docendi causa, sed decertandi in dialogo cum Æliano dictum esse, intelligere non potuerunt, qui sibi ipsi ob ingenii subtilitatem beati videntur. Qua in disputatione multa sunt librariorum errata, ut ex ipsis verbis ostendemus, si Deus volet. Deinde vero gentilem erudiens non existimabat accuratius disceptandum esse de verbis; sed nonnihil etiam indoli illius, qui introducebatur, concedendum, ut ne iis qui præcipua sunt, repugnaret. Quapropter et multas illic invenias voces, quæ nunc robur maximum hæreticis præbent, quales sunt *creatura* et *factura*, et si quid ejusmodi. Multa autem et de conjunctione cum homine dicta ad divinitatis rationem referunt, qui inscite scripta illa intelligunt, quale est et hoc ipsum, quod ab ipsis decantatur. Est enim probe sciendum, quemadmodum qui essentiæ communionem non confitetur, in errorem multorum deorum incidit, ita qui hypostaseωn proprietatem non admittit, in Judaismum ferri. Oportet enim ut mens nostra velut aliquo fulta subjecto, et illius considerans proprietates, ita demum in illius, quem **317** desiderat, cognitione versetur. Si enim paternitatem non intellexerimus, neque circa quem hæc proprietas definita sit, adverterimus; quomodo poterimus Dei Patris notionem accipere? Non enim satis est personarum numerare differentias: sed unamquamque personam in vera hypostasi exsistere fatendum est. Illud enim hypostasi carens personarum commentum ne Sabellius quidem rejecit; quippe cum dicat eumdem Deum, cum subjecto unus sit, pro occurrentibus subinde occasionibus transformatum, modo ut Patrem, modo ut Filium, modo ut Spiritum sanctum loqui. Hunc olim exstinctum errorem renovant nunc bujusce innominatæ hæresis inventores, qui

A τον τῷ ἀνθρώπῳ τοῦ Θεοῦ Μελετίῳ τῷ ἐπισκόπῳ, καὶ λαβόντες παρ' αὐτοῦ τὰς προσηκούσας ἀποκρίσεις, ὡς αἱ τῶν τεράτων μητέρες ἐπαισχυνόμεναι τοῖς πηρώμασι τῆς φύσεως, οὕτω καὶ αὐτοὶ τὰς αἰσχρὰς ἑαυτῶν ὠδῖνας τῷ προσήκοντι σκότῳ κατακρύψαντες τιθηνοῦνται. Καθῆκεν δέ τινα πεῖραν δι' ἐπιστολῆς καὶ πρὸς τὸν ὁμόψυχον ἡμῶν Ἄνθιμον τὸν Τυάνων ἐπίσκοπον· ὡς ἄρα Γρηγορίου εἰπόντος ἐν ἐκθέσει Πίστεως Πατέρα καὶ Υἱὸν ἐπινοίᾳ μὲν εἶναι δύο, ὑποστάσει δὲ ἕν (38). Τοῦτο δὲ ὅτι οὐ δογματικῶς εἴρηται, ἀλλ' ἀγωνιστικῶς ἐν τῇ πρὸς Αἰλιανὸν (39) διαλέξει, οὐκ ἠδυνήθησαν συνιδεῖν οἱ ἐπὶ λεπτότητι τῶν φρενῶν ἑαυτοὺς μακαρίζοντες. Ἐν ᾗ πολλὰ τῶν ἀπογραψαμένων ἐστὶ σφάλματα, ὡς ἐπ' αὐτῶν τῶν λέξεων δείξομεν ἡμεῖς, ἐὰν ὁ Θεὸς **B** θέλῃ. Ἔπειτα μέντοι τὸν Ἕλληνα πείθων, οὐκ ἡγεῖτο χρῆναι ἀκριβολογεῖσθαι περὶ τὰ ῥήματα· ἀλλ' ἔστιν ὅπῃ καὶ συνδιδόντα (40) τῷ ἔθει τοῦ ἐναγομένου, ὡς ἂν μὴ ἀντιτείνοι πρὸς τὰ καίρια. Διὸ δὴ καὶ πολλὰς ἂν εὕροις ἐκεῖ φωνὰς, τὰς νῦν τοῖς αἱρετικοῖς μεγίστην ἰσχὺν παρεχομένας· ὡς τὸ *κτίσμα*, καὶ τὸ *ποίημα*, καὶ εἴ τι τοιοῦτον. Πολλὰ δὲ καὶ περὶ τῆς πρὸς τὸν ἄνθρωπον συναφείας εἰρημένα εἰς τὸν περὶ τῆς θεότητος ἀναφέρουσι λόγον, οἱ ἀπαιδεύτως τῶν γεγραμμένων ἀκούοντες· ὁποῖόν ἐστι καὶ τοῦτο, τὸ παρὰ τούτων περιφερόμενον. Εὖ γὰρ (41) εἰδέναι χρὴ, ὅτι, ὥσπερ ὁ τὸ κοινὸν τῆς οὐσίας μὴ ὁμολογῶν εἰς πολυθεΐαν ἐκπίπτει, οὕτως ὁ τὸ ἰδιάζον τῶν ὑποστάσεων μὴ διδοὺς εἰς τὸν Ἰου**C**δαϊσμὸν ὑποφέρεται (42). Δεῖ γὰρ τὴν διάνοιαν ἡμῶν οἱονεὶ ἐπερεισθεῖσαν ὑποκειμένῳ τινὶ, καὶ ἐναργεῖς αὐτοῦ ἐντυπωσαμένην τοὺς χαρακτῆρας, οὕτως ἐν περινοίᾳ γενέσθαι τοῦ ποθουμένου. Μὴ γὰρ νοήσαντες (43) τὴν πατρότητα, μηδὲ περὶ ὃν ἀφώρισται τὸ ἰδίωμα τοῦτο ἐνθυμηθέντες, πῶς δυνατὸν Θεοῦ Πατρὸς (44) ἔννοιαν παραδέξασθαι; Οὐ γὰρ ἐξαρκεῖ διαφορὰς προσώπων ἀπαριθμήσασθαι, ἀλλὰ χρὴ ἕκαστον πρόσωπον ἐν ὑποστάσει ἀληθινῇ ὑπάρχον (45) ὁμολογεῖν. Ἐπεὶ τόν γε ἀνυπόστατον τῶν προσώπων ἀναπλασμὸν οὐδὲ ὁ Σαβέλλιος παρῃτήσατο, εἰπὼν τὸν αὐτὸν Θεὸν, ἕνα τῷ ὑποκειμένῳ (46) ὄντα, πρὸς τὰς ἑκάστοτε παραπιπτούσας χρείας μεταμορφούμενον, νῦν μὲν ὡς Πατέρα, νῦν δὲ ὡς Υἱὸν, νῦν δὲ ὡς Πνεῦμα ἅγιον διαλέγεσθαι. Ταύτην πάλαι **D**

(38) Ὑποστάσει δὲ ἕν. Credere non possum Gregorium dixisse Patrem et Filium, si simul considerentur, cogitatione duo esse, hypostasi unum. Hæc enim gemella essent hæresi Sabellianæ, quam supra Basilius Gregorii traditione exstinctam docet. Sed his in verbis vel erratum aliquod librariorum, ut placet Basilio, suspicandum est, vel de Patre et Filio separatim sumptis accipi debent. Quo sensu magister Gregorii Origenes dixit de Christo: Τὸ μὲν ὑποκείμενον ἕν ἐστι, ταῖς δὲ ἐπινοίαις τὰ πολλὰ ὀνόματα ἐπὶ διαφόρων. *Suppositum quidem unum est, sed cogitatione plura nomina variis rebus imponuntur*, Homil. 8 *in Jerem*. p. 96.

(39) *Αἰλιανόν*. Coisl. uterque et duo Regii Γελιανόν.

(40) *Καὶ συνδιδόντα*. Ita Coisl. primus, Harl. et Med. cum duobus Regiis. Editi καὶ συνδιδόναι.

(41) *Εὖ γάρ*. Editi addunt καὶ τοῦτο, quæ desunt in octo nostri mss.

(42) *Ὑποφέρεται*. Ita octo mss. Editi ἀποφέρεται.

(43) *Νοήσαντες*. Coisl. primus cum aliis quatuor νοήσαντας et mox ἐνθυμηθέντας. Sed tamen vulgatam lectionem mutare nolui, quæ sæpe alias in locis similibus occurrit apud Basilium, ac reperitur in codicibus Harl. et Med. et uno ex Regiis. Habent illi quidem tres codices paulo post πῶς δύναιντ' ἄν. Sed credo inductam a librariis hanc immutationem nimio grammaticæ studio, quemadmodum in aliis quinque codicibus eadem de causa nominativus in accusativum immutatus.

(44) *Θεοῦ Πατρός*. Sic novem mss. pro eo quod erat in editis πρὸς Θεοῦ.

(45) *Ὑπάρχον*. Sic iidem mss. Editi ὑπάρχειν.

(46) *Τῷ ὑποκειμένῳ*. Editio Basil. secunda et Paris. τῶν ὑποκειμένων, repugnantibus omnibus mss. et vetustioribus editionibus.

κατασβεσθεῖσαν τὴν πλάνην ἀνανεοῦνται νῦν οἱ τῆς ἀνωνύμου (47) ταύτης αἱρέσεως ἐφευρεταί· οἱ τὰς ὑποστάσεις ἀθετοῦντες, καὶ τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ ἀπαρνούμενοι. Οὓς, ἐὰν μὴ παύσωνται λαλοῦντες κατὰ τοῦ Θεοῦ ἀδικίαν, ὀδύρεσθαι χρὴ μετὰ τῶν ἀρνησιχρίστων.

6. Ταῦτα ἀναγκαίως ὑμῖν διεστειλάμεθα, ἵνα τὰς ἀπὸ τῶν πονηρῶν διδαγμάτων βλάβας φυλάξησθε. Τῷ ὄντι γὰρ, εἰ χρὴ τὰς πονηρὰς διδασκαλίας τοῖς ὀλεθρίοις φαρμάκοις ἐξομοιοῦν, ὡς οἱ παρ' ὑμῖν ὀνειροσκόποι φασὶ, ταῦτά ἐστι καὶ κώνειον, καὶ ἀκόνιτον, καὶ εἴ τι ἕτερον φάρμακον ἀνδροφόνον. Ταῦτα ψυχῶν δηλητήρια, οὐχ οἱ ἡμέτεροι λόγοι, ἅπερ αἱ οἰνόπληκτοι (48) μήνιγγες ἐκβοῶσι, πολυφάνταστοι οὖσαι διὰ τὸ πάθος· οὓς, εἴπερ ἐσωφρόνουν, ἐχρῆν εἰδέναι, ὅτι ταῖς ἀχράντοις καὶ πάσης κηλῖδος κεκαθαρμέναις ψυχαῖς τὸ προφητικὸν ἐναυγάζει χάρισμα. Οὔτε γὰρ κατόπτρῳ ῥυπῶντι δυνατὸν τῶν εἰκόνων δέξασθαι τὰς ἐμφάσεις, οὔτε ψυχὴν ταῖς βιωτικαῖς προειλημμένην μερίμναις, καὶ τοῖς ἐκ τοῦ φρονήματος τῆς σαρκὸς ἐπισκοτουμένην πάθεσι, δυνατὸν ὑποδέξασθαι τοῦ ἁγίου Πνεύματος τὰς ἐλλάμψεις. Οὐ γὰρ πᾶν ἐνύπνιον εὐθὺς προφητεία, ὥς φησι Ζαχαρίας· *Κύριος ἐποίησε φαντασίαν, καὶ ὑετὸν χειμερινὸν, διότι οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους, καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν*. Οὗτοι δὲ κἀκεῖνο ἀγνοοῦσιν, οἱ κατὰ τὸν Ἡσαΐαν ἐνυπνιαζόμενοι καὶ κοίτην φιλοῦντες νυστάξαι, ὅτι πολλάκις ἐνέργεια πλάνης ἀποστέλλεται ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. Καὶ ἔστι πνεῦμα ψευδὲς, ὃ, ἐν τοῖς ψευδοπροφήταις (49) γενόμενον, τὸν Ἀχαὰβ ἐξηπάτησε. Ταῦτα εἰδότες (50), ἔδει μὴ τοσοῦτον ὑπεραρθῆναι, ὥστε ἑαυτοῖς προφητείαν προσμαρτυρεῖν, οἵ γε δείκνυνται καὶ τοῦ οἰωνοσκόπου Βαλαὰμ τῆς ἀκριβείας ἀπολειπόμενοι. Ὃς, ὑπὸ τοῦ βασιλέως τῶν Μωαβιτῶν ἐπὶ μεγίσταις δωρεαῖς μετακληθεὶς, οὐχ ἠνέσχετο (51) ἀφεῖναι φωνὴν παρὰ τὸ βούλημα τοῦ Θεοῦ, οὐδὲ ἀράσασθαι τὸν Ἰσραὴλ, ὃν οὐκ ἀρᾶται Κύριος. Εἰ μὲν οὖν ταῖς ἐντολαῖς τοῦ Κυρίου αἱ κατὰ τὸν ὕπνον αὐτῶν φαντασίαι συντρέχουσιν, ἀρκείσθωσαν τοῖς Εὐαγγελίοις, οὐδεμιᾶς βοηθείας ἐκ τῶν ὀνείρων εἰς τὴν ἀξιοπιστίαν προσδεομένοις· εἰ δὲ ὁ μὲν Κύριος τὴν ἑαυτοῦ εἰρήνην ἀφῆκεν ἡμῖν, καὶ ἐντολὴν καινὴν δέδωκεν ἡμῖν, ἵνα ἀγαπῶμεν ἀλλήλους, τὰ δὲ ὀνείρατα μάχην καὶ διάστασιν καὶ ἀγάπης ἀφανισμὸν ὑφηγεῖται (52)· μὴ διδότωσαν καιρὸν τῷ διαβόλῳ διὰ τοῦ ὕπνου ταῖς ψυχαῖς αὐτῶν ἐπιβαίνειν· μηδὲ κυριώτερα ποιείτωσαν τὰ παρ' ἑαυτῶν (53) φαντάσματα τῶν σωτηρίων διδαγμάτων.

hypostases repudiant, et nomen Filii Dei negant. Quibus quidem, nisi desinant loqui adversus Deum iniquitatem [1], lugendum est cum iis qui Christum negant.

6. Hæc vobis necessario scripsimus, ut damna a pravis documentis impendentia caveatis. Nam revera, si pravæ doctrinæ cum pharmacis exitiosis comparandæ, quemadmodum apud vos somniorum interpretes dicunt, hæc sunt et cicuta et aconitum, et si quod aliud lethale pharmacum. Hæc sunt animarum venena, non nostri sermones, ut temulenta illa cerebellorum involucra clamitant, visis multis ob morbum referta: quos quidem, si saperent, nosse oportebat, intaminatis et ab omni macula expurgatis mentibus propheticum donum illucere. Neque enim speculo sordido possunt imaginum excipi species; neque anima sæcularibus præoccupata curis, et cui carnalis sensus affectio tenebras offundit, illustrationem Spiritus sancti recipere potest. Non enim omne somnium statim prophetia est, ut ait Zacharias: *Dominus fecit phantasiam, et pluviam hibernam, quia sermocinantes locuti sunt labores, et somnia falsa loquebantur* [3]. Illi autem qui secundum Isaiam somniant et dormitare amant in cubili [4], illud etiam ignorant, sæpe operationem erroris immitti in filios diffidentiæ [5]. Est et spiritus mendax, qui cum in falsis prophetis esset, Achab decepit [6]. Hæc scientes non oportebat adeo superbire, ut sibiipsis prophetiæ donum ascriberent: qui ne auguris quidem Balaam diligentiam assequi deprehenduntur. Is enim a Moabitarum rege, magnis muneribus oblatis, accersitus, adduci non potuit, ut vocem præter Dei voluntatem emitteret, aut Israeli malediceret, cui Dominus non maledicebat [7]. Itaque si præceptis Domini oblata illis per somnum visa consentiunt, contenti sint Evangeliis, quæ somniorum præsidio ad fidem faciendam non indigent. **318** Quod si pacem suam nobis reliquit Dominus, novumque nobis mandatum dedit, ut diligamus invicem, somnia vero pugnam ac dissidium et charitatis exstinctionem inducunt; non dent occasionem diabolo ipsorum animas per somnum invadendi, nec suis visionibus plus tribuant, quam salutaribus documentis.

[1] Psal. LXXIV, 6. [3] Zach. X, 1, 2. [4] Isa. XXIX, 8. [5] Ephes. II, 2. [6] III Reg. XXII, 22. [7] Num. XXII, 11 sqq.

(47) *Τῆς ἀνωνύμου*. Videtur Basilius hæresim illam innominatam, sive nomine carentem dicere, quia nomen Filii tollebat, ac traditum negabat.

(48) *Ἅπερ αἱ οἰνόπληκτοι*. Sic omnes nostri codices, uno excepto, qui habet ὅπερ αἱ οἰνόφλυκτοι. Editi ἀλλ' ἅπερ αἱ οἰνόφλυκτοι.

(49) *Ψευδοπροφήταις*. Coisl. primus et Med. προφήταις.

(50) *Ταῦτα εἰδότες*. Coisl. uterque, Med. et unus ex Regiis ταῦτα εἰδότας. Nihil tamen mutandum putavimus, ob eas causas quas modo diximus. Neque enim repugnat vulgata scriptura stylo Basilii, ac præterea reperitur in Harlæano et aliis codicibus.

(51) *Ἠνέσχετο*. Sic plerique codices mss. Editi ἠνείχετο. Paulo post editi ὃν οὐ καταρᾶται, et infra πρὸς τὴν ἀξιοπιστίαν. Codices mss. summo consensu ut in textu.

(52) *Ὑφηγεῖται*. Ita novem mss. Editi ἀφηγεῖται.

(53) *Παρ' ἑαυτῶν*. Sic tres vetustissimi codices. Editi παρ' αὐτοῦ.

EPISTOLA CCXI*.

ΕΠΙΣΤΟΛΗ ΣΙΑ'.

Significat se, lectis Olympii litteris filiisque illius visis, oblitum esse veneni Neocæsariensium : addit se jam litteras dedisse et daturum, si volet Olympius.

Olympio.

Et lectis præstantiæ tuæ litteris, factus sum meipso hilarior ac alacrior, et ubi cum optatissimis tuis filiis sum collocutus, teipsum videre mihi visus sum. Hi, cum afflictam omnino meam animam offendissent, sic affecerunt, ut obliviscerer veneni, quod apud vos somniorum venditores cauponesque, ut a quibus conducti sunt gratiam ineant, contra nos circumferunt. Epistolas quidem jam nonnullas misi, alias autem in posterum dabimus, si voles. Tantummodo prosint accipientibus.

A

Ὀλυμπίῳ.

Καὶ τοῖς γράμμασιν ἐντυχὼν τῆς τιμιότητός σου, ἡδίων ἐμαυτοῦ καὶ εὐθυμότερος ἐγενόμην, καὶ τοῖς ποθεινοτάτοις υἱέσιν εἰς ὁμιλίαν ἐλθὼν, αὐτόν σε ἔδοξα καθορᾷν. Οἵ, πάνυ μου (54) τὴν ψυχὴν κεκακωμένην παραλαβόντες, οὕτω διέθηκαν, ὥστε ἐπιλαθέσθαι με τοῦ παρ' ὑμῖν κωνείου, ὃ οἱ ὀνειροπῶλαι (55) καὶ ὀνειροκάπηλοι, εἰς τὴν τῶν ἐκμισθωσαμένων αὐτοὺς χάριν, καθ' ἡμῶν περιφέρουσιν. Ἐπιστολὰς δὲ τὰς μὲν ἔπεμψα (56), τὰς δὲ καὶ εἰς ὕστερον δώσομεν, ἐὰν ἐθέλῃς. Μόνον εἴη τι ὄφελος τῆς αὐτῶν τοῖς λαμβάνουσιν.

EPISTOLA CCXII**.

ΕΠΙΣΤΟΛΗ ΣΙΒ'.

Dolorem suum significat quod Dazimone Hilarium non viderit. Injurias inimicorum commemorat ac sua cum Anomœis bella, et cum iis qui medii sibi videntur. Hilarium morbis laborantem ad patientiam hortatur.

Hilario.

1. Quid passum me esse putas, aut quo animo fuisse, cum Dazimona veni, ac didici paucis post adventum meum diebus facundiam tuam exiisse? Non enim solum ob illam admirationem, qua te a teneris prosecutus sum, statim ab ipsis scholarum exercitationibus colloquium tuum semper plurimi feci, sed etiam quia nihil nunc tanto amore dignum, quam animus veritatis amans, ac recto de rebus judicio præditus, quod quidem apud te servari arbitramur. Nam cæterorum hominum plerosque videmus, ut in equestri cursu, alios quidem istis, alios vero his favendo dividi, ac factionis ducibus acclamare. Te vero, cum et timore et assentatione et ignavo omni affectu excelsior sis, non mirum est oculo sano veritatem speculari. Nam et te intelligo non leviter tangi rebus Ecclesiarum, quandoquidem et ad me misisti quamdam de his epistolam, ut his proximis litteris declarabas; quam quidem quis perferendam acceperit, libenter didicerim, ut hominem de me male meritum cognoscam. Nondum enim tuas ad me his de rebus litteras vidi.

B

Ἱλαρίῳ.

1. Ἐμὲ δὲ τί οἴει πεπονθέναι, ἢ τίνα γνώμην ἐσχηκέναι (57), ἐπειδὴ ἐπεδήμησα μὲν τῷ Δαζιμῶνι (58),(59) ἔμαθον δὲ ὀλίγαις ὕστερον ἡμέραις τῆς παρουσίας ἡμῶν ἐξεληλυθέναι σου τὴν λογιότητα; Οὐ γὰρ μόνον διὰ τὸ ἐκ παιδὸς θαῦμα ὃ ἔσχον περὶ σὲ, εὐθὺς ἀπὸ διατριβῶν αὐτῶν ἀεὶ πολλοῦ ἄξιαν ἐθέμην τὴν ὁμιλίαν σου, ἀλλὰ καὶ διὰ τὸ μηδὲν οὕτω σπουδαῖον (60) εἶναι νῦν, ὡς φιλαλήθη ψυχὴν, ὑγιὲς τῶν πραγμάτων τὸ κριτήριον κεκτημένην· ὅπερ ἡγούμεθα παρὰ σοὶ διασώζεσθαι. Καὶ γὰρ τῶν λοιπῶν τοὺς πλείστους ὁρῶμεν, ὥσπερ ἐν ταῖς ἱπποδρομίαις, τοὺς μὲν ὡς τούτους, τοὺς δὲ ὡς ἐκείνους διῃρημένους, καὶ συνεκβοῶντας τοῖς στασιάζουσι. Σὲ δὲ, καὶ φόβου καὶ θεραπείας καὶ παντὸς ἀγεννοῦς πάθους ὑψηλότερον ὄντα, εἰκὸς ὀφθαλμῷ ὑγιαίνοντι καθορᾷν τὴν ἀλήθειαν. Καὶ γὰρ αἰσθάνομαί σου μὴ παρέργως (61) ἔχοντος πρὸς τὰ τῶν Ἐκκλησιῶν, ἐπεί γε καὶ πρὸς ἡμᾶς ἔπεμψάς τινα περὶ τούτων ἐπιστολὴν, ὡς ἐν τοῖς ἔναγχος τούτοις ἐδήλους (62) γράμμασιν, ἣν τίς ὁ παραλαβὼν ὥστε διακομίσαι, ἡδέως ἂν μάθοιμι, ὥστε εἰδέναι τὸν ἀδικήσαντα. Οὐ γὰρ ἐνέτυχόν πω γράμμασι σοῖς πρὸς ἡμᾶς (63) περὶ τούτων.

C

2. Quanti ergo putas empturum me fuisse tuum colloquium, ut tibi aperirem quæ me affligunt (affert enim, ut nosti, vel ipsa narratio aliquid solatii dolentibus), et ad quæsita responderem, **319** non

2. Πόσου ποτ' ἂν οὖν οἴει πρίασθαί με τὴν ὁμιλίαν σου, ὑπὲρ τοῦ γνωρίσαι μέ σοι τὰ λυποῦντά με (φέρει γὰρ, ὡς οἶσθα (64), καὶ τὸ ἐξειπεῖν ῥᾳστώνην τινὰ τοῖς ὀδυνωμένοις), ἀποκρίνασθαί τε περὶ τῶν ἐπιζη-

* Alias CLXX. Scripta anno 375.

** Alias CCCLXX. Scripta anno 375.

(54) *Οἵ πάνυ μου.* Deest ultima vocula in duobus vetustissimis codicibus Harl. et Coisl., nec necessaria videtur.

(55) *Ὀνειροπῶλαι.* Ita Harl. et Reg. primus. His favent tres alii in quibus legitur ὀνειροπόλαι. Editi ὀνειροπόλοι.

(56) *Ἔπεμψα.* Regius uterque et Coisl. secundus ἔγραψα.

(57) *Ἐσχηκέναι.* Codices multi, sed non vetustissimi, ἔσχειν.

(58) *Δαζιμῶνι.* Coisl. primus τῷ Δαζιμόνι.

(59) Vide Addenda.

D

(60) *Σπουδαῖον.* Legit Combefisius σπάνιον, nihil adeo rarum.

(61) *Παρέργως.* Ita sex mss. Editi περιέργως.

(62) *Ἐδήλους.* Ita septem. mss. Editi ἐδήλωσας. Paulo post Medicæus et Coisl. primus ὥστε διακονῆσαι.

(63) *Σοῖς πρὸς ἡμᾶς.* Ita Coisl. et Med. et plures alii. Editi τοῖς πρὸς ἡμᾶς. Paulo post Medicæus cum tribus aliis οὖν οἴει. Deerat vocula in editis. Legitur οἴῃ in Coisl. secundo et Reg. secundo.

(64) *Ὡς οἶσθα.* Multi codices ὡς οἶδας. Paulo post Coisl. primus, Med. et alii plures ἀποκρίνασθαι. Editi ἀποκρίνεσθαι.

3. Καὶ ἀντερωτάσθωσαν οὕτω. *Θεὸν οὐδεὶς ἑώ-ρακε πώποτε· ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, οὗτος ἐξηγήσατο.* Τί ἐξ-ηγήσατο τοῦ Πατρὸς ὁ Μονογενής; Τὴν οὐσίαν, ἢ τὴν δύναμιν; Εἰ τὴν δύναμιν (38), ὅσον ἐξηγήσατο ἡμῖν, τοσοῦτον γνωρίζομεν. Εἰ τὴν οὐσίαν, εἰπὲ, ποῦ εἶπεν αὐτοῦ τὴν ἀγεννησίαν οὐσίαν; Ἀβραὰμ πότε προσεκύνησεν; Οὐχ ὅτε ἐπίστευσε; Πότε δὲ ἐπίστευσεν; Οὐχ ὅτε ἐκλήθη; Ποῦ οὖν ἐνταῦθα ἡ κατάληψις αὐτῷ ἐμαρτυρήθη παρὰ τῆς Γραφῆς; D Οἱ μαθηταὶ δὲ αὐτὸν πότε προσεκύνησαν; Οὐχ ὅτε τὴν κτίσιν αὐτῷ εἶδον ὑποτεταγμένην; Ἀπὸ γὰρ θαλάσσης καὶ ἀνέμων ὑπακουσάντων αὐτῷ ἐγνώρι-σαν αὐτοῦ τὴν θεότητα. Οὐκοῦν ἀπὸ μὲν τῶν ἐνερ-γειῶν ἡ γνῶσις, ἀπὸ δὲ τῆς γνώσεως ἡ προσκύνησις. *Πιστεύεις, ὅτι δύναμαι τοῦτο ποιῆσαι; Πιστεύω, Κύριε· καὶ προσεκύνησεν αὐτῷ.* Οὕτως ἡ μὲν προσκύνησις τῇ πίστει ἀκολουθεῖ· ἡ δὲ πίστις ἀπὸ δυνάμεως βεβαιοῦται. Εἰ δὲ λέγεις τὸν πιστεύοντα

A lent terror illius et benignitas, justitia et vis creatrix, prænotio et remunerandi ratio, magnificentia et providentia; an quodcunque horum dixerimus, essentiam declaramus? Nam si illud dicunt, ne interrogent an essentiam noverimus Dei, sed percontentur an metuendum noverimus Deum, an justum, an misericordem? Hæc nobis nota esse confitemur. Quod si quid aliud dicunt essentiam, ne nos ludificentur per illius simplicitatem. Ipsi siquidem confessi sunt aliud atque aliud esse essentiam et unumquodque eorum quæ enumeravimus. Sed variæ quidem operationes, essentia vero simplex. Nos autem ex operationibus cognosci a nobis dicimus Deum nostrum, sed ad ipsam essentiam accessuros non pollicemur. Ipsius siquidem operationes ad nos descendunt, essentia autem illius B manet inaccessa.

2. Sed si essentiam, inquit, ignoras, ipsum ignoras. Tu vero converte : Essentiam si dicis te nosse, ipsum non cognoscis. Neque enim, qui morsus a cane rabido videt canem in phiala, plus videt quam qui sani sunt; sed idcirco dignus commiseratione est, quod putet se **358** videre quæ non videt. Illum ergo ne mireris ob promissionem, sed ob dementiam miserum judica. Perspectum itaque tibi sit vocem esse ludificantium : Si essentiam Dei ignoras, quod ignoras colis. Ego vero illum esse novi : quid autem essentia, supra intelligentiam esse duco. Quomodo igitur salvor? Per fidem. Fides porro satis idonea est, Deum esse scire, non C quid sit; eumque remuneratorem esse eorum qui ipsum quærunt. Cognitio igitur essentiæ in hoc posita, ut ipsum non posse comprehendi perspiciamus : illudque colimus, de quo cognovimus, non quid sit ejus essentia, sed hanc exsistere essentiam.

3. Sed sic vicissim interrogentur. *Deum nemo vidit unquam : unigenitus Filius, qui est in sinu Patris, ille enarravit* [46]. Quid enarravit de Patre Unigenitus? Essentiam, an potestatem? Si potestatem, quantum nuntiavit nobis, tantum cognoscimus. Si essentiam, dic ubinam dixerit ingenerationem esse ipsius essentiam. Quando Abraham adoravit? Nonne quando credidit? Quando autem credidit? Nonne quando vocatus est? Ubinam D tandem illum Scriptura testatur comprehendisse? Quando itidem discipuli ipsum adoravere? Nonne cum creaturam ei viderent esse subjectam? Nam ex mari et ventis ei obtemperantibus agnovere ipsius divinitatem. Igitur ex operationibus cognitio, ex cognitione autem adoratio. *Credis me hoc facere posse? Credo, Domine : et adoravit eum* [47]. Sic fidem sequitur adoratio, fides vero per potentiam corroboratur. Quod si dicis credentem jam cognoscere; per quæ credit, per hæc et cognoscit : aut

[46] Joan. I, 18. [47] Matth. IX, 28.

(37) Ἢ εἰ. Postrema vocula addita ex novem mss.

(38) Εἰ τὴν δύναμιν. Hæc addita ex mss. decem; ac prorsus necessaria sunt ad absolvendam sententiam.

etiam vice versa, per quæ cognoscit, per hæc et credit. Cognoscimus autem Deum per potestatem. Quare credimus quidem ei qui cognitus est: eum vero qui creditus est, adoramus.

A καὶ γινώσκειν, ἀφ' ὧν πιστεύει, ἀπὸ τούτων καὶ γινώσκει· ἢ καὶ ἀνάπαλιν, ἀφ' ὧν γινώσκει, ἀπὸ τούτων καὶ πιστεύει. Γινώσκομεν δὲ ἐκ τῆς δυνάμεως τὸν Θεόν. Ὥστε πιστεύομεν μὲν τῷ (39) γνωσθέντι, προσκυνοῦμεν δὲ τῷ πιστευθέντι.

EPISTOLA CCXXXV*.

ΕΠΙΣΤΟΛΗ ΣΛΕ'.

Huic quæstioni, priorne cognitio an fides? sic respondet Basilius, ut fidem in disciplinis, cognitionem in Christiana religione præire concedat. Sed cum Eunomiani, si quis Deum a se cognosci fateretur, statim concluderent, Dei naturam cognosci: absurda hæc illorum cavillatio refellitur.

Eidem ad aliam quæstionem responsio.

1. Priorne cognitio, an fides? Nos porro dicimus generatim quidem in disciplinis fidem cognitioni præire: at in nostra doctrina si quis dicat præire cognitionem fidei, non contendemus; cognitionem quidem humano captui accommodatam. Nam in disciplinis quidem oportet primum credere hoc elementum alpha esse; et ubi figuras et pronuntiationem didiceris, tum demum accuratam percipere notionem potestatis elementi. At in fide quæ circa Deum versatur, præit illa cogitatio, Deum esse: hanc autem ex creaturis colligimus. Sapientiam namque, et potentiam, et bonitatem, et omnia ejus invisibilia ex mundi creatione intelligentes, sic cognoscimus. Ita sane illum ceu nostrum ipsorum **359** Dominum suscipimus. Quoniam enim totius mundi conditor Deus, nos autem mundi pars sumus; noster igitur etiam conditor Deus. Cognitionem istam fides sequitur, et fidem talem adoratio.

2. Nunc autem propterea quod multa significat cognitionis nomen, qui simplicioribus illudunt, ac gloriam ex paradoxis quærunt, instar eorum qui in theatris sub omnium oculis calculos subducunt, interrogatione universe instituta, omnia simul complectuntur. Cum enim cognitionis nomen ad multa pertineat, cumque aliquid sciri possit partim ex numero, partim ex magnitudine, partim ex potentia, partim ex modo exsistendi, partim ex tempore generationis, partim ex essentia: illi interrogatione dum totum comprehendunt, si nos ceperint confitentes Deum a nobis cognosci, essentiæ cognitionem a nobis expetunt; si vero nos viderint in affirmando timidos, impietatis labem nobis affingunt. Nos vero id quod de Deo potest cognosci, scire confitemur, scire autem rursus, quid nostram fugiat intelligentiam. Quemadmodum igitur si a me sciscitëris an cognoscam quid sit arena, meque scire respondeam; manifeste calumniaberis, si statim et illius nume-

Τῷ αὐτῷ (40) πρὸς ἄλλο ἐρώτημα.

1. Τί πρότερον, ἡ γνῶσις, ἢ ἡ πίστις; Ἡμεῖς δὲ λέγομεν, ὅτι καθόλου μὲν ἐπὶ τῶν μαθημάτων πίστις γνώσεως προηγεῖται· ἐπὶ δὲ τοῦ καθ' ἡμᾶς B λόγου, κἂν λέγῃ τις προκατάρχειν τὴν γνῶσιν τῆς πίστεως, οὐ διαφερόμεθα· γνῶσιν μέντοι τὴν τῇ ἀνθρωπίνῃ καταλήψει σύμμετρον. Ἐπὶ μὲν γὰρ τῶν μαθημάτων πιστεῦσαι δεῖ πρῶτον, ὅτι ἄλφα λέγεται, καὶ μαθόντα (41) τοὺς χαρακτῆρας καὶ τὴν ἐκφώνησιν, ὕστερον λαβεῖν καὶ τὴν ἀκριβῆ κατανόησιν τῆς δυνάμεως τοῦ στοιχείου· ἐν δὲ τῇ περὶ Θεοῦ πίστει ἡγεῖται μὲν ἡ ἔννοια ἡ περὶ τοῦ, ὅτι ἔστι Θεός· ταύτην δὲ ἐκ τῶν δημιουργημάτων συνάγομεν. Σοφὸν γὰρ, καὶ δυνατὸν, καὶ ἀγαθὸν, καὶ πάντα αὐτοῦ τὰ ἀόρατα ἀπὸ τῆς τοῦ κόσμου κτίσεως νοοῦντες ἐπιγινώσκομεν. Οὕτω δὴ καὶ Δεσπότην ἑαυτῶν αὐτὸν καταδεχόμεθα. Ἐπειδὴ γὰρ παντὸς μὲν τοῦ κόσμου δημιουργὸς ὁ Θεὸς, μέρος δὲ κόσμου ἡμεῖς, καὶ ἡμῶν ἄρα δημιουργὸς ὁ Θεός. Ταύτῃ δὲ τῇ γνώσει ἡ πίστις ἀκολουθεῖ, καὶ τῇ τοιαύτῃ πίστει C ἡ προσκύνησις.

2. Νῦν δὲ, ἐπειδὴ πολύσημόν ἐστι τὸ τῆς γνώσεως ὄνομα, οἱ καταπαίζοντες τῶν ἀκεραιοτέρων, καὶ ὁμοίως ἐπιδεικνύμενοι (42) τοῖς παραδόξοις, ὡς οἱ ἐν τοῖς θεάτροις ἐν ταῖς πάντων ὄψεσι τὰς ψήφους κλέπτοντες, τῇ ἐρωτήσει τοῦ καθόλου τὸ πᾶν συναρπάζουσιν. Ἐπειδὴ γὰρ τὸ τῆς γνώσεως ὄνομα ἐπὶ πολὺ διαβαίνει, καὶ γνωστόν τί ἐστι, τὸ μὲν κατὰ ἀριθμὸν, τὸ δὲ κατὰ μέγεθος, τὸ δὲ κατὰ δύναμιν, τὸ δὲ κατὰ τὸν τρόπον τῆς ὑπάρξεως, τὸ δὲ κατὰ τὸν χρόνον τῆς γεννήσεως, τὸ δὲ κατ' οὐσίαν· οὗτοι ἐν ἐρωτήματι (43) τὸ ὅλον παραλαμβάνοντες, ἐὰν μὲν λάβωσιν ἡμᾶς ὁμολογοῦντας, ὅτι γινώσκομεν, ἀπαιτοῦσιν ἡμᾶς τῆς οὐσίας τὴν εἴδησιν· ἐὰν δὲ D ἴδωσιν ἡμᾶς εὐλαβουμένους πρὸς τὴν ἀπόφασιν, περιτρέπουσιν ἡμῖν τῆς ἀσεβείας τὸ ὄνειδος. Ἀλλ' ἡμεῖς εἰδέναι μὲν ὁμολογοῦμεν τὸ γνωστὸν τοῦ Θεοῦ, εἰδέναι (44) δέ τι πάλιν ὃ ἐκφεύγει ἡμῶν τὴν κατάληψιν. Ὡς οὖν ἐάν με ἐρωτήσῃς, εἰ οἶδα, τί ἐστιν ἄμμος, κἂν ἀποκρίνωμαι (45), ὅτι ἐπίσταμαι· συκοφαντήσεις προδήλως, ἐὰν εὐθὺς καὶ τὸν ἀριθμὸν

* Alias CCCCI. Scripta anno 376.

(39) *Πιστεύομεν μὲν τῷ*. Sic codices mss. summo consensu. Editi πιστεύομεν καὶ τῷ.

(40) *Τῷ αὐτῷ*. Hic titulus desumptus ex codicibus Med., Coisl. primo et Vaticano.

(41) *Καὶ μαθόντα*. Conjunctio, quæ deest in editis, legitur in decem nostris codicibus.

(42) *Ἐπιδεικνύμενοι*. Legitur in sex mss. ἐνεπιδεικνύμενοι. Sed tres vetustissimi cum editis consentiunt.

(43) *Ἐν ἐρωτήματι*. Reg. secundus, Paris. et Coisl. secundus ἐνὶ ἐρωτήματι, *una interrogatione*.

(44) *Εἰδέναι*. Legitur μὴ εἰδέναι in Regio secundo, οὐκ εἰδέναι in codice insignis Ecclesiæ Parisiensis. Sed melius alii codices mss. et editi negatione carent. Hæc enim si apponeretur, legendum esset: μὴ εἰδέναι, ὅτι πάλιν ἐκφεύγει, *Nescire quod nostram fugit intelligentiam*.

(45) *Ἀποκρίνωμαι*. Ita mss. plerique. Editi ἀποκρίνομαι.

αὐτῆς ἀπαιτήσῃς· διότι ἡ μὲν πρώτη σου ἐρώτησις A πρὸς τὸ εἶδος ἔφερε τῆς ἄμμου, ἡ δὲ δευτέρα συκοφαντία περὶ τὸν ἀριθμὸν αὐτῆς περιετράπη. Ὅμοιόν ἐστι τοῦτο τὸ σόφισμα τῷ λέγοντι· Οἶδας Τιμόθεον; Οὐκοῦν ἐὰν Τιμόθεον οἶδας, οἶδας αὐτοῦ καὶ τὴν φύσιν· ἀλλὰ μὴν ὡμολόγησας εἰδέναι Τιμόθεον, ἀπόδος τοίνυν ἡμῖν τὸν λόγον τῆς Τιμοθέου φύσεως. Ἐγὼ δὲ καὶ οἶδα Τιμόθεον, καὶ οὐκ οἶδα· οὐ μὴν κατὰ ταυτὸν, καὶ ἐν τῷ αὐτῷ. Οὐ γὰρ καθ' ὃ οἶδα, κατὰ τοῦτο καὶ οὐκ οἶδα· ἀλλὰ κατ' ἄλλο μὲν οἶδα, κατ' ἄλλο δὲ ἀγνοῶ. Οἶδα μὲν γὰρ αὐτὸν κατὰ τὸν χαρακτῆρα, καὶ τὰ λοιπὰ ἰδιώματα· ἀγνοῶ δὲ αὐτοῦ τὴν οὐσίαν. Ἐπεὶ καὶ ἐμαυτὸν οὕτω τούτῳ τῷ λόγῳ καὶ οἶδα καὶ ἀγνοῶ. Οἶδα μὲν γὰρ ἐμαυτὸν ὅστις εἰμί· οὐκ οἶδα δὲ, καθὸ τὴν οὐσίαν μου ἀγνοῶ.

3. Ἐπεὶ ἐξηγησάσθωσαν ἡμῖν, πῶς εἶπεν ὁ Παῦλος, ὅτι *Νῦν μὲν ἐκ μέρους γινώσκομεν*. Ἆρα ἐκ μέρους τὴν οὐσίαν αὐτοῦ γινώσκομεν, οἱονεὶ μέρη τῆς οὐσίας αὐτοῦ γινώσκομεν; Ἀλλ' ἄτοπον, ἀμερὴς γὰρ ὁ Θεός. Ἀλλ' ὅλην αὐτὴν γινώσκομεν; Πῶς οὖν, *Ὅταν ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταργηθήσεται;* Οἱ δὲ εἰδωλολάτραι τί ἐγκαλοῦνται; Οὐχ ὅτι, γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν; Ἢ Γαλάται (46) δὲ οἱ ἀνόητοι ὑπὸ τοῦ Παύλου διὰ τί ὀνειδίζονται, λέγοντος· *Νυνὶ δὲ, γνόντες τὸν Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα;* Γνωστὸς δὲ πῶς ἦν ἐν τῇ Ἰουδαίᾳ ὁ C Θεός; Ἆρα ἐπειδὴ ἐν τῇ Ἰουδαίᾳ ἡ οὐσία, ἥτις ποτὲ (47) ἦν, ἐπεγνώσθη; *Ἔγνω*, φησὶ, *βοῦς τὸν κτησάμενον αὐτόν* (48)· δηλονότι ὁ βοῦς καθ' ὑμᾶς ἔγνω τὴν οὐσίαν τοῦ κυρίου· *καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ.* Ἔγνω οὖν καὶ ὁ ὄνος τῆς φάτνης τὴν οὐσίαν. *Ἰσραὴλ δέ με*, φησὶν, *οὐκ ἔγνω.* Τοῦτο ἐγκαλεῖται καθ' ὑμᾶς Ἰσραὴλ, ὅτι τὴν οὐσίαν, ἥτις ποτέ ἐστι, τοῦ Θεοῦ οὐκ ἐπέγνω. *Ἔκχεον*, φησὶ, *τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε*· τουτέστι, τὰ τὴν οὐσίαν σου μὴ κατειληφότα. Ἀλλὰ πολλαχῶς ἡ γνῶσις, ὡς ἔφαμεν. Ἥ τε γὰρ τοῦ κτίσαντος ἡμᾶς σύνεσις, καὶ ἡ τῶν θαυμασίων αὐτοῦ κατανόησις, καὶ ἡ τήρησις τῶν ἐντολῶν, καὶ ἡ οἰκείωσις ἡ πρὸς αὐτόν. Οἱ δὲ, πάντα ταῦτα παρωσάμενοι, ἐπὶ ἓν σημαινόμενον τὴν D γνῶσιν ἕλκουσι, τὴν θεωρίαν αὐτῆς (49) τοῦ Θεοῦ τῆς οὐσίας. *Θήσεις*, φησὶν, *ἀπέναντι τῶν μαρτυρίων, ὅθεν γνωσθήσομαί σοι ἐκεῖθεν.* Ἆρα τὸ, *Γνωσθήσομαι*, ἀντὶ τοῦ τὴν οὐσίαν μου ἐμφανίσω; *Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ.* Ἆρα οὖν τῶν μὲν ἑαυτοῦ τὴν οὐσίαν ἔγνω, τῶν δὲ ἀπειθούντων ἠγνόει τὴν οὐσίαν; *Ἔγνω Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ.* Ἆρα τὴν οὐσίαν αὐτῆς ἐγνώρισε; Καὶ περὶ

rum exposcas; quia prima tua interrogatio ad arenæ speciem spectabat, posterior vero calumnia ad illius numerum deflectit. Ejusmodi est hoc sophisma ac si quis dicat: Nosti Timotheum? Profecto si Timotheum nosti, nosti et illius naturam: sed cognoscere te Timotheum confessus es: redde igitur nobis rationem Timothei naturæ. Ego vero et novi Timotheum, et non novi, non quidem secundum eamdem rationem, et in eodem genere. Non enim secundum quod novi, secundum illud et non novi; sed secundum aliud novi, et secundum aliud non novi. Novi enim illum secundum figuram ac reliquas proprietates: illius vero ignoro essentiam. Nam sic et me ipse hac ratione et novi et non novi. Novi enim quis ipse B sim: non novi autem, quatenus naturam meam ignoro.

3. Alioqui exponant nobis isti, quomodo dixerit Paulus: *Nunc quidem ex parte cognoscimus* [48]. Num igitur ex parte essentiam illius cognoscimus, ac veluti partes essentiæ illius cognoscimus? Sed hoc est absurdum, siquidem partium expers Deus. An essentiam totam cognoscimus? Quomodo igitur subjungit: *Cum venerit quod perfectum est, evacuabitur quod ex parte est* [49]. Jam vero idololatræ cur incusantur? Nonne ideo quod cognoscentes Deum, non tanquam Deum glorificaverint? Aut etiam Galatæ insani cur probris afficiuntur a Paulo, qui dicit: *Nunc autem cum cognoveritis Deum, imo cogniti sitis a Deo: quomodo convertimini iterum ad infirma et egena elementa* [50]? Quomodo autem cognitus erat in Judæa Deus? An quia in Judæa notum erat qualis tunc esset illius essentia? *Cognovit*, inquit, *bos possessorem suum* [51]. Scilicet vestro judicio **360** bos novit essentiam heri. *Et asinus præsepe domini sui.* Novit igitur etiam asinus præsepis essentiam. *Israel autem*, inquit, *me non cognovit.* Id ex vestra sententia Israel incusatur, quod qualis tandem sit Dei essentia non agnovit. *Effunde*, inquit, *iram tuam in gentes quæ te non noverunt* [52]; hoc est, quæ tuam essentiam non comprehenderunt. At, ut diximus, cognitio est multiplicis generis. Cognoscimus enim, si conditorem nostrum scimus, si intelligimus ejus mirabilia, si mandata servamus, si cum ipso conjungimur. Isti autem, omnibus his rejectis, cognitionem ad unum significatum trahunt, contemplationem ipsius Dei essentiæ. *Pones*, inquit, *ante testimonia, unde cognoscar a te inde* [53]. Num illud, *Cognoscar*, idem valet ac naturam meam revelabo? *Dominus cognovit qui sunt ejus* [54]. Num ergo naturam eorum qui ipsius sunt cognovit, inobsequen-

[48] I Cor. XIII, 9. [49] Ibid. 10. [50] Galat. IV, 9. [51] Isa. I, 3. [52] Psal. LXXVIII, 6. [53] Exod. XXV, 21. [54] II Tim. II, 19.

(46) *Ἢ Γαλάται.* Deerat ἢ in editis, quod ex sex mss. codicibus restituimus.

(47) *Ἥτις ποτέ.* Sic emendavimus ex uno codice Regio quod in editis legebatur ἥτις τότε. Infra omnibus codicibus mss. et editis consentientibus legitur ἥτις ποτέ.

(48) *Αὐτόν.* Deest in tribus mss. Habent Harl et Med. αὐτήν.

(49) *Αὐτῆς.* Ita mss. octo. Editi αὐτήν.

tium vero ignorat naturam? *Cognovit Adam uxorem suam*[85]. Num naturam ipsius cognovit? Et de Rebecca dicitur: *Virgo erat, vir illam non cognoverat*[86]. Et, *Quomodo fiet istud, quoniam virum non cognosco*[87]? Scilicet naturam Rebeccæ nemo cognovit? Num Maria hoc dicit: Nullius viri cognovi naturam? Nonne potius illud, *Cognovit*, de conjugalibus amplexibus solet in Scriptura usurpari? Et quod dicitur fore ut cognoscatur Deus ex propitiatorio, idem est ac manifestus fiet sibi servientibus. Et, *Dominus cognovit qui sunt ejus*, idem est ac in suam familiaritatem illos ob opera bona recepit.

A τῆς Ῥεβέκκας, *Παρθένος*, φησίν· *ἀνὴρ οὐκ ἔγνω αὐτήν*· καὶ, *Πῶς ἔσται* (50) *τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω*; Ἆρα Ῥεβέκκας μὲν τὴν οὐσίαν οὐδεὶς ἐπέγνω; Μαρία δὲ τοῦτό φησιν· ὅτι Οὐδενὸς ἀνδρὸς ἐνόησα τὴν οὐσίαν; Ἢ τὸ, *Ἔγνω*, ἐπὶ τῶν γαμικῶν συμπλοκῶν ἔθος τῇ Γραφῇ ὀνομάζειν; Καὶ τὸ γνωσθήσεσθαι τὸν Θεὸν ἀπὸ τοῦ ἱλαστηρίου, τουτέστιν, ἐμφανισθήσεσθαι τοῖς λατρεύουσι. Καὶ τὸ, *Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ*, τουτέστιν, ἐδέξατο αὐτοὺς διὰ τῶν ἀγαθῶν ἔργων εἰς τὴν πρὸς αὐτὸν οἰκείωσιν.

EPISTOLA CCXXXVI*.

ΕΠΙΣΤΟΛΗ ΣΛϚ'.

Pergit Basilius variis Amphilochii quæstionibus respondere: quomodo Christus nescire dicatur diem et horam; de Jeremiæ vaticinio in Jechoniam; de Encratitarum quadam cavillatione; de fato; de emersione in baptismate; de ἐκ φάγος· *de essentia et hypostasi; de mediis rebus in indifferentibus, a quo gubernentur.*

Eidem Amphilochio.

1. Quod jam a multis investigatum est evangelicum dictum, quomodo nesciat Dominus noster Jesus Christus diem consummationis ac horam[88], quodque maxime ab Anomœis perpetuo objicitur ad eversionem Unigeniti gloriæ, ut ostendatur essentiæ dissimilitudo et inferior dignitatis gradus, cum nec eamdem naturam habere possit qui non omnia noscit, neque in una similitudine intelligi cum eo, qui universorum cognitionem sua prænoscendorum et assequendorum futurorum facultate complectitur; id nunc a tua prudentia nobis ut novum, propositum est. Itaque quæ a puero ex patribus audivimus, et ob bonarum rerum amorem citra examen suscepimus, hæc possumus dicere; quanquam illa quidem Christomachorum impudentiam non dissolvent (quæ enim oratio eorum impetu fortior videatur?), sed iis, qui Dominum diligunt, et antecaptam ex fide doctrinam deducta ex ratione demonstratione fortiorem tenent, satis magnam fortasse persuasionem **361** exhibebunt. Nimirum illud, *nemo*, generale quidem videtur esse nomen, adeo ut ne una quidem persona per hanc vocem excipiatur. Sed non ita apud Scripturam usurpatur, quemadmodum observavimus in illo, *Nemo bonus nisi unus Deus*[89]. Neque enim hic se ipse excludens a boni natura Filius hæc dicit. Sed cum Pater primum bonum sit, illud, *nemo*, subintellecta hac voce,

B *Τῷ αὐτῷ Ἀμφιλοχίῳ.*

1. Ἐζητημένον (51) ἤδη παρὰ πολλοῖς τὸ εὐαγγελικὸν ῥητὸν περὶ τοῦ ἀγνοεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὴν ἡμέραν τοῦ τέλους, καὶ τὴν ὥραν, καὶ μάλιστα συνεχῶς προβαλλόμενον παρὰ τῶν Ἀνομοίων ἐπὶ καθαιρέσει τῆς δόξης τοῦ Μονογενοῦς εἰς ἀπόδειξιν τοῦ κατὰ τὴν οὐσίαν ἀνομοίου, καὶ τῆς κατὰ τὴν ἀξίαν ὑφέσεως, ὡς οὐ δυναμένου οὔτε τὴν αὐτὴν ἔχειν φύσιν, οὔτε ἐν ὁμοιότητι μιᾷ νοεῖσθαι τοῦ μὴ πάντα εἰδότος πρὸς τὸν ἐμπεριλαβόντα τὴν εἴδησιν τῶν ὅλων τῇ προγνωστικῇ ἑαυτοῦ καὶ ἐπιβλητικῇ τῶν μελλόντων δυνάμει· τοῦτο νῦν (52) παρὰ τῆς σῆς συνέσεως ἡμῖν ὡς καινὸν προεβλήθη. Ἃ τοίνυν ἐκ παιδὸς παρὰ τῶν πατέρων ἠκούσαμεν, καὶ διὰ τὴν πρὸς τὰ καλὰ φιλίαν ἀβασανίστως παρεδεξάμεθα, ταῦτα εἰπεῖν ἔχομεν, τῶν μὲν Χριστομάχων τὴν ἀναισχυντίαν οὐ διαλύοντα, (τίς γὰρ ἂν καὶ φανείη λόγος τῆς ὁρμῆς αὐτῶν ἰσχυρότερος;) τοῖς δὲ ἀγαπῶσι τὸν Κύριον, καὶ τῆς ἐκ τοῦ λόγου ἀποδείξεως (53) ἰσχυροτέραν τὴν ἐκ πίστεως πρόληψιν κεκτημένοις, ἀρκοῦσαν ἴσως παρεχόμενα τὴν πληροφορίαν. Ὅτι τὸ, *οὐδεὶς* (54), καθολικὸν μὲν εἶναι δοκεῖ ῥῆμα, ὡς μηδὲ ἓν πρόσωπον διὰ τῆς φωνῆς ταύτης ὑπεξῃρῆσθαι· ἔστι δὲ οὐχ οὕτω παρὰ τῇ Γραφῇ ἀναφερόμενον, ὡς τετηρήκαμεν ἐπὶ τοῦ, *Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός*. Οὐδὲ γὰρ ἐκεῖ ἑαυτὸν ἔξω τιθεὶς τῆς τοῦ ἀγαθοῦ φύσεως ὁ Υἱὸς, ταῦτα λέγει. Ἀλλ' ἐπειδὴ τὸ πρῶτον ἀγαθὸν ὁ Πατὴρ, τὸ, *οὐδεὶς* (55), συνυπακουομένου τοῦ, πρώ-

D

[85] Gen. IV, 1. [86] Gen. XXIV, 16. [87] Luc. I, 34. [88] Marc. XIII, 32. [89] Marc. X, 18.

* Alias CCCXCI. Scripta anno 376.

(50) *Πῶς ἔσται*. Editi addunt μοι quod deest in septem mss.

(51) *Ἐζητημένον*. Editi Τὸ ἐζητημένον, sed deest articulus in decem mss. codicibus.

(52) *Τοῦτο νῦν*. Medicæus cum uno ex Regiis τοῦτο νῦν δὴ παρὰ τῆς, etc.

(53) *Ἀποδείξεως*. Ita editi et codex Harl. cum Bigot. et Reg. primo. At in codicibus Med., Coisl. utroque, Vat., Paris. et Regiis duobus legitur ἀποκρίσεως, *ducta ex ratione responsione*. Sed magis placet vulgata scriptura, cum præsertim veterum librorum auctoritate non destituatur.

(54) *Ὅτι τὸ, οὐδείς*. Ita Harl., Med., Coisl. primus, Clarom. et unus ex Regiis. Editio 1 Paris. ὁ τὸ, οὐδείς. Secunda τὸ δὲ, οὐδείς. Paulo post Coisl primus cum uno ex Regiis ὑπεξαιρεῖσθαι.

(55) *Τὸ, οὐδείς*. Corruptissima in editis et multis mss. codicibus hæc verborum constructio. Sic enim habent: τῷ οὐδεὶς ὑπακουομένου τοῦ πρώτου, τὸ δεύτερον εἰρῆσθαι πιστεύομεν. Sed illud τὸ δεύτερον, quod totum hunc locum denormabat, deest in quinque libris. Totidem habent τοῦ πρῶτος. Legitur τὸ οὐδεὶς in sex aliis, quorum duo antiquissimi, Harl. et Coisl. primus.

ος, εἰρῆσθαι πιστεύομεν· καὶ τὸ, *Οὐδεὶς οἶδε* A *τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ*. Οὐδὲ γὰρ ἐκεῖ ἄγνοιαν τοῦ Πνεύματος κατηγορεῖ, ἀλλὰ πρώτῳ (56) τῷ Πατρὶ ὑπάρχειν τὴν γνῶσιν τῆς ἑαυτοῦ φύσεως μαρτυρεῖ. Οὕτω καὶ τὸ, *Οὐδεὶς οἶδε*, τὴν πρώτην εἴδησιν τῶν τε ὄντων καὶ τῶν ἐσομένων ἐπὶ τὸν Πατέρα ἀνάγοντος, καὶ διὰ πάντων τὴν πρώτην αἰτίαν τοῖς ἀνθρώποις ὑποδεικνύντος εἰρῆσθαι νομίζομεν. Ἐπεὶ πῶς ἢ ταῖς λοιπαῖς μαρτυρίαις τῆς Γραφῆς ἀκολουθεῖ τὸ ῥητὸν, ἢ ταῖς κοιναῖς ἡμῶν ἐννοίαις συμβαίνειν δύναται, τῶν πεπιστευκότων εἰκόνα εἶναι τοῦ Θεοῦ τοῦ ἀοράτου τὸν Μονογενῆ, εἰκόνα δὲ οὐ χαρακτῆρος σωματικοῦ, ἀλλ' αὐτῆς τῆς θεότητος, καὶ τῶν ἐπινοουμένων τῇ οὐσίᾳ τοῦ Θεοῦ μεγαλείων, εἰκόνα δυνάμεως, εἰκόνα σοφίας, καθὸ εἴρηται Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία; Μέρος δὲ B δηλονότι τῆς σοφίας ἡ γνῶσις· ἣν οὐκ ἐξεικονίζει πᾶσαν, εἴπερ τινῶν ἀπολείπεται. Πῶς δὲ καὶ ὁ Πατὴρ, δι' οὗ τοὺς αἰῶνας ἐποίησε, τούτῳ τὸ ἐλάχιστον μέρος τῶν αἰώνων, τὴν ἡμέραν ἐκείνην καὶ τὴν ὥραν, οὐκ ἔδειξεν; Ἢ πῶς ὁ τῶν ὅλων ποιητὴς τοῦ ἐλαχίστου μέρους τῶν ὑπ' αὐτοῦ κτισθέντων τῆς γνώσεως ἀπολείπεται; Ὁ δὲ λέγων, πλησίον τοῦ τέλους, τάδε καὶ τάδε ἐν τῷ οὐρανῷ σημεῖα καὶ ἐν ταῖς κατὰ γῆν χωρίοις φανήσεσθαι, πῶς αὐτὸ τὸ τέλος ἀγνοεῖ; Ἐν οἷς γὰρ λέγει, *Οὔπω τὸ τέλος*, οὐχ ὡς ἀμφιβάλλων, ἀλλ' ὡς εἰδὼς διορίζεται. Ἔπειτα μέντοι εὐγνωμόνως σκοποῦντι, πολλὰ καὶ ἀπὸ τοῦ ἀνθρωπίνου μέρους ὁ Κύριος διαλέγεται τοῖς ἀνθρώποις· οἷον (57), *Δός μοι πιεῖν*, φωνή ἐστι C τοῦ Κυρίου τὴν σωματικὴν χρείαν ἐκπληροῦσα. Καίτοι ὁ αἰτῶν οὐχὶ σὰρξ ἦν ἄψυχος, ἀλλὰ θεότης σαρκὶ ἐμψύχῳ κεχρημένη. Οὕτω καὶ νῦν τὸ τῆς ἀγνοίας ἐπὶ τὸν οἰκονομικῶς πάντα καταδεξάμενον, καὶ προκόπτοντα παρὰ Θεῷ καὶ ἀνθρώποις σοφίᾳ καὶ χάριτι, λαμβάνων τις, οὐκ ἔξω τῆς εὐσεβοῦς ἐνεχθήσεται διανοίας.

2. Τῆς σῆς δ' ἂν εἴη φιλοπονίας (58) ἐκθέσθαι τὰς εὐαγγελικὰς ῥήσεις, καὶ συγκρῖναι ἀλλήλαις τήν τε Ματθαίου καὶ τὴν Μάρκου. Οὗτοι γὰρ μόνοι συνενεχθέντες περὶ τὸν τόπον τοῦτον ἀλλήλοις φαίνονται. Ἡ μὲν οὖν τοῦ Ματθαίου λέξις οὕτως ἔχει· *Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας* (59) *οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ Πατὴρ μόνος*· ἡ δὲ τοῦ Μάρκου· *Περὶ δὲ τῆς* D *ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ* (60), *οὐδὲ ὁ Υἱὸς, εἰ μὴ ὁ Πατήρ*. Τί τοίνυν ἐστὶν ἐν τούτοις ἐπισημήνασθαι ἄξιον; Ὅτι ὁ μὲν Ματθαῖος οὐδὲν εἶπε περὶ τῆς τοῦ Υἱοῦ ἀγνωσίας· δοκεῖ δὲ τῷ Μάρκῳ συμφέρεσθαι

A *primus*, dictum esse credimus; et illud: *Nemo novit Filium nisi Pater* [60]. Neque enim hic ignorantiæ Spiritum accusat; sed naturæ suæ cognitionem Patri primo inesse testatur. Sic et illud, *Nemo scit* [61], ab eo primam eorum quæ sunt, et quæ futura sunt cognitionem ad Patrem referente, et in omnibus primam causam hominibus demonstrante dictum credimus. Alioqui quomodo aut cum reliquis Scripturæ testimoniis consentiat dictum illud, aut cum communibus nostris notionibus quadrare possit, qui credimus imaginem esse Dei invisibilis Unigenitum; imaginem autem non figuræ corporeæ, sed ipsius divinitatis, et magnificorum attributorum, quæ in Dei essentia intelliguntur: imaginem virtutis, imaginem sapientiæ, quatenus Christus dictus est Dei virtus, B et Dei sapientia [62]? Profecto autem pars est sapientiæ cognitio, quam non totam repræsentat, si quid ei desit. Quomodo autem Pater ei, per quem sæcula condidit, minimam partem sæculorum, diem illum et horam, non ostendit? Aut quomodo universorum Conditor, minimæ partis eorum, quæ a se condita sunt, cognitione destituetur? Qui autem dicit, appropinquante fine, hæc et illa in cœlo signa et in terris visum iri, quomodo ipsum finem ignorat? Dum enim dicit: *Nondum finis* [63], non quasi dubitans, sed ut sciens affirmat. Deinde, si quis æquo animo consideret, multa et ex humana parte Dominus disserit hominibus: nam illud, *Da mihi bibere* [64], vox est C Domini, corpoream indigentiam explens. Atque is quidem qui petebat, non caro erat inanimata, sed divinitas carne animata utens. Ita et nunc si quis ignorantiam illam ad eum referat, qui omnia per dispensationem suscepit, et coram Deo et hominibus sapientia et gratia profecit; is extra piam non feretur sententiam.

2. Jam tuæ diligentiæ fuerit evangelicas voces exponere, et Matthæi ac Marci dicta inter se conferre. Hi enim soli circa hunc locum inter se concurrisse comperiuntur. Et Matthæi quidem dictio sic se habet: *De die autem illa et hora nemo scit, ne cœlorum quidem angeli, nisi Pater solus* [65]. Marci autem ita: *De die autem illo et* D *hora nemo scit, neque angeli in cœlo, neque Filius, nisi Pater* [66]. Quid autem in his observatu dignum est? Illud nempe, Matthæum quidem nihil dixisse de Filii **362** ignorantia, videri tamen cum Marco consentire quoad sensum, dum ait, *Nisi solus Pater*. Nos porro existimamus il-

[60] Matth. XI, 27. [61] Matth. XXIV, 36. [62] I Cor. I, 24. [63] Matth. XXIV, 6. [64] Joan. IV, 7. [65] Matth. XXIV, 36. [66] Marc. XIII, 32.

(56) *Ἀλλὰ πρώτῳ*. Duo Regii codices, Vat., Clarom., Bigot. et Paris. habent ἀλλὰ πρῶτον. Cum editis alii codices consentiunt.

(57) *Τοῖς ἀνθρώποις· οἷον*. Hæc addita ex codicibus Med., Harl., Coisl. primo et uno ex Regiis. Editi διαλέγεται. Τὸ γάρ. Mox hæ voces, τοῦ Κυρίου, desunt in codicibus Vat., Coisl. secundo et duobus Regiis. Paulo post septem codices: Οὕτω τοίνυν τὸ τῆς ἀγνοίας ἐπὶ τὸν προκόπτοντα. Cætera desunt.

(58) *Φιλοπονίας*. Coisl. primus φιλοσοφίας, et ad marginem ut in editis.

(59) *Καὶ τῆς ὥρας*. Hæc desunt in pluribus mss. Paulo post quinque codices ἢ ὥρας.

(60) *Οἱ ἐν οὐρανῷ*. Deest prima vocula in Coisl. secundo.

lud, *solus*, ut angelis opponatur, dictum fuisse, minime vero Filium una cum suis servis comprehendi, quantum attinet ad ignorantiam. Est enim verax qui pronuntiavit : *Omnia quæcunque habet Pater, mea sunt* [67]. Unum autem eorum, quæ habet, est et ipsa hujusce diei et horæ cognitio. Silentio igitur prætermittens, ut minime controversam, suam ipsius personam in Matthæi dicto Dominus, angelos dixit ignorare, scire autem Patrem solum, Patris cognitionem tacite suam ipsius esse docens, eo quod et alibi pronuntiarit : *Sicut cognoscit me Pater, et ego cognosco Patrem* [68]. Quod si Pater Filium totum totaliter cognoscit, ita ut et reconditam in ipso sapientiam omnem perspiciat : pari mensura et a Filio cognoscetur, cum omni insita illi sapientia et prænotione futurorum. Sic igitur illud Matthæi, *Nisi solus Pater*, interpretando leniendum ducimus. Marci autem verba, quia aperte videntur ipsum Filium a cognitione excludere, ita intelligimus : Nemo novit, neque angeli Dei, sed nec Filius nosset, nisi nosset Pater ; hoc est, causa et principium cognitionis Filii a Patre est. Ac violenta quidem non est, si quis æquo animo audiat, hæc expositio ; quandoquidem non adjicitur *solus*, ut apud Matthæum. Mens igitur Marci est ejusmodi : De die autem illa aut hora nemo scit, neque angeli Dei, sed nec Filius quidem nosset, nisi nosset Pater ; siquidem ei a Patre data cognitio. Hoc autem de Filio et maxime pium et divinitati non indecorum dictu est, eum ab eo, cui consubstantialis est, habere ut cognoscat, atque in omni sapientia et majestate divinitati suæ consentanea conspiciatur.

A κατὰ τὴν ἔννοιαν, ἐκ τοῦ φάναι, *Εἰ μὴ ὁ Πατὴρ μόνος*. Ἡμεῖς δὲ ἡγούμεθα τὸ, *μόνος*, πρὸς τὴν τῶν ἀγγέλων ἀντιδιαστολὴν (61) εἰρῆσθαι· τὸν δὲ Υἱὸν μὴ συμπαραλαμβάνεσθαι τοῖς ἑαυτοῦ δούλοις, κατὰ τὴν ἄγνοιαν. Ἀψευδὴς γὰρ ὁ εἰπὼν, ὅτι *Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν*. Ἓν δὲ, ὧν ἔχει, καὶ ἡ γνῶσίς ἐστι τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας. Παρασιωπήσας τοίνυν, ὡς ὁμολογούμενον, τὸ ἑαυτοῦ πρόσωπον ἐν τῇ λέξει τοῦ Ματθαίου ὁ Κύριος, τοὺς ἀγγέλους εἶπεν ἀγνοεῖν, εἰδέναι δὲ τὸν Πατέρα μόνον· τὴν τοῦ Πατρὸς γνῶσιν κατὰ τὸ σιωπώμενον καὶ ἑαυτοῦ εἶναι λέγων, διὰ τὸ καὶ ἐν ἄλλοις εἰρηκέναι· *Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα*. Εἰ δὲ γινώσκει ὁ Πατὴρ τὸν Υἱὸν ὅλον δι' ὅλου, ὥστε καὶ τὴν ἐναποκειμένην B αὐτῷ (62) σοφίαν πᾶσαν ἐπίστασθαι· κατὰ τὸ ἴσον μέτρον καὶ ἐπιγνωσθήσεται παρὰ τοῦ Υἱοῦ, δηλονότι, μετὰ πάσης τῆς ἐνυπαρχούσης αὐτῷ σοφίας καὶ τῆς προγνώσεως τῶν μελλόντων. Ταύτης μὲν οὖν ἀξιοῦμεν τῆς παραμυθίας τὸ παρὰ τῷ Ματθαίῳ κείμενον· *Εἰ μὴ ὁ Πατὴρ μόνος*. Τὸ δὲ Μάρκου, ἐπειδὴ φανερῶς δοκεῖ καὶ τὸν Υἱὸν ἀπομερίζειν τῆς γνώσεως, οὕτω νοοῦμεν· ὅτι οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι τοῦ Θεοῦ, ἀλλ' οὐδὲ ὁ Υἱὸς (63) ἔγνω, εἰ μὴ ὁ Πατήρ· τουτέστιν, ἡ αἰτία τοῦ εἰδέναι τὸν Υἱὸν παρὰ τοῦ Πατρός. Καὶ ἀβίαστός ἐστι τῷ εὐγνωμόνως ἀκούοντι ἡ ἐξήγησις αὕτη· ἐπειδὴ οὐ πρόσκειται τὸ *μόνος*, ὡς καὶ παρὰ τῷ Ματθαίῳ. Ἔστιν οὖν ὁ νοῦς ὁ παρὰ τῷ Μάρκῳ τοιοῦτος· Περὶ C δὲ τῆς ἡμέρας ἐκείνης (64) ἢ ὥρας οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι τοῦ Θεοῦ, ἀλλ' οὐδ' ἂν ὁ Υἱὸς ἔγνω, εἰ μὴ ὁ Πατήρ· ἐκ γὰρ τοῦ Πατρὸς αὐτῷ ὑπῆρχε δεδομένη ἡ γνῶσις. Τοῦτο δὲ εὐφημότατόν ἐστι καὶ θεοπρεπὲς περὶ τοῦ Υἱοῦ λέγειν, ὅτι οὗπέρ ἐστιν ὁμοούσιος, ἐξ αὐτοῦ καὶ τὸ γινώσκειν ἔχει, καὶ τὸ ἐν πάσῃ σοφίᾳ καὶ δόξῃ (65) τῇ πρεπούσῃ αὐτοῦ τῇ θεότητι θεωρεῖσθαι.

3. Quod spectat ad Jechoniam, quem proscriptum ex Judæa terra fuisse dicit propheta Jeremias his verbis : *Inhonoratus est Jechonias tanquam vas, cujus non est utilitas; et quia rejectus est ipse et semen ejus, neque ex semine ejus exsurget qui sedeat super solium David, princeps in Juda* [69] : simplex et clara est oratio. Nam eversis Hierosolymis a Nabuchodonosor, dissolutum fuerat regnum : nec jam patriæ successiones principatuum, ut antea, vigebant : sed tunc, imperio defecti, in captivitate vivebant Davidis posteri. Reversi autem Salathiel et Zorobabel modo magis populari præerant populo [70], translato deinceps ad sacerdotium imperio, propterea quod sacerdotalis et regia tribus inter se commiscerentur. Unde Dominus et rex est

3. Περὶ δὲ τοῦ Ἰεχονίου, ὃν ἐκκήρυκτον ἀπὸ τῆς Ἰουδαίας γῆς γεγενῆσθαί φησιν ὁ προφήτης Ἱερεμίας εἰπών· *Ἠτιμώθη Ἰεχονίας ὡς σκεῦος, οὗ οὐκ ἔστιν αὐτοῦ χρεία· καὶ ὅτι ἀπεῤῥίφη αὐτὸς καὶ τὸ σπέρμα αὐτοῦ, καὶ οὐ μὴ ἀναστῇ ἐκ τοῦ σπέρματος αὐτοῦ καθήμενος ἐπὶ τοῦ θρόνου Δαβὶδ, ἄρχων ἐν τῷ Ἰούδᾳ*· ἁπλοῦς καὶ σαφής ἐστιν ὁ λόγος. Καθαιρεθείσης γὰρ τῆς Ἱερουσαλὴμ D ὑπὸ Ναβουχοδονόσορ, λέλυτο μὲν τὰ βασίλεια, οὐκέτι δὲ πατρικαὶ διαδοχαὶ τῶν ἡγεμονιῶν (66) ἦσαν, ὥσπερ καὶ πρότερον· ἀλλὰ τότε μὲν ἐξ ἀρχῆς ἐπὶ τῆς αἰχμαλωσίας διῆγον οἱ ἀπόγονοι τοῦ Δαβίδ· ἐπανελθόντες δὲ οἱ περὶ τὸν Σαλαθιὴλ καὶ Ζοροβάβελ, δημοτικώτερον καθηγοῦντο τοῦ λαοῦ, τῆς ἀρχῆς λοιπὸν ἐπὶ τὴν ἱερωσύνην μεταπεσούσης, διὰ τὸ

[67] Joan. XVI, 15. [68] Joan. X, 15. [69] Jer. XXII, 28-30. [70] I Esdr. III, 2.

(61) *Ἀντιδιαστολήν*. Harl. cum uno ex Regiis διαστολήν.

(62) *Αὐτῷ*. Editi ἐν αὐτῷ. Sed deest præpositio in pluribus mss. codicibus, iisque optimæ notæ.

(63) *Οὐδὲ ὁ Υἱός*. Legitur in editis οὐδ' ἂν ὁ Υἱὸς ἔγνω. Sed deest ἂν in Coisl. primo, Harl., Med. et uno Regio.

(64) *Ἐκείνης*. Deest ea vox in pluribus codicibus non antiquissimis.

(65) *Καὶ δόξῃ*. Pro his vocibus habet Coisl. secundus καὶ γνώσει, *et scientia*.

(66) *Ἡγεμονιῶν*. Ita omnes nostri codices. Editi ἡγεμονικῶν. Ibidem editi τὸ πρότερον. Deest vocula in tribus vetustissimis codicibus.

ἀναμιγῆναι τὴν ἱερατικὴν καὶ τὴν βασιλικὴν φυλήν. Ὅθεν ὁ Κύριος καὶ βασιλεύς ἐστι καὶ ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν. Καὶ οὐκ ἐξέλιπε μὲν ἡ βασιλικὴ φυλὴ μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας· οὐ μὴν ἔτι ἐκάθισεν ἐπὶ τοῦ θρόνου Δαβὶδ τὸ σπέρμα τοῦ Ἰεχονίου. Θρόνος γὰρ δηλονότι λέγεται τὸ βασιλικὸν ἀξίωμα. Πάντως δὲ τῆς ἱστορίας μέμνησαι, ὅτι ὑπόφορος μὲν ἦν τῷ Δαβὶδ πᾶσα ἡ Ἰουδαία, καὶ ἡ Ἰδουμαία χώρα, καὶ ἡ Μωαβῖτις, καὶ τῆς Συρίας ὅσα τε πρόσχωρα καὶ τὰ ποῤῥωτέρω μέχρι τῆς Μέσης τῶν ποταμῶν· καὶ καθ' ἕτερον (67) μέρος ἕως ποταμοῦ Αἰγύπτου. Εἰ οὖν οὐδεὶς ἐφάνη ἐπὶ τοσούτου ἀξιώματος τῶν μετὰ ταῦτα, πῶς οὐκ ἀληθὴς ὁ τοῦ προφήτου λόγος, ὅτι οὐκ ἔτι καθιεῖται ἐπὶ τοῦ θρόνου Δαβὶδ ἐκ τοῦ σπέρματος Ἰεχονίου; Οὐδεὶς γὰρ φαίνεται τῆς ἀξίας ταύτης ἐπειλημμένος ἐξ αὐτοῦ. Οὐ μέντοι ἐξέλιπεν ἡ τοῦ Ἰούδα φυλή, ἕως οὗ ἦλθεν ᾧ ἀπέκειτο, ὃς οὐδὲ αὐτὸς ἐκαθέσθη ἐπὶ τοῦ σωματικοῦ θρόνου, μεταπεσούσης λοιπὸν τῆς Ἰουδαϊκῆς βασιλείας ἐπὶ τὸν υἱὸν τοῦ Ἀσκαλωνίτου Ἀντιπάτρου Ἡρώδην, καὶ τοὺς ἐκείνου παῖδας, οἳ εἰς τέσσαρας ἀρχὰς κατενείμαντο τὴν Ἰουδαίαν, ἡγεμονεύοντος μὲν Πιλάτου, τὸ δὲ σύμπαν τῆς Ῥωμαϊκῆς ἀρχῆς κράτος ἔχοντος Τιβερίου (68). Ἀλλὰ θρόνον λέγει Δαβὶδ, ἐφ' ὃν ὁ Κύριος ἐκάθισε, τὴν ἀκαθαίρετον βασιλείαν. Αὐτὸς γάρ ἐστι *προσδοκία ἐθνῶν*, οὐχὶ τοῦ ἐλαχίστου μέρους τῆς οἰκουμένης· *Ἔσται γὰρ*, φησὶν, *ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. Τέθεικα γάρ σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν. Καὶ θήσομαι*, φησὶν, *εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.* Οὕτως οὖν καὶ ἱερεὺς (69) διέμεινεν, εἰ καὶ μὴ τὰ σκῆπτρα τῆς Ἰουδαίας παρέλαβε, καὶ βασιλεὺς πάσης τῆς γῆς ὁ Θεὸς, καὶ ἡ εὐλογία τοῦ Ἰακὼβ ἐβεβαιώθη· *Καὶ ἐνευλογηθήσονται τῷ* (70) *σπέρματι αὐτοῦ πᾶσαι αἱ φυλαὶ τῆς γῆς*, καὶ πάντα τὰ ἔθνη μακαριοῦσι τὸν Χριστόν.

4. Τοῖς δὲ κομψοῖς Ἐγκρατίταις πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα, διὰ τί καὶ ἡμεῖς οὐχὶ πάντα ἐσθίομεν, ἐκεῖνο λεγέσθω, ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυσσόμεθα. Κατὰ μὲν γὰρ τὴν ἀξίαν, λάχανα χόρτου ἡμῖν ἐστι τὰ κρέα· κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν, οὕτω καὶ ἐν τοῖς κρέασι τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν. Ἐπεί τοι λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ' ὅμως οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων, οὔτε κυνὸς ἅψαιτο μὴ μεγάλης ἀνάγκης κατεπειγούσης· ὡς ὅ γε φαγὼν οὐκ ἠνόμησεν.

5. Πρὸς δὲ τοὺς λέγοντας καθ' εἱμαρμένην διοικεῖσθαι τὰ ἀνθρώπινα, μὴ παρ' ἡμῶν ζήτει λόγους, ἀλλὰ ταῖς οἰκείαις τῆς ῥητορικῆς ἀκίσιν αὐτοὺς κα-

et pontifex in iis quæ sunt ad Deum [71]. Ac tribus quidem regia ad usque Christi adventum minime defecit; nec tamen amplius sedit in solio Davidis semen Jechoniæ. Nam solium profecto regia dignitas nuncupatur. **363** Omnino autem historiæ meministi, videlicet Judæam omnem Davidi vectigalem fuisse, et Idumæam, et Moabitarum regionem, et Syriæ partes tum viciniores tum remotiores ad usque Mesopotamiam, et ex altera parte usque ad flumen Ægypti. Itaque si nullus e posteris ad tantam potestatem pervenit, quomodo verum non fuit quod dictum est a propheta, neminem sessurum in solio Davidis ex semine Jechoniæ? Nemo enim ex ipso ortus, hanc gloriam consecutus comperitur. Non tamen defecit tribus Juda, donec venit cui repositum erat [72]: qui ne ipse quidem in corporali throno consedit; quippe cum translatum jam esset Judaicum regnum in filium Ascalonitæ Antipatri Herodem, ejusque liberos, qui Judæam in quatuor principatus diviserunt, præside quidem Pilato, summam autem imperii Romani potestatem tenente Tiberio. Sed thronum dicit Davidis, in quo Dominus sedit, regnum eversioni nulli obnoxium. *Ipse enim est exspectatio gentium* [73], non autem minimæ partis orbis terrarum; *Erit enim*, inquit, *radix Jesse, et qui consurgit ut princeps sit gentium: in ipso gentes sperabunt* [74]. *Posui enim te in fœdus populi, in lucem gentium* [75]. *Et ponam*, inquit, *in sæculum sæculi semen ejus, et thronum ejus sicut dies cœli* [76]. Sic igitur et sacerdos permansit, quanquam Judææ sceptra non accepit, et rex universæ terræ Deus. Atque confirmata est benedictio Jacob, *Et benedicentur in semine ipsius omnes tribus terræ* [77], et omnes gentes Christum beatum prædicabunt.

4. Lepidis autem Encratitis ad præclaram eorum quæstionem, cur nos etiam non omnibus vescimur, hoc detur responsi, nos etiam excrementa nostra aversari. Ac quantum quidem ad dignitatem, olera herbæ nobis sunt carnes: quantum vero ad utilium discretionem, quemadmodum et in oleribus noxium a salubri separamus, ita et in carnibus ab utili noxium secernimus. Nam certe et cicuta olus est, sicut etiam caro est vulturina caro: sed tamen nec hyoscyamum sanus quisquam comedet, nec cane vescetur, nisi urgente summa necessitate: qui tamen comedit, non peccat.

5. Jam quod attinet ad eos qui dicunt fato gubernari res humanas, ne me interroges, sed propriis rhetoricæ telis eos confige, siquidem longior

[71] Hebr. x, 1. [72] Gen. xlix, 10. [73] ibid. [74] Isa. xi, 10. [75] Isa. xlii, 6. [76] II Reg. vii, 13. [77] Gen. xxii, 18.

(67) *Καθ' ἕτερον*. Ita Regii duo codices et Coisl. secundus, sicque legit interpres. Editi καθ' ἑκάτερον.

(68) *Τιβερίου*. Editi addunt Καίσαρος, quod deest in mss. novem.

(69) *Καὶ ἱερεύς*. Pro hac voce legendum putat Combefisius βασιλεύς. Sed inutilis emendatio, nec ullo nititur codice ms. Supra docet Basilius Christum et regem esse et pontificem.

(70) *Ἐνευλογηθήσονται τῷ*. Ita decem mss. excepto tamen quod in nonnullis legitur ἐν τῷ. Editi εὐλογηθήσονται ἐν τῷ.

A est hæc quæstio pro mea præsenti infirmitate. De emersione autem in baptismo haud scio cur tibi in mentem venerit interrogare, siquidem accepisti immersionem trium dierum figuram adimplere. Ter enim mergi non potest, nisi qui toties emergat. Quantum ad vocem φάγον attinet, acutum tonum in prima syllaba reponimus.

6. Eadem est essentiam inter et hypostasim differentia, ac inter commune et singulare, inter animal et illum hominem. Quapropter **364** essentiam quidem unam in divinitate confitemur, adeo ut essentiæ definitio non diverse reddatur: hypostasim vero propriam et singularem, ut inconfusa nobis et clara de Patre et Filio et Spiritu sancto insit notio. Si enim non consideremus definitas
B uniuscujusque proprietates, puta paternitatem, filiationem, et sanctificationem, sed ex communi essentiæ ratione Deum confiteamur, fieri non potest ut sana fidei ratio reddatur. Oportet igitur, ut communi proprium adjungentes, ita fidem profiteamur: Commune deitas, proprium paternitas; atque hæc conjungendo dicamus: Credo in Deum Patrem. Ac rursus in Filii confessione faciendum est similiter; adjungendum est communi proprium, ac dicendum: Credo in Deum Filium. Pariter et de Spiritu sancto ad appellationis rationem accommodanda pronuntiatio ac dicendum: Credo et in divinum Spiritum sanctum; adeo ut omnino et unitas servetur in unius deitatis confessione; et id quod personarum proprium est confiteamur in dis-
C cretione earum proprietatum, quæ in unaquaque intelliguntur. Qui autem idem esse dicunt essentiam et hypostasim, coguntur personas tantum confiteri differentes, et dum refugiunt dicere tres hypostases, Sabellii labem inveniuntur non effugere; qui et ipse sæpe, etsi confundit notionem, conatur personas distinguere, dum hypostasim eamdem ait pro usu subinde occurrente varias personas induere.

7. Jam ad illam quæstionem, quomodo media et indifferentia circa nos gubernentur; utrum fortuito quodam casu, an justa Dei providentia; hoc respondemus, sanitatem et morbum, divitias et paupertatem, gloriam et ignominiam, quatenus bo-
D nos non reddunt possessores, non esse ex eorum numero, quæ natura sunt bona: quatenus vero prosperitatem quamdam in vita nostra efficiunt, magis contrariis eligenda esse præposita, et aliquam verbo dignitatem habere. Atque hæc quidem

A τατίτρωσκε· μακρότερον γάρ ἐστι τὸ πρόβλημα τῆς παρούσης μου ἀσθενείας. Περὶ δὲ τῆς ἐν τῷ βαπτίσματι ἀνανεύσεως (71) οὐκ οἶδα τί ἐπῆλθέ σοι ἐρωτῆσαι, εἴπερ ἐδέξω τὴν κατάδυσιν τὸν τύπον τῶν τριῶν ἡμερῶν ἐκπληροῦν. Βαπτισθῆναι γὰρ τρισσάκις ἀδύνατον μὴ ἀναδύντα τοσαυτάκις (72). Τὸν δὲ *φάγον* παροξυτονοῦμεν ἡμεῖς.

6. Οὐσία δὲ καὶ ὑπόστασις ταύτην ἔχει τὴν διαφορὰν, ἣν ἔχει τὸ κοινὸν πρὸς τὸ καθ' ἕκαστον· οἷον ὡς ἔχει τὸ ζῶον πρὸς τὸν δεῖνα ἄνθρωπον. Διὰ τοῦτο οὐσίαν μὲν μίαν ἐπὶ τῆς θεότητος ὁμολογοῦμεν, ὥστε τὸν τοῦ εἶναι λόγον μὴ διαφόρως ἀποδιδόναι· ὑπόστασιν δὲ ἰδιάζουσαν, ἵν' ἀσύγχυτος ἡμῖν (73) καὶ τετρανωμένη ἡ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ἔννοια ἐνυπάρχῃ. Μὴ γὰρ νοούντων ἡμῶν
B τοὺς ἀφωρισμένους περὶ ἕκαστον χαρακτῆρας, οἷον πατρότητα καὶ υἱότητα καὶ ἁγιασμὸν, ἀλλ' ἐκ τῆς κοινῆς ἐννοίας τοῦ εἶναι ὁμολογούντων Θεὸν, ἀμήχανον ὑγιῶς τὸν λόγον τῆς πίστεως ἀποδίδοσθαι. Χρὴ οὖν, τῷ κοινῷ τὸ ἰδιάζον προστιθέντας, οὕτω τὴν πίστιν ὁμολογεῖν· κοινὸν ἡ θεότης, ἴδιον ἡ πατρότης· συνάπτοντας δὲ λέγειν· Πιστεύω εἰς Θεὸν Πατέρα. Καὶ πάλιν ἐν τῇ τοῦ Υἱοῦ ὁμολογίᾳ τὸ παραπλήσιον ποιεῖν, τῷ κοινῷ συνάπτειν τὸ ἴδιον, καὶ λέγειν· Πιστεύω εἰς Θεὸν Υἱόν. Ὁμοίως καὶ ἐπὶ τοῦ Πνεύματος τοῦ ἁγίου κατὰ τὸ ἀκόλουθον τῆς ἐκφωνήσεως τὴν προφορὰν σχηματίζοντας λέγειν· Πιστεύω καὶ εἰς τὸ θεῖον (74) Πνεῦμα τὸ ἅγιον· ὥστε δι' ὅλου καὶ τὴν ἑνότητα σώζεσθαι ἐν τῇ
C τῆς μιᾶς θεότητος ὁμολογίᾳ, καὶ τὸ τῶν προσώπων ἰδιάζον ὁμολογεῖσθαι ἐν τῷ ἀφορισμῷ τῶν περὶ ἕκαστον νοουμένων ἰδιωμάτων. Οἱ δὲ ταὐτὸν λέγοντες οὐσίαν καὶ ὑπόστασιν ἀναγκάζονται πρόσωπα μόνον ὁμολογεῖν διάφορα, καὶ ἐν τῷ περιΐστασθαι λέγειν τρεῖς ὑποστάσεις, εὑρίσκονται μὴ φεύγοντες τὸ τοῦ Σαβελλίου κακὸν, ὃς καὶ αὐτὸς, πολλαχοῦ συγχέων τὴν ἔννοιαν, ἐπιχειρεῖ διαιρεῖν τὰ πρόσωπα, τὴν αὐτὴν ὑπόστασιν λέγων πρὸς τὴν ἑκάστοτε παρεμπίπτουσαν (75) χρείαν μετασχηματίζεσθαι.

7. Καὶ περὶ ὧν ἠρώτησας, πῶς τὰ μέσα καὶ τὰ ἀδιάφορα (76) περὶ ἡμᾶς οἰκονομεῖται, εἴτε συντυχίᾳ τινὶ αὐτομάτῳ, εἴτε τῇ δικαίᾳ τοῦ Θεοῦ προνοίᾳ, ἐκεῖνό φαμεν, ὅτι ὑγεία καὶ νόσος, πλοῦτος καὶ
D πενία, δόξα καὶ ἀτιμία, καθὸ μὲν οὐ ποιεῖ τοὺς ἔχοντας ἀγαθοὺς, οὐκ ἔστι τῶν κατὰ φύσιν ἀγαθῶν· καθὸ δὲ εὔροιάν τινα παρέχεται ἡμῶν (77) τῷ βίῳ, αἱρετώτερά ἐστι τῶν ἐναντίων τὰ προηγούμενα, καὶ ἔχει τινὰ ἀξίαν λεγόμενα. Ταῦτα μέντοι τοῖς μὲν οἰκονομίας (78) ἕνεκεν δίδοται παρὰ Θεοῦ, ὡς τῷ

(71) *Ἀνανεύσεως*. Codex Parisiensis ἀναδεύσεως, secunda manu.

(72) *Τοσαυτάκις*. Ita mss. plerique. Editi τοσάκις.

(73) *Ἡμῖν*. Editi ἡμῖν τε. Sed deest vocula in tribus antiquissimis codicibus et aliis nonnullis.

(74) *Εἰς τὸ θεῖον*. Videtur in Harlæano codice scriptum prima manu εἰς τὸν Θεόν.

(75) *Παρεμπίπτουσαν*. Med., Coisl. primus et unus ex Regiis παραπίπτουσαν. Existimat Combefisius verbum μετασχηματίζεσθαι sic reddendum esse, *in varias formas mutari*. Sed id non dicebat Sabellius. Hoc tantum dicebat, ut legimus in epist. 214: *Unum quidem hypostasi Deum esse, sed sub diversis personis a Scriptura repræsentari.*

(76) *Ἀδιάφορα*. Legitur διάφορα in tribus vetustissimis codicibus et plerisque aliis.

(77) *Ἡμῶν*. Deest in septem mss., non tamen in vetustissimis tribus.

(78) *Οἰκονομίας*. Hac voce eleemosynam, sive largitiones in pauperes, significari probavimus ad

Ἀβραάμ, καὶ τῷ Ἰὼβ (79), καὶ τοῖς τοιούτοις· τοῖς A δὲ φαυλοτέροις πρόκλησίς ἐστι τοῦ βελτιωθῆναι κατὰ τὸν τρόπον· ὡς ὅγε μετὰ τοσαύτην παρὰ Θεοῦ δεξίωσιν ἐπιμένων τῇ ἀδικίᾳ ἀναντιῤῥήτως ἑαυτὸν ὑπόδικον τῇ κατακρίσει καθίστησιν. Ὁ μέντοι δίκαιος οὔτε παρόντος ἐπιστρέφεται τοῦ πλούτου, οὔτε μὴ παρόντα ἐπιζητεῖ· οὐ γὰρ ἀπολαυστικός ἐστι τῶν δεδομένων, ἀλλ' οἰκονομικός. Οὐδεὶς δὲ τῶν νοῦν ἐχόντων ἐπιτρέχει τῇ ἀσχολίᾳ τῆς τῶν ἀλλοτρίων διανομῆς, ἐὰν μὴ πρὸς τὴν τῶν πολλῶν ἀποβλέπῃ δόξαν, οἳ θαυμάζουσι καὶ ζηλοῦσι τοὺς ἐν ἐξουσίᾳ τινὶ καθεστῶτας. Τὴν δὲ νόσον ὡς ἄθλησιν οἱ δίκαιοι δέχονται, μεγάλους ἐπὶ τῇ ὑπομονῇ τοὺς στεφάνους ἀναμένοντες. Ἄλλον δέ τινα ἐφιστᾷν τῇ διοικήσει τούτων οὐκ ἀπεμφαῖνον μόνον, ἀλλὰ καὶ ἀσεβές.

nonnullis ad distribuendum dantur a Deo velut Abraham, Job, et similibus. Improbis vero provocatio sunt, ut se ad meliorem frugem recipiant, ita ut qui post tantam a Deo benignitatis significationem perseverat in iniquitate, se ipse sine ulla excusationis venia obnoxium condemnationi constituat. Qui quidem justus est, neque ad divitias, cum adsunt, adjungit animum : neque eas, cum absunt, exquirit; siquidem non fruitur concreditis, sed earum administrator est. Nemo autem prudens negotium ambit in alienis rebus distribuendis, nisi respexerit ad laudem vulgi, cui homines in aliqua auctoritate constituti admirationi sunt ac æmulationi. Morbos autem tanquam certamen suscipiunt justi, coronas magnas ob patientiam exspectantes. Cæterum quemvis alium his rebus gubernandis præficere non solum est absurdum, sed etiam impium.

ΕΠΙΣΤΟΛΗ ΣΛΖ'.

365 EPISTOLA CCXXXVII *.

Nonnullæ Basilii litteræ ad Eusebium non perlatæ. In his autem nuntiat de adventu Demosthenis, de synodo ab eo coacta in Galatia, de expulso Hypsino. eique suffecto Ecdicio, Gregorio abduci jusso, omnibus clericis Cæsariensibus curiæ addictis, eodem onere Sebastiæ imposito his qui cum Basilio communicabant. Rursus alia synodus Nyssæ ex Galatis et Ponticis, qui nescio quem ad Ecclesias mittunt. Cum Eustathio conspirant de episcopo Nicopolitanis dando in locum Theodoti mortui. Resistunt Nicopolitani. Rumor synodi ad Basilium aut cogendum cum illis communicare aut pellendum. Graviter ægrotabat

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων. B

1. Ἐγὼ καὶ διὰ τοῦ βικαρίου (80) τῆς Θρᾴκης ἐπέστειλα τῇ θεοσεβείᾳ σου, καὶ διά τινος πραιποσίτου τῶν κατὰ Φιλιππούπολιν θησαυρῶν ἐκ τῆς ἡμετέρας ἐπὶ τὴν Θρᾴκην διαβαίνοντος ἔγραψα ἑτέρας ἐπιστολὰς (81), καὶ παρεκάλεσα αὐτὸν ἀνελέσθαι, ὅταν ἀπαίρῃ. Ἀλλ' οὔτε ὁ βικάριος ὑπεδέξατο ἡμῶν τὰ γράμματα. Περιοδευόντων γὰρ ἡμῶν τὴν παροικίαν, ἐπιστὰς τῇ πόλει ἑσπέρας, ὄρθρου βαθέος πάλιν ἀπήλασεν· ὥστε τοὺς οἰκονόμους λαθεῖν τῆς ἐκκλησίας τὴν τοῦ ἀνδρὸς ἐπιδημίαν (82), καὶ οὕτω μεῖναι παρ' ἡμῖν τὰ γράμματα. Ὁ δὲ πραιπόσιτος, τάχα ἀβουλήτου τινὸς αὐτὸν περιστάσεως κατασχούσης, ἐξώρμησε, μήτε τὰς ἐπιστολὰς ἀνελόμενος, μήτε ἡμᾶς θεασάμενος. Ἄλλου δὲ οὐδενὸς ἦν ἐπιτυχεῖν· ὅθεν ἐμείναμεν λυπούμενοι, ὅτι μήτε ἐπιστέλλειν ἡμῖν ἔξεστι, μήτε δέχεσθαι παρὰ τῆς σῆς θεοσεβείας γράμματα. Καίτοιγε ἐβουλόμην, εἴ μοι ἦν δυνατὸν, τὰ ἐφ' ἑκάστης ἡμέρας συμπίπτοντα ἡμῖν διαγγέλλειν σοι. Οὕτω γὰρ πολλὰ καὶ παράδοξά ἐστι τὰ πράγματα, ὥστε ἱστορίας ἐφημερίδος χρῄζειν, ἣν καὶ συνέταξα, εὖ ἴσθι, εἰ μὴ τῇ συνεχείᾳ τῶν προσπιπτόντων τοὺς λογισμοὺς εἶχον τῶν προκειμένων ἐκκρουομένους.

2. Ἐπεδήμησεν ἡμῖν βικάριος, τὸ πρῶτον καὶ μέγιστον τῶν ἡμετέρων κακῶν· ἄνθρωπος εἰ μὲν καὶ αἱρετικὸς τὸ φρόνημα, οὐκ ἐπίσταμαι (οἶμαι γὰρ αὐτὸν παντὸς ἄπειρον εἶναι λόγου, καὶ μηδὲ ἔχειν τινὰ σπουδὴν μηδὲ μελέτην περὶ τὰ τοιαῦτα· ἐν ἄλλοις γὰρ αὐτὸν ὁρῶ τῇ ψυχῇ καὶ τῇ σαρκὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐνασχολούμενον), πλὴν D

1. Ego et per vicarium Thraciæ scripsi pietati tuæ; et per præpositum quemdam Philippopolis thesaurorum, ex nostra regione in Thraciam abeuntem, scripsi alias epistolas, eumque rogavi, ut illas proficiscens sumeret. Sed neque vicarius litteras nostras suscepit. Peragrantibus enim nobis parœciam, cum advenisset in urbem vespere, summo mane rursus abiit; adeo ut œconomos ecclesiæ lateret viri adventus, sicque manerent apud me litteræ. Præpositus vero, forte inexspectata aliqua illum necessitate urgente, profectus est, nec litteris susceptis, nec nobis salutatis. Alius autem nullus reperiri poterat; unde tristes mansimus, quod nec scribere nobis liceret, nec accipere a tua pietate litteras. Atque equidem volebam, si res fieri potuisset, quæ singulis diebus nobis accidunt, tibi nuntiare. Tam multa enim sunt, tamque præter opinionem, ut ephemeride opus esset : quam etiam, probe scias, composuissem, nisi assiduitate eventuum mentem e proposito avocatam habuissem.

2. Advenit nobis vicarius primum et maximum malorum nostrorum : homo, an sententia hæreticus, nescio (arbitror enim illum omnis expertem esse doctrinæ, nec habere studium ullum aut usum ejusmodi rerum; nam in aliis illum video anima et carne, noctu et interdiu occupatum), at certe hæreticorum amicus : nec magis eos dili-

epist. 31. Hæc interpretatio confirmatur ex commentario *in Isaiam* n. 54, p. 420, ubi divites dicuntur opes accepisse, ut pauperes juvent.

(79) *Καὶ τῷ Ἰώβ*. Ita codices mss. septem. Editi τῷ Ἰακώβ. Neutrum legitur in Coisl. primo, sed desunt tres hæ voculæ.

(80) *Βικαρίου*. Duo codices Vaticani καὶ διὰ τοῦ Μακαρίου βικαρίου, *Et per Macarium vicarium*.

(81) *Ἑτέρας ἐπιστολάς*. Hæc desunt in codice Coisl. primo.

(82) *Ἐπιδημίαν*. Ita mss. decem. Editi ἀποδημίαν.

* Alias CCLXIV. Scripta anno 376.

gens, quam nos odio habens. Coegit enim synodum A impiorum media hieme in Galatia, et ejecit quidem Hypsinum, ejus autem loco Ecdicium constituit. Jussit abduci fratrem meum, ab uno homine, eoque ignobili, accusatum. Deinde paulisper occupatus circa res militares, rursus ad nos accessit, iram cædemque spirans, ac omnes voce unica clericos Ecclesiæ Cæsariensis tradidit curiæ. Sedit autem Sebastiæ plures dies, secernens suos ab alienis, ac nostros quidem communicatores curiales appellans, ac muniis publicis addicens, eos vero qui Eustathio affixi sunt, maximis fovens honoribus. Rursus Nyssæ synodum Galatarum et Ponticorum celebrari præcepit. Illi autem morem gessere, **366** et convolantes miserunt quemdam ad Ecclesias, qui qualis sit, nolim ego dicere; sed B conjicere licet prudentiæ tuæ, qualem illum esse verisimile sit, qui talibus hominum voluntatibus ministrat. Et nunc, tum cum hæc scriberem, ipsum illud agmen Sebastiam venit, ut et conjungantur cum Eustathio, et una cum ipso res Nicopolitanorum evertant. Nam beatus Theodotus obdormivit. Illi autem hactenus primos vicarii assultus generose ac fortiter repulere. Persuadere enim eis conabatur, Eustathium ut reciperent, ac per eum acciperent episcopum. Postquam autem vidit illos libenter non cedere, nunc conatur violentiore manu datum illis episcopum constituere. Rumore autem jactatur et quædam exspectatio synodi, ad quam me accersitum statuerunt aut communicatorem habere, aut sua uti consuetudine. Ac res C quidem ecclesiarum sic se habent. Ego autem quomodo me corpore habeam, tacere arbitror satius esse quam scribere: propterea quod vera dicens tristitia afficiam, mentiri vero non possum.

A ἀλλὰ φιλαιρετικός· καὶ οὐ πλέον ἐκείνους φιλῶν ἢ πρὸς ἡμᾶς ἀπεχθῶς ἔχων. Συνεκρότησε μὲν γὰρ σύνοδον ἀθετούντων ἐν μέσῳ τῷ χειμῶνι ἐπὶ τῆς Γαλατίας· καὶ ἐξέβαλε μὲν τὸν Ὕψιν (83), ἀντικατέστησε δὲ τὸν Ἐκδίκιον. Ἀγώγιμον δὲ προσέταξε γενέσθαι τὸν ἀδελφὸν τὸν ἐμὸν, ὑπὸ ἑνὸς ἀνθρώπου, καὶ τούτου ἀσήμου, αἰτιαθέντα. Εἶτα μικρὸν ἐπιμεληθεὶς (84) περὶ τὸ στρατόπεδον, πάλιν ἡμῖν ἐπῆλθε θυμοῦ καὶ φόνου (85) πνέων, καὶ πάντας μὲν μιᾷ φωνῇ τοὺς ἱερατικοὺς τῆς ἐν Καισαρείᾳ Ἐκκλησίας παρέδωκε τῇ βουλῇ· ἐν δὲ Σεβαστείᾳ ἐκαθέσθη πολλὰς ἡμέρας φυλοκρινῶν (86)· καὶ τοὺς μὲν ἡμῖν κοινωνοῦντας βουλευτὰς ὀνομάζων, καὶ καταδικάζων τῇ ὑπηρεσίᾳ (87) τῶν δημοσίων· τοὺς δὲ τῷ Εὐσταθίῳ προσκειμένους ταῖς μεγίσταις τιμαῖς περιέπων. B Πάλιν σύνοδον περὶ Νύσσαν Γαλατῶν καὶ Ποντικῶν συγκροτηθῆναι προσέταξεν. Οἱ δὲ ὑπήκουσαν, καὶ συνδραμόντες ἔπεμψάν τινα (88) ταῖς Ἐκκλησίαις, ὃν οὐκ ἂν ἑλοίμην ἐγὼ εἰπεῖν ὁποῖος, εἰκάζειν δὲ ἔξεστι τῇ σῇ φρονήσει ποταπὸν εἰκὸς εἶναι τὸν τοιαύταις προαιρέσεσιν ἀνθρώπων ὑπηρετούμενον. Καὶ νῦν, ὅτε ταῦτα ἐπέστελλον, τὸ αὐτὸ τοῦτο σύνταγμα ἐπὶ τὴν Σεβάστειαν ὥρμησε, τῷ τε Εὐσταθίῳ συναφθῆναι, καὶ μετ' αὐτοῦ τὰ τῶν Νικοπολιτῶν καταστρέψασθαι. Ὁ γὰρ μακάριος Θεόδοτος κεκοίμηται. Καὶ τέως μὲν τὰς πρώτας τοῦ βικαρίου προσβολὰς γενναίως καὶ καρτερῶς ἀπεκρούσαντο (89)· πείθειν γὰρ αὐτοὺς ἐπειρᾶτο δέξασθαι τὸν Εὐστάθιον, καὶ δι' αὐτοῦ λαβεῖν τὸν ἐπίσκοπον· ὡς δὲ εἶδεν αὐτοὺς ἑκόντας οὐκ ἐνδιδόντας, νῦν πειρᾶται βιαιοτέρᾳ χειρὶ C ἐγκαταστῆσαι τὸν διδόμενον. Ὑποθρυλλεῖται δέ τις καὶ συνόδου προσδοκία, καθ' ἣν προαιροῦνται καλέσαντες ἡμᾶς ἢ λαβεῖν κοινωνοὺς, ἢ χρήσασθαι τῇ συνηθείᾳ. Τὰ μὲν οὖν τῶν Ἐκκλησιῶν τοιαῦτα. Ἐγὼ δὲ αὐτὸς ὅπως διάκειμαι κατὰ τὸ σῶμα, σιωπᾶν ἡγοῦμαι βέλτιον εἶναι ἢ γράφειν· διότι τὰ μὲν ἀληθῆ λέγων λυπήσω, ψεύσασθαι δὲ οὐκ ἀνέχομαι.

(83) *Τὸν Ὕψιν*. Ita mss. decem. Editi Ὕψιον.

(84) Vide Addenda.

(85) *Καὶ φόνου*. Coisl. primus et editi habent καὶ φθόνου, *spirans invidiam*. Sed alii codices φόνου, quod melius videtur.

(86) *Φυλοκρινῶν*. Codices nonnulli φιλοκρινῶν. Simili sensu legitur φυλοκρινῶν in libro *De Spiritu sancto* cap. 29, et epist. 204, n. 2.

(87) *Ὑπηρεσίᾳ*. Ita veteres libri. Editi ὑπηρετησίᾳ, quod tamen emendatum est in editione Paris. secunda.

(88) *Ἔπεμψάν τινα*. Suspicatur Tillemontius huic homini datam fuisse quamdam visitandi Ecclesias provinciam. Sed illud, *miserunt ad Ecclesias*, idem esse crediderim ac episcopum ordinaverunt. Sic enim videtur ipse Basilius interpretari in epistola 239 ubi de eodem homine loquens ait: *Et ad miseros homines, vernarum vernas, devenit nunc episcopatus nomen... qualis est qui nuper ab Anysio et Ecdicio Parnasseno missus est, quem quidem qui constituit, pessimum sibi ipsi futuræ vitæ viaticum in Ecclesias immisit*. Et in epist. 240, de Frontone loquens ordinato ab Arianis episcopo, ait: Οἱ ἐπιπεμφθέντες ἡμῖν, *qui in nos immissi sunt*. Verisimile ergo est hunc hominem idcirco in Ecclesias immissum dici, quia ab illius nequitia periculum impendebat, non unius Ecclesiæ evertendæ, sed D plurium et vitæ exemplo et nefariis molitionibus lædendarum.

(89) *Ἀπεκρούσαντο*. Male in editis ἀπεκρούσατο. Quod erratum ope veterum codicum sustulimus. Totum hunc locum minus belle interpretatur Tillemontius. Existimat vicarium, cum primo repulsus fuisset a Nicopolitanis, postea violentiore manu rem aggredi cœpisse; et idcirco immisisse agmen Arianorum. Sed cum Ariani Frontonem episcopum ordinaverint, ut per se patet; adhibita a vicario violentia, ut datum episcopum constitueret, de immissis Arianis intelligi non debet, sed de iis, quæ postea vicarius per vim et impressionem egit, ut ordinationem illam tueretur. Deceperunt Tillemontium hæc verba, Καὶ νῦν, ὅτε ταῦτα ἐπέστελλον, *Et nunc cum hæc scriberem, ipsum illud agmen*, etc., indeque adductus est, ut crederet ante adventum Arianorum jam repulsos vicarii conatus fuisse. Sed ejusmodi loquendi rationes non tam stricte accipiendæ. Potuit enim dicere Basilius: *Et nunc cum hæc scriberem, ipsum illud agmen Sebastiam venit*, quamvis ab hoc eventu aliquod tempus effluxisset. Hinc in epist. 239 de rebus, quæ non paulo ante contigerant, eodem modo loquitur. Ait enim nunc episcopatus nomen ad miseros homines et vernas vernarum devenisse; *qualis est qui nunc ab Anysio et Ecdicio missus est... Hi nunc fratrem meum Nyssa expulerunt*.

ΕΠΙΣΤΟΛΗ ΣΛΗ'.

EPISTOLA CCXXXVIII *.

Cum Fronto presbyter Ecclesiæ Nicopolitanæ episcopatum ab Arianis accepisset, ac unum aut alterum ex eodem clero secum abstraxisset, consolatur Nicopolitanos presbyteros Basilius, eosque nec horum hominum lapsu angi debere demonstrat, nec quod ipsi extra muros precari cogantur, sed quo plures exstiterint tentationes, eo uberiorem a Deo mercedem exspectandam.

Νικοπολίταις πρεσβυτέροις.

Ἐδεξάμην τὰ γράμματα τῆς εὐλαβείας ὑμῶν· καὶ οὐδὲν ἔσχον καινότερον τῶν ἐγνωσμένων ἤδη παρ' αὐτῶν διδαχθῆναι. Καὶ γὰρ ἔφθασεν ἡ φήμη εἰς πᾶσαν τὴν περιοικίδα, τοῦ παρ' ὑμῖν καταπεσόντος τὴν αἰσχύνην περιαγγέλλουσα (90), ὃς ἐπιθυμίᾳ δόξης κενῆς τὴν αἰσχίστην ἑαυτῷ συνήγαγεν ἀτιμίαν, καὶ εὑρέθη τῶν μὲν ἐπὶ τῇ πίστει μισθῶν διὰ τὴν φιλαυτίαν ἐκπεσών· αὐτὸ δὲ τὸ δύστηνον δοξάριον, οὗ ἐπιθυμήσας ἐπράθη τῇ ἀσεβείᾳ, οὐκ ἔχων διὰ τὸ δίκαιον μῖσος τῶν φοβουμένων τὸν Κύριον. Ἀλλὰ ἐκεῖνος μὲν παντὸς τοῦ ἑαυτοῦ βίου ἐναργέστατον ἐξήνεγκε δεῖγμα ἐκ τῆς νῦν προαιρέσεως, ὅτι οὐδέποτε ἔζη ἐπ' ἐλπίδι τῶν ἀποκειμένων ἡμῖν ἐπαγγελιῶν παρὰ τοῦ Κυρίου· ἀλλὰ εἴ τι ἑαυτῷ ἐπραγματεύετο τῶν ἀνθρωπίνων, καὶ ῥήματα πίστεως, καὶ πλάσμα (91) εὐλαβείας, πάντα πρὸς τὴν τῶν ἐντυγχανόντων ἀπάτην ἐπετηδεύετο· ὑμᾶς δὲ τί καταπονεῖ τὸ συμβάν; Τί χείρους ἑαυτῶν γεγόνατε παρὰ τοῦτο; Ἔλειψεν εἷς ἐκ τοῦ πληρώματος ὑμῶν· εἰ δὲ καὶ συναπῆλθέ (92) που ἄλλος εἷς, ἢ δεύτερος, ἐλεεινοὶ (93) τοῦ πτώματος οὗτοι, ὑμῶν δὲ τὸ σῶμα ὁλόκληρόν ἐστι τῇ τοῦ Θεοῦ χάριτι. Καὶ γὰρ καὶ τὸ ἀχρειωθὲν ἀπεῤῥύη, καὶ οὐκ ἐκολοβώθη τὸ μένον. Εἰ δὲ ἀνιᾷ ὑμᾶς, ὅτι τῶν τοίχων ἐξεβλήθητε· ἀλλ' ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεσθε, καὶ ὁ ἄγγελος ὁ τῆς Ἐκκλησίας ἔφορος συναπῆλθεν ὑμῖν. Ὥστε κενοῖς ἐγκατακλίνονται (94) καθ' ἑκάστην ἡμέραν, ἐκ τῆς διασπορᾶς τοῦ λαοῦ βαρὺ ἑαυτοῖς τὸ κρῖμα κατασκευάζοντες. Εἰ δέ τις καὶ κόπος ἐστὶν ἐν τῷ πράγματι, πέπεισμαι τῷ Κυρίῳ μὴ εἰς κενὸν ὑμῖν ἀποβήσεσθαι τοῦτο. Ὥστε ὅσῳ ἂν (95) ἐν πλείοσι πειρατηρίοις γένησθε, τοσούτῳ πολυτελέστερον παρὰ τοῦ δικαίου κριτοῦ μισθὸν ἀναμένετε. Μήτε οὖν δυσφορεῖτε τοῖς παροῦσι, μήτε ἀποκάμνετε τῇ ἐλπίδι. Ἔτι γὰρ μικρὸν ὅσον ὅσον (96), ἥξει πρὸς ὑμᾶς ὁ ἀντιλαμβανόμενος ὑμῶν, καὶ οὐ χρονιεῖ (97).

Nicopolitanis presbyteris.

A Accepi litteras pietatis vestræ, nec quidquam potui recentius, iis quæ jam noveram, ex illis discere. Venit enim fama in omnem viciniam, illius, qui apud vos lapsus est, ignominiam circumferens : qui quidem inanis gloriæ cupiditate, turpissimam sibi ipse comparavit ignominiam : et fidei quidem præmiis ob sui ipsius amorem decidit ; sed tamen miseram illam gloriolam, cujus studio venditus est impietati, non consecutus est, ob eorum, qui Dominum timent, justum odium. At ille totius suæ vitæ manifestissimum protulit indicium ex præsenti consilio, se videlicet nunquam vixisse in spe repositarum nobis promissionum a Domino : B sed si quid sibi aucuparetur humanarum rerum, et fidei verba, et pietatis larvam, omnia denique ad obvios quosque decipiendos elaborasse. Sed quid eventus ille vos lædit? An idcirco deterius quam antea vos habetis? Defecit unus ex vestro cœtu : quod si etiam cum ipso abiere **367** unus aut alter, miserandi illi ob lapsum : at corpus vestrum Dei dono integrum est. Nam et quod inutile erat, defluxit, nec mancum est quod remansit. Quod si illud vos angit, quod extra muros ejecti estis ; sed in protectione Dei cœli commorabimini [78], et angelus Ecclesiæ inspector una vobiscum secessit. Quare in vacuis ædibus quotidie recubant, grave sibi ex populi dispersione judicium comparantes. Quod si quis hac in re labor, Domino confido, inu-C tilem illum vobis non futurum. Quamobrem quo plures tentationes fueritis experti, eo locupletiorem ab æquo judice mercedem exspectate. Itaque nec præsentia iniquo animo ferte, neque in spe deficite. Adhuc enim perpusillum temporis, veniet ad vos auxiliator vester, et non tardabit [79].

ἘΠΙΣΤΟΛΗ ΣΛΘ'.

EPISTOLA CCXXXIX **.

Deplorat Basilius ærumnas Ecclesiæ, hominibus nequissimis ad episcopatum evectis, qualis erat is quem Anysius et Ecdicius in Ecclesias immiserant. Iidem Nyssæ vile mancipium, Doaris, ut mulierculæ impiæ assentarentur, hominem pestilentem, fugitivum servum constituerant. Quærit deinde Basilius quales dandæ Dorotheo litteræ, quem cum Sanctissimo Romam iturum suspicabatur. Parum sperat ex hac legatione, et Occidentales accusat quod veritatem audire nolint. Venerat in mentem Basilio privatim ad eorum coryphæum scribere.

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

1. Ἔδωκεν ὁ Κύριος ἡμῖν καὶ νῦν διὰ τοῦ ποθεινοτάτου καὶ εὐλαβεστάτου ἀδελφοῦ ἡμῶν Ἀντιόχου

D *Eusebio, episcopo Samosatorum.*

1. Dedit nobis Dominus etiam nunc per desideratissimum ac religiosissimum fratrem nostrum

[78] Psal. xc, 1. [79] Habac. ii, 3; Hebr. x, 37.

(90) *Περιαγγέλλουσα*. Coisl. primus et Med. διαγγέλλουσα.
(91) *Πλάσμα*. Coisl. primus πλάσματα.
(92) *Εἰ δὲ καὶ συναπῆλθε*. Duæ priores voculæ desunt in vetustissimis codicibus Med. et Coisl.
(93) *Ἐλεεινοί*. Ita mss. summo consensu. Editi ἐλεεινοῦ.
(94) *Ἐγκατακλίνονται*. Coisl. uterque, Reg. secundus et Paris. ἐγκατακρίνονται.
(95) *Ὅσῳ ἄν*. Sic Med. et Coisl. uterque. Editi ὅσον. Deest ἂν in pluribus mss.
(96) *Ὅσον*. Addidimus ex Coisl. utroque, Reg. secundo et Bigot. Semel tantum legebatur in editis.
(97) *Χρονιεῖ*. Med. et Coisl. primus χρονίσει.
* Alias CXCI. Scripta anno 376.
** Alias X. Scripta anno 376.

Antiochum compresbyterum salutare sanctitatem tuam, teque ut pro more tuo pro me preceris adhortari, et ex litterarum colloquio aliquod longæ absentiæ solatium consequi. Hoc autem orans primum et maximum, quæso, pete a Domino, ut nos a nefariis et pravis hominibus liberemur : qui populos ita in suam potestatem redegerunt, ut nihil aliud nunc, nisi Judaicæ captivitatis imaginem intueri videamur. Quanto enim Ecclesiæ fiunt debiliores, tanto amplius efflorescunt hominum imperandi cupiditates : et ad miseros homines, vernarum vernas, devenit nunc episcopatus nomen; cum nullus ex Dei famulis eorum competitor fieri velit, sed tantum homines desperati, qualis est qui nunc ab Anysio Evippii alumno, et ab Ecdicio Parnasseno missus est : quem qui constituit, pessimum sibiipsi futuræ vitæ viaticum in Ecclesias immisit. Ili nunc fratrem meum Nyssa expulerunt, et ejus loco introduxerunt **368** hominem, vel potius mancipium paucis obolis venale, sed quod ad fidei corruptelam attinet, his qui constituere, non inferius. Quin et hominem pestilentem, pupillorum famulum, eumdemque a suis ipsius heris fugitivum, ut assententur mulierculæ impiæ, quæ prius quidem Georgio ad suum arbitrium usa erat, nunc vero hunc illius successorem nacta est, in oppidulum Doara miserunt, miserandum episcopatus nomen contumelia afficientes. Quis autem possit, ut par est, res Nicopolitarum lugere? Nimirum miser ille Fronto prius quidem defensionem simulaverat veritatis, sed tandem turpiter prodidit et fidem et seipsum, ac mercedem proditionis accepit nomen ignominiæ. Accepit enim ab illis episcopatus dignitatem, ut existimat, sed Dei gratia factus est communis exsecratio totius Armeniæ. Sed tamen nec quidquam est quod non audeant, nec destituuntur dignis se adjutoribus. Cæterum reliquas Syriæ

A τοῦ συμπρεσβυτέρου προσφθέγξασθαί σου τὴν ὁσιότητα· καὶ σὲ μὲν παρακαλέσαι τὰ συνήθη ποιεῖν, προσεύχεσθαι ὑπὲρ ἡμῶν· ἑαυτοῖς δὲ εὑρεῖν τινα τῆς μακρᾶς (98) ἀπολείψεως παραμυθίαν ἐκ τῆς διὰ τοῦ γράμματος ὁμιλίας. Προσευχόμενος δὲ τοῦτο πρῶτον καὶ μέγιστον παρακαλοῦμεν αἰτεῖν (99) παρὰ τοῦ Κυρίου, ῥυσθῆναι ἡμᾶς ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων, οἳ τοσοῦτον κατεκράτησαν τῶν λαῶν, ὥστε οὐδὲν ἕτερον νῦν ἢ τὰ τῆς Ἰουδαϊκῆς ἁλώσεως (1) ἡμᾶς ἐνεικονίζεσθαι πράγματα. Ὅσῳ γὰρ ἐπὶ τὸ ἀσθενέστερον ὑποῤῥέουσιν αἱ Ἐκκλησίαι, τοσοῦτον (2) ἐπακμάζουσιν αἱ τῶν ἀνθρώπων φιλαρχίαι. Καὶ εἰς δυστήνους ἀνθρώπους οἰκότριβας περιέστη νῦν τὸ τῆς ἐπισκοπῆς ὄνομα, οὐδενὸς αἱρουμένου ἀντεισάγειν ἑαυτὸν τῶν δούλων τοῦ Θεοῦ, B ἢ τῶν ἀπεγνωσμένων, ὁποῖοί εἰσιν οἱ νῦν ἐπιπεμφθέντες παρ' Ἀνυσίου τοῦ θρέμματος Εὐιππίου, καὶ Ἐκδικίου (3) τοῦ Παρνασσηνοῦ· ὃν κακὸν (4) ἑαυτῷ τῆς μελλούσης ζωῆς ἐφόδιον ἐναφῆκε ταῖς Ἐκκλησίαις ὁ καταστήσας. Οὗτοι νῦν ἐξήλασαν μὲν τῆς Νύσσης (5) τὸν ἀδελφὸν τὸν ἐμὸν, καὶ ἀντεισήγαγον ἄνδρα, μᾶλλον δὲ ἀνδράποδον ὀλίγων ὀβολῶν ἄξιον, τὴν δὲ τῆς πίστεως διαφθορὰν ἐφάμιλλον τοῖς καταστήσασι. Δοάροις δὲ τῇ κώμῃ φθορὸν ἄνθρωπον, ὀρφανῶν (6) οἰκέτην, ἀποδράντα μὲν τοὺς ἑαυτοῦ δεσπότας, διὰ δὲ κολακείας ἀθέου γυναίου, ᾗ πρότερον μὲν Γεωργίῳ ἐκέχρητο πρὸς τὸ ἴδιον θέλημα, νῦν δὲ τοῦτον ἔσχε διάδοχον ἐκείνου, ἔπεμψαν, τὸ ἐλεεινὸν τῆς ἐπισκοπῆς καθυβρίζοντες ὄνομα. C Τὰ δὲ Νικοπολιτῶν τίς ἂν πρὸς ἀξίαν ὀδύραιτο; τοῦ ἀθλίου Φρόντωνος πρότερον μὲν δῆθεν τὴν ὑπὲρ τῆς ἀληθείας συνηγορίαν σχηματιζομένου (7), τελευταῖον δὲ αἰσχρῶς προδόντος καὶ τὴν πίστιν καὶ ἑαυτὸν, καὶ μισθὸν τῆς προδοσίας λαβόντος ὄνομα ἀτιμίας. Ἐδέξατο μὲν γὰρ παρ' αὐτῶν ἐπισκοπῆς ἀξίωμα, ὡς οἴεται· γέγονε δὲ τῇ τοῦ Θεοῦ χάριτι κοινὸν βδέλυγμα πάσης τῆς Ἀρμενίας. Πλὴν ὅτι οὔτε αὐτοῖς (8) ἀτόλμητόν τι, οὔτε ἀποροῦσι τῶν ἀξίων

(98) *Τῆς μακρᾶς*. Coisl. primus et Med. τῆς μακράν.

(99) *Αἰτεῖν*. Ita Harl. et Coisl. primus. Editi αἴτει. [Bene.]

(1) *Ἰουδαϊκῆς ἁλώσεως*. Non captivitatem Babylonicam intelligit Basilius, sed eas calamitates, quæ Hierosolymis, obsidente Vespasiano, acciderunt; cum simul et externo premerentur bello, et domesticis seditionibus absumerentur, ut aiunt Orientales episcopi in epist. 92, ubi cum hoc Judæorum statu comparant Orientis Ecclesias, quæ præter apertum hæreticorum bellum, domesticis inter Catholicos dissensionibus laborabant. Eadem comparatione utitur Basilius in commentario *in Isaiam*, p. 455.

(2) *Τοσοῦτον*. Med., Coisl. primus et alii duo recentiores τοσούτῳ. Paulo post iidem duo codices Med. et Coisl. περίεστι νῦν.

(3) *Καὶ Ἐκδικίου*. Mallet Combefisius *Et Ecdicii Parnasseni*. Sed repugnant non solum mss. codices, in quibus punctum ponitur post Εὐιππίου, ut indicetur Anysium non esse alumnum Evippii et Ecdicii, sed ipsa etiam historia. Nam Ecdicius ille nuper fuerat creatus episcopus, ut est in præcedenti ad Eusebium epistola. Quare Anysius non potuit Ecdicii simul et Evippii longe antiquioris, ut patet ex epist. 128, alumnus dici, id est, ab Ecdicio et Evippio ordinatus et institutus. Sed cum Ecdicius a Demosthene constitutus fuisset episcopus Parnassenus, conjunxit se in concilio Nysseno cum Anysio Evippii alumno, et cum illo ea facinora designavit, D quæ Basilii et bonorum omnium lacrymis ac gemitibus materiam dederunt.

(4) *Ὃν κακόν*. Quamvis antea Basilius plurali numero usus fuerit, unum tamen et eumdem hominem designat, ut perspicitur ex præcedenti ad Eusebium epistola.

(5) *Νύσσης*. Quidam codices mss. cum editis Νύσης.

(6) *Ὀρφανῶν*. Duo codices non vetustissimi ὀρφανόν.

(7) *Σχηματιζομένου*. Reg. secundus et Coisl. secundus κατασχηματιζομένου. Hoc Basilii judicium de Frontone confirmatur ex præcedenti epistola. Cur autem eum existimet larvam pietatis hactenus præ se tulisse, nec fidem unquam vere et ex animo defendisse, examinamus in *Vita S. Basilii*.

(8) *Οὔτε αὐτοῖς*. Ita Harl. cum tribus aliis. Edit. οὔτε ἑαυτοῖς.

αὐτοῖς συνεργῶν. Τὰ δὲ λοιπὰ τῆς Συρίας ἄμεινον ἡμῶν καὶ οἶδε καὶ διηγήσεται ὁ ἀδελφὸς (9) Ἀντίοχος.

2. Τοῖς δὲ ἐκ τῆς δύσεως αὐτὸς προενέτυχες, διηγησαμένου πάντα τοῦ ἀδελφοῦ Δωροθέου· ᾧ ποταπὰς χρὴ δοῦναι πάλιν ἐπιστολὰς ἀπιόντι; Ἴσως γὰρ κοινωνήσει τῆς ὁδοῦ τῷ καλῷ Σαγκτισσίμῳ (10), πολλὴν ἔχοντι σπουδὴν, καὶ περιιόντι τὴν ἀνατολὴν, καὶ παρ' ἑκάστου τῶν ἐπισήμων ὑπογραφὰς καὶ ἐπιστολὰς κομιζομένῳ. Τίνα οὖν δεῖ ἐπιστεῖλαι δι' αὐτῶν, ἢ τοῖς ἐπιστέλλουσι πῶς συνθέσθαι, αὐτὸς μὲν ἀπορῶ· ἐὰν δὲ εὕρῃς ἐν τάχει τοὺς πρὸς ἡμᾶς ἀφικνουμένους, καταξίωσον ἡμῖν γνωρίσαι. Ἐμοὶ μὲν γὰρ τὸ τοῦ Διομήδους ἐπέρχεται λέγειν· *Μὴ ὄφελες λίσσεσθαι* (11)· *διότι*, φησὶν, *ἀγήνωρ ἐστὶν ὁ ἀνήρ*. Τῷ ὄντι γὰρ θεραπευόμενα τὰ ὑπερήφανα ἤθη ἑαυτῶν ὑπεροπτικώτερα γίνεσθαι πέφυκε. Καὶ γὰρ, ἐὰν μὲν ἱλασθῇ ἡμῖν ὁ Κύριος, ποίας ἑτέρας προσθήκης δεόμεθα· ἐὰν δὲ ἐπιμείνῃ ἡ ὀργὴ τοῦ Θεοῦ, ποία βοήθεια ἡμῖν τῆς δυτικῆς ὀφρύος; Οἳ τὸ ἀληθὲς οὔτε ἴσασιν, οὔτε μαθεῖν ἀνέχονται, ψευδέσι δὲ ὑπονοίαις προειλημμένοι, ἐκεῖνα ποιοῦσι νῦν, ἃ πρότερον ἐπὶ Μαρκέλλῳ· πρὸς μὲν τοὺς τὴν ἀλήθειαν αὐτοῖς ἀπαγγέλλοντας φιλονεικήσαντες, τὴν δὲ αἵρεσιν δι' ἑαυτῶν βεβαιώσαντες. Ἐγὼ μὲν γὰρ αὐτὸς ἄνευ τοῦ κοινοῦ σχήματος ἐβουλόμην αὐτῶν ἐπιστεῖλαι τῷ κορυφαίῳ· περὶ μὲν τῶν ἐκκλησιαστικῶν οὐδὲν, εἰ μὴ ὅσον παραινίξασθαι, ὅτι οὔτε ἴσασι τῶν παρ' ἡμῖν τὴν ἀλήθειαν, οὔτε τὴν ὁδὸν δι' ἧς ἂν μανθάνοιεν (12) καταδέχονται· καθόλου δὲ περὶ τοῦ μὴ δεῖν τοῖς ὑπὸ τῶν πειρασμῶν ταπεινωθεῖσιν ἐπιτίθεσθαι, μηδὲ ἀξίωμα κρίνειν ὑπερηφανίαν, ἁμάρτημα καὶ μόνον ἀρκοῦν ἔχθραν ποιῆσαι εἰς Θεόν.

A res accuratius quam nos et novit et enarrabit frater Antiochus

2. De rebus autem Occidentalibus prius ipse didicisti, narrante omnia fratre Dorotheo, cui quales dandæ rursus litteræ abeunti? Fortasse enim se itineris socium junget optimo Sanctissimo, qui magno ardet studio ac Orientem peragrat, et ab insignioribus quibusque subscriptiones et epistolas colligit. Quæ igitur per ipsos scribenda sint, aut quomodo cum scribentibus consilia conjungenda, equidem dubito; sed si cito reperias, qui ad nos proficiscantur, nobis exponere ne graveris. Mihi enim venit in mentem illud Diomedis usurpare : *Utinam precatus non esses, quoniam*, inquit, *vir est* B *superbus*. Nam revera animi elati, dum obsequio coluntur, solito arrogantiores fieri solent. Etenim si nobis placetur Dominus, quonam alio adminiculo indigemus? Sin autem perseveret ira Dei, quale nobis præsidium supercilii Occidentalis? Qui veritatem neque norunt, neque discere volunt, sed falsis suspicionibus præoccupati eadem nunc faciunt, ac prius in Marcelli causa, in qua cum hominibus veritatem sibi nuntiantibus delitigarunt, hæresim vero per seipsos confirmarunt. Ego ipse citra communem formam ad eorum coryphæum scribere volebam, de rebus quidem ecclesiasticis nihil, nisi quatenus subobscure insinuassem, neque illos de rebus nostris vera nosse, neque viam qua addiscere possint, amplecti; ac generatim admonuissem hominibus, quos tentationes afflixerunt, insultandum non esse, neque dignitatem æstimandam superbiam: quod peccatum vel unicum id valet, ut inimicos Deo efficiat.

C

ΕΠΙΣΤΟΛΗ ΣΜ'.

369 EPISTOLA CCXL*.

Basilius hortatur ad constantiam in persecutione, ac spe auxilii a Deo venturi consolatur : monet ne fucum illis faciat Frontonis rectæ fidei simulatio. Negat se unquam commissurum, ut Frontonem agnoscat episcopum, vel recipiat quos ille ordinaverit.

Νικοπολίταις πρεσβυτέροις.

1. Καὶ ἐπιστείλαντες ἡμῖν καλῶς (13) ἐποιήσατε, καὶ διὰ τοιούτου ἀνδρὸς ἐπιστείλαντες, ὃς καὶ ἄνευ γραμμάτων ἐξήρκεσεν ἂν ἡμῖν τήν τε ἐπὶ ταῖς φροντίσι παραμυθίαν ἱκανὴν παρασχεῖν, καὶ διδασκαλίαν ἀκριβῆ τῶν πραγμάτων ποιήσασθαι. Πολλὰ γὰρ ἦν ἃ ἐπεζητοῦμεν παρὰ τοῦ σαφέστατα ἐπισταμένου μαθεῖν, διὰ τὸ τὰς φήμας πεπλανημένως πρὸς ἡμᾶς διαβαίνειν, ἃ πάντα (14) εὐσταθῶς καὶ ἐμπείρως διηγήσατο ἡμῖν ὁ ποθεινότατος καὶ τιμιώτατος ἀδελφὸς ἡμῶν Θεοδόσιος ὁ συμπρεσβύτερος. Ἃ τοί-

Nicopolitanis presbyteris.

1. Recte fecistis, et quod scripseritis, et quod per talem virum scripseritis, qui etiam sine litteris potuisset nobis et idoneum in sollicitudinibus solatium præstare, et accurate de rebus edocere. D Multa enim erant, quæ avebamus ex aliquo accuratissime sciente cognoscere, propterea quod rumores vagi apud nos spargerentur; sed omnia constanter ac perite exposuit nobis optatissimus ac reverendissimus frater noster Theodosius compresbyter. Itaque quæ mihi ipse suadeo, hæc

(9) Ὁ *ἀδελφός*. Editi addunt ἡμῶν, quod deest in sex mss.

(10) *Σαγκτισσίμῳ*. Ita Harl., Vat., Regius uterque et Coisl. secundus. Editi. Σαγκτησίμῳ. Paulo post editi ἐὰν σὺ δέ. Deest pronomen in septem mss. In editionibus Bag. et Froben. ἃ deest etiam alia vocula. Paulo post Medicæus codex συνεπιστέλλουσι.

(11) *Λίσσεσθαι*. Citat Basilius ex *Iliad*. ι, versus 695 et 696.

(12) *Μανθάνοιεν*. Ita quinque nostri codices optimæ notæ. Editi μάθοιεν.

(13) *Καλῶς*. Ita sex mss. Editi καλόν. Paulo post Coisl. primus et Med. ἐπιζητοῦμεν.

(14) Ἃ *πάντα*. Coisl. primus et Med. πάντα. Nec longe iidem codices παρόντα βίον. Sic videtur legisse Sculletus. Vertit enim *in præsenti vita*. Unde vapulat Combefisio. Sed non vidit Combefisius βίον sive *vitam* hoc loco et pluribus aliis idem ac *sæculum* sonare.

* Alias CXCII. Scripta anno 376.

etiam ad vestram pietatem scribo: multis jam eadem ac vobis contigisse; ac non solum hac ætate, sed præterito etiam tempore innumera ejusmodi exempla, partim historiarum monumentis consignata, partim nobis non scripta recordatione a peritis tradita fuisse, quemadmodum viritim et oppidatim tentationes pro nomine Domini corripuerint eos, qui in ipsum sperabant. Sed tamen præterierunt omnia, nec ærumna prorsus ulla perpetuam habet molestiam. Quemadmodum enim grandines, torrentesque et quæcunque mala casu accidunt, mollibus quidem facile nocent ac ea vastant; sed si in duriora incidant, patiuntur aliquid potius quam lædunt: ita et vehementes tentationes in Ecclesiam concitatæ, imbecilliores fidei in Christum firmitate deprehensæ sunt. Quemadmodum ergo grandinis nubes præteriit, et torrens alveum præterfluxit (illa enim in serenitatem dissoluta; hic vero evanuit in profundum, viam, qua effluxit, siccam et aridam relinquens); ita et nunc ingruentes nobis procellæ paulo post non erunt. Tantummodo in animum inducamus non ad præsentia respicere, sed paulo remotiora spe intueri.

2. Sive igitur, fratres, gravis tentatio; labores ac difficultates perferamus; nemo enim non percussus in certamine, nec pulvere aspersus, coronatur; sive levia hæc diaboli ludibria, et qui in nos sunt immissi, molesti quidem sunt, eo quod ejus sint ministri, contemnendi tamen, quia Deus illorum nequitiæ debilitatem junxit; caveamus ne ob magnos in parvis incommodis ejulatus condemnemur. Unum enim dolore dignum, illius ipsius pernicies, qui se ob temporariam gloriam (si tamen gloria dicenda, palam se dedecorare) æterno justorum honore spoliavit. Filii confessorum, filii estis martyrum, qui ad sanguinem usque peccato restiterunt. Domesticis utatur quisque exemplis ad robur pro pietate ostendendum. Nemo nostrum plagis dilaniatus est: **370** nullius ædes publicatæ sunt; exsules non fuimus; carceres experti non sumus. Quidnam mali nobis accidit? nisi forte hoc sit molestum, quod nihil perpessi sumus, neque digni habiti, qui pro Christo pateremur [80]. Sin autem quod ille domum occupat precationis, vos autem sub dio adoratis cœli et terræ Dominum, id vos angit, cogitate, undecim discipulos in cœnaculo conclusos fuisse, tum cum ii, qui Dominum crucifixerant, in celeberrimo tem-

A νυν ἑαυτοῖς συμβουλεύομεν (15), ταῦτα καὶ πρὸς τὴν ὑμετέραν εὐλάβειαν γράφομεν· ὅτι πολλοῖς συνέβη ταῦτα, ἃ καὶ ὑμῖν· καὶ οὐ κατὰ τὸν παρόντα καιρὸν μόνον, ἀλλὰ καὶ ἐν τῷ παρελθόντι χρόνῳ μυρία τῶν τοιούτων τὰ ὑποδείγματα· τὰ μὲν ἐγγράφως αἱ ἱστορίαι καταλελοίπασι, τὰ δὲ τῇ ἀγράφῳ μνήμῃ παρὰ τῶν εἰδότων διεδεξάμεθα· ὅτι καὶ κατὰ ἄνδρα ἕκαστον, καὶ κατὰ πόλεις πειρασμοὶ περιέσχον ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου τοὺς εἰς αὐτὸν ἠλπικότας. Ἀλλ' ὅμως παρῆλθε πάντα, καὶ οὐδὲν τῶν σκυθρωπῶν ἀθάνατον ἔσχε τὸ λυπηρόν. Ὡς γὰρ (16) αἱ χάλαζαι, καὶ οἱ χείμαῤῥοι, καὶ ὅσα τῶν κακῶν αὐτοσχέδια, τὰ μὲν μαλακὰ ῥᾳδίως ἔβλαψε καὶ διελυμήνατο, τοῖς δὲ ἀντιτύποις περιτυχόντα ἔπαθέ τι μᾶλλον ἢ ἔδρασεν· οὕτω καὶ οἱ B λάβροι κατὰ τῆς Ἐκκλησίας πειρασμοὶ κινηθέντες ἀσθενέστεροι τοῦ στερεώματος τῆς εἰς Χριστὸν πίστεως διεδείχθησαν. Ὡς οὖν παρῆλθε τῆς χαλάζης τὸ νέφος, καὶ παρεῤῥύη τὴν χαράδραν ὁ χείμαῤῥος (τὸ μὲν γὰρ εἰς αἰθρίαν διελύθη, ὁ δὲ ἐνηφανίσθη τῷ βυθῷ, ξηρὰν καὶ ἄνικμον τὴν ὁδὸν δι' ἧς ἐῤῥύη καταλιπών)· οὕτω καὶ τὰ νῦν ἡμᾶς χειμάζοντα μικρὸν ὕστερον οὐκ ἔσται. Μόνον ἐὰν καταδεξώμεθα μὴ τὸ παρὸν ὁρᾷν, ἀλλὰ τοῖς μικρὸν ποῤῥωτέρῳ ταῖς ἐλπίσιν ἐνατενίζειν.

2. Εἴτε οὖν βαρὺς ὁ πειρασμὸς, ἀδελφοὶ, ὑπομείνωμεν τὰ ἐπίπονα· οὐδεὶς γὰρ μὴ πληγεὶς ἐν ἀγῶσι, μηδὲ κονισάμενος, στεφανοῦται· εἴτε κοῦφα ταῦτα τοῦ διαβόλου τὰ παίγνια, καὶ οἱ ἐπιπεμφθέντες ἡμῖν, ὀχληροὶ μὲν, διότι τούτου (17) εἰσὶν ὑπ- C ηρέται, εὐκαταφρόνητοι δὲ, ὅτι τῇ πονηρίᾳ αὐτῶν ὁ Θεὸς ἀδυναμίαν συνῆψε· φυλαξώμεθα τὴν κατάγνωσιν, ὡς ἐπὶ μικροῖς παθήμασι μεγάλα ὀδυρόμενοι. Ἓν γάρ ἐστιν ὀδύνης ἄξιον, ἡ αὐτοῦ ἐκείνου ἀπώλεια, τοῦ τῆς προσκαίρου ἕνεκεν δόξης (εἴπερ οὖν δόξαν χρὴ λέγειν τὸ δημοσίᾳ ἀσχημονεῖν) τῆς αἰωνίας τῶν δικαίων τιμῆς ἑαυτὸν ἀποστερήσαντος. Τέκνα ὁμολογητῶν, καὶ τέκνα μαρτύρων ἐστὲ, τῶν μέχρις αἵματος ἀντικαταστάντων πρὸς τὴν ἁμαρτίαν. Τοῖς οἰκείοις ἕκαστος χρησάσθω ὑποδείγμασι πρὸς τὴν ὑπὲρ τῆς εὐσεβείας ἔνστασιν (18). Οὐδεὶς ἡμῶν (19) πληγαῖς κατεξάνθη, οὐδενὸς οἶκος ἐδημεύθη· οὐ τὴν ὑπερορίαν ᾠκήσαμεν, οὐ δεσμωτήριον ἐγνωρίσαμεν. Τί πεπόνθαμεν δεινόν; εἰ μὴ τάχα τοῦτο λυπηρὸν, ὅτι D μηδὲν πεπόνθαμεν, μηδὲ ἐνομίσθημεν ἄξιοι τῶν ὑπὲρ Χριστοῦ παθημάτων. Εἰ δὲ ὅτι ὁ δεῖνα τὸν οἶκον κατέχει τῆς προσευχῆς, ὑμεῖς δὲ ἐν τῷ ὑπαίθρῳ προσκυνεῖτε τὸν οὐρανοῦ καὶ γῆς Δεσπότην, τοῦτο ὑμᾶς ἀνιᾷ, ἐνθυμήθητε (20), ὅτι οἱ μὲν ἕνδεκα μαθηταὶ ἐν τῷ ὑπερῴῳ ἦσαν ἀποκεκλεισμένοι, οἱ

[80] Act. v, 41.

(15) *Συμβουλεύομεν*. Codex Med. βουλεύομεν.

(16) *Ὡς γάρ*. Posterior vocula addita ex Reg. secundo et Coisl. secundo. Illud autem ὅσα τῶν κακῶν αὐτοσχέδια interpretandum putat Combefisius, *quæcunque mala subito accidunt*, sed mihi videtur Basilius ea αὐτοσχέδια vocare, ut opponantur iis, quæ hominum malitia inferuntur.

(17) *Διότι τούτου*. Med. διότι τοιοῦτοι. Tres alii codices διότι τοιούτου.

(18) *Ἔνστασιν*. Male Combefisius vertendum pronuntiat, *adversus vim*, quæ pietati infertur.

(19) *Ἡμῶν*. In tota hac verborum complexione primam personam apposuimus, quia sic reperimus in sex mss. codicibus. Editi ὑμῶν, et sic deinceps ᾠκήσατε... ἐνομίσθητε.

(20) *Ἐνθυμήθητε*. Editi apponunt hic ἀδελφοί. Sed ea vox deest in sex codicibus mss.

δὲ σταυρώσαντες τὸν Κύριον ἐν τῷ περιβοήτῳ ναῷ τὴν Ἰουδαϊκὴν λατρείαν ἐπλήρουν. Ἰούδας γάρ, τὸν δι' ἀγχόνης θάνατον τοῦ μετ' αἰσχύνης ζῆν προτιμήσας, ἔδειξε τάχα τῶν νῦν ἀπερυθριασάντων (21) πρὸς πᾶσαν ἀνθρώπων κατάγνωσιν, καὶ διὰ τοῦτο ἀναιδῶς πρὸς τὰ αἰσχρὰ διακειμένων, ἑαυτὸν αἱρετώτερον.

3. Μόνον μὴ ἐξαπατηθῆτε ταῖς ψευδολογίαις αὐτῶν (22) ἐπαγγελλομένων ὀρθότητα πίστεως. Χριστέμποροι γὰρ οἱ τοιοῦτοι, καὶ οὐ Χριστιανοί, τὸ ἀεὶ αὐτοῖς κατὰ τὸν βίον τοῦτον λυσιτελοῦν τοῦ κατ' ἀλήθειαν ζῆν προτιμῶντες. Ὅτε ἐνόμισαν κτᾶσθαι τὴν κενὴν ταύτην ἀρχήν, προσέθεντο τοῖς ἐχθροῖς τοῦ Χριστοῦ· ὅτε εἶδον τοὺς λαοὺς ἀγριαίνοντας, σχηματίζονται πάλιν τὴν ὀρθότητα. Οὐκ οἶδα ἐπίσκοπον, μηδὲ ἀριθμήσαιμι ἐν ἱερεῦσι Χριστοῦ τὸν παρὰ τῶν βεβήλων χειρῶν ἐπὶ καταλύσει τῆς πίστεως εἰς προστασίαν προβεβλημένον. Αὕτη ἐστὶν ἡ ἐμὴ κρίσις. Ὑμεῖς δὲ εἴ τινα ἔχετε μεθ' ἡμῶν μερίδα, ταυτὰ ἡμῖν φρονήσετε δηλονότι· εἰ δὲ ἐφ' ἑαυτῶν (23) βουλεύεσθε, τῆς ἰδίας γνώμης ἕκαστος κύριός ἐστιν, ἡμεῖς ἀθῷοι ἀπὸ τοῦ αἵματος τούτου. Ταῦτα δὲ ἔγραψα, οὐχ ὑμῖν ἀπιστῶν, ἀλλὰ τό τινων ἀμφίβολον στηρίζων ἐκ τοῦ γνωρίσαι τὴν ἐμαυτοῦ γνώμην, ὡς μὴ προληφθῆναί (24) τινα εἰς κοινωνίαν, μηδὲ τῆς χειρὸς αὐτῶν ἐπιβολὴν δεξαμένους, μετὰ ταῦτα εἰρήνης γενομένης, βιάζεσθαι ἑαυτοὺς ἐναριθμεῖν τῷ ἱερατικῷ πληρώματι. Πάντα τὸν κλῆρον, τόν τε κατὰ τὴν πόλιν, καὶ τὸν ἐπὶ τῆς παροικίας, μετὰ παντὸς τοῦ λαοῦ τοῦ φοβουμένου τὸν Κύριον, ἀσπαζόμεθα δι' ὑμῶν (25).

A plo cultum Judaicum adimplerent. Judas enim qui suspendio interire maluit, quam cum dedecore vivere, forsitan iis qui nunc ad omnem hominum condemnationem sine rubore sese obfirmant, et idcirco impudentiam ad turpia præ se ferunt meliorem se exhibuit.

3. Tantum ne decipiamini illorum mendaciis, dum rectam fidem præ se ferunt. Christi enim mercatores ejusmodi homines, non Christiani; semper id, quod ipsis in hac vita utile est, vitæ ad veritatem accommodatæ anteponentes. Cum speraverunt adepturos se inanem illum principatum, adjunxerunt se inimicis Christi: ubi populos ira efferatos vident, rursus rectam fidem simulant. Non agnosco episcopum, nec numerarim inter B Christi sacerdotes eum qui a profanis manibus ad eversionem fidei principatum accepit. Hoc meum est judicium. Vos autem si quam partem mecum habetis, eadem utique ac ego, sentietis: sin autem vobis ipsi seorsum consilium capitis, suæ quisque sententiæ dominus est, nos ab hoc sanguine insontes sumus. Hæc autem scripsi, non quod vobis diffidam, sed ut nonnullorum dubitationem significatione meæ sententiæ confirmem, ne qui communione præoccupentur, neve, accepta ab eis manus impositione, postea pace reddita, vim faciant, ut in sacrato cœtu recenseantur. Clerum omnem tum qui in urbe, tum qui in parœcia una cum omni populo Dominum timente per vos salutamus

ΕΠΙΣΤΟΛΗ ΣΜΑʹ.

EPISTOLA CCXLI *.

Rationem reddit Basilius, cur sæpe in litteris res molestas Eusebio nuntiet, nempe ut se ipse sublevet gemendo, et Eusebium ad intentiorem pro Ecclesia precem excitet.

Εὐσεβίῳ, ἐπισκόπῳ Σαμοσάτων.

Οὐχ ὥστε πλείους ποιῆσαι τὰς ἀθυμίας, τῶν δυσχερῶν πολλάκις ἐν τοῖς πρὸς τὴν τιμιότητά σου γράμμασιν οὐ φειδόμεθα, ἀλλ' ὥστε ἑαυτοῖς τέ τινα (26) παραμυθίαν δοῦναι διὰ τῶν στεναγμῶν, οἵ πεφύκασί πως τὸ ἐν τῷ βάθει ἀλγεινὸν διαφορεῖν, ὅταν γίνωνται· καὶ τὴν σὴν μεγαλόνοιαν πρὸς ἐκτενεστέραν τὴν ὑπὲρ τῶν Ἐκκλησιῶν εὐχὴν παρορμῆσαι. Ἐπεὶ καὶ Μωϋσῆς ηὔχετο μὲν ἀεὶ ὑπὲρ τοῦ λαοῦ δηλονότι· ὅτε μέντοι πρὸς τὸν Ἀμαλὴκ ἀγὼν αὐτῷ συνειστήκει, οὐ καθῆκε τὰς χεῖρας ἐξ ἕω μέχρις ἑσπέρας· ἀλλ' ἡ ἔκτασις τῶν χειρῶν τοῦ ἁγίου τῷ τέλει τῆς μάχης συναπηρτίζετο.

Eusebio, episcopo Samosatorum.

C Non ut mœrorem augeam, sæpe rerum molestarum in datis ad tuam dignitatem litteris non parce memini, sed ut et mihi ipse solatium feram per gemitus, qui solent quodammodo intimum dolorem dissolvere, dum erumpunt; et magnum animum tuum ad intentiorem pro Ecclesiis precem excitem. Nam et Moses semper quidem pro populo orabat: at cum pugnam cum Amalec committeret, non remisit manus ab aurora ad vesperam [31]; sed sancti manuum extensio non alio, quam pugna, terminata est fine.

[31] Exod. XVII, 12.

(21) *Ἀπερυθριασάντων.* Ita mss. quinque. Editi ἀπερυθριαζόντων.

(22) *Αὐτῶν.* Ita iidem sex mss. Editi ἀνθρώπων.

(23) *Ἐφ' ἑαυτῶν.* Ita Coisl. primus cum tribus aliis. Editi ἀφ' ἑαυτῶν.

(24) *Μὴ προληφθῆναί τινα.* Paris. et Reg. secundus μὴ προληφθῆναί τινας. Ibidem editi χειρὸς αὐ- D τοῦ. Coisl. uterque et Regius uterque ut in textu.

(25) *Δι' ὑμῶν.* Med., Coisl. uterque et Reg. secundus διὰ σοῦ.

(26) *Ἑαυτοῖς τέ τινα.* Coisl. secundus et Reg. secundus τινὰ ἑαυτοῖς. Harl. αὐτοῖς.

* Alias CCXL. Scripta anno 376.

371 EPISTOLA CCXLII *.

Orientales inter molestissimas procellas spem suam in Deo collocant; mirantur nihil adhuc auxilii ab Occidentalibus venisse; brevi malorum suorum descriptione conantur eos ad opem ferendam excitare.

Occidentalibus.

1. Cum Deus sanctus exitum ex omni afflictione his, qui in ipsum sperant, promiserit, quamvis in medio malorum pelago deprehensi simus, ac procellis, quæ a spiritibus nequitiæ in nos excitatæ sunt, probemur; tamen resistimus in Christo nos corroborante, nec dissolvimus vigorem nostri in Ecclesias studii, neque veluti fluctibus in tempestate prævalentibus salutem desperantes, interitum exspectamus : sed adhuc quantum possumus, studium retinemus, haud nescii eum etiam qui a ceto voratus fuerat, eo quod de se non desperaverit, sed clamaverit ad Dominum, salutem esse consecutum. Ita sane et ipsi in extremum collapsi malorum, spem in Domino collocare non desinimus : sed undique illius opem circumspicimus. Unde ad vos quoque, fratres nobis perquam colendi, nunc respeximus, quos sæpe quidem ærumnarum tempore nobis in conspectum prodituros speravimus : sed ea spe dejecti, nos etiam diximus ad nosmetipsos : *Exspectavi, qui simul contristaretur, et non fuit; et qui consolaretur, et non inveni* [82]. Sunt enim ejusmodi calamitates nostræ, ut ad vestri etiam orbis terminos pervenerint; et quoniam patiente uno membro, patiuntur simul membra omnia [83], decebat sane ut nobiscum, jam diu laborantibus, misericordia vestra simul doleret. Non enim locorum vicinitas, sed spiritus conjunctio necessitudinem facere solet, quam quidem nobis cum vestra dilectione intercedere credimus.

2. Qui fit igitur, ut non litteræ consolationis, non fratrum visitatio, non aliud quidquam eorum, quæ nobis ex dilectionis lege debentur, evenerit? Jam enim annus decimus tertius est, ex quo hæreticum in nos bellum exortum est; in quo plures evenerunt Ecclesiis afflictiones, quam evenisse memorantur, ex quo Evangelium Christi annuntiatur. Quas quidem singulas recensere vobis nolumus, ne sermonis nostri debilitas malorum evidentiam enervet : simul etiam non existimamus

ΕΠΙΣΤΟΛΗ ΣΜΒ.

Τοῖς δυτικοῖς (27).

1. Θεοῦ τοῦ ἁγίου τὴν ἐκ πάσης θλίψεως διέξοδον τοῖς ἐλπίζουσιν ἐπ' αὐτὸν ὑποσχομένου, εἰ καὶ ἐν μέσῳ πελάγει κακῶν ἀπελήφθημεν (28), καὶ τρικυμίαις παρὰ τῶν πνευμάτων τῆς πονηρίας ἐγειρομέναις (29) ἡμῖν βασανιζόμεθα, ὅμως ἀντέχομεν ἐν τῷ ἐνδυναμοῦντι ἡμᾶς Χριστῷ, καὶ οὐ παρελύσαμεν τὸν τόνον τῆς ὑπὲρ τῶν Ἐκκλησιῶν σπουδῆς, οὐδὲ, ὥσπερ ἐν χειμῶνι τοῦ κλύδωνος ὑπερέχοντος ἀπογνόντες τῆς σωτηρίας, τὴν διάλυσιν ἀναμένομεν· ἀλλ' ἔτι ἐχόμεθα τῆς ἐνδεχομένης ἡμῖν σπουδῆς, εἰδότες, ὅτι καὶ ὁ καταποθεὶς ὑπὸ τοῦ κήτους, διὰ τὸ μὴ ἀπογνῶναι ἑαυτοῦ, ἀλλὰ βοῆσαι πρὸς Κύριον, τῆς σωτηρίας κατηξιώθη. Οὕτω δὴ καὶ αὐτοὶ, πρὸς ἔσχατον ἥκοντες τῶν κακῶν, τῆς εἰς Θεὸν ἐλπίδος οὐκ ἀφιέμεθα (30)· ἀλλὰ πανταχόθεν αὐτοῦ περισκοπούμεθα τὴν βοήθειαν. Ὅθεν καὶ πρὸς ὑμᾶς ἀπεβλέψαμεν νῦν, τιμιώτατοι ἡμῖν ἀδελφοὶ, οὓς πολλάκις μὲν ἐν καιρῷ τῶν θλίψεων ἐπιφανήσεσθαι ἡμῖν προσεδοκήσαμεν· ἀποπεσόντες δὲ τῆς ἐλπίδος, εἴπομεν πρὸς ἑαυτοὺς καὶ ἡμεῖς, ὅτι *Ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντα, καὶ οὐχ εὗρον*. Τοιαῦτα γὰρ ἡμῶν τὰ παθήματα, ὡς καὶ τῶν περάτων ἐφικέσθαι τῆς καθ' ἡμᾶς (31) οἰκουμένης· καὶ εἴπερ πάσχοντος μέλους ἑνὸς συμπάσχει πάντα τὰ μέλη, ἔπρεπε δήπου καὶ ἡμῖν ἐν πολλῷ χρόνῳ πεπονηκόσι συνδιατεθῆναι τὴν εὐσπλαγχνίαν ὑμῶν. Οὐ γὰρ ἡ τῶν τόπων ἐγγύτης, ἀλλ' ἡ κατὰ πνεῦμα συνάφεια ἐμποιεῖν πέφυκε τὴν οἰκείωσιν, ἣν ἡμῖν εἶναι πρὸς τὴν ἀγάπην ὑμῶν πεπιστεύκαμεν.

2. Τί δήποτε οὖν οὐ (32) γράμμα παρακλήσεως, οὐκ ἀδελφῶν ἐπίσκεψις, οὐκ ἄλλο τι τῶν ὀφειλομένων ἡμῖν παρὰ τοῦ θεσμοῦ τῆς ἀγάπης γεγένηται; Τρισκαιδέκατον γὰρ ἔτος ἐστὶν, ἀφ' οὗ ὁ αἱρετικὸς ἡμῖν πόλεμος ἐπανέστη· ἐν ᾧ πλείους γεγόνασι ταῖς Ἐκκλησίαις αἱ θλίψεις τῶν μνημονευομένων ἀφ' οὗ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ καταγγέλλεται. Ὧν τὰ καθ' ἕκαστον διηγεῖσθαι (33) ὑμῖν παραιτούμεθα, μήποτε τὸ τοῦ λόγου ἡμῶν ἀσθενὲς τὴν ἐνάργειαν (34) τῶν κακῶν ὑπεκλύσῃ· καὶ ἅμα οὐδὲ (35) ἡγούμεθα ὑμᾶς

[82] Psal. LXVIII, 25. [83] I Cor. XII, 26.

* Alias CLXXXII. Scripta anno 376.

(27) *Τοῖς δυτικοῖς*. Sic Coisl. uterque, Med., Harl. et Vat. Editi : Δυτικοῖς ἐπισκόποις ὥστε συνάρασθαι ταῖς Ἐκκλησίαις ἀνατολῆς καμνούσαις τῷ Ἀρειανικῷ διωγμῷ, *Occidentalibus episcopis ut opem ferant Ecclesiis Orientalibus Ariana persecutione vexatis.*

(28) *Ἀπελήφθημεν*. Coisl. secundus et Reg. secundus. ἀπελείφθημεν.

(29) *Ἐγειρομέναις*. Ita sex mss. Editio 1 Paris. ἐπαγειρομέναις. Coisl. primus et editio 2 Paris. ἐπεγειρομέναις.

(30) *Ἀφιέμεθα*. Harl. ἀφιστάμεθα. Ibidem editi ἐπισκοπούμεθα. Septem codices mss. ut in textu. Non multo post Harl. et alii nonnulli ὑπῆρχε.

(31) *Τῆς καθ' ἡμᾶς*. Quamvis omnes codices mss. et editi sic habeant, legendum tamen puto τῆς καθ' ὑμᾶς, ut in epistola sequenti, τῷ κρατοῦντι τῆς καθ' ὑμᾶς οἰκουμένης. *Imperatori orbis vestri.* Si Basilius dixisset τῆς καθ' ἡμᾶς οἰκουμένης, Orientem designasset : vel ergo legendum καθ' ὑμᾶς, vel simpliciter τῆς οἰκουμένης, ut in epist. 92, n. 1, ubi Orientales dicunt calamitatum suarum famam etiam ad terminos orbis pervenisse, καὶ ἐπὶ τὰ ἔσχατα τῆς οἰκουμένης.

(32) *Τί δήποτε οὖν οὐ*. Ita mss. et 2 editio Paris. Prima habet Τί δήπω οὖν γράμμα. Ibidem Harl. γράμματα.

(33) *Διηγεῖσθαι*. Med. et Coisl. primus τὰ καθ' ἕκαστα διηγήσασθαι.

(34) *Ἐνάργειαν*. Codex Harlæanus habet ἐνέργειαν.

(35) *Καὶ ἅμα οὐδέ*. Ita sex mss. Editi habent οὐδέν.

διδασκαλίας προσδεῖσθαι, τὴν ἀλήθειαν τῶν πραγμάτων πάλαι τῇ φήμῃ δεδιδαγμένους. Κεφάλαιον δὲ τοῦ κακοῦ· οἱ λαοὶ, τοὺς τῶν προσευχῶν καταλιπόντες οἴκους, ἐν ταῖς ἐρήμοις (36) συνάγονται. Θέαμα ἐλεεινὸν, γυναῖκες, καὶ παιδία, καὶ γέροντες, καὶ οἱ ἄλλως (37) ἀσθενεῖς, ἐν ὄμβροις λαβροτάτοις, καὶ νιφετοῖς καὶ ἀνέμοις καὶ παγετῷ τοῦ χειμῶνος, ὁμοίως δὲ καὶ ἐν θέρει ὑπὸ τὴν φλόγα τοῦ ἡλίου ἐν τῷ ὑπαίθρῳ ταλαιπωροῦντες. Καὶ ταῦτα πάσχουσι διὰ τὸ τῆς πονηρᾶς ζύμης Ἀρείου γενέσθαι (38) μὴ καταδέχεσθαι.

3. Πῶς ἂν ὑμῖν ταῦτα λόγος ἐναργῶς παραστήσειεν, εἰ μὴ αὐτὴ (39) ἡ πεῖρα καὶ ἡ διὰ τῶν ὀφθαλμῶν θέα κινήσειεν ὑμᾶς πρὸς συμπάθειαν; Ὥστε παρακαλοῦμεν ὑμᾶς νῦν γοῦν χεῖρα ὀρέξαι ταῖς κατὰ τὴν ἀνατολὴν Ἐκκλησίαις εἰς γόνυ κλιθείσαις ἤδη, καὶ ἀποστεῖλαί τινας τοὺς τῶν μισθῶν ὑπομιμνήσκοντας τῶν ἀποκειμένων ἐπὶ τῇ ὑπομονῇ τῶν ὑπὲρ Χριστοῦ παθημάτων. Οὐ γὰρ τοσοῦτον ὁ συνήθης λόγος ἐνεργεῖν πέφυκεν, ὅσον ἡ ξένη φωνὴ ἐμποιεῖν τὴν παράκλησιν, καὶ ταῦτα παρὰ ἀνδρῶν γινομένη πανταχοῦ (40) ἐπὶ τοῖς καλλίστοις τῇ τοῦ Θεοῦ χάριτι γνωριζομένων, ὁποίους ὑμᾶς ἡ φήμη πᾶσιν ἀνθρώποις περιαγγέλλει (41), ἀτρώτους κατὰ τὴν πίστιν διαμείναντας, ἄσυλον τὴν ἀποστολικὴν παρακαταθήκην διαφυλάξαντας. Ἀλλ' οὐχὶ καὶ τὰ ἡμέτερα τοιαῦτα· ἀλλ' ἔχομέν τινας ἐπιθυμίᾳ δόξης, καὶ τῇ μάλιστα καταστρεφούσῃ Χριστιανῶν ψυχὰς φυσιώσει, καταθαῤῥήσαντάς (42) τινων καινοτομίας ῥημάτων, ὅθεν αἱ Ἐκκλησίαι σαθρωθεῖσαι, ὥσπερ ἀγγεῖα ἀραιωθέντα, τὴν αἱρετικὴν διαφθορὰν εἰσρυεῖσαν ἐδέξαντο. Ἀλλ' ὑμεῖς, ὦ ἀγαπητοὶ ἡμῖν καὶ περιπόθητοι, γένεσθε τῶν μὲν τραυματιῶν ἰατροὶ, τῶν δὲ ὑγιαινόντων παιδοτρίβαι· τὸ μὲν νενοσηκὸς ὑγιάζοντες (43), τὸ δὲ ὑγιαῖνον ἀλείφοντες εἰς εὐσέβειαν.

A necesse esse vos docere, cum veritatem rerum jamdudum fama didiceritis. Summa autem mali hæc est: plebs relictis precum domibus, in desertis locis congregatur. Spectaculum miserabile; mulieres, pueri, senes, et qui aliter infirmi sunt, inter imbres vehementissimos, nives, ventos, hiemalem **372** glaciem, similiter quoque per æstatem inter solis ardorem sub dio misere persistunt. Atque hæc patiuntur, quod nolint pravi Arii fermenti participes fieri.

3. Quomodo hæc vobis oratio clare exprimat, nisi experientia ipsa et spectaculum rei ob oculos positæ excitet vos ad commiserationem? Obsecramus itaque, ut vel nunc tandem porrigatis manum B Orientalibus Ecclesiis jam in genua inclinatis, et mittatis, qui admoneant de reservatis ob mala pro Christo tolerata præmiis. Non enim tantum consueta oratio efficere, quantum peregrina vox solet afferre solatii, præsertim ab hominibus veniens ubique præclarissimam in partem Dei gratia cognitis, quales vos fama omnibus hominibus annuntiat, ut qui permanseritis fide illæsi, apostolicumque depositum inviolabile servaveritis. At non ita res nostræ se habent: sed apud nos sunt qui gloriæ desiderio, et maxime evertente animas Christianorum tumore, effutierunt quorumdam novitatem verborum: unde Ecclesiæ quassatæ, quasi vasa quædam luxata, influentem hæreticam C corruptelam receperunt. Sed vos, o dilectissimi nobis ac optatissimi, sauciorum quidem sitis medici, sanorum vero hortatores; quod ægrotum est ad sanitatem revocantes, et quod sanum incitantes ad pietatem.

ΕΠΙΣΤΟΛΗ ΣΜΓ'.

EPISTOLA CCXLIII'.

Occidentalium opem implorat Basilius ac non solum Orientis malorum descriptione eos tangere conatur, sed etiam periculum esse docet ne incendium Occidentem pervadat; unde quanta sit blasphemiæ impietas et licentia exponit. Legatus missus Dorotheus, cum episcopis ob metum hostium abesse non liceret.

Πρὸς Ἰταλοὺς (44) καὶ Γάλλους ἐπισκόπους, περὶ τῆς καταστάσεως καὶ συγχύσεως τῶν Ἐκκλησιῶν.

1. Τοῖς ὡς ἀληθῶς θεοφιλεστάτοις καὶ ποθεινοτάτοις ἀδελφοῖς καὶ ὁμοψύχοις συλλειτουργοῖς, τοῖς κατὰ τὴν Γαλλίαν καὶ Ἰταλίαν ἐπισκόποις, Βασίλειος

Ad episcopos Italos et Gallos, de perturbatione ac confusione Ecclesiarum.

1. Vere religiosissimis ac charissimis fratribus D et unanimis comministris Galliæ et Italiæ episcopis, Basilius Cæsareæ Cappadociæ episcopus. Do-

(36) *Ἐρήμοις*. Med. et Coisl. primus ἐρημίαις.

(37) *Οἱ ἄλλως*. Med. et Coisl. primus οἱ ἄλλοι. *Et alii infirmi*. Paulo post editi ἐν νιφετοῖς. Deest præpositio in mss. codicibus.

(38) *Γενέσθαι*. Codex Bigotianus a Combefisio citatus et Paris. secunda manu habent γεύεσθαι, *quod nolint pravum Arii fermentum gustare*. Sed simili sensu Basilius in epist. 250: Σύγγνωθι ἡμῖν μὴ καταδεχομένοις τῆς ζύμης γενέσθαι τῶν ἑτεροδιδασκαλούντων, *Ignosce nobis, si committere nolimus, ut fermenti eorum, qui aliter docent, participes simus*.

(39) *Εἰ μὴ αὐτή*. Coisl. primus et Med. ἐὰν μὴ αὐτή.

(40) *Πανταχοῦ*. Deest in Harl., Vat., Reg. secundo, Coisl. secundo et altero Bigot.

(41) *Περιαγγέλλει*. Ita Harl., Coisl. uterque et Regius uterque. Editi παραγγέλλει.

(42) *Καταθαῤῥήσαντας*. Harl. et Reg. uterque et Bigot. καταθαρσήσαντας. Infra editi ὡς ἀγαπητοὶ et τραυμάτων. Codices mss. summo consensu, ut in textu.

(43) *Ὑγιάζοντες*. Coisl. primus ὑγιαίνοντες et πρὸς εὐσέβειαν.

(44) *Πρὸς Ἰταλούς*, etc. Hunc titulum desumpsimus ex codicibus Harl., Med. et Coisl. primo. In editis tituli loco apposita fuerant hæc verba τοῖς ὡς ἀληθῶς, etc., quæ cum ipso contextu epistolæ conjuncta sunt in tribus prædictis codicibus.

' Alias LXX. Scripta anno 376.

minus noster Jesus Christus, cum suum ipsius corpus dignatus sit appellare universam Dei Ecclesiam, nosque sigillatim aliorum invicem membra effecerit, dedit et nobis omnibus ad omnes necessitudinem habere secundum membrorum concordiam. Quapropter, etsi quam longissime ab invicem sejuncti sumus habitationibus, at, conjunctionis habita ratione, vicini inter nos sumus. Quoniam igitur non potest caput pedibus dicere : Opus vobis non habeo [84]; nec vos profecto committetis, ut nos velut alienos rejiciatis, sed tantum dolebitis ex ærumnis nostris, quibus traditi sumus ob nostra peccata, quantum nos vobiscum lætamur, qui in pace vobis a Domino data gloriam habetis. **373** Jam quidem et alias clamavimus ad dilectionem vestram, ut nobis opem et commiserationem impenderetis : sed profecto, quia non impleta erat vindicta, concessum vobis non fuit ad auxiliandum exsuscitari. Illud enim maxime exquirimus, ut ipsi quoque orbis vestri imperatori vestræ pietatis opera innotescat rerum nostrarum perturbatio; aut si id difficile fuerit, saltem a vobis veniant, qui visitent et consolentur afflictos, ut oculis suis subjiciant Orientis miserias, quæ nequeunt auribus accipi, quia nulla invenitur oratio, quæ res nostras clare vobis exprimat.

2. Persecutio apprehendit nos, fratres in primis colendi, et persecutionum sævissima. Nam abiguntur pastores, ut greges dispergantur. Et quod gravissimum est, nec qui vexantur, mala in martyrii fiducia perferunt, neque plebs in martyrum loco athletas colit, quia Christianorum nomine persecutores ornati sunt. Unum crimen est, quod nunc vehementer punitur, accurata custodia paternarum traditionum. Eam ob causam patria expelluntur pii; in desertas regiones transferuntur. Non canities apud judices iniquitatis reverentiam habet, non

A ἐπίσκοπος Καισαρείας τῆς Καππαδοκίας. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, σῶμα ἑαυτοῦ καταδεξάμενος ὀνομάσαι τὴν πᾶσαν τοῦ Θεοῦ Ἐκκλησίαν, καὶ τοὺς καθ' ἕνα ἡμῶν ἀλλήλων ἀποδείξας μέλη, ἔδωκε καὶ ἡμῖν πᾶσι πρὸς πάντας ἔχειν οἰκείως, κατὰ τὴν τῶν μελῶν συμφωνίαν. Διόπερ εἰ καὶ πλεῖστον ἀλλήλων διωρίσμεθα ταῖς οἰκήσεσιν, ἀλλὰ τῷ γε λόγῳ τῆς συναφείας ἐγγὺς ἀλλήλων ἐσμέν. Ἐπεὶ οὖν οὐ δύναται ἡ κεφαλὴ τοῖς ποσὶν εἰπεῖν, Χρείαν ὑμῶν οὐκ ἔχω, πάντως οὐδὲ ὑμεῖς ἀνέξεσθε ἀποποιήσασθαι ἡμᾶς, ἀλλὰ τοσοῦτον συμπαθήσετε ἡμῶν ταῖς θλίψεσιν αἷς παρεδόθημεν διὰ τὰς ἁμαρτίας ἡμῶν, ὅσον καὶ ἡμεῖς συγχαίρομεν ὑμῖν δοξαζομένοις ἐν τῇ εἰρήνῃ, ᾗ ἐχαρίσατο ὑμῖν ὁ Κύριος. Ἤδη μὲν οὖν καὶ ἄλλοτε ἐπεβοησάμεθα τὴν ὑμετέραν ἀγάπην εἰς B ἀντίληψιν ἡμῶν καὶ συμπάθειαν· ἀλλὰ πάντως διὰ τὸ μὴ ἀναπληρωθῆναι τὴν ἐκδίκησιν (45), οὐ συνεχωρήθητε διαναστῆναι πρὸς τὴν ἀντίληψιν. Ἐπιζητοῦμεν γὰρ μάλιστα μὲν καὶ αὐτῷ τῷ κρατοῦντι τῆς καθ' ὑμᾶς οἰκουμένης φανερὰν γενέσθαι διὰ τῆς ὑμετέρας εὐλαβείας τὴν ἡμετέραν σύγχυσιν· εἰ δὲ τοῦτο δύσκολον, ἀλλ' ἐλθεῖν τινας παρ' ὑμῶν εἰς ἐπίσκεψιν καὶ παραμυθίαν τῶν θλιβομένων, ἵν' ὀφθαλμοῖς ὑποβάλωσι (46) τὰ πάθη τῆς ἀνατολῆς, ἅπερ ἀκοαῖς ἀδύνατον παραδέξασθαι, τῷ μηδένα λόγον εὑρίσκεσθαι ἐναργῶς παριστῶντα ὑμῖν τὰ ἡμέτερα.

2. Διωγμὸς κατείληφεν ἡμᾶς, ἀδελφοὶ τιμιώτατοι, καὶ διωγμῶν ὁ βαρύτατος. Διώκονται γὰρ ποιμένες, ἵνα διασκορπισθῶσι τὰ ποίμνια. Καὶ τὸ βαρύτατον, C ὅτι οὔτε οἱ μὲν κακούμενοι (47) ἐν πληροφορίᾳ μαρτυρίου τὰ πάθη δέχονται, οὔτε οἱ λαοὶ ἐν μαρτύρων τάξει τοὺς ἀθλητὰς θεραπεύουσι, διὰ τὸ Χριστιανῶν ὄνομα τοῖς διώκουσι περικεῖσθαι. Ἓν ἐστιν ἔγκλημα νῦν σφοδρῶς ἐκδικούμενον, ἡ ἀκριβὴς τήρησις τῶν πατρικῶν παραδόσεων. Διὰ τοῦτο ἀπελαύνονται μὲν τῶν πατρίδων οἱ εὐσεβεῖς· πρὸς δὲ τὰς ἐρημίας μετοικίζονται. Οὐ πολιὰ τοῖς (48) κριταῖς τῆς ἀδι-

[84] I Cor. XII, 21.

(45) Τὴν ἐκδίκησιν. Editi addunt ἡμῶν, quod deest in tribus vetustissimis codicibus et in uno ex Regiis. Harlæani codicis non parum arridet hæc scriptura, διὰ τὸ ἀναπληρωθῆναι τὴν ἐκδίκησιν, *eo quod vindicta impleatur.*

(46) Ὑποβάλωσι. Ita Harl., Coisl. uterque et Reg. secundus. Editi ὑποβάλλωσι. In alio codice Regio, qui est 1824, legitur ὑπολάβητε. Paulo post editi παριστάντα. Septem mss. ut in textu.

(47) Οἱ μὲν κακούμενοι. Ita septem mss. Editi οἱ κακουχούμενοι. Ibidem nonnulli codices οἱ δὲ λαοὶ οὐκ ἐν, etc. Sæpe alias Basilius, dum persecutiones Orientis describit, hoc incommodum commemorat, quod non idem sit martyrii splendor ac sub ethnicis imperatoribus. Non idcirco tamen de eorum qui patiebantur merito detrahi putabat. Nam in epist. 257 testatur persecutores ipsos Christianum nomen objicere, ut adversariis martyrii existimationem eripiant, ac simpliciores hac cavillatione decipi : at revera ejusmodi persecutionis, quæ a tribulibus accidit, eo uberiora esse contendit præmia, quo et gravior et ad cavendum difficilior est, ac minus ad martyrii laudem insignis, quam si ab ethnicis excitaretur. Sic etiam Cyprianus in epistola 55 : *Nihil interest quis tradat aut sæviat, cum Deus tradi permittat quos disponit coronari. Neque enim nobis ignominia est pati a fratribus quod passus est Christus, nec illis gloria est facere quod fecerit Judas.* Idem docet concilium Sardicense in epistola ad Julium papam, et Liberius papa in epistola septima ad Dionysium, Eusebium et Luciferum in exsilio constitutos. Gregorius Nazianzenus orat. XXIII, p. 416, de D Valentis persecutione sic loquitur : Ἄρτι δὲ ὁ ἀπρεπὴς ἄρχεται, καὶ τὸ ἀμύνειν Χριστιανοῖς πρόσχημα ἔχων τῆς ἀσεβείας, τοῖς ἀληθῶς Χριστιανοῖς ἐπιφύεται· καὶ τοσοῦτον ἐκείνου χαλεπώτερος γίνεται, ὅσῳ τότε μὲν ἡ ἄθλησις περιφανεστέρα καὶ λαμπροτέρα, νῦν δὲ καὶ τὸ παθεῖν ἀφιλότιμον, παρά γε τοῖς οὐ δικαίοις τῶν παθῶν λογισταῖς· *Nunc autem turpis et indecora persecutio cooritur; quæ, Christianorum patrocinium ad defensionem impietati suæ prætexens, veros Christianos aggreditur : hoc utique nomine superiore persecutione acerbior, quod tum quidem minime dubia et obscura erat martyrum decertatio : nunc autem res eo rediit, ut cruciatus quoque ipsi laude careat, saltem apud iniquos cruciatuum judices.*

(48) Οὐ πολιὰ τοῖς. Simplicior hæc scriptura codicum Harl. et Coisl. primi, quam vulgata οὐ πολιὰ παρὰ τοῖς.

κίας αἰδέσιμος, οὐκ ἄσκησις εὐσεβείας, οὐ πολιτεία κατὰ τὸ Εὐαγγέλιον ἐκ νεότητος εἰς γῆρας διανυσθεῖσα. Ἀλλὰ κακοῦργος μὲν οὐδεὶς ἄνευ ἐλέγχων καταδικάζεται· ἐπίσκοποι δὲ ἀπὸ μόνης (49) συκοφαντίας ἑάλωσαν, καὶ μηδεμιᾶς ἀποδείξεως τοῖς ἐγκλήμασιν ἐπενεχθείσης ταῖς τιμωρίαις ἐκδίδονται. Τινὲς δὲ οὔτε ἐγνώρισαν (50) κατηγόρους, οὔτε εἶδον δικαστήρια, οὔτε ἐσυκοφαντήθησαν τὴν ἀρχὴν, ἀλλ' ἀωρὶ τῶν νυκτῶν βιαίως ἀναρπασθέντες εἰς τὴν ὑπερορίαν ἐφυγαδεύθησαν, ταῖς ἐκ τῆς ἐρημίας κακοπαθείαις παραδοθέντες εἰς θάνατον. Τὰ δὲ τούτοις ἑπόμενα γνώριμα παντὶ, κἂν ἡμεῖς σιωπήσωμεν· φυγαὶ πρεσβυτέρων, φυγαὶ διακόνων, καὶ παντὸς τοῦ κλήρου λεηλασία (51). Ἀνάγκη γὰρ ἢ προσκυνῆσαι τῇ εἰκόνι, ἢ τῇ πονηρᾷ φλογὶ τῶν μαστίγων παραδοθῆναι. Στεναγμοὶ (52) λαῶν, δάκρυον διηνεκὲς καὶ κατ' οἴκους καὶ δημοσίᾳ, πάντων πρὸς ἀλλήλους ὀδυρομένων ἃ πάσχουσιν. Οὐδεὶς γὰρ οὕτω λίθινος τὴν καρδίαν, ὥστε, πατρὸς στερηθεὶς, πράως φέρειν τὴν ὀρφανίαν. Ἦχος θρηνούντων ἐν πόλει, ἦχος ἐν ἀγροῖς, ἐν ὁδοῖς, ἐν ἐρημίαις. Μία φωνὴ ἐλεεινὰ πάντων (53) καὶ σκυθρωπὰ φθεγγομένων. Ἐξῆρται χαρὰ καὶ εὐφροσύνη πνευματική. Εἰς πένθος ἐστράφησαν ἡμῶν αἱ ἑορταί· οἶκοι προσευχῶν ἐπεκλείσθησαν· ἀργὰ τὰ θυσιαστήρια τῆς πνευματικῆς λατρείας. Οὐκέτι σύλλογοι Χριστιανῶν, οὐκέτι διδασκάλων προεδρίαι, οὐ διδάγματα σωτήρια, οὐ πανηγύρεις, οὐχ ὑμνῳδίαι νυκτεριναί, οὐ τὸ μακάριον (54) ἐκεῖνο τῶν ψυχῶν ἀγαλλίαμα, τὸ ἐπὶ ταῖς συνάξεσι καὶ τῇ κοινωνίᾳ τῶν πνευματικῶν χαρισμάτων ταῖς ψυχαῖς ἐγγινόμενον τῶν πιστευόντων εἰς Κύριον. Ἡμῖν πρέπει λέγειν, ὅτι *Οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων, οὔτε προφήτης, οὔτε ἡγούμενος, οὔτε προσφορὰ, οὔτε θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιον Κυρίου, καὶ εὑρεῖν ἔλεος.*

3. Ταῦτα εἰδόσιν ἐπιστέλλομεν, διότι οὐδὲν μέρος ἐστὶ τῆς οἰκουμένης, ὃ τὰς ἡμετέρας λοιπὸν ἠγνόησε συμφοράς. Ὥστε οὐ διδασκαλίας ἕνεκεν τοὺς λόγους τούτους ποιεῖσθαι ἡμᾶς νομίζειν προσῆκεν, οὐδὲ τοῦ (55) ὑπομνῆσαι ὑμῶν τὴν ἐμμέλειαν. Οἴδαμεν γὰρ, ὅτι οὐκ ἄν ποτε ἐπιλάθοισθε ἡμῶν, οὐ μᾶλλόν γε ἢ ἡ μήτηρ τῶν ἐκγόνων τῆς κοιλίας αὐτῆς. Ἀλλ' ἐπειδὴ οἱ περιωδυνίᾳ (56) τινὶ κατεχόμενοι διὰ τῶν στεναγμῶν κουφίζειν πως τὰς ἀλγηδόνας πεφύκασι, τοῦτο καὶ ἡμεῖς ποιοῦμεν· οἷον ἀποσκευα-

A 9. Homines vero nubibus similes sunt, quæ pro ventorum mutatione alias in aliam aeris partem feruntur. Et maxime isti, de quibus nobis sermo est, omnium, quorum periculum fecerimus, visi sunt inconstantissimi. An etiam in reliquis vitæ rebus, dixerint qui una cum ipsis vixerunt; sed quam in ipsis circa fidem inconstantiam ac levitatem perspexi, non memini me in aliis hactenus aut per meipsum vidisse aut ex aliis audivisse. Arium initio sequebantur. Ad Hermogenem postea sese transtulerunt, ex diametro inimicum perversæ Arii opinionis, ut demonstrat illa ipsa fides quæ Nicææ ab illo viro prædicata est ab initio. Obdormivit Hermogenes, et rursus ad Eusebium transierunt, coronæ Arianæ coryphæum, ut afferunt qui experti sunt. B Hinc cum excidissent ob quasvis tandem causas, iterum reversi sunt in patriam, et iterum Arianam occultabant sententiam. Promoti ad episcopatum, ut media incidam, quot fidei formulas ediderunt? Aliam Ancyræ, aliam Seleuciæ, aliam Constantinopoli, eamque celeberrimam, **382** Lampsaci aliam, posthac Nice in Thracia aliam, nunc rursus aliam Cyzici, cujus quidem reliqua ignoro, sed hoc tantum audio, eos consubstantiali prætermisso, simile secundum essentiam nunc inferre, atque una cum Eunomio blasphemias in Spiritum sanctum conscribere. Istæ autem fidei formulæ, quas recensui, etsi non omnes inter se pugnant, at certe pariter animi ostendunt inconstantiam, propterea quod nunquam iisdem in verbis permanent. C Hæc vera sunt, innumeris aliis silentio præteritis. Quoniam autem nunc etiam ad vos transierunt, rescribas velim per eumdem virum (dico autem compresbyterum nostrum Strategium), utrum idem erga nos esse pergas, an sis ex congressu alienatus. Nam nec eos verisimile est tacuisse, nec teipsum, qui talia nobis scripsisti, non etiam erga illos dicendi libertate usum fuisse. Quod si manes in nostra communione, optimum hoc et omnibus votis exoptandum. Sin autem te ad se pertraxere, triste id quidem: quidni enim fratris talis disjunctio? Sed tamen si nihil aliud, saltem in ejusmodi dispendiis ferendis abunde ab illis ipsis exercitati sumus. D

9. Ἄνθρωποι δὲ ταῖς νεφέλαις ἐοίκασι, πρὸς τὰς τῶν πνευμάτων μεταβολὰς ἄλλοτε κατ' ἄλλο μέρος τοῦ ἀέρος ἐμφερομέναις. Καὶ μάλιστα δὴ οὗτοι, περὶ ὧν ὁ λόγος, πολυτροπώτατοι τῶν εἰς ἡμετέραν πεῖραν ἡκόντων ἐφάνησαν. Εἰ μὲν καὶ εἰς τὰ λοιπὰ τοῦ βίου πράγματα, εἴποιεν ἂν οἱ συμβεβιωκότες· ὃ δ' οὖν ἐμοὶ ἐφάνη, τὸ περὶ τὴν πίστιν αὐτῶν εὐμετάθετον, οὐχ οἶδα μέχρι τοῦ νῦν ἐν ἄλλοις, οὔτε αὐτὸς ἱστορήσας, οὔτε ἀκούσας ἑτέρων. Ἀρείῳ κατηκολούθουν τὸ ἐξ ἀρχῆς· μετέθεντο πρὸς Ἑρμογένην (98), τὸν κατὰ διάμετρον ἐχθρὸν (99) ὄντα τῆς Ἀρείου κακοδοξίας, ὡς δηλοῖ αὐτὴ ἡ πίστις ἡ κατὰ Νίκαιαν παρ' ἐκείνου τοῦ ἀνδρὸς ἐκφωνηθεῖσα ἐξ ἀρχῆς. Ἐκοιμήθη Ἑρμογένης, καὶ πάλιν μετέστησαν πρὸς Εὐσέβιον, ἄνδρα κορυφαῖον τοῦ κατὰ Ἄρειον κύκλου, ὡς οἱ πειραθέντες φασίν. Ἐκεῖθεν ἐκπεσόντες δι' ἃς δήποτε αἰτίας, πάλιν ἀνέδραμον εἰς τὴν πατρίδα, καὶ πάλιν τὸ Ἀρειανὸν ὑπόκρυπτον φρόνημα. Παρελθόντες εἰς τὴν ἐπισκοπὴν, ἵνα τὰ ἐν μέσῳ παραλίπω, ὅσας ἐξέθεντο πίστεις; Ἐπ' Ἀγκύρας ἄλλην, ἑτέραν ἐν Σελευκείᾳ, ἑτέραν ἐν Κωνσταντινουπόλει, τὴν πολυθρύλλητον, ἐν Λαμψάκῳ ἑτέραν, (1) μετὰ ταῦτα τὴν ἐν Νίκῃ τῆς Θρᾴκης, νῦν πάλιν τὴν ἐν Κυζίκῳ (2)· ἧς τὰ μὲν ἄλλα οὐκ ἐπίσταμαι, τοσοῦτον δὲ ἀκούω, τὸ ὁμοούσιον κατασιγάσαντες, τὸ κατ' οὐσίαν ὅμοιον νῦν ἐπιφέρουσι (3), καὶ τὰς εἰς Πνεῦμα τὸ ἅγιον βλασφημίας μετ' Εὐνομίου συγγράφουσι. Τούτων δὲ τῶν πίστεων ἃς ἀπηριθμησάμην, εἰ καὶ μὴ πᾶσαι πρὸς ἀλλήλας ἔχουσιν ἐναντίως, ἀλλ' οὖν τὸ εὐμετάβολον τοῦ τρόπου ὁμοίως συνιστῶσι, διὰ τὸ μηδέποτε αὐτοὺς ἐπὶ τῶν αὐτῶν ἑστάναι ῥημάτων. Ταῦτά ἐστιν ἀληθῆ, μυρίων ἑτέρων ἀποσιωπηθέντων. Ἐπειδὴ δὲ καὶ πρὸς ὑμᾶς διέβησαν νῦν (4), ἀξιοῦμεν ἀντιγράψαι διὰ τοῦ αὐτοῦ ἀνδρὸς (λέγω δὲ τοῦ συμπρεσβυτέρου ἡμῶν Στρατηγίου), εἴτε ὁ αὐτὸς διέμεινας πρὸς ἡμᾶς, εἴτε καὶ ἠλλοιώθης ἀπὸ τῆς συντυχίας. Οὔτε γὰρ ἐκείνους εἰκὸς ἦν σιωπῆσαι, οὔτε αὐτὸν σὲ, τὸν ἡμῖν τοιαῦτα γράψαντα, μὴ οὐχὶ καὶ πρὸς ἐκείνους τῇ παῤῥησίᾳ χρήσασθαι. Εἰ μὲν οὖν μένοις (5) ἐν τῇ πρὸς ἡμᾶς κοινωνίᾳ, τοῦτο ἄριστον, καὶ εὐχῆς τῆς ἀνωτάτω ἄξιον· εἰ δέ σε πρὸς ἑαυτοὺς μετέθηκαν, λυπηρὸν μέν· πῶς γὰρ οὐχ ἀδελφοῦ τοιούτου χωρισμός; Πλὴν εἰ καὶ μηδὲν ἄλλο, τὸ γοῦν φέρειν τὰς τοιαύτας ζημίας παρ' αὐτῶν ἐκείνων ἱκανῶς ἐγυμνάσθημεν.

(98) *Ἑρμογένην*. Harl. Ἑρμογένη.

(99) *Ἐχθρόν*. Non male abest ea vox a codice Medicæo. Baronius ad annum Christi 325, ex his verbis, *ut demonstrat ipsa illa fides quæ Nicææ ab illo viro prædicata est ab initio*, concludit memoria lapsum esse Basilium: siquidem non Hermogenes, sed Leontius Cæsariensis episcopus interfuit concilio Nicæno. Hæc autem verba sic accipi possent, ut Hermogenes Nicænam fidem prædicasse ab initio diceretur, id est, olim, jamdudum, non multo post synodum ipsam, ut in can. 1: Ἔδοξε τοῖς ἐξ ἀρχῆς, *visum est antiquis*. Sed cogunt me assentiri Baronio quæ de eodem Hermogene leguntur in epist. 81, p. 174. Ibi enim conceptis verbis dicitur: *Magnam illam et insuperabilem fidem scripsisse in magna synodo.*

(1) Vide Addenda.

(2) *Ἐν Κυζίκῳ*. Unus codex a Combefisio citatus ἀπὸ Κυζίκου.

(3) *Ἐπιφέρουσι*. Ita Harl. et Coisl. primus. Legitur περιφέρουσι in Reg. secundo et Coisl. secundo. Editi ἐπιφέρουσιν.

(4) *Διέβησαν νῦν*. Hic virgulam apposuimus, ut in quatuor mss. invenimus, nempe Harl., Coisl. utroque et Regio secundo.

(5) *Μένοις*. Coisl. uterque et Reg. secundus μένεις.

ΕΠΙΣΤΟΛΗ ΣΜΕ'. — EPISTOLA CCXLV *.

Per Strategium respondet Theophilo Basilius ac declarat se nunquam ab eo amando discessisse, quamvis multæ doloris causæ acciderint; cæterum se cum hominibus fidem tam sæpe mutantibus communicare non posse.

Θεοφίλῳ ἐπισκόπῳ.

A Πάλαι δεξάμενος τὰ παρὰ τῆς σῆς ἀγάπης (6) γράμματα, ἀνέμενον διὰ γνησίου προσώπου ἀντεπιστεῖλαι, ἵνα καὶ ὅσα τὴν ἐπιστολὴν διαφύγῃ ὁ διάκονος τῶν γραμμάτων ἀναπληρώσῃ. Ἐπεὶ οὖν παρεγένετο ἡμῖν ὁ ποθεινότατος καὶ εὐλαβέστατος ἀδελφὸς ἡμῶν Στρατήγιος, αὐτῷ ἐνόμισα δίκαιον εἶναι χρήσασθαι διακόνῳ, τῷ καὶ εἰδότι τὴν ἡμετέραν γνώμην, καὶ δυναμένῳ γνησίως τε ἅμα καὶ εὐλαβῶς διακονῆσαι (7) τὰ παρ' ἡμῶν. Γίνωσκε τοίνυν, ποθεινότατε ἡμῖν καὶ τιμιώτατε (8), πολλοῦ ἀξίαν τίθεσθαι ἡμᾶς τὴν πρὸς σὲ ἀγάπην, ἧς, ἕνεκα μὲν τῆς κατὰ ψυχὴν διαθέσεως, οὐδεμίαν ὥραν (9) ἀπολειφθεῖσιν ἑαυτοῖς συνεγνώκαμεν, εἰ καὶ ὅτι πολλαὶ καὶ μεγάλαι λύπης εὐλόγου (10) γεγόνασιν B ἀφορμαί. Ἀλλ' οὖν ἐκρίναμεν τοῦτο, ὥσπερ ἐν τρυτάνῃ, τὰ χρηστότερα τοῖς ἀηδεστέροις ἀντιτιθέντες (11), τῇ τῶν ἀμεινόνων ῥοπῇ προσθέσθαι τὴν γνώμην (12). Ἐπειδὴ δὲ τὰ πράγματα ἠλλοιώθη παρ' ὧν ἥκιστα ἐχρῆν τοῦτο γενέσθαι, συγγίνωσκε καὶ ἡμῖν οὐχὶ τὴν γνώμην ἀλλοιωθεῖσιν, ἀλλὰ τὴν τάξιν (13) μεταθεμένοις. Μᾶλλον δὲ ἡμεῖς μὲν ἐπὶ τῆς αὐτῆς μενοῦμεν τάξεως, ἕτεροι δέ εἰσιν οἱ συνεχῶς μετατιθέμενοι, νῦν δὲ καὶ φανερῶς πρὸς τοὺς ἐναντίους αὐτομολοῦντες· ὧν ὅσου ἀξίαν ἐτιθέμεθα τὴν κοινωνίαν, ἕως ἦσαν (14) ἐπὶ τῆς ὑγιαινούσης μερίδος, οὐδὲ αὐτὸς ἀγνοεῖς. Νῦν δὲ, εἰ μήτε ἐκείνοις συνεπόμεθα, καὶ τοὺς τὰ αὐτὰ φρονοῦντας αὐτοῖς ἐκκλίνομεν, συγγνώμης ἂν δικαίως (15) τύχοιμεν, μηδὲν προτιμότερον τῆς ἀληθείας καὶ τῆς οἰκείας ἑαυτῶν ἀσφαλείας τιθέμενοι. C

Theophilo episcopo

Cum jampridem accepissem a tua dilectione litteras, exspectavi dum per idoneam personam rescriberem, ut et quidquid litteras effugisset, id minister litterarum suppleret. Cum igitur accesserit ad nos desideratissimus ac religiosissimus frater noster Strategius, æquum mihi visum est ut eo uterer ministro, quippe qui et meum animum cognitum habeat, ac possit apte simul et religiose res nostras ministrare. Scias igitur, desideratissime ac honoratissime, plurimi a me fieri charitatem mihi tecum intercedentem, a qua quidem quantum ad animi affectionem attinet, ne unam quidem horam mihi conscius sum me discessisse; quamvis multæ ac magnæ justi doloris causæ acciderint. Sed illud statuimus, velut in trutina, molestis jucunda opponentes, meliorum momento animum adjicere. Sed quia res mutatæ sunt a quibus minime oportebat id fieri, ignosce et nobis, qui non animo et sententia mutati, sed partibus transpositi sumus. Imo vero nos quidem in iisdem manebimus partibus, **383** sed alii sunt qui perpetuo transmutantur, et nunc aperte etiam ad adversarios transfugiunt. Quorum quanti fecerimus communionem, quandiu a sanis partibus stabant, ne ipse quidem ignoras. Nunc autem si neque illos sequimur, et eos qui idem ac illi sentiunt fugimus, venia sane immerito nobis denegetur, nihil antiquius veritate ac propria securitate habentibus.

ΕΠΙΣΤΟΛΗ ΣΜϚ'. — EPISTOLA CCXLVI **

Basilius Nicopolitani cleri animos erigere conatur spe divini auxilii, hortaturque ut quod hactenus docuere, opere perficiant.

Νικοπολίταις.

Ὅταν ἴδω καὶ τὸ κακὸν (16) εὐοδούμενον, καὶ τὴν ὑμετέραν εὐλάβειαν κεκμηκυῖαν καὶ ἀπαγορεύουσαν (17) πρὸς τὸ συνεχὲς τῶν ἐπηρειῶν, ἀθυμίας πληροῦμαι. Ὅταν δὲ πάλιν τὴν μεγάλην χεῖρα τοῦ Θεοῦ ἐννοήσω, καὶ ὅτι οἶδεν ἀνορθοῦν τοὺς κατεῤῥαγμένους, καὶ ἀγαπᾷν δικαίους, συντρίβειν δὲ ὑπερηφάνους, καὶ καθαιρεῖν ἀπὸ θρόνων δυνάστας·

Nicopolitanis.

Cum video et malum ad optatos exitus perduci, et vestram pietatem defatigari, animumque despondere ob continuas calamitates; mœstitia repleor. Sed rursus cum magnam Dei manum considero, eumque nosse et confractos erigere, et justos diligere, superbos vero conterere, et potentes de suis sedibus dejicere; rursus immu-

(6) *Τῆς σῆς ἀγάπης.* Nonnulli mss. ἀγάπης σου. Sed Coisl. primus et Med. consentiunt cum editis, excepto quod editi haberent ἀγάπης σῆς.

(7) *Διακονῆσαι.* Sic Med. et Coisl. primus. Editi διακομίσαι. Non exstat hæc epistola in cod. Harl.

(8) *Τιμιώτατε.* Addunt editi ἀδελφὲ Θεόφιλε. Sed hæc desunt in septem mss.

(9) *Ὥραν.* Sic Med. et Coisl. primus. Editi ἡμέραν.

(10) *Εὐλόγου.* Hanc vocem addidimus ex septem mss.

(11) *Ἀντιτιθέντες.* Ita Coisl. primus cum duobus aliis. Editi ἀντιθέντες.

(12) *Τὴν γνώμην.* Codex Medicæus τῇ γνώμῃ. Idem paulo post habet τοῦτο γίνεσθαι.

(13) *Τὴν τάξιν.* Id est, non jam sumus in partibus et communione Eustathii. Communio S. Meletii vocatur σύνταξις in epist. 214. Gregorius de monachorum cœtu, qui ab ipsius patris commu- D nione discesserat, ait, μεθαρμόζεται καὶ μετατάσσεται, orat. 3, p. 51. Basilius hom. 1 *De jejunio*, p. 8, eadem voce utitur, de eo loquens, qui relictis carnis partibus ad spiritum transit, ὁ πρὸς τὸ πνεῦμα μεταταξάμενος.

(14) *Ἕως ἦσαν.* Coisl. primus ἕως ἂν ἦσαν.

(15) *Δικαίως.* Med. et Coisl. primus δικαίας.

(16) *Καὶ τὸ κακόν.* Conjunctio addita ex Medicæo. Coisl., utroque et Regio primo. Deest hæc epistola in codice Harlæano.

(17) *Ἀπαγορεύουσαν.* Ita Coisl. uterque et Reg. uterque. Editi ἀπαγορεύσασαν.

* Alias CCCIX. Scripta anno 376.

** Alias LXVI. Scripta anno 376.

tamus spe concepta allevor : ac confido vestris A precibus futurum, ut celerem nobis Dominus pacem ostendat. Tantum ne defatigemini precando : sed quæ verbis docetis, eorum nunc opere clara omnibus studete exempla proponere.

πάλιν μεταβαλὼν κουφότερος γίνομαι ταῖς ἐλπίσι καὶ οἶδα, ὅτι διὰ τῶν προσευχῶν ὑμῶν ταχεῖαν δείξει ἡμῖν (18) ὁ Κύριος τὴν γαλήνην. Μόνον μὴ ἀποκάμητε (19) προσευχόμενοι· ἀλλ' ὧν λόγοις ἐστὲ διδάσκαλοι, τούτων ἐπὶ τοῦ παρόντος καιροῦ ἔργω πᾶσιν ἐναργῆ σπουδάσατε προθεῖναι (20) τὰ ὑποδείγματα.

EPISTOLA CCXLVII*. — ΕΠΙΣΤΟΛΗ ΣΜΖ'.

Nicopolitanos inter ærumnas spe divini auxilii consolatur, seque ait de illorum rebus cum potentioribus viris et coram et per litteras egisse.

Nicopolitanis.

Cum sanctitatis vestræ litteras legi, quantum ingemui et lamentatus sum, quod meis ipsius auribus hæc etiam mala accepissem, verbera et contumelias in vos ipsos, depopulationem ædium, ci- B vitatis vastitatem, patriæ totius eversionem, vexationem Ecclesiæ, sacerdotum expulsionem, incursionem luporum, et gregis dispersionem. Sed postquam cessavi ingemere ac lacrymari, ad Dominum, qui in cœlis est, respiciens, novi, et persuasum habeo, quod et vobis notum esse volo, celerem adfuturam opem, nec perpetuam derelictionem futuram. Quod enim passi sumus, ob peccata nostra passi sumus ; sed opem suam, ob suum in Ecclesias amorem ac misericordiam, benignus ostendet. Minime tamen omisimus et coram supplicare potentioribus viris, et ad eos qui nos in aula diligunt, scribere, ut rabidi hominis ira comprimatur. Ac fore arbitror ut a multis contemnetur, nisi forte tempus perturbationis plenum C iis, qui rem publicam gerunt, nihil ad ista otii reliquerit.

Νικοπολίταις (21).

Ὅτε ἐνέτυχον τοῖς γράμμασι τῆς ὁσιότητος ὑμῶν, ὅσον ἐστέναξα καὶ ὠδυράμην, ὅτι καὶ ταῦτα τὰ κακὰ ταῖς ἐμαυτοῦ ἀκοαῖς ὑπεδεξάμην, πληγὰς μὲν καὶ ὕβρεις εἰς ὑμᾶς αὐτούς, πόρθησιν δὲ οἴκων, καὶ ἐρήμωσιν πόλεως, καὶ πατρίδος ὅλης ἀνατροπήν, διωγμὸν Ἐκκλησίας καὶ φυγὴν ἱερέων, ἐπανάστασιν λύκων, καὶ ποιμνίων διασποράν. Ἀλλ' ἐπειδὴ ἐπαυσάμην τοῦ στεναγμοῦ καὶ τῶν δακρύων, πρὸς τὸν ἐν οὐρανοῖς Δεσπότην ἀποβλέψας, οἶδα καὶ πέπεισμαι, ὃ καὶ ὑμᾶς γινώσκειν βούλομαι, ὅτι ταχεῖα ἔσται ἡ ἀντίληψις, καὶ οὐκ εἰς τέλος ἔσται ἡ ἐγκατάλειψις. Ὃ μὲν γὰρ πεπόνθαμεν, διὰ τὰς ἁμαρτίας ἡμῶν πεπόνθαμεν· τὴν δὲ αὐτοῦ βοήθειαν διὰ τὴν περὶ τὰς Ἐκκλησίας ἑαυτοῦ ἀγάπην καὶ εὐσπλαγχνίαν ὁ φιλάνθρωπος ἐπιδείξεται. Οὐ μέντοι παρελίπομεν καὶ παρόντες (22) τοὺς ἐν δυνάμει καθικετεύοντες, καὶ ἐπὶ τοῦ στρατοπέδου τοῖς ἀγαπῶσιν ἡμᾶς ἐπιστέλλοντες ἐπισχεθῆναι τῆς ὀργῆς τὸν λυσσῶντα. Καὶ οἶμαι παρὰ πολλῶν ἥξειν αὐτῷ κατάγνωσιν, ἐὰν μὴ ἄρα ὁ καιρὸς θορύβου (23) πεπληρωμένος μηδεμίαν δῷ σχολὴν περὶ ταῦτα τοῖς ἐπὶ τῶν πραγμάτων.

384 EPISTOLA CCXLVIII*. — ΕΠΙΣΤΟΛΗ ΣΜΗ'.

Minus molestum Basilio abesse Amphilochium, eo quod absit a persecutione usque ad sanguinis effusionem sæviente. Quidam enim Asclepius ex plagis mortuus. Spem habet Basilius in Amphilochii precibus ; monet ut mittat qui librum De Spiritu sancto *ferat.*

Amphilochio, Iconii episcopo.

Ad desiderium nostrum dum respicimus, angimur quod tantopere a tua pietate simus dissiti : dum vero ad tuæ vitæ tranquillitatem, gratias ago Domino, qui tuam pietatem exemit ab hoc incendio, quod majorem in modum provinciam nostram devastavit. Dedit enim nobis secundum nostra opera justus judex angelum Satanæ, qui nos D

Ἀμφιλοχίῳ, ἐπισκόπῳ Ἰκονίου.

Ὅταν μὲν πρὸς τὴν ἡμετέραν αὐτῶν ἐπιθυμίαν ἀπίδωμεν, ἀχθόμεθα τοσοῦτον διῳκισμένοι τῆς εὐλαβείας σου· ὅταν δὲ πρὸς τὸ εἰρηνικὸν τῆς σαυτοῦ διαγωγῆς, εὐχαριστοῦμεν τῷ Κυρίῳ, τῷ ἐξελομένῳ (24) τὴν εὐλάβειάν σου ἀπὸ τοῦ ἐμπρησμοῦ τούτου, ὃς πλέον ἐπενείματο τὴν καθ' ἡμᾶς παροικίαν. Ἔδωκε γὰρ ἡμῖν κατὰ τὰ ἔργα ἡμῶν ὁ δι-

* Alias CXC. Scripta anno 376.

** Alias CCCCV. Scripta anno 376.

(18) Ἡμῖν. Ita Coisl. uterque et Reg. secundus. Editi ὑμῖν.

(19) Ἀποκάμητε. Sic Med., Coisl. uterque et Regius primus. Editi ἀποκάμοιτε.

(20) Προθεῖναι. Coisl. primus et Vat. προσθεῖναι.

(21) Νικοπολίταις. Codex Claromontanus addit πρεσβυτέροις. Qui quidem titulus confirmari potest ex codicibus Med., Coisl. primo et Regio primo, in quibus hæc epistola proxime antecedit epistolam 246 ad presbyteros cum hoc titulo scriptam, τοῖς αὐτοῖς. Unde utramque presbyteris scriptam esse colligendum esset. Sed melius codex Vaticanus, in quo hæc epistola ducentesimam trigesimam ad magistratus Nicopolitanos scriptam proxime sequitur cum hoc titulo, τοῖς αὐτοῖς, *iisdem*. Ad eosdem libentius retulerim hanc epistolam, vel ad cives. Videtur enim iisdem de rebus agere ac præcedens, quæ clericis scripta est. Præterea his verbis, *verbera et contumelias in vos ipsos, sacerdotum expulsionem*, non obscure Basilius eos, quos alloquitur, a sacerdotibus distinguit.

(22) Καὶ παρόντες. Hæc desunt in codice Mediceo.

(23) Θορύβου. Coisl. primus θορύβων.

(24) Τῷ ἐξελομένῳ. Coisl. primus ἐξελομένῳ. Med. ἐξειλαμένῳ.

καιοκρίτης ἄγγελον Σατᾶν, ἱκανῶς ἡμᾶς καταχονδυλίζοντα, καὶ σφοδρῶς μὲν ἐκδικοῦντα τὴν αἵρεσιν· μέχρι τοσούτου δὲ τὸν πρὸς ἡμᾶς ἐξαγαγόντα πόλεμον, ὥστε μηδὲ αἵματος φείσασθαι τῶν εἰς Θεὸν πεπιστευκότων. Πάντως γὰρ οὐκ ἔλαθέ σου τὴν ἀγάπην, ὅτι Ἀσκλήπιός τις, διὰ τὸ μὴ ἑλέσθαι τὴν πρὸς τὸν Δωὴκ κοινωνίαν, τυπτόμενος παρ' αὐτῶν ταῖς πληγαῖς ἐναπέθανε, μᾶλλον δὲ διὰ τῶν πληγῶν εἰς τὴν ζωὴν μετετέθη. Ἀκόλουθα δὲ ἐκείνῳ πάντα οἴου γίνεσθαι τὰ λοιπά· διωγμοὺς πρεσβυτέρων καὶ διδασκάλων, τὰ ἄλλα ὅσα ἂν ποιήσειαν ἄνθρωποι τῇ ἐκ τῆς ἀρχῆς δυναστείᾳ πρὸς τὸ ἑαυτῶν βούλημα κεχρημένοι. Ἀλλὰ τούτων μὲν τὴν λύσιν ἡμῖν ὁ Κύριος ταῖς σαῖς εὐχαῖς δώσει, καὶ τὴν ὑπομονήν· ὥστε βαστάσαι ἡμᾶς τὸ βάρος τῶν πειρασμῶν ἀξίως τῆς ἐπ' αὐτὸν ἐλπίδος· αὐτὸς δὲ καταξίου καὶ ἐπιστέλλειν ἡμῖν συνεχῶς περὶ τῶν κατὰ σεαυτόν. Κἂν εὕρῃς τινὰ τὸν πιστῶς σοι δυνάμενον διακομίσαι τὸ πονηθὲν ἡμῖν βιβλίον, καταξίωσον μεταστείλασθαι, ἵνα, τῇ σῇ ἐπικρίσει θαῤῥήσαντες, καὶ εἰς ἄλλων χεῖρας αὐτὸ διαπεμψώμεθα. Ἐῤῥωμένος, εὔθυμος τῷ Κυρίῳ, ὑπερευχόμενος (25), χαρισθείης μοι καὶ τῇ τοῦ Κυρίου Ἐκκλησίᾳ χάριτι τοῦ Ἁγίου (26).

A satis superque vexat, hæresimque acriter defendit, et bellum in nos eo perduxit, ut ne sanguini quidem pareat credentium in Deum. Nam profecto dilectionem tuam non latet, Asclepium quemdam, eo quod communionem cum Doec inire nollet, ab illis verberatum, ex plagis mortuum esse, vel potius per plagas ad vitam esse translatum. Consentanea autem huic facinori reliqua omnia esse existima, persecutiones presbyterorum ac magistrorum, et quæcunque alia fecerint homines imperii auctoritate ad suum ipsorum arbitrium abutentes. Sed horum solutionem nobis Dominus precibus tuis dabit et patientiam, ut tentationum pondus feramus, ita ut spe in ipso reposita dignum est. Ipse vero digneris ad nos B frequenter scribere de rebus tuis. Ac si reperias qui fideliter possit ad te perferre elaboratum a me librum, accersere ne graveris, ut tua approbatione confisi, in aliorum etiam manus illum transmittamus. Valens, lætus in Domino, et precans, mihi et Domini Ecclesiæ concedaris, per Sancti gratiam.

ΕΠΙΣΤΟΛΗ ΣΜΘ'.

EPISTOLA CCXLIX*.

Commendat aliquem in hac epistola Basilius, quem beatum existimat quod hisce tumultibus liberetur, et convictum cum hominibus Deum timentibus elegerit.

Ἀνεπίγραφος, ἐπ' ἀνδρὶ εὐλαβεῖ.

Συγχαίρω τῷ ἀδελφῷ τῷδε, καὶ τῶν ἐνταῦθα θορύβων ἀπαλλασσομένῳ, καὶ τὴν σὴν εὐλάβειαν καταλαμβάνοντι. Ἀγαθὸν γὰρ αὐτῷ ἐφόδιον πρὸς τὸν ἐφεξῆς αἰῶνα, τὴν μετὰ τῶν φοβουμένων τὸν Κύριον ἀγαθὴν διαγωγήν, ἐξελέξατο. Ὃν καὶ παρατιθέμεθά σου τῇ τιμιότητι, καὶ παρακαλῶ δι' αὐτοῦ εὔχεσθαι ὑπὲρ τῆς ἐλεεινῆς ἡμῶν ζωῆς, ἵνα, ῥυσθέντες τῶν πειρασμῶν τούτων, ἀρξώμεθα (27) δουλεύειν τῷ Κυρίῳ κατὰ τὸ Εὐαγγέλιον.

Sine inscriptione, viri pii causa.

C Gratulor huic fratri, quod et hisce nostris tumultibus liberetur, et pietatem tuam adeat. Nam bonum sibi viaticum ad futuram vitam, bonum cum hominibus Dominum timentibus convictum, elegit. Quem et tuæ dignitati commendo, et adhortor per eum, ut preceris pro mea miserabili vita, ut, liberatus ab his tentationibus, incipiam servire Domino secundum Evangelium.

ΕΠΙΣΤΟΛΗ ΣΝ'.

385 EPISTOLA CCL**.

Gratias agit Patrophilo Basilius, quod ad se per Strategium scripserit, et a se diligendo non discedat. Rationem reddit cur cum Eustathio communicare non possit.

Πατροφίλῳ, ἐπισκόπῳ τῆς ἐν Αἰγεαῖς Ἐκκλησίας

Ὀψὲ μὲν ἐδεξάμην τὰς ἐπὶ τοῖς προτέροις γράμμασιν ἀποκρίσεις· ἐδεξάμην δ' οὖν ὅμως διὰ τοῦ ποθεινοτάτου Στρατηγίου, καὶ εὐχαρίστησα τῷ Κυρίῳ, ὅτι διαμένεις ὁ αὐτὸς ἐν τῇ πρὸς ἡμᾶς ἀγάπῃ. Ἃ δὲ νῦν κατηξίωσας περὶ τῆς αὐτῆς ὑποθέσεως ἐπιστεῖλαι, ἀπόδειξιν ἔχει τῆς ἀγαθῆς σου προαιρέσεως· ὅτι φρονεῖς τὰ δέοντα, καὶ συμβουλεύεις ἡμῖν τὰ λυσιτελῆ. Πλὴν ἀλλ' ἐπειδὴ πάλιν ὁρῶ μακρότερόν μοι (28) τὸν λόγον γινόμενον, εἰ μέλλοιμι πρὸς ἕκαστον τῶν ἐπεσταλμένων παρὰ τῆς σῆς συνέσεως

Patrophilo, Ægeensis Ecclesiæ episcopo.

Sero quidem accepi tua prioribus litteris responsa; sed tamen accepi per optatissimum D Strategium, et gratias egi Domino, quod idem in dilectione erga nos permaneas. Quæ autem nunc dignatus es de eodem argumento scribere, demonstrationem habent bonæ tuæ voluntatis; cum sentias ea quæ decent et suadeas nobis utilia. Sed tamen quia rursus video longiorem mihi sermonem futurum, si velim unicuique eorum, quæ scripta sunt a tua prudentia, respondere : tan-

(25) *Ὑπερευχόμενος.* Codex Claromontanus addit ἡμῶν, quod non legitur in Medicæo et Coisl. primo, nec necessarium est. Alios in hanc epistolam codices non habuimus præter tres illos quos citavimus.

(26) *Χάριτι τοῦ Ἁγίου.* Hæc desunt in codice Medicæo.

(27) *Ἀρξώμεθα.* Ita Coisl. uterque, Med. et Reg. secundus. Editi ἀξιώμεθα, *ut dignus fiam qui Domino serviam.* Deest hæc epistola in codice Harlæano.

(28) *Μακρότερόν μοι.* Tres codices non antiquissimi μακρόν μοι.

* Alias CCXXXVIII. Scripta anno 376.

** Alias LXXXV. Scripta anno 376.

tum dicam, si pacis bonum solo pacis nomine circumscribitur, ridiculum esse hunc et illum eligentes, iis solis pacem impertire, alios vero innumerabiles ab illius boni communicatione excludere. Sed si cum perniciosis hominibus consensio, iis, a quibus suscipitur, sub pacis specie damnum infert hostile; considera quinam sint illi, quibus se ipsos admiscuerunt qui nos iniquo odio oderunt; quinam, inquam, sint, nisi homines ab eorum partibus stantes, qui nobiscum non communicant: neque enim nunc mihi opus est nominatim illorum meminisse. Hi et accersiti sunt ab ipsis Sebastiam, et acceperunt Ecclesiam, et sacrificaverunt in altari, et proprium panem omni distribuerunt populo, episcopi appellati apud illius loci clerum, et per omnem regionem velut sancti ab illis et communicatores deducti. Quorum si oportet amplecti partem, ridiculum est ab unguibus ordiri, et non magis cum ipsis illorum capitibus rem habere. Quod si igitur neminem oportet omnino hæreticum judicare, neque aversari, cujus rei gratia, dic, quæso, te ipse separas, et fugis nonnullorum communionem? Si vero quidam fugiendi sunt, secundum accuratæ regulæ rationem, dicant nobis hi, quorum agendi ratio in omnibus accurata est, ex qua sint parte quos ad seipsos ex Galatia accersiverunt? Ista si tibi mœrore digna videantur, eorum auctoribus imputa separationem; sin autem indifferentia judicas, ignosce nobis committere nolentibus, ut fermenti eorum, qui aliter docent, participes simus. Quare, si videbitur, speciosis illis prætermissis sermonibus, cum omni libertate eos, qui non recte ambulant in Evangelii veritate, redargue.

A ἀποκρίνεσθαι, τοσοῦτον λέγω· ὅτι, τὸ τῆς εἰρήνης καλὸν εἰ μὲν ἐν τῷ ὀνόματι τῆς εἰρήνης περιγράφεται μόνῳ, καταγέλαστόν ἐστι, τὸν δεῖνα καὶ τὸν δεῖνα ἐκλεγομένους, τούτοις μόνον μεταδιδόναι τοῦ εἰρηνεύειν (29), ἑτέρους δὲ μυρίους ἀποκλείειν τῆς πρὸς τὸ καλὸν κοινωνίας· εἰ δὲ ἡ πρὸς τοὺς βλαβεροὺς συμφωνία ἐν εἰρήνης προσχήματι τὰ τῶν πολεμίων τοὺς προσδεχομένους ἐργάζεται, σκόπει (30) τίνες εἰσὶν, οἷς ἀνέμιξαν ἑαυτοὺς, οἳ τὸ ἄδικον μῖσος ἐμίσησαν ἡμᾶς, ἀλλ' οἱ τῆς μερίδος τῶν ἀκοινωνήτων ἡμῖν· οὐδὲ γὰρ δέομαι νῦν ὀνομαστὶ μεμνῆσθαι. Οὗτοι καὶ ἐκλήθησαν παρ' αὐτῶν εἰς τὴν Σεβάστειαν, καὶ παρέλαβον τὴν Ἐκκλησίαν, καὶ ἐλειτούργησαν ἐπὶ τοῦ θυσιαστηρίου, καὶ τοῦ ἰδίου ἄρτου παντὶ μετέδωκαν τῷ λαῷ, ἐπίσκοποι κηρυσσόμενοι παρὰ τῷ ἐκεῖ B κλήρῳ, καὶ διὰ πάσης τῆς χώρας, ὡς ἅγιοι παρ' αὐτῶν καὶ κοινωνικοὶ παραπεμπόμενοι. Ὧν εἰ χρὴ ἑλέσθαι τὴν μερίδα, καταγέλαστόν ἐστιν ἐκ τῶν ὀνύχων ἄρχεσθαι, καὶ μὴ αὐταῖς αὐτῶν ταῖς κεφαλαῖς προσδιαλέγεσθαι (31). Εἰ μὲν οὖν οὐδένα δεῖ καθόλου αἱρετικὸν νομίζειν, οὐδὲ ἐκτρέπεσθαι, ἀντὶ τίνος, εἰπέ μοι, σεαυτὸν ἀφορίζεις σὺ, καὶ [illegible] τὴν τινων κοινωνίαν; εἰ δέ εἰσί τινες φευκτοὶ, κατὰ τὸν τῆς ἀκριβείας λόγον, εἰπάτωσαν ἡμῖν, οἱ πάντα ἀκριβεῖς, τῆς ποίας εἰσὶ μερίδος, οὓς ἐκ τῆς Γαλατίας πρὸς ἑαυτοὺς προσηγάγοντο (32); Ταῦτα εἰ μὲν ἄξια λύπης σοι καταφαίνεται, τοῖς αἰτίοις τούτων λογίζου τὸν χωρισμόν· εἰ δὲ ἀδιάφορα κρίνεις, σύγγνωθι (33) ἡμῖν μὴ καταδεχομένοις τῆς ζύμης γενέσθαι (34) τῶν C ἑτεροδιδασκαλούντων. Ὥστε, εἰ δοκεῖ, τῶν εὐπροσώπων ἐκείνων (35) ἀφέμενος λόγων, ἐν πάσῃ παῤῥησίᾳ ἔλεγχε τοὺς μὴ ὀρθοποδοῦντας πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου.

(29) *Εἰρηνεύειν*. Vat., Reg. secundus et Coisl. secundus εὐρηναίου [sic]. Paulo post edit. Paris. τὸ καλὸν ἐκεῖνο. Deest ultima vox in quinque nostris codicibus et in vetustis editionibus.

(30) *Σκόπει*. Ita tres vetustissimi codices. Editi σκόπησον.

(31) *Προσδιαλέγεσθαι*. Id est, si eorum, quos advocavit Eustathius, amplectenda communio; ridiculum est eorum ducibus Euzoio et Eudoxio et aliis impudentioribus Arianis eumdem honorem non habere.

(32) *Προσηγάγοντο*. Medicæus codex ἐπηγάγοντο.

(33) *Σύγγνωθι*. Coisl. secundus et Reg. secundus συγγνώσῃ. Iidem codices paulo post habent ἑτεροδιδασκόντων.

(34) *Τῆς ζύμης γενέσθαι*. Supra legebatur in epist. 242 γεύεσθαι in quodam codice ms. Sed hic nulla codicum varietas. Simillima Basilio suo disserit Gregorius in orat. XII, pag. 203, ubi declarat non omnem pacem esse amplectendam, sed ut optimam quamdam dissensionem, ita perniciosissimam quamdam esse concordiam. Deinde hanc regulam apponit, quæ cum Basilii agendi ratione mirifice congruit: Ἀλλ' οὗ μὲν ἂν ᾖ πρόδηλα τὰ τῆς ἀσεβείας, καὶ πυρὶ, καὶ σιδήρῳ, καὶ καιροῖς, καὶ δυνάσταις, καὶ πᾶσι πρότερον ὁμόσε χωρητέον, ἢ τῆς ζύμης μεθεκτέον τῆς πονηρᾶς, καὶ συγκατατιθετέον τοῖς κακῶς ἔχουσι· καὶ οὐδὲν οὕτω τῶν ἁπάντων φοβητέον, ὡς ἄλλο τι πρὸ Θεοῦ φοβηθῆναι, καὶ διὰ τοῦτο προδοῦναι περὶ τῆς πίστεως λόγους, καὶ τῆς ἀληθείας, ἀληθείᾳ δουλεύοντας· οὗ δὲ τὸ λυποῦν ὑπόνοια καὶ φόβος ἀνεξέταστος, βελτίων τοῦ τάχους ἡ μακροθυμία, καὶ τῆς αὐθαδείας ἡ συγκατάβασις. *Verum ubi aperte se prodit impietas, tum vero, nobis* D *faciendum, ut adversus ignem et ferrum, et tempora, et principes, ac denique prius adversus omnia cominus feramur, quam ut mali fermenti participes efficiamur, ac male affectis assentiamur. Nec quidquam perinde metuendum, quam ne quid magis quam Deum metuamus, ac propterea fidei et veritatis, cum veritati serviamus, doctrinam perfide deseramus. At cum suspicio sola animum nostrum male habet, timorque nullis certis argumentis innixus, tum vero lenitatem potius quam celeritatem, et indulgentem demissionem potius quam arrogantiam et contumaciam adhibere convenit.*

(35) *Ἐκείνων*. Deest ea vox in codicibus Harl. et Med

ΕΠΙΣΤΟΛΗ ΣΝΑ'

386 EPISTOLA CCLI*.

Evæsenos laudat Basilius quod stent in fide, ac gratias agit, quod aures non præbuerint calumniis quas Eustathius et struxerat, dolens se, eo postulante, fidei Nicænæ subscripsisse, quamvis antea eidem fidei Romæ subscripsisset. Demonstrat Eustathium in aliis rebus secum ipsum pugnare. Nam cum Arianos, a quibus depositus fuerat, negasset olim episcopos esse, nunc iis, quos illi ordinaverunt, supplicat : et cum violenter exagitasset eos qui cum Arianis communicabant, nunc Arianorum communionem suppliciter petit : sui semper compendii causa laudans aut vituperans, ac Basilio bellum indicens, ut placeat Euzoio. Declarat Basilius fidem suam unam semper et eamdem esse : negat se Spiritum Patri aut Filio præferre, ut maledici dictitabant. Hortatur Evæsenos, ut in fide perseverent.

Τοῖς Εὐαισηνοῖς (36).

A 1. Εἰ καὶ πολὺ τὸ πλῆθος τῶν περιεχόντων (37) ἡμᾶς πραγμάτων, καὶ φροντίσι μυρίαις συνέχεται ἡμῶν ἡ διάνοια, ὅμως οὐδέποτε τῆς μνήμης ἡμῶν ἐξεβάλομεν τὴν περὶ τῆς ὑμετέρας ἀγάπης μέριμναν, δεόμενοι τοῦ Θεοῦ ἡμῶν διαμεῖναι ὑμᾶς ἐν τῇ πίστει, ἐν ᾗ (38) ἑστήκατε καὶ καυχᾶσθε ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ. Τῷ ὄντι γὰρ δυσεύρετον λοιπὸν καὶ πάνυ σπάνιον ἰδεῖν Ἐκκλησίαν εἰλικρινῆ, μηδὲν ἐκ τῆς τῶν καιρῶν (39) χαλεπότητος παραβλαβεῖσαν, ἀλλ' ἀκεραίαν (40) καὶ ἄθραυστον τὴν ἀποστολικὴν διασώζουσαν διδασκαλίαν, οἵαν τὴν καθ' ὑμᾶς ἔδειξεν ἐν τοῖς παροῦσι καιροῖς ὁ ἀναδεικνὺς τοὺς καθ' ἑκάστην γενεὰν ἀξίους τῆς ἑαυτοῦ κλήσεως. Καὶ δῴη Κύριος ὑμῖν τὰ ἀγαθὰ Ἱερουσαλὴμ τῆς ἄνω, ἀνθ' ὧν τὰς ψευδεῖς καθ' ἡμῶν διαβολὰς ἐπὶ τὰς τῶν B ψευδολόγων κεφαλὰς ἀπεπέμψασθε, μὴ δόντες αὐταῖς εἴσοδον ἐπὶ τὰς καρδίας ὑμῶν. Καὶ οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς (41), καὶ ἐπὶ τῇ πράξει ταύτῃ. Ἐλογίσασθε γὰρ τοῦτο σοφῶς παρ' ἑαυτοῖς, ὃ καὶ ἔστι κατ' ἀλήθειαν, ὅτι οἱ ἀνταποδιδόντες μοι πονηρὰ ἀντὶ καλῶν (42), καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου τῆς εἰς αὐτούς, διαβάλλουσί με νῦν ἐπ' ἐκείνοις, εἰς ἃ αὐτοὶ εὑρίσκονται ἐγγράφους (43) ὁμολογίας ἐκδεδεμένοι.

2. Καὶ οὐ μόνον εἰς ταύτην ἐνέπεσον τὴν ἐναντίωσιν, ἴδια ἔγγραφα ὑμῖν ἀντὶ κατηγορίας προφέροντες (44), ἀλλ' ὅτι καὶ παμψηφὶ (45) παρὰ τῶν συνελθόντων εἰς τὴν Κωνσταντινούπολιν καθαιρεθέντες, C οὐκ ἐδέξαντο τὴν καθαίρεσιν αὐτῶν, σύνοδον ἀθετούντων προσαγορεύοντες, καὶ μὴ καταδεχόμενοι ἐπισκόπους αὐτοὺς λέγειν, ἵνα μὴ τὴν κατ' αὐτῶν ἐξενεχθεῖσαν ψῆφον κυρώσωσι. Καὶ τὴν αἰτίαν προσετίθεσαν τοῦ μὴ εἶναι αὐτοὺς ἐπισκόπους, διότι αἱρέσεως, φησί, πονηρᾶς προεστήκασι. Ταῦτα δὲ

Evæsenis.

1. Etsi magnus numerus detinentium nos negotiorum, sollicitudinibusque infinitis occupatur noster animus, nunquam tamen e memoria nostra projecimus vestræ charitatis curam, precantes Deum nostrum ut permaneatis in fide, in qua statis et gloriamini in spe gloriæ Dei. Nam revera difficile jam inventu ac prorsus rarum, Ecclesia sincera, nihil ex temporum difficultate læsa, sed integram et inoffensam servans apostolicam doctrinam, qualem vestram ostendit his temporibus Ecclesiam qui manifestos in singulis generationibus facit eos, qui ipsius vocatione digni sunt. Ac det vobis Dominus bona Jerusalem supernæ, pro eo quod falsas contra nos calumnias in mentientium capita rejecistis, minime dantes eis aditum in corda vestra. Et scio et persuasum habeo in Domino, mercedem vestram copiosam esse in cœlis, vel ob hanc actionem. Illud enim considerastis sapienter apud vos, quod quidem et veritati consentaneum, eos qui retribuunt mihi mala pro bonis et odium pro mea in illos dilectione**, calumnias mihi nunc ob ea struere, quæ ipsi reperiuntur scriptis confessionibus comprobasse.

2. Neque in hanc solam inciderunt repugnantiam, ut propria scripta nobis criminis loco objicerent, sed etiam omnibus suffragiis ab iis, qui convenere Constantinopolim, depositi, illorum de depositione decretum non receperunt, synodum impiorum appellantes, nec dignati episcopos illos appellare, ne latam contra se sententiam confirmarent. Et causam adjecerunt, cur non essent episcopi : eo quod hæresis, aiebant, nefariæ essent signiferi. Hæc autem evenerunt ante decem et

** Psal. CVIII, 5.

(36) *Εὐαισηνοῖς*. Coisl. primus ευαεισηνοις, tum eadem manu additur γρ. Θυσιανοῖς, *scriptum invenitur, Thysianis*. Codex Medicæus Εὐασινοῖς, Regius secundus Εὐβισηνοῖς.

(37) *Περιεχόντων*. Ita sex mss. codices. Editi περισχόντων. Ibidem duo recentiores mss. φροντίσι βαρείαις, *gravibus curis*.

(38) *Ἐν ᾗ*. Præpositio addita ex codicibus Med., Coisl. primo et tribus aliis. Deest hæc epistola in codice Harlæano. Ibidem Regius secundus et Coisl. secundus καυχᾶσθαι, *et gloriemini*. Paulo post iidem codices habent δυσεύρετον, pro eo quod erat in editis δυσάρεστον.

(39) *Τῶν καιρῶν*. Vaticanus codex, Coisl. secundus et Reg. secundus τοῦ καιροῦ.

(40) *Ἀλλ' ἀκεραίαν*. Hæc desunt in Coisl. primo D et uno ex tribus Regiis. Non multo post Medicæus codex Καὶ δοίη Κύριος.

(41) *Πολὺς ἐν*, etc. Medicæus cum quinque aliis πολὺς ἐν τῇ πράξει ταύτῃ, cæteris omissis. Coislinianus primus consentit cum editis. Non multo post quatuor codices non vetustissimi ἀνταποδόντες.

(42) *Καλῶν*. Ita Coisl. primus et Med. cum uno ex Regiis. Editi ἀγαθῶν.

(43) *Ἐγγράφους*. Hic locus illustratur ex epistola 244, n. 5, ubi Basilius miratur, cur bilem Eustathii adeo moverit ob postulatam ab eo fidei Nicænæ confessionem ; cum ejusdem fidei confessio Romæ servetur Eustathii manu scripta, a quo etiam synodo Tyanensi oblata est.

(44) *Προφέροντες*. Ita Coisl. primus et Med. cum tribus aliis. Editi προσφέροντες.

(45) *Παμψηφί*. Vaticanus codex παμψηφεί. Paulo post multa desunt in Coisliniano primo et tribus aliis, in quibus legitur ἐπισκόπους, διότι αἱρέσεως.

* Alias LXXII. Scripta anno 376.

septem non exactos annos. Erant autem duces eorum, qui illos deposuere, Eudoxius, Evippius, Georgius, Acacius et alii vobis ignoti. Qui vero nunc in Ecclesiis dominantur, eorum **387** successores sunt, alii illorum loco ordinati, alii ab ipsis constituti.

3. Nunc igitur qui nos pravæ doctrinæ nomine incusant, dicant nobis, quomodo hæretici quidem fuerint ii, quorum decretum de depositione non receperunt? quomodo vero orthodoxi isti, qui ab illis constituti sunt, et eamdem sententiam ac patres sui conservant? Nam si orthodoxus Evippius, quomodo non laicus Eustathius, qui ab eo depositus est? Sin autem ille hæreticus, quomodo nunc communicator Eustathii, qui ejus manu ordinatus est? Sed hi sunt ludi, quos contra Ecclesias Dei ludunt; ad suam utilitatem et accusare homines et rursus commendare aggredientes. Basilidis Paphlagonis altaria evertit transiens per Paphlagoniam Eustathius, ac in propriis mensis sacrificavit: et nunc supplex est Basilidi, ut recipiatur. Segregavit Elpidium religiosissimum fratrem ob illius cum Amasiensibus conjunctionem: et nunc supplex est Amasiensibus, quærens eorum conjunctionem. Illius autem adversus Evippium prædicationes et vos ipsi scitis quam essent horrendæ. Et nunc qui Evippii sententiam tenent, eos laudibus ob rectam doctrinam extollit, modo ut ad illius restitutionis studium, operam navent. Nos autem traducimur, non quia mali quidquam admittimus, sed quia id existimavit sibi laudem conciliaturum apud Antiochenos. Quos autem anno præterito ex Galatia accersivere, ut idoneos, per quos liberam episcopa-

ἐγένετο (46) πρὸ δέκα καὶ ἑπτὰ οὐχ ὅλων ἐτῶν. Ἦσαν δὲ οἱ ἔξαρχοι τῶν καθελόντων αὐτοὺς, Εὐδόξιος, Εὐίππιος. Γεώργιος, Ἀκάκιος, καὶ οἱ λοιποὶ τῶν ὑμῖν (47) ἀγνοουμένων. Οἱ δὲ νῦν κρατοῦντες (48) τῶν Ἐκκλησιῶν, ἐκείνων εἰσὶ διάδοχοι· οἱ μὲν, ἀντ' αὐτῶν χειροτονηθέντες, οἱ δὲ, ἐπ' ἐκείνων αὐτῶν προαχθέντες.

3. Νῦν οὖν οἱ ἡμῖν τὴν κακοδοξίαν ἐγκαλοῦντες εἰπάτωσαν ἡμῖν, πῶς μὲν αἱρετικοὶ ἦσαν ἐκεῖνοι, ὧν τὴν καθαίρεσιν οὐκ ἐδέξαντο; πῶς δὲ ὀρθόδοξοι οὗτοι οἱ παρ' ἐκείνων προαχθέντες, καὶ τὸ αὐτὸ φρόνημα τοῖς πατράσιν αὐτῶν διασώζοντες; Εἰ μὲν γὰρ ὀρθόδοξος Εὐίππιος, πῶς οὐχὶ λαϊκὸς Εὐστάθιος, ὁ παρ' ἐκείνου καθῃρημένος; εἰ δὲ αἱρετικὸς ἐκεῖνος, πως κοινωνικὸς Εὐσταθίου νῦν (49), ὁ διὰ τῆς ἐκείνου χειρὸς προαχθείς; Ἀλλὰ παιδιαὶ αὗται, κατὰ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ παιζόμεναι, πρὸς τὸ ἑαυτῶν (50) συμφέρον, καὶ διαβάλλειν ἀνθρώπους, καὶ πάλιν συνιστᾷν ἐπιχειρούντων. Τὰ Βασιλείδου τοῦ Παφλαγόνος θυσιαστήρια ἀνέτρεψε (51) παριὼν τὴν Παφλαγονίαν Εὐστάθιος, καὶ ἐπὶ ἰδίων τραπεζῶν ἐλειτούργει· καὶ νῦν ἱκέτης ἐστὶ Βασιλείδου, ὥστε δεχθῆναι. Ἀφώρισε τὸν εὐλαβέστατον ἀδελφὸν Ἐλπίδιον διὰ τὴν πρὸς τοὺς ἐν Ἀμασείᾳ συνάφειαν· καὶ νῦν ἱκέτης τῶν Ἀμασέων (52), ἐπιζητῶν αὐτῶν τὴν συνάφειαν. Τὰ κατὰ Εὐιππίου κηρύγματα (53) καὶ ὑμεῖς αὐτοὶ ἐπίστασθε ὅπως ἦν φρικτά. Καὶ νῦν τοὺς τὰ ἐκείνου φρονοῦντας ἐπὶ ὀρθότητι ἀποσεμνύνει, μόνον ἐὰν εἰς τὴν τῆς ἀποκαταστάσεως αὐτοῦ σπουδὴν συνεργήσωσιν. Ἡμεῖς δὲ διαβαλλόμεθα (54), οὐκ ἐπειδὴ ἡμεῖς ἀδικοῦμέν τι, ἀλλ' ἐπειδὴ τοῦτο ἐνόμισεν εὐδοκίμησιν αὐτῷ φέρειν παρὰ τοῖς ἐν Ἀντιοχείᾳ. Οὓς δὲ πέρυσιν ἐκ τῆς Γαλατίας μετεστείλαντο, ὡς δι' αὐτῶν δυνάμενοι τὴν παῤῥησίαν τῆς ἐπισκοπῆς ἀπο-

(46) Ἐγένετο. Ita Medicæus codex cum alio. Editi ἐγένοντο.

(47) Ὑμῖν. Sic Med. et Coisl. primus cum uno ex Regiis, melius quam editi ἡμῖν.

(48) Νῦν κρατοῦντες. Hæc verba sic reddi possent, *qui nunc Ecclesias regunt*. Sed credo Basilium respicere ad violentam illam Arianorum dominationem, qui per fas et nefas episcopatus invadebant. Hinc in epist. 244 δυναστείαν, *dominationem* vocat episcopalem illorum dignitatem. Ait in epist. 223 Eustathium captare gratiam eorum, qui *nunc dominantur*, τῶν νῦν κρατούντων, Euzoium designans. Demonstrat in epist. 243, n. 4, Arianos omnia ecclesiastica munia in suam potestatem ac ditionem redigere conari.

(49) Κοινωνικὸς Εὐσταθίου νῦν. Sic codices nostri mss. summo consensu. Editi κοινωνὸς Εὐσταθίῳ ἦν.

(50) Ἑαυτῶν. Ita Coisl. primus et Med. cum uno ex Regiis. Editi αὐτῶν.

(51) Ἀνέτρεψε. Sic Coisl. primus et Med. cum tribus aliis. Editi ἀνέστρεψε. Ibidem Med. περιών.

(52) Τῶν Ἀμασέων. Amasiensium nomine intelligit Basilius, non cives Amasiæ, sed hujus urbis episcopum. Non enim populis supplicabat Eustathius, sed episcopis, quorum gratiam ambiebat ut episcopatum retineret. Sed paulo post his verbis, πρὸς τοὺς ἐν Ἀντιοχείᾳ, Euzoium designat Basilius. In epistola 244 Nicopolitanos vocat Theodotum Nicopolis episcopum, Sebastenos in epist. 129 Eustathium Sebastenum. Huc accedit, quod Amasia civitas erat catholicæ fidei retinentissima, etiam sub Ariano episcopo, quem, pulso Eulalio, Ariani intruserant. Hunc hominem sic aversata est civitas, ut rediens Eulalius post pacem mortuo Valente concessam, non plures ex tota urbe, quam quinquaginta homines, cum hæretico communicantes invenerit. Hæc discimus ex Sozomeno, lib. VII, cap. 2. Quare Elpidii cum Amasiensibus civibus communio reprehendi non poterat: sola cum episcopo urbis communio causam Eustathio potuit afferre.

(53) Κηρύγματα. Videntur indicari celeberrimæ illæ Eustathii litteræ, in quibus cum Eudoxium ejusque gregales acerrime exagitaret, ut est in epist. 226, Evippium præcipue videtur aceto perfudisse. Illa enim κηρύγματα sive prædicationes distingui debent a concione, quam Eustathius habuisse dicitur in epist. 244. In ea enim non videtur tam vehementer in hæreticos invectus fuisse: sed suum ipse peccatum plorabat, quod compositæ ab illis formulæ subscripsisset. At in celeberrimis litteris, quas ad omnes fraternitates misit, eos, a quibus depositus fuerat, negabat episcopos esse, utpote hæreticos, eorumque communionem, ut perniciem animarum, fugiendam docebat. Referendæ ergo ad has litteras horrendæ in Evippium prædicationes.

(54) Διαβαλλόμεθα. Editi, excepta Paris. editione 2, præmittunt ἄν, quæ conjunctio melius deest in Coisl. primo et duobus aliis. Paulo post addidimus vocem εὐδοκίμησιν ex septem mss

λαβεῖν, τοιοῦτοί εἰσιν, οἵους ἴσασι μὲν καὶ οἱ (55) πρὸς ὀλίγον συγγεγονότες αὐτοῖς. Ἐμοὶ δὲ μὴ παράσχοι ὁ Κύριος τοσαύτην σχολήν ποτε, ὥστε τὰς ἐκείνων πράξεις ἀπαριθμεῖσθαι (56). Πλὴν ἀλλ' ὑπὸ δορυφόροις τοῖς τιμιωτάτοις αὐτῶν καὶ συμμύσταις παραπεμφθέντες, διεξῆλθον μὲν διὰ πάσης αὐτῶν τῆς χώρας τὰς τῶν ἐπισκόπων τιμὰς καὶ θεραπείας ἔχοντες· εἰσήχθησαν δὲ περιφανῶς εἰς τὴν πόλιν ἐκκλησιάσαντες μετὰ αὐθεντίας. Παρεδόθη γὰρ αὐτοῖς ὁ λαὸς, παρεδόθη τὸ θυσιαστήριον. Οἳ, ἐπειδὴ (57) μέχρι Νικοπόλεως προελθόντες οὐδὲν ἠδυνήθησαν, ὧν ἐπηγγείλαντο διαπράξασθαι, πῶς ἐπανῆλθον, καὶ πῶς ὤφθησαν κατὰ τὴν ἐπάνοδον, ἴσασιν οἱ παρόντες. Οὕτως ἀεὶ πρὸς τὸ ἑαυτῶν συμφέρον πάντα ποιοῦντες φαίνονται. Εἰ δὲ λέγουσιν, ὅτι μετενόησαν, δειξάτωσαν αὐτῶν ἔγγραφον τὴν μετάνοιαν, καὶ ἀναθεματισμὸν τῆς ἐν Κωνσταντινουπόλει πίστεως, καὶ χωρισμὸν τῶν αἱρετικῶν, καὶ μὴ ἐξαπατάτωσαν τοὺς ἀκεραιοτέρους. Καὶ τὰ μὲν ἐκείνων τοιαῦτα.

4. Ἡμεῖς δὲ, ἀγαπητοὶ ἀδελφοὶ, μικροὶ μὲν καὶ ταπεινοὶ, οἱ αὐτοὶ δὲ ἀεὶ τῇ τοῦ Θεοῦ χάριτι, οὐδέποτε ταῖς μεταβολαῖς τῶν πραγμάτων συνδιετέθημεν. Πίστις παρ' ἡμῖν οὐχ ἄλλη μὲν ἐν Σελευκείᾳ, ἄλλη δὲ ἐν Κωνσταντινουπόλει, καὶ ἄλλη ἐν Ζήλοις, καὶ ἐν Λαμψάκῳ ἄλλη, καὶ ἐπὶ Ῥώμης (58) ἑτέρα· καὶ ἡ νῦν περιφερομένη οὐ διάφορος παρὰ τὰς προτέρας, ἀλλὰ μία καὶ ἡ αὐτὴ ἀεί (59). Ὡς γὰρ παρελάβομεν παρὰ τοῦ Κυρίου, οὕτω βαπτιζόμεθα· ὡς βαπτιζόμεθα, οὕτω πιστεύομεν· ὡς πιστεύομεν, οὕτω καὶ δοξολογοῦμεν· οὔτε χωρίζοντες Πατρὸς καὶ Υἱοῦ τὸ ἅγιον Πνεῦμα, οὔτε προτιθέντες Πατρὸς, ἢ πρεσβύτερον εἶναι τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγοντες· ὡς αἱ τῶν βλασφήμων γλῶσσαι κατασκευάζουσι. Τίς γὰρ οὕτω τολμηρὸς, ὃς, τὴν (60) Δεσποτικὴν παρωσάμενος νομοθεσίαν, ἰδίαν τολμᾷ τοῖς ὀνόμασι τάξιν ἐπινοεῖν; Ἀλλ' οὔτε κτιστὸν λέγομεν τὸ Πνεῦμα, τὸ μετὰ Πατρὸς καὶ Υἱοῦ τεταγμένον· οὔτε δουλικὸν τολμῶμεν εἰπεῖν τὸ ἡγεμονικόν. Καὶ ὑμᾶς παρακαλοῦμεν μεμνημένους τῆς τοῦ Κυρίου ἀπειλῆς, τοῦ εἰπόντος, *Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημία οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι·* φυλάξατε (61) ἑαυτοὺς τῶν βλαβερῶν κατὰ τοῦ Πνεύματος διδαγμάτων. Στήκετε ἐν τῇ πίστει, περιβλέψατε εἰς τὴν οἰκουμένην, καὶ ἴδετε, ὅτι μικρόν ἐστι τοῦτο τὸ μέρος τὸ νενοσηκός· ἡ δὲ λοιπὴ πᾶσα Ἐκκλησία, ἡ ἀπὸ περάτων εἰς πέρατα δεξαμένη τὸ Εὐαγγέλιον, ἐπὶ τῆς ὑγιοῦς

A tus possessionem reciperent, hi tales sunt, quales sciunt qui vel paululum cum illis versati sunt. Mihi vero nunquam largiatur Dominus tantum otii, ut illorum actiones enumerem. Sed tamen eorum quibus illi plurimum honoris et fidei habent, satellitio stipati, peragrarunt omnem illorum regionem, episcoporum honoribus et officiis ornati. Introducti autem sunt perhonorifice in urbem, concionem habentes summa cum potestate. Traditus enim est illis populus, traditum altare. Hi Nicopolim usque progressi, cum nihil potuissent eorum quæ promiserant perficere, quomodo redierint, qualesque in redeundo visi sint, norunt qui adfuerunt. Ita semper proprii compendii causa omnia facere deprehenduntur. Quod si dicant eos B resipuisse, demonstrent scripto consignatam eorum pœnitentiam, **388** et anathematismum fidei Constantinopolitanæ et secessionem ab hæreticis, nec decipiant simpliciores. Atque illorum quidem res sic se habent.

4. Nos autem, dilecti fratres, parvi quidem et humiles sumus, semper tamen iidem Dei gratia, nec unquam cum rebus immutati sumus. Fides apud nos, non alia Seleuciæ, alia Constantinopoli, alia Zelis, et Lampsaci alia, et Romæ alia: nec quæ nunc circumfertur, a prioribus diversa, sed una et eadem semper. Quemadmodum enim accepimus a Domino, sic baptizamur; quemadmodum baptizamur, sic credimus; quemadmodum credimus, sic et glorificamus; neque separantes a Pa- C tre et Filio Spiritum sanctum, neque præferentes Patri, aut antiquiorem Filio Spiritum dicentes, ut maledicentium linguæ confingunt. Quis enim adeo temerarius Dominicam reprobans institutionem, nominibus proprium audeat ordinem excogitare? Sed nec creatum dicimus Spiritum, qui cum Patre et Filio conjunctus est, nec servilem audemus dicere eum, qui principalis est [97]. Ac vos adhortamur ut memores minarum Domini, qui dixit: *Omne peccatum et blasphemia remittetur hominibus: blasphemia autem in Spiritum sanctum non remittetur, neque in hoc sæculo, neque in futuro* [98], caveatis a perniciosis contra Spiritum doctrinis. State in fide [99], circumspicite orbem terrarum, et videte exiguam esse D hanc partem, quæ morbo laborat; reliquam autem Ecclesiam, quæ a terminis usque ad terminos Evangelium suscepit, in sana hac versari et incorrupta doctrina. Quorum et nos precamur, ne excidamus communione, partemque vobiscum habea-

[97] Psal. L, 14. [98] Matth. XII, 31, 32. [99] I Cor. XVI, 13.

(55) *Καὶ οἱ*. Conjunctio addita ex Coisl. primo et Med. et uno ex Regiis.

(56) *Ἀπαριθμεῖσθαι*. Medicæus ἐπαριθμεῖσθαι. Mox Vaticanus τιμιωτάτοις αὐτῷ.

(57) *Ἐπειδή*. Sic Med. et Coisl. primus cum uno ex Regiis. Editi ἐπεί. Infra eosdem codices secuti mutavimus quod erat in editis, ἀεὶ μέντοι οἱ αὐτοί.

(58) *Ἐπὶ Ῥώμης*. Sic Med., Vat. et unus ex Regiis. Editi ἐπὶ Ῥώμῃ. Coisl. uterque ἐπὶ Ῥώμην. Mox deest negatio ante διάφορος in Coisl. utroque, Vat. et duobus Regiis.

(59) *Ἡ αὐτὴ ἀεί*. Postrema vox addita ex Coisl. primo, Med. et uno ex Regiis. Paulo post plures codices ἀπὸ τοῦ Κυρίου.

(60) *Ὅς, τήν*. Sic mss. summo consensu. Editi ὡς τήν.

(61) *Φυλάξατε*. Editi addunt οὖν, quod deest in sex mss. Legendum videtur φυλάξαι ἑαυτούς. Mox Coisl. primus cum uno ex Regiis περιβλέψασθε.

mus in justo Domini nostri Jesu Christi die, cum veniet unicuique nostrum secundum opera sua daturus.

A ἐστι ταύτης καὶ ἀδιαστρόφου διδασκαλίας. Ὧν καὶ ἡμεῖς εὐχόμεθα τῆς κοινωνίας μὴ ἐκπεσεῖν, καὶ ὑμῖν (62) συνευχόμεθα τὴν μερίδα λαβεῖν ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῇ δικαίᾳ, ὅταν ἔλθῃ δοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.

EPISTOLA CCLII*.

ΕΠΙΣΤΟΛΗ ΣΝΒʹ.

Invitat Basilius Ecclesiæ suæ nomine, ut consuetudinem veniendi ad diem festum sancti Eupsychii redintegrent.

Ponticæ diœcesis episcopis.

Martyrum honores omnibus quidem in Dominum sperantibus, summo studio esse debent; sed præcipue vobis virtutis cultoribus, qui vestra erga claros ac celebres conservos voluntatis propensione amorem in communem Dominum ostenditis: et maxime, quod aliquid affinitatis habeat accurata vivendi ratio cum iis qui per animi fortitudinem consummati sunt. Cum igitur celeberrimi sint martyres Eupsychius et Damas eorumque chorus, quorum memoria quotannis ab urbe nostra et tota vicinia celebratur, admonet vos, proprium suum decus, Ecclesia, ac nostra **389** voce adhortatur, ut antiquam resumatis visitandi consuetudinem. Itaque ut magno quæstu vobis proposito in plebe quæ a vobis ædificari cupit, atque ut præmiis honori martyrum repositis, ita nostram suscipite adhortationem et huic annuite petitioni, magnum nobis beneficium non multo labore tribuentes.

Ἐπισκόποις τῆς Ποντικῆς (63) *διοικήσεως.*

Μαρτύρων τιμαὶ πᾶσι μὲν περισπούδαστοι τοῖς ἐπὶ Κύριον ἠλπικόσιν, ἐξαιρέτως δὲ ὑμῖν, τοῖς ἀρετῆς ἀντιποιουμένοις, οἳ διὰ τῆς πρὸς τοὺς εὐδοκίμους τῶν ὁμοδούλων διαθέσεως τὴν πρὸς τὸν κοινὸν Δεσπότην εὔνοιαν ἐπιδείκνυσθε· ἄλλως τε καὶ διὰ τὸ συγγενές τι ἔχειν τὸν ἐν ἀκριβείᾳ βίον πρὸς τοὺς B διὰ καρτερίας τελειωθέντας. Ἐπεὶ οὖν ἐπισημότατοι μαρτύρων Εὐψύχιος καὶ Δάμας, καὶ ὁ περὶ αὐτοὺς χορὸς, ὧν ἡ μνήμη δι' ἔτους παρὰ τῆς πόλεως ἡμῶν καὶ τῆς περιοικίδος πάσης τελεῖται, ὑπομιμνήσκει ὑμᾶς, τὸν ἴδιον ἑαυτῆς κόσμον, ἡ Ἐκκλησία, διὰ τῆς ἡμετέρας φωνῆς παρακαλοῦσα, τὴν ἀρχαίαν ἀπολαβεῖν τῆς ἐπισκέψεως ὑμῶν συνήθειαν (64). Ὡς οὖν ἐργασίας μεγάλης προκειμένης (65) ὑμῖν ἐν λαῷ ἐπιζητοῦντι τὴν παρ' ὑμῶν οἰκοδομὴν, καὶ μισθὸν ἐν τῇ τιμῇ τῶν μαρτύρων ἀποκείμενον, δέξασθε ἡμῶν τὴν παράκλησιν, καὶ ἐπινεύσατε πρὸς τὴν χάριν μικρῷ πόνῳ μεγάλην ἡμῖν εὐεργεσίαν παρεχόμενοι (66).

EPISTOLA CCLIII**.

ΕΠΙΣΤΟΛΗ ΣΝΓʹ.

Basilius ex his, quæ audient Antiocheni presbyteri a Sanctissimo, eorum sollicitudinem partim sedandam esse, partim acuendam nuntiat.

Presbyteris Antiochiæ.

Sollicitudinem, quam pro Dei Ecclesiis habetis, partim quidem sedabit desideratissimus ac religiosissimus frater noster Sanctissimus presbyter, totius Occidentis erga nos amorem ac studium exponens; partim vero exsuscitabit ac magis exacuet, quantum studii res præsentes requirant, clare vobis per se ipse demonstrans. Nam omnes alii veluti ex dimidio nuntiaverunt nobis et sententias Occidentalium, et rerum statum: ipse vero, cum idoneus sit qui et hominum consilia perspiciat, et rerum statum accurate investiget; narrabit vobis omnia, ac bonum vestrum studium ad omnia quasi manu ducet. Quare materiam habetis congruentem eximio vestro proposito, quod semper vestra pro Dei Ecclesiis sollicitudine declarastis.

C *Πρεσβυτέροις Ἀντιοχείας.*

Τὴν μέριμναν, ἣν ἔχετε ὑπὲρ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, ἐν μέρει μὲν διαναπαύσει ὁ ποθεινότατος καὶ εὐλαβέστατος ἡμῶν ἀδελφὸς Σαγκτίσσιμος ὁ συμπρεσβύτερος, διηγησάμενος πάσης τῆς Δύσεως τὴν περὶ ἡμᾶς ἀγάπην τε καὶ διάθεσιν· ἐν μέρει δὲ καὶ διαναστήσει καὶ πλέον παροξυνεῖ, ὅσην σπουδὴν ἐπιζητεῖ τὰ παρόντα πράγματα, ἐναργῶς ὑμῖν δι' ἑαυτοῦ παραστήσας. Καὶ γὰρ τῶν μὲν ἄλλων ἕκαστος, ὥσπερ ἐξ ἡμισείας, ἡμῖν ἀπήγγειλε (67) καὶ τὰς γνώμας τῶν ἐκεῖσε ἀνδρῶν, καὶ τὴν κατάστασιν τῶν πραγμάτων· αὐτὸς δὲ, ἱκανὸς ὢν καὶ προαίρεσιν ἀνδρῶν καταμαθεῖν, καὶ κατάστασιν πραγμάτων ἀκριβῶς διερευνήσασθαι, πάντα ὑμῖν ἐρεῖ, καὶ πρὸς πάντα χειραγωγήσει τὴν ἀγαθὴν D σπουδὴν ὑμῶν. Ὥστε ἔχετε (68) ὕλην πρέπουσαν τῇ τελείᾳ ὑμῶν προαιρέσει ἣν ἀεὶ ἐν ταῖς ὑπὲρ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ μερίμναις ἐδείξατε.

* Alias CCXCI. Scripta anno 376.

** Alias CXCIX. Scripta anno 376.

(62) *Καὶ ὑμῖν*. Sic mss. septem. Editi καὶ ἡμῖν. Sub finem editi δοῦναι ἡμῖν. Postrema vox melius deesse visa est in Coisl. primo et uno ex Regiis. Editio Paris. 2 habet ἡμῶν. Ibidem duo codices recentiores κατὰ τὰ ἔργα αὐτοῦ.

(63) *Τῆς Ποντικῆς*. Deest ea vox in cod. Harl. — Vide Addenda.

(64) *Ὑμῶν συνήθειαν*. Ita Harl. et Coisl. primus cum tribus aliis. Editi ἡμῶν referendo ad ἐπισκέψεως, *visitandi nostri consuetudinem.*

(65) *Προκειμένης*. Ita Harl. et plures alii. Editi προσκειμένης.

(66) *Παρεχόμενοι*. Coisl. et alii nonnulli παρεχομένην.

(67) *Ἀπήγγειλε*. Ita sex codices mss. Editi ἀνήγγειλεν.

(68) *Ἔχετε*. Sic Harl., Clarom., Bigot. alter, Regius uterque, Coisl. secundus. Editi ἔχειν.

ΕΠΙΣΤΟΛΗ ΣΝΔ'.

EPISTOLA CCLIV*.

Salutat per Sanctissimum, seque ejus precibus commendat.

Πελαγίῳ (69), *ἐπισκόπῳ Λαοδικείας Συρίας.* A

Παράσχοι ὁ Κύριός ποτε καὶ αὐτῷ μοι εἰς ὄψιν ἐλθεῖν τῇ ἀληθινῇ σου θεοσεβείᾳ, καὶ ὅσα ἐνελίπομεν τῷ γράμματι, ταῦτα ἀναπληρῶσαι ἡμᾶς τῇ παρουσίᾳ. Ὀψὲ γὰρ τοῦ γράφειν ἠρξάμεθα, καὶ πολλὴ ἡμῖν (70) τῆς ἀπολογίας χρεία. Ἐπειδὴ δὲ πάρεστιν ὁ ποθεινότατος καὶ εὐλαβέστατος ἀδελφὸς Σαγκτίσσιμος ὁ συμπρεσβύτερος, αὐτὸς πάντα διηγήσεταί σοι, τά τε ἡμέτερα (71) καὶ τὰ ἀπὸ τῆς Δύσεως. Καὶ ἐπ' ἐκείνοις μὲν εὐφρανεῖ· τὰς δὲ ἡμᾶς κατασχούσας ταραχὰς εἰπὼν, ἴσως προσθήσει τινὰ λύπην καὶ φροντίδα τοῖς ἤδη ἐναποκειμένοις τῇ ἀγαθῇ σου καρδίᾳ. Οὐ μὴν ἄχρηστον τὸ λυπεῖσθαι ὑμᾶς τοὺς δυναμένους δυσωπεῖν τὸν Κύριον. Εἰς δέον γὰρ ἡμῖν ἀποβήσεται ἡ ὑμετέρα μέριμνα· καὶ οἶδα ὅτι τευξόμεθα τῆς παρὰ τοῦ Θεοῦ (72) ἀντιλήψεως, ἔχοντες τὴν παρὰ τῶν προσευχῶν ὑμῶν συνεργίαν. B Ἐὰν δὲ συνεύξῃ ἡμῖν ἀπαλλαγὴν τῶν φροντίδων, καὶ προσθήκην τινὰ τῇ δυνάμει τοῦ σώματος ἡμῶν αἰτήσῃ, κατευοδώσει (73) ἡμᾶς ὁ Κύριος πρὸς τὸ τὴν ἐπιθυμίαν ἡμῖν ἐκπληρωθῆναι, καὶ εἰς ὄψιν ἐλθεῖν τῇ κοσμιότητί σου (74).

Pelagio, episcopo Laodiceæ Syriæ.

Largiatur et mihi Dominus tandem aliquando, ut in conspectum sinceræ tuæ pietati veniam, et quæ a litteris nobis defuerunt, ea coram expleamus. Enimvero sero scribere aggressi sumus, ac valde nobis opus est excusatione. Sed cum adsit desideratissimus ac religiosissimus frater Sanctissimus compresbyter, ipse tibi omnia narrabit, tum nostra, tum quæ ab Occidente. Ac per hæc quidem gaudio te afficiet : dum vero perturbationes quibus commovemur, tibi nuntiabit, forte aliquid molestiæ ac sollicitudinis adjiciet his quæ jam bono tuo cordi insident. Non tamen inutile est vos affligi, qui Dominum potestis placare. Commode enim nobis cedet vestra sollicitudo, nec dubito quin auxilium a Deo accipiamus, si nos vestræ preces adjuvent. Quod si una nobiscum preceris, ut curis eximamur, et accessionem aliquam viribus corporis nostri postules; prospere nos deducet Dominus, ut desiderium nostrum impleatur, et urbanitati tuæ in conspectum veniamus.

ΕΠΙΣΤΟΛΗ ΣΝΕ'.

390 EPISTOLA CCLV**.

Honorifica salutatio per Sanctissimum ab Occidente redeuntem.

Βίτῳ (75), *ἐπισκόπῳ Καῤῥῶν.*

(35) *Ἐπηνέχθησαν.* Harl. et Coisl. primus ἐπήχθησαν.

(36) *Οὕτως.* Ita tres vetustissimi codices. Editi οὕτω. Mox iidem codices ἀδελφός σού ἐστιν; οὐχὶ μαθεῖν. Totus hic locus non satis astrictus est: id quod Basilio nonnunquam accidit; nam ut verborum constructio perspiciatur, cogitatione interponenda est quædam parenthesis ab his verbis ἣν οὐχὶ μαθεῖν, usque ad illa Ὁ δὲ οὐ μόνον, vel etiam illa Ἐντεῦθεν λοιπὸν ἀριθμεῖ. Sed hæc in interpretando perspicuitatis causa neglеximus.

(37) *Αὐτῷ.* Multis in codicibus recentioribus deest.

(37*) Habent iidem codices οὐ μόνον κρύπτει et sic legit interpres.

(38) *Ἀριθμεῖ.* Ita tres vetustissimi codices. Editi ἀπαριθμεῖ. Mox iidem et multi alii ἐργᾷ. Editi ἐργάσῃ. Eadem infra occurrit varietas in hac voce inter editos et mss. codices.

(39) *Αὐτὸς ἑαυτῷ.* Deest prima vox in multis recentioribus codicibus. Paulo post iidem non habent αὐτὴν post μιάνας.

(40) *Ἐχθρόν.* Pro hac voce legitur τὸ μῖσος in tribus vetustissimis codicibus.

A ; ἄπαυστον εἶχέ τινα καρπὸν, αὐτὸς ὁ πόνος οὐ ρία βάσανος ἦν τῷ ἀεὶ κατατεινομένῳ (41) καὶ ῶντι. Ἐπειδὴ δὲ καὶ ἐργασία ἄπαυστος, καὶ ρπος ἡ περὶ γῆν ταλαιπωρία (οὐ γὰρ ἐδίδου τὴν ν)· τρίτη αὕτη ἐστὶ τιμωρία ἡ ἀκαρπία τῶν πόνων. νων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς. Δύο προσέθηκεν ις ταῖς τρισί· στεναγμὸν διηνεχῆ, καὶ τρόμον σώματος, τὸν ἐκ τῆς ἰσχύος στηριγμὸν τῶν μελῶν ἐχόντων. Ἐπειδὴ γὰρ κακῶς ἐχρήσατο τῇ δυνάμει τοῦ σώματος, ὑφῃρέθη αὐτοῦ ὁ τόνος, ὥστε κλονεῖσθαι αὐτὸν καὶ κατασείεσθαι, οὔτε ἄρτον (42) ῥᾳδίως προσφέρειν δυνάμενον τῷ στόματι, οὔτε ποτὸν κομίζειν· τῆς πονηρᾶς χειρὸς μετὰ τὴν ἀνοσίαν (43) πρᾶξιν οὐδὲ ταῖς ἰδίαις καὶ ἀναγκαίαις χρείαις τοῦ σώματος λοιπὸν ὑπηρετεῖσθαι (44) συγχωρουμένης. Ἄλλη τιμωρία, ἣν αὐτὸς ἀπεκάλυψεν B Κάϊν, εἰπών· *Εἰ ἐκβάλλεις με νῦν ἀπὸ τῆς γῆς, ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι.* Τί ἐστι *Εἰ ἐκβάλλεις με ἀπὸ τῆς γῆς*; Τουτέστιν, εἰ ἀποκλείεις με τῆς ἀπ' αὐτῆς ὠφελείας. Οὐ γὰρ μετῳκίζετο ἐφ' ἕτερον τόπον, ἀλλ' ἠλλοτριοῦτο τῶν ἀπ' αὐτῆς (45) καλῶν. *Καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι.* Ἡ βαρυτάτη κόλασις τοῖς εὐφρονοῦσιν (46) ὁ ἀπὸ Θεοῦ χωρισμός. *Καὶ ἔσται*, φησὶ, *πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με.* Εἰκάζει ἐκ τοῦ ἀκολούθου τῶν προαγόντων (47). Εἰ ἀπὸ τῆς γῆς ἐκβέβλημαι, εἰ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, ...ται ἀπὸ παντὸς ἀναιρεῖσθαι. Τί οὖν ὁ Κύριος; ...χ οὕτως. Ἀλλ' ἔθετο σημεῖον ἐπ' αὐτόν. Ἑβδόμη ἡ τιμωρία, τὸ μηδὲ κρύπτεσθαι τὴν τιμωρίαν, C ἀλλὰ σημείῳ προδήλῳ πᾶσι προκεχηρύχθαι, ὅτι ...ς ἐστιν ὁ τῶν ἀνοσίων ἔργων δημιουργός. Καὶ ...τῷ ὀρθῶς λογιζομένῳ βαρυτάτη κολάσεων ἡ ...ύνη· ἣν καὶ περὶ τῆς κρίσεως μεμαθήκαμεν, ὅτι οὗτοι ἀναστήσονται εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι αἰσχύνην καὶ ὀνειδισμὸν (48) αἰώνιον.

Ἀκολουθεῖ τούτῳ ζήτημα συγγενὲς, τὸ παρὰ Λάμεχ ταῖς γυναιξὶν εἰρημένον, ὅτι *Ἄνδρα ἀπέκτεινα* (49) *εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπά μοι· ὅτι εἰ ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά.* Καὶ νομίζουσί τινες ὑπὸ τοῦ Λάμεχ ἀνῃρῆσθαι τὸν Κάϊν· ὡς μέχρι γενεᾶς ἐκείνης διαρκέσαντος αὐτοῦ, ἐπὶ τῷ μακρότερον δοῦναι τὴν τιμωρίαν. Ἔστι δὲ οὐχ ἀληθές. D Ὁ γὰρ φαίνεται φόνους πεποιηκὼς, ἐξ ὧν αὐτὸς ...εῖται· *Ἄνδρα ἀπέκτεινα καὶ νεανίσκον*· τὸν ...α εἰς τραῦμα, καὶ νεανίσκον εἰς μώλωπα. Ἄλλο τραῦμα, καὶ ἄλλο μώλωψ· καὶ ἄλλο ἀνὴρ, καὶ

ciatus semper intento et laboranti. Sed quia et opus non intermissum, et infructuosæ circa terram ærumnæ (non enim dabat virtutem suam); tertium est hoc supplicium, inutilitas laborum. *Gemens et tremens eris super terram.* Duo alia tribus adjecit : gemitum continuum, et tremorem corporis, virium firmitate membris destitutis. Nam quia male usus fuerat viribus corporis, subtractum illi robur, ita ut titubaret et quateretur, nec panem facile posset ori admovere, aut potum sumere, cum improba manus post nefarium scelus ne propriis quidem et necessariis corporis usibus jam ministrare sineretur. Aliud est supplicium, quod ipse patefecit Cain, dicens : *Si ejicis me nunc de terra, et a facie tua abscondar.* Quid est illud, *Si ejicis me de terra?* Id est, si me excludis ab utilitate quæ ex ea percipitur. Non enim transferebatur in alium locum, sed excludebatur ab illius bonis. *Et a facie tua abscondar.* Gravissimum hoc supplicium cordatis viris, separari a Deo. *Et erit*, inquit, *omnis qui invenerit me, occidet me.* Conjecturam facit ex præcedentibus consentaneam. Si de terra ejicior, si a facie tua abscondar, relinquitur ut a quolibet occidar. Quid igitur Dominus? *Non sic.* Sed posuit signum super ipsum. Septimum hoc supplicium, ut ne abscondatur quidem pœna, sed manifesto signo omnibus prædicetur hunc esse nefandorum scelerum inventorem. Est enim, si quis recte ratiocinetur, gravissima pœnarum opprobrium : quod quidem et in judicio futurum didicimus, quia alii resurgent in vitam æternam, et alii in opprobrium et dedecus sempiternum [15].

5. Sequitur hanc quæstionem alia similis, **399** quod a Lamech uxoribus dictum est : *Occidi virum in vulnus mihi, et adolescentulum in livorem mihi : quoniam septies vindicatum est de Cain : de Lamech autem septuagies septies* [16]. Existimant nonnulli a Lamech occisum esse Cain, quasi is usque ad hanc ætatem vixerit, ut longiores persolveret pœnas. Sed id verum non est. Duas enim illum cædes patrasse perspicitur ex his quæ ipse narrat : *Virum occidi, et adolescentulum*; virum in vulnus, et adolescentulum in livorem. Aliud igitur vulnus, et aliud livor : ac aliud vir, et aliud adolescentu-

[15] Dan. XII, 2. [16] Gen. IV, 23, 24.

(41) *Κατατεινομένῳ.* Sic mss. summo consensu, ...s tamen commode legitur in editis κατατειρο...ῳ.

(42) *Οὔτε ἄρτον.* Editi præmittunt καί, quod ...t in novem veteribus libris.

(43) *Ἀνοσίαν.* Sic reperimus in octo mss. Editi ...σιον.

(44) *Ὑπηρετεῖσθαι.* Harl. ὑπηρετήσασθαι.

(45) *Ἀπ' αὐτῆς.* Præpositio addita ex novem mss.

(46) *Εὐφρονοῦσιν.* Ita tres vetustissimi codices. ...i σωφρονοῦσιν. Paulo post editi καὶ ἔστι. Mss. ...n textu.

(47) *Τῶν προαγόντων.* Coisl. secundus et Reg. secundus τῶν πραγμάτων, et paulo post ὑπὸ παντός.

(48) *Καὶ ὀνειδισμόν.* Ita tres vetustissimi codices cum quatuor aliis. Editi καὶ εἰς ὀνειδισμόν.

(49) *Ἄνδρα ἀπέκτεινα.* In Coisl. utroque, duobus Regiis, Vaticano et Bigot. altero sic legitur hoc Scripturæ testimonium : Ἄνδρα ἀπέκτεινα καὶ νεανίσκον. Τὸν ἄνδρα εἰς τραῦμα, καὶ νεανίσκον εἰς μώλωπά μοι· *Virum occidi et adolescentulum. Virum in vulnus et adolescentulum in livorem mihi.* Consentiunt cum editis Medicæus, Harlæanus et Colbertinus.

lus. *De Cain vindicatum est septies, de Lamech vero septuagies septies.* Æquum est ut quadringenta et nonaginta subeam supplicia ; si justum Dei judicium de Cain, ut septem ille persolveret pœnas. Ille enim, quemadmodum ab alio non didicit occidere, ita non vidit pœnas subeuntem homicidam. Ego autem ante oculos habens eum qui gemebat, et tremebat, et magnitudinem iræ Dei, sapiens non factus sum exemplo. Unde æquum est ut quadringenta et nonaginta luam supplicia. Quidam autem in ejusmodi sententiam delati sunt, quæ non abhorret ab ecclesiastico dogmate : scilicet a Cain usque ad diluvium septem prætererierunt generationes, et inflictum est universæ terræ supplicium, eo quod late diffusa esset iniquitas. Peccatum autem Lamechi non indiget diluvio ad curandum, sed ipso illo qui tollit peccatum mundi [17]. Enumera igitur ab Adam usque ad adventum Christi generationes ; et invenies secundum Lucæ genealogiam in septuagesima et septima generatione natum esse Dominum. Atque hæc quidem pro viribus investigata sunt, multis, quæ investigari poterant, prætermissis, ne ultra epistolæ modum sermonem producamus ; sufficiunt autem prudentiæ tuæ vel exigua semina. *Da enim*, inquit, *sapienti occasionem, et sapientior erit* [18]; et : *Sermonem accipiens sapiens, laudabit illum, et adjiciet super illum* [19].

6. Simeonis autem ad Mariam verba nihil habent quod aut varium sit, aut profundum. *Benedixit* enim *illis Simeon, et dixit ad Mariam matrem ejus : Ecce hic positus est in ruinam et resurrectionem multorum in Israel, et in signum, cui contradicetur. Tuam autem ipsius animam pertransibit gladius, ut revelentur ex multis cordibus cogitationes* [20]. In quibus illud miratus sum, quomodo, præcedentia ut clara prætermittens, de hoc uno quæsieris : *Tuam autem ipsius animam pertransibit gladius.* Ac mihi quidem non minus videtur difficile, quomodo idem in ruinam positus sit et in resurrectionem, et quid sit signum cui contradicetur, quam illud tertium, quomodo Mariæ animam pertransibit gladius.

7. Existimo igitur in ruinam et resurrectionem esse Dominum, non quod alii cadant, **400** et alii resurgant, sed quod vitium in nobis cadat, et virtus resurgat. Eversor est enim corporearum libidinum Domini adventus, et excitator animæ proprietatum. Velut cum ait Paulus : *Cum enim infirmor, tunc potens sum* [21] ; idem infirmatur et potens

A ἄλλο νεανίσκος. Ὅτι *ἐκ Κάϊν ἐκδεδίκηται ἑπτά, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά.* Τετρακοσίας καὶ ἐννενήκοντα τιμωρίας ὑποσχεῖν εἰμι ἄξιος, εἴπερ δικαία ἡ τοῦ Θεοῦ κρίσις ἐπὶ τῷ Κάϊν, ὥστε ἑπτὰ αὐτὸν παρασχεῖν τὰς κολάσεις. Ὁ μὲν γὰρ ὥσπερ οὐκ ἔμαθε παρ' ἄλλου φονεύειν, οὕτως οὐδὲ οἶδε τιμωρίαν ὑπέχοντα φονευτήν· ἐγὼ δὲ, ἐν ὀφθαλμοῖς ἔχων τὸν στένοντα, καὶ τρέμοντα, καὶ τὸ μέγεθος τῆς ὀργῆς τοῦ Θεοῦ, οὐκ ἐσωφρονίσθην τῷ ὑποδείγματι. Ὅθεν ἄξιός εἰμι τετρακοσίας καὶ ἐνενήκοντα δοῦναι κολάσεις. Ἔνιοι δέ τινες (50) ἐπὶ τοιοῦτον ὥρμησαν λόγον, οὐκ ἀπᾴδοντα τοῦ ἐκκλησιαστικοῦ δόγματος· ὅτι ἀπὸ τοῦ Κάϊν ἕως τοῦ κατακλυσμοῦ ἑπτὰ παρεληλύθασι γενεαί, καὶ ἐπήχθη (51) πάσῃ τῇ γῇ ἡ τιμωρία, διὰ τὸ πολλὴν γενέσθαι χύσιν B τῆς ἁμαρτίας. Τὸ δὲ ἁμάρτημα τοῦ Λάμεχ οὐ κατακλυσμοῦ δεῖται πρὸς θεραπείαν, ἀλλ' αὐτοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου. Ἀρίθμησον τοίνυν ἀπὸ Ἀδὰμ μέχρι τῆς παρουσίας τοῦ Χριστοῦ τὰς γενεὰς, καὶ εὑρήσεις, κατὰ τὴν τοῦ Λουκᾶ γενεαλογίαν, τῇ ἑβδομηκοστῇ καὶ ἑβδόμῃ διαδοχῇ γεγεννημένον (52) τὸν Κύριον. Ταῦτα μὲν οὖν εἰς δύναμιν ἐξητάσθη, πολλῶν τῶν ἐνόντων ἐξετασθῆναι παρεθέντων, ἵνα μὴ ἔξω τοῦ μέτρου τῆς ἐπιστολῆς τὸν λόγον προαγάγωμεν· ἀρκεῖ δὲ τῇ συνέσει σου καὶ βραχέα σπέρματα. *Δίδου γάρ*, φησι, *τῷ σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται*· καὶ, *Λόγον δεξάμενος σοφὸς, αἰνέσει αὐτὸν, καὶ ἐπ' αὐτὸν προσθήσει.*

C 6. Τὰ δὲ τοῦ Συμεὼν ῥήματα πρὸς τὴν Μαρίαν οὐδὲν ἔχει ποικίλον, οὐδὲ βαθύ. *Εὐλόγησε γὰρ αὐτοὺς Συμεὼν, καὶ εἶπε πρὸς Μαρίαν τὴν μητέρα αὐτοῦ· Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία· ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.* Ἐν οἷς ἐκεῖνο ἐθαύμασα πῶς, τὰ προάγοντα ὡς σαφῆ παρελθὼν, ἐν τούτῳ (53) ἐπεζήτησας, τὸ, *Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία.* Καίτοι ἐμοὶ οὐχ ἧττον φαίνεται ἄπορον, πῶς ὁ αὐτὸς εἰς πτῶσιν κεῖται καὶ ἀνάστασιν· καὶ τί τὸ σημεῖον τὸ ἀντιλεγόμενον· καὶ τρίτον (54), πῶς τῆς Μαρίας τὴν ψυχὴν διελεύσεται ῥομφαία.

D 7. Ἡγοῦμαι τοίνυν εἰς πτῶσιν καὶ ἀνάστασιν εἶναι τὸν Κύριον, οὐχ ἄλλων πιπτόντων, καὶ ἄλλων ἀνισταμένων, ἀλλὰ τοῦ ἐν ἡμῖν χείρονος καταπίπτοντος καὶ τοῦ βελτίονος διανισταμένου. Καθαιρετικὴ μὲν γὰρ τῶν σωματικῶν παθῶν ἐστιν ἡ τοῦ Κυρίου ἐπιφάνεια, διεγερτικὴ δὲ τῶν τῆς ψυχῆς ἰδιωμάτων. Ὡς ὅταν λέγῃ Παῦλος (55)· *Ὅταν ἀσθενῶ, τότε*

[17] Joan. I, 29. [18] Prov. IX, 9. [19] Eccli. XXI, 18. [20] Luc. II, 34, 35. [21] II Cor. XII, 10.

(50) *Ἔνιοι δέ τινες.* Postrema vox addita ex tribus vetustissimis codicibus.

(51) *Καὶ ἐπήχθη.* Sic iidem tres mss. Editi καὶ εὐθέως ἐπήχθη· *et statim inflictum est*, etc.

(52) *Γεγεννημένον.* Ita plerique mss. codices. Editi γεγενημένον.

(53) *Ἐν τούτῳ.* Sic ope mss. codicum emendavimus quod prave in editis legebatur ἐν τούτῳ.

(54) *Καὶ τρίτον.* Legendum ἢ τρίτον, aut aliter non poterit erui ex his verbis sententia.

(55) *Λέγῃ Παῦλος.* Ita Coisl. uterque, Med. tres alii. Editi λέγει ὁ Παῦλος. Non tamen deest articulus in Medicæo codice, sed deest in Harlæi[ano].

ιατός εἰμι· ὁ αὐτὸς καὶ ἀσθενεῖ καὶ δύναται, ἀλλ' ἀσθενεῖ μὲν τῇ σαρκὶ, δυνατὸς δέ ἐστι τῷ πνεύματι. Οὕτω καὶ ὁ Κύριος οὐχὶ τοῖς μὲν τοῦ πίπτειν τὰς ἀφορμὰς παρέχει, τοῖς δὲ τοῦ ἀνίστασθαι. Οἱ γὰρ πίπτοντες ἀπὸ τῆς στάσεως, ἐν ᾗ ποτε ἦσαν, καταπίπτουσι. Δῆλον δὲ ὅτι οὐδέποτε στήκει (56) ὁ ἄπιστος, ἀεὶ χαμαὶ συρόμενος, μετὰ τοῦ ὄφεως, ᾧ συνέπεται. Οὐκ ἔχει οὖν ὅθεν πέσῃ, διὰ τὸ προκαταβεβλῆσθαι τῇ ἀπιστίᾳ. Ὥστε πρώτη εὐεργεσία τὸν ἑστῶτα τῇ ἁμαρτίᾳ πεσεῖν καὶ ἀποθανεῖν, εἶτα ζῆσαι (57) τῇ δικαιοσύνῃ καὶ ἀναστῆναι, τῆς εἰς Χριστὸν πίστεως (58) ἑκάτερον ἡμῖν χαριζομένης. Πιπτέτω τὰ χείρονα, ἵνα λάβῃ καιρὸν τὰ βελτίονα εἰς τὴν ἀνάστασιν. Ἐὰν μὴ πέσῃ ἡ πορνεία, ἡ σωφροσύνη οὐκ ἀνίσταται. Ἐὰν μὴ ἡ ἀλογία συντριβῇ, τὸ λογιστικὸν ἐν ἡμῖν (59) οὐκ ἀνθήσει. Οὕτως οὖν εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν (60).

8. Εἰς δὲ *σημεῖον ἀντιλεγόμενον*. Κυρίως σημεῖον ἔγνωμεν παρὰ τῇ Γραφῇ τὸν σταυρὸν εἰρημένον. Ἔθηκε γάρ, φησι, *Μωσῆς τὸν ὄφιν ἐπὶ σημείου*· τουτέστιν, ἐπὶ σταυροῦ. Ἢ σημεῖόν ἐστι παραδόξου τινὸς καὶ ἀφανοῦς πράγματος ἐνδεικτικὸν· ὁρώμενον παρὰ τῶν ἁπλουστέρων, νοούμενον παρὰ τῶν ἐντρεχῶν (61) τὴν διάνοιαν. Ἐπεὶ οὖν οὐ παύονται ζυγομαχοῦντες περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου· οἱ μὲν ἀνειληφέναι σῶμα, οἱ δὲ ἀσώματον αὐτοῦ τὴν ἐπιδημίαν γεγενῆσθαι διοριζόμενοι· καὶ οἱ μὲν παθητὸν ἐσχηκέναι τὸ σῶμα, οἱ δὲ φαντασίᾳ τινὶ τὴν διὰ σώματος οἰκονομίαν πληρῶσαι· καὶ ἄλλοι χοϊκὸν (62), ἄλλοι δὲ ἐπουράνιον σῶμα· καὶ οἱ μὲν προαιώνιον τὴν ὕπαρξιν, οἱ δὲ ἐκ Μαρίας τὴν ἀρχὴν ἐσχηκέναι· διὰ τοῦτο *Εἰς σημεῖον ἀντιλεγόμενον*.

9. Ῥομφαίαν δὲ λέγει τὸν λόγον τὸν πειραστικὸν, τὸν κριτικὸν τῶν ἐνθυμήσεων, τὸν διικνούμενον ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος (63), ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸν ἐνθυμήσεων (64). Ἐπειδὴ τοίνυν πᾶσα ψυχὴ παρὰ τὸν καιρὸν τοῦ πάθους οἱονεὶ διακρίσει τινὶ ὑπεβάλλετο, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, εἰπόντος, ὅτι *Πάντες σκανδαλισθήσεσθε ἐν ἐμοί*· προφητεύει ὁ Συμεὼν καὶ περὶ αὐτῆς τῆς Μαρίας, ὅτι παρεστῶσα τῷ σταυρῷ, καὶ βλέπουσα τὰ γινόμενα, καὶ ἀκούουσα τῶν φωνῶν, μετὰ τὴν τοῦ Γαβριὴλ μαρτυρίαν, μετὰ τὴν ἀπόῤῥητον γνῶσιν τῆς θείας συλλήψεως, μετὰ τὴν μεγάλην τῶν θαυμάτων

A est, sed infirmatur quidem carne, potens est autem spiritu. Ita et Dominus nequaquam aliis quidem cadendi causas præbet, aliis vero resurgendi. Nam qui cadunt, ex statu, in quo aliquando erant, cadunt. Liquet autem nunquam stare infidelem, ut qui semper humi repat cum serpente quem assectatur. Non habet igitur unde cadat, jam præcipitatus infidelitate. Quare primum beneficium est, ut qui stat in peccato, cadat et moriatur, deinde vivat justitiæ et resurgat, utrumque fide in Christum nobis largiente. Cadant pejora, ut locum habeant meliora resurgendi. Nisi cadat fornicatio, temperantia non resurget. Nisi id quod a ratione alienum est, conteratur, id quod rationale est in nobis non B florebit. Sic igitur in ruinam et resurrectionem multorum.

8. *In signum* autem *cui contradicetur*. Proprie *signum* novimus in Scriptura crucem appellari. *Posuit* enim, inquit, *Moses serpentem super signum* [22], id est, super crucem. Vel signum est inopinatæ cujusdam et obscuræ rei indicium : ac videtur quidem a simplicioribus, intelligitur autem ab his qui mente sunt perspicaces. Quoniam igitur non cessant digladiari de Incarnatione Domini : alii quidem eum corpus assumpsisse, alii vero incorporeum illius adventum fuisse decernentes : alii passibile corpus habuisse, alii specie quadam corpoream dispensationem adimplevisse : alii terrestre, alii cœleste corpus : alii eum ab æterno C præexstitisse, alii ex Maria initium accepisse : propterea *In signum cui contradicetur*.

9. Gladium autem dicit sermonem tentandi vim habentem et discernendi cogitationes, pertingentem usque ad divisionem animæ et spiritus, artuum quoque et medullarum [23]. Quoniam igitur omnis anima passionis tempore cuidam veluti dubitationi subjecta fuit, secundum Domini vocem, dicentis : *Omnes scandalizabimini in me* [24] ; vaticinatur Simeon et de ipsa Maria, astante cruci, et vidente quæ gerebantur, et voces audiente ; post Gabrielis testimonium, post arcanam divinæ conceptionis cognitionem, post plurima exhibita miracula, erit, inquit, quædam et circa animam

[22] Num. XXI, 8. [23] Hebr. IV, 12. [24] Matth. XXVI, 31.

(56) *Στήκει*. Tres codices non vetustissimi habent ἑστήκει. In iisdem desunt paulo post hæc verba ᾧ συνέπεται.

(57) *Εἶτα ζῆσαι*. Consentiunt in hac scriptura tres libri. Editi εἶτα τὸ ζῆσαι.

(58) *Πίστεως*. Pro hac voce miror legi γνώσεως in tribus vetustissimis codicibus. Paulo post nonnulli codices recentiores τὰ βελτίω εἰς τὴν ἀνάστασιν.

(59) *Τὸ λογιστικὸν ἐν ἡμῖν*. Ita Harl. et Coisl. primus. Editi τὸ λογιστικὸν τὸ ἐν ἡμῖν. Legitur λογιστικὸν in quinque codicibus non antiquissimis.

(60) *Πολλῶν. Εἰς δὲ σημεῖον ἀντιλεγόμενον*, etc. Consentientibus veteribus libris hunc locum sanavimus. Legebantur enim in editis hæc D verba post εἰρημένον. Paulo post legitur in pluribus recentioribus codicibus ὃ σημεῖόν ἐστι, *super crucem, quæ signum est.*

(61) *Παρὰ τῶν ἐντρεχῶν*. Pro his vocibus legitur in quatuor codicibus non vetustissimis παρ' αὐτῶν.

(62) *Καὶ ἄλλοι χοϊκόν*. Deest conjunctio in Medicæo et Coisl. primo.

(63) *Καὶ πνεύματος*. In Medicæo, Harl., Coisl. primo et Reg. primo legitur καὶ σώματος, *usque ad divisionem animæ et corporis.*

(64) *Καὶ κριτικὸν ἐνθυμήσεων*. Hæc desunt in nonnullis codicibus recentioribus, et videntur redundare.

tuam fluctuatio. Oportebat enim Dominum **401** pro omnibus gustare mortem, ac propitiationem mundi factum, omnes justificare in suo sanguine. Et te igitur ipsam, quæ cœlitus didicisti quæ ad Dominum spectant, tanget quædam dubitatio. Hoc designat gladius. *Ut revelentur ex multis cordibus cogitationes* : significat, post scandalum, quod in Christi cruce contigit, discipulis ac ipsi Mariæ celerem quamdam medicinam affuturam a Domino, quæ ipsorum corda confirmaret in illius fide. Sic enim videmus et Petrum, postquam scandalum passus est, firmius fidem in Christum retinuisse. Quod igitur humanum erat, imbecillum esse probatum est, ut potentia Domini demonstraretur.

A ἐπίδειξιν, γενήσεται, φησὶ, τὶς καὶ περὶ τὴν ... ψυχὴν σάλος (65). Ἔδει γὰρ τὸν Κύριον ὑπὲρ παντὸς (66) γεύσασθαι θανάτου, καὶ ἱλαστήριον γενόμενον τοῦ κόσμου, πάντας δικαιῶσαι ἐν τῷ αὐτοῦ αἵματι. Καὶ σοῦ οὖν αὐτῆς, τῆς ἄνωθεν δεδιδαγμένης τὰ περὶ τοῦ Κυρίου, ἅψεταί τις διάκρισις. Τοῦτό ἐστιν ἡ ῥομφαία. *Ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί*· αἰνίττεται, ὅτι μετὰ τὸν σκανδαλισμὸν, τὸν ἐπὶ τῷ σταυρῷ τοῦ Χριστοῦ γενόμενον, τοῖς τε μαθηταῖς καὶ αὐτῇ τῇ Μαρίᾳ ταχεῖά τις ἴασις ἐπακολουθήσει παρὰ τοῦ Κυρίου, βεβαιοῦσα αὐτῶν τὴν καρδίαν εἰς τὴν ἐπ' αὐτὸν πίστιν. Οὕτω γὰρ εἴδομεν καὶ Πέτρον μετὰ τὸ σκανδαλισθῆναι βεβαιότερον τῆς εἰς Χριστὸν πίστεως ἀντισχόμενον. Τὸ ἀνθρώπινον οὖν σαθρὸν διηλέγχθη, B ἵνα τὸ ἰσχυρὸν τοῦ Κυρίου διαδειχθῇ.

EPISTOLA CCLXI *.

ΕΠΙΣΤΟΛΗ ΣΞΑ'

Cum scripsissent Basilio Sozopolitani nonnullos carnem cœlestem Christo affingere et affectus humanos in ipsam divinitatem conferre; breviter hunc errorem refellit; ac demonstrat nihil nobis prodesse passiones Christi, si non eamdem ac nos carnem habuit. Quod spectat ad affectus humanos, probat naturales a Christo assumptos fuisse, vitiosos vero nequaquam

Sozopolitanis.

1. Legi litteras vestras, fratres perquam reverendi, quas de rebus vestris scripsistis. Atque equidem quod nos sollicitudinum socios adhibuistis ad rerum vobis necessariarum ac studio dignarum curam, Domino egimus gratias. Sed ingemuimus, ubi audivimus præter turbas, quas Ariani in Ecclesiis excitarunt, ac confusionem, quam in fidei doctrinam induxerunt, adhuc et aliam quamdam novitatem, quæ in plurimum mœrorem, ut mihi scripsistis, conjicit fraternitatem, vobis obortam esse, ab hominibus nova et auribus fidelium inaudita veluti ex Scripturæ doctrina introducentibus. Scripsistis enim nonnullos apud vos esse, qui dissolvant salutarem dispensationem Domini nostri Jesu Christi, quantum in ipsis est, ac evertant magni mysterii gratiam, taciti quidem a sæculis [28], sed declarati suis temporibus, cum Dominus, qui jam omnia ad generis humani medelam attinentia percurrerat, post omnia suum nobis largitus est

Τοῖς ἐν Σωζοπόλει.

1. Ἐνέτυχον τοῖς γράμμασιν ὑμῶν, ἀδελφοὶ τιμιώτατοι, ἃ περὶ τῶν καθ' ὑμᾶς πραγμάτων ἐπεστείλατε. Καὶ ὅτι μὲν ἡμᾶς κοινωνοὺς φροντίδων παρελάβετε (67) εἰς τὴν τῶν ἀναγκαίων ὑμῖν καὶ σπουδῆς ἀξίων ἐπιμέλειαν, ηὐχαριστήσαμεν τῷ Κυρίῳ. Ἐστενάξαμεν δὲ, ἀκούσαντες, ὅτι πρὸς τῇ ἀπὸ τῶν Ἀρειανῶν ἐπαγομένῃ ταραχῇ ταῖς Ἐκκλησίαις C καὶ τῇ συγχύσει, ἣν ἐκεῖνοι περὶ τὸν τῆς πίστεως λόγον πεποίηνται, ἔτι καὶ ἄλλη τις ὑμῖν ἀνεφάνη (68) καινοφωνία, εἰς πολλὴν ἀδημονίαν ἐμβάλλουσα τὴν ἀδελφότητα, ὡς ἐπεστείλατε ἡμῖν, ἀνθρώπων καινὰ καὶ ἀσυνήθη ταῖς ἀκοαῖς τῶν πιστῶν ὡς ἐκ τῆς θείας Γραφῶν διδασκαλίας δῆθεν παρεισαγόντων. Ἐγράψατε γὰρ εἶναί τινας παρ' ὑμῖν τοὺς λύοντας τὴν σωτήριον οἰκονομίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅσον ἐπ' αὐτοῖς, καὶ ἀθετοῦντας τοῦ μεγάλου μυστηρίου τὴν χάριν, τοῦ σεσιγημένου μὲν ἀπὸ τῶν αἰώνων, φανερωθέντος δὲ καιροῖς ἰδίοις, ὅτε ὁ Κύριος, πάντα διεξελθὼν (69) τὰ εἰς ἐπιμέλειαν ἥκοντα τοῦ γένους

[28] I Tim. III, 16.

* Alias LXV. Scripta circa annum 377.

(65) *Σάλος*. Fatendum sane est hoc loco S. Basilium (quod equidem me certo scio non sine ipsius pace dicturum) longe aberrare et ab evangelica historia et a recta Simeonis verborum interpretatione. Nihil enim ejusmodi de sanctissima Deipara suspicari sinunt, cum ipsius constantia in filii morte oculis suis spectanda, tum teneræ ad eam filii morientis voces. Sed quamvis illius fides minime vacillaverit, non idcirco tamen materna viscera dolore illo caruerunt, quem ei sub gladii nomine Simeon prædicit. Videtur Basilius hanc opinionem hausisse ex Origenis fontibus, quamvis in hoc legendo scriptore satis cautus fuerit. Id enim docet Origenes homil. 27 *in Lucam*. Nonnulli alii post Basilium scriptores eamdem commentum secuti sunt, quos recenset Petavius lib. XIV *De Incarn.*, c. 1.

(66) *Ὑπὲρ παντός*. Consentiunt in hac scriptura codices mss. Editi ὑπὲρ πάντων. Paulo ante editi τὴν ψυχὴν τὴν σήν. Mss. ut in textu.

D (67) *Παρελάβετε*. Coisl. primus et Med. παρελαμβάνετε.

(68) *Ἀνεφάνη*. Ita Coisl. primus et Med. cum tribus aliis. Editi ἐνεφάνη, exceptis tamen veteribus editionibus. Paulo post iidem duo codices Ἐγράψατε γὰρ εἶναι pro eo quod erat in editis Ἐγράψατε εἶναι.

(69) *Διεξελθών*. Notandum diligenter hoc verbum, quod idcirco simillima voce Latina reddidimus, nempe *percurrerat*, quia indicat Basilius Filium Dei, antequam nasceretur ex Virgine, antiquis patribus apparuisse. Hinc contendit in libro II *in Eunomium*, eum qui Deus et angelus vocatur ac Moysi apparuit, non alium esse quam Filium. Simili sensu Filius Dei apud Clementem Alexandrinum in libro *Quis dives salvandus*, n. 8, dicitur *A creatione mundi usque ad signum crucis humanitatem percurrisse*: Ἀπὸ γενέσεως μέχρι τοῦ σημείου τὴν ἀνθρωπότητα διατρέχων.

τῶν ἀνθρώπων (70), ἐπὶ πᾶσι τὴν οἰκείαν ἐχαρίσατο ἡμῖν ἐπιδημίαν. Ὠφέλησε γὰρ τὸ ἑαυτοῦ πλάσμα, πρῶτον μὲν διὰ πατριαρχῶν, ὧν οἱ βίοι ὑποδείγματα καὶ κανόνες προετέθησαν τοῖς βουλομένοις ἀκολουθεῖν τοῖς ἴχνεσι τῶν ἁγίων, καὶ κατὰ τὸν ὅμοιον ἐκείνοις ζῆλον φθάσαι πρὸς τὴν τῶν ἀγαθῶν ἔργων τελείωσιν· εἶτα νόμον ἔδωκεν εἰς βοήθειαν, δι' ἀγγέλων αὐτὸν διαταξάμενος ἐν χειρὶ Μωϋσέως· εἶτα προφήτας, προκαταγγέλλοντας τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν, κριτὰς, βασιλεῖς, δικαίους, ποιοῦντας δυνάμεις ἐν χειρὶ κρυφαίᾳ (71). Μετὰ πάντας τούτους, ἐπ' ἐσχάτων τῶν ἡμερῶν αὐτὸς ἐφανερώθη ἐν σαρκὶ, *Γενόμενος ἐκ γυναικὸς* (72), *γενόμενος ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.*

2. Εἰ τοίνυν μὴ γέγονε τοῦ Κυρίου ἡ ἐν σαρκὶ ἐπιδημία, οὐκ ἔδωκε μὲν ὁ Λυτρωτὴς τὸ ὑπὲρ ἡμῶν τίμημα τῷ θανάτῳ, οὐ διέκοψε δὲ τοῦ θανάτου τὴν βασιλείαν δι' ἑαυτοῦ. Εἰ γὰρ ἄλλο μὲν ἦν τὸ βασιλευόμενον ὑπὸ τοῦ θανάτου, ἄλλο δὲ τὸ παρὰ τοῦ Κυρίου προσληφθὲν, οὐκ ἂν μὲν ἐπαύσατο τὰ ἑαυτοῦ (73) ἐνεργῶν ὁ θάνατος· οὐκ ἂν δὲ ἡμέτερον κέρδος ἐγένετο τῆς σαρκὸς τῆς θεοφόρου τὰ πάθη· οὐκ ἀπέκτεινε δὲ τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· οὐκ ἐζωοποιήθημεν ἐν τῷ Χριστῷ οἱ ἐν τῷ Ἀδὰμ ἀποθανόντες· οὐκ ἀνεπλάσθη τὸ διαπεπτωκός· οὐκ ἀνωρθώθη τὸ κατερῥαγμένον· οὐ προσῳκειώθη τῷ Θεῷ τὸ διὰ τῆς ἀπάτης τοῦ ὄφεως ἀλλοτριωθέν. Ταῦτα γὰρ πάντα ἀναιρεῖται παρὰ τῶν οὐράνιον σῶμα λεγόντων ἔχοντα τὸν Κύριον παραγεγενῆσθαι. Τίς δὲ χρεία τῆς ἁγίας Παρθένου, εἰ μὴ ἐκ τοῦ φυράματος τοῦ Ἀδὰμ ἔμελλεν ἡ θεοφόρος σὰρξ (74) προσλαμβάνεσθαι; Ἀλλὰ τίς οὕτω τολμηρὸς, ὥστε τὸ πάλαι σιωπηθὲν Οὐαλεντίνου δόγμα νῦν πάλιν διὰ σοφιστικῶν ῥημάτων καὶ τῆς ἐκ τῶν Γραφῶν δῆθεν μαρτυρίας ἀνανεοῦσθαι; Οὐ γὰρ νεώτερον τοῦτο τῆς δοκήσεως (75) τὸ ἀσέβημα, ἀλλὰ πάλαι ἀπὸ τοῦ ματαιόφρονος ἀρξάμενον Οὐαλεντίνου, ὃς, ὀλίγας τοῦ Ἀποστόλου λέξεις ἀποσπαράξας, τὸ δυσσεβὲς ἑαυτῷ κατεσκεύασε πλάσμα, μορφὴν λέγων δούλου, καὶ οὐχὶ αὐτὸν τὸν δοῦλον ἀνειληφέναι, καὶ ἐν σχήματι λέγων τὸν Κύριον γεγενῆσθαι, ἀλλ' οὐχὶ αὐτὸν τὸν ἄνθρωπον παρ' αὐτοῦ

A adventum. Juvit enim suam ipsius creaturam, primum quidem per patriarchas, quorum vitæ, ut exempla ac regulæ, volentibus sanctorum sequi vestigia simili que ac illi studio ad bonorum perfectionem pervenire, propositæ fuerunt; deinde legem in auxilium dedit, per angelos eam ordinans in manu Mosis [96] : tum prophetas, qui salutem futuram prænuntiarent, judices, reges, justos, qui in manu **402** occulta ederent virtutes. Post hos omnes in extremis diebus ipse manifestatus est in carne, *Factus est ex muliere, factus sub lege, ut eos, qui sub lege erant, redimeret, ut adoptionem filiorum reciperemus* [97].

B 2. Itaque si Domini in carne adventus non fuit, non dedit Redemptor pro nobis pretium morti, nec per seipsum mortis regnum resecuit. Si enim aliud esset quod mortis imperio subjectum erat, aliud quod assumptum a Domino; non desiisset mors ea quæ sua sunt, operari, nec lucrum nostrum factæ fuissent deiferæ carnis passiones : non interemisset peccatum in carne; non in Christo vivificati fuissemus, qui eramus in Adamo mortui; non resartum fuisset, quod collapsum erat; non instauratum, quod confractum; non conjunctum Deo, quod serpentis fraude fuerat abalienatum. Hæc enim omnia tolluntur ab iis, qui dominum dicunt cœleste corpus habentem C advenisse. Quid autem opus sancta Virgine, si non ex Adami massa assumenda erat caro deifera? At quis ita audax, ut jamdiu silentio sopitum Valentini dogma nunc rursus verbis sophisticis Scripturarumque scilicet testimonio renovet? Non enim recens est impium illud de apparentia dogma, sed jam olim ab insulso initium habuit Valentino, qui paucas Apostoli dictiones divellens, impium sibi ipse commentum struxit, formam dicens servi, et non ipsum servum assumptum fuisse, et in similitudine Dominum factum esse pronuntians, sed non ipsum hominem ab eo fuisse assumptum. His cognata videntur isti effutire, quibus quidem

[96] Galat. III, 19. [97] Galat. IV, 4.

(70) *Τῶν ἀνθρώπων.* Ita Coisl. uterque, Vat. et duo Regii. Editi πάντων ἀνθρώπων. Paulo post Coisl. primus et Med. ἔνσαρκος ἐπιδημία. Non exstat hæc epistola in codice Harlæano.

(71) *Κρυφαίᾳ.* Ita vetustæ editiones et omnes mss. Editio Parisiensis κραταιᾷ, *in manu forti.*

(72) *Γενόμενος ἐκ γυναικός.* Regius secundus et Coisl. secundus γεννώμενος. Paulo post editi ὑπὸ νόμου. Plerique mss. ὑπὸ νόμον.

(73) *Τὰ ἑαυτοῦ.* Coisl. secundus et tres Regii codices τὸ ἑαυτοῦ. Paulo post Med. et Coisl. primus ἐν τῷ Ἀδὰμ ἀποθνήσκοντες.

(74) *Ἡ θεοφόρος σάρξ.* Male in Vaticano et tribus Regiis ἡ χριστοφόρος σάρξ. Mox illud δῆθεν, *scilicet*, ironiam indicat.

(75) *Τῆς δοκήσεως.* Illud *apparentiæ* commentum proprie illis tribuitur, qui carnem phantasticam Christo attribuebant : quales fuere post Simeonem Basilides, Marcion et Cassianus, qui Do- D cetarum princeps dictus est. Verum ab his discrepabat Valentinus, cumque testatur Tertullianus carnem et nativitatem Christo attribuisse, lib. *De carne Christi* cap. 1, quamvis hanc carnem per Mariam veluti per tubum transiisse fingeret. Cur ergo τῆς δοκήσεως auctorem illum facit Basilius? Videtur S. Pater de Valentino sic statuisse, quia illius de cœlesti carne Christi commentum eodem redibat ac Marcionis *apparentia.* Utraque enim opinio Incarnationem evertebat : utraque carnem ejusmodi affingebat Christo, quæ cum eadem videretur ac nostra, nec tamen eadem esset, non immerito phantastica dici potuit. Eo libentius in eam partem accipio S. Basilii sententiam, quod eum minime latuerint commenta Valentini. Nam paulo ante cum eos notaret, qui Dominum dicebant *cœleste corpus habentem advenisse, tamdiu silentio sopitum Valentini dogma* ab eis renovari declarat.

lugere convenit, novas inter vos turbas inducentibus.

3. Quod autem dicunt affectus humanos in ipsam divinitatem transire, eorum est, qui in suis cogitationibus nullum ordinem servant, neque norunt alios esse carnis affectus, alios carnis animatæ, alios animæ corpore utentis. Est igitur carnis proprium secari, imminui et dissolvi: et rursus carnis animatæ, fatigari, dolere, esurire, sitire et somno opprimi: animæ vero corpore utentis proprii sunt mœrores, et anxietates, et curæ, et reliqua ejusmodi. Quorum alia quidem naturalia sunt, et animali necessaria: alia vero ex prava voluntate, propter vitam male institutam, nec virtute informatam, superinducta. Unde liquet Dominum naturales quidem affectus suscepisse, **403** ad confirmationem veræ, nec phantasticæ Incarnationis, vitiosos vero affectus, qui nostræ vitæ puritatem coinquinant, ut intaminata divinitate indignos rejecisse. Eam ob causam dictum est, factum eum fuisse in similitudine carnis peccati; non utique in similitudine carnis, ut his videtur, sed in similitudine carnis peccati [28]. Quare carnem nostram una cum naturalibus ipsius affectibus assumpsit, peccatum vero non fecit [29]. Sed quemadmodum mors, quæ in carne per Adamum ad nos transmissa, absorpta fuit a divinitate: sic et peccatum absumptum a justitia quæ in Christo Jesu est [30]: ut in resurrectione resumamus carnem, nec obnoxiam morti, neque subjectam peccato. Hæc sunt, fratres, Ecclesiæ mysteria, hæ Patrum traditiones. Obtestor hominem omnem, qui Dominum timet, Deique judicium exspectat, ut ne variis doctrinis abripiatur. Si quis aliter docet, nec accedit ad sanos fidei sermones, sed Spiritus oracula rejiciens, propriam doctrinam potiorem habet evangelicis documentis; talem vitate. Utinam autem Dominus largiatur, ut etiam aliquando in unum conveniamus, ut quæ nostrum sermonem effugerunt, ea coram congredientes suppleamus! Nam vobis pauca ex multis scripsimus, modum epistolæ excedere nolentes, tum etiam quia persuasum habemus, iis, qui Dominum timent, satis esse vel brevem admonitionem

A προσειλῆφθαι. Τούτους ἐοίκασι συγγενῆ φθέγγεσθαι οὗτοι, οὓς ἀποδύρεσθαι (76) προσήκει, τὰς νεωτερικὰς ὑμῖν ἐπεισάγοντας ταραχάς.

3. Τὸ δὲ ἐπ' αὐτὴν λέγειν τὴν θεότητα τὰ τοῦ ἀνθρώπου (77) διαβαίνειν πάθη οὐδαμῶς σωζόντων ἐστὶ τὸ ἐν διανοίαις ἀκόλουθον, οὔτε εἰδότων, ὅτι ἄλλα σαρκὸς πάθη, καὶ ἄλλα σαρκὸς ἐμψύχου, καὶ ἄλλα ψυχῆς σώματι κεχρημένης. Σαρκὸς μὲν οὖν ἴδιον τὸ τέμνεσθαι, καὶ μειοῦσθαι, καὶ διαλύεσθαι· καὶ πάλιν σαρκὸς ἐμψύχου τὸ κοποῦσθαι, καὶ ὀδυνᾶσθαι, καὶ πεινᾷν, καὶ διψᾷν, καὶ ὕπνῳ κρατεῖσθαι· ψυχῆς δὲ σώματι κεχρημένης λύπαι, καὶ ἀδημονίαι, καὶ φροντίδες, καὶ ὅσα τοιαῦτα. Ὧν τὰ μὲν φυσικὰ καὶ ἀναγκαῖα τῷ ζώῳ, τὰ δὲ ἐκ προαιρέσεως μοχθηρᾶς, διὰ τὸ ἀνάγωγον τοῦ βίου καὶ πρὸς ἀρετὴν
B ἀγύμναστον ἐπεισαγόμενα. Ὅθεν φαίνεται ὁ Κύριος τὰ μὲν φυσικὰ πάθη παραδεξάμενος (78) εἰς βεβαίωσιν τῆς ἀληθινῆς, καὶ οὐ κατὰ φαντασίαν ἐνανθρωπήσεως, τὰ δὲ ἀπὸ κακίας πάθη, ὅσα τὸ καθαρὸν τῆς ζωῆς ἡμῶν ἐπιῤῥυπαίνει, ταῦτα ὡς ἀνάξια τῆς ἀχράντου θεότητος ἀπωσάμενος. Διὰ τοῦτο εἴρηται ἐν ὁμοιώματι γεγενῆσθαι σαρκὸς ἁμαρτίας. Οὐ γὰρ ἐν ὁμοιώματι σαρκὸς, ὡς τούτοις δοκεῖ, ἀλλ' ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας. Ὥστε σάρκα μὲν τὴν ἡμετέραν ἀνέλαβε μετὰ τῶν φυσικῶν αὐτῆς παθῶν, ἁμαρτίαν δὲ οὐκ ἐποίησεν. Ἀλλ' ὥσπερ ὁ θάνατος, ὁ ἐν τῇ σαρκὶ, διὰ τοῦ Ἀδὰμ εἰς ἡμᾶς παραπεμφθεὶς, κατεπόθη ὑπὸ τῆς θεότητος, οὕτω καὶ ἡ ἁμαρτία ἐξανηλώθη (79) ὑπὸ τῆς δικαιοσύνης τῆς ἐν Χριστῷ
C Ἰησοῦ· ὥστε ἡμᾶς ἐν τῇ ἀναστάσει ἀπολαβεῖν τὴν σάρκα, μήτε ὑπόδικον θανάτῳ, μήτε ὑπεύθυνον ἁμαρτίᾳ. Ταῦτά ἐστιν, ἀδελφοὶ, τὰ τῆς Ἐκκλησίας μυστήρια, αὗται τῶν Πατέρων αἱ παραδόσεις. Διαμαρτυρόμεθα παντὶ ἀνθρώπῳ φοβουμένῳ τὸν Κύριον, καὶ κρίσιν Θεοῦ ἀναμένοντι (80), διδαχαῖς ποικίλαις μὴ παραφέρεσθαι. Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τῆς πίστεως, ἀλλὰ παρωθούμενος τὰ τοῦ Πνεύματος λόγια, τὴν οἰκείαν διδασκαλίαν κυριωτέραν (81) ποιεῖται τῶν εὐαγγελικῶν διδαγμάτων, φυλάσσεσθε τὸν τοιοῦτον. Παράσχοι δὲ ὁ Κύριος καὶ εἰς ταυτὸν ἡμᾶς ἀλλήλοις συνελθεῖν ποτε· ὥστε ὅσα τὸν λόγον ἡμῶν διέφυγε, ταῦτα διὰ τῆς κατ' ὀφθαλμοὺς συντυχίας ἀναπληρῶσαι (82). Καὶ γὰρ ὀλίγα ἐκ πολλῶν ὑμῖν ἐπεστείλαμεν, οὐ βου-
D λόμενοι ἔξω γενέσθαι τοῦ μέτρου τῆς ἐπιστολῆς· καὶ ἅμα πεπεισμένοι, ὅτι τοῖς φοβουμένοις τὸν Κύριον ἐξαρκεῖ καὶ ἡ δι' ὀλίγων ὑπόμνησις.

[28] Rom. VIII, 3. [29] I Petr. II, 22. [30] Rom. V, 12 sqq.

(76) *Ἀποδύρεσθαι*. Coisl. primus ἀποδύρασθαι. Non incommode reddi posset: *qui quidem lugendi sunt*, sicque habuit prior interpretatio. Sed sequi malui simillimum Basilii locum in epist. 210, ubi de iis qui Sabellianam impietatem renovabant, sic loquitur n. 5: Οὓς, ἐὰν μὴ παύσωνται λαλεῖν κατὰ Θεοῦ ἀδικίαν, ὀδύρεσθαι χρὴ μετὰ τῶν ἀρνησιχρίστων· *Quibus quidem, nisi desinant loqui adversus Deum iniquitatem, lugendum est cum iis qui Christum negant*. Ibidem editi ἡμῖν ἐπεισάγοντας. Coisl. uterque cum duobus Regiis habent ὑμῖν. Legitur etiam βλασφημίας pro ταραχάς in Coisl. secundo et duobus Regiis.

(77) *Τὰ τοῦ ἀνθρώπου*. Ita Med. et Coisl. primus. Editi τὰ ἀνθρώπων.

(78) *Παραδεξάμενος*. Sex mss. παραδεχόμενος, nempe Vaticanus, Coisl. secundus et quatuor Regii. Sed Coisl. primus et Med. cum editis consentiunt.

(79) *Ἐξανηλώθη*. Codices nonnulli ἐξαναλώθη.

(80) *Ἀναμένοντι*. Coisl. secundus et Reg. secundus διαναμένοντι.

(81) *Κυριωτέραν*. Coisl. secundus cum quatuor Regiis προτιμοτέραν.

(82) *Ἀναπληρῶσαι*. Ita Coisl. primus et tres Regii. Editi ἐναπληρῶσαι. Ibidem Coisl. primus et Med. ἀπὸ πολλῶν.

ΕΠΙΣΤΟΛΗ ΣΞΒ'.

EPISTOLA CCLXII*.

Cum ad Basilium Urbicius non sine aliqua timiditate et excusatione scripsisset, jubet eum Basilius hanc timiditatem ejicere, rogatque ut sæpe ad se scribat, et quinam in sua Ecclesia sani sint in fide nuntiet. Audierat enim nonnullos ex his, qui cum Urbicio erant, Deum in carnem conversum fingere. Horum errorem breviter refellit, Urbiciumque hortatur, ut ecclesiastica emendatione hæc impietas non careat.

Οὐρβικίῳ μονάζοντι (83).

1. Καλῶς ἐποίησας ἐπιστείλας ἡμῖν· ἔδειξας γὰρ οὐ μικρὸν τὸν καρπὸν τῆς ἀγάπης· καὶ συνεχῶς ποίει τοῦτο. Μὴ μέντοι νομίσῃς ἀπολογίας σοι δεῖν, ὅταν ἡμῖν ἐπιστέλλῃς. Γνωρίζομεν γὰρ ἑαυτοὺς, καὶ οἴδαμεν, ὅτι παντὶ ἀνθρώπῳ πρὸς πάντας ὁμοτιμίας ἰσότης ἐστί· (84) κατὰ τὴν φύσιν· ὑπεροχαὶ δὲ ἐν ἡμῖν οὐ κατὰ γένος, οὐδὲ κατὰ περιουσίαν χρημάτων, οὐδὲ κατὰ τὴν τοῦ σώματος κατασκευὴν, ἀλλὰ κατὰ τὴν ὑπεροχὴν τοῦ φόβου τοῦ πρὸς τὸν Θεόν. Ὥστε, τί κωλύει σε, πλεῖον (85) φοβούμενον τὸν Δεσπότην, μείζονα ἡμῶν εἶναι κατ' αὐτὸ τοῦτο; Συνεχῶς οὖν ἡμῖν ἐπίστελλε, καὶ γνώριζε, πῶς ἡ περὶ σὲ ἀδελφότης, καὶ τίνες τῶν τῆς Ἐκκλησίας τῆς καθ' ὑμᾶς (86) ὑγιαίνουσιν· ἵνα εἰδῶμεν οἷς χρὴ γράφειν, καὶ τίσιν ἐπαναπαύεσθαι. Ἐπεὶ δὲ ἀκούω τινὰς εἶναι τοὺς τὸ εὐθὲς περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου δόγμα ἐν διαστρόφοις ὑπολήψεσι παραχαράσσοντας (87), παρακαλῶ αὐτοὺς διὰ τῆς σῆς ἀγάπης ἀποσχέσθαι τῆς ἀτόπου ἐκείνης ἐννοίας, ἣν ἔχειν τινὲς ἡμῖν καταγγέλλονται, ὡς αὐτοῦ τοῦ Θεοῦ εἰς σάρκα τραπέντος, καὶ οὐχὶ προσλαβόντος, διὰ τῆς ἁγίας (88) Μαρίας τὸ τοῦ Ἀδὰμ φύραμα, ἀλλ' αὐτοῦ τῇ οἰκείᾳ θεότητι εἰς τὴν ὑλικὴν φύσιν μεταβληθέντος.

2. Τοῦτο δὲ τὸ ἄτοπον ἐλέγξαι καὶ πάνυ ῥᾴδιον. Ἀλλ' ἐπειδὴ αὐτόθεν ἔχει τὸ ἐναργὲς ἡ βλασφημία, νομίζω τῷ φοβουμένῳ τὸν Κύριον ἀρκεῖν καὶ μόνην τὴν ὑπόμνησιν. Εἰ γὰρ ἐτράπη, καὶ ἠλλοιώθη. Τοῦτο δὲ ἀπείη καὶ λέγειν καὶ ἐννοεῖν, τοῦ Θεοῦ εἰπόντος· *Ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι.* Ἔπειτα, πῶς εἰς ἡμᾶς διέβη ἡ τῆς ἐνανθρωπήσεως ὠφέλεια, εἰ μὴ τὸ ἡμέτερον σῶμα, τῇ θεότητι συναφθὲν, κρεῖττον ἐγένετο τῆς τοῦ θανάτου ἐπικρατείας; Οὐ γὰρ τραπεὶς (89) οἰκεῖον ὑπεστήσατο σῶμα, ὅπερ, παχυνθείσης αὐτῷ τῆς θεϊκῆς φύσεως, ὑπέστη. Πῶς δὲ ἡ ἀπερίληπτος θεότης εἰς μικροῦ σώματος ὄγκον περιεγράφη, εἴπερ ἐτράπη πᾶσα ἡ τοῦ Μονογενοῦς φύσις; Ἀλλὰ τοῦτο μὲν οὐδένα ἡγοῦμαι νοῦν ἔχοντα, καὶ τὸν φόβον τοῦ Θεοῦ κεκτημένον, πάσχειν τὸ ἀῤῥώστημα. Ἐπειδὴ δὲ ἦλθεν εἰς ἐμὲ ἡ φήμη, ὅτι

Urbicio monacho.

A 1. Recte fecisti, quod ad me scripseris : ostendisti enim fructum non exiguum charitatis, idque velim frequenter facias. Nec putes tibi opus esse excusatione, cum ad me scripseris. Nam me ipse novi, et scio quemlibet hominem omnibus parem esse honore secundum naturam : præstantiam autem in nobis, non ex genere, neque ex pecuniarum copia, neque ex corporis constitutione, sed ex excellentiori timoris Dei gradu proficisci. Proinde, quid impedit quominus Dominum magis metuens, major me in hoc ipso sis ? Scribe igitur nobis assidue, ac significa quid rerum agat fratrum qui tecum sunt conventus, et quinam in vestra Ecclesia sani sint ; ut sciam quibus scribendum sit, et in quibus acquiescendum. B Sed quia audio nonnullos esse, qui rectam de **404** Incarnatione Domini doctrinam perversis opinionibus depravent ; adhortor eos per tuam charitatem, ut abstineant absurda illa opinione, quam quidam tenere nobis nuntiantur, Deum ipsum in carnem conversum fuisse, nec assumpsisse Adami massam, per sanctam Mariam, sed ipsum in sua ipsius divinitate in materialem naturam fuisse transmutatum.

2. Absurdum illud commentum confutare omnino facile. Sed quia sua sponte evidentiam habet blasphemia, arbitror Dominum timenti satis esse, vel solam admonitionem. Si enim conversus, etiam mutatus. C Absit autem ut id aut dicamus, aut cogitemus, cum Deus dicat : *Ego sum, et non mutor* [31] ! Deinde, quomodo ad nos transiit Incarnationis fructus, si non corpus nostrum divinitati conjunctum, mortis dominatum superavit? Si enim conversus est, proprium constituit corpus, quod videlicet, densata in ipso deitate, substitit. Quomodo autem incomprehensibilis divinitas parvi corporis mole circumscripta est, si nempe conversa est tota Unigeniti natura ? Verum hoc neminem arbitror, modo mente præditus sit, Deique timorem habeat, morbo laborare. Sed quia venit ad me ru-

[31] Malach. III, 6.

(83) *Ουρβικιῳ μονάζοντι.* Sic tres vetustissimi codices. Editi cum duobus Regiis et Coisl. secundo addunt : Ὅτι οὐκ ἐτράπη εἰς σῶμα ὁ Θεὸς Λόγος, ἀλλ' ἥνωσεν ἑαυτῷ τὸ τοῦ Ἀδὰμ φύραμα· *Quod Deus Verbum non conversum sit in corpus, sed sibi univerit Adami massam.*

(84) *Ὁμοτιμίας ἰσότης ἐστί.* Ita Harl., Med., Coisl. primus et Clarom. Editi ὁμοτιμία ἐστί.

(85) *Πλεῖον.* Harl., Colbert. et Clarom. addunt ἡμῶν.

(86) *Τῆς καθ' ὑμᾶς.* Male in editis τῆς καθ' ἡμᾶς, quod non minus pugnat cum antiquis codicibus, quam cum Basilii sententia. Ibidem in non-

D nullis codicibus recentioribus legitur sine conjunctione τίνες τῶν τῆς καθ' ὑμᾶς.

(87) *Παραχαράσσοντας, παρακαλῶ αὐτούς.* Ita octo mss., excepto quod in Medicæo et Harlæano legatur οὓς παρακαλῶ. Editi παραχαράσσονται αὐτοὺς, διά, etc. Ibidem legitur in codicibus Harl. et Med. πρὸς τὴν σάρκα.

(88) *Ἁγίας.* Deest ea vox in tribus mss. non vetustissimis.

(89) *Οὐ γὰρ τραπείς.* Legendum videtur Εἰ γὰρ τραπείς, vel Ὁ γὰρ τραπείς. Postremam scripturam in solo invenimus Coisliniano secundo. Cæteri consentiunt cum editis.

* Alias CCCXLIV. Scripta circa annum 377.

mor, nonnullos ex iis qui cum tua charitate versantur, hac infirmitate mentis teneri, necesse esse duxi, ut salutatione nuda non uterer, sed mea epistola aliquid tale contineret, quod posset etiam animas Dominum timentium ædificare. Adhortor igitur, ut hæc ecclesiastica emendatione non careant, et vos ab hæreticorum communione sejungatis : scientes indifferentia his in rebus nostram in Christo libertatem tolli.

A τινὲς τῶν μετὰ τῆς ἀγάπης σου ἐν τῇ ἀσθενείᾳ ταύτῃ τῶν λογισμῶν εἰσιν, ἀναγκαῖον ἡγησάμην, μὴ ψιλὴν ποιήσασθαι τὴν πρόσρησιν, ἀλλ' ἔχειν τι τὴν ἐπιστολὴν ἡμῶν τοιοῦτον, ὃ δύναται καὶ οἰκοδομῆσαι τὰς ψυχὰς τῶν φοβουμένων τὸν Κύριον. Ταῦτα οὖν παρακαλοῦμεν διορθώσεως τυχεῖν ἐκκλησιαστικῆς, καὶ τῆς πρὸς τοὺς αἱρετικοὺς κοινωνίας ὑμᾶς ἀπέχεσθαι· εἰδότας, ὅτι τὸ ἐν τούτοις ἀδιαφορεῖν (90) τὴν ἐπὶ τῷ Χριστοῦ παῤῥησίαν ἡμῶν ἀφαιρεῖται.

EPISTOLA CCLXIII *.

ΕΠΙΣΤΟΛΗ ΣΞΓ.

Gratias agunt Orientales Occidentalibus, quod magnum succurrendi Orienti studium significaverint. Rogant ut hoc beneficium impendant vel invisendo vel saltem scribendo; eorum enim sententiam eo majoris futuram ponderis, quo magis alieni sunt a simultatis suspicione. Rerum autem perturbationem non tam Arianis attribuunt, quam iis qui sub pelle ovis latentes grassantur, nempe Eustathio et Apollinario. Primi inconstantia in fide describitur; alterius varii errores recensentur. Accusatur etiam Paulinus quod Marcelli sectatores recipiat. Rogantur Occidentales, ut decernant recipiendos esse eos qui ab errore discedent, obstinatos autem excommunicandos.

Occidentalibus.

1. Dominus Deus noster, in quem speravimus, tantam cuique vestrum gratiam largiatur, ut ad propositam spem perveniatis, quanto ipsi gaudio corda nostra implevistis, tum ex litteris, quas nobis per optatissimos compresbyteros scripsistis, tum ex commiseratione, quam ærumnis nostris impendistis, ut induti viscera misericordiæ, quemadmodum prædicti viri nobis annuntiaverunt. Etsi enim vulnera nostra eadem permanent, aliquod tamen solatium est, paratos **405** habere medicos, qui possint, si tempus nanciscantur, celerem afferre nostris doloribus medelam. Quapropter rursus etiam vos per dilectos et salutamus, et adhortamur, ut si Dominus quidem facultatem vobis dederit ad nos proficiscendi, ne pigremini nos invisere. Maximum enim mandatum est infirmorum visitatio. Quod si bonus Deus ac sapiens vitæ nostræ moderator, hoc beneficium in aliud tempus reservat; saltem nobis scribite quæcunque a vobis scribi decet ad solamen afflictorum et erectionem confractorum. Jam enim multæ contritiones Ecclesiæ exstiterunt, nobisque magna ex eis afflictio : nec aliunde exspectatio ulla auxilii, nisi Dominus per vos, a quibus sincere colitur, miserit medelam.

2. Audax quidem illa ac impudens Arianorum hæresis, palam abscissa a corpore Ecclesiæ, manet in suo ipsius errore, nobisque non multum nocet, quia omnibus aperta ipsorum impietas. Qui autem pellem ovinam induti sunt,

B

Τοῖς Δυτικοῖς (91).

1. Κύριος ὁ Θεὸς ἡμῶν, ἐφ' ὃν ἠλπίσαμεν (92), τοσαύτην ὑμῶν ἑκάστῳ παράσχοι χάριν εἰς τὸ ἐπιτυχεῖν τῆς προκειμένης ἐλπίδος, ὅσης αὐτοὶ χαρᾶς τὰς καρδίας ἡμῶν ἐνεπλήσατε, ἔκ τε τῶν γραμμάτων ἃ ἐπεστείλατε ἡμῖν διὰ τῶν ποθεινοτάτων συμπρεσβυτέρων ἡμῶν, καὶ ἐκ τῆς συμπαθείας τῶν καθ' ἡμᾶς λυπηρῶν, ἣν συνεπαθήσατε ἡμῖν, ὡς ἐνδεδυμένοι σπλάγχνα οἰκτιρμοῦ, καθὼς ἀπήγγειλαν ἡμῖν οἱ προειρημένοι. Καὶ γὰρ, εἰ καὶ τὰ τραύματα ἡμῶν ὅμοια διαμένει, ἀλλ' οὖν φέρει τινὰ ἡμῖν ῥᾳστώνην τὸ ἑτοίμους ἔχειν τοὺς ἰατροὺς, δυναμένους, εἰ καιροῦ λάβοιντο, ταχεῖαν ἐπαγαγεῖν (93) τῶν ἀλγημάτων τὴν ἴασιν. Διὸ καὶ πάλιν ὑμᾶς διὰ τῶν ἀγαπητῶν καὶ προσφθεγγόμεθα, καὶ παρακαλοῦμεν, εἰ μὲν δίδωσιν C ὑμῖν ὁ Κύριος ἄδειαν τοῦ ὡς ἡμᾶς (94) ἀφικέσθαι, μὴ ὀκνῆσαι ἡμῶν τὴν ἐπίσκεψιν· ἐντολῆς γάρ ἐστι τῆς μεγίστης ἡ τῶν ἀσθενούντων ἐπίσκεψις. Εἰ δὲ ὁ ἀγαθὸς Θεὸς καὶ σοφὸς τῆς ζωῆς ἡμῶν οἰκονόμος τὴν χάριν ταύτην εἰς ἕτερον καιρὸν ταμιεύεται (95), ἀλλ' ἐπιστείλατε ἡμῖν ὅσα παρ' ὑμῶν πρέπει γραφῆναι εἰς παράκλησιν μὲν τῶν θλιβομένων, διόρθωσιν δὲ τῶν συντετριμμένων. Πολλὰ γὰρ ἤδη τὰ συντρίμματα τῆς Ἐκκλησίας γέγονε, καὶ πολλὴ ἡμῖν ἐπ' αὐτοῖς ἡ θλίψις· καὶ προσδοκία βοηθείας ἑτέρωθεν οὐδαμόθεν, ἐὰν μὴ ὁ Κύριος δι' ὑμῶν τῶν γνησίως δουλευόντων αὐτῷ ἐξαποστείλῃ τὴν ἴασιν.

2. Τὸ μὲν οὖν (96) ἰταμὸν καὶ ἀναίσχυντον τῆς αἱρέσεως τῶν Ἀρειανῶν, φανερῶς ἀποῤῥαγὲν τοῦ D σώματος τῆς Ἐκκλησίας, μένει ἐπὶ τῆς ἰδίας πλάνης, καὶ ὀλίγα ἡμᾶς λυμαίνεται, διὰ τὸ πᾶσι πρόδηλον αὐτῶν τὴν ἀσέβειαν εἶναι· οἱ δὲ τὴν δορὰν τοῦ

* Alias LXXIV. Scripta anno 377.

(90) *Ἀδιαφορεῖν*. Med. et Clarom. ἀδιάφορον.

(91) *Τοῖς Δυτικοῖς*. Ita Harl., Med., Coisl. primus et tres Regii. Alius itidem Regius cum Coisl. secundo et editi addunt : Ἐπισκόποις περὶ Εὐσταθίου Σεβαστηνοῦ, καὶ Ἀπολλιναρίου, καὶ Παυλίνου, καὶ τῆς ἑκάστου τούτων αἱρέσεως, *Ad Occidentales episcopos de Eustathio Sebasteno, Apollinario et Paulino, deque unius istorum cujusque hæresi.*

(92) *Ἠλπίσαμεν*. Ita mss. septem et editiones Hagan. et Basil. prim. Aliæ ἐλπίζομεν. Paulo post editio Basil. secunda et Paris. ἀνεπλήσατε. Septem mss. et editiones antiquæ, ut in textu. Nec longe quidam codices ἀπεστείλατε et σπλάγχνα οἰκτιρμῶν.

(93) *Ἐπαγαγεῖν*. Ita octo mss. Editi ἐπάγειν. Mox editi καὶ προσαγορεύομεν. Octo mss. ut in textu.

(94) *Ὡς ἡμᾶς*. Coisl. primus et Med. πρὸς ἡμᾶς. Harl. et tres alii ὡς ἡμᾶς πορεύεσθαι. Duo alii πορεύσεσθαι.

(95) *Ταμιεύεται*. Regius secundus et Coisl. secundus ταμιεύσεται. Non longe inepte in duobus Regiis codicibus προσδοκία μοι. Non enim hæc epistola unius scripta Basilii nomine.

(96) *Τὸ μὲν οὖν*. Deest ultima vocula in codicibus Med. et Coisl. primo. Legitur τὸ μὲν γὰρ in Harlæano.

προβάτου περιβεβλημένοι, καὶ τὴν ἐπιφάνειαν ἥμερον προβαλλόμενοι καὶ πραεῖαν, ἔνδοθεν δὲ σπαράσσοντες ἀφειδῶς τὰ τοῦ Χριστοῦ ποίμνια, καὶ διὰ τὸ ἐξ ἡμῶν ὡρμῆσθαι, εὐκόλως ἐμβάλλοντες βλάβην τοῖς ἁπλουστέροις· οὗτοί εἰσιν οἱ χαλεποὶ καὶ δυσφύλακτοι. Οὓς ἀξιοῦμεν παρὰ τῆς ὑμετέρας ἀκριβείας πρὸς πάσας τὰς κατὰ τὴν Ἀνατολὴν Ἐκκλησίας δημοσιευθῆναι· ἵνα, ἢ ὀρθοποδήσαντες, γνησίως ὦσι σὺν ἡμῖν, ἢ μένοντες ἐπὶ τῆς διαστροφῆς, ἐν ἑαυτοῖς μόνοις τὴν βλάβην ἔχωσι, μὴ δυνάμενοι ἐκ τῆς ἀφυλάκτου κοινωνίας τῆς ἰδίας νόσου μεταδιδόναι (97) τοῖς πλησιάζουσιν. Ἀνάγκη δὲ τούτων ὀνομαστὶ μνησθῆναι, ἵνα καὶ αὐτοὶ γνωρίσητε τοὺς ταραχὰς παρ' ἡμῖν (98) ἐργαζομένους, καὶ ταῖς Ἐκκλησίαις ἡμῶν φανερὸν καταστήσατε (99). Ὁ μὲν γὰρ παρ' ἡμῶν λόγος ὕποπτός ἐστι τοῖς πολλοῖς, ὡς τάχα διά τινας ἰδιωτικὰς φιλονεικίας τὴν μικροψυχίαν πρὸς αὐτοὺς ἑλομένων· ὑμεῖς δὲ, ὅσον μακρὰν αὐτῶν (1) ἀπῳκισμένοι τυγχάνετε, τοσούτῳ πλέον παρὰ τοῖς λαοῖς τὸ ἀξιόπιστον ἔχετε, πρὸς τῷ καὶ τὴν παρὰ τοῦ Θεοῦ (2) χάριν συναίρεσθαι ὑμῖν εἰς τὴν ὑπὲρ τῶν καταπονουμένων ἐπιμέλειαν. Ἐὰν δὲ καὶ συμφώνως πλείονες ὁμοῦ τὰ αὐτὰ δογματίσητε, δῆλον, ὅτι τὸ πλῆθος τῶν δογματισάντων ἀναντίῤῥητον πᾶσι τὴν παραδοχὴν κατασκευάσει τοῦ δόγματος.

3. Ἔστι τοίνυν εἷς τῶν πολλὴν ἡμῖν κατασκευαζόντων (3) λύπην Εὐστάθιος ὁ ἐκ τῆς Σεβαστείας τῆς κατὰ τὴν μικρὰν Ἀρμενίαν· ὃς, πάλαι μαθητευθεὶς τῷ Ἀρείῳ, καὶ ὅτε (4) ἤκμαζεν ἐπὶ τῆς Ἀλεξανδρείας, τὰς πονηρὰς κατὰ τοῦ Μονογενοῦς συντιθεὶς βλασφημίας, ἀκολουθῶν ἐκείνῳ, καὶ τοῖς γνησιωτάτοις αὐτοῦ τῶν μαθητῶν ἐναριθμούμενος (5), ἐπειδὴ ἐπανῆλθεν εἰς τὴν ἑαυτοῦ, τῷ μακαριωτάτῳ ἐπισκόπῳ (6) Ἑρμογένει τῷ Καισαρείας, κρίνοντι αὐτὸν ἐπὶ τῇ κακοδοξίᾳ, ὁμολογίαν ἔδωκε πίστεως ὑγιοῦς. Καὶ οὕτω τὴν χειροτονίαν ὑπ' αὐτοῦ δεξάμενος (7), μετὰ τὴν ἐκείνου κοίμησιν πρὸς τὸν ἐπὶ τῆς Κωνσταντινουπόλεως Εὐσέβιον ἔδραμεν, οὐδενὸς ἔλαττον καὶ αὐτὸν τὸ δυσσεβὲς δόγμα τοῦ Ἀρείου πρεσβεύοντα. Εἶτα ἐκεῖθεν διὰ οἵας δήποτε (8) αἰτίας ἀπελαθεὶς, ἐλθὼν τοῖς ἐπὶ τῆς πατρίδος ἀπελογήσατο πάλιν· τὸ μὲν δυσσεβὲς ἐπικρυπτόμενος φρόνημα, ῥημάτων δέ τινα ὀρθότητα προβαλλόμενος (9). Καὶ τυχὼν τῆς ἐπισκοπῆς, ὡς

ac speciem blandam præ se ferunt ac lenem, intus vero dilaniant crudeliter Christi gregem, et propterea quod ex nobis exorti sunt, facile perniciem inferunt simplicioribus; hi sunt, qui molestiam exhibent, ac ægre vitari possunt. Hos rogamus ut vestra diligentia omnibus Orientis Ecclesiis denuntiet, ut, aut rectam viam ingressi sincere versentur nobiscum, aut, si in sua permaneant perversitate, damnum intra se solos contineant, nec possint ex incauta communione morbum suum cum proximis communicare. Necesse est autem horum nominatim meminisse, ut et ipsi cognoscatis eos qui turbas apud nos movent, eosque nostris Ecclesiis manifestos facite. Nam sermo noster suspectus est pluribus, quasi forte ob privatas quasdam simultates exili et jejuno in illos animo simus. Vos vero quanto ob illis longius degitis, tanto majorem apud populos habetis auctoritatem, præterquam quod Dei etiam gratia vos adjuvat ad succurrendum iis qui vexantur. Quod si etiam concordi animo plures simul eadem decernetis, perspicuum est multitudinem decernentium omnibus persuasuram, ut decretum citra controversiam suscipiant.

3. Est itaque unus ex iis, qui nobis multum exhibent molestiæ, Eustathius ex Sebastia in minore Armenia, qui olim edoctus ab Ario, et cum is floreret Alexandriæ pravas in Unigenitum construens blasphemias, eum secutus, **406** atque inter germanissimos illius discipulos numeratus, posteaquam rediit in patriam, beatissimo Cæsareæ episcopo Hermogeni, ipsum ob pravam doctrinam condemnanti, confessionem sanæ fidei obtulit. Atque ita ab ipso ordinatus, post illius dormitionem statim ad Eusebium Constantinopolitanum accurrit, qui et ipse nemini concedebat in impio Arii dogmate tuendo. Deinde hinc ob aliquas causas, quæcunque illæ sint, expulsus, cum ad suos populares venisset, iterum sese purgavit; impiam quidem occultans sententiam; in verbis autem recti aliquid et accurati præ se ferens. Episcopatum forte adeptus, illico comperitur anathematismum consubstan-

(97) *Μεταδιδόναι*. Coisl. primus et Med. μεταδοῦναι.

(98) *Παρ' ἡμῖν*. Editi addunt καὶ τὰ σκάνδαλα. Quod additamentum deest in octo mss.

(99) *Φανερὸν καταστήσατε*. Videtur prima specie accuratior editorum lectio φανεροὺς καταστήσητε. Sed tamen discedere non libet ab auctoritate octo veterum librorum, cum præsertim eorum scriptura, quam in textu posuimus, commodo sensu non careat. Legitur etiam φανερόν in editione Hagan. Ibidem Medicæus codex cum tribus Regiis Ἐκκλησίαις ὑμῶν. Sed magis placet vulgata scriptura. Supra enim rogantur Occidentales, ut ejusmodi homines Orientis Ecclesiis denuntient.

(1) *Μακρὰν αὐτῶν*. Coisl. primus et Med. μακρὰν αὐτοῖς. Ibidem editi τοσοῦτον. Coisl. primus et tres alii ut in textu. Mox codices nonnulli πρὸς τό.

(2) *Παρὰ τοῦ Θεοῦ*. Deest præpositio in Coisl. 1.

(3) *Κατασκευαζόντων*. Ita mss. octo. Editi παρασκευαζόντων.

(4) *Καὶ ὅτε*. Conjunctio addita ex sex mss.

(5) *Ἐναριθμούμενος*. Ita octo mss. Editi ἐν τοῖς... ἀριθμούμενος, excepta tamen editione Hagan. quæ cum mss. consentit.

(6) *Ἐπισκόπῳ*. Deest ea vox in codice Medicæo.

(7) *Δεξάμενος*. Hic editi addunt Εὐστάθιος, quod melius abest a codicibus Harl. et Coisl. primo. Paulo post Medicæus codex ἐν Κωνσταντινουπόλει.

(8) *Διὰ οἵας δήποτε*. Ita Med. et Coisl. primus. Editi δι' ἧς δήποτε. Paulo post in Coisl. primo et aliis nonnullis legitur ἀπελογήσατο, πάλιν τό, etc.

(9) *Προβαλλόμενος*. Ita mss. sex. Editi προσβαλλόμενος. Paulo post editi φαίνεται γράψαι. Sex mss. ut in textu.

tialis scripsisse in Ancyrana synodo, quæ ab ipsis habebatur. Hinc autem cum Seleuciam venisset, ea gessit cum suæ sententiæ consortibus quæ omnes norunt. Constantinopoli autem iterum assensus est iis quæ ab hæreticis proposita fuerunt. Atque ita ex episcopatu ejectus, propterea quod antea Melitinæ depositus esset, hanc sibi restitutionis viam invenit, ut ad vos se conferret. Quænam autem ei proposita fuerint a beatissimo episcopo Liberio, et quibusnam assensus sit, ignoramus, nisi quod epistolam attulit, quæ eum restituebat, eaque ostensa concilio Tyanensi in suum locum restitutus est. Hic nunc depopulatur fidem illam, ob quam susceptus est, atque una cum iis est, qui consubstantiale anathematizant, seque ducem præbet hæresis Pneumatomachorum. Quoniam igitur istinc evenit illi facultas lædendi Ecclesias, ac data a vobis fiducia utitur ad subversionem multorum, necesse est istinc quoque venire et emendationem, ac per litteras Ecclesiis significari, quibusnam conditionibus susceptus sit, et quomodo nunc immutatus irritum faciat beneficium sibi concessum a Patribus qui tunc erant.

4. Secundus post ipsum est Apolinarius, non parum et ipse Ecclesias contristans. Cum enim scribendi facilitate lingua ei ad omne argumentum prompta sit, replevit scriptis suis orbem terrarum, contempta objurgatione illius, qui dicit: *Cave facere libros multos* [32]: ita quoque profecto in multitudine peccata multa sunt. Quomodo enim possit in multiloquio [33] peccatum vitari? Illius igitur de theologia disputationes, non petitis e Scriptura probationibus, sed humanis argumentis nituntur. Sunt autem illi et de resurrectione elucubrationes fabulose scriptæ, vel potius Judaice: in quibus ait nos rursus ad legalem reversuros cultum, rursusque circumcisum iri, et Sabbata observaturos, atque abstenturos a cibis, et victimas oblaturos Deo, et adoraturos Jerosolymis **407** in templo, ac omnino Judæos ex Christianis futuros. Quibus quidnam magis ridiculum esse possit, aut ab evangelico dogmate magis alienum? Deinde ea etiam quæ de Incarnatione tradidit, tantam intulerunt fratribus perturbationem, ut jam pauci ex iis qui legerunt, priscam pietatis formam conservent: contra, plerique novitatibus intenti, ad quæstiones et ad pertinaces inutilium horum verborum investigationes deflexerint.

A ἔτυχεν, εὐθὺς φαίνεται γράψας ἀναθεματισμὸν τοῦ ὁμοουσίου, ἐν τῷ κατὰ Ἀγκύραν γενομένῳ αὐτοῖς συλλόγῳ. Κἀκεῖθεν ἐπὶ τὴν Σελεύκειαν ἐλθὼν, δέδρακε (10) μετὰ τῶν ἑαυτοῦ ὁμοδόξων ἃ πάντες ἴσασιν. Ἐν δὲ τῇ Κωνσταντινουπόλει συνέθετο πάλιν τοῖς ἀπὸ τῶν αἱρετικῶν προταθεῖσι. Καὶ οὕτως ἀπελαθεὶς τῆς ἐπισκοπῆς, διὰ τὸ ἐν τῇ Μελιτινῇ (11) προκαθῃρῆσθαι, ὁδὸν ἑαυτῷ τῆς ἀποκαταστάσεως ἐπενόησε τὴν ὡς ὑμᾶς ἄφιξιν. Καὶ τίνα μέν ἐστιν ἃ προετάθη αὐτῷ παρὰ τοῦ μακαριωτάτου ἐπισκόπου Λιβερίου, τίνα δὲ ἃ αὐτὸς συνέθετο, ἀγνοοῦμεν, πλὴν ὅτι ἐπιστολὴν ἐκόμισεν ἀποκαθιστῶσαν αὐτὸν, ἣν ἐπιδείξας τῇ κατὰ Τύανα συνόδῳ, ἀποκατέστη τῷ τόπῳ. Οὗτος νῦν πορθεῖ τὴν πίστιν ἐκείνην, ἐφ' ᾗ ἐδέχθη, καὶ τοῖς ἀναθεματίζουσι τὸ ὁμοούσιον σύνεστι, καὶ
B πρωτοστάτης ἐστὶ τῆς τῶν πνευματομάχων αἱρέσεως. Ἐπεὶ οὖν αὐτόθεν γέγονεν αὐτῷ ἡ δύναμις τοῦ ἀδικεῖν τὰς Ἐκκλησίας, καὶ τῇ παρ' ὑμῶν δεδομένῃ αὐτῷ παῤῥησίᾳ κέχρηται εἰς καταστροφὴν τῶν πολλῶν, ἀνάγκη αὐτόθεν ἐλθεῖν καὶ τὴν διόρθωσιν, καὶ ἐπισταλῆναι ταῖς Ἐκκλησίαις, τίνα μέν ἐστιν ἐφ' οἷς ἐδέχθη, πῶς δὲ νῦν μεταβληθεὶς ἀκυροῖ τὴν χάριν τὴν δοθεῖσαν αὐτῷ διὰ τῶν τότε Πατέρων.

4. Δεύτερος μετ' αὐτόν ἐστιν Ἀπολινάριος, οὐ μικρῶς καὶ αὐτὸς τὰς Ἐκκλησίας παραλυπῶν. Τῇ γὰρ τοῦ γράφειν εὐκολίᾳ πρὸς πᾶσαν ὑπόθεσιν ἔχων ἀρκοῦσαν αὐτῷ τὴν γλῶσσαν, ἐνέπλησε μὲν τῶν ἑαυτοῦ συνταγμάτων τὴν οἰκουμένην, παρακούσας
C τοῦ ἐγκλήματος τοῦ (12) λέγοντος, ὅτι *Φύλαξαι ποιῆσαι βιβλία πολλά*· ἐν δὲ τῷ πλήθει δηλονότι πολλὰ καὶ ἡμάρτηται. Πῶς γὰρ δυνατὸν ἐκ πολυλογίας ἐκφυγεῖν ἁμαρτίαν; Ἔστι μὲν οὖν αὐτοῦ καὶ τὰ τῆς θεολογίας οὐκ ἐκ γραφικῶν ἀποδείξεων, ἀλλ' ἐξ ἀνθρωπίνων ἀφορμῶν (13) τὴν κατασκευὴν ἔχοντα· ἔστι δὲ αὐτῷ καὶ τὰ περὶ ἀναστάσεως μυθικῶς συγκείμενα, μᾶλλον δὲ Ἰουδαϊκῶς· ἐν οἷς φησι πάλιν ἡμᾶς πρὸς τὴν νομικὴν ὑποστρέφειν (14) λατρείαν, καὶ πάλιν ἡμᾶς περιτμηθήσεσθαι, καὶ σαββατίζειν, καὶ βρωμάτων ἀπέχεσθαι, καὶ θυσίας προσοίσειν Θεῷ, καὶ προσκυνήσειν ἐν Ἱεροσολύμοις ἐπὶ τοῦ ναοῦ, καὶ ὅλως ἀπὸ Χριστιανῶν Ἰουδαίους γενήσεσθαι. Ὧν τί ἂν γένοιτο καταγελαστότερον, μᾶλλον δὲ ἀλλοτριώτερον τοῦ εὐαγγελικοῦ δόγματος; Εἶτα καὶ τὰ περὶ
D σαρκώσεως τοσαύτην ἐποίησε τῇ ἀδελφότητι τὴν ταραχὴν, ὥστε ὀλίγοι λοιπὸν τῶν ἐντετυχηκότων τὸν ἀρχαῖον τῆς εὐσεβείας διασώζουσι χαρακτῆρα· οἱ δὲ πολλοὶ, ταῖς καινοτομίαις προσέχοντες, ἐξετράπησαν εἰς ζητήσεις καὶ φιλονείκους ἐφευρέσεις τῶν ἀνωφελῶν τούτων ῥημάτων.

[32] Eccle. XII, 12. [33] Prov. X, 19.

(10) Δέδρακε. Sex codices mss. ἔγραψεν. Coisl. primus et Med. cum editis consentiunt.

(11) Μελιτινῇ. Medicæus cum tribus Regiis Μελιτήνῃ.

(12) Τοῦ ἐγκλήματος τοῦ, etc. Ita mss. septem. Alius habet τοῦ ἐντάλματος. Editi τοῦ Ἐκκλησιαστοῦ λέγοντος.

(13) Ἀφορμῶν. Coisl. secundus et Regius secundus λογισμῶν.

(14) Ὑποστρέφειν. Ita septem mss., quorum tamen duo habent ἀποστρέφειν. Sic etiam editio Haganoensis. Aliæ vero ὑποστρέψειν. Paulo post editio Parisiensis προσφέρειν. Vetustæ editiones, Harl. et Vat. cum tribus aliis ut in textu. Duo alii προσάγειν.

A 5. Ὁ μέντοι Παυλῖνος, εἰ μέν τι καὶ περὶ τὴν χειροτονίαν ἐπιλήψιμον ἔχει, αὐτοὶ ἂν εἴποιτε· ἡμᾶς δὲ λυπεῖ, τοῖς Μαρκέλλου προσπεπονθὼς (15) δόγμασι, καὶ τοὺς ἀκολουθοῦντας αὐτῷ ἀδιακρίτως εἰς τὴν κοινωνίαν ἑαυτοῦ προσιέμενος. Οἴδατε δὲ, ἀδελφοὶ τιμιώτατοι, ὅτι πάσης ἡμῶν τῆς ἐλπίδος ἀθέτησιν ἔχει τὸ Μαρκέλλου δόγμα, οὔτε Υἱὸν ἐν ἰδίᾳ ὑποστάσει ὁμολογοῦν, ἀλλὰ προενεχθέντα, καὶ πάλιν ὑποστρέψαντα εἰς τὸν ὅθεν προῆλθεν, οὔτε τὸν Παράκλητον ἰδίως ὑφεστηκέναι συγχωροῦν· ὥστε οὐκ ἄν τις ἁμάρτοι Χριστιανισμοῦ μὲν παντελῶς ἀλλοτρίαν ἀποφαίνων τὴν αἵρεσιν, Ἰουδαϊσμὸν δὲ παρεφθαρμένον αὐτὴν προσαγορεύων. Τούτων τὴν ἐπιμέλειαν γενέσθαι παρ' ὑμῶν ἐπιζητοῦμεν. Γένοιτο δ' ἂν, εἰ ἐπιστεῖλαι καταξιώσητε πάσαις ταῖς κατὰ τὴν Ἀνατολὴν Ἐκκλησίαις, τοὺς ταῦτα παραχαράσσοντας, εἰ μὲν διορθοῖντο, εἶναι κοινωνικούς· εἰ δὲ ἐπιμένειν φιλονείκως βούλοιντο ταῖς καινοτομίαις, χωρίζεσθαι ἀπ' αὐτῶν. Καὶ ὅτι μὲν ἔδει ἡμᾶς συνεδρεύοντας μετὰ τῆς ὑμετέρας φρονήσεως ἐν κοινῇ σκέψει τὰ περὶ τούτων διαλαβεῖν, οὐδὲ αὐτοὶ ἀγνοοῦμεν· ἀλλ' ἐπειδὴ ὁ καιρὸς οὐκ ἐνδίδωσι, καὶ τὸ ἀναβάλλεσθαι βλαβερὸν, τῆς ἀπ' αὐτῶν (16) βλάβης ἐῤῥιζωμένης, ἀναγκαίως ἀπεστείλαμεν τοὺς ἀδελφούς· ἵνα ὅσα καὶ τὴν ἐκ τοῦ γράμματος διδασκαλίαν παρέλαθε, ταῦτα παρ' ἑαυτῶν ἀναδιδάξαντες, κινήσωσιν ὑμῶν τὴν εὐλάβειαν εἰς τὸ παρασχέσθαι τὴν ἐπιζητουμένην βοήθειαν ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις.

5. Paulinus autem utrum aliquid et circa ordinationem reprehensioni obnoxium habeat, ipsi dixeritis. Nos sane mœrore afficit, quod in Marcelli dogmata propendet, ac illius sectatores sine discrimine ad suam communionem admittit. Scitis enim, fratres maxime colendi, spem nostram omnem everti Marcelli dogmate, quod neque Filium in propria hypostasi confitetur, sed prolatum esse, et rursus reversum ad eum, ex quo processerat, neque Paracletum hypostasim propriam habere concedit: quare non aberraverit, qui a Christianismo penitus alienam hæresim pronuntiet, ac Judaismum corruptum illam appellet. A vobis ut horum curam suscipiatis efflagitamus. Suscipietis autem, si omnibus B Orientis Ecclesiis scribere non gravemini, eos qui hæc depravant, si corrigantur, admittendos ad communionem; sin autem pertinaciter novitatibus adhærescere voluerint, ab Ecclesiis abscindendos. Atque id quidem factum a nobis oportuisse, ut una cum vestra prudentia sedentes, communi deliberatione de his ageremus, ne ipsi quidem ignoramus. Sed quoniam tempus non permittit, et dilatio exitiosa est, illato ab ipsis damno radice agente, necessario hos fratres misimus, ut et quæcunque litterarum documenta effugerunt, hæc per se ipsi edocentes, pietatem vestram incitent ad expetitum Dei Ecclesiis ferendum auxilium.

ΕΠΙΣΤΟΛΗ ΣΞΔ'.

EPISTOLA CCLXIV*.

Barsam Basilius, oblata occasione Domnini et sociorum ejus, salutat et hortatur ut oret pro Ecclesia, cui quidem sperat Basilius pacem datum iri, nisi appropinquet defectio.

Βάρσῃ, ἐπισκόπῳ Ἐδέσσης, ἐν ἐξορίᾳ ὄντι. C

Τῷ ὡς ἀληθῶς θεοφιλεστάτῳ καὶ πάσης αἰδοῦς καὶ τιμῆς ἀξίῳ ἐπισκόπῳ Βάρσῃ Βασίλειος ἐν Κυρίῳ χαίρειν. Ἐρχομένων τῶν γνησιωτάτων ἀδελφῶν τῶν περὶ Δομνῖνον (17) πρὸς τὴν εὐλάβειάν σου, ἡδέως τὴν ἀφορμὴν τῶν γραμμάτων ἐδεξάμεθα, καὶ προσαγορεύομέν σε δι' αὐτῶν, εὐχόμενοι τῷ ἁγίῳ Θεῷ μέχρι τοσούτου φυλαχθῆναι (18) τῇ ζωῇ ταύτῃ, μέχρις οὗ καταξιωθῶμεν ἰδεῖν σε, καὶ ἀπολαῦσαι τῶν ἐν σοὶ χαρισμάτων. Μόνον εὔχου, παρακαλῶ, ἵνα ὁ Κύριος μὴ παραδῷ ἡμᾶς εἰς τέλος τοῖς ἐχθροῖς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ἀλλὰ φυλάξῃ (19) τὰς ἑαυτοῦ Ἐκκλησίας μέχρι τοῦ καιροῦ τῆς εἰρήνης, ἣν αὐτὸς οἶδεν ὁ δίκαιος κριτὴς πότε ἀποδώσει. Ἀποδώσει

Barsæ, Edessæ episcopo, exsulanti.

Vere religiosissimo omnique reverentia et honore digno episcopo Barsæ Basilius in Domino salutem. Cum proficisceretur germanissimus frater Domninus ad tuam pietatem, libenter occasionem scribendi excepimus, teque per illum salutamus, Deum sanctum precantes, ut tandiu custodiamur in hac vita, donec digni habeamur, qui te videamus, ac donis, quæ in te sunt, perfruamur. Tantum precare, obsecro, ut Dominus
408 non tradat nos in perpetuum inimicis crucis Christi, sed custodiat Ecclesias suas usque ad tempus pacis, quam novit ipse justus judex, quando sit redditurus. Reddet enim, nec nos perpetuo

(15) *Προσπεπονθώς*. Ita Harl. cum Coisl. secundo et quatuor codicibus Regiis. Medicæus et Coisl. primus προπεπονθώς. Editi πεποιθώς. Paulo post editi κοινωνίαν αὐτοῦ προέμενος. Octo mss. ut in textu. Sic etiam emendatum est in secunda editione Parisiensi.

(16) *Τῆς ἀπ' αὐτῶν*. Ita veteres libri summo consensu. Editi τῆς ὑπ' αὐτῶν.

(17) *Τῶν περὶ Δομνῖνον*. Existimat Combefisius solum Domninum sic honoris causa nominari, nec ullos designari comites. Atque id quidem libenter assentior doctissimo viro, solum hic Dominum nominari; non idcirco tamen, quod sociis careret, sed quia illi præcipue honor habebatur. Sic enim fieri solere observavimus ad epist. 243, ut cum D plures mitterentur, unus tamen nominaretur. Domnino autem aliquem adfuisse comitem conjicimus ex epist. 267 ad eumdem Barsam, ubi Basilius latores litterarum suarum fratres commemorat, hanc ipsam epistolam indicans. Ait enim se Barsæ non sæpe quidem scripsisse, sed tamen scripsisse: quibus verbis unica designatur epistola.

(18) *Φυλαχθῆναι*. Ita mss. septem. Editi διαφυλαχθῆναι. Paulo post editi καὶ αὐτοπροσώπως ἰδεῖν σε, octo mss. ut in textu.

(19) *Φυλάξῃ*. Sic Vat., Coisl. uterque et Reg. secundus ac Bigot. alter. Quatuor alii φυλάξει. Editi φυλάξοι.

* Alias CCCXXVI. Scripta circa annum 377.

neseret. Sed quemadmodum Israelitis annos septuaginta præstituit pro peccatis ad captivitatis pœnam [14]; ita forte et nos omnipotens per statum aliquod tempus traditos aliquando revocabit, ac in pristinam pacem restituet; nisi forte appropinquat defectio, et quæ nunc fiunt, exordia sunt ingressus Antichristi. Quod quidem si ita sit, precare ut aut ærumnas auferat, aut nos inter ærumnas invictos bonus ille custodiat. Omnem illum cœtum, qui pietatis tuæ consuetudine dignus habitus est, per te salutamus. Pietatem tuam omnes, qui nobiscum sunt, salutant. Valens ac lætus in Domino, et pro me orans, Ecclesiæ Dei serveris, Sancti gratia.

A γάρ, καὶ οὐκ ἐγκαταλείψει ἡμᾶς εἰς τὸ παντελές. Ἀλλ' ὥσπερ τοῖς Ἰσραηλίταις τὴν ἑβδομηκονταετίαν ὥρισεν ὑπὲρ τῶν ἁμαρτημάτων εἰς τὴν τῆς αἰχμαλωσίας καταδίκην, οὕτω τάχα καὶ ἡμᾶς ὁ δυνατὸς χρόνῳ τινὶ ὡρισμένῳ παραδοὺς ἀνακαλέσεταί ποτε καὶ ἀποκαταστήσει εἰς τὴν ἐξ ἀρχῆς εἰρήνην· εἰ μὴ ἄρα ἐγγύς πού ἐστιν ἡ ἀποστασία, καὶ τὰ νῦν γινόμενα προοίμιά ἐστι τῆς εἰσόδου τοῦ Ἀντιχρίστου. Ὅπερ δὲ ἐὰν ᾖ, προσεύχου ἵνα ἢ τὰς θλίψεις παρενέγκῃ, ἢ ἡμᾶς ἀπταίστους διὰ τῶν θλίψεων ὁ ἀγαθὸς διασώσηται. Πᾶσαν τὴν συνοδίαν τὴν καταξιωθεῖσαν συνεῖναι τῇ εὐλαβείᾳ σου ἀσπαζόμεθα διὰ σοῦ. Τὴν σὴν εὐλάβειαν οἱ σὺν ἡμῖν πάντες προσαγορεύουσιν. Ἐῤῥωμένος καὶ εὔθυμος ἐν Κυρίῳ, ὑπερευχόμενός μου, φυλαχθείης (20) τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ χάριτι (21) τοῦ Ἁγίου. B

EPISTOLA CCLXV [a].

ΕΠΙΣΤΟΛΗ ΣΞΕ'.

Basilius gratias agit Deo, quod iis, apud quos exsulant confessores, auxilia ad salutem providerit: seque, perspecto illorum fidei studio adductum esse ait, ut diaconum Elpidium cum litteris ad eos mitteret. Laudat eos quod damnaverint Apollinarium, cujus et nefarias molitiones, et impios de Trinitate, de Incarnatione et promissionibus errores recenset. Sed queritur quod Marcelli discipuli a confessoribus recepti fuerint sine Occidentalium et aliarum Ecclesiarum consensu. Scire cupit quibus conditionibus recepti fuerint.

Eulogio, Alexandro et Harpocrationi, Ægypti episcopis exsulibus.

1. Magnam in omnibus reperimus boni Dei erga suas Ecclesias providentiam; ita ut quæ molesta esse videntur, nec omnino ex sententia occurrunt, ea etiam ad multorum utilitatem dispensentur in occultissima Dei sapientia, et indeprehensis illius justitiæ judiciis. Ecce enim et dilectionem vestram ex Ægypti locis excitans Dominus, in media Palæstina constituit, ad exemplum antiqui Israel, quem captivum in Assyriorum terram abducens, exstinxit illic simulacrorum cultum per sanctorum adventum. Itaque et nunc ita factum invenimus, cum reputamus Dominum, dum vestrum pro pietate certamen in medio proponit, vobis quidem exsilio stadium aperuisse beatorum certaminum; iis vero, quibus vestrum illud eximium propositum ante oculos versatur, manifesta ad salutem largitum esse exempla. Cum igitur Dei gratia didicerimus vestrum rectæ fidei studium, didicerimus et sollicitudinem erga fratres, vosque non perfunctorie aut negligenter quæ ad communem utilitatem spectant et ad salutem necessaria sunt, exhibere, sed si quid ad Ecclesiarum ædificationem conducat, libenter suscipere; æquum esse putavimus, ut in bonæ vestræ partis veniremus communionem, nosque

Εὐλογίῳ καὶ Ἀλεξάνδρῳ καὶ Ἀρποκρατίωνι, ἐπισκόποις Αἰγύπτου (22) ἐξορισθεῖσιν.

1. Μεγάλην ἐν πᾶσιν εὑρίσκομεν τοῦ ἀγαθοῦ Θεοῦ τὴν περὶ τὰς Ἐκκλησίας αὐτοῦ οἰκονομίαν, ὥστε καὶ τὰ δοκοῦντα εἶναι σκυθρωπά, καὶ μὴ πάντῃ κατὰ βούλησιν ἀπαντῶντα, καὶ ταῦτα ἐπ' ὠφελείᾳ τῶν πολλῶν οἰκονομεῖσθαι, ἐν τῇ δυσθεωρήτῳ τοῦ Θεοῦ σοφίᾳ, καὶ τοῖς ἀνεξιχνιάστοις αὐτοῦ τῆς δικαιοσύνης κρίμασιν. C Ἰδοὺ γὰρ καὶ τὴν ὑμετέραν ἀγάπην ἐκ τῶν κατ' Αἴγυπτον τόπων ἀναστήσας ὁ Κύριος, εἰς μέσην ἀγαγὼν τὴν Παλαιστίνην ἱδρύσατο, κατὰ μίμησιν τοῦ πάλαι Ἰσραήλ, ὃν διὰ τῆς αἰχμαλωσίας ἀγαγὼν εἰς τὴν Ἀσσυρίων γῆν, ἔσβεσε τὴν ἐκεῖ εἰδωλολατρείαν διὰ τῆς τῶν ἁγίων ἐπιδημίας. Καὶ νῦν τοίνυν οὕτως εὑρίσκομεν, λογιζόμενοι, ὅτι τὸν ὑπὲρ τῆς εὐσεβείας ἆθλον ὑμῶν (23) προβαλλόμενος ὁ Κύριος, ὑμῖν μὲν διὰ τῆς ἐξορίας στάδιον ἤνοιξε τῶν μακαρίων ἀγωνισμάτων, τοῖς δὲ περιτυγχάνουσιν ὑμῶν τῇ ἀγαθῇ προαιρέσει ἐναργῆ τὰ πρὸς σωτηρίαν ἐχαρίσατο ὑποδείγματα. Ἐπεὶ οὖν τῇ τοῦ Θεοῦ χάριτι ἐμάθομεν ὑμῶν τὴν ὀρθότητα τῆς πίστεως, ἐμάθομεν δὲ τὸ περὶ τὴν ἀδελφότητα ἐπιμελές, καὶ D ὅτι οὐ παρέργως οὐδὲ ἠμελημένως παρέχεσθε (24) τὰ κοινωφελῆ καὶ ἀναγκαῖα πρὸς σωτηρίαν, ἀλλ' εἴ τι πρὸς οἰκοδομὴν τῶν Ἐκκλησιῶν ἐνεργεῖν προαιρεῖσθε· δίκαιον ἐλογισάμεθα (25) κοινωνοὶ γενέσθαι

[14] Jerem. xxv, 12.

[a] Alias CCXCIII. Scripta anno 377.

(20) *Φυλαχθείης*. Sic tres antiquissimi codices et Bigot. alter. Editi διαφυλαχθείης.

(21) *Χάριτι τοῦ ἁγίου*. Sic mss. septem. Editi χάριτι αὐτοῦ.

(22) *Αἰγύπτου*. Ita tres vetustissimi codices. Editi Αἰγυπτίοις. Ibidem Reg. secundus, Coisl. secundus et Paris. habent Ἀδελφοκρατίωνι, quod nomen inscite videtur unum ex duobus esse factum, id est ex Ἀδελφίῳ et Ἀρποκρατίωνι. Nam inter hos exsules episcopos numeratur Adelphius apud Epiphanium cum pluribus aliis, hæres. LXXII. Simplicior Regii primi titulus, Ἐπισκόποις Αἰγυπτίοις ἐξορισθεῖσιν, *Episcopis Ægyptiis exsulantibus*.

(23) *Ὑμῶν*. Ita Harl. et Coisl. primus. Editi ὑμῖν. Codex Medicæus ἡμῶν.

(24) *Παρέχεσθε*. Legitur in quatuor recentioribus codicibus παρέρχεσθε.

(25) *Ἐλογισάμεθα*. Ita tres vetustissimi codices. Editi ἐνομίσαμεν. Eosdem codices paulo post secuti mutavimus quod erat in editis Ἐλπίδιον τὸν συνδιάκονον. Ibidem codex Medicæus ἀπέστειλα.

τῆς ἀγαθῆς μερίδος ὑμῶν, καὶ συνάψαι ἑαυτοὺς διὰ τοῦ γράμματος τῇ ὑμετέρᾳ εὐλαβείᾳ. Οὗπερ ἕνεκα ἀπεστείλαμεν καὶ τὸν ποθεινότατον υἱὸν ἡμῶν καὶ συνδιάκονον Ἐλπίδιον, ὁμοῦ μὲν τὴν ἐπιστολὴν διακομίζοντα, ὁμοῦ δὲ καὶ παρ' ἑαυτοῦ δυνάμενον ἀπαγγεῖλαι ὑμῖν ὅσα τὴν ἐκ τοῦ γράμματος ἐκφύγῃ (26) διδασκαλίαν.

2. Μάλιστα δὲ ἡμᾶς ἐπέῤῥωσε πρὸς τὴν ἐπιθυμίαν τῆς συναφείας ὑμῶν ἡ ἀκοὴ τοῦ περὶ τὴν ὀρθότητα ζήλου τῆς εὐσεβείας ὑμῶν· ὅτι οὔτε πλήθει συνταγμάτων, οὔτε ποικιλίᾳ σοφισμάτων παρηνέχθη ὑμῶν τὸ στεῤῥὸν τῆς καρδίας· ἀλλ' ἐπέγνωτε μὲν τοὺς κατὰ τῶν ἀποστολικῶν δογμάτων καινοτομοῦντας, σιωπῇ δὲ κατασχεῖν τὴν ἐνεργουμένην παρ' αὐτῶν βλάβην οὐ κατεδέξασθε. Καὶ γὰρ τῷ ὄντι πολλὴν εὕρομεν λύπην παρὰ πᾶσι τοῖς ἀντεχο- B μένοις τῆς τοῦ Κυρίου εἰρήνης ἐπὶ ταῖς νεωτεροποιΐαις ταῖς παντοδαπαῖς Ἀπολιναρίου τοῦ Λαοδικέως· ὃς τοσούτῳ πλέον ἐλύπησεν ἡμᾶς, ὅσῳ ἔδοξεν εἶναι ἐξ ἡμῶν (27) τὸ ἐξ ἀρχῆς. Τὸ μὲν γὰρ παρὰ φανεροῦ πολεμίου παθεῖν τι, κἂν ὑπερβάλλῃ τῷ ἀλγεινῷ, φορητόν πώς ἐστι τῷ καταπονουμένῳ, καθὼς γέγραπται, ὅτι *Εἰ ὁ ἐχθρός ὠνείδισέ με, ὑπήνεγκα ἄν*· τὸ δὲ παρ' ὁμοψύχου καὶ οἰκείου βλάβης τινὸς πειραθῆναι, τοῦτο δύσφορον παντελῶς, καὶ οὐδεμίαν ἔχον παραμυθίαν. Ὃν γὰρ προσεδοκήσαμεν συνασπιστὴν ἕξειν (28) τῆς ἀληθείας, τοῦτον εὕρομεν νῦν ἐν πολλοῖς ἐμποδίζοντα τοῖς σωζομένοις, ἐκ τοῦ περιέλκειν αὐτῶν τὸν νοῦν καὶ ἀποσπᾷν τῆς εὐθύτητος τῶν δογμάτων. Τί γὰρ ἐν ἔργοις παρ' C αὐτοῦ τολμηρὸν καὶ θερμὸν οὐκ ἐπράχθη; Τί δὲ ἐν λόγοις οὐ παρεπενοήθη νεώτερον καὶ ἐπικεκινδυνευμένον; Οὐ πᾶσα μὲν Ἐκκλησία ἐφ' ἑαυτὴν ἐμερίσθη, μάλιστα δὲ ταῖς ὑπὸ τῶν (29) ὀρθοδόξων κυβερνωμέναις ἐπιπεμφθέντων παρ' αὐτοῦ πρὸς τὸ σχίσαι, καὶ ἰδίαν τινὰ παρασυναγωγὴν ἐκδικῆσαι; Οὐχὶ γελᾶται τὸ μέγα τῆς εὐσεβείας μυστήριον, ὡς ἄνευ λαοῦ καὶ κλήρου ἐπισκόπων περιερχομένων, καὶ ὄνομα ψιλὸν περιφερόντων, οὐδὲν δὲ κατορθούντων εἰς προκοπὴν τοῦ Εὐαγγελίου τῆς εἰρήνης καὶ σωτηρίας (30); Οὐχὶ οἱ περὶ τοῦ Θεοῦ λόγοι πλήρεις παρ' αὐτῷ εἰσιν ἀσεβῶν δογμάτων, τῆς παλαιᾶς ἀσεβείας τοῦ ματαιόφρονος Σαβελλίου δι' αὐτοῦ νῦν ἀνανεωθείσης ἐν τοῖς συντάγμασιν; Εἰ γὰρ ἃ περιφέρουσιν οἱ Σεβαστηνοὶ, μὴ συμπέπλασται παρ' ἐχθρῶν, ἀλλὰ D κατ' ἀλήθειαν αὐτοῦ εἰσι συγγραφαὶ, οὐδεμίαν εἰς ἀσέβειαν ὑπερβολὴν καταλέλοιπε, τὸν αὐτὸν Πατέρα λέγων καὶ Υἱὸν καὶ Πνεῦμα (31), καὶ ἄλλα τινὰ

A 409 per epistolam cum vestra pietate conjungeremus. Quapropter misimus etiam desideratissimum filium nostrum Elpidium condiaconum, qui et epistolam perferret, et per se ipse potest nuntiare vobis, quæcunque litterarum effugerint documenta.

2. Illud autem me maxime impulit, ut vobiscum conjungi cuperem, quod vestrum rectæ doctrinæ studium ad meas aures pervenit: quippe cum nec librorum multitudine, nec sophismatum varietate emota sit cordis vestri firmitas: sed eos agnoveritis, qui contra dogmata apostolica novitatem inducunt, nec silentio continere damnum ab illis illatum potueritis. Nam revera magnum reperimus dolorem in omnibus Domini pacem cordi habentibus, ex omnigenis Apolinarii Laodiceni novitatibus: qui eo magis nos afflixit, quod ex nobis ab initio esse videbatur. Aliquid enim ab hoste manifesto pati, etiamsi id sit molestissimum, res est tamen quodammodo tolerabilis patienti, sicut scriptum est: *Si inimicus probris me affecisset, sustinuissem utique* [35]. Sed ab unanimi et necessario aliquid accipere detrimenti, id omnino ad ferendum difficile, nec ullam habens consolationem. Quem enim exspectaveramus socium nobis in defensione veritatis futurum, eum nunc invenimus in multis obstantem his qui salvantur, dum illorum abducit mentem, et avellit a rectis dogmatibus. Quid enim in actionibus ab eo non callide et audacter perpetratum? Quid in sermonibus non juveniliter et periculose excogitatum? Nonne Ecclesia omnis inter se divisa est, præsertim ex quo in gubernatas ab orthodoxis Ecclesias immisit qui scindant, et illegitimos conventus proprios sibi vindicent? Nonne ridetur magnum pietatis mysterium, episcopis sine populo ac clero obambulantibus, ac nomen nudum circumferentibus, nec quidquam ad promovendum pacis et salutis Evangelium facientibus? Nonne illius de Deo sermones pleni sunt impiis dogmatibus, antiqua insulsi Sabellii impietate nunc ab eo in scriptis renovata? Nam si quæ circumferunt Sebasteni, ficta non sunt ab inimicis, sed vere ipsius scripta sunt, nullum impietatis superandæ locum reliquit, eumdem dicens Patrem et Filium et Spiritum, et alias quasdam tenebricosas impietates, quas nos ne auribus quidem admisimus, quippe cum precemur ut nullam

[35] Psal. LIV, 13.

(26) *Ἀπαγγεῖλαι ὑμῖν, ὅσα... ἐκφύγῃ*. Sic tres iidem codices. Editi ἀναγγεῖλαι ὑμῖν ὅσου... διαπέφευγε. Legitur ὅσα in secunda editione Parisiensi.

(27) *Εἶναι ἐξ ἡμῶν*. Harl. et Med. εἶναι ἡμῶν. Ibidem tres vetustissimi codices τοσοῦτον πλέον ἐλύπησεν, ὅσον. Sed res tanti non videtur, ut contextum mutemus.

(28) *Ἕξειν*. Coisl. primus ἔχειν. Ibidem νῦν addidimus ex Coisl. utroque, Harl. et duobus Regiis. Paulo ante Coisl. primus κἂν ὑπερβάλῃ τὸ ἀλγεινόν.

(29) *Ὑπὸ τῶν*. Ita tres vetustissimi codices. Editi παρὰ τῶν. Ibidem Coisl. primus ἐφ' ἑαυτῆς.

(30) *Καὶ σωτηρίας*. Hæc desunt in Harl. et Med. In aliis nonnullis desunt hæc verba εἰρήνης καί.

(31) *Καὶ Πνεῦμα*. Editi addunt καὶ πάλιν Υἱὸν καὶ Πατέρα, quæ melius multo absunt a tribus vetustissimis codicibus et Bigot. Ibidem legimus ex codice Harlæano σκοτεινὰ ἀσεβήματα. Illud autem τινά deprompsimus ex eodem codice et ex Coisl. primo, in quo legitur καὶ ἄλλα τινὰ ἀσεβῆ ῥήματα, *et alia quædam impia verba*. Scriptura codicis Har-

partem cum iis qui sic loquuntur habeamus. Nonne doctrinam confundit Incarnationis? nonne dubia multis facta est salutifera Domini nostri dispensatio ex lutulentis et tenebricosis illius de Incarnatione quæstionibus? Quæ omnia ut colligantur et arguendi **410** causa exponantur, longe tempore et sermone opus est. Promissionum autem doctrinam quis sic obliteravit ac delevit, ut illius fabulosæ nugæ? Qui quidem beatam spem repositam his, qui secundum Christi Evangelium vixerint, ita exiliter et demisse ausus est interpretari, ut ad fabulas aniles et Judaica commenta deflectat. Denuo pollicetur templi instaurationem et cultus legalis observationem, pontificem typicum post verum pontificem, victimas pro peccatis post Agnum Dei qui peccatum mundi tollit[36], baptismata varia post unicum baptisma, et juvencæ cineres, quibus aspergatur Ecclesia, quæ ob fidem in Christum non habet maculam nec rugam nec quidquam ejusmodi[37]: lepræ expurgationem post resurrectionis statum perpessionis expertem; zelotypiæ oblationem, ubi neque matrimonium contrahunt, neque connubio junguntur; panes propositionis, post panem illum qui de cœlo descendit: lucernas ardentes, post verum lumen. Et in summa, si mandatorum lex in dogmatibus abolita est, palam est tunc Christi dogmata in præceptis legalibus antiquatum iri. Ob hæc pudor et verecundia vultus nostros operuit, et tristitia vehemens corda nostra opplevit. Quapropter adhortor vos tanquam medicos peritos, et scientes in lenitate erudire eos qui adversantur, ut illum conemini ad rectum Ecclesiæ ordinem reducere, eique persuadere, ut commentationum suarum loquacitatem contemnat (etenim confirmavit verba proverbii: *Non est in multo sermone peccatum effugere*[38]); eique fortiter rectæ fidei dogmata proponatis, ut illius emendatio manifesta fiat, ac fratribus innotescat illius pœnitentia.

A σκοτεινὰ ἀσεβήματα, ἃ ἡμεῖς οὐδὲ ταῖς ἀκοαῖς ἡμῶν κατεδεξάμεθα παραδέξασθαι (32), εὐχόμενοι μηδεμίαν μερίδα ἔχειν πρὸς τοὺς ἐκεῖνα τὰ ῥήματα φθεγξαμένους. Οὐχὶ συγκέχυται παρ' αὐτῷ ὁ τῆς ἐνανθρωπήσεως λόγος; οὐκ ἀμφίβολος γέγονε τοῖς πολλοῖς ἡ σωτήριος τοῦ Κυρίου ἡμῶν οἰκονομία ἐκ τῶν θολερῶν αὐτοῦ καὶ σκοτεινῶν περὶ σαρκώσεως ζητημάτων; Ἃ πάντα συναγαγεῖν καὶ εἰς ἔλεγχον καταστῆσαι μακροῦ καὶ χρόνου καὶ λόγου δεῖται. Τὸν δὲ τῶν ἐπαγγελιῶν τόπον τίς οὕτως ἠφάνισε (33) καὶ ἠμαύρωσεν, ὡς ἡ τούτου μυθοποιία; Ὅς γε τὴν μακαρίαν ἐλπίδα, τὴν ἀποκειμένην τοῖς πολιτευσαμένοις (34) κατὰ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, οὕτω ταπεινῶς καὶ ἐῤῥιμμένως ἐτόλμησεν ἐξηγήσασθαι, ὥστε εἰς γραώδεις (35) μύθους καὶ λόγους Ἰουδαϊ- B κοὺς ἐκτραπῆναι. Ἄνωθεν ἐπαγγέλλεται (36) τοῦ ναοῦ τὴν ἀνανέωσιν, καὶ τῆς νομικῆς λατρείας τὴν παρατήρησιν, καὶ πάλιν ἀρχιερέα τυπικὸν μετὰ τὸν ἀληθινὸν ἀρχιερέα, καὶ θυσίαν (37) ὑπὲρ ἁμαρτιῶν μετὰ τὸν ἀμνὸν τοῦ Θεοῦ τὸν αἴροντα (38) τὴν ἁμαρτίαν τοῦ κόσμου· καὶ βαπτίσματα μερικὰ μετὰ τὸ ἓν βάπτισμα, καὶ σποδὸν δαμάλεως ῥαντίζουσαν τὴν Ἐκκλησίαν τὴν οὐκ ἔχουσαν διὰ τῆς εἰς Χριστὸν πίστεως σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων· καὶ καθαρισμὸν λέπρας μετὰ τὴν ἀπάθειαν τῆς ἀναστάσεως· καὶ ζηλοτυπίας προσφοράν, ὅτε οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται· ἄρτοι (39) προθέσεως μετὰ τὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ· λύχνοι καιόμενοι μετὰ τὸ φῶς τὸ ἀληθινόν· καὶ ὅλως εἰ νῦν ὁ νόμος τῶν ἐντολῶν ἐν δόγμασι κατήργηται, δῆλον, ὅτι τότε C (40) τὰ δόγματα τοῦ Χριστοῦ ἐν τοῖς νομικοῖς ἐντάλμασιν ἀκυρωθήσεται. Ἐπὶ τούτοις αἰσχύνη μὲν καὶ ἐντροπὴ ἐκάλυψεν ἡμῶν τὰ πρόσωπα· λύπη δὲ βαρεῖα πεπλήρωκεν ἡμῶν τὰς καρδίας. Διὸ παρακαλοῦμεν ὑμᾶς, ὡς ἐπιστήμονας ἰατροὺς καὶ δεδιδαγμένους ἐν πραΰτητι (41) παιδεύειν τοὺς ἀντιδιατιθεμένους, πειραθῆναι αὐτὸν ἐπαναγαγεῖν πρὸς τὴν εὐταξίαν τῆς Ἐκκλησίας, καὶ πεῖσαι αὐτὸν καταφρονῆσαι τῆς πολυφωνίας τῶν συνταγμάτων (ἐβεβαίωσε γὰρ τὸν τῆς παροιμίας λόγον, ὅτι *Οὐκ ἔστιν ἐκ πολυλογίας ἐκφυγεῖν* (42) ἁμαρτίαν· στεῤῥῶς δὲ αὐτῷ προβάλλειν τὰ τῆς ὀρθοδοξίας δόγματα, ἵνα κἀκείνου ἡ ἐπανόρθωσις φανερὰ γένηται, καὶ τοῖς ἀδελφοῖς αὐτοῦ γνωρισθῇ ἡ μεταμέλεια.

3. Nec abs re fuerit de Marcelli discipulis pietatem vestram commonere, ut nihil inconsiderate, nihil facile de illis statuatis. Sed cum ob impia

3. Εὔλογον δὲ καὶ περὶ τῶν κατὰ Μάρκελλον ὑπο- D μνῆσαι (43) τὴν εὐλάβειαν ὑμῶν, ἵνα μηδὲν ἀπερισκέπτως, μηδ' εὐκόλως περὶ αὐτῶν τυπώσητε. Ἀλλ'

[36] Joan. I, 29. [37] Ephes. v, 27. [38] Prov. x, 19.

læani eo magis arrisit, quod ei favet Medicæus cum tribus aliis, in quibus legitur σκοτεινὰ ἀσεβῆ ῥήματα. Editi καὶ ἄλλα σκοτεινὰ καὶ ἀσεβῆ ῥήματα.

(32) *Παραδέξασθαι*. Hanc vocem, quæ necessaria quidem non videtur, sed tamen nihil nocet, addidimus ex tribus vetustissimis codicibus et totidem aliis non ita antiquis.

(33) *Ἠφάνισε*, etc. Sic tres vetustissimi codices. Editi ἠμαύρωσε καὶ ἠφάνισε μυθολογία.

(34) *Πολιτευσαμένοις*. Coisl primus πολιτευομένοις.

(35) *Γραώδεις*. Ita mss. codices sex. Editi γραιώδεις.

(36) *Ἄνωθεν ἐπαγγέλλεται*. Codices Harl. et Med. καὶ ἄνωθεν ἐπαγγέλλεσθαι.

(37) *Καὶ θυσίαν*. Ita sex mss. codices. Editi καὶ θυσίας.

(38) *Τὸν αἴροντα*. Ita tres vetustissimi codices. Editi τὸν ἄραντα.

(39) *Ἄρτοι*. Sic habent omnes editi et mss., nisi quod in codice ms. insignis Ecclesiæ Paris. legitur ἄρτους et paulo post λύχνους.

(40) *Κατήργηται, δῆλον, ὅτι τότε*. Ita Regius uterque, Coisl. secundus, Paris. et Bigot. Editi κατήργηται, δῆλον, ὅτι οὔτε τότε.

(41) *Πραΰτητι*. Harl. et Med. ἐν πραότητι.

(42) *Ἐκφυγεῖν*. Coisl. primus διαφυγεῖν. Med. ἐκφεύγειν.

(43) *Ὑπομνῆσαι*. Quatuor codices non antiquissimi ὑπομνησθῆναι.

A ἐπειδὴ δογμάτων ἕνεκεν ἀσεβῶν ἐξῆλθε τῆς Ἐκκλησίας (44) ἐκεῖνος, τοὺς ἑπομένους αὐτῷ ἀναγκαῖον, ἀναθεματίσαντας ἐκείνην τὴν αἵρεσιν οὕτω δεκτοὺς (45) γενέσθαι τῇ κοινωνίᾳ, ἵν' οἱ ἡμῖν συναπτόμενοι δι' ὑμῶν παρὰ πάσης δεχθῶσι τῆς ἀδελφότητος. Ἐπεὶ νῦν γε οὐ μετρία κατέσχε λύπη τοὺς πολλοὺς, ἀκούσαντας, ὅτι παραγενομένους πρὸς τὴν ὑμετέραν τιμιότητα καὶ προσήκασθε, καὶ κοινωνίας αὐτοῖς ἐκκλησιαστικῆς μετεδώκατε. Καίτοιγε εἰδέναι ὑμᾶς ἐχρῆν, ὅτι τῇ τοῦ Θεοῦ χάριτι οὔτε κατὰ τὴν Ἀνατολὴν μόνοι ἐστὲ, ἀλλὰ καὶ πολλοὺς ἔχετε τῆς ἑαυτῶν μερίδος, οἳ τὴν τῶν Πατέρων ἐκδικοῦσιν ὀρθοδοξίαν, τῶν κατὰ Νίκαιαν τὸ εὐσεβὲς δόγμα τῆς πίστεως ἐκθεμένων· καὶ οἱ τῆς Δύσεως πάντες σύμφωνοι ὑμῖν τε καὶ ἡμῖν τυγχάνουσιν· ὧν δεξάμενοι τῆς πίστεως τὸν τόμον ἔχομεν παρ' ἑαυτοῖς, ἑπόμενοι B αὐτῶν τῇ ὑγιαινούσῃ (46) διδασκαλίᾳ. Ἔδει οὖν πάντας πληροφορεῖσθαι τοὺς ἐν τῇ αὐτῇ συναφείᾳ τυγχάνοντας ὑμῖν, ἵνα καὶ τὰ γινόμενα μᾶλλον βεβαιωθῇ (47) ἐν τῇ πλειόνων συγκαταθέσει, καὶ ἡ εἰρήνη μὴ διεσπᾶτο, ἐν τῇ τινων προσλήψει ἑτέρων ἀφισταμένων. Οὕτως οὖν ἦν πρέπον βουλεύσασθαι ὑμᾶς στιβαρῶς καὶ πράως περὶ πραγμάτων πάσαις ταῖς κατὰ τὴν οἰκουμένην Ἐκκλησίαις διαφερόντων. Οὐ γὰρ ὁ ταχύ τι δογματίσας ἐπαινετὸς, ἀλλ' ὁ παγίως καὶ ἀσαλεύτως ἕκαστα κανονίσας, ὥστε καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον ἐξεταζομένην τὴν γνώμην δοκιμωτέραν φαίνεσθαι, οὗτος ἀπόδεκτος καὶ παρὰ Θεῷ καὶ ἀνθρώποις, ὡς οἰκονομῶν τοὺς λόγους αὐτοῦ ἐν κρίσει. Ταῦτα, ὅσα ἐδίδου ἡμῖν ἡ διὰ τοῦ γράμ- C ματος ὁμιλία, προσεφθεγξάμεθα ὑμῶν τὴν εὐλάβειαν. Παράσχοι δὲ ὁ Κύριος καὶ εἰς ταυτὸν ἡμᾶς ἀλλήλοις γενέσθαι ποτέ· ἵνα, πάντα πρὸς καταρτισμὸν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ μεθ' ὑμῶν οἰκονομήσαντες, μεθ' ὑμῶν δεξώμεθα τὸν μισθὸν τὸν ἡτοιμασμένον παρὰ τοῦ δικαίου κριτοῦ τοῖς πιστοῖς καὶ φρονίμοις οἰκονόμοις. Τέως δὲ νῦν καταξιώσατε ἡμῖν ἐπιστεῖλαι τὰς προτάσεις, ἐφ' αἷς ἐδέξασθε τοὺς Μαρκέλλου, ἐκεῖνο εἰδότες, ὅτι κἂν πάνυ τὸ καθ' ἑαυ-

dogmata exierit ille ex Ecclesia, necesse est illius sectatores, anathematizata illa hæresi, sic ad communionem admitti, ut qui nobis conjuncti per vos fuerint, ab omni recipiantur fraternitate. Nunc enim pluribus non mediocris dolor inflictus, ubi audierunt eos ad vestram præstantiam **411** accedentes, et admissos esse a vobis, et communionis ecclesiasticæ factos esse participes. Ac vos quidem par erat intelligere, Dei gratia nec in Oriente solos vos esse, sed et multos habere communicatores, Patrum illorum, qui Nicææ pium fidei dogma exposuerunt, recte fidei defensores; et in Occidente omnes vobiscum ac nobiscum consentire: quorum fidei tomum acceptum apud nos custodimus, et sanam ipsorum doctrinam sequimur. Decebat igitur, omnibus, qui in eadem ac vos communione sunt, satisfieri, ut res gestæ magis firmentur ex multorum consensu, nec pax scindatur, aliis abscedentibus dum alii admittuntur. Sic igitur decebat concilium a vobis graviter ac leniter iniri de rebus ad omnes orbis terrarum Ecclesias spectantibus. Non enim qui cito aliquid decernit, laudandus est; sed qui firma et immobili norma omnia constituit, adeo ut examinata subsequenti tempore sententia probatior et spectatior fiat, is Deo et hominibus acceptus est, ut qui sermones suos disponat in judicio [39]. His verbis, quantum per litteras colloqui mihi licuit, pietatem vestram compellavi. Faxit autem Dominus, ut nos mutuo aliquando in unum conveniamus: ut omnia ad Ecclesiarum Dei concinnitatem vobiscum constituentes, vobiscum recipiamus mercedem præparatam a justo judice fidelibus prudentibusque dispensatoribus! Nunc interim dignemini ad me propositiones mittere, quibus assentientes Marcelli discipulos recepistis; haud illud ignorantes, etiamsi omnino id quod in vobis situm est, sartum tectumque præstetis, non tamen vos rem tanti momenti vobismetipsis attribuere solis debere; sed oportere, ut et Occidentales, et qui in

[39] Psal. cxi, 5.

(44) *Ἐξῆλθε τῆς Ἐκκλησίας.* Mirum id videtur ac prima specie vix credibile, Marcellum ob impios errores ex Ecclesia exiisse. Nam S. Athanasius suspectum illum quidem, sed tamen purgatum habuit, teste Epiphanio, hæres. LXXII, p. 837. Hinc illius discipuli communicatorias beatissimi papæ Athanasii litteras ostenderunt confessoribus Ægyptiis, ibid. pag. 843. Testatur idem Epiphanius varia esse Catholicorum de Marcello judicia, aliis eum accusantibus, aliis defendentibus, pag. 834. Paulinus ejus discipulos sine discrimine recipiebat, ut in superiore epistola vidimus. Ipse Basilius in epist. 69 queritur quod eum Ecclesia Romana in communionem ab initio suscepisset. Quomodo ergo exiisse dicitur ex Ecclesia qui tot habuit communicatores? Sed tamen S. Basilii testimonium cum sua sponte magni est momenti (non enim ut in dijudicandis Marcelli scriptis, ita in ejusmodi facto proclive fuit errare), tum etiam hoc argumento confirmatur quod Athanasius extremis vitæ suæ annis Marcellum a communione sua removerit. Neque enim, si semper cum eo communicasset D Athanasius, opus habuissent illius discipuli confessione fidei ad impetrandam confessorum Ægyptiorum communionem: nec Petrus Athanasii successor canones violatos, concessa illis communione, quereretur, ut videmus in epistola sequenti, si Ægyptum inter ac Marcellum ejusque clerum et plebem non fuisset rupta communio. Videtur ergo Marcellus sub finem vitæ aliquid peccasse, quod Anathasium ab ejus communione discedere cogeret: et cum jamdudum a toto fere Oriente damnatus esset, amissa Athanasii communione, quæ unicum fere illius refugium erat, desertus ab omnibus videri debuit, nec ei nova ignominia notato prodesse poterat concessa olim a Romana Ecclesia communio.

(45) *Οὕτω δεκτούς.* Has voces addidimus ex octo mss.

(46) *Τῇ ὑγιαινούσῃ.* Ita tres vetustissimi codices. Editi τῇ ὑγιεῖ.

(47) *Βεβαιωθῇ.* Ita Harl. et Med. Editi ἐβεβαιώθη. Ibidem editi ἐν τῇ τῶν πολλῶν et διέσπαστο. Tres vetustissimi codices ut in textu.

Oriente sunt communicatores, restitutioni eorum consentiant.

τοὺς ἀσφαλίσησθε, μόνοις ἑαυτοῖς ἐπιτρέψαι πρᾶγμα τοσοῦτον οὐκ ὀφείλετε, ἀλλὰ χρὴ καὶ τοὺς ἐν τῇ Δύσει, καὶ τοὺς κατὰ τὴν Ἀνατολὴν κοινωνικούς, συμψήφους αὐτῶν τῇ ἀποκαταστάσει γενέσθαι.

EPISTOLA CCLXVI *.

ΕΠΙΣΤΟΛΗ ΣΞϚʹ.

Fatetur Basilius minus recte a se factum, quod non scripserit ad Petrum de iis quæ egerant confessores; cæterum in assuetum se esse iis, quæ non solum ab Arianis, sed etiam ab unanimibus suis molesta sibi accidunt, ut ejusmodi rebus nec commotus fuerit, nec nuntiandus Petro duxerit. Sed tamen se ad confessores scripsisse, eosque hortatum esse, ut mali remedium ab iis exspectent, quibus hæc curare convenit. Laudat hac in re constantiam Petri et studium canonum; seque ait eodem studio adductum fuisse, ut nihil hactenus Galatis responderet, quia Petri judicium exspectabat; sed tamen eos sperat ad Ecclesiam ita adductum iri, ut ipsi ad Catholicos, non ad eos Catholici accessisse videantur. Dolet quod Dorotheus Petrum minus leniter allocutus fuerit; sed indigne factum esse demonstrat, ut Meletius et Eusebius inter hæreticos eorum Damaso et Petro numerarentur. Præterita oblivioni tradenda censet; plurimi enim interesse, ut nunc maxime pax servetur.

Petro, episcopo Alexandriæ.

1. Recte me reprehendisti, et ut decebat fratrem spiritualem, dilectionem veram a Domino edoctum, quod non te de omnibus quæ hic geruntur, sive parvis sive magnis, certiorem facimus. Nam et tibi convenit nostra curare, et nobis ad tuam charitatem de rebus nostris referre. Sed noveris, frater nobis colendissime atque desideratissime, continuas illas ærumnas vehementemque illum tumultum, **412** quo nunc exagitantur Ecclesiæ, id efficere, ut nihil ex his quæ fiunt, novum nobis videatur. Quemadmodum enim ii, quorum aures in officinis ærariis obtunduntur, ad sonos audiendos exercitati sunt: ita nos assiduitate absurdorum nuntiorum assuefacti jam sumus, ut animum imperturbatum habeamus et interritum ad casus inopinatos. Quæ quidem ab Arianis jampridem in Ecclesias struuntur, etsi multa et magna, et per totum divulgata terrarum orbem; sunt tamen nobis tolerabilia, eo quod a manifestis inimicis ac veritatis doctrinæ hostibus fiant: quos quidem, cum consueta non faciunt, tunc miramur, minime vero, cum magni aliquid aut temerarii contra pietatem moliuntur. Sed mœrorem nobis ac perturbationem afferunt, quæ ab unanimis et idem sentientibus fiunt. Attamen et hæc ipsa, propterea quod multa sunt, ac frequenter incidunt in nostras aures, ne inexspectata quidem videntur. Quamobrem nec commoti sumus ob ea quæ nuper præter ordinem gesta sunt, nec aures tuas obtudimus; partim quidem cum sciremus famam sua sponte res gestas perlaturam, partim exspectantes, dum alii has molestias nuntiarent: postremo decorum esse non judicantes, ut ob talia indignaremur, quasi contemptos nos esse ægre ferremus. His tamen qui hæc fecerunt scripsimus quæ conveniebant, adhortantes

Πέτρῳ (48), *ἐπισκόπῳ Ἀλεξανδρείας.*

1. Καλῶς μου καθήψω καὶ πρεπόντως πνευματικῷ ἀδελφῷ, ἀληθινὴν ἀγάπην παρὰ τοῦ Κυρίου δεδιδαγμένῳ, ὅτι σοι μὴ πάντα καὶ μικρὰ καὶ μείζω φανερὰ ποιοῦμεν τῶν τῇδε. Καὶ γὰρ ἐπιβάλλει καὶ σοὶ φροντίζειν τῶν καθ' ἡμᾶς, καὶ ἡμῖν τῇ σῇ ἀγάπῃ ἀναφέρειν τὰ ἡμέτερα. Ἀλλὰ γίνωσκε, τιμιώτατε ἡμῖν καὶ ποθεινότατε ἀδελφὲ, ὅτι τὸ συνεχὲς τῶν θλίψεων, καὶ ὁ πολὺς οὗτος ὁ κλόνος, ὁ νῦν σαλεύων τὰς Ἐκκλησίας, πρὸς οὐδὲν ἡμᾶς ξενίζεσθαι τῶν γινομένων ποιεῖ. Ὡς γὰρ οἱ ἐν τοῖς χαλκείοις τὰς ἀκοὰς κατακτυπούμενοι (49) ἐν μελέτῃ εἰσὶ τῶν ψόφων, οὕτως ἡμεῖς τῇ πυκνότητι τῶν ἀτόπων ἀγγελιῶν εἰθίσθημεν λοιπὸν ἀτάραχον ἔχειν καὶ ἀπτόητον τὴν καρδίαν πρὸς τὰ παράλογα. Τὰ μὲν οὖν παρὰ τῶν Ἀρειανῶν ἐκ παλαιοῦ (50) κατὰ τῆς Ἐκκλησίας σκευωρούμενα, εἰ καὶ πολλὰ καὶ μεγάλα, καὶ κατὰ πᾶσαν διαβεβοημένα τὴν οἰκουμένην, ἀλλ' οὖν φορητὰ ἡμῖν ἐστι, διὰ τὸ παρὰ φανερῶν ἐχθρῶν καὶ πολεμίων τοῦ λόγου τῆς ἀληθείας γίνεσθαι· οὓς, ὅταν μὴ ποιήσωσι τὰ συνήθη, θαυμάζομεν· οὐχ ὅταν μέγα τι καὶ νεανικὸν κατὰ τῆς εὐσεβείας τολμήσωσι. Λυπεῖ δὲ ἡμᾶς καὶ ταράσσει τὰ παρὰ τῶν ὁμοψύχων καὶ ὁμοδόξων γινόμενα. Ἀλλ' ὅμως καὶ ταῦτα, διὰ τὸ πολλὰ εἶναι, καὶ συνεχῶς ἐμπίπτειν ἡμῶν ταῖς ἀκοαῖς, οὐδὲ ταῦτα παράδοξα καταφαίνεται. Ὅθεν οὔτε ἐκινήθημεν ἐπὶ τοῖς πρώην γινομένοις ἀτάκτως, οὔτε τὰς σὰς διωχλήσαμεν ἀκοάς· τοῦτο μὲν εἰδότες, ὅτι φήμη διακομίζει αὐτομάτως (51) τὰ πεπραγμένα, τοῦτο δὲ ἀναμένοντες ἑτέρους ἀγγέλους τῶν λυπηρῶν γενέσθαι· ἔπειτα οὔτε κρίναντες εὔλογον εἶναι ἡμᾶς ἀγανακτεῖν ἐπὶ τοῖς τοιούτοις, ὥσπερ δυσχεραίνοντας διὰ τί παρεώφθημεν. Αὐτοῖς μέντοι τοῖς ταῦτα ποιήσασιν ἐπεστείλαμεν τὰ πρέποντα, παρακαλοῦντες αὐτούς, ἐπειδή τινα διχόνοιαν ἔπαθον οἱ ἐκεῖ ἀδελφοὶ, τῆς [illegible]

* Alias CCCXXI. Scripta anno 377.

(48) *Πέτρῳ*, etc. In codicibus melioris notæ legitur τῷ αὐτῷ, quia scilicet præcessit alia ad eumdem Petrum epistola: cujus titulum hic apposuimus. In editis autem habetur argumentum quoddam totius epistolæ, quod ex tribus codicibus mss. emendatum proferimus: Τῷ αὐτῷ, ἀπολογία καθαψαμένῳ, διότι μὴ ἐσήμανεν αὐτῷ τὰ κινούμενα, καὶ εἴπερ ἀνάσχοιντο αὐτοῦ, οἱ κατὰ Μάρκελλον ἑνοῦνται πρὸς αὐτὸν, καὶ μαρτυρία τῆς ὀρθοδοξίας Μελετίου καὶ Εὐσεβίου τῶν ἐπισκόπων· *Eidem, responsio ad illius querelas, quod non ei Basilius significasset ea quæ movebantur: secum conjunctum iri Marcellianos, si se patienter audiant. Item testimonia de recta fide Meletii et Eusebii episcoporum.*

(49) *Κατακτυπούμενοι*. Ita omnes mss. Editi κατατυπτόμενοι.

(50) *Ἐκ παλαιοῦ*. Ita tres vetustissimi codices. Editi ἔκπαλαι. Paulo post Coisl. primus et Harl. βεβοημένα.

(51) *Αὐτομάτως*. Ita Coisl. uterque, Harl., Regius secundus et Paris. Editi αὐτόματος. Paulo post Coisl. primus κρίνοντες.

ἐν ἀγάπης μὴ ἀποστῆναι, τὴν δὲ διόρθωσιν ἀναμένειν παρὰ τῶν δυναμένων ἐκκλησιαστικῶς ἰατρεύειν τὰ πταίσματα. Ὅπερ ἐπειδὴ ἐποίησας, καλῶς καὶ πρεπόντως κινηθείς, ἐπῃνέσαμέν σε, καὶ ηὐχαριστήσαμεν (52) τῷ Κυρίῳ, ὅτι ἐστὶ λείψανον τῆς παλαιᾶς εὐταξίας (53) σωζόμενον παρὰ σοί, καὶ ἡ Ἐκκλησία τὴν ἑαυτῆς ἰσχὺν οὐκ ἀπώλεσεν ἐν τῷ ἡμετέρῳ διωγμῷ. Οὐ γὰρ μεθ' ἡμῶν ἐδιώχθησαν καὶ οἱ κανόνες. Πολλάκις οὖν ὀχληθεὶς παρὰ τῶν Γαλατῶν, οὐδέποτε ἠδυνήθην αὐτοῖς ἀποκρίνασθαι, ἀναμένων τὰς ὑμετέρας ἐπικρίσεις. Καὶ νῦν, ἐὰν ὁ Κύριος δῷ, καὶ θελήσωσιν ἀνασχέσθαι ἡμῶν, ἐλπίζομεν τὸν λαὸν προσάξειν τῇ Ἐκκλησίᾳ· ὡς μὴ αὐτοὺς ἡμᾶς ὀνειδίζεσθαι Μαρκελλιανοῖς προσκεχωρηκέναι (54), ἀλλ' ἐκείνους μέλη γενέσθαι τοῦ σώματος τῆς Ἐκκλησίας τοῦ Χριστοῦ· ὥστε τὸν πονηρὸν ψόγον, τὸν κατασκεδασθέντα ἐκ τῆς αἱρέσεως, ἐναφανισθῆναι τῇ ἡμετέρᾳ προσλήψει, καὶ μὴ ἡμᾶς καταισχυνθῆναι ὡς προσθεμένους αὐτοῖς.

2. Ἐλύπησε δὲ ἡμᾶς ὁ ἀδελφὸς Δωρόθεος, ὡς αὐτὸς ἐπέστειλας, μὴ πάντα προσηνῶς, μηδὲ πράως διαλεχθεὶς τῇ κοσμιότητί σου. Καὶ τοῦτο τῇ τῶν καιρῶν λογίζομαι (55) δυσκολίᾳ. Ἐοίκαμεν γὰρ εἰς μηδὲν εὐοδοῦσθαι ὑπὸ τῶν ἁμαρτιῶν ἡμῶν, εἴπερ οἱ σπουδαιότατοι τῶν ἀδελφῶν οὐχ εὑρίσκονται προσηνεῖς, οὐδὲ εὔθετοι ταῖς διακονίαις, τῷ μὴ πάντα κατὰ γνώμην ἡμετέραν ἐπιτελεῖν (56). Ὃς ἐπανελθὼν διηγήσατο ἡμῖν τὰς ἐπὶ τοῦ σεμνοτάτου ἐπισκόπου Δαμάσου πρὸς τὴν σὴν τιμιότητα γενομένας αὐτῷ διαλέξεις, καὶ ἐλύπει ἡμᾶς λέγων τοῖς Ἀρειομανίταις συγκατηριθμῆσθαι (57) τοὺς θεοφιλεστάτους ἀδελφοὺς ἡμῶν τοὺς συλλειτουργοὺς Μελέτιον καὶ Εὐσέβιον. Ὧν εἰ καὶ μηδὲν ἄλλο συνίστη τὴν ὀρθοδοξίαν, ὁ γοῦν παρὰ τῶν Ἀρειανῶν πόλεμος ἀπόδειξιν ἔχει ὀρθότητος οὐκ ὀλίγην τοῖς εὐγνωμόνως λογιζομένοις. Τὴν δὲ σὴν εὐλάβειαν συνάπτειν αὐτοῖς εἰς ἀγάπην ὀφείλει καὶ ἡ κοινωνία τῶν ὑπὲρ Χριστοῦ παθημάτων. Ἐκεῖνο δὲ πέπεισο, ὡς ἀληθῶς τιμιώτατε, ὅτι οὐκ ἔστι τι ῥῆμα ὀρθοδοξίας, ὃ μὴ μετὰ πάσης παῤῥησίας παρὰ τῶν (58) ἀνδρῶν τούτων ἐκηρύχθη ὑπὸ Θεῷ μάρτυρι καὶ ἀκροαταῖς ἡμῖν. Οἷς οὐδ' ἂν πρὸς ὥραν αὐτῶν ἐδεξάμεθα τὴν συν-

A eos, quia dissensio aliqua inter fratres, qui illic sunt, intercesserat, ut a charitate quidem non discedant, ab iis autem qui ecclesiastico jure erratis mederi possunt, exspectent emendationem. Quod cum præstiteris præclaro ac convenienti consilio, laudavi te, ac Domino egi gratias, quod aliquæ veteris disciplinæ reliquiæ apud te serventur, nec Ecclesia suum ipsius robur in nostra persecutione amiserit. Non enim nobiscum persecutionem passi sunt et canones. Itaque sæpe a Galatis importune rogatus, nondum illis potui respondere, vestrum exspectans judicium. Et nunc si Deus dederit, nobisque patientem aurem præbeant, speramus nos populum ad Ecclesiam adducturos, ita ut non ipsis nobis exprobretur nos ad Marcellia- B nos accessisse, sed illi membra corporis Ecclesiæ Christi fiant : et malum dedecus, quod ex hæresi aspersum est, nostra suscipiendi ratione deleatur, nec nobis opprobrium inuratur, ut ad illos translatis.

2. Nos autem in tristitiam conjecit frater Dorotheus, quod, ut ipse scripsisti, non omnia leniter et mansuete dixerit dignitati tuæ. Atque id equidem temporum attribuo difficultati. Videor enim mihi nulla in re ob mea peccata prosperos habere successus : siquidem fratrum optimi non comperiuntur lenes, neque ad obeunda munera idonei, eo quod ex mea sententia non omnia peragunt. Is reversus mihi narravit quos coram Damaso episcopo reverendissimo cum tua præstantia sermones C **413** habuisset : ac dolorem mihi afferebat cum diceret numeratos in Arianis fuisse religiosissimos fratres comministros nostros Meletium et Eusebium. Quorum rectam doctrinam etiamsi nihil aliud commendaret, saltem illatum ab Arianis bellum non exile rectæ fidei indicium apud æquos rerum æstimatores haberet. Tuam autem pietatem conjungere cum illis ad charitatem debet ipsa etiam ærumnarum pro Christo toleratarum societas. Persuasum autem sit tibi, vir certe reverendissime, nullum rectæ doctrinæ verbum esse, quod ab his viris cum omni libertate non fuerit prædicatum, Deo teste et audientibus nobis. Qui profe-

(52) *Ηὐχαριστήσαμεν.* Sic Harl. et Coisl. primus. Editi εὐχαριστήσαμεν. Ibidem editi ὅτι ἐστί τι λείψανον. Deest vocula in iisdem duobus mss.

(53) *Εὐταξίας.* Editi addunt ἐκείνης, quod nullo in codice ms. reperitur.

(54) *Προσκεχωρηκέναι.* Codex Medicæus παρακεχωρηκέναι.

(55) *Λογίζομαι.* Coisl. primus et Med. λογιζόμεθα.

(56) *Ἡμετέραν ἐπιτελεῖν.* Harl. et Med. ὑμετέραν ἐπιστέλλειν.

(57) *Συγκατηριθμῆσθαι.* Hæc scriptura antiquissimi codicis Coisl. videtur præferenda vulgatæ συγκαταριθμεῖσθαι. Vix credibile est tam iniquum sermonem ex ore Petri Alexandrini emissum fuisse. Sed tamen Basilii querelæ non alium petere videntur, quamvis leniter rem insinuet et cum urbanissima quadam circuitione. Ait enim sibi narrasse Dorotheum quos cum Petro sermones coram Damaso habuisset, seque addit vehementer doluisse, cum is diceret Meletium et Eusebium numeratos in Arianis fuisse. Non alius ergo collocutus est cum D Dorotheo, nec alius Meletium et Eusebium tam inhoneste appellavit. His adde adhibitam a Basilio operam, ut eximium illud par episcoporum apud Petrum Alexandrinum purget. Demonstrat eum vel ob solam persecutionis societatem conjungi cum illis viris debuisse; præterita libenter oblivioni tradit, modo deinceps initium aliquod pacificum instituatur. Hæc profecto probant iniquum illud de Meletio et Eusebio judicium, quod Basilio tantum inussit doloris, a Petro profectum esse. Mirum id de tanto viro ac luctuosum : sed inde perspicitur quid peccent studia partium. Videntur enim hanc Petro opinionem injecisse calidiores Paulini astipulatores. Non æquior fuit in Meletium Hieronymus, ut patet ex ejus epistola ad Damasum papam.

(58) *Παρὰ τῶν.* Ita tres vetustissimi codices cum pluribus aliis. Editi ὑπὸ τῶν. Paulo post quatuor mss. recentiores ἐπεδεξάμεθα.

cto ne ad horam quidem admisissemus eorum communionem, si illos in fide claudicantes deprehendissemus. Sed, si videbitur, omittamus præterita, futuris autem initium aliquod demus pacificum. Nam nobis invicem indigemus omnes secundum membrorum societatem, et maxime præsenti tempore, quo Orientis Ecclesiæ ad nos respiciunt, ac vestra quidem illis concordia roboris et firmitatis erit occasio; sed si vos sentiant mutua aliqua suspicione laborare, resolventur ac manus remittent, quominus obsistant fidei hostibus.

A ἄφειαν, εἰ σκάζοντας αὐτοὺς περὶ τὴν πίστιν εὕρομεν. Ἀλλὰ, εἰ δοκεῖ, τὰ παρελθόντα ἐάσωμεν, τοῖς δὲ ἐφεξῆς ἀρχήν τινα δῶμεν εἰρηνικήν. Χρῄζομεν γὰρ ἀλλήλων πάντες κατὰ τὴν τῶν μελῶν κοινωνίαν, καὶ μάλιστα νῦν, ὅτε αἱ τῆς Ἀνατολῆς Ἐκκλησίαι πρὸς ἡμᾶς (59) ἀποβλέπουσι, καὶ τὴν μὲν ὑμετέραν ὁμόνοιαν ἀφορμὴν εἰς στηριγμὸν καὶ βεβαιότητα λήψονται· ἐὰν δὲ αἴσθωνται ὑμᾶς ἐν ὑποψίᾳ τινὶ πρὸς ἀλλήλους εἶναι, ἐκλυθήσονται καὶ παρήσουσιν ἑαυτῶν τὰς χεῖρας, πρὸς τὸ μὴ ἀνταίρειν τοῖς πολεμίοις τῆς πίστεως.

EPISTOLA CCLXVII *.

Basilius gravi corporis infirmitate, quominus Barsam invisat, et Ecclesiarum cura detentus, desiderio suo per litteras satisfacit, eumque rogat ut pro se et pro Ecclesia oret; jam se ad eum scripsisse declarat, et quædam misit munuscula.

Barsæ, episcopo Edessæ, exsulanti.

Equidem pro mea in tuam pietatem animi affectione exoptarem coram adesse, et veram tuam dilectionem per me ipse amplecti, ac Dominum glorificare, qui in te magnificatus est, ac venerandam tuam senectutem omnibus Dominum in terrarum orbe timentibus illustrem ac conspicuam præstitit. Sed quia et gravis corporis infirmitas me affligtat, et Ecclesiarum cura non enarrabilis mihi incumbit, nec in mea situm est potestate, ut quo velim proficiscar, et congrediar quibuscum cupio; per litteras lenio meum bonis, quæ in te sunt, perfruendi desiderium ac eximiam tuam pietatem adhortor, ut pro me ac Ecclesia preceris, ut Dominus det nobis sine offensione decurrere reliquos dies aut horas peregrinationis nostræ, ac præstet etiam, ut videamus pacem Ecclesiarum ipsius, et tum de reliquis tuis comministris ac commilitonibus audiamus ea quæ precamur, tum de teipso, quæ die ac nocte populi tibi subditi efflagitant a Domino justitiæ. Scito autem me **414** non sæpe quidem scripsisse, nec quoties par fuerat, sed tamen scripsisse ad tuam pietatem. Ac forte non potuerunt servare salutationes meas, qui ministerium litterarum susceperant fratres. Sed nunc cum copia sit mihi quorumdam e nostris ad tuam præstantiam proficiscentium, et litteras eis commisi libenter, et misi nonnulla, quæ dignare a mea humilitate suscipere sine fastidio, ac mihi exemplo Isaac patriarchæ benedicere [44]. Quod si quid etiam, ut occupati animumque curarum multitudine obrutum habentes, decori neglexinus, mihi ne imputaveris, neque afficiaris tristitia: sed tuam in omnibus perfectionem imitare: ut et nos virtute tua perfruamur, quemadmodum et reliqui omnes. Sa-

ΕΠΙΣΤΟΛΗ ΣΞΖ'.

B *Βάρσῃ, ἐπισκόπῳ Ἐδέσσης, ἐν ἐξορίᾳ ὄντι.*

Ἐγὼ τῆς διαθέσεως μὲν ἕνεκεν, ἧς ἔχω περὶ τὴν σὴν θεοσέβειαν, ἐπεθύμουν αὐτὸς παραγενέσθαι, καὶ δι' ἐμαυτοῦ περιπτύξασθαί σου τὴν ἀληθινὴν ἀγάπην, καὶ δοξάσαι τὸν Κύριον τὸν ἐν σοὶ μεγαλυνθέντα, καὶ τὸ τίμιόν σου γῆρας περιφανὲς καταστήσαντα πᾶσι τοῖς ἐν τῇ οἰκουμένῃ φοβουμένοις αὐτόν· ἐπειδὴ δὲ καὶ ἀσθένεια τοῦ σώματος βαρεῖα καταπονεῖ με, καὶ φροντὶς Ἐκκλησιῶν ἐπίκειταί μοι ἀμύθητος, καὶ οὐκ εἰμὶ ἐμαυτοῦ κύριος πρὸς τὸ ἀποδημεῖν ὅπου βούλομαι, καὶ συντυγχάνειν οἷς ἐπιθυμῶ, διὰ τοῦ γράμματος ἀναπαύω τὸν πόθον ὃν ἔχω ἐπὶ τῇ ἀπολαύσει τῶν ἐν σοὶ καλῶν, καὶ παρακαλῶ τὴν ἀνυπέρβλητόν σου εὐλάβειαν εὔχεσθαι ὑπὲρ ἐμοῦ καὶ τῆς Ἐκκλησίας, ἵνα ὁ Κύριος δῷ ἡμῖν ἀπροσκόπως C παρελθεῖν τὰς λυπουμένας ἡμέρας ἢ ὥρας τῆς παρεπιδημίας ἡμῶν· παράσχοι δὲ ἡμῖν καὶ ἰδεῖν τὴν εἰρήνην τῶν Ἐκκλησιῶν αὐτοῦ, καὶ ἀκοῦσαι περὶ τε τῶν λοιπῶν συλλειτουργῶν σου καὶ τῶν συναθλητῶν ἃ εὐχόμεθα, καὶ περὶ σοῦ αὐτοῦ, ἃ νυκτὸς (60) καὶ ἡμέρας οἱ ὑπὸ σὲ λαοὶ ζητοῦσι παρὰ τοῦ Κυρίου τῆς δικαιοσύνης. Γίνωσκε δὲ, ὅτι πολλάκις μὲν οὐκ ἐπεστείλαμεν, οὐδὲ ὁσάκις ὀφειλόμενον ἦν, ἐπεστείλαμεν δὲ ὅμως τῇ θεοσεβείᾳ σου. Καὶ τάχα οὐκ ἠδυνήθησαν διασῶσαι τὰς προσηγορίας ἡμῶν οἱ πιστευθέντες τὴν διακονίαν τῶν γραμμάτων ἀδελφοί. Ἀλλὰ νῦν, ἐπειδὴ ἐπετύχομεν ἡμετέρων τῶν ἀποπορούντων πρὸς τὴν σὴν τιμιότητα, καὶ τὰ γράμματα αὐτοῖς ἐνεχειρίσαμεν προθύμως, καὶ ἀπεστείλαμέν (61) τινα, ἃ καταξίωσον ὑποδέξασθαι παρὰ D τῆς ἡμετέρας ταπεινώσεως ἀνυπερηφάνως, καὶ εὐλογῆσαι ἡμᾶς κατὰ μίμησιν τοῦ πατριάρχου Ἰσαάκ. Εἰ δέ τι, καὶ ὡς ἀσχολούμενοι, καὶ ὑπὸ πλήθους φροντίδων τὸν νοῦν βαπτισμένον ἔχοντες, παρείδομεν τῶν πρεπόντων, μὴ λογίσῃ ἡμῖν, μηδὲ λυπηθῇς·

[44] Gen. xxvii, 27.

* Alias CCCXXVII. Scripta videtur anno 377 exeunte, aut 378 ineunte.

(59) *Πρὸς ἡμᾶς*. Harl., Coisl. primus, Regius primus, Paris. et Bigot. πρὸς ἡμᾶς. Infra Reg. secundus et Coisl. secundus τὴν ἡμετέραν, et αἴσθωνται ἡμᾶς.

(60) *Ἃ νυκτός*. Editi ἃ καὶ νυκτός. Deest conjunctio in plerisque mss. Paulo ante Coisl. primus ἀθλητῶν.

(61) *Ἀπεστείλαμεν*. Quinque codices ἐπεστείλαμεν. Quatuor ἐστείλαμεν. Mox codex Medicæus δέξασθαι.

ἀλλὰ μίμησαι τὴν σεαυτοῦ ἐν πᾶσι τελειότητα, ἵνα καὶ ἡμεῖς ἀπολαύσωμέν σου τῆς ἀρετῆς, ὡς καὶ οἱ λοιποὶ πάντες. Ἐῤῥωμένος, εὔθυμος (62) ἐν Κυρίῳ, ὑπερευχόμενός μου, χαρισθείης μοι καὶ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ

Quamvis multi litteras a me ad tuam dignitatem perferant, tamen ob eximium honorem, quem mihi habes, magnanimitati tuæ nullam arbitror molestiam multitudine litterarum exhiberi. Quamobrem libenter huic **423** etiam fratri hanc epistolam tradidi; cum mihi compertum sit et ipsum omnium, quæ in optatis habet, compotem fore, et me apud te inter beneficos numerandum, qui beneficiorum occasiones bonæ tuæ voluntati ministrem. Quam ad rem itaque patrocinio tuo indigeat, ipse tibi exponet, si modo illum benigno digneris aspicere oculo, eique apud præstantissimam tuam potestatem loquendi fiduciam dederis. Ego autem id quod in me situm est, per litteras declaro, quidquid in illum fiet, proprium mihi emolumentum videri; præsertim quia Tyanis profectus, hanc ob causam ad me venit, quasi magnum aliquod lucrum habiturus, si epistolam meam veluti supplicantis insigne proferret. Itaque, ut et ipse de spe non decidat, et ego honore consueto perfruar, et tuum illud bonarum rerum studium etiam in præsenti negotio adimpleatur, precamur illum a te benigne suscipi, et inter tuos maxime necessarios numerari.

Μοδέστῳ (36) ὑπάρχῳ.

Κἂν πολλοὶ ὦσιν οἱ γράμματα παρ' ἡμῶν προσκομίζοντες τῇ τιμιότητί σου, ἀλλὰ διὰ τὸ ὑπερβάλλον τῆς σῆς περὶ ἡμᾶς (37) τιμῆς ἡγοῦμαι τὸ πλῆθος τῶν γραμμάτων ὄχλον μηδένα παρέχειν τῇ μεγαλοφυΐᾳ σου. Διὰ τοῦτο προθύμως καὶ τῷ ἀδελφῷ τούτῳ τὴν ἐπιστολὴν ἔδωκα (38) ταύτην· εἰδὼς ὅτι καὶ αὐτὸς πάντων τεύξεται τῶν σπουδαζομένων, καὶ ἡμεῖς ἐν τοῖς εὐεργέταις λογισθησόμεθα παρὰ σοὶ, ἀφορμὰς εὐποιιῶν προξενοῦντες τῇ ἀγαθῇ προαιρέ-
C σει σου. Τὸ μὲν οὖν πρᾶγμα εἰς ὃ δεῖται τῆς προστασίας σου, αὐτὸς ἐρεῖ, ἐὰν αὐτὸν εὐμενεῖ καταξιώσῃς προσιδεῖν τῷ βλέμματι, καὶ δῷς αὐτῷ θάρσος ὥστε φωνὴν ῥῆξαι ἐπὶ τῆς μεγάλης σου καὶ ὑπερφυοῦς ἐξουσίας· ἡμεῖς δὲ τὸ ἡμέτερον διὰ τοῦ γράμματος παριστῶμεν, ὅτι τὸ εἰς αὐτὸν γινόμενον οἰκεῖον ἡγούμεθα κέρδος· διὰ τὸ μάλιστα, ἐκ τῆς Τυανέων αὐτὸν ἀναστάντα, τούτου ἕνεκεν ἐλθεῖν πρὸς ἡμᾶς, ὡς μέγα τι ἕξοντα κέρδος, εἰ τὴν ἡμετέραν ἐπιστολὴν ἀνθ' ἱκετηρίας προβάλοιτο. Ἵνα οὖν μήτε αὐτὸς τῶν ἐλπίδων ἐκπέσῃ, καὶ ἡμεῖς τῆς συνήθους τιμῆς ἀπολαύσωμεν, καὶ σοὶ ἡ περὶ τὰ ἀγαθὰ σπουδὴ καὶ ἐπὶ τῆς παρούσης ὑποθέσεως πληρωθῇ, ἀξιοῦμεν δεχθῆναι αὐτὸν εὐμενῶς, καὶ ἐναρίθμιον γενέσθαι τοῖς οἰκειοτάτοις σου.

EPISTOLA CCLXXX***.

ΕΠΙΣΤΟΛΗ ΣΠ'.

Commendat hominem sibi propinquum, quemque in filii loco habebat.

Modesto præfecto.

Quamquam audacia est tanto viro per litteras

D *Μοδέστῳ ὑπάρχῳ.*

Εἰ καὶ τολμηρὸν ἀνδρὶ τοσούτῳ διὰ γραμμάτων

* Alias CCCCXXV. Scripta in episcopatu.

** Alias CCLXXIV. Scripta in episcopatu.

*** Alias CCLXXV. Scripta in episcopatu.

(33) *Ὀρφανήνην*. Coisl. primus et Clarom. Ὀρφανήν.

(34) *Ἀτταγαίνοις*. Coisl. primus Ἀταΐνοις.

(35) *Εὔησος*. Coisl. primus Εὐήσας.

(36) *Μοδέστῳ*. Hic obiter monebo veteres libros, in quibus hæ epistolæ vario ordine continentur, non ὑπάρχου, sed ἐπάρχου titulum Modesto tribuere. Quod quidem recte emendatum fuit in editis.

(37) *Περὶ ἡμᾶς*. Ita plerique mss. Editi πρὸς ἡμᾶς.

(38) *Ἔδωκα*. Reg. secundus δέδωκα.

ἱκεσίας προσάγειν, ἀλλ' οὖν ἡ προϋπάρχουσα περὶ ἡμᾶς παρὰ σοῦ τιμὴ ἀφαιρεῖται τῆς καρδίας ἡμῶν τὸ δειλὸν, καὶ καταθαῤῥοῦμεν ἐπιστέλλειν ὑπὲρ ἀνθρώπων, οἰκείων μὲν ἡμῖν κατὰ γένος, τιμῆς δὲ ἀξίων διὰ τὴν δεξιότητα τῶν ἠθῶν. Ὁ τοίνυν τὴν ἐπιστολὴν ἡμῶν ταύτην ἐπιδιδοὺς (39) ἐν υἱοῦ μοι τάξει καθέστηκεν. Ἐπεὶ οὖν δεῖται μόνης τῆς παρὰ σοῦ εὐμενείας εἰς τὸ γενέσθαι αὐτῷ τὰ ἐπιζητούμενα, καταξίωσον δέξασθαί μου τὸ γράμμα, ὃ ἀνθ' ἱκετηρίας προτείνεταί σοι ὁ προειρημένος· καὶ δοῦναι αὐτῷ καιρὸν διηγήσασθαι τὰ καθ' ἑαυτὸν (40), καὶ διαλεχθῆναι τοῖς δυναμένοις αὐτῷ συνεργῆσαι, ἵνα τῷ προστάγματί σου ταχέως τύχῃ τῶν σπουδαζομένων, καὶ ἐμοὶ ὑπάρξῃ καλλωπίσασθαι (41) ὅτι μοι δέδοται τοιοῦτος παρὰ τῆς χάριτος τοῦ Θεοῦ προστάτης, ὃς τοὺς ἐμοὶ προσήκοντας ἰδίους ἡγεῖται ἱκέτας καὶ πρόσφυγας.

A supplicare, tamen honor, quem a te præcepi, timiditatem e meo corde expellit, ac fidenter ad te scribo pro hominibus mihi quidem genere propinquis, sed honore dignis ob morum probitatem. Itaque qui hanc nostram reddit epistolam, mihi loco filii est. Cum ergo sola tua benevolentia ei opus sit, voti ut compos fiat, litteras meas quas tibi vir memoratus, veluti quoddam supplicantis insigne offert, digneris accipere, eique tempus concedere res suas enarrandi, et cum iis qui illum juvare possunt colloquendi, ut, jubente te, cito optata consequatur, ac mihi gloriari liceat, quod Dei dono datus sit mihi patronus, qui meos necessarios, proprios supplices ac perfugas esse ducit.

ΕΠΙΣΤΟΛΗ ΣΠΑ'.

EPISTOLA CCLXXXI*.

Rogat ut Helladius peræquatoris munere liberetur.

Μοδέστῳ ὑπάρχῳ.

B

Μέμνημαι τῆς μεγάλης σου τιμῆς, ὅτι μοι (42) μετὰ τῶν ἄλλων ἔδωκας καὶ τὸ θαρσεῖν ἐπιστέλλειν σου τῇ μεγαλοφυΐᾳ. Κέχρημαι τοίνυν τῇ δωρεᾷ, καὶ ἀπολαύω τῆς φιλανθρωποτάτης χάριτος, ὁμοῦ μὲν ἐμαυτὸν εὐφραίνων ἐκ τοῦ διαλέγεσθαι ἀνδρὶ τοσούτῳ, ὁμοῦ δὲ καὶ τῇ σῇ μεγαλονοίᾳ καιρὸν ἐνδιδοὺς σεμνύνειν ἡμᾶς ταῖς ἀποκρίσεσιν. Ἐπεὶ δὲ ἱκέτευσα (43) τὴν σὴν ἡμερότητα ὑπὲρ τοῦ ἑταίρου ἡμῶν Ἑλλαδίου τοῦ πρωτεύοντος, ὥστε, τῆς ἐπὶ τῇ ἐξισώσει φροντίδος αὐτὸν ἀνεθέντα, ἐν τοῖς πράγμασι τῆς πατρίδος ἡμῶν συγχωρηθῆναι μοχθεῖν, καί τινος εὐμενοῦς νεύματος ἠξιώθην, ἀνανεοῦμαι τὴν αὐτὴν πρεσβείαν, καί σε καθικετεύω καταπεμφθῆναι πρόσταγμα τῷ ἄρχοντι τῆς ἐπαρχίας συγχωρῆσαι αὐτῷ τὴν ἐνόχλησιν.

Modesto præfecto.

Memini magni honoris a te delati, cum mihi inter alia fiduciam magnanimitati tuæ scribendi dedisti. Utor igitur dono, ac beneficio humanissimo fruor; cum ipse gaudens, quod cum tanto viro colloquar, tum etiam magnanimitati tuæ occasionem me responsis honestandi ministrans. Cum autem jam tuæ clementiæ pro sodali meo Helladio principali supplicaverim, ut exæquandi cura liberato laborem in res patriæ nostræ impendere **424** liceat, cumque me benevolo quodam nutu dignatus sis, preces easdem renovo, obtestorque mandatum ad provinciæ rectorem mittas, ut ei hanc molestiam condonet.

C

ΕΠΙΣΤΟΛΗ ΣΠΒ'.

EPISTOLA CCLXXXII**.

Invitat ad celebritatem martyrum, non sine peracuta reprehensione, quod non vocatus queratur, vocatus vero non veniat.

Πρὸς ἐπίσκοπον (44).

Μὴ καλούμενος ἐγκαλεῖς, καὶ καλούμενος οὐχ ὑπακούεις. Ἐκ δὲ τῶν δευτέρων δῆλος εἶ καὶ τῇ προτέρᾳ σκέψει μάτην χρησάμενος. Οὐ γὰρ ἂν ἧκες, ἐκ τῶν εἰκότων, οὐδὲ τότε κληθείς. Ἐπάκουσον οὖν καλοῦσι νῦν, καὶ μὴ γένῃ πάλιν ἀγνώμων· εἰδὼς, ὡς ἐγκλήματι προστιθέμενον ἔγκλημα βεβαιοῖ καὶ πιστοτέραν ἐργάζεται τοῦ προτέρου τὴν κατηγορίαν τὸ δεύτερον. Ἀεὶ δέ σε καὶ ἡμῶν ἀνέχεσθαι παρακαλῶ· εἰ δὲ ἡμῶν οὐκ ἀνέχῃ, ἀλλ' οὐ τῶν μαρτύρων ἀμελῆσαι δίκαιον· ὧν ταῖς μνείαις κοινωνήσων κλήθῃ. Δὸς οὖν πρῶτον μὲν ἀμφοτέροις, εἰ δὲ τοῦτό σοι μὴ δοκεῖ (45), τοῖς γοῦν τιμιωτέροις τὴν χάριν.

Ad episcopum.

Non vocatus quiritas, vocatus vero non obsequeris. Liquet autem ex secundis te in prioribus inani prætextu usum esse. Neque enim venisses, ut credere par est, etiamsi vocatus tunc fuisses. Obtempera igitur nunc vocantibus, et ne iterum fias iniquus, cum probe scias, crimen crimine accedente confirmari, et secunda culpa certiorem fieri accusationem prioris. Te autem semper adD hortor, me ut patienter feras: quod si me non fers patienter, saltem æquum fuerit, ut martyres nequaquam contemnas, quorum ut memoriis communices advocaris. Fac igitur in primis ab utrisque, sin hoc tibi visum non fuerit, saltem a præstantioribus gratiam ineas.

(39) *Ἐπιδιδούς*. Coisl. secundus ἐπιδούς.
(40) *Τὰ καθ' ἑαυτόν*. Ita mss. Editi τὰ καθ' αὐτόν.
(41) *Ὑπάρξῃ καλλωπίσασθαι*. Ita tres vetustissimi codices. Editi ὑπάρχῃ καλλωπίζεσθαι.
(42) *Ὅτι μοι*. Coisl. primus et Med. ὅτι με.
(43) *Ἐπεὶ δὲ ἱκέτευσα*. Coisl. primus ἐπειδὴ δὲ ἱκέτευσα.

(44) *Πρὸς ἐπίσκοπον*. Harl. et Clarom. ἐπισκόπῳ καλουμένῳ εἰς σύνοδον, *Episcopo ad conventum vocato*.
(45) *Μὴ δοκεῖ*. Harl. μὴ δοκῇ.
* Alias CCLXXVIII. Scripta in episcopatu.
** Alias CCCXXXVI. Scripta in episcopatu.

EPISTOLA CCLXXXIII*.

ΕΠΙΣΤΟΛΗ ΣΠΓ'.

Spem affert viduæ se illam visurum, alio conventu, post eos quos brevi habiturus erat, indicto. Somnium quoddam illius interpretatur.

Ad viduam.

Diem quidem conventui idoneum inventuros nos speramus, post eos conventus, quos in montanis locis indicturi sumus. Colloqui autem tempus, præter conventus celebrationem, nullum aliud nobis apparet, nisi quid præter spem Dominus dispensaverit. Conjecturam autem facere debes ex statu rerum tuarum. Si enim nobilitatem tuam de una domo sollicitam tanta circumstat turba curarum, quantis putas me quotidie negotiis distineri? Tuum autem somnium perfectiore quadam ratione arbitror id significare, contemplationis animi curam aliquam esse suscipiendam; ac oculos illos, quibus Deus conspici potest, esse sanandos. Cæterum solatium ex Scripturis divinis habens, neque me, neque alio quoquam ad ea quæ decent perspicienda indigebis, satis munita Spiritus sancti consiliis, ejusque præsidio, ad ea quæ conducunt.

Ἐλευθέρᾳ.

A Ἡμέραν μὲν ἐπιτηδείαν τῆς συνόδου (46) ἐλπίζομεν εὑρίσκειν μετὰ τὰς κατὰ τὴν ὀρεινὴν μελλούσας παρ' ἡμῶν τυποῦσθαι· συντυχίας δὲ (47) καιρὸς ἄνευ τῆς κατὰ τὴν σύνοδον λειτουργίας ἄλλος ἡμῖν οὐχ ὑποφαίνεται· πλὴν ἐὰν μή τι ἔξω τῶν ἐλπιζομένων ὁ Κύριος οἰκονομήσῃ. Στοχάζεσθαι δὲ ὀφείλεις ἐκ τῶν κατὰ σεαυτὴν (48) πραγμάτων. Εἰ γὰρ τῇ σῇ εὐγενείᾳ μιᾶς φροντιζούσῃ (49) τοσοῦτος περίκειται ὄχλος μεριμνῶν, πόσας νομίζεις ἡμᾶς τὰς ἐφ' ἑκάστης ἡμέρας ἀσχολίας ἔχειν; Τὸ δὲ σὸν ὄναρ ἡγοῦμαι τελειότερον ἐνδείκνυσθαι, ὡς ἄρα δέοι περὶ τῆς κατὰ ψυχὴν θεωρίας ποιεῖσθαί τινα ἐπιμέλειαν, κἀκείνους τοὺς ὀφθαλμοὺς θεραπεύειν οἷς ὁ Θεὸς ὁρᾶσθαι πέφυκεν. Ἔχουσα δὲ τὴν ἐκ τῶν θείων Γραφῶν B παράκλησιν, οὔτε ἡμῶν οὔτε ἄλλου τινὸς δεηθήσῃ πρὸς τὸ τὰ δέοντα συνορᾷν, αὐτάρκη τὴν ἐκ τοῦ ἁγίου Πνεύματος ἔχουσα συμβουλίαν καὶ ὁδηγίαν πρὸς τὸ συμφέρον.

EPISTOLA CCLXXXIV**.

ΕΠΙΣΤΟΛΗ ΣΠΔ'.

Petit ut monachi a tributis sint immunes.

Ad censitorem, causa monachorum.

Equidem puto jam normam aliquam constitutam esse apud tuam dignitatem de iis quæ spectant ad monachos, adeo ut necesse non habeam peculiare beneficium ipsis **425** petere, sed satis sit eis, communi cum omnibus perfrui humanitate. Sed tamen mei officii esse ducens, horum hominum pro viribus curam gerere, ad eximiam tuam prudentiam litteras mitto, ut qui jam olim sæculo nuntium remiserunt, ac suum ipsorum corpus ita mortificarunt, ut neque pecuniis, neque corporeo labore quidquam prodesse publicæ rei possint, tributis eximantur. Enimvero, si modo secundum professionem vivant, neque pecunias, neque corpora habent; cum illas videlicet in egenorum usus profuderint, hæc vero jejunando ac precando contriverint. Scio autem fore, ut nihil magis verearis, quam homines ita viventes, tibique illos adjutores parare velis, ut qui per evangelicum vivendi genus Dominum placare possint.

Περὶ μοναζόντων (50), κηνσίτορι.

Οἶμαι μέν τινα ἤδη τύπον κεκρατῆσθαι παρὰ τῇ τιμιότητί σου τῶν μοναζόντων ἕνεκεν, ὡς μηδὲν ἡμᾶς δεῖσθαι ἰδιάζουσαν χάριν ἐπ' αὐτοῖς αἰτεῖν, ἀλλ' ἐξαρκεῖν αὐτοῖς, εἰ τῆς κοινῆς μετὰ πάντων ἀπολαύσειαν φιλανθρωπίας· ὅμως δὲ καὶ ἐμαυτῷ ἐπιβάλλειν ἡγούμενος φροντίζειν, τὰ δυνατὰ, τῶν C τοιούτων, ἐπιστέλλω τῇ τελείᾳ συνέσει σου τοὺς πάλαι μὲν ἀποταξαμένους τῷ βίῳ, νεκρώσαντας δὲ ἑαυτῶν τὸ σῶμα, ὡς μήτε ἀπὸ χρημάτων μήτε ἀπὸ τῆς σωματικῆς ὑπηρεσίας δύνασθαί τι παρέχειν τοῖς δημοσίοις χρήσιμον, ἀφιέναι τῶν συντελειῶν. Καὶ γὰρ εἴπερ εἰσὶ κατὰ τὸ ἐπάγγελμα ζῶντες, οὔτε χρήματα ἔχουσιν οὔτε σώματα· τὰ μὲν εἰς τὴν τῶν δεομένων κοινωνίαν ἀποκτησάμενοι, τὰ δὲ ἐν νηστείαις καὶ προσευχαῖς κατατρίψαντες. Οἶδα δὲ, ὅτι τοὺς οὕτω βεβιωκότας παντὸς μᾶλλον δι' αἰδοῦς ἄξεις, καὶ βουλήσει (51) σεαυτῷ κτήσασθαι βοηθοὺς, δυνατοὺς διὰ τῆς κατὰ τὸ Εὐαγγέλιον πολιτείας δυσωπῆσαι τὸν Κύριον.

* Alias CCLXXXIV. Scripta in episcopatu.

** Alias CCCIV. Scripta in episcopatu.

(46) *Τῆς συνόδου*. Synodi nomine multa apud Basilium significari solent, interdum episcoporum concilia, interdum fidelium conventus ad dies festos martyrum, ut in epistolis 95, 98, 126. Ipsæ etiam ecclesiæ vocantur synodi in epist 286 et 321. Hic autem eos conventus designat Basilius, quos, cum ecclesias agrorum visitaret, convocatis presbyteris, indicere solebat: horum exempla habes in epistola 278.

(47) *Συντυχίας δέ*. Ita Coisl. uterque, Reg. secundus et Clarom. Plures codices non habuimus in D hanc epistolam. Editi συντυχίας καιρός.

(48) *Κατὰ σεαυτήν*. Sic iidem mss. Editio prima Paris. κατὰ σεαυτόν.

(49) *Μιᾶς φροντιζούσῃ*. Coisl. secundus et Reg. secundus addunt, quod deest tum in editis, tum in codicibus Coisl. primo et Clar., οἰκίας.

(50) *Περὶ μοναζόντων*. Hunc titulum sic exhibent Coisl. primus et Med. Alii codices et editi addunt ὥστε αὐτοὺς τῶν συντελειῶν διαφεῖναι, *ut eos a tributis eximat*.

(51) *Βουλήσει*. Ita Coisl. primus et Med. cum aliis nonnullis. Editi βουλήσῃ.

ΕΠΙΣΤΟΛΗ ΣΠΕ'.

EPISTOLA CCLXXXV*.

Commendat Ecclesiæ possessiones quæ nimiis tributis premebantur.

Ἀνεπίγραφος, ἐπὶ τῇ τῆς Ἐκκλησίας προστασίᾳ.

A *Sine inscriptione, ut patrocinium Ecclesiæ conciliet.*

Ὁ τῆς Ἐκκλησίας φροντίζων, καὶ διὰ χειρὸς ἔχων τῶν κτήσεων τὴν ἐπιμέλειαν, αὐτός ἐστιν ὁ τὴν ἐπιστολὴν ἐπιδιδούς σοι ταύτην, ὁ ἀγαπητὸς υἱὸς ὁ δεῖνα. Τοῦτο καταξίωσον, περὶ ὧν ἀναφέρει τῇ κοσμιότητί σου, δοῦναι καὶ λόγου παῤῥησίαν, καὶ περὶ ὧν διαβεβαιοῦται (52) προσχεῖν· ἵνα ἀπὸ γοῦν τοῦ νῦν δυνηθῇ ἡ Ἐκκλησία ἑαυτὴν ἀναλαβεῖν, καὶ τῆς πολυκεφάλου ταύτης ὕδρας ἀπαλλαγῆναι. Τοιαύτη γὰρ ἡ τῶν πτωχῶν κτῆσις, ὥστε ἀεὶ ἡμᾶς ζητῆσαι τὸν ὑποδεχόμενον αὐτὴν, διὰ τὸ προσαναλίσκειν μᾶλλον τὴν Ἐκκλησίαν, ἢ τινα καρπὸν ἔχειν ἀπὸ τῶν κτημάτων.

Qui Ecclesiæ curam gerit, cuique possessionum administratio commissa, ipse est, qui hanc tibi tradit epistolam, dilectus ille filius. Huic digneris quibus de rebus ad tuam dignitatem referet, tum loquendi libertatem dare, tum asseveranti aures præbere : ut saltem nunc recreare se possit Ecclesia, et ab illa multorum capitum hydra liberari. Pauperum enim possessio est ejusmodi, ut semper quæramus, qui eam suscipiat; eo quod Ecclesia suum insuper potius absumat, quam ex possessionibus aliquid percipiat emolumenti.

ΕΠΙΣΤΟΛΗ ΣΠϚ'.

EPISTOLA CCLXXXVI**.

Significat Basilius fures in ecclesia comprehensos a se judicari debere, ac immerito Commentariensem sibi eorum receptionem arrogare.

Κομενταρησίῳ.

B *Commentariensi.*

Ἐπειδή τινες ἐν τῇ συνόδῳ (53) τῇδε συνελήφθησαν τῶν τὰ πονηρὰ ἐργαζομένων, καὶ κλεπτόντων παρὰ τὴν ἐντολὴν τοῦ Κυρίου ἱμάτια εὐτελῆ πτωχῶν ἀνθρώπων, οὓς ἐνδύειν μᾶλλον ἐχρῆν ἢ ἀποδύειν, συνελάβοντο μὲν αὐτοὺς οἱ τῆς εὐταξίας ἐπιμελόμενοι τῆς ἐκκλησιαστικῆς, νομίσας (54) δὲ αὐτῷ σοι διαφέρειν, ὡς τὰ δημόσια πράττοντι, τὴν τῶν τοιούτων ὑποδοχὴν (55), ἐπέστειλά σοι, γνωρίζων, ὅτι τὰ ἐν ταῖς ἐκκλησίαις ἁμαρτανόμενα ὑφ' ἡμῶν (56) προσήκει τῆς πρεπούσης τυγχάνειν διορθώσεως, δικαστὰς δὲ περὶ τούτων μὴ παρενοχλεῖσθαι. Διὰ τοῦτο καὶ τὰ σῦλα αὐτῶν, ἃ δηλοῖ τὸ παρὰ σοὶ κείμενον, καὶ ἡ ἐπὶ πάντων τῶν παρόντων γενομένη ἀντιγραφὴ, ὑποδεχθῆναι προσέταξα, καὶ τὰ μὲν ταμιευθῆναι τοῖς ἐπερχομένοις, τὰ δὲ διαδοθῆναι τοῖς παροῦσι· τοὺς δὲ ἀνθρώπους ἐπιστρέψαι ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, οὓς οἶμαι ἐν τῷ ὀνόματι τοῦ Θεοῦ βελτίους ποιήσειν πρὸς τὸ ἐφεξῆς. Ἃ γὰρ αἱ τῶν δικαστηρίων πληγαὶ οὐκ ἐργάζονται (57), ταῦτα ἴσμεν πολλάκις τὰ φοβερὰ κρίματα τοῦ Κυρίου κατορθοῦντα. Εἰ δὲ δοκεῖ σοι καὶ περὶ τούτων ἀνενεγκεῖν τῷ κόμητι (58), τοσοῦτον θαῤῥοῦμεν τοῖς δικαίοις καὶ τῇ τοῦ ἀνδρὸς ὀρθότητι, ὅτι ἐπιτρέπομέν σοι ποιεῖν ὃ βούλει.

Cum nonnulli in hac ecclesia comprehensi sint malefici, qui furati sunt contra Domini præceptum vilia pauperum vestimenta, quos induere oportebat magis, quam exuere; cumque ab iis, quibus recti in Ecclesia ordinis cura incumbit, comprehensi fuerint, ad te autem existimaveris, ut qui rem publicam geras, ejusmodi personarum receptionem pertinere; dedi ad te litteras, ut te facerem certiorem, quæ in ecclesiis peccantur, ea a nobis, ut par est, emendari debere, nec de his rebus judices esse interpellandos. Quapropter vestes sacrilege subreptas, quas depositum apud te inventarium, et in omnium astantium oculis exscriptum exemplar declarat, recipi præcepi, et C alias quidem venturis servari, alias vero iis qui aderant tradi, **426** homines vero in disciplina atque admonitione Domini corrigi : quos spero in Dei nomine meliores deinceps me redditurum. Quæ enim tribunalium plagæ non efficiunt, ea plerumque novimus tremenda Domini judicia perficere. Quod si tibi visum fuerit et de his ad Comitem referre, adeo et juri, et viri integritati confidimus, ut per me tibi liceat facere quod libuerit.

(52) *Διαβεβαιοῦται.* Sic mss. tres. Editi βεβαιοῦται.

(53) *Ἐν τῇ συνόδῳ τῇδε.* Quamvis hæc verba reddi possint, *in hoc conventu*, id est, in aliquo martyrum festo, videtur tamen Basilius ipsum locum, ut Commentariensi notum, designare, non diem festum, qui forte illi non tam cognitus erat. Porro ecclesias vocari synodos perspicimus ex Epist. 321.

(54) *Νομίσας.* Quamvis in hac voce consentiant editi et mss. codices, nullus tamen dubito quin legendum sit ἐνόμισας, ut legit interpres ac legendum monet Combefisius. Nam si legamus νομίσας, referendum id erit ad Basilium. At quomodo Basilius ejusmodi personarum receptionem ad Commentariensem pertinere existimasset, qui non alio consilio hanc epistolam scribit, nisi ut sibi judicium hujus rei vindicet?

(55) *Ὑποδοχήν.* *Ad Commentariensem receptarum personarum custodia observatioque pertineat,* D ait lex data anno 371, cod. Theod. lib. IX, tit. 3, p. 38.

(56) *Ὑφ' ἡμῶν.* Ita Coisl. uterque et Reg. secundus. Editi ὑφ' ἡμῖν.

(57) *Ἐργάζονται.* Coisl. primus ἐξεργάζονται.

(58) *Τῷ κόμητι.* Comitem Orientis intelligit Gothofredus in notis ad legem modo citatam. Sed non video cur non potius intelligendus sit comes Ponticæ, cujus in diœcesi erat Cæsarea.

* Alias CCXXIX. Scripta in episcopatu.

** Alias CCCCXVII. Scripta in episcopatu.

EPISTOLA CCLXXXVII*.

ΕΠΙΣΤΟΛΗ ΣΠΖ'.

Removet a precibus hominem nequissimum cum tota familia.

Sine inscriptione, contra ultores.

Difficillimum est cum hoc homine negotium. Non enim habemus quid faciamus tam versipelli ingenio atque, ut ex rebus ante oculos positis conjicere est, desperato. Nam in judicium vocatus, non respondet; quod si advenerit, tanta ubertate utitur dicendi ac jurandi, ut præclare nobiscum agi putemus, si cito ab illo discedamus. Sæpe etiam illum vidi crimina in accusatores convertentem. Et in summa, natura nulla est inter ea quæ hanc terram depascunt, tam versuta, tamque ad malitiam flexibilis, quam est viri illius, quemadmodum levi facto periculo spectare licet. Quid autem me percontamini, ac non vobis ipsi persuadetis, ut illius toleretis injurias, tanquam iram quamdam divinitus invectam? Sed ne vos peccatorum communicatio contaminet, cum omni sua familia a precum consortio et a reliqua cum sacratis communione separetur. Forte jam res cavenda effectus, pudore suffundetur.

A *Ἀνεπίγραφος, ἐπὶ ἐκδικηταῖς.*

Δυσμεταχείριστον ἔοικεν εἶναι τὸ κατὰ τόνδε. Οὐ γὰρ ἔχομεν τί χρησόμεθα οὕτω πολυτρόπῳ ἤθει, ὡς ἐκ τῶν δρωμένων ἔστιν εἰκάζειν, ἀπεγνωσμένῳ. Εἰς κρίσιν μὲν γὰρ καλούμενος, οὐχ ὑπακούει (59)· κἂν ἀπαντήσῃ, τοσαύτῃ χρῆται περιουσίᾳ λόγων καὶ ὅρκων, ὡς ἀγαπητὸν ἡμῖν ποιεῖν τὸ ταχέως αὐτοῦ χωρισθῆναι. Εἶδον δὲ αὐτὸν πολλάκις καὶ περιτρέψαντα τὰς αἰτίας τοῖς ἐγκαλοῦσι. Καὶ ὅλως οὐδεμία φύσις τῶν ὅσα τὴν γῆν ἐπιβόσκεται οὕτω ποικίλη καὶ πρὸς κακίαν εὔπλαστος, ὡς ἡ τοῦ ἀνθρώπου τούτου· ὡς ἐξ ὀλίγης (60) τῆς πείρας ἐστὶ τὸ κατ' αὐτὸν τεκμήρασθαι. Τί δὲ ἐρωτᾶτέ με, καὶ οὐ πείθετε ἑαυτοὺς ὑπομένειν (61) τὰς παρ' αὐτοῦ ἀδικίας, ὡς ὀργήν τινα θεήλατον; B Ὑπὲρ δὲ τοῦ μὴ ὑμᾶς μολύνεσθαι ἐν κοινωνίᾳ τῶν ἁμαρτημάτων, πανοικεὶ (62) τῶν εὐχῶν κεχωρίσθω, καὶ τῆς ἄλλης τῆς πρὸς τοὺς ἱερατικοὺς κοινωνίας. Ἴσως (63) παραφύλαγμα γενόμενος, ἐντραπήσεται.

EPISTOLA CCLXXXVIII**.

ΕΠΙΣΤΟΛΗ ΣΠΗ'.

Nefarium hominem, primum coram uno aut altero, deinde coram Ecclesia frustra reprehensum et a precibus remotum excommunicat Basilius, ac vetat ne quis cum eo misceatur.

Sine inscriptione, contra ultores.

Quos communes pœnæ ad sanam mentem non revocant, nec a precum communione separatio ad pœnitentiam adducit, eos necesse est traditis a Domino canonibus subjicere. Scriptum est enim: *Si frater tuus peccaverit, corripe eum inter te et ipsum: si te non audierit, assume tecum alium: quod si ne sic quidem, dic Ecclesiæ: si vero neque Ecclesiam audierit, sit tibi de cætero ut ethnicus et publicanus* [43]; quod ipsum et in isto factum fuit. Semel accusatus est: coram uno et altero convictus fuit, tertio coram Ecclesia. Cum igitur **427** eum obtestati fuerimus, nec acquieverit, sit deinceps excommunicatus. Et hoc pago toti nuntietur, eum admittendum non esse ad ullam rerum ad

Ἀνεπίγραφος, ἐπὶ ἐκδικηταῖς.

Οὓς τὰ κοινὰ ἐπιτίμια οὐ σωφρονίζει, οὔτε τὸ εἰρχθῆναι τῶν εὐχῶν ἄγει εἰς μετάνοιαν, ἀνάγκη τοῖς παρὰ τοῦ Κυρίου δοθεῖσι κανόσιν ὑποβάλλειν. C Γέγραπται γάρ· *Ἐὰν ὁ ἀδελφός σου ἁμάρτῃ, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ· ἐὰν σοι μὴ ἀκούσῃ, παράλαβε μετὰ σεαυτοῦ ἄλλον· ἐὰν δὲ μηδὲ οὕτως, εἰπὲ τῇ Ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι λοιπὸν ὡς ἐθνικὸς* (64) *καὶ ὁ τελώνης*· ὃ οὖν ἐγένετο (65) καὶ ἐπὶ τοῦδε. Ἅπαξ ἐνεκλήθη· ἐπὶ ἑνὸς καὶ δευτέρου διηλέγχθη· τρίτον ἐπὶ τῆς Ἐκκλησίας. Ἐπεὶ οὖν διεμαρτυράμεθα αὐτῷ, καὶ οὐ κατεδέξατο, λοιπὸν ἔστω (66) ἐκκήρυκτος. Καὶ διαγγελθήτω πάσῃ τῇ κώμῃ ἀπρόσδεκτον αὐτὸν εἶναι πρὸς πᾶσαν κοι-

[43] Matth. xviii, 15-17.

* Alias CCXLV. Scripta in episcopatu.

** Alias CCXLVI. Scripta in episcopatu.

(59) *Οὐχ ὑπακούει*. Negatio addita ex Medicæo et duobus aliis. Ibidem Coisl. primus τοσαύτην χρῆται περιουσίαν.

(60) *Ἐξ ὀλίγης*. Coisl. primus ἐξ ὅλης. Medicæus cum Reg. secundo et Coisl. secundo ἐξ ὀλίγου. Plures in hanc epistolam codices non habuimus.

(61) *Ὑπομένειν*. Coisl. secundus et Reg. secundus φέρειν. Vituperat S. Augustinus in epist. 250 factum Auxilii episcopi, qui virum spectabilem Classicianum cum tota familia excommunicaverat. Discrepat ergo Basilius ab Augustino, si hominis nocentis innocentem familiam arcet a communione. Sed nihil cogit ejusmodi decretum ei attribuere. Nullo certe in canone pœnam ejusmodi imponit. In epistola sequenti gravissimam infligit excommunicationem, sed nocentis familiam non tangit. Quod si in epistola 270 eos, qui raptorem juverunt, cum totis familiis arcet a precibus; communem irrogat pœnam, quia, ut ibidem observavimus, commune D peccatum erat. Quinetiam in hac ipsa epistola cum ait, *sed ne vos peccatorum communicatio contaminet, cum omni sua familia a precum consortio et reliqua cum sacratis communione separetur*, satis indicat sibi innocentem hominis familiam non videri, seque metuere ne pravo exemplo corrupta similem perniciem aliis inferat.

(62) *Πανοικεί*. In Coisl. utroque, et Med. et Reg. secundo scribitur πανοικί.

(63) *Ἴσως*. Sic quatuor nostri codices pro eo quod erat in editione 2 Paris. ἧς ὡς.

(64) *Ἐθνικός*. Editi ὁ ἐθνικός. Melius deest articulus in Coisl. primo.

(65) *Ἐγένετο*. Editi addunt τοῦτο, quod melius deest in Reg. secundo et Coisl. secundo.

(66) *Ἔστω*. Sic iidem duo codices. Editi ἔσται. Ibidem editi διαγγελήτω. Mss. διαγγελθήτω.

κοινίαν χρήσεως βιωτικῆς, ὡς, ἐκ τοῦ μὴ συναναμίγνυσθαι ἡμᾶς αὐτῷ, γένηται παντελῶς κατάβρωμα τοῦ διαβόλου.

A vitam pertinentium societatem: ut ex eo quod cum eo non commisceamur, sit prorsus diaboli pabulum.

ΕΠΙΣΤΟΛΗ ΣΠΘ'.

EPISTOLA CCLXXXIX*.

Rationes exponit cur eripere non possit hominem nocentem, qui sacram virginem famoso libello laceraverat, et legibus punitus calumnias de integro renovaverat.

Ἀνεπίγραφος, περὶ γυναικὸς καταπονουμένης.

Ἐγὼ ἴσον ἁμάρτημα κρίνας, καὶ ἀνεπιτιμήτους ἐᾷν τοὺς ἁμαρτάνοντας, καὶ ὑπερβαίνειν τὸ μέτρον τῇ τιμωρίᾳ (67), τὴν ἐμοὶ ἐπιβάλλουσαν ἐπέθηκα δίκην τῷδε, ἐξορίσας αὐτὸν τῆς ἐκκλησιαστικῆς κοινωνίας· καὶ τοῖς ἠδικημένοις παρῄνεσα μὴ ἑαυτοὺς ἐκδικεῖν, ἀλλὰ τῷ Κυρίῳ τὴν ἀνταπόδοσιν ἐπιτρέψαι. Ὥστε, εἴ τι ὄφελος ἡμῶν (68) παραγγελμάτων, τότε ἂν ἠκούσθην, πολλῷ ἀξιοπιστότερον κεχρημένος τῷ λόγῳ ἢ ὅσον ἂν δυνηθείη δυσωπῆσαι τὰ γράμματα. Ἐπεὶ δὲ ἤκουσα ῥημάτων πολλὴν (69) ἐχόντων βαρύτητα, καὶ τότε ἡσύχασα, καὶ νῦν οὐχ οἶμαι πρέπον εἶναί μοι περὶ τῶν αὐτῶν διαλέγεσθαι. Ἐγὼ γάρ, φησίν, ἀνδρὸς ὑπερεῖδον, καὶ παιδοποιίας καὶ βίου, ἵνα ἑνὸς τούτου τύχοιμι, τῆς παρὰ Θεοῦ (70) εὐδοκιμήσεως, καὶ παρὰ τοῖς ἀνθρώποις τοῦ βελτίονος ἀξιοῦσθαι λόγου. Ἐπειδὴ ἄνθρωπος ἐκ παιδὸς ταῖς οἰκοφθορίαις ἐντεθραμμένος, εἰσβιασάμενός ποτε τῇ συνηθείᾳ ἑαυτοῦ ἀναιδείᾳ ἐνέπεσεν ἡμῶν τῷ οἴκῳ, καὶ μέχρι ψιλῆς συντυχίας ἐγένετο γνώριμος ἡμῖν, καὶ ἀγνοίᾳ τῶν κατ' αὐτὸν, καὶ αἰδοῖ τινι ἀπαιδεύτῳ προφανῶς αὐτὸν αἰσχυνομένη ἐλάσαι· εἰς τοσοῦτον ἐξῆλθεν ἀσεβείας καὶ ὕβρεως, ὥστε ἐμπλῆσαι μὲν τὴν πόλιν πᾶσαν τῶν κατ' ἐμοῦ (71) βλασφημιῶν, προγράμματι δὲ δημοσίῳ στηλιτεῦσαι, ἐκτεθέντι ἐπὶ τῶν προθύρων τῆς ἐκκλησίας. Ἐφ' οἷς καὶ τυχών τινος παρὰ τῶν νόμων ἀγανακτήσεως, πάλιν ἐπανελθὼν (72) ἀνενεώσατο τὰς αὐτοῦ βλασφημίας. Πάλιν τῶν ἐμῶν λοιδοριῶν πλήρης ἡ ἀγορὰ, τὰ γυμνάσια, τὰ θέατρα, αἱ οἰκίαι τῶν δι' ὁμοιότητα τοῦ βίου δεχομένων αὐτόν. Καὶ μηδὲ ἐπὶ τοῖς βελτίοσι γνωρίζεσθαι, ἐν οἷς εὐπρεπὲς ἦν, ὑπῆρξέ μοι ἐκ τῶν αἰσχίστων, διὰ τὸ παρὰ πᾶσι τῇ ἀκολάστῳ γνώμῃ (73) γενέσθαι περιφανῆ. Ἐπὶ τούτοις, φησὶν, οἱ μὲν ἥδονται ταῖς βλασφημίαις, διὰ τὸ φύσει χαίρειν ταῖς λοιδορίαις τοὺς ἀνθρώπους· οἱ δὲ ἄχθεσθαι μὲν λέγουσιν, οὐ συναλγοῦσι δέ· ἄλλοι πείθονται ἀληθεῖς εἶναι τὰς λοιδορίας· ἄλλοι ἀμφίβολοί εἰσι, τῷ πλήθει τῶν ὅρκων αὐτοῦ προσέχοντες. Ὁ δὲ συναλγῶν οὐκ ἔστιν· ἀλλ' ὄντως νῦν τῆς ἐρημίας ᾐσθόμην (74)·

Sine inscriptione, de muliere afflicta.

Ego par peccatum esse judicans et impunitos relinquere delinquentes, et modum transgredi plectendo, pœnam quæ mihi competebat, huic viro inflixi, arcens eum a communione ecclesiastica; et eos qui læsi sunt hortatus sum, ut se ipsi non ulciscerentur, sed Domino ultionem permitterent. B Quare si qua esset utilitas mearum admonitionum, tunc fuissem exauditus, sermone utens ejusmodi qui multo esset ad fidem faciendam aptior, quam litteræ ad flectendum. Sed postquam verba audivi valde gravia, et tunc silui, et nunc decere me non arbitror de iisdem agere. Ego enim, inquit, virum, liberorumque procreationem et sæculum contempsi, rei unius consequendæ causa, ut Deo probata essem, et bene apud homines audirem. Sed postquam homo a puero in corrumpendis domibus institutus, solita impudentia sese obtrudens in domum meam aliquando irrupit, mihique cognitus tantum fuit ex simplici colloquio, quæ ignoratione illius morum ac imperito quodam pudore illum aperte verecundabar expellere; eo impietatis C ac contumeliæ devenit, ut civitatem totam injuriosis in me sermonibus repleret, meque famoso libello valvis ecclesiæ affixo decantaret. Ob quæ etiam indignationem aliquam a legibus expertus, iterum rediens maledicta sua renovavit. Rursus referta conviciis meis, forum, gymnasia, theatra ac ædes eorum qui illum ob vitæ similitudinem recipiunt. Nec mihi turpissima convicia attulerunt, ut ex melioribus rebus, ut oportebat, cognoscerer, eo quod apud omnes intemperantis animi notis inusta sim. In his, inquit, alii quidem lætantur maledictis, propterea quod natura conviciis gaudent homines: alii vero se indignari dicunt, non tamen mecum dolent; aliis persuasum est vera esse convicia; dubitant alii, dum ei toties juranti animum atten- D dunt. Non est autem qui mei commiserescat: sed vere nunc solitudinem sensi, meque ipsa lugeo, non fratrem, non amicum, non cognatum,

(67) *Τῇ τιμωρίᾳ*. Med. et Vat. τὴν τιμωρίαν.

(68) *Ἡμῶν*. Duo codices recentiores ἐμῶν. Mox multi codices τῷ λόγῳ, ὅσον. Nonnulli καὶ ὅσον.

(69) *Ἐπεὶ δέ... πολλήν*. Ita Reg. secundus et Coisl. secundus. Alii et editi Ἐπειδή... πολλῶν.

(70) *Παρὰ Θεοῦ*. Sic Med. et Coisl. primus. Editi παρὰ Θεῷ. Paulo post legendum Ἐπεὶ δέ.

(71) *Κατ' ἐμοῦ*. Ita Coisl. primus. Editi κατ' ἐμαυτοῦ. Paulo ante legendum αἰσχυνομένη, mutato, ut sæpe alias, numero, vel αἰσχυνομέναις.

(72) *Ἐπανελθών*. Ex his patet auctorem libelli exsilio damnatum.

(73) *Γνώμῃ*. Mallet Combefisius γλώσσῃ. Sed non favent codices mss., nec opus est sanam lectionem emendare. Subobscura autem hujus loci sententia sic videtur explicari posse: Erat illa virgo ob famosos libellos omnibus cognita, ita ut in omnium sermone versaretur. Itaque si calumniæ non ipsam pudicitiam, sed aliud quidpiam oppugnassent, illud saltem ex calumniis consecuta esset, ut eam omnes virginem esse scirent. Sed cum maledicta in ipsam pudicitiam erupissent, non jam sua illam virginitas, utpote incontinentis animi notis inustam, apud homines commendare potuit.

(74) *Ἠσθόμην*. Quatuor codices ᾔσθην. Vat. ᾔσθην. Reg. secundus ᾐσθήθην.

* Alias CCXLIX. Scripta in episcopatu.

non servum, non liberum, neminem 428 **omnino** A hominum habens qui meo dolore moveatur; et, ut mihi videtur, solam me hac urbe miseriorem invenio, in qua tam pauci improbos oderunt: qui quidem illatam his et illis contumeliam non vident in orbem progredi, ac ipsos aliquando apprehensuram. Cum hæc et alia longe adhuc graviora mihi cum innumeris lacrymis exposuisset, abiit ne me quidem a querelis immunem dimittens, quód cum paterno animo dolere cum illa deberem, indifferens essem in tanto malo, et in alienis ærumnis philosopharer. Non enim jubes, aiebat, ut pecuniarum jacturam contemnam, neque ut corporis labores perferam, sed ut lædar in ipsa fama, cujus jactura fit cleri commune damnum. Ad hæc verba quid me illi respondere velis, B ipse, o admirande, judica; cum apud me statutum habeam, ut nocentes magistratibus non tradere, ita nec traditos eripere; quibus id jam olim ab Apostolo dictum est, ut magistratum in malo opere timeant: *Non enim sine causa gladium portat*[44]. Quemadmodum igitur tradere inhumanum est: ita etiam eripere illius est qui contumeliam alit. Forte introitus in causam differetur ad nostrum usque adventum; et tunc ostendemus, nihil nos prodesse posse, quod non sint qui morem gerant ac obsequantur.

καὶ ἐμαυτὴν ὀδύρομαι, οὐκ ἀδελφὸν, οὐ φίλον, οὐ συγγενῆ, οὐ δοῦλον, οὐχ ἐλεύθερον, οὐδένα ἀνθρώπων τὸ παράπαν ἔχουσα συναλγοῦντα· καὶ, ὡς ἔοικε, μόνην ἑαυτὴν ἐλεεινοτέραν τῆς πόλεως εὑρίσκω, ἐν ᾗ τοσαύτη σπάνις μισοπονήρων ἐστίν· οἳ τὴν εἰς ἀλλήλους γινομένην παροινίαν οἴονται βαδίζουσαν ἐν κύκλῳ, καὶ αὐτούς ποτε καταλήψεσθαι. Ταῦτα καὶ πολλῷ ἔτι πληκτικώτερα μετὰ ἀμυθήτων δακρύων πρὸς ἐμὲ διεξελθοῦσα, ἀπῆλθεν, οὐδὲ ἐμὲ τῶν μέμψεων ἐλεύθερον ἀφεῖσα, ὅτι, δέον πατρικῶς αὐτῇ συναλγεῖν, ἐναδιαφορῶ κακῷ τοσούτῳ, καὶ φιλοσοφῶ ἐν ἀλλοτρίοις παθήμασιν. Οὐ γὰρ χρημάτων ἄφεσιν (75) κελεύεις ὑπεριδεῖν, οὐδὲ τοὺς εἰς τὸ σῶμα πόνους συνενεγκεῖν· ἀλλ' εἰς αὐτὴν ζημιωθῆναι τὴν ὑπόληψιν, ἧς ἡ βλάβη κοινὴ ζημία τοῦ κλήρου γίνεται. B Ἐπὶ τούτοις τοῖς ῥήμασι τίνα με βούλει νῦν πρὸς αὐτὴν εἰπεῖν, αὐτὸς δοκίμασον, ὦ θαυμάσιε, ἔχοντα τοιαύτην κρίσιν παρ' ἑαυτῷ, μὴ παραδιδόναι ταῖς ἀρχαῖς τοὺς κακούργους, μὴ μέντοι μηδὲ ἐξαιρεῖσθαι (76) παραδοθέντας· οἷς πάλαι προείρηται παρὰ τοῦ Ἀποστόλου φοβεῖσθαι τὸν ἄρχοντα ἐπὶ τῷ πονηρῷ ἔργῳ· *Οὐ γὰρ εἰκῆ*, φησὶ, *τὴν μάχαιραν φορεῖ*. Ὥσπερ οὖν τὸ παραδοῦναι οὐ φιλάνθρωπον (77), οὕτω καὶ τὸ ἐξαιρεῖσθαι τρέφοντός ἐστι τὴν παροινίαν. Ἴσως δ' ἂν γένοιτό τις ὑπέρθεσις τῆς εἰσόδου μέχρι τῆς ἡμῶν αὐτῶν παρουσίας· καὶ τότε δείξομεν, ὅτι οὐδὲν ἡμῶν ὄφελος, ἐκ τοῦ μὴ εἶναι τοὺς πειθομένους.

EPISTOLA CCXC*.

ΕΠΙΣΤΟΛΗ ΣϞ'.

Exponit Nectario quomodo eorum, qui pagis præficiuntur, id est chorepiscoporum, electiones peragi debeant.

Nectario.

C

Bona multa eveniant iis, qui tuam dignitatem ad continuum mecum per litteras colloquium incitant. Non enim putes consuetudinis causa dici a nobis talia, sed ex vero animi affectu vocem tuam a me maximi fieri. Quid enim mihi charius esse possit Nectario, qui mihi a puero ex dotibus perquam eximiis notus fuit, nunc vero omni virtute ad tantum splendorem pervenit? Quare mihi amicorum omnium amicissimus qui tuas ad me

Νεκταρίῳ (78).

Πολλὰ ἀγαθὰ γένοιτο τοῖς κινοῦσι τὴν τιμιότητά σου πρὸς τὴν συνεχῆ ὁμιλίαν ἡμῶν, τὴν διὰ τοῦ γράμματος (79). Μὴ γὰρ οἴου συνηθείας ἕνεκεν λέγεσθαι παρ' ἡμῶν τὰ τοιαῦτα, ἀλλὰ ἐκ διαθέσεως ἀληθινῆς πλείστου ἀξίαν τίθεσθαι ἡμᾶς τὴν φωνήν σου. Τί γὰρ ἂν ἐμοὶ Νεκταρίου γένοιτο τιμιώτερον, τοῦ ἐκ παιδὸς μὲν ἀπὸ τῶν καλλίστων ἡμῖν γνωρισθέντος, νῦν δὲ ἐκ παντοίας ἀρετῆς εἰς τοσοῦτον περιφανείας ἀναδραμόντος; Ὥστε μοι φίλων ἁπάντων

[44] Rom. XIII, 4.

* Alias CCCXXIII. Scripta in episcopatu.

(75) *Ἄφεσιν*. Mallet Combefisius ἀφαίρεσιν. Sed nihil mutandum.

(76) *Μηδὲ ἐξαιρεῖσθαι*. Notum est olim episcopos D pro nocentibus deprecatorum munere fungi solitos esse. Videbitur forte Basilius ab hac humanitate discedere: non tamen discedit, nec pugnat cum Augustino, qui reorum patrocinium apud judices merito ab episcopis suscipi docet epist. 153 ad Macedonium. Nam fatetur Augustinus in illa epistola n. 20, pro iis qui aliena rapuere, *magis apud eos qui repetunt, quam apud eos qui judicant, intercedere convenire*. Id autem perfecit Basilius; at ubi vidit nihil se apud virginem læsam promovere, incepto destitit. Deinde vero addit idem Augustinus n. 22, non audere se dicere, *interveniendum esse pro aliquo, ut quod scelere abstulit, sceleris impunitate possideat*. Quamobrem non erat, cur Basilius deprecatorem se præberet pro ejusmodi sycophanta, quem perspicuum est ex tota hac epistola calumnias et opprobria recantare noluisse. Ubi autem rei, incolumi æquitate, liberari poterant, non deerat operæ Basilius, ut perspici potest ex pluribus epistolis.

(77) *Οὐ φιλάνθρωπον*. Reg. secundus et Coisl. secundus ἀφιλάνθρωπον.

(78) *Νεκταρίῳ*. Reg. secundus et Coisl. itidem secundus τῷ αὐτῷ, quia videlicet in utroque codice præcedit epistola 5 ad Nectarium qui filium amiserat. Addit uterque codex cum editis Ὅτι οὐκ ἀνθρωπίνῃ περιδρομῇ τοὺς ἐπισκόπους δεῖ προχειρίζεσθαι, ἀλλὰ κατ' ἐκλογὴν τοῦ ἐπὶ πάντων Θεοῦ. *Quod non humana concursatione promoveri oportet episcopos, sed per electionem Dei qui est super omnia.* Verum hæc melius desunt in aliis mss., nec de episcopis, sed de chorepiscopis agit Basilius.

(79) *Τὴν διὰ τοῦ γράμματος*. Primus articulus abest a codicibus Harl., Med., Coisl. secundo et Reg. secundo, et Bigot. altero; sed legitur in Coisl. primo et Reg. primo. Infra Coisl. primus Τί γὰρ ἐμοί.

φίλτατος ὁ σά μοι γράμματα διαφέρων. Περὶ μέντοι τῆς τῶν προστησομένων τῆς συμμορίας (80) ἐκλογῆς, εἰ μὲν ἀνθρώποις χαριζόμενος, ἢ ἱκεσίαις ἐνδιδοὺς, ἢ φόβῳ εἴκων ποιῶ τι, μήτε ταῦτα (81) ποιήσαιμι. Οὐ γὰρ οἰκονόμος, ἀλλὰ κάπηλος ἔσομαι, τὴν δωρεὰν τοῦ Θεοῦ πρὸς ἀνθρωπίνας φιλίας διαμειβόμενος. Εἰ δὲ αἱ μὲν διδόμεναι ψῆφοι παρὰ ἀνθρώπων δίδονται, ἐκ τῆς ἔξωθεν ἐπιφανείας μαρτυρεῖν ἐχόντων, ἅπερ ἂν μαρτυρῶσιν, αἱ δὲ κρίσεις τῶν ἐπιτηδειοτέρων τῷ εἰδότι τὰ ἀπόῤῥητα τῶν καρδιῶν παρὰ τῆς ἡμετέρας ταπεινώσεως ἐπιτρέπονται· τάχα τῷ παντὶ βέλτιον καταθέμενον τὴν μαρτυρίαν, σπουδῆς μὲν καὶ διαστάσεως πάσης ὥσπερ οἰκείων (82) τῶν μαρτυρηθέντων ἀφίστασθαι, προσεύχεσθαι δὲ τῷ Θεῷ μὴ λαθεῖν τὸ συμφέρον. Οὕτω γὰρ οὐκέτι ἄνθρωπον τῆς ἐφ' ἑκάτερα ἐκβάσεως αἰτιασόμεθα, ἀλλὰ τῷ Θεῷ τὴν χάριν τῶν γενομένων εἰσόμεθα. Καίτοι εἰ κατὰ ἄνθρωπον γίνεται ταῦτα, οὐδὲ γίνεται· ἀλλὰ μίμησις μέν ἐστι, τῆς ἀληθείας δὲ (83) πάμπληθες ἀπολείπεται. Σκέψαι δὲ, ὅτι οὐδὲ μικρός τις παραπέπηγε κίνδυνος τῷ ἐκ παντὸς τρόπου τὸ ἑαυτοῦ κρατῆσαι φιλονεικοῦντι, μή ποτε τῶν ἁμαρτανομένων ἐφ' ἑαυτοὺς ἑλκύσωμεν τὴν μερίδα. Πολλὰ γὰρ ἂν ἁμαρτηθείη καὶ παρὰ τῶν οὐκ ἂν προσδοκηθέντων (84) ποτὲ, διὰ τὸ εὔκολον τῆς ἀνθρωπίνης φύσεως. Εἶτα ἰδίᾳ μὲν τοῖς φίλοις συμβουλεύσαντες πολλάκις τὰ κράτιστα, κἂν ἀπίθανοι δόξωμεν τοῖς βουλευομένοις, οὐ χαλεπαίνομεν· ἐν οἷς δὲ οὐ βουλὴ ἀνθρώπων, ἀλλὰ κρίσις ἐστὶ Θεοῦ, μὴ καὶ τῶν τοῦ Θεοῦ κριμάτων προτιμηθέντες δυσχεραίνομεν; Εἰ μὲν οὖν παρὰ ἀνθρώπων δίδοται, τί χρὴ παρ' ἡμῶν αἰτεῖν; ἀλλ' οὐχὶ αὐτὸν παρ' ἑαυτοῦ λαμβάνειν; εἰ δὲ παρὰ Κυρίου, εὔχεσθαι προσῆκεν, ἀλλ' οὐχὶ ἀγανακτεῖν· καὶ ἐν τῇ εὐχῇ, μὴ τὸ ἴδιον θέλημα αἰτεῖν, ἀλλ' ἐπιτρέπειν τῷ οἰκονομοῦντι τὸ συμφέρον Θεῷ (85). Ὁ δὲ Θεὸς ὁ ἅγιος ἀπαγάγοι πᾶσαν πεῖραν λυπηρῶν πραγμάτων ἀπὸ τοῦ οἴκου ὑμῶν· καὶ αὐτῷ τέ σοι καὶ πᾶσι τοῖς προσήκουσί σοι ἄνοσον καὶ ἀβλαβῆ ἐν πάσῃ (86) εὐθηνίᾳ τὸν βίον ἐπιμετρήσειεν.

A litteras affert. Quod autem attinet ad electionem eorum qui pagis præficiendi sunt, si quid certe aut gratiam apud homines iniens, aut precibus indulgens, aut timori cedens fecero; quidvis potius quam electionem peragam. Non **429** enim dispensator ero, sed caupo humanis amicitiis Dei donum permutans. Quod si data suffragia ab hominibus dantur, qui ex specie externa testari possunt, quæcunque testantur, illa autem judicia, quinam magis idonei sint, ei qui cordium arcana novit, a nostra humilitate permittuntur; illud sane universis satius fuerit, dicto testimonio, a studio et contentione omni pro iis quibus datum est testimonium, quasi pro necessariis, abstinere: Deum autem precari, ut quod utile B fuerit, non lateat. Sic enim non jam homini eventum in utramque partem ascribemus, sed Deo gratias ob ea quæ evenerint referemus. Ac profecto si hæc secundum hominem fiunt, ne fiunt quidem: sed imitatio quidem sunt, a veritate autem absunt longissime. Illud etiam considera, ei, qui ut sua ipsius sententia vincat, omni modo contendit, non leve periculum propositum esse ne peccatorum partem ad nos aliquando trahamus. Enimvero etiam ab iis a quibus id nunquam exspectasses, multa peccantur ob naturæ humanæ proclivitatem. Deinde vero privatim amicis consilia dantes sæpe optima, etiamsi consulentibus nihil videamur dicere quod persuadeat, ægre non ferimus: quibus autem in rebus C non hominum voluntas, sed Dei judicium est, nos etiam Dei judiciis non anteponi indignabimur? Itaque si hoc ab hominibus datur, quid opus est a nobis petere? nonne potius par fuerit quemvis hoc ipsum a semetipso accipere? Sin autem a Domino datur, precari decet, non vero indignari. Atque inter precandum nostra ipsorum voluntas exposcenda non est: sed quod utile est permittendum dispensanti Deo. Deus autem sanctus omnem rerum molestarum experientiam a vestra domo arceat, atque tum tibi, tum omnibus tuis necessariis morbi et damni expertem in omni prosperitate vitam impertiat.

(80) *Τῆς συμμορίας.* Hac voce non designatur tota diœcesis, sed certus quidam pagorum numerus chorepiscopo commissus, ut patet ex epist. 142, ubi Basilius sic loquitur de quodam chorepiscopo: Καταξιώσεις δὲ, δηλονότι, καὶ πτωχοτροφίαν τῆς συμμορίας τῆς ὑπ' αὐτὸν ἐπισκέψασθαι. *Dignaberis autem et pauperum domum ad pagos ei commissos pertinentem invisere.* Ex hac autem epistola patet chorepiscopos non ad arbitrium episcoporum designari solitos esse, sed rem electioni commissam fuisse. Quod minime mirum, cum ipsi etiam in pagis presbyteri et diaconi non sine electione ordinarentur, ut patet ex epist. 54. Erat autem chorepiscoporum sedes insigni alicui affixa pago, cui alii pagi attribuebantur. Unde Basilius in epist. 188, can. 10, auctor est Amphilochio ut agrum Mestiæ subjectum Vasodis subjiciat.

(81) *Μήτε ταῦτα.* Ita Harl., Coisl. primus et Med. Editi μήτε ταυτί. Vertendum putat Combefisius, *nec nunquam fecerim.* Sed nostra interpretatio confirmatur ex his quæ infra dicit Basilius: *At profecto si hæc secundum hominem fiunt, ne fiunt quidem.*

(82) *Ὥσπερ οἰκείων.* Nititur hæc scriptura auctoritate antiquissimorum codicum, Coisl., Med. atque etiam Harl. qui sic habuit prima manu. Editi ὡς ὑπὲρ οἰκείων. Possent autem Basilii verba sic D intelligi: Abstinendum a contentionibus, quasi non unus aliquis inter eos, quibus datum est testimonium, sed omnes nostri sint necessarii. Sed magis arridet sensus, quem in interpretando secuti sumus. Similiter Basilius in caput III Isaiæ, pag. 456, vituperat ejusmodi electiones, in quibus unusquisque non virtutem, sed necessitudinem et consanguinitatem spectat.

(83) *Τῆς ἀληθείας δέ.* Sic Medicæus et Harlæanus. Editi μίμησις μέν ἐστι τῆς ἀληθείας, αὐτῆς δὲ τῆς ἀληθείας, etc. *Sed imitatio quidem sunt veritatis, ab ipsa autem veritate absunt longissime.*

(84) *Προσδοκηθέντων.* Tres mss. non vetustissimi προσδοκωμένων.

(85) *Τὸ συμφέρον Θεῷ.* Regius uterque et Coisl. secundus cum utroque Bigot. Θεῷ τὸ συμφέρον. Hac lectione confirmatur nostra interpretatio. Aliter enim reddi potuisset, *dispensanti quod utile est Deo.*

(86) *Ἐν πάσῃ.* Deest præpositio in tribus vetustissimis codicibus.

EPISTOLA CCXCI*.

Timotheum chorepiscopum, qui ex summo asceticæ vitæ fervore ad sæcularia negotia delapsus fuerat, ad pristinam pietatem Basilius revocare conatur.

Timotheo chorepiscopo.

Et scribere omnia quæcunque sentio, neque epistolæ modo convenire video, neque alias salutationis speciem decere; et silentio præterire pene impossibile mihi est, justa in te iracundia corde fervente. Mediam igitur viam inibo, alia quidem scribens, alia prætermittens. Volo enim te reprehendere, si fas est, amica dicendi æquabilitate. Quomodo Timotheus ille, quem a pueritia ita sese ad rectam et asceticam vitam intendisse novimus, ut immoderationis in his rebus accusaretur; **430** nunc ab ea re unice consideranda discedens, quid faciendum sit, ut cum Deo conjungamur, respicis ad ea quæ de te nescio quis existimat, et suspensam ex aliorum sententia vitam habes, et quomodo nec amicis inutilis sis, nec inimicis ridiculus consideras, ac ignominiam apud multos ut magnum aliquod malum formidas; nec cogitas te dum in his rebus immoraris, imprudentem præcipuum ac primarium vitæ genus negligere? Plenæ enim sunt Scripturæ testimoniis, quibus edocemur non posse simul utraque retineri, mundi hujus negotia et vitam secundum Deum; plena est etiam ipsa natura ejusmodi exemplis. Nam in mentis actione duo simul cogitare omnino non possumus. Atque in iis quæ sensu percipiuntur, duæ voces simul emissæ auribus capi eodem momento et discerni non possunt; idque cum duo nobis ad audiendum meatus aperti sint. Oculi quoque, nisi ambo in una aliqua re visibili defigantur, suum munus accurate obire non queunt. Atque ita est in rebus naturalibus. Jam Scripturarum testimonia tibi referre non minus ridiculum, quam noctuam, ut aiunt, Athenas ferre. Quid igitur miscemus quæ misceri non possunt, tumultus civiles et pietatis exercitationem, ac non potius a tumultibus, et a negotiis gerendis aut alii exhibendis recedentes, nobiscum ipsi versamur; et quod dudum suscepimus pietatis propositum, opere confirmamus, et calumniari volentibus ostendimus situm in illis non esse, ut molestiam nobis creent, cum voluerint? Hoc autem fiet, ubi nos ab omni ansa liberos exhibuerimus. Et hæc quidem hactenus. Utinam autem et simul aliquando congrediamur, et diligentius deliberemus de iis quæ nostris animabus conducunt, ne inter inanes curas deprehendamur, necessario exitu nobis superveniente. Cæterum iis quæ tua charitas

ΕΠΙΣΤΟΛΗ ΣϞΑ'.

Τιμοθέῳ χωρεπισκόπῳ.

A Καὶ τὸ πάντα γράφειν, ὅσα φρονῶ, οὔτε τῷ μέτρῳ τῆς ἐπιστολῆς ὁρῶ συμβαῖνον, οὔτε ἄλλως πρέπον τῷ τῆς προσηγορίας εἴδει· καὶ τὸ σιωπῇ παρελθεῖν μικροῦ καὶ ἀδύνατόν (87) ἐστί μοι, δικαίῳ θυμῷ τῇ κατὰ σοῦ φλεγμαινούσης μοι τῆς καρδίας. Μέσην οὖν βαδιοῦμαι, τὰ μὲν γράφων, τὰ δὲ παρείς. Καθάψασθαι γάρ σου βούλομαι, εἰ θέμις ἐστὶν, ἐν ἰσηγορίᾳ φιλικῇ. Εἰ Τιμόθεος ἐκεῖνος, ὃν ἐκ παιδὸς οἴδαμεν τοσοῦτον πρὸς τὴν ὀρθότητα καὶ τὸν κατῃσκημένον βίον τῷ τόνῳ χρώμενον, ὥστε ἐγκαλεῖσθαι τὴν ἐν τούτοις (88) ἀμετρίαν, ἀποστὰς νῦν τοῦ σκοπεῖν πάντα τρόπον ὅ τι χρὴ ποιοῦντα τῷ Θεῷ προσοικειοῦσθαι, ἀποβλέπεις πρὸς τὰ τῷ δεῖνι δοκοῦντα B περὶ σοῦ, καὶ τῆς ἑτέρων γνώμης τὴν ζωὴν ἔχεις ἐξηρτημένην, καὶ ὅπως μὴ φίλοις ἄχρηστος, μηδὲ ἐχθροῖς ᾖς καταγέλαστος ἐνθυμῇ, καὶ τὴν παρὰ τῶν πολλῶν αἰσχύνην, ὡς δεινόν τι, φοβῇ, καὶ οὐκ ἐννοεῖς, ὅτι ἐν ὅσῳ περὶ ταῦτα τρίβῃ, λανθάνεις σεαυτὸν τῆς προηγουμένης ζωῆς ἀμελῶν; Ὅτι γὰρ οὐκ ἐγχωρεῖ ἀμφοτέρων ὁμοῦ περιγενέσθαι, τῶν τε κατὰ τὸν κόσμον τοῦτον πραγμάτων, καὶ τῆς κατὰ Θεὸν πολιτείας, πλήρεις μὲν (89) αἱ θεῖαι Γραφαὶ, ὧν ἐδίδαξαν ἡμᾶς· πλήρης δὲ καὶ αὐτὴ ἡ φύσις τῶν τοιούτων ὑποδειγμάτων ἐστίν. Ἔν τε γὰρ τῇ κατὰ τὸν νοῦν ἐνεργείᾳ δύο νοῆσαι κατὰ ταυτὸν νοήματα παντελῶς ἀμήχανον· ἔν τε ταῖς κατὰ τὴν αἴσθησιν ἀντιλήψεσι δύο φωνὰς ὁμοῦ προσπιπτούσας ταῖς ἀκοαῖς δέξασθαι ἐν ταυτῷ καὶ διακρίνειν ἀδύνατον· καίτοι C δύο ἀκουστικῶν πόρων ἡμῖν ἀνεῳγμένων. Ὀφθαλμοὶ δὲ, ἐὰν μὴ ἀμφότεροι πρὸς ἕν τι τῶν ὁρατῶν ἀποταθῶσιν, ἐνεργεῖν τὸ ἑαυτῶν ἀκριβῶς οὐ δύνανται. Καὶ ταῦτα μὲν τὰ παρὰ τῆς φύσεως· τὰ δὲ ἐκ τῶν Γραφῶν σοι διηγεῖσθαι οὐχ ἧττόν ἐστι καταγέλαστον ἢ γλαῦκα, φησὶν (90), Ἀθηναίοις ἄγειν. Τί οὖν τὰ ἄμικτα μίγνυμεν; θορύβους πολιτικοὺς καὶ εὐσεβείας ἄσκησιν; ἀλλ' οὐχὶ ἀποστάντες τῶν θορύβων, καὶ τοῦ πράγματα (91) ἔχειν καὶ παρέχειν ἑτέροις, ἡμῶν αὐτῶν γινόμεθα· καὶ ὃν πάλαι ὑπεθέμεθα τῆς εὐσεβείας σκοπὸν βεβαιοῦμεν τῷ ἔργῳ, καὶ δείκνυμεν τοῖς ἐπηρεάζειν ἡμῖν βουλομένοις, ὅτι οὐκ ἔστιν ἐπ' αὐτοῖς τὸ λυπεῖν ἡμᾶς ὅταν ἐθέλωσι; Τοῦτο δὲ ἔσται ἐπειδὰν πάσης λαβῆς ἐλευθέρους ἑαυτοὺς ἀποδείξωμεν. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Εἴη δὲ ἡμᾶς D ποτε καὶ ἐν ταυτῷ γενέσθαι, καὶ ἀκριβέστερον βουλεύσασθαι περὶ τῶν συμφερόντων ταῖς ψυχαῖς ἡμῶν, ἵνα μὴ ἐν τῇ περὶ τῶν ματαίων φροντίδι καταληφθῶμεν, τῆς ἀναγκαίας ἐξόδου ἐπελθούσης ἡμῖν. Τοῖς δὲ ἀποσταλεῖσι παρὰ τῆς ἀγάπης σου ὑπερήσθην.

* Alias CCCXL. Scripta in episcopatu.

(87) Ἀδύνατον. Sic veteres libri sex. Corrupte in editis ἀδυνάτου. Mox tres codices φλεγμαινούσης μου.

(88) Ἐν τούτοις. Tres mss. ἐπὶ τούτοις. Mox deest νῦν in Medicæo.

(89) Πλήρεις μέν. Quatuor codices non antiquissimi πλήρης μὲν ἡ θεία Γραφὴ ὧν ἐδίδαξεν ἡμᾶς. Paulo post Harlæanus codex Ἐν τῇ γὰρ et κατὰ ταυτό.

(90) Φησίν. Coisl. primus et alius quidam φασί.

(91) Καὶ τοῦ πράγματα. Ita Coisl. primus, Reg. primus, Harl. et Clarom. Editi et nonnulli mss. τῶν πραγμάτων.

...ὑπῆρχε μὲν ἥδιστοις εἶναι καὶ κατὰ τὴν ἑαυτῶν A ...ιν· πολλαπλασίονα δὲ τὴν ἡδονὴν ἐνεποίει (92) ...ροσθήκη τοῦ ἀποστείλαντος. Τὰ δὲ ἀπὸ τοῦ Πόν... κηροὺς καὶ ἄκοπα, ἡδέως δέξαι, ὅταν ἀποστεί...εν· νῦν γὰρ ἡμῖν οὐ παρῆν.

misit, sum valde delectatus: quæ quidem et sua sponte erant jucundissima: at multiplicem fecit voluptatem quod accessit a mittente. Ponti autem munuscula, ceras videlicet et acopa, cum misero, libenter suscipe: nunc enim his carebam.

(92) Ἐνεποίει. Sic Med., Harl. et Coisl. primus. ...ἐποίει. Paulo post auctoritate eorumdem trium ...cum mutavimus, quod nimio grammaticæ studio inductum videtur fuisse in textum, ἄκοπα καὶ κηρούς.

CLASSIS TERTIA.

Epistolæ nulla temporis nota signatæ. cum pluribus dubiis et spuriis nonnullis.

431 ## ΕΠΙΣΤΟΛΗ ΣϞΒʹ.

EPISTOLA CCXCII*.

...nificat suum videndi Palladii desiderium, cujus uxorem viderat, eumque hortatur ut vestimentum immortalitatis, nuper in baptismo acceptum, ab omni macula purum conservet.

Παλλαδίῳ. B

Τὸ ἥμισυ τῆς ἐπιθυμίας ἡμῶν ἐξεπλήρωσεν ὁ ...ιος Θεὸς, οἰκονομήσας τὴν συντυχίαν τῆς κοσμιω...της ἀδελφῆς ἡμῶν τῆς συμβίου σου. Δυνατὸς δὲ ...ρασχεῖν καὶ τὸ λειπόμενον, ὥστε ἰδόντας (93) ἡμᾶς ... τὴν σὴν εὐγένειαν, τελείαν ἀποδοῦναι τῷ Θεῷ ...ν χάριν. Ἐν πολλῇ γάρ ἐσμεν ἐπιθυμίᾳ· μάλιστα ...ν, ὅτε ἠκούσαμεν τετιμῆσθαί σε τῇ μεγάλῃ τιμῇ, ... ἀθανάτῳ ἐνδύματι, ὃ περισχὸν (94) ἡμῶν τὴν ...θρωπότητα, τὸν ἐν τῇ σαρκὶ θάνατον ἐξηφάνισε, ...ὶ κατεπόθη τὸ θνητὸν ἐν τῷ τῆς ἀφθαρσίας ἐνδύ...ατι. Ἐπειδὴ οὖν οἰκεῖον μέν σε ἑαυτῷ (95) ὁ Κύ...ιος διὰ τῆς χάριτος ἐποίησεν, ἠλλοτρίωσε δὲ πάσης ...ῆς ἁμαρτίας, ἤνοιξε δὲ βασιλείαν οὐρανῶν, καὶ ...ὁδοὺς τὰς ἀπαγούσας πρὸς τὴν ἐκεῖ μακαριότητα C ...έδειξε· παρακαλοῦμέν σε, ἄνδρα τοσοῦτον φρονή...ει τῶν λοιπῶν ὑπερέχοντα, λελογισμένως τὴν χάριν ...ξασθαι, καὶ πιστὸν φύλακα γενέσθαι τοῦ θησαυροῦ, ...ῇ ἐπιμελείᾳ τηροῦντα τῆς βασιλικῆς παρακα...θήκης τὴν φυλακὴν, ἵνα ἄσυλον τὴν σφραγῖδα δια...σάμενος παραστῇς τῷ Κυρίῳ ἐκλάμπων ἐν τῇ ...αμπρότητι τῶν ἁγίων, μηδένα σπίλον ἢ ῥυτίδα ἐμ...ιῶν (96) τῷ καθαρῷ τῆς ἀφθαρσίας ἐνδύματι, ...λ' ἐν πᾶσι τοῖς μέλεσι τὸν ἁγιασμὸν διασώζων, ...ὸ Χριστὸν ἐνδυσάμενος. *Ὅσοι γὰρ*, φησὶν, *εἰς ...ριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.* Ἔστω ...ω πάντα τὰ μέλη ἅγια, πρέποντα εἶναι σπέχεσθαι ...γίῳ καὶ φωτεινῷ περιβλήματι.

Palladio.

Dimidium desiderii nostri Deus sanctus complevit, dum fecit ut ornatissimæ sororis nostræ, conjugis tuæ fruerer præsentia. Potest autem et quod reliquum est præstare, ut et tuam quoque nobilitatem videns, cumulatas Deo gratias agam. Nam desiderio multo incendor, nunc maxime, cum audio te esse honore magno decoratum, immortali scilicet indumento, quod naturam nostram contegens, mortem carnis abolevit, et quod mortale erat, in immortalitatis vestimento absorptum est. Quoniam igitur te proximum sibi Dominus per gratiam effecit, removitque a peccato omni, et regnum cœlorum aperuit, ac vias ad futuram illic beatitudinem deducentes ostendit; adhortor te, virum tanto cæteris prudentia præstantem, ut prudenter beneficium accipias, ac fidelis sis custos thesauri, cura omni regium depositum conservans; ita ut, postquam sigillum integrum ac intactum custodieris, Domino astes refulgens in splendore sanctorum, purum ab omni macula et ruga vestimentum immortalitatis gerens, ac sanctimoniam in omnibus membris retinens, ut Christum indutus. *Quicunque enim*, inquit, *in Christo baptizati estis, Christum induistis* **. Proinde membra omnia sint sancta; adeo ut digna sint, quæ sancta illa ac splendida veste operiantur.

ΕΠΙΣΤΟΛΗ ΣϞΓʹ.

EPISTOLA CCXCIII **.

...tre aret Basilius an Julianus usum manus receperit; multa præclare dicit de firmo et constanti mentis statu. Rogat Julianum ut sæpe ad se scribat.

Ἰουλιανῷ (97). D

...ῶς σοι τὸν ἐν μέσῳ τοῦτον χρόνον τὸ σῶμα ...ν; εἰ καθαρῶς ἀπέλαβες τῆς χειρὸς τὴν ἐνέο-

Juliano.

Quomodo tibi hoc interjecto tempore corpus se habuit? omnino manus usum recepisti? Quomodo

** Galat. III, 27.

(93) Ἰδόντας. Habent εἰδότας Harl. et Coisl. pri...s. In Medicæo codice non exstat hæc epistola.

(94) Ὁ περισχόν. Ita Harl. et quinque alii. Editi ...oisl. primus περιέχον.

(95) Μέν σε ἑαυτῷ. Ita mss. tres. Editi σεαυτῷ. ...l. et Paris. μέν σε αὐτῷ. Paulo post Harl. πα...ς τῆς ἁμαρτίας, ab antiquo peccato.

(96) Ἐμβαλών. Quinque mss. non vetustissimi ἐπιβάλλων.

(97) Ἰουλιανῷ. Medicæus et Coisl. primus addunt ἠθικὴ πάνυ ὡραία, moralis omnino pulchra.

* Alias CCCLXXXVI.

** Alias CLXVI.

etiam reliquæ res vitæ? an tibi ex sententia cedunt, quemadmodum optamus, et uti instituto tuo debitum est? Etenim quibus facile mutabilis sententia, his minime mirum est vitæ ordinem non constare; quibus vero firma mens est, semperque constans et eadem, his consentaneum est vitam instituto congruentem ducere. Nam re ipsa nauclero non licet tranquillitatem facere cum voluerit; sed nobis tranquillam nobis ipsis vitam constituere, etiam omnino facile, si tumultus nobis intus ex vitiis insurgentes compescamus, **432** et his quæ extrinsecùs accidunt, altiorem animum stabiliamus. Nam nec damna, nec morbi nec reliqua vitæ incommoda probum virum attingunt, quandiu animam habuerit in Deo ambulantem, et prospicientem futura, ac procellas e terra excitatas leviter et expedite superantem. Siquidem qui vitæ curis admodum detenti sunt, veluti carnosæ aves frustra alis instructæ humi serpunt una cum pecoribus. Te vero tantum videre per negotia nobis licuit, quantum qui se in mari invicem prætereunt. Attamen quoniam vel ex ungue licet totum cognoscere leonem, videmur nobis ex modico experimento satis te cognovisse. Unde et hoc magni facimus, res nostras a te in aliquo numero poni, nosque a tua mente non abesse, sed tecum jugiter per memoriam versari. Scribere autem recordationis est significatio: quod crebrius feceris, eo nobis gratius facies.

A γειαν; Πῶς δὲ τὰ λοιπὰ τοῦ βίου πράγματα; εἰ κατὰ γνώμην χωρεῖ σοι, ὥσπερ εὐχόμεθα, καὶ ὡς ἔστιν ὀφειλόμενον τῇ σῇ προαιρέσει; Καὶ γὰρ οἷς μὲν εὔκολος πρὸς μεταβολὴν ἡ διάνοια, τούτοις οὐδὲν ἀπεικὸς καὶ τὸν βίον εἶναι μὴ τεταγμένον· οἷς δὲ πεπηγυῖα ἡ γνώμη, καὶ ἀεὶ ἑστῶσα καὶ ἡ αὐτή, τούτοις (98) ἀκόλουθον συμφώνως τῇ προαιρέσει τὴν ζωὴν διεξάγειν. Τῷ ὄντι γὰρ κυβερνήτῃ (99) μὲν οὐκ ἐφεῖται γαλήνην ποιεῖν ὅτε βούλεται· ἡμῖν δὲ ἀκύμονα ἑαυτοῖς καθιστᾷν τὸν βίον καὶ πάνυ ῥᾴδιον, ἐὰν τοὺς ἔνδοθεν ἐκ τῶν παθῶν ἐπανισταμένους ἡμῖν θορύβους κατασιγάσωμεν, καὶ τῶν ἔξωθεν προσπιπτόντων ὑψηλοτέραν τὴν γνώμην καταστησώμεθα. Καὶ γὰρ οὔτε ζημίαι, οὔτε ἀῤῥωστίαι, οὔτε αἱ λοιπαὶ δυσχέρειαι τοῦ βίου, ἅψονται τοῦ σπουδαίου, B ἕως ἂν ἔχῃ τὴν διάνοιαν τῷ Θεῷ ἐμπορευομένην (1), καὶ τὸ μέλλον ἀποσκοποῦσαν, καὶ τῆς χαμόθεν ἐγειρομένης ζάλης κούφως καὶ εὐσταλῶς ὑπεραίρουσαν. Ἐπεὶ οἵ γε σφοδρῶς ταῖς τοῦ βίου μερίμναις κατειλημμένοι, οἷον ὄρνιθες πολύσαρκοι εἰκῆ τὸ πτερὸν ἔχοντες, κάτω που σύρονται μετὰ τῶν βοσκημάτων. Σὲ δὲ τοσοῦτον ἰδεῖν ὑπὸ τῶν πραγμάτων ἐπετράπημεν, ὅσον οἱ ἐν πελάγει ἀλλήλους παραμειβόμενοι. Πλὴν ἀλλ', ἐπειδὴ καὶ ἐξ ὄνυχος ἔστιν ὅλον γνωρίσαι τὸν λέοντα, ἐκ βραχείας τῆς πείρας ἡγούμεθά σε ἱκανῶς ἐγνωκέναι. Ὅθεν καὶ μέγα ποιούμεθα τὸ ἐν λόγῳ (2) σέ τινι τὰ καθ' ἡμᾶς τίθεσθαι, καὶ μὴ ἀπεῖναί σου τῆς διανοίας, ἀλλὰ διηνεκῶς σοι συνεῖναι διὰ τῆς μνήμης. Δεῖγμα δὲ μνήμης τὸ γράφειν· ὅπερ ὅσῳ ἂν συνεχέστερον ποιῇς (3), τοσούτῳ πλέον ἡμῖν χαριῇ.

EPISTOLA CCXCIV *.

ΕΠΙΣΤΟΛΗ ΣϞΔʹ.

Significat se vehementer optare ut pietas, quam teneris eorum animis olim inseverat, ad summum perveniat. Demonstrat utilitatem doctrinæ libris consignatæ, quæ et absentibus et posteris prodest.

Festo et Magno.

Decet quidem et patres filiis providere, et agricolas plantarum et seminum curam suscipere, et magistros de suis discipulis esse sollicitos, maxime cum ob egregiam indolem meliores de se ipsis spes ostendunt. Nam et agricola laboribus gaudet, cum spicæ ipsi turgescunt, ac plantæ crescunt: et discipulis magistri lætantur, et liberis parentes cum illi quidem virtute, hi vero corporis mole augentur. Nos autem tanto majorem de vobis habemus curam spemque præstantiorem, quanto pietas arte omni et omnibus animantibus simul et fructibus melior est; quam teneris adhuc et puris animabus vestris radicitus insitam a nobis et nutritam, etiam ad perfectum

C *Φήστῳ καὶ Μάγνῳ* (4).

Πρέπει μέν που καὶ πατράσι παίδων ἰδίων πρόνοια, καὶ γεωργοῖς φυτῶν ἢ σπερμάτων ἐπιμέλεια, καὶ διδασκάλοις μαθητῶν φροντὶς, μάλιστα ὅταν δι' εὐφυΐαν βελτίους ἐφ' ἑαυτοῖς ὑποφαίνουσι (5) τὰς ἐλπίδας. Χαίρει γὰρ πονῶν καὶ γεωργὸς, ἁδρυνομένων αὐτῷ (6) τῶν ἀσταχύων ἢ τῶν φυτῶν αὐξανομένων· εὐφραίνουσι δὲ καὶ μαθηταὶ διδασκάλους, καὶ παῖδες πατέρας, οἱ μὲν πρὸς ἀρετὴν, οἱ δὲ πρὸς αὔξησιν ἐπιδιδόντες. Ἡμεῖς δὲ τοσοῦτον μείζονα [illegible] ἐφ' ὑμῖν ἔχομεν τὴν φροντίδα, κρείττονα δὲ τὴν ἐλπίδα, ὅσον εὐσέβεια πάσης μὲν τέχνης, πάντων δὲ ζώων ὁμοῦ καὶ καρπῶν ἐστιν ἀμείνων, ἣν ἐν ἁπαλαῖς ἔτι καὶ καθαραῖς ταῖς ὑμετέραις ψυχαῖς ῥιζωθεῖσαν ὑφ' ἡμῶν καὶ τραφεῖσαν ἰδεῖν εὐχόμεθα

* Alias CCX.

(98) *Τούτοις*. Reg. secundus et Coisl. secundus τούτους.

(99) *Κυβερνήτῃ*. Reg. secundus κυβερνήτην. Idem cum duobus aliis οὐκ ἐφίεται.

(1) *Ἐμπορευομένην*. Sic Coisl. primus et Harl. Habet Medicæus ἐμπολιτευομένην. Editi συμπορευομένην.

(2) *Ἐν λόγῳ*, etc. Reg. secundus et Coisl. secundus ἐν λόγῳ σε τὸ καθ' ἡμᾶς.

D (3) *Ποιῇς*. Harl. ποιεῖς.

(4) *Φήστῳ καὶ Μάγνῳ*. Tres codices addunt [illegible] ἐπιτείνειν τὴν πρὸς τὰ κρείττονα μάθησιν· *Ut ad meliora studium intendant.*

(5) *Ὑποφαίνουσι*. Duo Regii codices et Coisl. recentior ὑποφαίνωσι.

(6) *Αὐτῷ*. Ita codices quinque mss. Editi αὐτῶν. Paulo ante Reg. secundus et Coisl. secundus cum utroque Bigot. Χαίρει γὰρ πόνῳ. [Garnier πόνων,

καὶ προελθοῦσαν εἰς ἀκμὴν τελείαν, καὶ εἰς καρποὺς ὡραίους, συλλαμβανομένης ἡμῶν ταῖς εὐχαῖς τῆς ὑμετέρας φιλομαθείας. Εὖ γὰρ ἴστε καὶ τὴν ἡμετέραν εἰς ὑμᾶς εὔνοιαν, καὶ τὴν τοῦ Θεοῦ συνεργίαν ταῖς ὑμετέραις ἐναποκεῖσθαι γνώμαις, ὧν πρὸς τὸ δέον εὐθυνομένων, Θεὸς συνεργὸς καλούμενος πάρεσται καὶ ἄκλητος, καὶ πᾶς φιλόθεος ἄνθρωπος πρὸς διδασκαλίαν αὐτεπάγγελτος. Ἀνίκητος γὰρ ἡ προθυμία τῶν διδάσκειν τι χρήσιμον δυναμένων, ὅταν αἱ τῶν μανθανόντων ψυχαὶ πάσης καθαρεύωσιν ἀντιτυπίας. Οὔκουν οὐδὲ σώματος κωλύει χωρισμὸς, τοῦ δημιουργήσαντος ἡμᾶς δι' ὑπερβολὴν σοφίας καὶ φιλανθρωπίας μὴ συμπεριορίσαντος τοῖς σώμασι τὴν διάνοιαν, μήτε μὴν τῇ γλώττῃ τῶν λόγων τὴν δύναμιν· δόντος δέ τι πλεῖον καὶ ἀπὸ τοῦ χρόνου τοῖς ὠφελεῖν δυναμένοις, ὡς μὴ μόνον τοῖς μακρὰν διεστηκόσιν, ἀλλὰ δὴ καὶ τοῖς λίαν ὀψιγόνοις παραπέμπειν δύνασθαι τὴν διδασκαλίαν. Καὶ τοῦτον ἡμῖν ἡ πεῖρα πιστοῦται τὸν λόγον· ἐπείπερ οἵ τε πολλοῖς πρότερον ἔτεσι γενόμενοι διδάσκουσι τοὺς νέους, σωζομένης ἐν γράμμασι τῆς διδασκαλίας· ἡμεῖς τε κεχωρισμένοι τοσοῦτον τοῖς σώμασι, τῇ διανοίᾳ σύνεσμεν ἀεὶ, καὶ προσομιλοῦμεν ῥᾳδίως, τῆς διδασκαλίας οὔτε ὑπὸ γῆς οὔτε ὑπὸ θαλάσσης κωλυομένης, εἴ τίς ἐστιν ὑμῖν τῶν ἰδίων ψυχῶν φροντίς.

A incrementum, maturosque fructus perductam videre cupimus, vestro discendi studio nostra vota adjuvante. Probe enim scitis et nostram in vos benevolentiam, et Dei auxilium in vestris situm esse voluntatibus: quibus ad id quod decet directis, Deus adjutor vocatus aderit et invocatus; et quisquis Deum diligit. sua sponte ad docendum se offeret. Est enim invicta alacritas eorum qui utile aliquid docere possunt, cum discentium mentes ab omni puræ sunt obluctandi vitio. Itaque ne corporis quidem disjunctio est impedimento; quippe cum Conditor noster, ob sapientiæ ac benignitatis magnitudinem, nec corporibus cogitationem, nec lingua dicendi facultatem circumscripserit; sed et ab ipso tempore amplius quid- B dam iis, qui prodesse possunt, largitus sit, ita ut non solum longe dissitis, sed etiam sero admodum nascituris doctrinam transmittere valeant. Atque hanc nobis sententiam confirmat experientia: quandoquidem **433** et qui multis ante annis vixerunt, erudiunt juniores, conservata in scriptis doctrina: et nos, corpore ita dissiti, animo semper adsumus, ac facile colloquimur; cum doctrina neque terra neque mari prohibeatur, si qua vobis vestrarum animarum cura ac sollicitudo.

ΕΠΙΣΤΟΛΗ ΣϞΕ'.

EPISTOLA CCXCV *.

Hortatur ut cœnobiticam vitam amplectantur, caveantque ne quis eos a Patrum fide abducat.

Μονάζουσι (7).

C Ἡγοῦμαι μὲν μηδεμιᾶς ἑτέρας ὑμᾶς τῇ τοῦ Θεοῦ χάριτι παρακλήσεως δεῖσθαι, μετὰ τοὺς λόγους οὓς δι' ἡμῶν αὐτῶν ἐποιησάμεθα πρὸς ὑμᾶς, παρακαλοῦντες ὑμᾶς πάντας τὴν ἐπὶ τὸ αὐτὸ ζωὴν καταδέξασθαι εἰς μίμημα τῆς ἀποστολικῆς πολιτείας, ὃ καὶ ἐδέξασθε ὡς ἀγαθὸν δίδαγμα, καὶ ηὐχαριστήσατε δι' αὐτὸ τῷ Κυρίῳ. Ἐπεὶ οὖν οὐχὶ ῥήματα ἦν τὰ παρ' ἡμῶν λαληθέντα, ἀλλὰ διδάγματα εἰς ἔργον προελθεῖν (8) ὀφείλοντα ἐπὶ ὠφελείᾳ μὲν ὑμῶν τῶν ἀνεχομένων, ἐπ' ἀναπαύσει δὲ ἡμετέρᾳ τῶν ὑποθεμένων τὴν γνώμην, εἰς δόξαν δὲ καὶ ἔπαινον τοῦ Χριστοῦ, οὗ τὸ ὄνομα ἐπικέκληται ἐφ' ἡμᾶς· τούτου χάριν ἀπέστειλα τὸν ποθεινότατον ἡμῶν ἀδελφὸν, ἵνα καὶ τὸ πρόθυμον γνωρίσῃ, καὶ τὸ νωθρὸν διεγείρῃ, καὶ τὸ ἀντιτεῖνον φανερὸν ἡμῖν καταστήσῃ. Πολλὴ γὰρ ἡ ἐπιθυμία καὶ ἰδεῖν ὑμᾶς συνηγμένους, καὶ ἀκοῦσαι περὶ ὑμῶν, ὅτι οὐχὶ τὸν ἀμάρτυρον ἀγαπᾶτε βίον, ἀλλὰ μᾶλλον καταδέχεσθε πάντες καὶ φύλακες τῆς ἀλλήλων ἀκριβείας εἶναι, καὶ μάρτυρες τῶν κατορθουμένων. Οὕτω γὰρ ἕκαστος καὶ τὸν ἐφ' ἑαυτῷ μισθὸν τέλειον ἀπολήψεται (9), καὶ τὸν ἐπὶ τῇ τοῦ ἀδελφοῦ προκοπῇ· ὃν καὶ λόγῳ καὶ

[48*] Jerem. xiv, 9.

Monachis.

Arbitror equidem nullam aliam vobis Dei gratia opus esse adhortationem, post eos sermones, quos per me ipse apud vos habui, cum vos omnes hortarer, ut vitam communem ad exemplum apostolici instituti amplecteremini; quod et accepistis ut bonum documentum, et de hoc ipso gratis Domino egistis. Cum igitur verba non fuerint quæ a nobis dicta sunt, sed documenta in rem conferenda ad utilitatem vestram, qui me disserentem pertulistis, et ad consolationem meam, qui id dabam consilii, ac tandem ad gloriam et laudem Christi, cujus nomen super nos invocatum est [48*]; hanc ob causam desideratissimum nostrum fratrem misi, ut et, quod alacre est cognoscat, et quod pigrum excitet, D et quod reluctatur nobis indicet. Nam vehementer cupio tum videre vos coadunatos, tum id de vobis audire non jam vobis testibus carentem placere vitam, sed id potius omnes amplecti, ut et custodes sitis vestræ inter vos diligentiæ et testes præclare factorum. Sic enim unusquisque et pro se ipse mercedem perfectum accipiet et pro fratris progressu; quam quidem par est ut vobis invicem

(7) *Μονάζουσι*. Sic Harl., Coisl. primus et Regius primus. At Regius 2897 et Coisl. secundus sic habent: Πρὸς μονάζοντας, δι' ἧς ἐπιστηρίζει αὐτοὺς πρὸς τὴν ἐν Χριστῷ πολιτείαν καὶ πίστιν· *Monachis quos confirmat in vita secundum Christum et in fide.* Editi addunt καί φησιν, ὅτι ἡ πίστις ἐστὶν ἡ σώζουσα διὰ ἀγάπης ἐνεργουμένη· *Et ait fidem quæ salvat eam esse quæ per charitatem operatur.*

(8) *Προελθεῖν*. Ita Harl., Med., Reg. uterque, Coisl. secundus et Bigot. Habet Coisl. primus προσελθεῖν. Editi ἐλθεῖν.

(9) *Ἀπολήψεται*. Duo mss. λήψεται. Paulo post tres mss. παρασχέσθαι ὑμᾶς. Sed Harl. et Med. cum editis consentiunt.

* Alias CCXCV.

verbo et opere concilietis ex continuis colloquiis et adhortationibus. In primis autem adhortor vos, ut Patrum fidei memores sitis, nec ab iis qui vos in vestra solitudine abripere conantur, commoveamini: illud scientes neque accuratam vitam, si fide in Deum illuminata non sit, per se ipsam prodesse; neque rectam confessionem, si bonorum operum sit expers, commendare nos Domino posse; sed necesse esse utrumque concurrere; ut Dei homo integer sit ac perfectus, nec aliqua re deficiente, vita nostra claudicet. Fides enim quæ salvos nos facit, ea est, ut ait Apostolus, *quæ per charitatem operatur* [46].

A ἔργῳ παρέχεσθαι ὑμᾶς ἀλλήλοις προσήκει ἐκ τῆς συνεχοῦς ὁμιλίας καὶ παρακλήσεως. Ἐπὶ πᾶσι δὲ παρακαλοῦμεν μεμνῆσθαι ὑμᾶς τῆς τῶν Πατέρων πίστεως, καὶ μὴ σαλεύεσθαι ὑπὸ τῶν ἐν τῇ ὑμετέρᾳ (10) ἡσυχίᾳ περιφέρειν ὑμᾶς ἐπιχειρούντων· εἰδότας (11), ὅτι οὔτε πολιτείας ἀκρίβεια καθ' ἑαυτὴν, μὴ διὰ τῆς εἰς Θεὸν πίστεως πεφωτισμένη, ὠφέλιμος, οὔτε ὀρθὴ ὁμολογία, ἀγαθῶν ἔργων ἄμοιρος οὖσα, παραστῆσαι ἡμᾶς δυνήσεται τῷ Κυρίῳ· ἀλλὰ δεῖ ἀμφότερα συνεῖναι, ἵνα ἄρτιος ᾖ (12) ὁ τοῦ Θεοῦ ἄνθρωπος, καὶ μὴ κατὰ τὸ ἐλλεῖπον χωλεύῃ ἡμῶν ἡ ζωή. Πίστις γάρ ἐστιν ἡ σώζουσα ἡμᾶς, ὥς φησιν ὁ Ἀπόστολος, *δι' ἀγάπης ἐνεργουμένη*.

EPISTOLA CCXCVI *.

ΕΠΙΣΤΟΛΗ ΣϞϚ'.

Excusatione utitur, quod viduæ mulabus diu usus sit: eximia ipsi ejusque filiæ præcepta tradit.

Viduæ.

Considerans tuum in me animum, ac studium erga Dei opus cognitum habens, nuper tecum tanquam cum filia liberius **434** egi, atque diutius mulabus tuis usus sum, parce quidem tanquam meis utens: sed tamen illarum usum produxi longius. Hæc certe tuæ gravitati scribenda erant, ut scires animi affectus indicium esse quod factum est. Simul autem dignitatem tuam per litteras submonemus, ut Domini memineris, et exitum ex hoc mundo semper ante oculos habens, tuam ipsius vitam dirigas et præpares ad causæ coram judice qui decipi non potest, defensionem; ut ob bona opera fiduciam habeas coram eo qui nostrorum cordium arcana revelaturus est in die visitationis ejus. Filiam nobilissimam per te salutamus; atque adhortor ut in meditandis Domini oraculis vitam degat: quo illius animus doctrina optima nutriatur, mensque illius crescat et adolescat magis, quam ipsum corpus, dum a natura augetur.

B *Ἐλευθέρᾳ* (13).

Στοχαζόμενός σου τῆς περὶ ἡμᾶς διαθέσεως, καὶ ἣν ἔχεις περὶ τὸ ἔργον τοῦ Κυρίου σπουδὴν ἐπιγνώσκοντες, κατεθαῤῥήσαμεν ὡς θυγατρὸς πρώην, καὶ ταῖς ἡμιόνοις ἐπὶ πλεῖον (14) ἐχρησάμεθα, πεφεισμένως μὲν ὡς ἡμετέραις (15) χρώμενοι· παρετείναμεν δ' οὖν ὅμως αὐτῶν τὴν ὑπηρεσίαν. Ταῦτα οὖν ἔδει ἐπισταλῆναί σου τῇ σεμνότητι ὥστε εἰδέναι, ὅτι ἀπόδειξίς ἐστι τῆς διαθέσεως τὸ γενόμενον (16). Ὁμοῦ δὲ καὶ ὑπομιμνήσκομεν διὰ τοῦ γράμματος τὴν κοσμιότητά σου, μεμνῆσθαι τοῦ Κυρίου, καὶ τὴν ἔξοδον τὴν ἀπὸ τοῦ κόσμου τούτου πρὸ ὀφθαλμῶν ποιουμένην ἀεὶ, τὸν βίον ἑαυτῆς ῥυθμίζειν πρὸς ἀπολογίαν τοῦ ἀπαραλογίστου κριτοῦ, ἵνα γένηταί σοι παῤῥησία ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις ἔμπροσθεν
C τοῦ τὰ κρυπτὰ τῶν καρδιῶν ἡμῶν ἀποκαλύπτειν μέλλοντος ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς αὐτοῦ. Τὴν εὐγενεστάτην θυγατέρα ἀσπαζόμεθα διὰ σοῦ· καὶ παρακαλῶ ἐν τῇ μελέτῃ τῶν λογίων (17) τοῦ Κυρίου διάγειν αὐτὴν, ἵνα ἐκτρέφηται ὑπὸ τῆς ἀγαθῆς διδασκαλίας τὴν ψυχὴν, καὶ ἐπιδιδῷ πρὸς αὔξησιν καὶ μέγεθος ἡ διάνοια αὐτῆς μᾶλλον ἢ τὸ σῶμα ὑπὸ τῆς φύσεως.

EPISTOLA CCXCVII **.

ΕΠΙΣΤΟΛΗ ΣϞΖ'.

Hortatur ad pietatem et commendat mulierem quæ hanc epistolam perferebat.

Viduæ.

Cum omnino mihi congruere judicarem, tum

D *Ἐλευθέρᾳ* (18).

Πάνυ ἐμαυτῷ ἐπιβάλλειν κρίνων καὶ διὰ τὸ τῆς

[46] Galat. v, 6.

* Alias CCLXXXV.

** Alias CCLXXXVI

(10) *Ἐν τῇ ὑμετέρᾳ*. Ita Harl. prima manu, et plures alii. Editi ἡμετέρᾳ.

(11) *Εἰδότας*. Medicæus codex εἰδότες.

(12) *Ἄρτιος ᾖ*. Mss. duo ἄρτιος εἴη.

(13) *Ἐλευθέρᾳ*. Reg. secundus et Coisl. secundus Ἐλευθέρᾳ ἑτέρᾳ, *ad aliam viduam*.

(14) *Ἐπὶ πλεῖον*. Sic Med., Coisl. primus et Reg. secundus. Editi ἐπὶ πλέον. Paulo post voculam δέ addimus ex duobus mss. ante οὖν ὅμως. Subinde editi τῇ σῇ σεμνότητι. Coisl. primus, Med. et Reg. secundus ut in textu.

(15) *Ἡμετέραις*. Legit Combefisius cum interprete ὑμετέραις, *parce quidem tanquam tuis utens*. Sed repugnant mss. codices, nec necessaria immutatio. Nam cum soleant homines suarum quisque rerum curam gerere; nihil mirum si Basilius mulabus parce ut suis usum se esse dicit, simul et suam in illis conservandis diligentiam, et amicam in utendo fiduciam indicans. Porro ea diligentius curari, quibus quis utitur ut suis, ex alio Basilii loco perspici potest, ubi diabolum his, qui se illi addixerunt, *non ut propriis mancipiis uti, sed tanquam alienis abuti* docet Comment. *in Isaiam* n. 109, pag. 454.

(16) *Τὸ γενόμενον*. Ita Regius codex multo melius quam alii et editi τὸ γινόμενον.

(17) *Τῶν λογίων*. Sic Regius et Coisl. primus. Editi τῶν λόγων.

(18) *Ἐλευθέρᾳ*. Addit Coisl. recentior Ἰουλίττῃ.

ἡλικίας πρεσβυτικὸν, καὶ διὰ τὸ τῆς πνευματικῆς A διαθέσεως γνήσιον τὴν ἀσύγκριτόν σου εὐγένειαν καὶ ἐν τῇ σωματικῇ παρουσίᾳ ἐπισκέπτεσθαι, καὶ ἀπούσης (19) μὴ ἀπολιμπάνεσθαι, ἀλλὰ γράμμασιν ἀποπληροῦν τὸ ἐνδέον, ἐπειδὴ εὗρον πρέπουσαν διάκονον τῶν πρὸς τὴν σὴν σεμνότητα γραμμάτων τήνδε, δι' αὐτῆς προσφθέγγομαί σε, προηγουμένως παρορμῶν ἐπὶ τὸ ἔργον τὸ τοῦ Κυρίου, ἵνα σε ὁ ἅγιος Θεὸς, τιμίως παρενεγκὼν τὰς ἡμέρας τῆς παροικίας σου ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι, ἀξίαν καὶ τῶν μελλόντων ἀγαθῶν καταστήσειεν. Ἔπειτα δὲ καὶ τὴν προειρημένην θυγατέρα παρακατατίθεμαί (20) σοι, ἵνα ὡς ἐμὴν μὲν θυγατέρα, σεαυτῆς δὲ ἀδελφὴν οὕτω δέξῃ, καὶ περὶ ὧν ἂν τῇ εὐσχήμονί σου καὶ καθαρᾷ ψυχῇ ἀνακοινώσεται, ἰδιοπαθήσῃς, καὶ ἀντιλάβῃ αὐτῆς, ὡς παρὰ τοῦ Κυρίου B προηγουμένως ἔχουσα τὸν μισθόν· ἔπειτα καὶ ἡμᾶς ἀναπαύουσα τοὺς ἐν σπλάγχνοις Χριστοῦ τὸ τῆς ἀγάπης σοι (21) μέτρον ἀποπληροῦντας

propter provectam ætatem, tum propter spiritualis affectus sinceritatem, nulli comparabilem tuam nobilitatem et corpore præsentem invisere, et absenti non deesse, sed litteris, id quod deest, supplere : ubi nactus sum idoneam hanc ministram litterarum ad tuam gravitatem perferendarum, per ipsam te saluto, in primis adhortans ad Domini opus, ut te Deus sanctus, cum honore deducens dies incolatus tui in omni pietate atque gravitate, dignam etiam futuris bonis constituat. Deinde vero et memoratam filiam commendo tibi, ut eam sicut meam quidem filiam, tuam vero sororem suscipias ; et quibus de rebus cum præclara tua ac pura anima communicabit tuas proprias esse existimes, ac opem feras, primum quidem ac præcipue ut a Domino mercedem habens ; deinde etiam ut nobis pergratum faciens, qui tibi in Christi visceribus charitatis mensuram adimplemus.

ΕΠΙΣΤΟΛΗ ΣϞΗ'.

EPISTOLA CCXCVIII *.

Refellit cujusdam hominis dolum, qui aquæ vim quamdam prorsus absurdam inesse persuadebat.

Ἀνεπίγραφος, ἐπ' ἀνδρὶ εὐλαβεῖ.

Ὅτι μὲν περὶ πάντων καταξιοῖς συμβούλοις ἡμῖν καὶ κοινωνοῖς φροντισμάτων κεχρῆσθαι, ποιεῖς πρέπον (22) τῇ σεαυτοῦ τελειότητι· καί σε ὁ Θεὸς τῆς τε ἀγάπης τῆς περὶ ἡμᾶς, καὶ τῆς ἐπιμελείας τῆς κατὰ τὸν βίον ἀμείψαιτο (23)· ὅτι δέ σου ἥψατο ἡ ἀπάτη τούτου, ἐθαύμασα, καὶ ὕδατί (24) τινα δύναμιν ἄλογον παρεῖναι πεπίστευκας· καὶ ταῦτα, οὐδεμιᾶς μαρτυρίας βεβαιούσης τὴν φήμην. Οὔκουν ἐστί τις τῶν ἐκεῖθεν οὐ μικρὸν, οὐ μεῖζον λαβὼν εἰς τὸ σῶμα, ὧν ἤλπισε, τὸ ἑαυτοῦ ἀγαθόν· ἢ εἰ μή τινι ἀπὸ τοῦ αὐτομάτου γέγονε παραμυθία τις· ὁποῖα (25) καὶ καθεύδουσι καὶ ἄλλα τινὰ κατὰ τὸν βίον ἐνεργοῦσιν ἐπιγίνεσθαι πέφυκεν. Ἀλλ' ὁ ἀναιρῶν τὴν ἀγάπην τὰ αὐτόματα τῇ τοῦ ὕδατος φύσει λογίζεσθαι τοὺς ἁπλουστέρους ἀναπείθει. Ὅτι δὲ ἀληθὴς ἡμῶν ὁ λόγος, ἔξεστιν ἐξ αὐτῆς τῆς πείρας σε διδαχθῆναι.

Sine inscriptione, causa pii viri.

Quod me quidem dignaris in omnibus consiliario et curarum consorte uti, rem tua integritate dignam facis ; teque Deus et pro tuo in me amore, et pro vitæ instituendæ **435** diligentia remuneretur. Illud autem miratus sum quod te hujus hominis dolus attigerit, et aquæ vim quamdam C absurdam inesse credideris ; idque, nullo testimonio famam confirmante. Nemo sane est eorum qui illic degunt, qui speratum corporis levamen magnum minusve consecutus sit ; nisi quis casu et fortuito nonnihil acceperit levaminis ; quale et dormientibus et alia quædam in vita agentibus accidere solet. Sed qui e medio tollit charitatem, is persuadet simplicioribus, ut ea quæ fortuito obveniunt, naturæ aquæ ascribant. Cæterum quæ dico vera esse, potest ex ipsa experientia discere.

ΕΠΙΣΤΟΛΗ ΣϞΘ'.

EPISTOLA CCXCIX **.

Eximium virum qui e potentia civili ad tranquillam vitam recesserat, hortatur, ut censitoris munus in regione Iboritarum, spe mercedis a Deo consequendæ, suscipiat.

Κηνσίτορι (26). D

Εἰδότι μοι ἔγραφες, ὅτι δυσχόλως ἔχεις πρὸς τὴν τῶν κοινῶν ἐπιμέλειαν. Καὶ γὰρ παλαιός ἐστι λόγος, τοὺς ἀρετῆς μεταποιουμένους μὴ μεθ' ἡδονῆς ἑαυτοὺς ἐπιβάλλειν ἀρχαῖς. Τὰ γὰρ τῶν ἰατρευόντων ἴδια, ταῦτα ὁρῶ καὶ τῶν ἀρχόντων ὄντα. Ὁρῶσι γὰρ

Censitori.

Scienti mihi scripsisti permolestam tibi esse rei publicæ administrationem. Nam antiqua sententia est, virtutis studiosos haud libenter in magistratus sese conjicere. Quæ enim medicorum, ea magistratuum quoque propria esse video.

(19) *Ἀπούσης*. Sic Clarom. melius quam alii et editi ἀπούσῃ. Hoc enim verbum apud Basilium semper cum genitivo conjunctum.

(20) *Παρακατατίθεμαι*. Clarom. παρακατατίθημι. Paulo post editi ἀντιλάβῃς. Coisl. primus et Med. ut in textu.

(21) *Ἀγάπης σοι*. Hanc voculam addidimus ex Med., Vat. et Calrom.

(22) *Πρέπον*. Coisl. secundus et Regius secundus πρεπόντως.

(23) *Ἀμείψαιτο*. Cum alio Coisl. primus ἀμείψεται.

(24) *Καὶ ὕδατι*. Med., Coisl. secundus, Reg. secundus εἰ ὕδατι. Mox editi ὡς τὸ σῶμα. Mss. quatuor ut in textu. Paulo post ex totidem mss. emendavimus quod vitiose erat in editis ἤ τι μή τινι.

(25) *Ὁποῖα*. Sic mss. tres. Editi οἷα.

(26) *Κηνσίτορι*. Ita summo consensu mss. codices. Editi Κηνσήτορι.

* Alias CCXXXV.

** Alias CCCLII.

Vident enim mala, experiunturque insuavia, et ex aliorum incommodis proprios percipiunt dolores; saltem qui vere magistratus sunt. Nam quicunque aucupantur quæstum, et ad divitias respiciunt, ac gloriam præsentem admirantur, hi maximum bonorum ducunt, potestatem aliquam assequi, unde amicis benefacere possint, et inimicos ulcisci, ac sibi ipsis optata comparare. At tu non talis es. Quomodo enim? qui e potentia civili, eaque tanta tua sponte recessisti; et cum tibi liceret civitati, tanquam domui uni, dominari, quietam ac tranquillam amplexus es vitam: nec habere negotia, nec exhibere aliis pluris existimans, quam alii morosos se præstare. Sed cum Domino visum sit Iboritarum regionem cauponibus non subjici, neque mancipiorum foro descriptionem similem esse: sed unumquemque ut æquum est describi; accipe negotium, licet alias molestum, sed tamen quod tibi apud Deum laudem et approbationem conciliare possit. Neque potentiam formides, neque paupertatem contemnas; sed animi æquitatem iis quos reges, trutina omni æquiorem exhibe. Sic enim et iis qui tibi hoc muneris crediderint, manifestum fiet tuum justitiæ studium, et te ante alios mirabuntur. Aut etiamsi hoc illos lateat, Deum nostrum non latebit, qui magna nobis proposuit bonorum operum præmia.

A δεινά, καὶ πειρῶνται ἀηδῶν· καὶ ἐπ' ἀλλοτρίαις συμφοραῖς οἰκείας καρποῦνται λύπας· οἵ γε ὡς ἀληθῶς ἄρχοντες. Ἐπεὶ ὅσον ἐμπορικὸν τῶν ἀνθρώπων, καὶ πρὸς χρήματα βλέπον, καὶ περὶ τὴν δόξαν ταύτην ἐπτοημένον, μέγιστον τῶν ἀγαθῶν τίθεται τὸ παραλαβεῖν τινα δυναστείαν, ἀφ' ἧς δυνήσονται φίλους εὖ ποιεῖν, καὶ ἐχθροὺς ἀμύνεσθαι, καὶ ἑαυτοῖς κατακτᾶσθαι τὰ σπουδαζόμενα. Ἀλλ' οὐ τοιοῦτος σύ. Πόθεν; ὅς γε καὶ τῆς πολιτικῆς δυνάμεως τοσαύτης οὔσης ἑκὼν ἀνεχώρησας· καὶ ἐξὸν σοι κρατεῖν πόλεως, ὡς μιᾶς οἰκίας, σὺ δὲ τὸν ἀπράγμονα καὶ ἡσύχιον εἵλου βίον, τὸ μήτε ἔχειν B πράγματα, μήτε παρέχειν ἑτέροις πλείονος (27) ἄξιον τιθέμενος, ἢ ὅσου οἱ λοιποὶ τιμῶνται τὸ δυστροπεύειν. Ἀλλ' ἐπειδὴ ἠβουλήθη ὁ Κύριος τὴν Ἰβωριτῶν χώραν μὴ ὑπὸ καπήλοις ἀνθρώποις γενέσθαι, μηδὲ ὥσπερ ἀνδραπόδων ἀγορὰν (28) εἶναι τὴν ἀποτίμησιν, ἀλλ' ὡς ἔστι δίκαιον, ἕκαστον ἀπογράφεσθαι (29)· δέξαι τὸ πρᾶγμα, εἰ καὶ ἄλλως ὀχληρὸν, ἀλλ' οὖν ὡς πρόξενόν σοι γενέσθαι δυνάμενον τῆς παρὰ Θεῷ εὐδοκιμήσεως. Καὶ μήτε δυναστείαν ὑποπτήξῃς, μήτε πενίας καταφρονήσῃς, ἀλλὰ τὸ τῶν λογισμῶν ἀῤῥεπὲς τρυτάνης πάσης (30) ἀῤῥεπέστερον παράσχου τοῖς διοικουμένοις. Οὕτω γὰρ καὶ τοῖς πεπιστευκόσι φανερὰ γενήσεταί σου ἡ περὶ τὸ δίκαιον σπουδὴ, καὶ θαυμάσονταί σε (31) παρὰ τοὺς ἄλλους. Ἢ κἂν ἐκείνους διαλάθῃ, τὸν Θεὸν ἡμῶν οὐ λήσεται, τὸν μεγάλα ἡμῖν προθέντα C τῶν ἀγαθῶν ἔργων τὰ ἆθλα (32).

436 EPISTOLA CCC *.

ΕΠΙΣΤΟΛΗ Τ'.

Patrem consolatur filii morte in ipso ætatis flore abrepti afflictum.

Patri scholastici cujusdam fato functi consolatoria.

Cum in secundo patrum loco nos Dominus constituerit Christianis, puerorum nobis in eum credentium commissa ad pietatem institutione; afflictionem tuam beati tui filii causa ortam nostram quoque propriam esse judicavimus, ac ingemuimus immaturo illius discessu; dolentes maxime tua causa, ac considerantes quantum sit futurum doloris pondus ei qui natura pater est, cum nobis etiam, qui ex præcepto propinqui sumus, tanta cordis mœstitia obvenerit. Illius enim causa nihil triste aut pati aut loqui oportebat: sed miserandi sunt, qui spe de eo concepta exciderunt. Ac vere multis lacrymis ac gemitibus digni qui, cum filium in ipso ætatis flore ad litterarum studia misissent,

Πρὸς πατέρα σχολαστικοῦ (33) τελευτήσαντος παραμυθητική.

Ἐπειδὴ ἐν δευτέρᾳ τάξει πατέρων ἔθετο ἡμᾶς ὁ Κύριος τοῖς Χριστιανοῖς, τῶν παίδων ἡμῖν τῶν εἰς αὐτὸν πεπιστευκότων τὴν διὰ τῆς εὐσεβείας μόρφωσιν ἐπιτρέψας· τὸ συμβὰν ἐπὶ τὸν (34) μακάριον υἱόν σου πάθος καὶ ἡμέτερον ἴδιον εἶναι ἐλογισάμεθα, καὶ ἐπεστενάξαμεν αὐτοῦ τῇ ἀωρίᾳ τοῦ χωρισμοῦ· συμπαθόντες μάλιστά σοι, καὶ ὑπολογισάμενοι ἡλίκον ἔσται τῆς ὀδύνης τὸ βάρος πατρὶ τῷ κατὰ φύσιν, D ὅπου γε καὶ ἡμῖν, τοῖς κατὰ τὴν ἐντολὴν ᾠκειωμένοις, τοσοῦτον τῆς καρδίας τὸ κατηφὲς ἐνεγένετο. Ἐπ' ἐκείνῳ μὲν γὰρ οὐδὲν ἔδει σκυθρωπὸν οὔτε παθεῖν, οὔτε φθέγγεσθαι· ἐλεεινοὶ δὲ οἱ τῶν ἐπ' αὐτῷ ἐλπίδων διαμαρτόντες. Καὶ τῷ ὄντι πολλῶν δακρύων καὶ στεναγμῶν ἄξιοι, ἐκπέμψαντες (35) παῖδα ἐν

* Alias CCI.

(27) *Πλείονος*. Editi addunt σπουδῆς, quod percommode deest in codice Harlæano.

(28) *Ὥσπερ ἀνδραπόδων ἀγοράν*. Ita Harl. prima manu et Med. melius quam alii et editi ὥσπερ ἐν ἀνδραπόδων ἀγορᾷ.

(29) *Ἀπογράφεσθαι*. Sex antiqui codices γράφεσθαι. Sed tres antiquissimi ut in editis.

(30) *Πάσης*. Hanc vocem addidimus ex Harl., Vat., Coisl. secundo et tribus Regiis.

(31) *Θαυμάσονταί σε*. Deest vocula in codice Med.

(32) *Τὰ ἆθλα*. Duo mss. τὰ ἔπαθλα.

(33) *Σχολαστικοῦ*. Coisl. primus, Harl. et Med., Πατρὶ σχολαστικοῦ παραμυθητική. Deest σχολαστικοῦ in Regio primo.

(34) *Ἐπὶ τόν*, etc. Sic Med., Harl., Coisl. et Bigot. Editi περὶ τόν. Ibidem deest ἡμέτερον in codicibus Med. et Harl. Legitur ἡμῶν ἴδιον in Reg. secundo et Coisl. secundo. Paulo post Harl. et Med. et duo alii ἐνεγένετο. Editi ἐγένετο.

(35) *Ἐκπέμψαντες*. Sic Coisl. primus, Harl. et Clarom. Alii ἐκπέμψαντα. Editi ἐκπέμψαντας. Ibidem Coisl. secundus et Reg. secundus ἄξιον. Paulo post editi ἀπευκτὴν. Med., Harl. et Coisl. ut in textu.

A …ῳ τῷ ἄνθει τῆς ἡλικίας ἐπὶ λόγων ἄσκησιν, ὑποδέξασθαι σιωπῶντα τὴν μακρὰν ταύτην καὶ ἀπευκταίαν σιωπήν. Ἀλλὰ ταῦτα μὲν ὡς ἀνθρώπους ἡμᾶς εὐθὺς ἐκίνησε· καὶ δάκρυον ἐξεχέαμεν προπετὲς, καὶ στεναγμὸν ἀφήκαμεν ἐκ μέσης τῆς καρδίας ἀπαίδευτον· τοῦ πάθους ἀθρόως (36), οἷόν τινος νεφέλης, τὸν λογισμὸν ἡμῶν περισχόντος. Ἐπεὶ δὲ ἡμῶν αὐτῶν ἐγενόμεθα, καὶ διεβλέψαμεν τῷ τῆς ψυχῆς ὀφθαλμῷ πρὸς τὴν φύσιν τῶν ἀνθρωπίνων, τῷ μὲν Κυρίῳ ἀπελογησάμεθα, ἐφ' οἷς κατὰ συναρπαγὴν ἡ ψυχὴ ἡμῶν διετέθη πρὸς τὸ συμβὰν, αὑτοὺς δὲ ἐνουθετήσαμεν μετρίως φέρειν ταῦτα, ἐκ τῆς παλαιᾶς τοῦ Θεοῦ ἀποφάσεως συγκληρωθέντα τῇ ζωῇ τῶν ἀνθρώπων. Οἴχεται παῖς αὐτὸ τῆς ἡλικίας ἄγων τὸ βιώσιμον, διαπρέπων ἐν χοροῖς B ὁμηλίκων, ποθεινὸς διδασκάλοις, ἀπὸ ψιλῆς τῆς ἐντεύξεως εἰς εὔνοιαν δυνάμενος καὶ τὸν ἀγριώτατον ἐπισπάσασθαι· ὀξὺς ἐν μαθήμασι, πρᾷος τὸ ἦθος, ὑπὲρ τὴν ἡλικίαν κατεσταλμένος (37)· καὶ πλείω τούτων εἰπὼν, ἐλάττω ἄν τις εἴποι τῆς ἀληθείας· ἀλλ' ὅμως ἄνθρωπος παρ' ἀνθρώπου γενόμενος (38). Τί τοίνυν λογίζεσθαι τὸν πατέρα τοῦ τοιούτου προσῆκε; Τί ἄλλο γε ἢ ἀναμνησθῆναι τοῦ ἑαυτοῦ πατρὸς, ὅτι τέθνηκε; Τί οὖν θαυμαστὸν, ἐκ θνητοῦ γεννηθέντα, θνητοῦ γενέσθαι πατέρα; Τὸ δὲ πρὸ ὥρας, καὶ πρὶν κορεσθῆναι τοῦ βίου, καὶ πρὶν εἰς μέτρον ἡλικίας ἐλθεῖν, καὶ φανῆναι τοῖς ἀνθρώποις, καὶ διαδοχὴν τοῦ γένους καταλιπεῖν· ταῦτα οὐκ αὔξησις τοῦ πάθους, ὡς ἐμαυτὸν πείθω, ἀλλὰ παραμυθία τοῦ γεγονότος ἐστίν. Εὐχαριστεῖσθαι ὀφείλει τοῦ C Θεοῦ ἡ διάταξις, ὅτι μὴ κατέλιπεν ὑπὲρ γῆς ὀρφανὰ τέκνα· ὅτι μὴ γυναῖκα χήραν θλίψει μακρᾷ ἔκδοτον ἀφῆκεν, ἢ ἀνδρὶ ἑτέρῳ συνοικήσουσαν, καὶ τῶν προτέρων τέκνων καταμελήσουσαν. Τὸ δὲ, ὅτι οὐ παρετάθη τῷ βίῳ τούτῳ ἡ ζωὴ τοῦ παιδὸς, τίς οὕτως ἀγνώμων, ὡς μὴ τὸ μέγιστον τῶν ἀγαθῶν τοῦτο νομίζειν εἶναι; Ἡ γὰρ ἐπὶ πλεῖον ἐνταῦθα διατριβὴ πλειόνων κακῶν ἐστιν ἀφορμή. Οὐκ ἐποίησε κακόν· οὐκ ἔρραψε δόλον τῷ πλησίον· οὐκ εἰς ἀνάγκην ἦλθε φρατρίαις (39) καταμιγῆναι πονηρευομένων· οὐκ ἐνεπλάκη τοῖς κατ' ἀγορὰν κακοῖς· οὐχ ὑπέμεινεν ἀνάγκην ἁμαρτημάτων, οὐ ψεῦδος, οὐκ ἀγνωμοσύνην, οὐ πλεονεξίαν, οὐ φιληδονίαν, οὐ τὰ τῆς σαρκὸς πάθη, ὅσα ταῖς ἀναγώγοις ψυχαῖς ἐγγίνεσθαι πέφυκεν· οὐ-D δεμιᾷ (40) χηλίδι (41) τὴν ψυχὴν ἀπῆλθε κατεστιγμένος, ἀλλὰ καθαρὸς ἀνεχώρησε πρὸς τὴν ἀμείνω λῆξιν. Οὐ γῆ κατέκρυψε τὸν ἀγαπητὸν, ἀλλ' οὐρανὸς ὑπεδέξατο. Θεὸς ὁ τὰ ἡμέτερα οἰκονομῶν, ὁ τὰς τῶν χρόνων ὁροθεσίας ἑκάστῳ νομοθετῶν, ὁ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, αὐτὸς καὶ μετέστησεν. Ἔχομεν διδασκάλιον (42) ἐν ταῖς ὑπερβολαῖς τῶν συμφορῶν, τὴν περιβόητον ἐκείνην φωνὴν τοῦ μεγάλου Ἰὼβ·

A longo illo ac tristi silentio conticentem receperunt. Sed hæc nos quidem, tanquam homines, statim commoverunt, illacrymatique sumus immodice, ac gemitum emisimus ex medio corde non decorum, cum subito casus, veluti quædam nubes, rationem nostram occupasset. At ubi ad nos reversi sumus, ac respeximus mentis oculo ad naturam rerum humanarum, veniam quidem a Domino petivimus, quod abrepta mens nostra sic eventum illum sensisset; nos ipsos vero monuimus, ut moderate ea feramus, quæ ex antiqua Dei sententia humanæ naturæ sors exsistunt. Mortuus est puer vitalem ipsam ætatem agens, clarus in æqualium choris, magistris charus: idoneus qui ex solo congressu vel ferocissimum ad benevolentiam pertraheret; B acutus in disciplinis, ingenio mitis, supra ætatem temperatus: et si quis plura dixerit, veritatem tamen dicendo non assequetur: sed tamen homo ex homine genitus. Quid igitur talis pueri patrem cogitare decet? Quid aliud, nisi ut sui ipsius patris recordetur, qui mortuus est? Quid igitur mirum, ex mortali genitum, mortalis patrem factum esse? Quod autem immature, et priusquam vita satiaretur; priusquam ad ætatis mensuram perveniret, et innotesceret hominibus, ac generis relinqueret successionem: nequaquam hæc doloris accessio, ut mihi ipse persuadeo, sed eventus sunt solatium. Gratiæ agendæ sunt divinæ dispositioni, quod non reliquerit in terra liberos orbos, nec viduam C aut ærumnis diuturnis obnoxiam, aut cum altero viro habitaturam et liberos priores neglecturam. Quod autem vita pueri longius in hoc sæculo producta non fuit; quis adeo inconsideratus, ut id maximum **437** bonorum esse non judicet? Longior enim hic commoratio, malorum plurium occasio est. Non admisit malum, non struxit dolum proximo; non in id necessitatis venit, ut iniquorum societati admisceretur; non implicatus est malis forensibus; non sustinuit necessitatem peccandi, non mendacium, non animi ingrati vitium, non avaritiam, non amorem voluptatum, non vitia carnis, quæcunque animis dissolutis innasci solent; nulla macula inustus animo migra-D vit, sed purus abscessit ad sortem meliorem. Non contexit terra dilectum, sed cœlum suscepit. Deus qui res nostras moderatur, qui unicuique temporum terminos præstituit, qui in hanc vitam hunc deduxerat, idem etiam transtulit. Habemus documentum in maximis calamitatibus, celeberrimam illam magni Jobi vocem: *Dominus dedit, Dominus abstulit: sicut Domino visum est, ita et*

(36) *Ἀθρόως*. Harl. et Med. ἀθρόον.

(37) *Κατεσταλμένος*. Reg. secundus et Bigot. καθεσταμένος.

(38) *Γενόμενος*. Ita Med., Harl. et Coisl. primus. Editi γεννηθείς. Reg. secundus γεννηθείς. Infra eosdem codices secuti mutavimus quod erat in editis ἐπὶ γῆς et τῶν προτέρων γάμων.

(39) *Φρατρίαις*. Medicæus codex φρατρίᾳ.

(40) *Οὐδεμιᾷ*. Editi addunt τούτων, *nulla harum rerum macula*. Sed ea vox melius videtur deesse in codice Harlæano.

(41) *Κηλῖδι*. Sic plerique mss. Editi χηλίδει.

(42) *Διδασκάλιον*. Nonnulli codices recentiores διδασκαλεῖον.

factum est. Sit nomen Domini benedictum in sæcula [47].

A Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας.

EPISTOLA CCCI *.

ΕΠΙΣΤΟΛΗ ΤΑ'.

Consolatur morte uxoris afflictum.

Maximo consolatoria.

Quomodo affectus fuerim audito casu, nulla mihi oratio ad clare exprimendum satis esse possit; cum quidem nunc considerarem illatum piorum communi damnum amissa ordinis sui principe femina; nunc vero quantam in tristitiam delapsa esset gravitatis tuæ serenitas cogitarem: ac domum, cujus fortunas omnes laudabant, in genua prolapsam, et convictum, qui harmonia summa conglutinatus erat, somno citius dissolutum animo B intuerer. Quomodo, etiamsi essemus adamantini, non inflexi animo fuissemus? Mihi vero etiam ex primo congressu necessitudo quædam exstitit cum tua dignitate; tamque tuæ virtuti favi, ut omni hora laudes tuas in ore haberem. At ubi etiam mihi cum beata illa anima exstitit familiaritas, mihi vere fuit persuasum, hanc Proverbiorum sententiam in vobis fuisse confirmatam, mulierem videlicet viro a Deo aptari [48]. Adeo moribus congruebatis inter vos, utroque tanquam in speculo alterius mores in seipso repræsentante. Etiamsi quis plura dixerit, ne minimam quidem partem eorum quæ pro merito dicenda essent, assequatur. Sed quid sentiendum de Dei lege dudum vigente, ut qui stato tempore in lucem editus est, rursus abeat; et una- C quæque anima, ubi necessariis vitæ officiis functa est, tum demum vinculis corporis solvatur? Neque primi id passi sumus, vir admirande, neque soli: sed quæ parentes et avi et majores retro **438** omnes experti sunt, ea nos etiam experimur. Atque hæc vita exemplis ejusmodi referta est. Te autem tanto cæteris virtute præstantem, in mediis etiam ærumnis par est animæ tuæ magnitudinem infractam custodire, non damnum præsens iniquo animo ferentem, sed ob beneficium initio collatum gratias largitori habentem. Mori enim commune est eorum qui ejusdem naturæ participes sunt: sed bonæ uxoris consortio frui, paucis contigit, qui in vita felices prædicati sunt; quippe cum ipse ex sepa-

Μαξίμῳ (43) *παραμυθητική.*

Ὅπως διετέθημεν ἐπὶ τῇ ἀκοῇ τοῦ πάθους, οὐδεὶς ἂν ἡμῖν λόγος εἰς παράστασιν τῆς ἐναργείας (44) ἀρκέσειε· νῦν μὲν τὴν ζημίαν λογιζόμενοι (45), ἣν τὸ κοινὸν τῶν εὐλαβῶν ἐζημιώθη, τὴν προστάτιν τοῦ καθ' ἑαυτὴν τάγματος ἀπολέσαν (46)· νῦν δὲ τὴν φαιδρότητα τῆς σῆς σεμνότητος εἰς οἵαν μετέπεσε κατήφειαν ἐννοοῦντες· οἶκον τοῖς πᾶσι μακαριστὸν εἰς γόνυ κλιθέντα, καὶ συμβίωσιν διὰ τῆς ἄκρας B ἁρμονίας συμπεφυκυῖαν ὀνείρου (47) θᾶττον διαλυθεῖσαν βλέποντες τῇ διανοίᾳ. Πῶς οὐκ ἄν, εἰ καὶ ἀδαμάντινοι ἦμεν, τὰς ψυχὰς κατεκάμφθημεν; Ἡμῖν δὲ καὶ ἐκ τῆς πρώτης μὲν ὁμιλίας οἰκειότης τις ἐγένετο πρὸς τὴν σὴν σεμνοπρέπειαν, καὶ τοσοῦτόν σου τῇ ἀρετῇ προσετέθημεν, ὥστε ἐπὶ πάσης ὥρας διὰ γλώττης ἔχειν τὰ σά· ὅτε δὲ καὶ τῆς μακαρίας ἐκείνης ψυχῆς ἐγενόμεθα ἐν συνηθείᾳ, ὄντως ἐπείσθημεν τὸν τῆς Παροιμίας λόγον ἐφ' ὑμῖν βεβαιούμενον, ὅτι παρὰ Θεοῦ ἁρμόζεται γυνὴ ἀνδρί. Οὕτω πρὸς τρόπους (48) ἀλλήλοις ἦτε· ὥσπερ ἐν κατόπτρῳ ἑκάτερος τὸ τοῦ ἑτέρου ἦθος ἐν ἑαυτῷ προδεικνύς. Καὶ πολλὰ ἂν εἰπών τις οὐδὲ πολλοστοῦ μέρους τῆς ἀξίας ἐφίκοιτο. Ἀλλὰ τί χρὴ παθεῖν πρὸς νόμον Θεοῦ πάλαι κεκρατηκότα, τὸν ἐλθόντα εἰς γένεσιν C τοῖς καθήκουσι χρόνοις πάλιν ὑπεξελθεῖν, καὶ ψυχὴν ἑκάστην λειτουργήσασαν τῷ βίῳ τὰ ἀναγκαῖα, ἐπὶ τῶν δεσμῶν (49) τοῦ σώματος ἀπολύεσθαι; Οὔτε πρῶτοι πεπόνθαμεν, ὦ θαυμάσιε, οὔτε μόνοι· ἀλλ' ὧν γονεῖς πεπείρανται καὶ πάπποι, καὶ οἱ ἄνω τοῦ γένους ἅπαντες, τούτων καὶ ἡμεῖς ἐν πείρᾳ γεγόναμεν. Καὶ πλήρης ὁ παρὼν βίος τῶν τοιούτων παραδειγμάτων. Σὲ δέ, τοσοῦτον τῇ ἀρετῇ τῶν λοιπῶν διαφέροντα, καὶ ἐν μέσοις τοῖς πάθεσι προσήκει τὸ τῆς ψυχῆς (50) μεγαλοφυὲς ἀταπείνωτον διασώζειν (51), μὴ τῇ νῦν ζημίᾳ δυσχεραίνοντα, ἀλλὰ τῆς ἐξ ἀρχῆς δωρεᾶς χάριν εἰδότα τῷ δεδωκότι. Τὸ μὲν γὰρ ἀποθανεῖν κοινὸν τῶν τῆς αὐτῆς μετεσχηκότων φύσεως· τὸ δὲ ἀγαθῇ συνοικῆσαι ὀλίγοις τοῖς κατὰ τὸν βίον μακαρισθεῖσιν ὑπῆρξεν· ὅπου (52) καὶ αὐτὸ

[47] Job I, 21. [48] Prov. XIX. 14.

* Alias CCCXLVI.

(43) *Μαξίμῳ*. In editis hæc epistola dicitur ἀνεπίγραφος. Nomen Maximi, cui inscripta est, eruimus ex codicibus Harl. et Clarom.

(44) *Ἐναργείας*. Ita Harl. et Bigot. Editi ἐνεργείας. Ibidem editi ἀρκέσει, plerique mss. ut in textu.

(45) *Λογιζόμενοι*. Uterque Coisl., Regius secundus, Paris. et Clarom. λογιζομένοις. Sed erratum esse patet ex his quæ sequuntur. Paulo post editi καθ' ἑαυτόν. Sex mss. ut in textu. Harl. secunda manu et Med. καθ' ἑαυτούς.

(46) *Ἀπολέσαν*. Ita mss. quinque. Editi ἀπώλεσαν. Ibidem Harlæanus codex νῦν δὲ καὶ τὴν φαιδρότητα.

(47) *Ὀνείρου*. Harl. et Coisl. primus ὀνείρατος.

D (48) *Πρὸς τρόπους*. Ita Coisl. primus, Harl. et Med. et alii nonnulli. Editi πρὸς τρόπου. Mox codices sex προδεικνύς. Editi προεδείκνυ. Subinde editi τί δεῖ παθεῖν. Tres vetustissimi codices cum alio ut in textu.

(49) *Τῶν δεσμῶν*. Coisl. primus τὸν δεσμόν.

(50) *Τὸ τῆς ψυχῆς*. Ita Harl. et Coisl. primus. Editi τὸ τῆς σῆς ψυχῆς.

(51) *Διασώζειν*. Sic Harl., Med. et Coisl. primus. Editi διασῶσαι. Ibidem editi τὴν νῦν ζημίαν. Quatuor mss., in his Harl. et Coisl. primus, ut in textu.

(52) *Κατὰ τὸν βίον... ὅπου*. Sic emendavimus ope codicum Harl. et Med. quod erat in editis κατὰ Θεὸν... ἤπου. Paulo post editi διάζευξιν, ἐν ἐπι Tres vetustissimi codices ut in textu.

ὁ λυπηρῶς ἐνεγκεῖν τὴν διάζευξιν οὐ μικρόν ἐστι A ὢν ἐκ Θεοῦ δωρεῶν τοῖς εὐγνωμόνως λογιζομένοις. Ιολλοὺς γὰρ ἔγνωμεν τὴν διάλυσιν τῆς ἀκαταλλή-ου (53) συνοικήσεως ὥσπερ βάρους ἀπόθεσιν δεξα-ένους. Ἀπόβλεψον πρὸς τὸν οὐρανὸν τοῦτον, καὶ ὸν ἥλιον, καὶ πᾶσαν περίσκεψαι τὴν κτίσιν ἐν ύκλῳ, ὅτι ταῦτα μὲν, τοσαῦτα ὄντα καὶ τηλικαῦτα, ικρὸν ὕστερον οὐ φανήσεται· καὶ ἐκ πάντων τούτων κεῖνο συνάγαγε, ὅτι, μέρος ὄντες τῆς ἀποθνησκούσης τίσεως, τὸ ἐκ τῆς κοινῆς φύσεως (54) ἐπιβάλλον μὶν ὑπεδεξάμεθα· ἐπεὶ καὶ ὁ γάμος αὐτὸς τοῦ ποθνήσκειν ἐστὶ παραμυθία. Διότι γὰρ εἰς τὸ παν-ελὲς παραμένειν οὐκ ἐνῆν, τῇ διαδοχῇ τοῦ γένους ὸ πρὸς τὸν βίον διαρκὲς ὁ Δημιουργὸς ἐμηχανήσατο. Ἰ δὲ, ὅτι θᾶττον προαπῆρεν ἡμῶν, ἀνιώμεθα, μὴ ασκαίνωμεν τῇ μὴ ἐπὶ πολὺ τῶν ὀχληρῶν τοῦ βίου B ναπλησθείσῃ, ἀλλὰ κατὰ τὴν χάριν τὴν τῶν ἀνθῶν τι ποθοῦντας ἡμᾶς ἐπιλιπούσῃ (55). Πρὸ πάντων δὲ ε τὸ τῆς ἀναστάσεως δόγμα ψυχαγωγησάτω, Χρι-τιανὸν ὄντα, καὶ ἐπ' ἐλπίδι τῶν μελλόντων ἀγαθῶν ὴν ζωὴν διεξάγοντα. Οὕτως οὖν διανοεῖσθαι προσ-κεν, ὡς ὁδόν τινα παρελθούσης (56), ἣν καὶ ἡμᾶς· ήσει πορεύεσθαι. Εἰ δὲ, ὅτι πρὸ ἡμῶν, οὐκ ὀδυρ-ῶν τοῦτο ἄξιον. Μικρὸν γὰρ ὕστερον τυχὸν τὸ ἡμέ-ερον ἐλεεινότερον, εἰ, ἐπὶ πλεῖον παραταθέντες, λείοσι γενοίμεθα τιμωρίας ὑπόχρεοι. Ἀλλὰ τῆς ύπης τὸ βάρος ὁ λογισμὸς ἡμῶν ἀποσεισάμενος, τὴν περὶ τοῦ πῶς ἡμᾶς προσῆκε πρὸς τὸ ἐφεξῆς εὐαρε-τεῖν τῷ Κυρίῳ φροντίδα μεταλαβέτω (57).

A ratione dolor non parvum sit Dei donum, his qui rem æquo animo reputant. Novi enim multos, qui tanquam oneris depositionem, matrimonii non congruentis dissolutionem amplexi sunt. Respice in cœlum et solem : et creaturas omnes undelibet collustra, hæc quæ tot et tanta sunt, paulo post non comparebunt; atque ex his omnibus illud collige, nos, cum perituræ creaturæ pars simus, id quod nobis ex communi natura convenit, accepisse; siquidem et conjugium ipsum mortis est solamen. Nam quia semper permanere non dabatur, successione generis perpetuitatem vitæ Creator conciliavit. Quod si id angimur, quod citius ante nos abierit, illi ne invideamus, quod molestiis vitæ haud multum oppleta fuerit, sed instar florum nitentium B nos eam adhuc desiderantes reliquerit. Sed te ante omnia recreet resurrectionis dogma, hominem Christianum, atque in futurorum bonorum spe viventem. Quare par fuerit de ea ita cogitare, quasi viam quamdam confecerit, quam et nos oportebit ingredi. Quod si nobis præivit, id gemitu dignum non est. Nam forte paulo post sors nostra miserabilior erit, si diutius dilati, pluribus fiamus suppliciis obnoxii. Proinde ratio nostra, mœroris excusso onere, id curet, quomodo deceat nos in posterum Domino placere.

ΕΠΙΣΤΟΛΗ ΤΒ'.

EPISTOLA CCCII *.

Brisonis mortui uxorem consolatur.

Εἰς τὴν ὁμόζυγον Βρίσωνος (58) *παραμυθητική.* C

Uxori Brisonis consolatoria.

Ὅσον μὲν ἐστενάξαμεν ἐπὶ τῇ ἀγγελίᾳ τοῦ πάθους οῦ κατὰ τὸν ἄριστον τῶν ἀνδρῶν Βρίσωνα, τί χρὴ αὶ λέγειν; Πάντως γὰρ οὐδεὶς οὕτως ἐστὶ (59) ιθίνην ἔχων τὴν καρδίαν, ὅς, εἰς πεῖραν ἀφικόμενος οῦ ἀνδρὸς ἐκείνου, εἶτ' ἀκούσας αὐτὸν ἀθρόως ἐξ νθρώπων ἀνηρπασμένον, οὐχὶ, ὡς κοινὴν ζημίαν οῦ βίου, τὴν τοῦ ἀνδρὸς στέρησιν ἐλογίσατο. Ἡμῶν ὲ εὐθὺς τὴν λύπην ἡ ἐπὶ σοὶ φροντὶς διεδέξατο, ογιζομένων, ὅτι, εἰ τοῖς πόῤῥω τῆς οἰκειότητος ὕτω βαρὺ καὶ δύσφορον τὸ συμβὰν, πῶς εἰκὸς ὑπὸ οῦ πάθους τὴν σὴν διατεθῆναι ψυχὴν, οὕτω μὲν ύσει χρηστὴν οὖσαν, καὶ πρὸς τὰς συμπαθείας ὕκολον διὰ τὴν τοῦ τρόπου ἡμερότητα, οὕτω δὲ ποκειμένην τῷ πάθει, ὥστε οἱονεὶ διχοτομίας τινὸς D ἰσθάνεσθαι ἐν τῷ χωρισμῷ τοῦ ὁμόζυγος. Καὶ γὰρ, τῷ ὄντι κατὰ τὸν τοῦ Κυρίου λόγον οὐκέτι εἰσὶ

Quantum ingemuerim, nuntiato optimi hominum Brisonis casu, quid vel dicere attineat? Nam profecto nemo ita corde lapideo, ut virum illum expertus ac deinde audiens ex hominibus subito ereptum esse, non commune humanæ vitæ damnum illius jacturam existimaverit. Mœrorem autem meum sollicitudo de te statim excepit, cum cogitarem, si his qui non sunt affinitate conjuncti, id quod accidit adeo grave et ad perferendum **439** difficile, quomodo verisimile sit animam tuam in hoc casu affici, quæ et natura adeo benigna est et ad commiserationes propensa propter morum lenitatem, et ipsi casui ita subjecta, ut veluti bipartitam quamdam sectio- D nem in conjugis separatione senserit. Etenim si revera, secundum Domini sermonem, jam non sunt duo, sed una caro **, profecto separatio ejus-

** Matth. xix. 6.

(53) *Ἀκαταλλήλου*. Harl. et Med. κατ' ἀλλήλους. Iidem multi codices recentiores δεχομένους. Paulo post editi εἰς τὸν οὐρανόν. Tres vetustissimi codices in textu. Mox Regius uterque, Coisl. secundus et Vaticanus ἐκ πάντων τούτων, sine conjunctione.

(54) *Φύσεως*. Med. κτίσεως. Paulo post idem cum Harl. Διότι ἕνα εἰς τό, etc.

(55) *Ἐπιλιπούσῃ*. Sic iidem tres antiquissimi codices. Editi ἀπολιπούσῃ.

(56) *Παρελθούσης*. Harl. προελθούσης.

(57) *Μεταλαβέτω*. Ita sex mss. Editi μεταβαλλέτω.

(58) *Βρίσωνος*. Reg. secundus et Coisl. secundus Βρίσσωνος. Addunt editi χηρεύουσαν, *viduam*, quæ vox deest in plerisque mss.

(59) *Οὕτως ἐστί*. Sic Harl. et Med. Deest ἐστί in editis. Statim editi αὐτὸς ἀθρόως. Mss. αὐτόν. Subinde Harl. et Med. ἀναρπασθέντα οὐχ ὡς.

* Alias CCCXLVII.

modi non minus habet doloris, quam si media nostri corporis pars discinderetur. Ac tristia quidem ejusmodi, et his majora : sed quæ eorum quæ evenerunt consolatio? Primum quidem, vigens illa ab initio lex Dei nostri, necesse omnino esse, ut quisquis natus fuerit, stato tempore de vita exeat. Si igitur sic res humanæ ab Adam ad nostra usque tempora constitutæ sunt, communes naturæ leges animo iniquo ne feramus, sed Dei erga nos dispensationem amplectamur : qui jussit fortem illam animam ac invictam, non consumpto morbis corpore aut ætate confecto migrare ex sæculo; sed in ipso ætatis flore et in splendore rerum egregie in bello gestarum vitam finire. Quamobrem moleste illud ferre non debemus, quod a tali viro sumus separati; sed Domino gratias agamus, quod talis viri convictu dignati fuerimus, cujus jacturam totum fere imperium Romanum persensit; quem et imperator ipse desideravit, et milites planxerunt, et viri in maximis dignitatibus constituti ut germanum filium defleverunt. Cum igitur tibi suæ ipsius virtutis reliquerit monumentum, satis magnum existima habere te tui doloris solatium. Deinde et illud scire te volo, eum qui non succumbit afflictionibus, sed per spem in Deum doloris pondus tolerat, magnam habere apud Deum patientiæ mercedem. Neque enim nobis itidem ut externis, licet contristari de dormientibus per præceptum Apostoli[49*]. Sint et liberi tui tanquam imagines vivæ, absentiam illius quem desideras demulcentes. Quare educandorum liberorum cura animum tuum a mœrore avocet; et sollicita quomodo reliquum tibi tempus sic transigas, ut placeas Deo, egregia occupatione cogitationes tuas delinies. Nam præparatio ad causam coram Domino nostro Jesu Christo dicendam, ac studium veniendi in numerum eorum qui illum diligunt, idonea sunt quæ mœrori tenebras offundant, ut ab eo minime absorbeamur. Largiatur autem Dominus cordi tuo consolationem ex bono suo Spiritu; ut et nos, audito rerum tuarum statu, recreemur, et omnibus tuis æqualibus exemplum sis præclarum vitæ secundum virtutem institutæ.

A δύο, ἀλλὰ σάρξ μία, δηλονότι οὐχ ἧττόν ἐστιν ἀλγεινὴ ἡ τοιαύτη διάζευξις, ἢ εἰ τὸ ἥμισυ ἡμῶν τοῦ σώματος ἀπεῤῥήγνυτο. Ἀλλὰ τὰ μὲν λυπηρὰ τοιαῦτα, καὶ μείζω τούτων· ἡ δὲ ἐπὶ τοῖς συμβᾶσι παραμυθία τίς; Πρῶτον μὲν, ἡ ἐξ ἀρχῆς κεκρατηκυῖα τοῦ Θεοῦ ἡμῶν νομοθεσία· τὸ χρῆναι πάντως τὸν εἰς γένεσιν παρελθόντα τοῖς καθήκουσι χρόνοις ἀπιέναι τοῦ βίου. Εἰ οὖν οὕτως ἀπὸ Ἀδὰμ μέχρις ἡμῶν τὰ ἀνθρώπινα διατέτακται, μὴ ἀγανακτῶμεν ἐπὶ τοῖς κοινοῖς τῆς φύσεως νόμοις (60), ἀλλὰ καταδεχώμεθα τὴν ἐφ' ἡμῖν τοῦ Θεοῦ οἰκονομίαν, ὃς ἐκέλευσεν ἐκείνην τὴν γενναίαν ψυχὴν καὶ ἀήττητον, μὴ νόσῳ δαπανηθέντος τοῦ σώματος, μηδὲ χρόνῳ καταμαρανθέντος, ἀναχωρῆσαι τοῦ βίου, ἀλλ' ἐν ἀκμῇ τῆς ἡλικίας καὶ ἐν τῇ λαμπρότητι τῶν κατὰ πόλεμον κατορθω-
B μάτων (61) τὴν ζωὴν καταλῦσαι. Ὥστε οὐχ ὅτι ἐχωρίσθημεν ἀνδρὸς τοιούτου, δυσχεραίνειν ὀφείλομεν· ἀλλ' ὅτι τῆς πρὸς τὸν τοιοῦτον ἄνδρα συνοικήσεως κατηξιώθημεν, εὐχαριστήσωμεν τῷ Κυρίῳ, οὗ πᾶσα σχεδὸν ἡ Ῥωμαϊκὴ ἀρχὴ τῆς ζημίας ἐπῄσθητο (62)· ὃν καὶ ὁ βασιλεὺς ἀνεκαλέσατο, καὶ στρατιῶται ὠδύραντο, καὶ οἱ ἐπὶ τῶν μεγίστων ἀξιωμάτων ὡς γνήσιον υἱὸν κατεπένθησαν. Ἐπεὶ οὖν κατέλιπέ σοι τὴν μνήμην τῆς οἰκείας αὐτοῦ (63) ἀρετῆς, ἀρκοῦσαν νόμιζε ἔχειν παραμυθίαν τοῦ πάθους. Ἔπειτα καὶ ἐκεῖνο εἰδέναι σε βούλομαι, ὅτι ὁ μὴ ὑποπεσὼν ταῖς θλίψεσιν, ἀλλὰ διὰ τῆς πρὸς Θεὸν ἐλπίδος τῆς λύπης τὸ βάρος ἀπενεγκὼν, μεγάλην ἔχει παρὰ τῷ Θεῷ τῆς ὑπομονῆς τὴν ἀντίδοσιν. Οὐδὲ γὰρ ἴσα τοῖς ἔξωθεν ἐπιτέτραπται λυπεῖσθαι ἐπὶ τοῖς κεκοιμημένοις παρὰ
C τῆς νομοθεσίας τοῦ Ἀποστόλου. Ἔστωσαν καὶ οἱ παῖδές σου ὥσπερ εἰκόνες ἔμψυχοι, τὴν ἀπουσίαν τοῦ ποθουμένου παραμυθούμενοι. Ὥστε ἡ περὶ τὴν τεκνοτροφίαν ἀσχολία ἀπαγέτω σου τὴν ψυχὴν ἀπὸ τῶν λυπηρῶν· καὶ μεριμνῶσα δὲ περὶ τοῦ πῶς εὐαρέστως τῷ Κυρίῳ τὸν λειπόμενον ἑαυτῆς χρόνον διενέγκῃς, καλὴν ἀσχολίαν ἐπινοήσεις (64) τοῖς λογισμοῖς. Ἡ γὰρ ἑτοιμασία τῆς ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπολογίας, καὶ ἡ σπουδὴ τοῦ εὑρεθῆναι ἡμᾶς ἐναριθμίους τοῖς ἀγαπῶσιν αὐτὸν, ἱκανή ἐστιν ἐπισκοτῆσαι τῇ λύπῃ, ὥστε μὴ καταποθῆναι ἡμᾶς ὑπ' αὐτῆς. Παράσχοι δὲ ὁ Κύριος (65) τῇ καρδίᾳ σου τὴν ἐκ τοῦ Πνεύματος αὐτοῦ παράκλησιν τοῦ ἀγαθοῦ, ἵνα καὶ ἡμεῖς ἀκούσαντες τὰ περὶ σοῦ ἀνεθῶμεν, καὶ πάσαις ταῖς καθ' ἡλικίαν σοι ὁμοτίμοις ὑπόδειγμα ᾖς ἀγαθὸν τοῦ κατ' ἀρετὴν βίου.

440 EPISTOLA CCCIII *.

ΕΠΙΣΤΟΛΗ ΤΓ'.

Rogat ut imposita ob falsas criminationes equarum præstatio dimittatur.

Comiti privatarum.

Illius loci incolæ ex falsa, opinor, calumnia dignitati tuæ persuaserunt, ut istis equarum præsta-

D *Κόμητι πριβατῶν.*

Οἱ τοῦ χωρίου τοῦδε ἐκ διαβολῆς, οἶμαι, ψευδοῦς ἔπεισαν τὴν τιμιότητά σου φοράδων τέλεσμα (66)

[49*] I Thess. iv, 12.

* Alias CCCCXXIII.

(60) *Τῆς φύσεως νόμοις*. Harl. et Med. τῆς φύσεως ἡμῶν παθήμασιν.

(61) *Κατορθωμάτων*. Harl. et Med. ἀνδραγαθημάτων.

(62) *Ἐπῄσθητο*. Reg. secundus, Clarom. et Bigot. ἐπῄσθετο. Mox deest articulus in nonnullis codicibus, conjunctio in aliis nonnullis.

(63) *Οἰκείας αὐτοῦ*. Codex Medicæus οἰκείας ἑαυτοῦ.

(64) *Ἐπινοήσεις*. Reg. secundus. ἐπιθήσεις.

(65) *Ὁ Κύριος*. Restituimus ex sex mss. cum in editis deesset.

(66) *Φοράδων τέλεσμα*. Recte Sculletum castigat Combefisius quod *raptim vectigal* reddiderit. At idem immerito putat ob equarum possessionem tributum aliquod ejusmodi hominibus impositum fuisse. Perspicuum est equas ipsas iis, quibus

…εῖσδε ἐπαγαγεῖν. Ἐπεὶ οὖν καὶ τὸ γινόμενον ἄδικον, καὶ διὰ τοῦτο ἀπαρέσκειν ὀφεῖλον τῇ τιμιότητί σου, καὶ ἡμῖν λυπηρὸν διὰ τὴν πρὸς τοὺς ἠδικημένους ἡμῖν ὑπάρχουσαν οἰκειότητα· ἐσπεύσαμεν παρακαλέσαι τὴν χρηστότητά σου μὴ ἐᾶσαι προβῆναι τοῖς ἀδικεῖν ἐπιχειροῦσι τὴν ἐπήρειαν.

A lionem indiceres. Cum igitur id quod factum est, injustum sit, et idcirco displicere debens dignitati tuæ, et mihi molestum propter necessitudinem mihi cum iis qui læsi sunt intercedentem; rogare festinavi benignitatem tuam, ut ne hominibus nocere volentibus injuriam ex sententia procedere patiaris.

ΕΠΙΣΤΟΛΗ ΤΔ'.

EPISTOLA CCCIV **.

Commendat aliquem de quo antea fuerat locutus.

Ἀβουργίῳ.

Οὗτός ἐστιν ὑπὲρ οὗ καὶ πρότερον διελέχθην σοι διὰ τοῦ διακόνου. Ἐπειδὴ οὖν ἔχων ἦκε τὴν ἐπιστολὴν παρ' ἡμῶν, ἀπέλθοι ἔχων ἃ βούλεται παρὰ σοῦ.

Aburgio.

Hic est ille, de quo mihi tecum etiam antea per diaconum sermo fuit. Cum ergo a me tibi litteras deferat, a te his quæ cupit impetratis discedat

ΕΠΙΣΤΟΛΗ ΤΕ'.

EPISTOLA CCCV**.

Commendat amicis suis hominem bene de illis meritum.

Ἀνεπίγραφος, ἐπὶ ἐναρέτοις ἀνδράσιν.

Ἤδη γνώριμος ὑμῖν ἐστιν ὁ δεῖνα, ὡς αὐτὰ δηλοῖ τὰ διηγήματα τοῦ ἀνδρός. Ἐπὶ πάσης γὰρ ὑμᾶς προφάσεως ἔχει ἡ γλῶσσα αὐτοῦ, ἐν ὀρθοδόξων μνήμῃ, ἐν ἀσκητῶν φιλοξενίᾳ, ἐν πάσῃ ἀρετῇ πρώτους ὑμᾶς ὁ ἀνὴρ ἄγει. Κἂν διδασκάλων τις μνησθῇ, οὐκ ἀνέχεται προθεῖναι ὑμῶν ἑτέρους· ἐὰν ἀγωνιστὰς τῆς εὐσεβείας, καὶ ἱκανοὺς τὸ πιθανὸν τῆς αἱρέσεως διελέγξαι, οὐκ ἂν ἕλοιτο ἕτερον πρὸ ὑμῶν ἀριθμῆσαι, πρὸς πάντα (67) ἄμαχον ὑμῖν καὶ ἀνανταγώνιστον τὴν ἀρετὴν μαρτυρῶν. Καὶ οὐ πολὺς αὐτῷ πόνος πεῖσαι, ταῦτα λέγοντι. Διηγεῖται γὰρ ἀκοαῖς μείζονα ἐπισταμένων ἀνθρώπων, ἢ ὧν ἄν τις φιλοτιμηθείη μεθ' ὑπερβολῆς ἀπαγγέλλειν. Οὗτος τοίνυν ἐπανιὼν πρὸς ὑμᾶς γράμματα ᾔτησεν, οὐχ ἵνα ἑαυτὸν ὑμῖν οἰκειώσῃ δι' ἡμῶν, ἀλλ' ἵνα ἐμὲ εὐεργετήσῃ, τοῦ προσφθέγξασθαι τοῖς ἀγαπητοῖς μου (68) ἀφορμὴν παρασχόμενος· ὃν ἀμείψαιτο ὁ Κύριος τῆς ἀγαθῆς προαιρέσεως. Καὶ ὑμεῖς δὲ αὐτῷ εὐχαῖς καὶ τῇ ἀγαθῇ ὑμῶν περὶ πάντας προαιρέσει τὴν κατὰ δύναμιν χάριν διανείματε (69). Σημαίνετε ἡμῖν καὶ τὰ τῶν Ἐκκλησιῶν ὅπως ἔχει.

B *Sine inscriptione, causa virorum quorumdam virtute clarorum.*

Jam notus vobis ille est, ut ipsius ostendunt narrationes. Nam ad omnem vos occasionem in ore habet : in orthodoxorum recordatione, in ascetis hospitio excipiendis ac in omni virtute primas vobis defert. Si quis de doctoribus mentionem injiciat, non patitur alios vobis anteponi : si de pietatis propugnatoribus et ad confutandas hæreticorum cavillationes idoneis, alium ante vos numerare nolit, testimonium vobis tribuens virtutis, quam nemo vincere et expugnare possit. Nec magnus illi labor hæc dicendo persuadere. Loquitur enim auribus hominum, qui norunt majora, quam quæ quis enarrans exaggerare videatur. Is igitur ad vos C rediens petiit litteras, non ut se mea opera in vestram familiaritatem insinuaret, sed ut beneficium in me conferret, occasionem præbens salutandorum amicorum : cujus remuneretur Dominus bonam voluntatem. Vos autem ei precibus et bona vestra erga omnes voluntate gratias pro viribus persolvite. Significate etiam nobis quo sint loco res Ecclesiarum.

ΕΠΙΣΤΟΛΗ Τς'.

441 EPISTOLA CCCVI***.

Rogat ut civibus Alexandrinis propinqui corpus, Sebastiæ mortui, publico mandato exportandum concedat, et aliquid subsidii ex publico cursu ferri jubeat.

Ἡγεμόνι (70) Σεβαστείας.

Αἰσθάνομαι τῆς τιμιότητός σου ἡδέως τὰς ἐπιστολὰς ἡμῶν προσιεμένης, καὶ τὴν αἰτίαν γνωρίζω. Φιλάγαθος γὰρ ὤν, καὶ πρὸς εὐποιΐας πρόχειρος, ἐπειδή τινα ἑκάστοτε ὕλην παρεχόμεθά σοι ἱκανὴν

Principali Sebastiæ.

Intelligo dignitatem tuam libenter litteras meas D accipere, nec causam ignoro. Amans enim boni cum sis, et ad beneficentiam propensus, quoniam tibi aliquam subinde materiam suppeditamus ido-

…rocinatur Basilius, imperatas fuisse, idque in …multæ magis quam in tributi loco; siquidem eos …omes rei privatæ falsis criminationibus deceptus …damnaverat. Sic etiam Gregorius Naz. epist. 184 …Themesium flectere conatur, qui Valentiniano equorum multam ob aliquod delictum inflixerat. Nec …mirum est in Cappadocia, quæ optimos equos aleret, ejusmodi multas impositas fuisse.

(67) *Πρὸς πάντα.* Ita Med., Coisl. uterque et Reg. secundus. Editi πρὸς πάντας.

(68) *Ἀγαπητοῖς μου.* Reg. secundus et Coisl. secundus ἀγαπητοῖς μοι. Paulo post Coisl. primus, Vat. et Clarom. ἀμείψεται.

(69) *Διανείματε.* Ita Med., Coisl. uterque, Vat. et Reg. secundus. Editi διανείμαντες.

(70) *Ἡγεμόνι.* Vide notas ad epist. 67, ubi eadem voce non ducem aut præsidem, sed principalem seu primum curiæ designari observamus. Neque obstat huic interpretationi precatio Basilii, ut viris illis aliquid subsidii ex cursu publico concedatur. Nam curialium nonnullas fuisse partes in regendo cursu publico observat Gothofredus in tit De cursu publico, pag. 508.

* Alias CCCLVII.

** Alias CCXXXII.

*** Alias CCCCXXIV.

neam, in qua animi tui magnitudinem ostendas, A ad meas epistolas accurris, ut quæ bonorum operum occasiones habeant. Venit igitur et alia occasio, quæ tuæ in omnes benignitatis notis signari potest, simulque virtutum tuarum præconem in medium adducit. Viri enim Alexandria profecti, necessarii officii causa, quodque communi totius naturæ jure mortuis hominibus debetur, indigent patrocinio tuo; adeo ut jubeas, ut ipsis propinqui corpus Sebastiæ, exercitu ibi commorante, mortui, publico mandato exportandum concedatur: deinde et quantum licebit, subsidium ipsis feratur ex publico cursu, sicque inveniant aliquod longæ peregrinationis per tuam magnanimitatem solatium. Hæc autem ad magnam usque transitura B Alexandriam, atque ad illius incolas miram tuæ dignitatis humanitatem perlatura, perspicuum est prudentiæ tuæ, etiamsi ego non dicam. Ego autem et in multis, quæ jam accepi, hoc quoque beneficium numerabo.

δέξασθαί σου τῆς προαιρέσεως τὸ μεγαλοφυές, τρέχεις ἡμῶν ταῖς ἐπιστολαῖς, ὡς ἔργων ἀγαθῶν ὑποθέσεις ἐχούσαις. Ἥκει τοίνυν καὶ ἄλλη ὑπόθεσις δυναμένη δέξασθαι (71) τῆς σῆς περὶ πάντα δεξιότητος τοὺς χαρακτῆρας, ὁμοῦ καὶ κήρυκα τῶν σῶν ἀγαθῶν ἐπαγομένη. Ἄνδρες γὰρ ἀπὸ τῆς Ἀλεξανδρείας κινήσαντες καθηκόντως ἕνεκεν ἀναγκαίου, καὶ κοινῶς πάσῃ τῇ φύσει τῶν ἀνθρώπων τοῖς ἀπιοῦσιν ὀφειλομένου, δέονται τῆς παρὰ σοῦ προστασίας, ὥστε κελεῦσαι αὐτοῖς σῶμα οἰκείου ἀνδρὸς, κατὰ τὴν ἐπιδημίαν τοῦ στρατοπέδου τελευτήσαντος τὸν βίον ἐν τῇ Σεβαστείᾳ, προστάγματι δημοσίῳ συγχωρηθῆναι κινῆσαι· ἔπειτα μέντοι καὶ τὴν δυνατὴν αὐτοῖς παρασχεθῆναι βοήθειαν ἐκ τοῦ δημοσίου δρόμου, ὥστε εὑρέσθαι τινὰ τῆς μακρᾶς πλάνης διὰ τῆς σῆς μεγαλοφυΐας παραμυθίαν. Ταῦτα δὲ ὅτι μέχρι τῆς μεγάλης διαβήσεται Ἀλεξανδρείας, καὶ τοῖς ἐκεῖ διακονήσει (72) τὸ θαῦμα τῆς σῆς τιμιότητος, φανερὸν τῇ συνέσει σου, κἂν ἐγὼ μὴ λέγω. Ἡμεῖς δέ τε πρὸς πολλοῖς οἷς εἰλήφαμεν ἤδη καὶ ταύτην τὴν χάριν ἐναριθμήσομεν.

EPISTOLA CCCVII*.

ΕΠΙΣΤΟΛΗ ΤΖ΄.

Hortatur ut inter duos litigantes judicem se præbeat.

Sine inscriptione.

Repellunt sæpe vel utiles sententias contentiosæ indoles, idque præclarum et utile judicant, non quod aliis omnibus videtur, etiamsi profuturum sit, sed quod ipsis solis placet, etiamsi damnosum. Causa autem, insipientia, morumque perversitas, C non aliorum consiliis attendens, sed solis suis confidens sententiis, ac subeuntibus cogitationibus. Subeunt autem ea quibus gaudent; gaudent autem iis quæ volunt. Qui autem ea quæ vult, judicat utilia, non tutus est justi judex, sed cæcis quos cæci ducunt, consimilis. Hinc et in damna facile incurrit, et utilitatis magistram habet experientiam. Huic nunc vitio obnoxius est qui cum hoc viro contendit. Nam cum oporteret judicium permittere communibus amicis; imo cum a multis sæpe judicatus esset, quibus jus et veritas curæ erant, nunc cucurrit ad judices, et ad tribunalium judicium, mavultque multis amissis pauca lucrari. Data autem a magistratibus judicia ne victoriam quidem sine detrimento ferunt. Sis ergo adjutor, D
442 o charum caput; maxime quidem utrique litiganti (id enim pium est) prohibens ne ad judicem introeant; teque ipsius loco judicem illi præbens. Quod si alteruter non obtemperat, nec sententiæ cedit, fave injuriam patienti; et ei qui justa postulat, patrocinium tuum impende.

Ἀνεπίγραφος.

Διωθοῦνται πολλάκις καὶ τὰς χρηστὰς διανοίας αἱ φιλόνεικοι φύσεις, καὶ κρίνουσι καλὸν καὶ χρήσιμον οὐ τὸ πᾶσι τοῖς ἄλλοις δοκοῦν, κἂν ᾖ λυσιτελές, ἀλλὰ τὸ μόνοις αὐτοῖς ἀρέσκον, κἂν ἐπιζήμιον ᾖ. Τὸ δὲ αἴτιον ἄνοια καὶ σκαιότης τρόπων, οὐ προσέχουσα ταῖς παρ' ἑτέρων συμβουλίαις, μόναις δὲ πιστεύουσα γνώμαις οἰκείαις καὶ τοῖς ὑποπίπτουσι λογισμοῖς. Ὑποπίπτουσι δὲ οἷς χαίρουσι· χαίρουσι δὲ οἷς βούλονται. Ὁ δὲ ἃ βούλεται νομίζων λυσιτελῆ, οὐκ ἔστιν ἀσφαλὴς τοῦ δικαίου κριτὴς, ἀλλ' ἔοικε τυφλοῖς ὑπὸ τυφλῶν ὁδηγουμένοις. Ἐντεῦθεν καὶ προσπταίει ζημίαις εὐκόλως· καὶ τοῦ συμφέροντος διδάσκαλον ἔχει τὴν πεῖραν. Τοῦτο νῦν (73) τὸ πάθος ὑπομένει ὁ τῷ παρόντι συνεζευγμένος ἀνδρί. Δέον γὰρ τὴν κρίσιν ἐπιτρέψαι φίλοις κοινοῖς, μᾶλλον δὲ παρὰ πολλοῖς πολλάκις κριθεὶς, οἷς ἔμελε τοῦ δικαίου καὶ τῆς ἀληθείας, νῦν ἔδραμεν ἐπ' ἄρχοντας καὶ τὴν τῶν δικαστηρίων κρίσιν, καὶ αἱρεῖται, πολλὰ ζημιωθεὶς, ὀλίγα κερδᾶναι. Αἱ δὲ παρὰ ἄρχουσι κρίσεις οὐδὲ τὴν νίκην ἀζήμιον φέρουσι. Γενοῦ (74) δὴ βοηθὸς, ὦ φίλη κεφαλὴ, μάλιστα μὲν ἀμφοτέροις τοῖς κρινομένοις (εὐσεβὲς γὰρ) κωλύων τὴν εἴσοδον τὴν πρὸς τὸν ἄρχοντα, καὶ γινόμενος αὐτοῖς ἀντ' ἐκείνου δικαστής. Εἰ δὲ ἀπειθεῖ θάτερος, καὶ μάχεται ταῖς ψήφοις, σύμπραξον τῷ ἀδικουμένῳ, καὶ πρόσθες τὴν παρὰ σοῦ ῥοπὴν τῷ ζητοῦντι τυχεῖν τῶν δικαίων.

* Alias CCXLVII.

(71) *Δέξασθαι.* Legendum conjicit Combefisius δείξασθαι. Sed minime necessaria emendatio. Probabilior videtur infra ejusdem eruditi viri conjectura, ubi legendum putat καθήκοντος.

(72) *Διακονήσει.* Sic editi et tres codices, quibuscum collata fuit hæc epistola, nempe Med., Coisl. primus et Vaticanus. Sed tamen merito Combefisius legendum docet διακομίσει.

(73) *Τοῦτο νῦν.* Ita Harl. et Med. Edit., Τοῦτο τοίνυν. Titulum huic epistolæ apposuimus, qualem in codice Harlæano et nonnullis aliis reperimus. Editi addunt ἐπὶ ἀποκαλύψει κρυπτῶν, *occultorum manifestationis causa.*

(74) *Γενοῦ.* Ita vetustissimi tres mss. et alii nonnulli. Editi γίνου.

ΕΠΙΣΤΟΛΗ ΤΗ'.

Ἀνεπίγραφος, ἐπὶ προστασίᾳ. A

Καὶ παρούσης τῆς τιμιότητός σου τοῖς ἀδελ-ῖς (75), τῶν ἀπὸ τοῦ χωρίου Καπράλεως ἕνεκεν, λέχθην, καὶ προσήγαγον αὐτοὺς τῇ ἡμερότητί ι, παρακαλέσας σε ἔχοντα πρὸ ὀφθαλμῶν τὴν παρὰ ὶ Κυρίου μισθαποδοσίαν, προΐστασθαι αὐτῶν, ὡς νήτων καὶ καταπονουμένων ἐν ἅπασι. Καὶ νῦν λιν διὰ τοῦ γράμματος τὴν αὐτὴν ἀνανεοῦμαι πα-κλησιν, εὐχόμενος τῷ ἁγίῳ Θεῷ καὶ τὴν ὑπάρ-υσάν σοι περιφάνειαν καὶ λαμπρότητα τοῦ βίου νηρηθῆναι, καὶ ἐπὶ μείζονα ἐλθεῖν, ἵνα ἀπὸ μεί-ιος δυνάμεως πολυτελέστερα ἡμᾶς ἔχῃς εὐεργε-ῖν. Ὅτι γὰρ μία ἡμῖν εὐχὴ (76) ἡ παντὸς τοῦ ιου ὑμῶν σωτηρία, ἡγοῦμαι πεπεῖσθαί σε.

EPISTOLA CCCVIII *.

Pauperes et afflictos Capralis incolas commendat.

Sine inscriptione, patrocinii causa.

Et cum fratres essent coram tua dignitate, eorum causa qui locum Capralem incolunt, tecum collocutus sum, et eos coram tua clementia produxi, obsecrans, ut ante oculos habens promissam a Domino mercedem, protegas eos ut pauperes ac in omnibus afflictos. Et nunc rursus per litteras eamdem renovo precationem, Deum sanctum obsecrans, ut quæ nunc tibi adest claritas ac vitæ splendor conservetur, atque etiam auctior fiat, ut ex majore potestate locupletiora in nos beneficia conferre possis. Hoc enim nobis unum in votis esse, totius vestræ domus incolumitatem, persuasum tibi esse existimo.

ΕΠΙΣΤΟΛΗ ΤΘ'.

Ἀνεπίγραφος, ἐπὶ ἐνδεεῖ. B

Πάνυ κατέγνων τοῦ ἀδελφοῦ τοῦδε φροντίζοντος ὶ τῇ ἀπογραφῇ τοῦ οἴκου· ὅς γε (77) προλαβὼν ν ἀναγκαίαν ἀτέλειαν ἔχει ἀπὸ τῆς πενίας. Ἀπὸ ρ βίου εὐπόρου, οὕτω τοῦ Κυρίου ἐπὶ συμφέροντι ; ψυχῆς αὐτοῦ οἰκονομήσαντος, νῦν εἰς τὴν ἐσχά-ν πενίαν περιετράπη, ὡς μόλις μὲν καὶ τῆς ἐφ' ιέραν (78) τροφῆς εὐπορεῖν, ἀνδραπόδου δὲ μηδὲ ἰς κατάρχειν, ἀπὸ πολλῶν ὧν πρότερον εἶχεν ἐν ἑαυτοῦ δεσποτείᾳ. Τούτῳ τὸ σῶμα περιλέλειπται ὸνον, καὶ τοῦτο ἀσθενὲς καὶ γηραιὸν, ὡς καὶ αὐτὸς ᾷς· καὶ παῖδες τρεῖς, προσθήκη φροντίδων ἀνδρὶ νητι. Ὅτι μὲν οὖν οὐδὲν ἐδεῖτο τῆς ἡμετέρας κεσίας, ἱκανὴν ἔχων τὴν πενίαν δυσωπῆσαι (79) ὶ τὸ φιλάνθρωπον τοῦ τρόπου, ἀκριβῶς ἠπιστάμην. C Ἐπεὶ δὲ δυσάρεστοι οἱ αἰτοῦντες, ἐφοβήθην μήποτε λιμπάνῃ (80) τι τῶν εἰς αὐτὸν ὀφειλομένων, καὶ ἔπεμψα, εἰδὼς, ὅτι ἡ ἡμέρα αὐτῷ, ἐν ᾗ ἂν πρῶ-ν ἴδῃ σου τὴν σεμνότητα, ἀρχὴ εὐθύμου βίου πρὸς ν μετὰ ταῦτα χρόνον γενήσεται, καὶ δώσει τινα λτίονα τῶν πραγμάτων αὐτοῦ (81) μεταβολήν.

EPISTOLA CCCIX **.

Commendat senem ex divite pauperrimum, et tribus liberis oneratum, de domus suæ censu sollicitum.

Sine inscriptione, pro egeno.

Vituperavi prorsus hunc fratrem de domus suæ censu sollicitum, quippe cum in antecessum necessariam immunitatem paupertas ei tribuat. Nam a vita opulenta, ita Domino ad animæ ipsius utilitatem dispensante, nunc in extremam egestatem redactus est, adeo ut quotidianus etiam victus ei vix suppetat, et ex multis mancipiis, quæ prius in sua potestate habuerat, nulli prorsus imperet. Huic corpus solum superest, idque, ut et ipse vides, infirmum et senio confectum, et liberi tres, accessio curarum viro indigenti. Hunc igitur nihil opus habere precatione mea, cum idoneam habeat ad flectendum paupertatem ob morum tuorum humanitatem, certo sciebam. Sed quia difficile est satisfacere petentibus, timui ne cui officio ei debito deessem; atque adeo scripsi, probe sciens diem illum, quo tuam gravitatem primum viderit, initium vitæ deinceps lætioris futurum, et meliorem aliquam illius rerum mutationem allaturum.

ΕΠΙΣΤΟΛΗ ΤΙ'.

Ἀνεπίγραφος, ὑπὲρ συγγενῶν.

Αὐτῷ μοι περισπούδαστον ἦν συντυχεῖν σου τῇ

443 EPISTOLA CCCX ***.

Commendat cognatos suos ac cæteros Ariarathiæ incolas.

Sine inscriptione, pro cognatis.

Mihi ipsi admodum in optatis erat cum tua fa-

(75) *Τοῖς ἀδελφοῖς.* Mutata interpungendi ratione lucem huic loco afferre conatus sum. Sic lim erat in editis, Καὶ παρούσης τῆς τιμιότητός ου, τοῖς ἀδελφοῖς... διελέχθην. Unde interpres, *sermonem habui cum fratribus, eorum, qui Capralis regione orti sunt, gratia*: sed quos hic Basilius fratres ppellat, hi alii esse non possunt, quam selecti cives apralenses ac de rebus patriæ missi. Quare nequaquam his fratribus res Capralenses commendat, sed potius ei ad quem hæc scripta epistola. os enim coram illo antea produxit, ut de rebus apralensium ageret: nunc eosdem cum litteris ittit. Cæterum clarior multo esset tota verborum omplexio, si deessent hæ voces, τοῖς ἀδελφοῖς. Sed retineantur, non puto aliter, ac interpretatus um, accipi debere.

(76) *Ἡμῖν εὐχή.* Coisl. secundus et Reg. secundus ἡμῶν εὐχή.

D (77) *Ὅς γε.* Sic Med., Coisl. primus et Vat. Editi ὅσγε. [Recte.]

(78) *Ἐφ' ἡμέραν.* Reg. secundus et Coisl. secundus ἐφημέρου. Ibidem Vaticanus codex ἀνδραπόδου δὲ μηδενός.

(79) *Δυσωπῆσαι.* Reg. secundus et Coisl. secundus δυσωπῆσαί σε.

(80) *Ἐλλιμπάνῃ.* Coisl. secundus et Reg. secundus ἐλλιμπάνειν.

(81) *Αὐτοῦ.* Ita Coisl. primus et Vat. Editi αὐτῷ.

* Alias CCXXXIII.

** Alias CCXXX.

*** Alias CCXXXVII.

cundia congredi pluribus de causis : primum, ut bonis, quæ tibi insunt, longo intervallo perfruerer; deinde, ut etiam pro Ariarathiæ incolis te precarer : quibus jamdudum gravatis dedit Dominus dignum solatium, probitatis tuæ administrationem illis concedens. Est autem et alia quædam meorum cognatorum possessio, quæ valde gravatur, ac fere caput est inopiæ Ariarathicæ : cui etiam precor, ut benignitas tua, quantum fieri potest, medeatur, quo ab iis qui potiuntur, deinceps ferri possit.

λογιότητι πολλῶν ἕνεκεν· πρῶτον μὲν, ὥστε ἀπολαῦσαι τῶν ἐν σοὶ καλῶν διὰ πολλοῦ τοῦ ἐν τῷ μεταξὺ χρόνου· ἔπειτα δὲ, καὶ περὶ τῶν κατὰ Ἀριαραθίαν ἀνθρώπων παρακαλέσαι σε· οἷς ἐκ παλαιοῦ θλιβομένοις ἔδωκεν ὁ Κύριος ἀξίαν παραμυθίαν, τῆς σῆς ὀρθότητος τὴν ἐπιστασίαν αὐτοῖς (82) χαρισάμενος. Ἔστι δέ τι καὶ ἕτερον τῶν συγγενῶν τῶν ἐμῶν πάνυ βεβαρημένον, καὶ σχεδὸν τὸ κεφάλαιον τῆς Ἀριαραθικῆς ἀπορίας ὑπάρχον· καὶ παρακαλῶ (83) κατὰ τὸ ἐνδεχόμενον ἰατρευθῆναι παρὰ τῆς σῆς χρηστότητος, ὥστε φορητὸν τοῦ λοιποῦ γενέσθαι τοῖς κεκτημένοις.

EPISTOLA CCCXI *. — ΕΠΙΣΤΟΛΗ ΤΙΑ'.

Rogat ut illius domus, qui hanc epistolam ferebat, publicis muneribus gravata sublevetur.

Principali.

Multas me cogunt litteras dignitati tuæ scribere qui asseverationum mearum rationem non habent, sed proprium quiddam ac eximium in suis rebus exquirunt. Jamdudum enim eis testificatus sum, ita te communem fore et æquabilem nobis juris custodem, ut nemo amplius quidquam ad humanitatem requisiturus sit, nisi plus justo avidus fuerit. Sed tamen ut huic homini satisfaceremus, dedimus ei epistolam, commendantes eum tibi, rogantesque ut et libenter ipsum videas, et quia tempore fatiscit illius domus in obeundis muneribus, eam, quantum fas erit, allevare digneris.

Πρωτεύοντι.

Πολλὰς ἡμῖν ποιοῦσι τὰς ἐπιστολὰς πρὸς τὴν σὴν τιμιότητα οἱ ταῖς διαβεβαιώσεσιν ἡμῶν μὴ προσέχοντες, ἀλλ' ἴδιόν τι καὶ ἐξαίρετον ἐν τοῖς ἑαυτῶν ἐπιζητοῦντες. Πάλαι γὰρ ἡμεῖς αὐτοῖς διεμαρτυράμεθα, ὅτι οὕτως ἔσῃ κοινὸς καὶ ἴσος τῶν δικαίων ἡμῖν φύλαξ, ὥστε μηδένα πλέον ἐπιζητῆσαί τι τῶν εἰς φιλανθρωπίαν, ἐὰν μή που ὑπερβάλῃ (84) τῇ ἀπληστίᾳ. Ὅμως δὲ πληροφοροῦντες τόνδε, ἐδώκαμεν αὐτῷ τὴν ἐπιστολὴν, συνιστῶντές σοι τὸν ἄνδρα, καὶ παρακαλοῦντες καλῶς τε αὐτὸν ἰδεῖν, καὶ διὰ τὸ χρόνῳ κεκμηκέναι αὐτοῦ τὸν οἶκον ἐπὶ ταῖς λειτουργίαις, τῆς ἐνδεχομένης αὐτὸν παρακλήσεως ἀξιῶσαι.

EPISTOLA CCCXII **. — ΕΠΙΣΤΟΛΗ ΤΙΒ'.

Commendat aliquem metuentem ne ex novo censu læderetur.

Censitori.

Nosti quæ accedant hominibus ex censibus tum lucra tum detrimenta. Quare huic ignosce in id vehementer incumbenti, ne quid damni accipiat : quinetiam ei ad jus obtinendum pro virili patrocinari in animum inducas.

Κηνσίτορι.

Οἶδας τὰς ἐκ τῶν κήνσων καὶ ὠφελείας καὶ βλάβας, τὰς γινομένας τοῖς ἀνθρώποις. Ὥστε συγγνῶθι τῷδε πολλὴν ποιησαμένῳ σπουδὴν μηδεμίαν ὑπομεῖναι βλάβην, καὶ συνάρασθαι αὐτῷ κατὰ δύναμιν πρὸς τὸ δίκαιον προθυμήθητι.

EPISTOLA CCCXIII ***. — ΕΠΙΣΤΟΛΗ ΤΙΓ'.

Rogat Galatiæ Censitorem, ut de censu domus Sulpicii aliquid remittat.

Censitori.

Non licet eminus providentiam divinam intueri : sed nos homines præ animi imbecillitate quæ ante pedes posita sunt respicimus ; et sæpe dum ad bonum finem deducimur, moleste ferimus, tolerante nostras inscitias eo, qui omnia in sapientia moderatur, Domino. Meministi enim quam moleste tunc 444 tulerimus impositam nobis sollicitudinem : quot advocaverimus amicos, ut illorum opera in-

Κηνσίτορι.

Οὐκ ἔστι πόῤῥωθεν ἰδεῖν τὰς οἰκονομίας τοῦ Θεοῦ· ἀλλ' ὑπὸ μικροψυχίας οἱ ἄνθρωποι πρὸς τὰ ἐν ποσὶν ἀποβλέπομεν· καὶ πολλάκις ἐπὶ ἀγαθὸν πέρας ἀγόμενοι δυσχεραίνομεν, ἀνεχομένου ἡμῶν τῆς ἀμαθίας τοῦ πάντα ἐν τῇ ἑαυτοῦ (85) σοφίᾳ οἰκονομοῦντος Δεσπότου. Μέμνησαι γὰρ δήπου ὅσον ἐδυσχεράναμεν (86) τότε πρὸς τὴν ἐπιτεθεῖσαν ἡμῖν φροντίδα, ὅσους παρελάβομεν τῶν φίλων, εἰς [illegible]

* Alias CCCCXXI.

** Alias CCCCXXVI.

*** Alias CCCLIII.

(82) Αὐτοῖς. Hanc vocem addidimus ex quinque mss. codicibus.

(83) Ὁ καὶ παρακαλῶ. Deest conjunctio in Mediceo, Coisl. secundo et Reg. secundo.

(84) Ὑπερβάλῃ. Coisl. secundus et Reg. secundus ὑπερβάλλῃ.

(85) Τῇ ἑαυτοῦ. Sic tres vetustissimi codices. Editi τῇ αὐτοῦ.

(86) Ἐδυσχεράναμεν. Regius uterque et Coisl. secundus ἐδυσχεραίνομεν. Paulo post editi ὅσ... ζομεν. Sed potior visa Regii primi et Paris. Bigot. scriptura, quam secuti sumus.

ὑτῶν ἀπώσασθαι τὴν ἐπήρειαν. Οὕτω γὰρ ὠνομάζομεν τὸ πρᾶγμα. Ἀλλὰ νῦν ὁρᾷς ὁποῖα τὰ παρόντα. Παρέσχε γάρ σοι ὁ Θεὸς ἀφορμὴν τοῦ τὴν καλοκαγαθίαν τῶν τρόπων εἰς φανερὸν ἀγαγεῖν, καὶ παντὶ τῷ ἑξῆς βίῳ ἀγαθῆς μνήμης ἀφορμὰς ἐναφεῖναι. Ὁποῖαι γὰρ ἂν ὦσιν αἱ ἀποτιμήσεις αὗται, τοιαῦται καὶ αἱ ἐπ' αὐταῖς μνῆμαι παρὰ τῶν ἐπιγινομένων διασώζεσθαι πεφύκασιν (87). Ἐπεὶ δὲ οὐδὲ εὐχομένοις Γαλάταις ὑπῆρξεν ἂν φιλανθρωποτέρου ἤθους ἐπιτυχεῖν, ἀκριβῶς ἐγὼ πέπεισμαι. Ἔχω δὲ οὐ Γαλάτας μακαρίζειν τῆς σῆς ἐπιστασίας μόνον, ἀλλὰ καὶ αὐτὸς ἐμαυτόν (88). Ἔστι γὰρ κἀμοὶ οἶκος ἐν Γαλατίᾳ, καὶ οἴκων γε ὁ λαμπρότατος σὺν Θεῷ, εἰς ὃν εἰ τύχοιμι παρὰ σοῦ τινος βοηθείας (τεύξομαι δὲ ἕως ἂν ἡ φιλία τὴν οἰκείαν ἰσχὺν ἔχῃ), μεγάλην εἴσομαι τῷ Θεῷ τὴν χάριν. Εἰ οὖν τις λόγος παρὰ τῇ σῇ τιμιότητι τῆς ἐμῆς φιλίας, ὁμολογουμένην τινὰ ὠφέλειαν παρασχέσθαι τῷ οἴκῳ τοῦ θαυμασιωτάτου ἄρχοντος Σουλπικίου (89), ἡμῶν ἕνεκεν παρακλήθητι· ὥστε ὠφελεῖν τι τῆς νῦν οὔσης ἀπογραφῆς, μάλιστα μὲν ἀξιόλογον, καὶ τῆς σῆς μεγαλονοίας ἄξιον, προσθήσω δὲ, ὅτι καὶ τῆς ἡμετέρας πρεσβείας (90) τῶν ἀγαπώντων σε· εἰ δὲ μὴ, ἀλλ' ὅσον οἵ τε καιροὶ (91) συγχωροῦσι, καὶ ἡ τῶν πραγμάτων ἐπιδέχεται φύσις· πάντως δὲ ὠφελεῖν, καὶ μὴ ἐᾶσαι ἐπὶ τῆς ταυτότητος· ὥστε ἡμᾶς (92) μυρίων ὧν ἔχομεν παρὰ τοῦ ἀγαθοῦ ἄρχοντος εὐεργεσιῶν μίαν χάριν ταύτην διὰ τῆς σῆς σεμνότητος ἀντεκτίσαι.

A injuriam propulsaremus. Sic enim rem appellabamus Sed nunc vides qualia sint præsentia. Præbuit enim tibi Deus occasionem morum integritatis in lucem proferendæ, totique posteritati argumenta bonæ memoriæ relinquendi. Quales enim descriptiones censuum ipsæ fuerint, talis etiam earum recordatio a posteris conservari solet. Mihi autem Galatas ne optando quidem potuisse ingenium humanius nancisci exploratum et persuasum est. Nec Galatas solum beatos prædicare possum ob tuam administrationem, sed et meipsum. Est enim mihi etiam domus in Galatia; ac domorum quidem Dei dono longe splendidissima, in quam quidem si mihi aliquid præsidii concesseris (concedes autem quamdiu amicitia suo stabit robore), ingentes Deo gratias habiturus sum. B Si qua igitur ratio apud tuam dignitatem amicitiæ meæ, ut ratum quoddam beneficium tribuas domui magistratus maxime admirandi Sulpicii, fac mea causa exoreris: adeo ut de censu præsenti aliquid demas, maxime quidem quod memorabile sit, et tua magnanimitate dignum, addam etiam et nostra qui te diligimus precatione. Sin minus, saltem quantum tempora concedunt, et rerum natura patitur: omnino autem aliquid demas, nec in eodem statu relinquas: ut pro innumerabilibus beneficiis, quæ ab egregio illo magistratu accepimus, hanc unam gratiam tuæ gravitatis opera referamus.

ΕΠΙΣΤΟΛΗ ΤΙΔ'.

EPISTOLA CCCXIV *.

Rogat ut sua causa amorem erga fratrem, qui hanc epistolam ferebat, multiplicet.

Ἀνεπίγραφος, ἐπὶ οἰκέτῃ.

C *Sine inscriptione, pro famulo.*

Καὶ πῶς ἔμελλον ἐγὼ γραμμάτων οἰκείαν ἀφορμὴν παρόψεσθαι, καὶ μὴ προσερεῖν (93) τὴν σὴν τιμιότητα, τοῦδε πρὸς ὑμᾶς ἀφικνουμένου; Ὃς ἐξῆρκει μὲν καὶ ἀφ' ἑαυτοῦ εἰπεῖν τὰ ἡμέτερα, καὶ τὴν τῆς ἐπιστολῆς ἀποπληρῶσαι (94) χρείαν· ἠβουλήθη δὲ καὶ γραμμάτων διάκονος γενέσθαι, διὰ τὸ σφόδρα ἡμᾶς ἀγαπᾷν, καὶ ἐξ ὅλης ψυχῆς προσκεῖσθαι ἡμῖν. Παντὶ (95) τρόπῳ καὶ τὰ ὑμέτερα ῥήματα ἐπικομίζεσθαι βούλεται, καὶ ὑμῖν διακονεῖσθαι. Ἐδώκαμεν οὖν αὐτῷ τὴν ἐπιστολὴν, δι' ἧς πρῶτον μὲν ὑμῖν εὐχόμεθα πάντα τὰ ἀγαθὰ, ἅτε ὁ βίος οὗτος ἔχει, καὶ ὅσα τὸν ἐν ταῖς (96) ἐπαγγελίαις μακαρισμὸν ἀποκείμενα φυλάσσει· ἔπειτα καὶ δεόμεθα τοῦ ἁγίου Θεοῦ οἰκονομηθῆναι δεύτερον ἡμῖν τὴν συντυχίαν ὑμῶν, ἕως

Et quomodo ego domesticam scribendi occasionem negligerem, nec tuam salutarem dignitatem, hoc ad vos proficiscente? Qui quidem et per se posset nostra narrare, litterarumque vicem explere: voluit tamen litteras etiam perferre, eo quod me vehementer diligat, ac mihi ex toto animo affixus sit. Cupit omnino et tuum responsum referre, et tibi suam operam præstare. Itaque ei dedi epistolam, qua tibi primum bona omnia precor, tum quæ hæc vita habet, tum quæ promissam beatitudinem reposita servant: deinde etiam Deum sanctum rogo, ut eo ita dispensante iterum vobiscum congrediamur, dum in terra versamur. Cæterum, quin erga memo-

(87) *Τοιαῦται... πεφύκασιν.* Sic tres vetustissimi codices. Editi τοιαύτη καὶ ἡ ἐπ' αὐτοῖς μνήμη... πέφυκε. Habent etiam ἐπ' αὐταῖς sex alii codices.

(88) *Ἐμαυτόν.* Sic tres vetustissimi codices. Editi ἑαυτόν.

(89) *Σουλπικίου.* Ita Harl. prima manu. Editi Οὐλπικίου.

(90) *Πρεσβείας.* Immorari non soleo in observandis interpretum erratis; sed tamen hoc loco apponam speciem eruditionis Sculteti, ut quisque videat quantum huic homini tribuendum sit. Sic igitur interpretatur: *Quod ille sit ex ordine presbyterorum nostrorum.* Unde Combefisius: *Vapulet tiro qui sic deliret: eritque nobis homo sic inficetus do-* D *ctrinæ Patrum verique eorum sensus arbiter.*

(91) *Καιροί.* Sic novem mss. Editi χρόνοι.

(92) *Ὥστε ἡμᾶς.* Coisl. primus et Med. ὡς ἡμᾶς.

(93) *Μὴ προσερεῖν.* Negatio addita ex Coisl. secundo et Reg. secundo.

(94) *Ἀποπληρῶσαι.* Iidem duo codices cum Med. πληρῶσαι.

(95) *Ἡμῖν. Παντὶ τρόπῳ.* Uterque Coisl. ἡμῖν παντὶ τρόπῳ.

(96) *Ὅσα τὸν ἐν ταῖς*, etc. Reg. secundus et Coisl. secundus ὅσα τῶν ἐν ταῖς ἐπαγγελίαις τὸν μακαρισμὸν ἀποκείμενον φυλάσσει.

* Alias CCXXXI.

ratum fratrem amorem multiplices mea causa, nullus dubito. Quare fac exoreris ut id reipsa experiatur.

A ἐσμὲν ὑπὲρ γῆς. Τὴν δὲ εἰς τὸν προειρημένον ἀδελφὸν ἀγάπην ὅτι πολυπλασιάσεις ἡμῶν ἕνεκεν, οὐκ ἀμφιβάλλω. Ὥστε παρακλήθητι ἔργῳ αὐτῷ παρασχέσθαι τὴν πεῖραν.

445 EPISTOLA CCCXV *.

ΕΠΙΣΤΟΛΗ ΤΙΕ'.

Commendat viduam sibi propinquam ejusque pupillos.

Sine inscriptione, pro propinqua.

Cum omnino persuasum habeam impetraturum me quidquid juste a tua dignitate petivero, libenter epistolam dedi ornatissimæ huic pupillorum curatrici, quæ ædes incolit hydra quadam multorum capitum acerbiores. Quibus omnibus accedit, ut sanguine inter nos conjuncti simus. Quapropter nobilitatem tuam rogo, ut et mihi aliquid tribuens et honorem pupillorum avo debitum conservans, aliquid feras auxilii : quo deinceps fiat illis hæc possessio tolerabilis.

Ἀνεπίγραφος, ὑπὲρ συγγενοῦς.

Πάνυ πεπεισμένος μηδὲν διαμαρτήσεσθαι περὶ ὧν ἂν μετὰ τοῦ δικαίου παρακαλέσω τὴν τιμιότητά σου, προθύμως ἦλθον ἐπὶ τὸ δοῦναι τὴν ἐπιστολὴν τῇ κοσμιωτάτῃ τῇδε ὀρφανῶν προεστώσῃ, καὶ οἰκίαν οἰκούσῃ ὕδρας τινὸς πολυκεφάλου χαλεπωτέραν. Ἐπὶ πᾶσι δὲ τούτοις ὑπάρχει ἡμῖν τὸ καὶ οἰκείως ἔχειν ἀλλήλοις κατὰ γένος. Διὸ παρακαλοῦμέν σου τὴν εὐγένειαν, καὶ ἡμᾶς τιμῶντα, καὶ τῷ πάππῳ τῶν B ὀρφανῶν τὴν ὀφειλομένην ἀποσώζοντα τιμὴν, παρασχέσθαι τινὰ βοήθειαν· ὥστε φορητὴν τοῦ λοιποῦ τὴν κτῆσιν αὐτοῖς καταστῆσαι.

EPISTOLA CCCXVI **.

ΕΠΙΣΤΟΛΗ ΤΙϚ'.

Commendat hominem patrocinio ad ea, quæ sibi proponebat, indigentem.

Sine inscriptione, pro divexato.

Quanquam omnino persuasum habeo litteris non indigere qui tuam clementiam adeunt, propterea quod ex animi probitate plura facis, quam quis obsecrans ad bonum adhortetur ; quia tamen hujusce filii cura majorem in modum tangor, adductus sum ut ad puram tuam et doli expertem animam scriberem, commendans tibi hominem ac rogans, ut quibus rebus poteris præstes, ei ad ea, quæ sibi proponit, tuum pro viribus auxilium. Nullum autem alium ei opus fore patronum, si digneris totam potestatem quam tibi Dominus largitus est, ad illius patrocinium impendere, mihi omnino persuasum est.

Ἀνεπίγραφος, ὑπὲρ καταπονουμένου (97).

Πάνυ πεπεισμένος μηδὲν δεῖσθαι γραμμάτων τοὺς πρὸς τὴν σὴν χρηστότητα ἀφικομένους, διὰ τὸ πλεῖον ποιεῖν ἐκ τῆς τοῦ τρόπου καλοκαγαθίας ἢ ὅσον ἄν τις παρακαλέσας προτρέψαιτό σε πρὸς τὸ ἀγαθὸν, ὅμως, διὰ τὸ καθ' ὑπερβολὴν φροντίζειν τοῦ υἱοῦ τοῦδε, ἐπιστεῖλαι τῇ καθαρᾷ σου καὶ ἀδόλῳ ψυχῇ προήχθην, συνιστῶν σοι τὸν ἄνδρα, καὶ παρα- C καλῶν, ἐν οἷς ἂν ᾖ δυνατὸν, παρασχέσθαι αὐτῷ εἰς τὰ προκείμενα τὴν κατὰ δύναμίν σοι ἐπικουρίαν. Ὅτι δὲ οὐδενὸς ἑτέρου δεηθήσεται προστάτου, τοῦ καταξιώσαντος πάσῃ δυνάμει ἣν ἔδωκέ σοι ὁ Κύριος, χρήσασθαι εἰς τὴν ὑπὲρ αὐτῷ προστασίαν, ἀκριβῶς ἐπίσταμαι.

EPISTOLA CCCXVII ***.

ΕΠΙΣΤΟΛΗ ΤΙΖ'.

Amici occupationibus tribuit, quod raro litteris suis respondeat. Rogat ut is qui epistolam ferebat, non frustra se pertulisse sentiat.

Sine inscriptione, pro egeno.

Raras mihi ad tuam dignitatem efficiunt litteras rara a te responsa. Indicium enim facio, cur molestiam meas litteras afferre dignitati tuæ putem, quod non accipiam his quæ subinde scribo responsiones. Sed rursus ad aliam traducit cogitationem consideratio multitudinis negotiorum tuorum ; ac tot et tanta in manibus habenti ignosco, si mei obliviscaris : cujus ne si summum quidem esset otium et quies, ob vilem et abjectam vitam facile esset recordari. Te quidem sanctus ille et ad majorem splendorem perducat, et te sua ipsius gratia in præsenti claritate conservet. Mihi autem quælibet occasiones, novæ sunt scribendi

Ἀνεπίγραφος, ὑπὲρ ἐνδεοῦς.

Σπανίας ἡμῖν τὰς πρὸς τὴν σὴν τιμιότητα κατασκευάζει ἐπιστολὰς τὸ σπάνιον τῶν αὐτόθι (98) ἀποκρίσεων. Δεῖγμα γὰρ ποιούμεθα τοῦ ὄχλον ἡμῶν D τὸ γράμμα φέρειν τῇ τιμιότητί σου, τὸ μὴ δέχεσθαι ἐφ' οἷς ἂν ἑκάστοτε γράφομεν (99) τὰς ἀποκρίσεις. Πάλιν δὲ εἰς ἑτέραν μεθίστησι διάνοιαν ἡ ἔννοια τοῦ πλήθους τῶν περὶ σὲ πραγμάτων, καὶ συγγνώμην ἔχομεν τῷ τοσαῦτα διὰ χειρὸς ἔχοντι ἐπιλανθανομένῳ ἡμῶν, ὧν οὐδὲ εἰ πᾶσα ἦν σχολὴ καὶ ἡσυχία, διὰ τὸ ταπεινὸν τοῦ βίου μεμνῆσθαι ῥᾴδιον. Σὲ μὲν οὖν ὁ ἅγιος (1) καὶ ἐπὶ μείζονα τῆς περιφανείας ἀγάγοι, καὶ τῇ παρούσῃ λαμπρότητι συντηρήσαι τῇ ἑαυτοῦ χάριτι· ἡμεῖς δὲ πᾶσαν πρόφασιν ἀμειβό-

* Alias CCXVIII.

** Alias CCXIX.

*** Alias CCXXII.

(97) *Ὑπὲρ καταπονουμένου*. Ita Med. et duo alii. Editi et Coisl. primus, ὑπὲρ καταποιουμένων.

(98) *Αὐτόθι.* Coisl. secundus et Reg. secundus αὐτόθεν.

(99) *Γράφομεν*. Iidem duo codices cum Med. γράφωμεν.

(1) *Ἅγιος*. Vaticanus et Claromontanus addunt Θεός.

μεθα γράμμασιν, οὐχ ἥκιστα δὲ τὴν παροῦσαν διὰ τόνδε, ὃν καὶ παρακατατιθέμεθά σοι, καὶ ἀξιοῦμεν λαβεῖν τινα αὐτὸν τῆς τῶν γραμμάτων ἡμῶν (2) διακονίας αἴσθησιν.

A vices; ista inprimis, propter hunc hominem, quem tibi commendo ac rogo, ut se meas ad te litteras non frustra pertulisse sentiat.

ΕΠΙΣΤΟΛΗ ΤΙΗ'

446 EPISTOLA CCCXVIII *.

Rogat ut epistolam ferenti et sua et patriæ prosit commendatio.

Βασιλείου, ἀνεπίγραφος, ὑπὲρ πατριώτου.

Τοὺς ἐκ τῆς πατρίδος ἡμῶν ἀφικομένους συνίστησί σοι αὐτὸ τῆς πατρίδος δίκαιον· εἰ καὶ ὅτι τῇ τοῦ τρόπου χρηστότητι πάντας ὑπὸ τὴν ἑαυτοῦ ἄγεις πρόνοιαν, τοὺς ὁπωσοῦν δεομένους τινὸς ἀντιλήψεως. Καὶ τὸν ἐγχειρίζοντα τοίνυν τὴν ἐπιστολὴν τῇ κοσμιότητί σου, τὸν υἱὸν τοῦδε, δέξαι, καὶ ὡς πατριώτην, καὶ ὡς δεόμενον ἀντιλήψεως, καὶ ὡς παρ' ἡμῶν συνιστάμενόν σοι· καὶ ἐκ πάντων τούτων ἓν αὐτῷ ὑπαρξάτω, τυχεῖν τῆς ἐνδεχομένης παρὰ σοῦ βοηθείας εἰς τὰ προκείμενα. Δῆλον δὲ, ὅτι ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις αἱ ἀνταποδόσεις, οὐ παρ' ἡμῶν τῶν μικρῶν, ἀλλὰ παρὰ τοῦ Κυρίου, τοῦ τὰς ἀγαθὰς προαιρέσεις ἀμειβομένου.

Basilii, carens titulo, pro conterraneo.

Eos qui e patria nostra adveniunt, ipsum tibi commendat patriæ jus: tametsi morum benignitate cunctos qui quomodocunque tuo auxilio indigent, sub tuam adducis providentiam. Hunc itaque qui epistolam comitati tuæ traditurus est, filium illius suscipe, et tanquam popularem, et tanquam opis indigum, denique tanquam per nos tibi commen- B datum; atque iis ex omnibus unum quoddam illi contingat, ut scilicet auxilium a te quantum fieri poterit consequatur in negotiis suis. Liquet autem bonis operibus paratam esse remunerationem, non per nos quidem pusillos homines, sed per Dominum, qui præclaris institutis mercedem rependit.

ΕΠΙΣΤΟΛΗ ΤΙΘ'.

EPISTOLA CCCXIX **.

Commendat hospitem omni subsidio in terra extranea egentem.

Ὁμοίως ὑπὲρ ξένου.

Κατὰ πόδας τῆς ἀναχωρήσεώς σου ἐπέστη ἡμῖν ὁ υἱὸς οὗτος ὁ τὴν ἐπιστολήν σοι ταύτην ἀποδιδοὺς, χρείαν ἔχων, ὡς ἀνὴρ ἐν ἀλλοδαπῇ διάγων, πάσης τῆς παρὰ τῶν Χριστιανῶν ὀφειλομένης τοῖς ξένοις παραμυθίας. Τὸ μὲν οὖν πρᾶγμα οὗτός σοι ἐναργέστερον διηγήσεται· τὴν δὲ βοήθειαν αὐτὸς παρέξεις, τήν σοι κατὰ δύναμιν, καὶ ἀναγκαίαν τοῖς προκειμένοις. Ἐὰν μὲν οὖν παρῇ ὁ ἡγεμὼν, αὐτὸς ξεναγήσεις πρὸς αὐτὸν δηλονότι. Ἐπεὶ διὰ τῶν πολιτευομένων παρέξεις αὐτῷ τὰ σπουδαζόμενα. Οὐ γὰρ μικρῶς μοι μέλει τὸ πάντα αὐτὸν κατὰ γνώμην πράξαντα ἐπανελθεῖν.

Similiter pro hospite.

E vestigio recessus tui accessit ad me filius iste, qui hanc epistolam tibi porrigit: is velut homo in terra extranea degens, omni eget sub- C sidio, quod hospitibus debetur per Christianos. Et negotium quidem ipse tibi clarius enarrabit: tu vero auxilium præbebis pro viribus, atque necessarium rebus præsentibus. Si itaque aderit præses, ipse videlicet ad eum duces hospitem. Alioqui, per eos qui rempublicam gerunt conficies ei quæ expetit. Non enim mediocriter mihi curæ est, ut peractis ex animi sententia omnibus revertatur.

ΕΠΙΣΤΟΛΗ ΤΚ'.

EPISTOLA CCCXX ***.

Testatur eum qui ad negotia procuranda missus fuerat, etsi re infecta redit, non tamen pigritiæ accusandum. Scire avet quo loco sint res ecclesiasticæ.

Ἀνεπίγραφος, ἐπὶ προσηγορίᾳ.

Διὰ μακροῦ ἡμῖν ὑπῆρξε προσειπεῖν τὴν τιμιότητά σου, τῷ τὸν ἀνακομίζοντα τὰς ἀποκρίσεις πολὺν χρόνον ἐνδιατρίψαι τῇ ἡμετέρᾳ, καὶ ἀνδράσι καὶ πράγμασι δυσχερεστέροις (3) περιπεσεῖν. Ἐνιαυτὸν γὰρ ὅλον ἀπεξενώθη τῆς ἐνεγκούσης. Ἀπάταις ἀνθρώπων καὶ διαλύσεσιν ὑπαχθεὶς, εἰ τῆς παρούσης αὐτῷ κακουργίας κρατήσειε, τοῦ παντὸς περιέσεσθαι, ὀψὲ τοῦ κεφαλαίου τῆς ζημίας ἐπῄσθετο, ἐν τῇ κατὰ μικρὸν ἀπάτῃ τῆς αἰσθήσεως κλεπτομένης. Ἐπεὶ οὖν ἐπάνεισι, τῶν τε τοῦ ἀέρος ὀχλη-

Sine inscriptione, salutandi gratia.

D Longo intervallo nobis contigit tuam dignitatem salutare; eo quod qui responsa refert, diu in nostra regione commoratus sit, ac tum in viros morosissimos, tum in negotia difficillima inciderit. Nam annum totum abfuit patria. Is hominum dolis et transactionibus in eam spem inductus se, si præsentem nequitiam superaret, rei totius summam obtenturum, sero damni caput persensit: cum fraus paulatim progrediens sensum prætersugisset. Cum igitur redeat et ab aeris molestiis

(2) Ἡμῶν. Coisl. primus ἡμῖν. Paulo ante legit Combefisius πρὸς πᾶσαν πρόφασιν. Sed minus intellexit illud ἀμειβόμεθα, cujus hæc videtur esse sententia: Quot occasiones occurrunt, totidem scribendi vices usurpo.
(3) Δυσχερεστέροις. Sic uterque Coisl., Med. et Reg. secundus. Editi δυσχερεστάτοις. Statim editi ἀπάταις γάρ, sed vocula deest in mss. quatuor. Plures autem non habuimus in hanc epistolam.

* Ex Cotelerii *Monum. Ec. Gr.* t. II, p. 94.
** Ibid., p. 95.
*** Alias CCXXI.

et ab hominum nequitia liberatus : salutamus te per illum, rogantes ut nostri memineris in precibus (nam precum auxilio valde indigemus), simul etiam certiorem te facio, quos beatus episcopus debito solvendo obnoxios reliquerat (siquidem in suo testamento et debiti fecit mentionem, et unde et a quibus illud **447** solvi oporteret), eos amicis admonitionibus spretis necessitatem tribunalium exspectare. Quare sodalis noster re infecta rediit, atque hæc ipsa rogavit ut de eo testaremur, ne segnitiei aut pigritiæ apud tuam dignitatem incusaretur. De his hactenus. Cæterum quo in statu sint res Ecclesiarum, utrum concedatur ut in eodem statu permaneant, an in pejus vergant, aut spem aliquam habeant futuræ in melius mutationis, per aliquem e charis fratribus certiorem me facere digneris.

A ρῶν καὶ τῆς τῶν ἀνδρῶν μοχθηρίας ἀπαλλαγείς, ἀσπαζόμεθά σε δι' αὐτοῦ, παρακαλοῦντες μεμνῆσθαι ἡμῶν ἐπὶ τῶν προσευχῶν (πολλῆς γὰρ τῆς ἐκ τῶν εὐχῶν βοηθείας δεόμεθα), καὶ ἅμα σημαίνομεν, ὅτι οἱ ὑπεύθυνοι καταλειφθέντες πρὸς τὴν τοῦ ὀφλήματος ἔκτισιν παρὰ τοῦ μακαρίου ἐπισκόπου, ἐπιμνησθέντος ἐν ταῖς διαθήκαις αὐτοῦ τε τοῦ χρέους, καὶ ὅθεν προσῆκεν ἐκτισθῆναι (4), καὶ διὰ τίνων, ὑπεριδόντες τῶν φιλικῶν ὑπομνήσεων, τὰς ἐκ τῶν δικαστηρίων ἀνάγκας ἐκδέχονται. Διὸ ἄπρακτος ἐπανῆλθεν ὁ ἑταῖρος ἡμῶν, καὶ ταῦτα αὐτὰ ἠξίωσεν αὐτὸν (5) παρ' ἡμῶν μαρτυρηθῆναι, ὡς μὴ ἀργίας μηδὲ ῥᾳθυμίας ἔγκλημα σχεῖν παρὰ τῇ τιμιότητί σου. Ταῦτα μὲν εἰς τοσοῦτον. Τὰ δὲ τῶν Ἐκκλησιῶν ὅπως ἔχει, εἴτε συγκεχώρηται μένειν ἐπὶ τῆς B ὁμοιότητος, εἴτε καὶ πρὸς τὸ χεῖρον ἐκπέπτωκεν, ἢ τίνα (6) ἐλπίδα τῆς ἐπὶ τὸ βέλτιον ἔχει μεταβολῆς, γνωρίσαι ἡμῖν διά τινος τῶν γνησίων ἀδελφῶν καταξίωσον

EPISTOLA CCCXXI *.

ΕΠΙΣΤΟΛΗ ΤΚΑ'.

Auctor hujus epistolæ, quem Gregorium Nazianzenum esse non obscure perspicitur, non sine solito lepore Theclam rogat, ut his qui ecclesiæ conseptum exstruebant, vinum suppeditet, propterea quod vehemens anni præteriti frigus vites succiderat.

Theclæ.

Præterito anno, etc.

Θέκλῃ.

Τὸ παριππεῦσαν ἔτος, κ. τ. λ.

Vide inter S. Gregorii Nazianzeni epistolas, epist. 57.

EPISTOLA CCCXXII **.

ΕΠΙΣΤΟΛΗ ΤΚΒ'.

Rationem reddit cur sero respondeat : rogat ut post longam hiemis absentiam saltem ad Paschæ diem cum conjuge redeat.

Sine inscriptione, ut cum amico Pascha celebret.

Acceptis tuæ dignitatis litteris, gavisus sum, ut par erat, et Domino gratias egi, atque paratus eram respondere, si quis opportune de rescribendo submonuisset. Nam negotium illud, de quo mihi mandaveras, temporis progressu absolutum est. Non erat **448** autem, antequam conficeretur, tutum quidquam respondere. Hæc mei silentii fuit causa : non enim segnities, neque officii ignoratio. Etiamsi enim omnino piger essem, tamen vitia mea coram tua dignitate occultare omni modo studuissem. Nunc vero non possum ego tui oblivisci, ne brevissimo quidem temporis spatio : aut certe quispiam se ipse potius ignoret : sed sive scribam, sive non, infixum te meo cordi circumfero : et longam illam hiemis absentiam ita moleste fero, ut precer, si integrum tibi ipsi non est ob eas, de quibus audivi, occupationes, rusticos relinquere, mihi occasionem dari ad loca illa veniendi, ac vera illa tuorum morum integritate ac ornamentis tuis perfruendi. Omnino autem salutarem Paschæ diem nobiscum conaberis transigere, una cum

C *Ἀνεπίγραφος, ἐπὶ φίλῳ συμπασχάσαι.*

Δεξάμενος τὰ γράμματα τῆς σῆς τιμιότητος ἥσθην, ὡς εἰκὸς, καὶ εὐχαρίστησα τῷ Κυρίῳ, καὶ προθύμως εἶχον ἀντιφθέγξασθαι, ἐάν τις κατὰ καιρὸν περὶ ἀντιγράφων ὑπέμνησε. Τὸ γὰρ πρᾶγμα ὑπὲρ οὗ (7) ἐπέταξας ἡμῖν, χρόνῳ ἐλάμβανε τὴν κατάστασιν. Οὐκ ἐνῆν δὲ πρὸ τοῦ πέρατος ἀσφαλῶς οὐδὲν ἀποκρίνασθαι. Αὕτη ἡ αἰτία τῆς σιωπῆς ἡμῶν· οὐ γὰρ δὴ ῥᾳθυμία, οὐδὲ ἄγνοια τοῦ προσήκοντος. Εἰ γὰρ καὶ ὅλως ἦμεν (8) ῥᾴθυμοι, ἐσπουδάσαμεν πάντως ἐπὶ τῆς σῆς τιμιότητος συσκιάσαι ἡμῶν τὰ ἐλαττώματα. Νῦν δὲ οὐκ ἔστιν ἡμῶν ἐπιλαθέσθαι σου οὐδὲ τὸ βραχύτατον (ἢ πρότερον ἄν τις ἑαυτὸν ἀγνοήσειεν)· ἀλλὰ κἂν ἐπιστέλλωμεν, κἂν μὴ, ἐνιδρυμένον σε ταῖς καρδίαις ἑαυτῶν περιφέρομεν, καὶ D πρὸς τὴν μακρὰν ἀπόλειψιν τοῦ χειμῶνος οὕτω δυσκόλως ἔχομεν, ὥστε εὔχεσθαι, εἰ μὴ αὐτῷ σοι (9) δυνατὸν, διὰ τὰς ἀκουομένας ἀσχολίας, καταλιπεῖν τοὺς ἀγροίκους, ἡμῖν ἐγγενέσθαι πρόφασιν ἐπιστῆναι τοῖς τόποις, καὶ τῆς ἀληθινῆς εὐσταθείας τῶν σῶν τρόπων καὶ τῆς κοσμιότητος ἀπολαῦσαι. Πάντως δὲ τὴν σωτήριον ἡμέραν τοῦ Πάσχα μεθ' ἡμῶν ποιῆσαι προθυμηθήσῃ, μετὰ τῆς κοσμιωτάτης συμβίου σου,

* Alias CCXII.

** Alias CCXXIII.

(4) *Ἐκτισθῆναι.* Duo codices ἐκτίσθαι. Paulo post male in editis ἕτερος. Mss. ἑταῖρος.

(5) *Αὐτόν.* Non male deest in codice Vaticano.

(6) *Ἢ τίνα.* Duo codices εἴτε τίνα. Ibidem editi γνωρίσαις. Quatuor mss. ut in textu.

(7) *Ὑπὲρ οὗ.* Duo mss., περὶ οὗ. Paulo post editio Paris., οὐκ εἴην δέ. Mss. ut in textu. Subinde quatuor codices, σιωπῆς ἡμῶν. Editi σιωπῆς ἡμῖν.

(8) *Ἦμεν.* Deest ea vox in Med. et Coisl. primo. Duo codices, εἰ γὰρ καὶ ἄλλως ἐσμέν.

(9) *Εἰ μὴ αὐτῷ σοι.* Sanum locum Combefisius corrumpit, dum emendare cupit. Legendum putat εἰ μὲν αὐτῷ σοι, repugnantibus codicibus mss. ac ipsa etiam sententia.

ν καὶ προσαγορεύομεν διὰ σοῦ, καὶ παρακαλοῦμεν συμπρᾶξαι ἡμῖν εἰς τὸ ἐπεῖξαί σε πρὸς ἡμᾶς.

A ornatissima tua conjuge : quam per te saluto et rogo, ut tradita mihi opera tuam ad nos profectionem urgeat.

ΕΠΙΣΤΟΛΗ ΤΚΓ'.

EPISTOLA CCCXXIII*.

Gratias agit Deo, quod Philagrii servorum fuga ipsius litteras sibi conciliaverit : hortatur ut sæpe ad se scribat de domesticis et ecclesiasticis rebus, ac operam suam Ecclesiarum pacificationi impendat. Cæterum sibi epistolam sero redditam a Cyriaco; sed tamen diligentiam suam non defuisse.

Φιλαγρίῳ Ἀρκήνῳ (10).

Χάρις τῷ ἁγίῳ Θεῷ· οὐ γὰρ ἂν εἴποιμι χάριν ἔχειν τοῖς ἠδικηκόσι σε, ὅτι μοι γεγόνασι γραμμάτων ὑπόθεσις. Ἀλλ' ὁ πανταχόθεν εὐεργετῶν ἡμᾶς Κύριος οἶδε καὶ διὰ τῶν λυπηρῶν πληροῦν πολλάκις τὰς παρακλήσεις. Ὅθεν καὶ ἡμῖν τὴν εἰκαιότητα (11) τῶν ἀποδράντων σε (12), εὐφροσύνης ἐποίησεν ἀφορμήν. Ἀλλὰ γράφοις ἡμῖν διὰ πάσης προφάσεως· τοιαῦτα γράφων, οὕτω μὲν ἀπὸ χρηστῆς γνώμης, B οὕτω δὲ ἀπὸ γλώττης κεκαθαρμένης. Καὶ γὰρ εἰ μή φαμεν προσποιεῖσθαι τὸ ἐν τῇ λέξει τερπνὸν, ἀλλ' οὖν φυσικῶς πως καταχηλούμεθα παρ' αὐτοῦ, καὶ ἄγετε ἡμᾶς, οἱ τὸν λόγον χαρίεντες, ὥσπερ οἱ τὰς μελίσσας διὰ τῶν κρουμάτων (13). Πολλάς γε οὖν πέμπε τὰς ἐπιστολὰς, καὶ μακρὰς ὡς ἔνι μάλιστα· οὐ γὰρ δὴ ἀρετὴ ἐπιστολῆς ἡ βραχύτης, οὐ μᾶλλόν γε ἢ ἀνθρώπου. Γράφε δὲ ἡμῖν τά τε κατὰ τὸν οἶκον, ὅπως διάκειται, καὶ αὐτό σοι τὸ σῶμα ὅπως ὑγείας ἔχει· καὶ, εἰ τὰ τῶν Ἐκκλησιῶν ἡσυχάζει· μέλει γάρ σοι καὶ τούτων καλῶς ποιοῦντι. Καὶ μέντοι καὶ εἴ τις δύναμις συμπονεῖν τῇ εἰρήνῃ καὶ τῇ ἑνώσει τῶν διεστηκότων, μὴ παραιτοῦ. Ὁ δὲ χρηστὸς Κυριακὸς ἥψατο πρότερον τῆς σπουδῆς, καὶ τότε ἡμῖν ἀπέδωκε τὴν ἐπιστολήν· ἐπὶ δὲ (14) τὰ λείψανα τοῦ C πράγματος ἔσχε συναιρομένους, τὰ ἡμῖν δυνατά. Ἐπεστείλαμεν γὰρ τῷ χωρεπισκόπῳ τῶν τόπων· ὃς ἐὰν ποιήσῃ τι τῶν προστεταγμένων, αὐτὰ γνωρίσει τὰ πράγματα.

Philagrio Arceno.

Gratiæ Deo sancto ; non enim dixerim me gratiam habere his qui te læserunt, quod mihi litterarum occasio exstiterint. Sed qui nos undecunque beneficiis afficit Dominus, novit per ipsas etiam molestias implere sæpe consolationes. Unde et mihi levitatem eorum qui a te aufugerunt, gaudii occasionem effecit. Verum, qualibet oblata occasione, ad me scribe, cum scribas talia, ex voluntate adeo bona, et lingua adeo pura. Quanquam enim orationis suavitatem sectari me non affirmo, tamen natura duce per illam demulceor; et vos quorum oratio suavis est ac jucunda, me perinde ducitis, ac apes tinnitibus ducuntur. Multas igitur mitte epistolas, et quam poteris longissimas; non enim virtus epistolæ brevitas, non sane magis quam hominis. Scribe autem nobis et de rebus tuis domesticis, quo sint loco ; et corpus tuum ut valeat, et utrum res Ecclesiarum tranquillæ sint. Nam et hæc tibi curæ sunt, nec immerito. Imo etiamsi qua facultas de pace et dissidentium conjunctione allaborandi, ne refugias. Cæterum bonus ille Cyriacus prius diligentia usus est, et tunc mihi reddidit epistolam : deinde ad id quod supererat negotii adjutores nos habuit pro nostris viribus. Scripsimus enim ad locorum chorepiscopum : qui quidem utrum aliquid ex iis, quæ in mandatis habet perfecturus sit, res ipsa demonstratura est.

ΕΠΙΣΤΟΛΗ ΤΚΔ'.

449 EPISTOLA CCCXXIV**.

Hortatur ut sibi caveat a Patricio homine vaferrimo.

Πασινίκῳ (15) *ἰατρῷ.*

Δεῖγμα (16) τοῦ μὴ παρέργως σε ἔχειν περὶ ἡμᾶς, τὸ εὐθὺς ἀπ' αὐτῶν, ὡς εἰπεῖν, τῶν θυρῶν τῆς εἰσόδου (17) προσφθέγγεσθαι ἡμᾶς. Ἔστι μὲν οὖν καὶ D αὐτὸ σπουδῆς ἄξιον, τὸ ἐντυχεῖν γράμμασι φιλικοῖς· ἐὰν δὲ καὶ τὴν ἐπὶ τοῖς μεγίστοις χρείαν ἀνύῃ τὰ

Pasinico medico.

Argumento est me a te non negligi, quod statim ab ipsis judicii, ut ita dicam, januis me salutasti. Atque illud quidem optabile est, litteras amicas accipere : sed si quæ scribuntur, in rebus maximis usui sint, certe in pretio longe

(10) *Φιλαγρίῳ Ἀρκήνῳ*. Sic tres vetustissimi codices, itidem ut editi. Reg. secundus et Coisl. secundus, Φιλαγρίῳ Ἀρχίνῳ. Reg. primus, Φιλαγρίῳ, tantum. Duo iidem mss. initio epistolæ, ὑποθέσεις.

(11) *Εἰκαιότητα*. Sic uterque Coisl. cum Regio primo et Paris. Huic scripturæ favet etiam Vaticanus, qui habet, ἐκκαιότητα. Harl. et Reg. primus cum editis, σκαιότητα.

(12) *Ἀποδράντων σε*. Sic Harl., Coisl. primus, Reg. primus et Vat. Editi, ἀποδρασάντων σε. Clarom., ἀποδράντων σου.

(13) *Κρουμάτων*. Ita tres vetustissimi codices mss. et alii duo. Editi, κρουσμάτων.

(14) *Ἐπὶ δέ*. Sic mss. Editi, ἐπεὶ δέ.

(15) *Πασινίκῳ*. Clarom., Παιωνίκῳ.

(16) *Δεῖγμα*. Editi addunt, μέγιστον, sed deest illa vox in sex codicibus. Ibidem Coisl. primus, ἔχειν πρὸς ἡμᾶς. Coisl. secundus et Reg. secundus, μὴ παρέργως ἔχειν.

(17) *Τῆς εἰσόδου*. Magis arrisit hæc scriptura Reg. secundi et Coisl. secundi, quam quod legitur in aliis codicibus et editis, τῆς ὁδοῦ, *ab ipsis viæ januis*. Εἴσοδος in epist. 289 et 307 idem sonat ac judicium, sive introitus in causam, qui quidem sensus mirifice quadrat cum hac epistola. Ibidem Coisl. primus, προσφθέγξασθαι. Paulo post Med, Harl., Coisl. primus, εἰ δὲ καὶ τὴν... ἀνύει.

* Alias CCCLV.

** Alias CCCLXXV.

majori sunt habenda. Itaque pro certo scias, Patricium virum perquam optimum tanta suadæ pharmaca in suis labiis ferre, ut, non modo quod tu scripsisti, sed etiamsi Sauromatam quemdam aut Scytham offenderit, ei facile quidquid libuerit persuadeat. Verumtamen illa hilaritatis verba non ex corde proficiscuntur. Jamdudum enim obtinuit illa species, voce tenus simplices esse et ineptos, ac paratos res suas cuivis judicio committere; sed ubi ad rem ipsam ventum erit, tu vero illic haud reperiaris. Sed hæc apud te dicta sint, ut ipse agnoscas virum hunc alioqui non eum esse, quem facile ducas quo velis; atque etiam in animum tuum inducas, nequaquam verbis decoris attendere, sed dum rebus ipsis comprobentur, exspectare.

A γραφόμενα, πολλῷ πλείονος ἄξια γίνεται δηλονότι. Εὖ τοίνυν (18) ἴσθι, ὡς ὁ τὰ πάντα (19) ἄριστος ἀνὴρ Πατρίκιος τοσαῦτα ἐπὶ τῶν χειλέων αὐτοῦ τῆς πειθοῦς φέρει φάρμακα, ὥστε μὴ ὅτι σὺ (20) ἐπέστειλας, ἀλλὰ κἂν Σαυρομάτην τινὰ ἢ Σκύθην λάβῃ, πεῖσαι ἂν (21) ῥᾳδίως περὶ ὧν ἐθελήσειεν. Οὐ μὴν ἀπὸ καρδίας ἐστὶ τὰ τῆς εὐφροσύνης (22) ἐκεῖνα ῥήματα. Πάλαι γὰρ ἐπιτετήδευται τὸ σχῆμα τοῦτο· μέχρι φωνῆς (23) χρηστοὺς καὶ ἀπειροκάλους δῆθεν καὶ ἑτοίμους εἶναι ἐπιτρέπειν παντὶ δικαστηρίῳ τὰ κατ' αὐτούς· ἐπειδὰν δὲ ἐπ' αὐτῶν γένωνται τῶν πραγμάτων, μὴ σύ γε ἐκεῖ (24) τύχοις. Ἀλλὰ ταῦτα μέν μοι πρὸς σὲ εἰρήσθω, ἵν' αὐτός τε εἰδείης (25) καὶ (26) τὸν ἄνδρα οὔτε ἄλλως ὄντα εὐπαράγωγον, ἔτι καὶ παρὰ σεαυτοῦ πεισθῇς, μὴ τῇ τῶν ῥημάτων B προσέχειν εὐπρεπείᾳ, ἀλλὰ τοὺς ἐκ τῶν πραγμάτων ἀναμένων ἐλέγχους.

EPISTOLA CCCXXV*.

ΕΠΙΣΤΟΛΗ ΤΚΕ'.

Gratias agit quod ad se scripserit per communem filiam Icelium, quam laudat perhonorifice.

Magniniano.

Satis erant vel litteræ tuæ gravitatis ad me omni lætitia perfundendum. Nunc vero cum et mulierum ornatissima, communis nostra filia Icelium, tuam mihi epistolam tradidit, lætitiam meam plus quam duplicavit non solum quod viva sit imago probitatis tuæ, sed etiam quod per se omne demonstret virtutis studium. Quare primum quidem eam libenter excepi propter te, deinde vice versa, beatum te propter illam prædicavi, quod te talis liberorum educationis merces maneat a Domino Deo. Utinam autem et te aliquando videamus, atque bonis tuis perfruamur, neque corporis infirma valetudine, neque ulla alia molestia congressum nostrum impediente.

Μαγνινιανῷ (27)

Ἐξήρκει καὶ τὸ γράμμα τῆς σεμνότητός σου πᾶσαν ἡμῖν ἐξεργάσασθαι εὐφροσύνην. Νυνὶ δὲ καὶ ἡ κοσμιωτάτη γυναικῶν Ἰκέλιον (28), ἡ κοινὴ θυγάτηρ ἡμῶν, τὴν ἐπιστολὴν ἀποδοῦσα, πλέον ἢ εἰς τὸ διπλάσιον τὴν εὐφροσύνην ἐπηύξησεν· οὐ μόνον τῷ ἔμψυχος εἰκὼν εἶναι τῆς σῆς (29) καλοκἀγαθίας, ἀλλὰ καὶ τῷ παρ' ἑαυτῆς πᾶσαν ἐπιδεικνύναι ἀρετῆς ἐπιμέλειαν. Ὥστε πρότερον αὐτὴν ἀσμένως δε- C ξάμενοι διὰ σὲ, ὕστερον ἀναστρέψαντες ἐμακαρίσαμέν σε δι' αὐτὴν, ὅτι τοιαύτης τεκνοτροφίας μισθοί σε μένουσι παρὰ τοῦ Δεσπότου Θεοῦ. Ἀλλ' ἴδοιμέν ποτε καὶ αὐτὸν σὲ, καὶ τῶν ἐν σοὶ καλῶν ἀπολαύσαιμεν, μήτε ἀῤῥωστίας, μήτε ἑτέρας τινὸς δυσχερείας ἐμποδιζούσης ἡμῶν τῇ συντυχίᾳ (30).

450 EPISTOLA CCCXXVI**.

ΕΠΙΣΤΟΛΗ ΤΚϚ'.

Salutat oblata occasione et hortatur, ut per totam vitam Dei meminerit.

Sine inscriptione, admonitionis causa.

Dedit mihi Deus sanctus commodissimam lit-

Ἀνεπίγραφος, ἐπὶ νουθεσίᾳ.

Ἔδωκεν ἡμῖν ὁ ἅγιος Θεὸς οἰκειοτάτην πραγμά-

* Alias CCCLXXXI.

** Alias CCXXIV.

(18) *Εὖ τοίνυν.* Medicæus codex, σὺ τοίνυν.

(19) *Ὡς ὁ τὰ πάντα.* Duo mss. ὅτι ὁ πάντων.

(20) *Μὴ ὅτι σύ.* Coisl. primus et Med., μηδ' ὅτι οὖν.

(21) *Πεῖσαι ἄν.* Sic Coisl. primus. Tres alii recentiores, πείσῃ ἄν. Editi πείσει ἄν.

(22) *Εὐφροσύνης.* Sic mss. Editi, ἀφροσύνης.

(23) *Φωνῆς.* Editi addunt, εἶναι, quod deest in quatuor mss. iisque antiquissimis. Ibidem Coisl. secundus, ἑτοίμως ἐπιτρέπειν. Idem codex cum tribus aliis habet, καθ' ἑαυτούς.

(24) *Ἐκεῖ.* Deest ea vox in codice Medicæo.

(25) *Εἰδείης.* Mss. quatuor, εἰδῇς. Mox codex Medicæus, πεισθείς.

(26) *Καί.* Fortasse istud καί collocandum sit statim ante vocem ἔτι quæ mox sequitur. Edit.

(27) *Μαγνινιανῷ.* Hunc Magninianum diversum esse puto a Magneniano comite, ad quem scripsit Basilius epistolam 175. Non solum comitis titulus D deest in hac epistola, sed etiam Μαγνινιανός vocatur in codicibus Harl., Coisl. secundo et Reg. secundo et editis. In Medicæo autem et Coisl. primo dicitur Μαγνημιανός. Sic etiam Harlæanus secunda manu. At in epistola 175 Medicæus codex habet, Μαγνινιανῷ, Coisl. primus et Clarom., Μαγνηνιανῷ. Editi, Μαγνημιανῷ. Quanquam forte hæ varietates librariorum negligentiæ sunt tribuendæ, unusque et idem Magninianus, sive Magnenianus, sive etiam Magnemianus. Nonnulli codices initio, ἐπεξεργάσασθαι.

(28) *Ἰκέλιον.* Vat. et Bigot., Εἰκέλιον.

(29) *Τῆς σῆς.* Sic Harl., Coisl. primus. Editi, τῆς ὑμετέρας. Paulo post iidem antiquissimi codices habent, δεικνύναι, et infra, Δεσπότου Χριστοῦ. Harlæanus tamen secunda manu, Θεοῦ.

(30) *Τῇ συντυχίᾳ.* Nonnulli codices, τὴν συντυχίαν.

των (31) υπόθεσιν, τον ἀδελφὸν τόνδε γνωρίσας ἡμῖν, τὸν ἄνδρα, ᾧ κατὰ τὴν ἐπάνοδον τὴν πρὸς τὴν σὴν τιμιότητα ἐχρησάμεθα τῆς ἐγγράφου (31*) ταύτης ὁμιλίας ἡμῶν διακόνῳ· εὐχόμενοι τῷ Θεῷ, ἐπὶ μεῖζόν σε περιφανείας καὶ δόξης προϊόντα, κοσμεῖν καὶ ἡμᾶς καὶ τὴν πατρίδα πᾶσαν τῇ οἰκείᾳ σεαυτοῦ ἀρετῇ (32). Παρακαλοῦμεν δέ σε παρὰ πάντα τὸν βίον μεμνῆσθαι τοῦ κτίσαντός σε Θεοῦ καὶ τιμήσαντος· ἵνα πρὸς τῇ τοῦ βίου τούτου λαμπρότητι ἔτι καὶ τῆς (32*) οὐρανίου δόξης ἀξιωθῇς, ἧς ἕνεκεν πάντα ποιητέον ἡμῖν, τοῖς πρὸς τὴν μακαρίαν ἐλπίδα τὴν ζωὴν ἡμῶν ἀπευθύνουσιν.

A terarum occasionem : qui mihi hunc fratrem notum fecit, virum nempe illum, quo ad tuam dignitatem revertente hujus per litteras colloquii ministro usus sum : Deum rogans, ut magis ac magis dignitate ac gloria crescens, et nos, et patriam omnem propria tua virtute exornes. Adhortor autem te, ut per totam vitam Dei memineris, qui te condidit, ac honore cumulavit : ut præter hujus vitæ splendorem adhuc etiam gloriam cœlestem consequaris : ob quam nobis, qui ad beatam spem vitam nostram dirigimus, facienda sunt omnia.

ΕΠΙΣΤΟΛΗ ΤΚΖ'. — EPISTOLA CCCXXVII*.

Viro præpotenti bene precatur, ob honorem sibi ab illo habitum. Hortatur ut ad Ecclesiæ defensionem incumbat

Ἀνεπίγραφος, ἐπὶ παρακλήσει.

B

Sine inscriptione, exhortatoria.

Ὑπὲρ ὧν παρόντας ἡμᾶς ἐτίμησας, καὶ ἀπόντων μεμνῆσθαι καταξιοῖς (33) (ἦλθε γὰρ εἰς ἡμᾶς ἡ ἀκοή), παρὰ τοῦ ἀγαθοῦ Δεσπότου γένοιτό σοι ἀντίδοσις· καί σε ἴδοιμεν (34) ἐν τῇ μεγάλῃ ἡμέρᾳ τῆς δικαιοκρισίας τοῦ Θεοῦ ἡμῶν ἐπὶ ἔργοις ἀγαθοῖς εὐδόκιμον· ἵνα ὥσπερ τῆς ἐνταῦθα περιφανείας ἠξίωσαι, οὕτω καὶ παρὰ τῷ οὐρανίῳ βασιλεῖ σεμνότητος ἀπολαύσῃς. Παρακαλοῦμεν οὖν προηγουμένως, τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ διαρκῆ παρασχέσθαι τὴν σπουδήν· ἔπειτα καὶ τὸ εἰς ἡμᾶς εὐμενὲς ἐπαυξῆσαι, μνήμης τε πάσης καὶ προστασίας ἡμᾶς ἀξιοῦντα, τιμῶναι ἡμᾶς καὶ γράμμασιν· ὥστε ἀπόδειξιν ἡμᾶς ἔχοντας, ὅτι οὐ βαρύνῃ ἡμᾶς ἐπιστέλλοντας (35), συνεχέστερόν σου τῇ μεγαλονοίᾳ καταθαρρήσειν.

Pro eo quod præsenti mihi honorem habuisti, et absentis meminisse dignaris (ita enim auditione accepi), remunerationem consequaris a Domino optimo : teque videamus in magna illa justi judicii Dei nostri die ob bona opera probatum et spectatum : ut quemadmodum in hac vita inclaruisti, ita etiam splendorem apud cœlestem regem adipiscaris. Adhortamur igitur te ante omnia, ut in Dei Ecclesiam juge conferas studium : deinde etiam, ut benevolentiam in nos adaugeas, meque recordatione omni ac patrocinio dignatus, litteris etiam cohonestes, ita ut ubi compertum erit me tibi molestum non esse, audeam ad tuam magnanimitatem crebrius C scribere.

ΕΠΙΣΤΟΛΗ ΤΚΗ'. — EPISTOLA CCCXXVIII**.

Salutat Hyperechium, seque ait non melius solito valere.

Ὑπερεχίῳ.

Hyperechio.

Καὶ προσαγορεύω τὴν τιμιότητά σου, καὶ εὔχομαί σοι τὰ ἀγαθά· ἐμαυτὸν δὲ καταμηνύω σπουδὴν ἔχοντι πάντως εἰδέναι τὰ καθ' ἡμᾶς, μηδὲν ἄμεινον τῆς συνηθείας πράττοντα (36). Τῶν γὰρ δυσφημοτέρων φείδομαι, ὡς ἂν μὴ πάνυ λυποίην τὸν τὰ βέλτιστα ἡμῖν συνευχόμενον.

Et saluto tuam dignitatem, et tibi bene precor. Meas autem res scire etiam atque etiam aventi, declaro melius solito mihi non esse. Nolim enim gravius quidquam dicere, ne prorsus eum, qui mihi optima precatur, afficiam tristitia.

ΕΠΙΣΤΟΛΗ ΤΚΘ'. — 451 EPISTOLA CCCXXIX***.

Gratias agit ob pisces ad se missos, sed multo magis ob litteras.

Φαλερίῳ.

D

Phalerio.

Πάνυ ἡδέως ἐτέρφθην τοῖς ποταμίοις ἰχθύσι, μνησικακήσας (37) αὐτῶν τὴν φυγὴν ἣν ἔφυγον ὑπο-

Suaviter omnino delectatus sum fluvialibus piscibus, fugamque ultus sum, quam concre-

(31) *Πραγμάτων*. Commodissimam negotiorum expediendorum occasionem. Legendum putat Combefisius, γραμμάτων. Valde arridet hæc sententia; sed quia nullus favet ms. codex, nihil ausi sumus in ipso contextu mutare.

(31*) *Ἐγγράφου*. Ita mss. omnes. Editi, ἐγγράφως.

(32) *Πᾶσαν... ἀρετῇ*. Hæc addita ex Med., Coisl. primo, Vat. et duobus aliis.

(32*) *Ἔτι καὶ τῆς*. Primam vocem addidimus ex quinque mss.

(33) *Καταξιοῖς*. Ita mss. quatuor : editi, καταξιοῦς. Paulo post Medicæus codex, ἦλθεν γάρ ὡς ἡμᾶς.

(34) *Ἴδοιμεν*. Sic duo mss. Editi, ἴδωμεν. Paulo post mss. tres, ἠξίωσεν.

(35) *Ἐπιστέλλοντας*. Editi addunt, σοι, sed deest hæc vocula in quatuor mss. Deest etiam ἡμᾶς in codice Vaticano.

(36) *Πράττοντα*. Ita mss. Editi, πράττοντι.

(37) *Μνησικακήσας*. Hæc scriptura, quæ in editis et nonnullis exstat mss. ac olim prima manu exstitit in Harlæano, displicet Combefisio, legendum-

* Alias CCXXV.

** Alias CCCLXVII.

*** Alias CCLXXXII.

tum ex glacie tectum subeundo ceperant. Ego tamen tuas litteras pluris facio quam pisces. Quapropter scribas potius quam mittas. Quod si tibi magis libuerit silere, saltem pro me precari ne intermittas.

A δραμόντες τὴν σκέπην τὴν ἐκ τοῦ κρύους. Ἰχθύων δὲ ἡμῖν τιμιώτερά σου τὰ γράμματα. Ὥστε ἐπίστελλε μᾶλλον ἢ ἀπόστελλε. Εἰ δὲ ἥδιόν σοι σιωπᾶν (38), σὺ δὲ ἀλλ' εὐχόμενος ὑπὲρ ἡμῶν μὴ διαλίπῃς (39).

EPISTOLA CCCXXX*.

ΕΠΙΣΤΟΛΗ ΤΛ'.

Queritur quod ad se non scribat.

Sine inscriptione.

Diligi te a me, disce ex his quæ scribo: me a te odio haberi, ex silentio agnovi. Scribe saltem in posterum, calamo et atramento ac exili charta amantes redamans.

Ἀνεπίγραφος.

Ὅτι σε φιλῶ, οἷς ἐπιστέλλω μάθε. Ὅτι με μισεῖς, οἷς σιωπᾷς ἔγνων. Γράφε δὲ κἂν τοῦ λοιποῦ, καλάμῳ καὶ μέλανι καὶ βραχεῖ χάρτῃ φιλοῦντας (40) φιλῶν.

EPISTOLA CCCXXXI**.

ΕΠΙΣΤΟΛΗ ΤΛΑ'.

Queritur quod iterum eadem de re scribere cogatur, monet ut vel sibi obsequatur, vel causam reddat, cur non obsecutus sit

Sine inscriptione.

Frustra de iisdem bis scribitur. Aut enim res ejus naturæ non est, ut emendari possit, ac frustra nobis adeuntes molesti sunt: aut nos contemnunt qui epistolas accipiunt, sicque desipimus contemptoribus scribentes. Cum igitur jam de eodem acceperis litteras, coactusque sim denuo scribere; aut corrige, si potes: aut causam indica cur quæ præceperam non sint jamdudum peracta.

B *Ἀνεπίγραφος (41).*

Μάταιόν ἐστι δὶς περὶ τῶν αὐτῶν ἐπιστέλλειν. Ἢ γὰρ φύσιν οὐκ ἔχει διορθώσεως τὸ πρᾶγμα, καὶ μάτην ἡμῖν ἐνοχλοῦσιν οἱ προσιόντες, ἢ οἱ δεχόμενοι τὰς ἐπιστολὰς παρορῶσιν (42) ἡμῶν· καὶ οὕτω ματαιοφρονοῦμεν τοῖς καταφρονηταῖς (43) ἐπιστέλλοντες. Ἐπεὶ οὖν ἤδη περὶ τοῦ αὐτοῦ ἐδέξω γράμματα, ἠναγκάσθημεν δὲ καὶ δεύτερον ἐπιστεῖλαι· ἢ διόρθωσαι, εἴ σοι δύναμις, ἢ γνώρισον ἡμῖν τὴν αἰτίαν δι' ἣν πάλαι οὐ γέγονε τὰ προστεταγμένα.

EPISTOLA CCCXXXII***.

ΕΠΙΣΤΟΛΗ ΤΛΒ'.

Peracute nimium silentium exprobrat.

Alia sine inscriptione.

Unum vitæ indicium est sermo. Quomodo igitur tu super terram versari putaberis, nunquam loquens? Sed pelle silentium istud tuum, scribens nobis, ac te vivere indicans.

C *Ἄλλη ἀνεπίγραφος.*

Ἓν γνώρισμα τοῦ ζῆν ὁ λόγος. Πῶς δὲ σὺ (44) ὑπὲρ γῆν εἶναι νομισθείης, μηδέποτε φθεγγόμενος; Ἀλλ' ἄπωσαι τὴν σιωπήν σου, γράψας ἡμῖν, καὶ ἐμφανίσας σεαυτὸν ὅτιπερ ζῇς.

EPISTOLA CCCXXXIII****.

ΕΠΙΣΤΟΛΗ ΤΛΓ'.

Monet ut notas et characteres perfectos faciat, et interpunctionibus sit attentus.

Notario.

Sermones naturam habent alatam. Quapropter notis indigent, ut avolantium celeritatem scriptor apprehendat. Tu igitur, o puer, notas ac characteres perfectos facias, **452** et loca ex ordine interpunctionibus distingue. Nam pusillo errore multa vitiatur oratio; scriptoris autem diligentia perficitur sermo.

Νοταρίῳ.

Οἱ λόγοι τὴν φύσιν ὑπόπτερον ἔχουσι. Διὰ τοῦτο σημείων χρῄζουσιν, ἵνα ἱπταμένων αὐτῶν λάβῃ (45) τὸ τάχος ὁ γράφων. Σὺ οὖν, ὦ παῖ, τὰ χαράγματα τέλεια ποίει, καὶ τοὺς τόπους (46) ἀκολούθως κατάστιζε. Ἐν γὰρ μικρᾷ πλάνῃ πολὺς ἡμάρτηται λόγος· D τῇ δὲ ἐπιμελείᾳ τοῦ γράφοντος κατορθοῦται τὸ λεγόμενον.

que putat, μὴ χαχήσας, *non vituperavi*. Legitur in quatuor mss., μὴ χαχίσας. Med., μὴ μνησιχαχήσας. Hujus lectionis hæc erit sententia: non vituperat Basilius piscium fugam, fortasse quia sub glacie creverant. Sed magis arridet vulgata scriptura, nec sine lepore significat Basilius ultum se esse fugam piscium, et laborem in illis capiendis impensum.

(38) *Σιωπᾷν*. Editi, τὸ σιωπᾷν, sed deest articulus in quatuor mss.

(39) *Διαλίπῃς*. Ita Reg. primus, Harl. et Coisl. primus et Bigot. Tres alii, μὴ διαλίποις. Editi, μὴ διαλείπῃς.

(40) *Φιλοῦντας*. Harl., φιλοῦντα.

(41) *Ἀνεπίγραφος*. Reg. secundus et Coisl. secundus addunt περὶ τοῦ αὐτοῦ. Editi τῷ αὐτῷ. Iidem codices infra habent ἡμῖν ἐνοχλοῦσιν, quod melius videtur, quam quod est in editis ὑμῖν διοχλοῦσιν.

(42) *Παρορῶσιν*. Coisl. secundus et Reg. secundus ὑπερορῶσιν.

(43) *Καταφρονηταῖς*. Ita mss. Editi καταφρονηταῖς.

(44) *Πῶς δὲ σύ*. Quatuor mss. πῶς γὰρ σύ. Ibidem ex Med. et Coisl. primo legimus ὑπὲρ γῆν, et paulo post φθεγγόμενος. Editi ὑπὲρ γῆς et φθεγξάμενος.

(45) *Λάβῃ*. Medicæus et Reg. secundus λάβοι.

(46) *Τοὺς τόπους*. Ita Reg. secundus, Coisl. primus et Med. Editi τοὺς τύπους

* Alias CLXXVI.

** Alias CCXL.

*** Alias CLXXVII.

**** Alias CLXXVIII.

ΕΠΙΣΤΟΛΗ ΤΛΔ'.

EPISTOLA CCCXXXIV *

Multa tradit præcepta recte scribendi.

Καλλιγράφῳ (47).

Ὀρθὰ γράφε, καὶ χρῶ τοῖς στίχοις ὀρθῶς· καὶ μήτε αἰωρείσθω πρὸς ὕψος ἡ χείρ, μήτε φερέσθω κατὰ κρημνῶν. Μηδὲ βιάζου τὸν κάλαμον λοξὰ βαδίζειν, ὥσπερ τὸν παρ' Αἰσώπῳ καρκίνον· ἀλλ' εὐθὺ χώρει, ὥσπερ ἐπὶ στάθμης βαδίζων τεκτονικῆς (48), ἣ πανταχοῦ φυλάττει τὸ ἴσον, καὶ πᾶν ἀναιρεῖ τὸ ἀνώμαλον. Τὸ γὰρ λοξὸν, ἀπρεπές· τὸ δὲ εὐθὺ, τερπνὸν τοῖς ὁρῶσιν, οὐκ ἐῶν ἀνανεύειν καὶ κατανεύειν, ὥσπερ τὰ κηλώνεια, τοὺς ὀφθαλμοὺς τῶν ἀναγινωσκόντων· ὁποῖόν τι κἀμοὶ συμβέβηκε τοῖς γράμμασιν ἐντυχόντι τοῖς σοῖς. Τῶν γὰρ στίχων κειμένων κλιμακηδὸν, ἡνίκα ἔδει μεταβαίνειν ἐφ' ἕτερον ἀφ' ἑτέρου (49), ἀνάγκη ἦν ἐξορθοῦν πρὸς τὸ τέλος τοῦ προσιόντος (50). Ἐν ᾧ μηδαμοῦ φαινομένης τῆς ἀκολουθίας, ἀνατρέχειν ἔδει πάλιν καὶ τὴν τάξιν ἐπιζητεῖν, ἀναποδίζοντα καὶ παρεπόμενον τῷ αὔλακι, καθάπερ τὸν Θησέα τῷ μίτῳ τῆς Ἀριάδνης φασί. Γράφε τοίνυν ὀρθῶς, καὶ μὴ πλάνα τὸν νοῦν τῷ πλαγίῳ καὶ λοξῷ τῶν γραφομένων.

Librario.

Recta scribe, ac rectis utere versibus: nec evehatur in altum manus, nec feratur in præcipitia. Neque cogas calamum oblique instar cancri Æsopici procedere: sed recta perge, velut ad amussim progrediens fabrilem, quæ ubique servat æqualitatem, et inæqualitatem omnem tollit. Quod enim obliquum, indecorum est: quod autem rectum, jucundum aspicientibus, non sinens legentium oculos sursum ac deorsum instar tollenonum commeare: quale est quod mihi accidit scripta tua legenti. Cum enim versus in scalæ modum disponerentur; ubi ab altero ad alterum erat transeundum, necesse erat ad finem proximi assurgere: in quo series cum nunquam appareret, erat rursus recurrendum, ordoque inquirendus retrocedendo, sulcumque sequendo, quemadmodum Theseum Ariadnes filum secutum fuisse ferunt. Scribe igitur recta, nec mentem obliquitate scriptorum atque inæqualitate in errorem inducas.

ΕΠΙΣΤΟΛΗ ΤΛΕ'.

EPISTOLA CCCXXXV **.

Significat Basilius se libenter omnes Cappadoces Libanio erudiendos missurum: nunc autem mittit nobilem adolescentem, amici filium, quem Libanio commendat.

Βασίλειος Λιβανίῳ.

Αἰσχύνομαι καθ' ἕνα σοι προσάγων τοὺς Καππαδόκας, ἀλλὰ μὴ πάντας τοὺς ἐν ἡλικίᾳ πείθων, λόγων καὶ παιδεύσεως (51) ἀντιποιεῖσθαι, καὶ σοὶ κεχρῆσθαι τῆς ἀσκήσεως διδασκάλῳ. Ἀλλ' ἐπειδὴ πάντων εἰσάπαξ ἐπιτυχεῖν, τὰ προσήκοντα σφίσιν αὐτοῖς αἱρουμένων, οὐχ οἷόν τε· τοὺς ἑκάστοτε πειθομένους παραπέμπομέν (52) σοι, τοσοῦτον αὐτοῖς χαριζόμενος, ὅσον καὶ οἱ τοῖς διψῶσι καθηγούμενοι πρὸς τὰς πηγάς (53). Ὁ δὲ νῦν προσιὼν, μικρὸν ὕστερον ἑαυτοῦ ἕνεκεν σπουδασθήσεται, ἐπειδάν σοι συγγένηται. Νῦν δὲ ἀπὸ πατρός ἐστι γνώριμος, μέγα ἐπὶ ὀρθότητι βίου καὶ δυνάμει πολιτικῇ παρ' ἡμῖν λαβόντος ὄνομα· ὃς καὶ ἐμοὶ (54) εἰς τὴν ἄκραν φιλίαν ἥρμοσται. Ἧς ἀμειβόμενος αὐτὸν, τῷ παιδὶ ταύτην τὴν χάριν δίδωμι, σοὶ ποιῶν αὐτὸν γνώριμον· πρᾶγμα μεγίστης εὐχῆς ἄξιον τοῖς ἀρετὴν ἀνδρὸς κρίνειν ἐπισταμένοις.

Basilius Libanio.

Pudet me tibi Cappadoces singulatim adducere, ac non omnibus adolescentibus persuadere, ut litteris ac doctrinæ dent operam, teque utantur exercitationis magistro. Sed quia omnes simul nancisci non possumus ita affectos, ut convenientia sibi ipsis eligant; quibus subinde persuadeo, eos ad te mitto, tantum in eos conferens beneficii, quantum qui sitientes ad fontes deducunt. Qui vero nunc te adit, paulo post sua ipsius causa in pretio erit, postquam tecum fuerit versatus. Nunc autem ex patre notus est, magnum integritate vitæ ac civili potentia apud nos habente nomen, mihique summa amicitia devincto. Pro qua ut illum remunerer, hoc filio beneficium tribuo, ut ipsum tibi discipulum faciam; rem sane maximis votis dignam apud eos, qui de viri virtute scienter judicant.

(47) *Καλλιγράφῳ*. Addit Harl. στρεβλοὺς ποιοῦντι τοὺς στίχους, *tortuosos facienti versus*. Quinque alii codices πρὸς καλλιγράφον.

(48) *Ἐπὶ στάθμης... τεκτονικῆς*. Nonnulli codices στάθμῃ... τεκτονικῇ.

(49) *Ἐφ' ἕτερον ἀφ' ἑτέρου*. Ita sex mss. Editi ἀφ' ἑτέρου εἰς ἕτερον.

(50) *Τοῦ προσιόντος*. Ita tres vetustissimi codices cum Reg. secundo et Coisl. secundo. Editi τοῦ προϊόντος.

(51) *Παιδεύσεως*. Editi addunt τῆς σῆς, quæ verba multo melius absunt ab omnibus nostris mss. codicibus.

(52) *Παραπέμπομεν*. Sic mss. codices magno consensu. Editi παραπέμπομαι.

(53) *Πρὸς τὰς πηγάς*. Præpositio addita ex codice Harlæano.

(54) *Ὃς καὶ ἐμοί*. Coisl. uterque et Reg. secundus ὃς κἀμοί. Ibidem Medicæus, Coisl. secundus et Reg. secundus εἰς τὴν ἄκραν καὶ μεγάλην φιλίαν.

* Alias CLXXX.

** Alias CXLII.

453 EPISTOLA CCCXXXVI *.

Declarat Libanius se Basilii adolescentis virtutem admiratum esse, et Celsi fortunas laudasse, quod is una cum Basilio Athenas peteret : ubi autem didicit Basilium, reversum in patriam, præstantissimum vitæ genus amplexum esse, et ipsum et Cappadoces beatos existimasse. Basilii laudes de Firmo confirmat. Quærit quid Firminus rerum agat : eumque partim laudat, partim de illo queritur.

Libanius Basilio.

1. Aliquandiu est quod ad nos Cappadox venit adolescens. Primum hoc lucrum quod Cappadox. Sed et ex prima familia ille Cappadox. Alterum hoc lucrum est. Sed et litteras admirandi Basilii afferens nobis. Quo quid majus quis dixerit? Ego enim, quem tui oblitum putas, etiam olim adolescentem reverebar : et temperantia cum senibus certantem videns, idque in illa urbe quæ voluptatibus scatet, et disciplinarum jam partem magnam consecutum. Sed quoniam tibi visendas quoque Athenas duxisti, idque Celso persuasisti; gratulabar Celso, quod ab animo tuo penderet. Cum autem reversus esses, patriamque incoleres, mecum ipse dicebam : Quid nunc nobis Basilius gerit, et quod vitæ genus amplexus est? Num in foro versatur, veteres illos rhetores imitatus? an rhetores fortunatorum patrum filios efficit? Cum autem nonnulli venissent, qui nuntiarent te viam longe his præstantiorem ingressum esse, hocque magis spectare, quomodo Deo amicus evadas, quam quomodo aurum colligas; et te et Cappadoces beatos prædicabam; te quidem, qui talem te esse velles; illos vero, qui talem possent civem ostendere.

2. Firmum autem illum ubique constantem perdurasse satis scio; hinc enim ei eloquentiæ facultas. Sed cum laudes multas adeptus sit, haud scio an unquam tantas, quantas nunc ex tuis litteris intellexi. Quod enim tu es, qui dicas neminem illius gloriam superasse : quam hoc illi honorificum censeri debet? Puto autem hos a te prius missos esse, quam Firminum videres; neque enim de illo nihil habuissent litteræ. Et nunc quid rerum agit, aut quid meditatur Firminus? Distineturne adhuc nuptiarum desideriis? an illa jamdudum cessarunt, sed urget curia ac omnino necesse est manere? an est spes aliqua illum denuo studiorum socium fore? Det nobis aliquod responsum, atque illud quidem, ut opto, commodum. Sed si quid creabit molestiæ, saltem nos respiciendi ad portas molestia liberabit. Sed si Firminus nunc Athenis versaretur, quidnam facerent vestri curiales? Num Sala-

ΕΠΙΣΤΟΛΗ ΤΛϚʹ.

A *Λιβάνιος Βασιλείῳ.*

1. Διὰ χρόνου πρὸς ἡμᾶς Καππαδόκης ἥκει νέος. Ἓν τοῦτο κέρδος, ὅτι Καππαδόκης. Ἀλλὰ καὶ τοῦ πρώτου γένους οὗτος ὁ Καππαδόκης (55). Δεύτερον τοῦτο κέρδος. Ἀλλὰ καὶ γράμμα τοῦ θαυμαστοῦ Βασιλείου κομίζων ἡμῖν. Τουτὶ μὲν, ὅτου τίς εἴποι μεῖζον; Ἐγὼ γὰρ ὃν ἐπιλελῆσθαί σου νομίζεις, καὶ πάλαι νέον ὄντα ᾐδούμην· σωφροσύνῃ τε πρὸς τοὺς γέροντας ἁμιλλώμενον ὁρῶν, καὶ ταῦτα ἐν ἐκείνῃ τῇ πόλει, τῇ ταῖς ἡδοναῖς βρυούσῃ· καὶ λόγων ἤδη μοῖραν κεκτημένον μεγάλην. Ἐπειδὴ δὲ ᾠήθης δεῖν καὶ τὰς Ἀθήνας ἰδεῖν, καὶ τὸν Κέλσον ἔπεισας· συνέχαιρον τῷ Κέλσῳ, τῆς σῆς ἐξηρτημένῳ ψυχῆς. Ἐπανήκοντος δέ σου καὶ ἔχοντος τὴν πατρίδα, B ἔλεγον πρὸς ἐμαυτόν· Τί νῦν ἡμῖν ὁ Βασίλειος δρᾷ, καὶ πρὸς τίνα βίον ὥρμηκεν (56); Ἆρ' ἐν δικαστηρίοις τρέπεται (57), τοὺς παλαιοὺς ῥήτορας ζηλῶν; ἢ ῥήτορας εὐδαιμόνων πατέρων ἀπεργάζεται παῖδας; Ὡς δὲ ἧκόν τινες ἀπαγγέλλοντες ἀμείνω σε πολλῷ τουτωνὶ, τῶν ὁδῶν πορεύεσθαι, καὶ σκοπεῖν, ὅπως ἂν γένοιο Θεῷ μᾶλλον φίλος, ἢ συλλέξεις χρυσίον, εὐδαιμόνισα (58) σέ τε καὶ Καππαδόκας· σὲ μὲν, τοιοῦτον βουλόμενον εἶναι· ἐκείνους δὲ, τοιοῦτον δυναμένους δεικνύναι πολίτην.

2. Φίρμος (59) δὲ ἐκεῖνος, ὡς πανταχοῦ διετέλεσε κρατῶν, εὖ οἶδα· ἐντεῦθεν γὰρ αὐτῷ τῶν λόγων ἡ δύναμις. Πολλῶν δὲ ἐπαίνων ἀπολαύσας, οὐκ οἶδα, ὅτι πώποτε τηλικούτων, ἡλίκων νῦν ἐν τοῖς σοῖς ἀκήκοα γράμμασι. Τὸ γὰρ μηδένα ἂν τὴν ἐκείνου C δόξαν ὑπερβαλέσθαι σὲ τὸν λέγοντα εἶναι, πόσον τι χρὴ νομίζειν ἐκείνῳ; Δοκεῖς δέ μοι καὶ τούτους (60) ἀπεσταλκέναι πρὶν ἢ τὸν Φιρμῖνον ἰδεῖν· οὐ γὰρ ἂν αὐτὸν (61) οὐκ εἶχε τὰ γράμματα. Καὶ νῦν τί ποιεῖ, ἢ τί μέλλει Φιρμῖνος; Ἔτ' ἔστιν ἐν τοῖς τῶν γάμων πόθοις (62), ἢ ἐκεῖνα μὲν πάλαι πέπαυται, βαρεῖα (63) δὲ ἡ βουλὴ, καὶ πᾶσα ἀνάγκη μένειν; ἢ τίνες εἰσὶν ἐλπίδες, ὡς αὖθις ἔσται λόγων κοινωνός; Ἀποκρινάσθω τι ἡμῖν· καὶ εἴη μέν τι χρηστόν. Εἰ δ' οὖν τι καὶ λυπήσει, τοῦ βλέπειν γε ἡμᾶς πρὸς τὰς πύλας ἀπαλλάξει. Εἰ δὲ Ἀθήνησι νῦν ὁ Φιρμῖνος ἐτύγχανεν ὤν, τί ἂν ἔδρων οἱ βουλεύοντες παρ' ὑμῖν; Ἢ τὴν Σαλαμινίαν ἔπεμπον ἂν ἐπ' αὐτόν; Ὁρᾷς, ὅπ

* Alias CXLIII.

(55) *Ὁ Καππαδόκης*. Hæc desunt satis commode in Regio secundo et Coisl. secundo. Mox Medicæus ὅτι τις.

(56) *Ὥρμηκεν*. Ita tres vetustissimi codices cum pluribus aliis. Editi ὥρμησεν.

(57) *Τρέπεται*. Non male Coisl. secundus et Reg. secundus τρέφεται.

(58) *Εὐδαιμόνισα*. Nonnulli codices recentiores εὐδαιμόνησα.

(59) *Φίρμος*. Sic mss. novem. Editi Φιρμῖνος. Scriptura veterum codicum hinc etiam confirmatur, quod is quem tantopere laudaverat Basilius in epistola sua, necessario distinguendus a Firmino, de quo nihil habuerant Basilii litteræ. Illud autem, ὡς πανταχοῦ διετέλεσε κρατῶν, vertit Combefisius, ubi- D que *firma memoria fuerit, vel retinuerit*, ac vitupe- rat interpretem, qui sic reddiderat : *Firminus vero ille, quam ubique tibi constanter adhærendo perduraverit scio.*

(60) *Ἐκείνῳ... καὶ τούτους*. Sic plerique codices mss. Editi ἐκεῖνον... ταῦτα.

(61) *Οὐ γὰρ ἂν αὐτόν*. Hunc locum sanavimus partim omnium codicum, qui habent αὐτόν, partim Harlæani ope, in quo legitur οὐ γὰρ ἄν. Editi οὐ γὰρ ἂν αὐτός.

(62) *Πόθοις*. Codex Harlæanus πότοις, *nuptialibus conviviis*, sicque legit interpres.

(63) *Βαρεῖα*. Nonnulli codices βαρεῖ; Paulo post editi μένει. Multi codices mss. ut in textu.

καὶ μόνον ὑπὸ τῶν σῶν ὑβρίζομαι πολιτῶν. Οὐ μὴν ἔγωγε τοῦ φιλεῖν καὶ ἐπαινεῖν Καππαδόκας παύσομαι· ἀλλ' εὔχομαι μὲν αὐτοὺς ἀμείνους γενέσθαι περὶ ἐμὲ, μένοντας δὲ ἐπὶ τῶν αὐτῶν οἴσω. Φιρμῖνος δὲ μῆνας ἡμῖν συνεγένετο τέτταρας· ἡμέραν δὲ ἤργησεν οὐδεμίαν. Τὸ δὲ συνειλεγμένον ὅσον ἐστὶν, αὐτὸς εἴσῃ, καὶ ἴσως οὐ μέμψῃ. Πρὸς δὲ τὸ πάλιν αὐτὸν δεῦρο δυνηθῆναι ἐλθεῖν, τίνα χρὴ προσπαρακαλεῖν σύμμαχον; Εἴπερ γὰρ εὖ φρονοῦσιν οἱ βουλεύοντες (64) (πρέποι δ' ἂν ἀνθρώποις πεπαιδευμένοις), τιμήσουσι (65) τοῖς δευτέροις, ἐπειδὴ τοῖς πρώτοις ἐλύπησαν.

A miniam ad ipsum mitterent? Vides me a solis tuis civibus injuria affici. Neque tamen ego propterea Cappadoces amare ac laudare desinam. Verum optarim quidem illos in me **454** fieri æquiores: sed si iidem permanserint, feram. Firminus menses quatuor apud nos commoratus est: diem autem nullam otiosus transegit. Quantum autem sibi comparaverit, ipse cognosces, et fortasse non conquereris. Huc autem ut ipse iterum venire possit, quinam adjutor advocandus? Enimvero si recte sentit curia (hoc autem decuerit homines eruditos), honorabit me posterioribus: quandoquidem prioribus tristitia affecit.

ΕΠΙΣΤΟΛΗ ΤΛΖ'. — EPISTOLA CCCXXXVII *.

Alium Cappadocem mittit Libanio Basilius, quem filium suum appellat, utpote in ea dignitate constitutus, quæ ipsum omnium patrem efficiebat. Hunc comitabatur alius adolescens, nobilis et ipse ac Basilii necessarius, sed non dives

Βασίλειος Λιβανίῳ.

Ἰδού σοι καὶ ἕτερος ἥκει Καππαδόκης, υἱὸς ἐμὸς καὶ αὐτός· πάντας γὰρ ἡμῖν εἰσποιεῖ (66) τὸ σχῆμα τοῦτο, ἐν ᾧ νῦν ἐσμεν. Ὥστε κατά γε τοῦτο ἀδελφὸς ἂν εἴη τοῦ προλαβόντος, καὶ τῆς αὐτῆς σπουδῆς ἄξιος, ἐμοί τε τῷ πατρὶ καὶ σοὶ τῷ διδασκάλῳ· εἴπερ τι ὅλως πλέον δυνατὸν ἔχειν (67) τοὺς παρ' ἡμῶν ἐρχομένους. Τοῦτο δὲ λέγω, οὐχ ὡς οὐκ ἂν τῆς σῆς λογιότητος πλεῖόν τι τοῖς παλαιοῖς τῶν ἑταίρων χαριζομένης, ἀλλ' ὡς ἀφθόνου πᾶσι τῆς ὠφελείας σου προκειμένης. Ἀρκοῦν δ' ἂν εἴη τῷ νεανίσκῳ, πρὸ τῆς ἐκ τοῦ χρόνου πείρας, ἐν τοῖς οἰκείοις τετάχθαι· ὃν ἀποπέμψαιο ἡμῖν, ἄξιον τῶν τε ἡμετέρων εὐχῶν καὶ τῆς σαυτοῦ δόξης, ἣν ἔχεις ἐν τοῖς λόγοις. Ἐπάγεται δὲ καὶ ἡλικιώτην τὴν ἴσην ἔχοντα περὶ τοὺς λόγους σπουδὴν, εὐπατρίδην καὶ αὐτὸν καὶ ἡμῖν οἰκεῖον· ὃν οὐδὲν ἔλαττον ἕξειν πιστεύομεν, κἂν πλεῖστον τῶν ἄλλων τοῖς χρήμασιν ἀπολείποιτο.

B *Basilius Libanio.*

Ecce tibi et alius venit Cappadox, meus et ipse filius; omnes enim nobis adoptat dignitas illa in qua nunc sumus. Quamobrem hoc nomine frater sit illius qui prius ad te venit, et cura eadem dignus, tam mihi patri, quam tibi præceptori; si fieri omnino potest, ut aliquid amplius habeant, qui a nobis veniunt. Hoc autem dico, non quod facundia tua non plus aliquid amicis veteribus tribuat; sed quod uberrima utilitas tua omnibus proposita sit. Satis autem fuerit adolescenti, si ante temporis experimentum inter familiares collocetur: quem ad nos remittas velim, dignum et nostris votis, et gloria ista tua, quam es eloquentia consecutus. Ducit autem secum et coætaneum, C pari litterarum studio præditum, et ipsum quoque ex nobili familia prognatum, nobisque necessarium: quem nulla re inferiorem fore confidimus; etiamsi plurimum ab aliis pecunia superetur.

ΕΠΙΣΤΟΛΗ ΤΛΗ'. — EPISTOLA CCCXXXVIII **.

Gratias agit Libanius quod Cappadoces ad se mittat Basilius. Narrat se lecta privatim illius epistola victum se ab eo confessum esse, et cum postea eamdem Alypius coram pluribus honoratis viris legisset, omnes Basilio palmam detulisse. Declarat se non curare quam divites sint discipuli, sed et egenos, modo studiosi sint, divitibus anteponere.

Λιβάνιος Βασιλείῳ.

Οἶδα, ὅτι πολλάκις τοῦτο γράψεις, τὸ, Ἰδού σοι καὶ ἕτερος ἥκει Καππαδόκης. Πολλοὺς γὰρ, οἶμαι, πέμψεις· ἀεὶ μὲν καὶ πανταχοῦ τοῖς ἐγκωμίοις τοῖς κατ' ἐμοῦ χρώμενος, τούτῳ δὲ αὐτῷ καὶ πατέρας κινῶν καὶ παῖδας. Ἀλλ' ὅ γε ἐγένετο περὶ τὴν ἐπιστολήν σου τὴν καλὴν, οὐ καλὸν σιωπῆσαι. Παρεκάθηντό μοι τῶν ἐν ἀρχῇ γεγενημένων ἄλλοι τε οὐκ ὀλίγοι, καὶ ὁ πάντα ἄριστος Ἀλύπιος Ἱεροκλέους ἀνεψιὸς ἐκείνου. Ὡς οὖν ἔδοσαν οἱ φέροντες τὴν ἐπιστολὴν, σιγῇ διὰ πάσης ἐλθὼν, Νενικήμεθα, ἔφην, μειδιῶν τε ἅμα καὶ χαίρων. Καὶ τίνα σὺ νενίκησαι νίκην; ἤροντο· καὶ πῶς οὐκ ἀλγεῖς νενικημένος;

Libanius Basilio.

Scio te hoc crebro scripturum: Ecce tibi et alius venit Cappadox. Multos namque, puto, missurus es; semper et ubique me laudibus efferens, atque hoc ipso et patres et pueros provocans. At quid evenit in epistolam tuam pulchram, non pulchrum D fuerit silentio præterire. Assidebant mihi ex honoratis, cum alii non pauci, tum longe optimus Alypius Hieroclis illius consobrinus. Ut ergo epistolam reddiderunt, qui attulerant; silentio tota perlecta, ridens simul et gaudens dixi: Victi sumus. Interrogabant autem illi: Qua victus es victoria? et quomodo victus non doles? Victus sum, aiebam,

(64) *Βουλεύοντες*. Harl. βουλευταί. Ibidem nonnulli codices, πρέπει.

(65) *Τιμήσουσι*. Reg. secundus et Coisl. secundus τιμήσουσί με. Alii nonnulli τιμήσουσί σε.

(66) *Ἡμῖν εἰσποιεῖ*. Coisl. primus et Med habent, ἡμᾶς.

(67) *Ὅλως πλέον δυνατὸν ἔχειν*. Sic tres vetustissimi codices. Tres alii πλέον δυνατὸν ἔχειν. Editi εἴπερ τι πλέον ἔχειν δυνατόν. Mox editi πλέον τι. Tres vetustissimi codices ut in textu.

* Alias CXLIV.

** Alias CXLV.

pulchritudine epistolarum : vicit vero Basilius. Vir autem ille amicus est, et eam ob causam lætor. Hæc ego cum dixissem, ex ipsis litteris judicare voluerunt de victoria. Ac legebat quidem Alypius, audiebant **455** vero qui aderant. Lata autem sententia est, me nihil esse mentitum. Et epistolam habens is qui legerat, exiit, aliis etiam, opinor, ostensurus, vixque reddidit. Scribe itaque similia, et vince; sic enim ipse vincam. Cæterum et illud recte conjicis, non pecuniis res nostras æstimari : sed satis esse ei qui dare non potest, ut velit accipere. Si quem enim rescivero egenum, sed tamen litterarum studiosum ; is, divitibus anteponitur. Quanquam nos tales magistros experti non sumus; at nihil prohibebit nos hac parte esse meliores. Itaque nullus pauper huc pigretur accedere, si hoc unum duntaxat possederit, ut sciat elaborare.

A 'Εν κάλλει μὲν, ἔφην, ἐπιστολῶν ἥττημαι (68)· Βασίλειος δὲ κεκράτηκε. Φίλος δὲ ὁ ἀνὴρ, καὶ διὰ τοῦτο εὐφραίνομαι. Ταῦτα εἰπόντος ἐμοῦ, παρ' αὐτῶν μαθεῖν ἠβουλήθησαν τῶν γραμμάτων τὴν νίκην. Καὶ ἀνεγίνωσκε μὲν ὁ 'Αλύπιος, ἤκουον δὲ οἱ παρόντες. Ἡ ψῆφος δὲ ἠνέχθη, μηδέν με ἐψεῦσθαι. Καὶ τὰ γράμματα ἔχων ὁ ἀναγνοὺς ἐξῄει, δείξων οἶμαι καὶ ἄλλοις, καὶ μόλις ἀπέδωκε. Γράφε τοίνυν παραπλήσια, καὶ νίκα· τουτὶ γάρ ἐστιν ἐμὲ νικᾷν. Καλῶς δὲ κἀκεῖνο εἰκάζεις, ὡς οὐ χρήμασι μετρεῖται (69) τὰ παρ' ἡμῶν· ἀλλ' ἀρκεῖ τῷ μὴ δυναμένῳ δοῦναι, τὸ βουληθῆναι λαβεῖν. Κἂν γὰρ αἴσθωμαί τινα ἐν πενίᾳ, λόγων ἐρῶντα, πρὸ τῶν πλουτούντων οὗτος. Καίτοι οὐ τοιούτων πεπειράμεθα διδασκάλων· ἀλλ' οὐδὲν κωλύσει (70) ταύτῃ γε εἶναι βελτίονας. Μηδεὶς B οὖν πένης ὀκνείτω δεῦρο βαδίζειν, εἰ ἓν ἐκεῖνο κέκτηται μόνον, τὸ ἐπίστασθαι πονεῖν.

EPISTOLA CCCXXXIX *.

ΕΠΙΣΤΟΛΗ ΤΛΘ'.

Basilius Libanio significat se laudem eloquentiæ illi concedere, ac jamdudum oblivioni traditis, quæ apud sophistas didicerat, cum Mose et aliis prophetis versari.

Basilius Libanio.

Quid non dixerit sophista, et talis sophista, cujus artis proprium esse constat, et ex magnis parva facere cum voluerit, et parva amplificare? Quale est quod et in nos declarasti. Nam epistolam illam sordidam, ut vos dixeritis qui orationis delicias habetis, nihilo ea, quam in manibus habes, tolerabiliorem, verbis ita extulisti, ut ab illa superatus, nobis primas in scribendo concederes : simile quiddam faciens lusibus patrum, cum de victoriis, quas ipsi sponte cesserunt, liberos sinunt gloriari, nec damni quidquam sibiipsis inferentes, et liberorum nutrientes æmulationem. Dici profecto non potest, quantum voluptatis habuerit oratio, dum mecum jocareris : velut si quis Polydamas, aut Milo, pancratii vel luctæ certamen mecum ipso detrectet; nam multa considerans, nullum reperi infirmitatis exemplum. Itaque qui verborum hyperbolas consectantur, tuam hic magis admirantur potentiam, qui ita te ipse ad nos jocando demittere potueris, quam si barbarum super Atho navigantem duxisses. Nos quidem, o præclare vir, cum Mose et Elia, similibusque beatis viris versamur, qui sua nobis voce barbara tradunt, nosque ab illis tradita loquimur, sensu quidem vera, sed verbis rudia, quemadmodum hæc ipsa indicant. Nam si nonnihil a vobis didiceramus, id die oblitteratum est. Tu vero nobis scribe, alia epistolarum adhi-

Βασίλειος Λιβανίῳ.

Τί οὐκ ἂν εἴποι σοφιστὴς ἀνὴρ, καὶ σοφιστὴς τοιοῦτος, ᾧ γε ἴδιον εἶναι τῆς τέχνης ὡμολόγηται, καὶ τὰ μεγάλα μικρὰ ποιεῖν ὅτε βούλεται (71), καὶ τοῖς μικροῖς περιτιθέναι μέγεθος; ὁποῖον δή τι καὶ περὶ ἡμᾶς ἐπεδείξω. Τὴν γὰρ ἐπιστολὴν ἐκείνην τὴν ῥυπῶσαν, ὡς ἂν ὑμεῖς οἱ περὶ τοὺς λόγους (72) C τρυφῶντες εἴποιτε, οὐδὲν οὖσαν τῆς ἐν χερσί σου ταύτης ἀνεκτοτέραν, τοσοῦτον ἦρας τῷ λόγῳ, ὡς ἡττηθῆναι δῆθεν αὐτῆς, καὶ ἡμῖν τῶν πρωτείων τοῦ γράφειν παραχωρεῖν· ὅμοιον ποιῶν ταῖς τῶν πατέρων παιδιαῖς, ὅταν ταῖς παρ' ἑαυτῶν νίκαις παραχωρῶσι (73) τοῖς παισὶν ἐναβρύνεσθαι, οὔτε ἑαυτούς τι ζημιοῦντες, καὶ τῶν παίδων τρέφοντες τὸ φιλότιμον. Τῷ ὄντι δὲ καὶ ἀμύθητον ὅσην ἡδονὴν εἶχεν ὁ λόγος ἐν τῇ πρὸς ἡμᾶς παιδιᾷ· οἷον Πολυδάμαντός τινος ἢ Μίλωνος, παγκρατίου ἢ πάλης ἀγωνίαν παραιτουμένου τὴν πρὸς ἐμὲ αὐτόν (74)· πολλὰ γὰρ περισκεψάμενος, οὐδὲν εὗρον ἀσθενείας ὑπόδειγμα· ὥστε τοὺς τὰς ὑπερβολὰς τῶν λόγων ἐπιζητοῦντας ἐνταῦθά σε μᾶλλον ἄγανται τῆς δυνάμεως, οὕτω D δυνηθέντα ταῖς παιδιαῖς πρὸς ἡμᾶς καταβῆναι, ἢ εἰ τὸν βάρβαρον ἦγες (75) ὑπὲρ τὸν Ἄθω πλέοντα. 'Αλλ' ἡμεῖς μὲν, ὦ θαυμάσιε, Μωσεῖ καὶ 'Ηλίᾳ καὶ τοῖς οὕτω μακαρίοις ἀνδράσι σύνεσμεν, ἐκ τῆς βαρβάρου φωνῆς διαλεγομένοις ἡμῖν τὰ ἑαυτῶν, καὶ τὰ παρ' ἐκείνων φθεγγόμεθα, νοῦν μὲν ἀληθῆ, λέξιν δὲ ἀμαθῆ, ὡς αὐτὰ ταῦτα δηλοῖ. Εἰ γάρ τι καὶ ἡμεν

* Alias CXLVI.

(68) *Ἥττημαι.* Sic tres vetustissimi codices. Editi νενίκημαι.

(69) *Μετρεῖται.* Nonnulli codices πράττεται.

(70) *Κωλύσει.* Sic tres vetustissimi codices. Editi κωλύει.

(71) *Ὅτε βούλεται.* Sic Harl., Coisl. uterque et Reg. secundus. Editi, ὁπότε βούλεται. Paulo post iidem editi ὁποῖον δὴ σύ. Mss. quinque ut in textu.

(72) *Οἱ περὶ τοὺς λόγους.* Tres mss. non vetustissimi οἱ τὰ περὶ τοὺς λόγους. Ibidem editio Paris. εἴπητε. Mss. omnes et editio Basil. utraque εἴποιτε.

(73) *Παραχωρῶσι.* Tres mss., nempe Vat., Reg. secundus et Coisl. secundus παρέχωσι. Paulo post duo antiquissimi codices Coisl. et Med. τῶν νηπίων τρέφοντες.

(74) *Πρὸς ἐμὲ αὐτόν.* Coisl. primus πρὸς ἑαυτόν. Mox editi εὐσθενείας, *roboris*. Melius multo Coisl. secundus et Reg. secundus, quos secuti sumus.

(75) *Ἦγες.* Medicæus codex εἶγες.

παρ' ὑμῶν διδαχθέντες, ὑπὸ τοῦ χρόνου ἐπελαθόμεθα. Αὐτὸς δὲ ἐπίστελλε ἡμῖν, ἄλλας ὑποθέσεις ἐπιστολῶν ποιούμενος· αἳ καὶ σὲ δείξουσι, καὶ ἡμᾶς οὐκ ἐλέγξουσι. Τὸν υἱὸν Ἀνυσίου (76) ἤδη σοι προσήγαγον, ὡς ἐμαυτοῦ υἱόν. Εἰ δὲ ἐμός ἐστι παῖς, τοῦ πατρός ἐστι τὸ παιδίον, πένης ἐκ πένητος. Γνώριμον δὲ τὸ λεγόμενον ἀνδρὶ σοφῷ τε καὶ σοφιστῇ.

A bens argumenta, quæ et te ostendant, nec nos arguant. Filium Anysii jam tibi adduxi, ut meum ipsius filium. Quod si meus est hic puer, patris est filius, pauper ex paupere. Quid autem dicam, viro sapienti et sophistæ notum est.

ΕΠΙΣΤΟΛΗ ΤΜ'.

456 EPISTOLA CCCXL *.

Rursus ex præcedenti epistola ansam scribendi capit Libanius.

Λιβάνιος Βασιλείῳ.

Εἰ πάνυ πολὺν χρόνον ἐσκόπεις, πῶς ἂν ἄριστα συνείποις τοῖς περὶ τῶν σῶν γραμμάτων ἡμετέροις γράμμασιν, οὐκ ἂν ἄμεινον τοῦτό μοι ποιῆσαι (77) ἐδόκεις, ἢ τοιαῦτα γράφων, ὁποῖα νῦν ἔγραψας. Καλεῖς γάρ με σοφιστήν· τοῦ τοιούτου δὲ εἶναι φῂς τὸ δύνασθαι τὰ μικρὰ μὲν μεγάλα ποιεῖν, τὰ δ' αὖ (78) μεγάλα μικρά. Καὶ δὴ τὴν ἐμὴν ἐπιστολὴν βεβουλῆσθαι φῂς δεῖξαι τὴν σὴν καλὴν, οὐκ οὖσαν καλήν· εἶναί τε οὐδὲν ἧς νῦν ἔπεμψας βελτίω· ὅλως τε οὐδεμίαν εἶναι παρὰ σοὶ λόγων δύναμιν· τῶν μὲν νῦν ὄντων ἐν χερσὶ βιβλίων τοῦτο οὐ ποιούντων· ὧν δὲ εἶχες πρότερον λόγων ἐξεῤῥυηκότων. Καὶ ταῦτα πείθειν ἐπιχειρῶν, οὕτω καλὴν καὶ ταύτην, ἣν λέγεις κακῶς (79), εἰργάσω τὴν ἐπιστολὴν, ὥσθ' οἱ παρόντες ἡμῖν οὐκ εἶχον μὴ πηδᾷν ἀναγινωσκομένης. Ἐθαύμασα οὖν, ὅτι ταύτῃ τὴν προτέραν καθελεῖν ἐπιχειρήσας, τῷ φάναι ταύτῃ τὴν προτέραν ἐοικέναι, ταύτῃ τὴν προτέραν ἐκόσμησας. Ἐχρῆν δὲ ἄρα τὸν τοῦτο βουλόμενον, χείρονα ποιῆσαι ταύτην ἐπὶ διαβολῇ τῆς πρόσθεν. Ἀλλ' οὐκ ἦν, οἶμαι, σὸν, ἀδικῆσαι τὴν ἀλήθειαν. Ἠδίκητο (80) δ' ἂν, γράφοντος ἐξεπίτηδες φαυλότερα, καὶ οὐ χρωμένου τοῖς οὖσι. Τοῦ αὐτοῦ τοίνυν ἂν εἴη τὸ μήτε ψέγειν ἃ δίκαιον ἐπαινεῖν, ἵνα μή σε τὸ πρᾶγμα φέρον εἰς σοφιστὰς ἐμβάλῃ, πειρώμενον ταπεινὰ τὰ μεγάλα ποιεῖν. Βιβλίων μὲν οὖν, ὧν φῂς εἶναι χείρω μὲν τὴν λέξιν, ἀμείνω δὲ τὴν διάνοιαν, ἔχου, καὶ οὐδεὶς κωλύει (81). Τῶν δὲ ἡμετέρων μὲν ἀεὶ, σῶν δὲ πρότερον, αἱ ῥίζαι μένουσί τε καὶ μενοῦσιν ἕως ἂν ᾖς· καὶ οὐδεὶς μήποτε αὐτὰς ἐκτέμοι (82) χρόνος, οὐδ' ἂν ἥκιστα ἄρδοις.

Libanius Basilio.

Si diu meditatus esses, quomodo his, quæ de tuis litteris scripseram, elegantissime assentireris; non videreris mihi hoc melius præstitisse, quam talia scribendo, qualia nunc scripsisti. Enimvero me B vocas sophistam: sophistæ autem esse dicis, ex parvis magna facere posse, ac rursus parva ex magnis. Ac meæ quidem epistolæ propositum fuisse dicis, ut tuam pulchram esse demonstraret, quamvis pulchra non sit; neque enim meliorem prorsus esse, quam quæ nunc a te missa est; ac omnino nullam tibi esse dicendi facultatem; cum libri qui nunc in manibus sunt, hoc minime præstent; eloquentia vero, qua prius pollebas, effluxerit. Et dum hæc persuadere conaris, ita pulchram et illam, de qua detrahis, epistolam fecisti, ut qui aderant non potuerint non saltare cum legeretur. Sum itaque miratus, quod ista priorem subvertere aggressus, dum tamen isti priorem similem esse dicis, posteriore priorem exornaveris. Conveniebat autem C hoc in animo habenti posteriorem epistolam pejorem facere, ut sic detraheretur de priori. Sed tuum, opinor, non erat veritatem lædere. Læsa autem fuisset, si consulto scripsisses deteriora, et iis quibus polles usus non fuisses. Itaque ejusdem fuerit, nec ea vituperare quæ laudem merentur; ne te res ejusmodi inter sophistas rejiciat, exilia ex magnis facere conantem. Libris igitur, quorum dictionem dicis pejorem esse, sententiam vero præstantiorem, adhære, nec quisquam prohibuerit. Eorum autem, quæ nostra semper sunt, et tua quondam erant, radices et manent in te, et manebunt, quandiu fueris, nec ullum eas tempus exciderit, etiamsi minime rigaveris.

ΕΠΙΣΤΟΛΗ ΤΜΑ'.

EPISTOLA CCCXLI **.

Basilium Libanius existimat idcirco non scribere, quod iram non deposuerit, vel punire velit.

Λιβάνιος Βασιλείῳ.

Οὔπω μοι τῆς λύπης ὑφῆκας, ὥστε με (83) μεταξὺ

D *Libanius Basilio.*

Nondum mihi offensam remisisti, adeoque inter

(76) *Ἀνυσίου*. Quamvis sex codices habeant Ἀνύσιον, quia tamen hæc scriptura non videtur sensui quadrare, textum mutandum esse non existimavi.

(77) *Τοῦτό μοι ποιῆσαι*. Harl., Med. et Coisl. primus τούτου ποιῆσαι, sed sensu prorsus repugnante.

(78) *Τὰ δ' αὖ*. Sic mss. Editi καὶ τά. Paulo post editio Paris. εἶναί τε γάρ. Mss. et editio Basileensis ut in textu.

(79) *Κακῶς*. Sic Basileensis editio et quinque codices mss., quibus etiam alius favet, qui habet καλῶς. Paris. editio καχήν.

(80) *Ἠδίκητο*. Coisl. primus et Med. ἠδικοῖτο.

(81) *Κωλύει*. Quatuor mss. non antiquissimi κωλύοι.

(82) *Ἐκτέμοι*. Medicæus et Coisl. secundus ἐκτέμῃ.

(83) *Ὥστε με*. Pronomen additum ex quatuor mss. Ibidem tres codices vetustissimi μεταξὺ τρέμοντα γράφειν.

* Alias CXLVII.

** Alias CXLVIII.

scribendum tremo. Quod si remisisti, quamobrem non scribis, optime? sin autem adhuc retines, id quod cum ab omni erudita anima, tum a tua alienum est; quomodo cum aliis prædices iram ad solis usque occasum servari non oportere, tu illam per multos soles servasti? Num forte damnum mihi inferre voluisti, mellita tua voce defraudans? Absit, o generose: sed animo sis placido ac miti; et largiáre, ut lingua tua, quæ tota aurea est, perfruar.

A γράφοντα τρέμειν. Ἀλλ' εἰ μὲν ἀφῆκας, τί οὐκ ἐπιστέλλεις, ὦ ἄριστε; εἰ δὲ ἔτι κατέχεις, ὃ πάσης λογίας ψυχῆς καὶ τῆς σῆς ἐστιν ἀλλότριον, πῶς ἄλλοις κηρύττων, μὴ χρῆναι μέχρι δυσμῶν ἡλίου λύπην φυλάττειν, αὐτὸς ἐν πολλοῖς ἡλίοις ἐφύλαξας; Ἢ τάχα ζημιῶσαί με προείλου (84), τῆς μελιχρᾶς σου φωνῆς ἀποστερῶν; Μὴ σύ γε, ὦ γενναῖε, ἀλλὰ γενοῦ πρᾶος, καὶ δὸς ἀπολαῦσαι (85) τῆς παγχρύσου σου γλώττης.

457 EPISTOLA CCCXLII *.

ΕΠΙΣΤΟΛΗ ΤΜΒ'.

Comparat Basilius præcedentem Libanii epistolam cum rosa et spinis.

Basilius Libanio.

Qui rosa delectantur, ut par est elegantiæ studiosos delectari, ne ipsas quidem spinas, ex quibus flos enascitur, oderunt. Audivi autem ex quodam, cum is fortasse jocans vel etiam serio tale aliquid de rosis diceret, veluti amatorios quosdam stimulos amatoribus, ita tenues illas spinas naturam flori adjunxisse, ut ad majus desiderium innexis apte aculeis legentes exstimularet. Sed quid sibi vult rosa in litteras introducta? Nihil prorsus necesse est te edoceri, cum epistolæ tuæ memineris: quæ florem quidem habebat rosæ, totum nobis disertissima lingua ver expandens: sed querelis quibusdam et expostulationibus adversum nos, spinosa erat. Sed mihi orationis tuæ vel spina voluptati est, ad majus amicitiæ desiderium inflammans.

Βασίλειος Λιβανίῳ.

B Οἱ πρὸς τὸ ῥόδον ἔχοντες, ὡς τοὺς φιλοκάλους εἰκὸς, οὐδὲ πρὸς αὐτὰς τὰς ἀκάνθας, ὧν τὸ ἄνθος ἐκφύεται, δυσχεραίνουσι. Καί τινος ἤκουσα τοιοῦτόν τι περὶ αὐτῶν παίζοντος τάχα, ἢ καὶ σπουδάζοντος ὅτι, καθάπερ ἐρωτικά τινα κνίσματα τοῖς ἐρασταῖς, τὰς λεπτὰς ἐκείνας ἀκάνθας ἡ φύσις τῷ ἄνθει προσέφυσε, πρὸς μείζονα πόθον τοῖς εὐπλήκτοις (86) κέντροις τοὺς δρεπομένους ὑπερεθίζουσα. Τί βούλεταί μοι (87) τὸ ῥόδον, τοῖς γράμμασιν ἐπεισαγόμενον; Πάντως οὐδὲν δεῖ σε διδαχθῆναι, τῆς ἐπιστολῆς μεμνημένον τῆς σῆς, ἣ τὸ μὲν ἄνθος εἶχε τοῦ ῥόδου, ὅλον ἡμῖν τὸ ἔαρ τῇ εὐγλωττίᾳ (88) διαπετάσασα, μέμψεσι δέ τισι καὶ ἐγκλήμασι καθ' ἡμῶν ἐξηκάνθωτο. Ἀλλ' ἐμοὶ τῶν σῶν λόγων καθ' ἡδονήν ἐστι καὶ ἡ ἄκανθα, πρὸς μείζονα πόθον τῆς φιλίας ἐκκαίουσα.

EPISTOLA CCCXLIII **.

ΕΠΙΣΤΟΛΗ ΤΜΓ'.

Laudat Libanius Basilii eloquentiam.

Libanius Basilio.

Si ista sunt linguæ incultæ, qualis esses, illam si acueres? Tuo enim in ore eloquentiæ resident fontes rivulorum fluentis præstantiores: nos vero nisi quotidie irrigemur, superest silentium.

C *Λιβάνιος Βασιλείῳ.*

Εἰ ταῦτα γλώττης ἀργοτέρας, τίς ἂν εἴης αὐτὴν ἀκονῶν; Σοῦ μὲν γὰρ (89) ἐν τῷ στόματι λόγων οἰκοῦσι πηγαὶ, κρείσσους ναμάτων ἐπιῤῥοῆς· ἡμεῖς δὲ εἰ μὴ καθ' ἡμέραν ἀρδοίμεθα, λείπεται τὸ σιγᾷν.

EPISTOLA CCCXLIV ***.

ΕΠΙΣΤΟΛΗ ΤΜΔ'.

Basilius inexcusabilem esse Libanium contendit, si ad se non scribat.

Basilius Libanio.

Ad eruditionem tuam ut non crebro scribam, suadent et timor et imperitia: quod vero tu constantissime siles, quomodo reprehensionem effugies? Quod si quis te, in litteris viventem, ad scribendum tardum esse ac pigrum consideraverit; tibi oblivionem nostri ascribet. Nam cui dicere in promptu est, is nec ad scribendum imparatus. Hæc

Βασίλειος Λιβανίῳ.

Τὸ μὴ συνεχῶς με γράφειν πρὸς τὴν σὴν παίδευσιν, πείθουσι τό τε δέος καὶ ἡ ἀμαθία· τὸ δέ σε καρτερικώτατα σιωπᾷν, τί τῆς μέμψεως ἐξαιρήσεται; Εἰ δέ τις λογίσαιτο τὸ καὶ ἐν λόγοις σε D βιοῦντα ὀκνεῖν ἐπιστέλλειν, καταψηφιεῖταί σου λήθην τὴν πρὸς ἡμᾶς. Ὧ γὰρ τὸ λέγειν πρόχειρον, καὶ τὸ ἐπιστέλλειν οὐκ ἀνέτοιμον. Ὁ δὲ ταῦτα

* Alias CXLIX.

** Alias CL.

*** Alias CLI.

(84) *Προείλου*. Editi post hanc vocem addunt τιμωρεῖσθαί με βούλει, quæ desunt in omnibus mss.

(85) *Ἀπολαῦσαι*. Ita sex mss. codices. Editi ἀπολαύειν.

(86) *Εὐπλήκτοις*. Legendum videtur εὐπλέκτοις. Reg. primus habet ἀπλήκτοις. Reg. secundus et Coisl. secundus ἀπράκτοις, quæ scriptura arridet Combefisio, ac reddendum putat, *Aculeis casso vulnere deterrentibus*. Coisl. primus ἀπλήστοις.

(87) *Τί βούλεταί μοι*, etc. Editi τί μοι δὴ βούλεται τοῖς γράμμασι τὸ ῥόδον ἐπεισαγόμενον; Πάντως οὐδέν σε χρή. Quatuor mss. ut in textu.

(88) *Τῇ εὐγλωττίᾳ*. Sic mss. sex. Editi τῆς εὐγλωττίας.

(89) *Σοῦ μὲν γάρ*. Harlæanus et Anglicanus σοὶ μὲν γάρ. Infra deest ἐπιῤῥοῆς in Medicæo et Coisl. secundo. Ibidem editi ἡμῖν δέ. Sex mss. ut in textu.

κεκτημένος, εἶτα σιγῶν, εὔδηλον ὡς ὑπεροψίᾳ ἢ λήθῃ τοῦτο ποιεῖ. Ἐγὼ δέ σου τὴν σιωπὴν ἀμείψομαι προσρήσει. Χαῖρε τοίνυν, τιμιώτατε, καὶ γράφε εἰ βούλοιο· καὶ μὴ γράφε, εἰ τοῦτό σοι προσφιλές.

autem qui possidet, et tamen silet, perspicuum est eum aut ex contemptu aut ex oblivione hoc facere. Ego autem silentio tuo salutationem rependam. Salve itaque, vir inprimis colende, et scribe si volueris : et ne scribas, id si tibi ita placuerit.

ΕΠΙΣΤΟΛΗ ΤΜΕʹ.

EPISTOLA CCCXLV *.

Nunc primum Libanius scribit Basilio. Meminit se olim illius eloquio valde delectatum, sed tamen aliquando injuriam ab eo accepisse, quod se in profundum Homerici furoris rogatus introducere noluisset.

Λιβάνιος Βασιλείῳ.

Μᾶλλον ὅτι μὴ πάλαι σοι γράφειν ἠρξάμην, οἶμαί μοι δεῖν ἀπολογίας, ἢ νῦν παραιτήσεως, ὅτι τοῦτο (90) ποιεῖν ἠρξάμην. Ἐγὼ γὰρ ἐκεῖνος, ὁ προσθέων, ὁπότε φανείης, καὶ ὡς ἥδιστα ὑπέχων τὰ ὦτα τῷ ῥεύματι τῆς γλώττης, καὶ λέγοντος εὐφραινόμενος, καὶ μόλις ἀπαλλαττόμενος, καὶ πρὸς τοὺς ἑταίρους λέγων, ὡς Οὗτος ἀνὴρ τοσούτῳ καλλίων τῶν Ἀχελῴου θυγατέρων, ὅσῳ θέλγει μὲν ἧπερ (91) ἐκεῖναι, βλάπτει δὲ οὐχ ὥσπερ ἐκεῖναι. Καὶ μικρόν γε τὸ μὴ βλάπτειν· ἀλλ' ὅτι τὰ τοῦδε μέλη κέρδος τῷ δεξαμένῳ. Τὸν οὖν οὕτως ἔχοντά με γνώμης, νομίζοντα δὲ καὶ φιλεῖσθαι, λέγειν δὲ δοκοῦντα μὴ τολμᾷν ἐπιστέλλειν, ἐσχάτης ἀργίας, καὶ τοῦτ' ἂν εἴη ἅμα ζημιοῦντος αὐτόν (92). Δῆλον γάρ, ὡς ἀμείψῃ μου τὴν ἐπιστολὴν τὴν μικρὰν καὶ φαύλην καλῇ τε καὶ μεγάλῃ, καὶ φυλάξῃ δήπου, μή με καὶ δεύτερον ἀδικῇς. Οἶμαι γὰρ (93) πολλοὺς βοήσεσθαι πρὸς τὸ ῥῆμα καὶ περιστήσεσθαι πρὸς τὰ πράγματα κεκραγότας· Βασίλειος ἠδίκηκέ τι κἂν σμικρόν; οὐκοῦν καὶ Αἰακὸς, καὶ Μίνως, καὶ ὁ τούτου δὲ ἀδελφός. Ἐγὼ δέ σε τῇ μὲν ἄλλῃ νενικηκέναι συγχωρῶ· τίς δὲ ἰδών τέ σε, καὶ οὐ φθονῶν; Ἓν δέ τί σοι ἡμαρτῆσθαι πρὸς ἡμᾶς, κἄν σε τοῦτ' ἀναμνήσω, πεῖθε τοὺς ἀγανακτοῦντας μὴ βοᾷν. Οὐδείς σοι προσελθὼν καὶ χάριν ἐπαγγείλας (94), ἣν δοῦναι ῥᾷστον, ἀτυχὴς ἀπῆλθεν. Εἰμὶ τοίνυν (95) τῶν χάριν αἰτησάντων μὲν, οὐ λαβόντων δέ. Τί οὖν ᾔτουν; Πολλάκις ἐν στρατηγίῳ (96) σοι συγγενόμενος, ἠβουλήθην (97) διὰ τῆς σῆς σοφίας εἰς τὸ βάθος τῆς Ὁμήρου μανίας εἰσελθεῖν. Εἰ δὲ τὸ πᾶν οὐ δυνατὸν, σὺ δὲ ἀλλ' εἰς μέρος ἡμᾶς εἰσάγαγε τοῦ κλήρου. Μέρους δὲ ἐπεθύμουν, ἐν ᾧ τῶν Ἑλλήνων κακῶς πεπραχότων (98), ὃν ὕβρισεν Ἀγαμέμνων ἐθεράπευε δώροις. Ταῦτ' ἐμοῦ λέγοντος, ἐγέλας, ἀρνεῖσθαι μὲν οὐκ ἔχων, ὡς οὐκ ἂν δύναιο βουληθεὶς, δωρήσασθαι δὲ οὐκ ἐθέλων. Ἆρά σοι καὶ τοῖς

Libanius Basilio.

Magis arbitror mihi opus esse excusatione, quod non olim ad te scribere incœperim, quam nunc recusatione, quod scribere incipiam. Ego enim ille sum, qui accurrebam, **458** quoties in conspectum prodires, et quam suavissime aures præbebam linguæ fluentis, teque dicente delectabar, vixque secedebam, atque ad sodales dicebam : Hic vir tanto præstantior Acheloi filiabus, quanto mulcet quidem ut illæ, nec tamen ut illæ lædit. Et sane parum est non lædere, imo illius cantilenæ lucro sunt audienti. Cum igitur ita sim animo affectus, meque diligi existimem et dicendi facultate præditus videar, scribere non audere extremæ inertiæ fuerit, simulque hominis sibiipsi damnum inferentis. Liquet enim fore, ut meam epistolam parvam et vilem pulchra et grandi remunereris, caveasque, ne mihi iterum injuriam facias. Equidem arbitror multos exclamaturos esse ad hoc verbum, et ad res ipsas concursuros, vociferantes : Basiliusne injuriam vel levem intulit? Ergo et Æacus, et Minos, et hujus frater. Ego autem te in reliquis quidem victorem fuisse concedo; quis enim te vidit, et non invidit? Sed tamen unum in nos peccasti. De quo quidem si te admoneam, persuade indignantibus ut ne vociferentur. Nemo est qui te conveniens ac beneficium petens, quod dari facile possit, voti compos non abierit. Atqui ego ex eorum numero sum, qui beneficium petierunt quidem, sed non acceperunt. Quid igitur postulavi? Tecum in prætorio cum sæpe versarer, optavi ut sapientiæ tuæ ope in profundum Homerici furoris introirem. Quod si, aiebam, totum id perfici non potest, at tu tamen in partem sortis nos introducas. Concupiscebam autem partem illam, in qua cum Græci fortuna adversa uterentur, Agamemnon hunc ipsum, quem contumelia affecerat, muneribus places omnes, nec favet ulla ratio.

(90) *Ὅτι τοῦτο.* Sic mss. sex. Editi ὅτε τοῦτο.

(91) *Ἧπερ.* Codices tres ἤπερ, *magis quam illæ.* Paulo post editi ἀλλ' ἤδη τά. Mss. octo ut in textu.

(92) *Ἐσχάτης ἀργίας, καὶ τοῦτ' ἂν εἴη ἅμα ζημιοῦντος αὐτόν.* Forte legendum, ἐσχάτης ἀργείας τοῦτ' ἂν εἴη, καὶ ἅμα ζημιοῦντος αὐτόν. Edit.

(93) *Οἶμαι γάρ.* Ita codices mss. septem. Editi οἶμαι δέ.

(94) *Χάριν ἐπαγγείλας.* Reg. secundus et Coisl. secundus ἀπαγγείλας [melius].

(95) *Εἰμὶ τοίνυν.* Editi addunt ἐγώ, sed hoc pronomen deest in septem nostris codicibus. Paulo post pro μανίας, legendum μαντείας, id est, *divinationis*, existimat Combefisius, sed repugnant codices omnes, nec favet ulla ratio.

(96) *Ἐν στρατηγίῳ.* Sic mss. duo. Editio Basileensis et Coisl. primus, Harl., Med. et Reg. primus ἐν στρατηγίου. Editio Paris. ἐν στρατηγείῳ.

(97) *Ἠβουλήθην.* Ita codices mss. septem et editio Basileensis. At Parisiensis ἐδεήθην. Paulo post editio eadem οὐ δυνατὸν, ἔφην, sed postremum illud verbum deest in septem mss. et edit. Basil.

(98) *Πεπραχότων.* Ita omnes mss. Editi πεπραγότων. Ibidem editi ὃν ὕβρισεν, deest vocula in novem mss., sed tamen videtur ad sententiam necessaria. Habent sex codices θεραπεύων, Medicæus θεραπεύει

* Alias CLII.

cavit. Hæc dicente me, ridebas, negare quidem haud valens posse te si velles, sed tamen gratificari nolens. Num igitur tibi et iis, qui indignantur quod inferre te injuriam dixerim, injuria affici videor?

A ἀγανακτοῦσιν, ὅτι σε ἔφην ἀδικεῖν, ἀδικεῖσθαι (99) δοκῶ;

EPISTOLA CCCXLVI *.

ΕΠΙΣΤΟΛΗ ΤΜϚʹ.

Libanius testatur de bonis moribus adolescentium quos Basilius miserat.

Libanius Basilio.

An iis quos misisti adolescentibus aliquid ad dicendi facultatem addiderim, ipse judicabis. Spero autem hoc, etiamsi parvum sit, magnum visum iri ob tuum in nos amorem. Quod autem temperantiam et animum pravis voluptatibus liberum laudas magis, quam facundiam, id omnino curarunt, atque vitam egerunt, ut illius, a quo missi erant, non immemores agere par erat. Complectere jam tua pignora, et lauda eos qui et me et te moribus suis exornarunt. Adhortari autem te ad opem illis ferendam, idem esset, ac patrem hortari ut liberis subveniat.

Λιβάνιος Βασιλείῳ.

Εἰ μέν τι περὶ τοὺς λόγους τοῖς νέοις οὓς ἔπεμψας προσεθήκαμεν, αὐτὸς κρινεῖς. Ἐλπίζω δὲ αὐτὸ, κἂν μικρὸν ᾖ, μεγάλου λήψεσθαι δόξαν, διὰ τὴν πρὸς ἡμᾶς φιλίαν. Ὃ δὲ πρὸ τῶν λόγων ἐπαινεῖς, τὴν σωφροσύνην, καὶ τὸ μὴ παραδοῦναι τὰς ψυχὰς ταῖς οὐ καλαῖς ἡδοναῖς, πάνυ τούτου πεποίηνται πρόνοιαν (1), καὶ διήγαγον, ὡς εἰκὸς B ἦν, τοῦ πέμψαντος (2) μεμνημένους (3). Δέχου δὴ τὰ σεαυτοῦ, καὶ ἐπαίνει τούς σέ τε κἀμὲ τῷ τρόπῳ κεκοσμηκότας. Παρακαλεῖν δέ σε πρὸς τὸ βοηθεῖν, ὅμοιον ἦν τῷ πατέρα παισὶ παρακαλεῖν βοηθεῖν.

459 EPISTOLA CCCXLVII **.

ΕΠΙΣΤΟΛΗ ΤΜΖʹ.

Libanius episcopos avaritiæ accusat, et ideo timide petit a Basilio, ut tigna ad se mittat.

Libanius Basilio.

Omnis quidem episcopus res est, unde emolumenti aliquid vix exspectandum sit: tu vero, quanto reliquos eruditione superas, tanto etiam majorem mihi timorem incutis, ne petita mihi deneges. Nam tignis mihi opus est: perticas autem aut palos aliquis alius sophista dixisset, non his opus habens, sed voculas magis ostentans, quam necessitati inserviens. Ego vero, nisi tu largiare, sub dio hiemabo.

Λιβάνιος Βασιλείῳ.

Πᾶς μὲν ἐπίσκοπος πρᾶγμα δυσγρίπιστον (4)· σὺ δὲ ὅσῳ τοὺς ἄλλους παρελήλυθας λογιότητι, τοσούτῳ καὶ φόβον μοι παρέχεις, μή πως ἔξαρνος στῇς πρὸς τὴν αἴτησιν. Κἀπειδὴ στρωτήρων δέομαι, κάμακας C δ' ἂν ἢ χάρακας ἄλλος εἶπε σοφιστὴς, οὐ χρῄζων, ἀλλὰ τοῖς ῥηματίοις ἐγκαλλωπιζόμενος, ἢ τῆς χρείας (5) γινόμενος. Ἐγὼ δὲ, εἰ μὴ σὺ παράσχοις (6), ὕπαιθρος διαχειμάσω.

EPISTOLA CCCXLVIII ***.

ΕΠΙΣΤΟΛΗ ΤΜΗʹ.

Demonstrat Basilius non episcopos sed sophistas avaros esse et tenaces. Tigna mittit trecenta.

Basilius Libanio.

Si lucrari idem valet ac γριπίζειν, et hanc sententiam habet vox illa, quam ex Platonis adytis, sophistica tua nobis ars deprompsit; considera, o admirande, utri sint tenaciores; nos qui sic per epistolæ tuæ licentiam defigimur, an sophistarum genus, quorum ars est ex sermonibus quæstum facere. Quis ex episcopis tributum imposuit ob sermones? quis discipulos fecit vectigales? Vos estis, qui eloquentiam venalem proponitis, velut mellis coctores mellitas placentas. Vides quemadmodum senem etiam ad recalcitrandum provoca-

Βασίλειος Λιβανίῳ.

Εἰ τὸ κερδαίνειν τοῦτο γριπίζειν (7) λέγεται, καὶ ταύτην ἔχει τὴν σημασίαν ἡ λέξις, ἣν ἐκ τῶν Πλάτωνος ἀδύτων ἡ σοφιστική σου ἡμῖν προεχειρίσατο, σκόπησον, ὦ θαυμάσιε, τίς μᾶλλόν ἐστι δυσγρίπιστος· ἡμεῖς, οἱ οὕτω δι' ἐπιστολιμαίας δυνάμεως ἀποχαρακούμενοι· ἢ τὸ τῶν σοφιστῶν γένος, οἷς D τέχνη τὸ τελωνεῖν τοὺς λόγους ἐστί. Τίς τῶν ἐπισκόπων τοὺς λόγους ἐφορολόγησε; τίς τοὺς μαθητευομένους μισθοφόρους κατέστησεν; Ὑμεῖς (8) οἱ προτιθέντες τοὺς λόγους ὤνια, ὥσπερ οἱ τοῦ μέλιτος ἑψηταὶ τὰ μελίπηκτα. Ὁρᾷς, ὡς καὶ τὸν γέ-

* Alias CLIII.
** Alias CLIV.
*** Alias CLV.

(99) Ἀδικεῖσθαι. Ita Harl., Med. et Coisl. primus. Editi ἠδικῆσθαι.

(1) Πεποίηνται πρόνοιαν. Med. πεποίηται πρόνοια.

(2) Τοῦ πέμψαντος. Cod. Anglic. τῶν τοῦ πέμψαντος.

(3) Μεμνημένους. Sic duo codices Coisl. et Reg. secundus, quibus favet Medicæus, in quo legitur μεμνημένου. Editi μεμνημένοι.

(4) Δυσγρίπιστον. Coisl. primus δυσγρήπιστον Sic etiam utraque Basileensis editio.

(5) Ἢ τῆς χρείας. Ante has voces addit Harlæanus codex μᾶλλον.

(6) Παράσχοις. Ita sex codices mss. Editi παράσχῃς. Editio Basileensis παράσχοιο.

(7) Γριπίζειν. Coisl. primus, ut antea, γρηπίζειν, et paulo post δυσγρήπιστος. Sic etiam Basileensis editio.

(8) Ὑμεῖς. Harl. ὡς ὑμεῖς

ροντα ὑποσκιρτᾷν παρεκίνησας; Ἐγὼ δέ σοι τῷ ταῖς μελέταις ἐμπομπεύοντι ἰσαρίθμους τοῖς ἐν Θερμοπύλαις ἀγωνιζομένοις στρατιώταις στρωτῆρας χρησθῆναι προσέταξα, ἅπαντας εὐμήκεις, καὶ κατὰ τὸν σὸν Ὅμηρον, δολιχοσκίους (9), οὓς ὁ ἱερὸς Ἀλφαῖος (10) ἀποκαταστήσειν κατεπηγγείλατο.

A ris? Ego vero tibi in declamationibus pompam ducenti tot tigna commodari jussi, quot milites in Thermopylis pugnavere, singula prolixa, et secundum tuum Homerum, umbram longam efficientia: quæ Alphæus sacer se redditurum esse promisit.

ΕΠΙΣΤΟΛΗ ΤΜΘ'.

EPISTOLA CCCXLIX *.

Jocatur Libanius in Cappadociam, seque discipulos Cappadoces transmutaturum promittit.

Λιβάνιος Βασιλείῳ.

Οὐ παύσῃ, Βασίλειε, τὸν ἱερὸν τοῦτον τῶν μουσῶν σηκὸν μεστὸν ποιῶν Καππαδοκῶν, καὶ ταῦτα ἀποζόντων γριτῆς καὶ χιόνος (11) καὶ τῶν ἐκεῖθεν καλῶν; Μικροῦ δέ με καὶ Καππαδόκην ἔθηκαν, ἀεί μοι τὸ, προσκυνῶ σε (12), προσᾴδοντες. Δεῖ δὲ ὅμως ἀνέχεσθαι, Βασιλείου κελεύοντος. Ἴσθι τοίνυν, ὡς τῆς μὲν χώρας τοὺς τρόπους ἐξακριβάζω (13), τὴν δὲ εὐγένειαν καὶ τὸ ἐμμελὲς τῆς ἐμῆς Καλλιόπης μεταμφιάσω τοὺς ἄνδρας, ἵν' ὀφθεῖεν ὑμῖν ἀντὶ φασσῶν περιστεραί.

Libanius Basilio.

Non desines, Basili, sacrum hoc musarum domicilium replere Cappadocibus, iisque griten nivemque et cætera illius regionis bona redolentibus? B Prope autem factum est, ut me etiam Cappadocem effecerint, semper mihi illud, προσκυνῶ σε, occinentes. Attamen ferendum est, Basilio ita jubente. Scito igitur, me regionis quidem mores diligenter investigare, viros vero ad meæ Calliopes nobilitatem atque concinnitatem transmutaturum, ut vobis pro palumbis columbæ facti esse videantur.

ΕΠΙΣΤΟΛΗ ΤΝ'.

460 EPISTOLA CCCL **.

Respondet Basilius epistolæ præcedenti.

Βασίλειος Λιβανίῳ (14).

Λέλυταί σοι τὸ δύσθυμον. Τοῦτο γὰρ ἔστω τῆς ἐπιστολῆς τὸ προοίμιον. Σὺ δὲ σκῶπτε καὶ διάσυρε τὰ ἡμέτερα, εἴτε γελῶν, εἴτε σπουδάζων. Τί δὲ χιόνος ἢ γριτῆς ἐμνημόνευσας, παρὸν ἐντρυφᾷν ἡμῶν τοῖς σκώμμασιν (15); Ἐγὼ δὲ, ὦ Λιβάνιε, ἵνα σοι καὶ πλατὺν κινήσω τὸν γέλωτα, ὑπὸ παραπετάσματι καλυπτόμενος χιόνος, τὴν ἐπιστολὴν ἔγραψα, ἣν δεξάμενος ψαύων (16) χερσὶ, γνώσῃ ὡς κρυερά τις αὐτὴ καὶ τὸν πέμψαντα χαρακτηρίζει ἐμφωλεύοντα, καὶ μὴ δυνάμενον ἔξω τῶν δωματίων (17) προκύπτειν. Τάφους γὰρ τοὺς οἴκους κεκτήμεθα, μέχρις ἐπιλάβοι τὸ ἔαρ, καὶ νεκροὺς ἡμᾶς ὄντας πρὸς ζωὴν ἐπανάξῃ, πάλιν τὸ εἶναι, ὥσπερ φυτοῖς, χαριζόμενον.

Basilius Libanio.

Sedata est animi tui ægritudo. Hoc enim sit epistolæ exordium. Tu vero irride et vellica res nostras, sive jocans, sive serio. Quid autem nivis vel gritæ mentionem fecisti, cum liceret tibi dicteriis in nos indulgere? Ego autem, o Libani, tibi ut C risum magnum moveam, hanc velo niveo tectus epistolam conscripsi: quam cum acceperis, ac manu contigeris, senties quam sit gelida, quamque referat eum a quo missa est, latitantem, nec extra ædes prospicere valentem. Sepulcra enim sunt ædes nostræ, donec ver successerit, et mortuos nos ad vitam reduxerit, rursus nobis, quemadmodum plantis, largiens ut simus.

ΕΠΙΣΤΟΛΗ ΤΝΑ'

EPISTOLA CCCLI ***.

Libanium rogat Basilius ut ad se mittat orationem, quam de homine moroso summa celebritate pronuntiaverat.

Βασίλειος Λιβανίῳ.

Πολλοὶ περιτυχόντες ἡμῖν τῶν αὐτόθι (18), ἐθαύμασάν σου τὴν ἐν τοῖς λόγοις ἀρετήν. Ἔλεγον γὰρ

Basilius Libanio.

Multi eorum qui istinc ad nos veniunt, tuam D vim dicendi mirati sunt. Narrarunt enim speci-

(9) *Δολιχοσκιους*. Homer. *Iliad.* Γ, v. 346 et 355.

(10) *Ἀλφαῖος*. Sic Reg. secundus. Non illepide auctor epistolæ fluvium obstringit restituendi promisso, ut gratuito a se dari ostendat. Habent Coisl. primus et Med. ὁ ἱερὸς δ' ἀποκαταστήσειν. Quatuor alii ὁ ἱερὸς ἀποκατασήσειν. Harl. ὁ ἱερὸς Εὐστάθιος. Editi ὁ ἱερὸς Δονάτος, excepta Basileensi editione prima, quæ habet Εὐστάθιος. Vaticanus, οὐχ Ὅμηρος δ' ὑποκαταστήσειν.

(11) *Γριτῆς καὶ χιόνος*. Sic mss. septem. Editi, γριτῆς καὶ χιόνων.

(12) *Προσκυνῶ σε*. Ita septem mss. codices. Editi προσκυνῶ σοι.

(13) *Ἐξακριβάζω*. Quinque codices εξακριβάζων. Harl. ἐξακριβώσω. Habet etiam editio Basileensis ἐξακριβάζων.

(14) *Λιβανίῳ*. Addit Harl. πρὸς τὰς ἑκατέρας ἐπιστολάς, *ad utramque epistolam;* nempe quia in hoc codice ante ultimam epistolam alia legitur, quam paulo post apponimus, quæque sic incipit, τί παθών, etc.

(15) *Ἡμῶν τοῖς σκώμμασιν*. Harl. τοῖς ἡμετέροις σκώμμασιν.

(16) *Ψαύων*. Ita tres vetustissimi codices cum Anglicano. Editi καὶ ψαύων.

(17) *Δωματίων*. Reg. secundus et Coisl. secundus δωματίου. Paulo post editi ἐπανάξει. Mss. ut in textu.

(18) *Τῶν αὐτόθι*. Reg. secundus et Coisl. secundus τῶν αὐτόθεν

* Alias CLVI.

** Alias CLVII.

*** Alias CLVIII.

men quoddam valde splendidum editum fuisse; A atque uti dicebant, certamen maximum erat, adeo ut concurrentibus omnibus nemo alius in urbe compareret, nisi solus decertans Libanius, et quælibet ætas auscultans. Nemo enim volebat a certaminibus abesse, non qui in dignitatis splendore constitutus, non qui in militum ordinibus illustris, non operarii et artifices. Quin et mulieres certamini interesse festinabant. Quodnam autem certamen erat? quæ oratio omnem populi conventum colligens? Narraverunt hominem morosum oratione descriptum et expressum fuisse. Quam orationem adeo visam admirabilem mittere ne pigreris, ut et ego sermonum tuorum laudator sim. Qui enim laudo Libanium, etiam sine operibus, qualis ero, laudum adeptus argumentum? B

ἐπίδειξίν τινα γεγενῆσθαι λαμπρὰν ἄγαν, καὶ ἀγὼν ἦν, ὡς ἔφασκον, μέγιστος, ὡς πάντας μὲν συνδραμεῖν καὶ μηδένα ἕτερον ἐν τῇ πόλει φανῆναι, ἢ μόνον Λιβάνιον ἀγωνιζόμενον, καὶ πᾶσαν ἡλικίαν ἀκροωμένην. Οὐ γὰρ ἠξίου τις ἔξω τῶν ἀγώνων γενέσθαι, οὐκ ἀξιώματος ὄγκῳ συνὼν, οὐ στρατιωτικοῖς καταλόγοις ἐμπρέπων, οὐ βαναύσοις τέχναις σχολάζων. Ἤδη δὲ καὶ γυναῖκες παρεῖναι κατηπείγοντο τοῖς ἀγῶσι. Τίς δὲ ὁ ἀγών; τίς δὲ ὁ λόγος, ὁ τὴν πάνδημον συναγείρας πανήγυριν; Καὶ δή μοι ἤγγειλαν δυσκόλου τρόπον ἀνδρὸς τὸν λόγον ἐνστήσασθαι. Ὃν οὕτω θαυμασθέντα, μὴ κατόκνει μοι πέμψαι, ἵνα κἀγὼ τῶν λόγων ἐπαινέτης εἴην τῶν σῶν. Ὁ γὰρ Λιβάνιον ἐπαινῶν, καὶ τῶν ἔργων ἐκτὸς, τίς ἂν γένωμαι νῦν ὑπόθεσιν ἐπαίνων εὑράμενος (19);

EPISTOLA CCCLII *.

ΕΠΙΣΤΟΛΗ ΤΝΒ'.

Mittit Libanius suam De homine moroso *orationem, seque tremere significat ac pene mente dejici, dum tam arguti judicis acumen formidat.*

Libanius Basilio.

Ecce misi tibi meam orationem, sudore diffluens. Quomodo enim sudore non perfunderer, ei viro orationem mittens, cujus ea est dicendi facultas, ut Platonis sapientiam, et Demosthenis vehementiam frustra jactatas esse convincere queat? Sermo autem meus perinde est, ac si culicem conferas elephanti. Hinc horreo ac tremo, cum eam diem mecum reputo, qua meam inspicies orationem; imo etiam fere mente lapsus sum. C

Λιβάνιος Βασιλείῳ.

Ἰδοὺ πέπομφα τὸν λόγον, ἱδρῶτι περιῤῥεόμενος. Πῶς γὰρ οὐκ ἔμελλον, ἀνδρὶ τοιούτῳ (20) πέμπων τὸν λόγον, ὃς ἱκανός ἐστι τὴν Πλάτωνος σοφίαν καὶ Δημοσθένους δεινότητα τῇ περὶ τοὺς λόγους εὐμαθείᾳ δεῖξαι θρυλλουμένας μάτην; Τὸ δὲ ἐμὸν τοιοῦτον, οἷον κώνωψ ἐλέφαντι παραβαλλόμενος. Ὅθεν πέφρικα καὶ τρέμω, τὴν ἡμέραν λογιζόμενος, καθ' ἣν ἐπισκέψῃ τοὺς λόγους· μικροῦ δὲ (21) καὶ τῶν φρενῶν ἐκπέπτωκα.

461 EPISTOLA CCCLIII **.

ΕΠΙΣΤΟΛΗ ΤΝΓ'.

Laudat Basilius orationem Libanii ad se missam.

Basilius Libanio.

Legi orationem tuam, o sapientissime, et valde admiratus sum. O musæ, et litteræ, et Athenæ, qualia largimini vestris amatoribus! Quales fructus ferunt, qui per breve quoddam tempus vobiscum versantur! O fontem large se effundentem, quales præstitit haurientes! Ipsum enim morosum videbar mihi videre in oratione cum garrula muliercula versantem. Vivum enim et animatum sermonem scripsit in terra Libanius, qui solus verbis animam largitus est. D

Βασίλειος Λιβανίῳ.

Ἀνέγνων τὸν λόγον, σοφώτατε, καὶ ὑπερτεθαύμακα. Ὦ μοῦσαι, καὶ λόγοι, καὶ Ἀθῆναι, οἷα τοῖς ἐρασταῖς δωρεῖσθε! Οἵους κομίζονται τοὺς καρποὺς, οἱ βραχύν τινα χρόνον ὑμῖν συγγινόμενοι! Ὦ πηγῆς πολυχεύμονος, οἵους ἔδειξε τοὺς ἀρυομένους! Αὐτὸν γὰρ ἐδόκουν (22) ὁρᾷν ἐν τῷ λόγῳ λάλῳ συνόντα γυναίῳ. Ἔμπνουν γὰρ λόγον ἐπὶ χθονὸς Λιβάνιος ἔγραψεν, ὃς μόνος τοῖς λόγοις ψυχὴν ἐχαρίσατο

EPISTOLA CCCLIV ***.

ΕΠΙΣΤΟΛΗ ΤΝΔ'.

Gratias agit Libanius, ac vicissim a Basilio petit ut ad se mittat orationem contra ebrietatem

Libanius Basilio.

Nunc cognovi me esse, quod dicor: laudante enim me Basilio, ex omnibus victoriam reporto. Et cum tuum suffragium acceperim, licet mihi su-

Λιβάνιος Βασιλείῳ.

Νῦν ἔγνων εἶναι ὃ λέγομαι· Βασιλείου γάρ με ἐπαινέσαντος, κατὰ πάντων ἔχω τὰ νικητήρια. Καὶ τὴν ψῆφον δεξαμένῳ (23) τὴν σὴν ἔπεστί μοι βαδί-

* Alias CLIX.
** Alias CLX.
*** Alias CLXI.

(19) *Εὑράμενος*. Ita codices sex. Editi εὑρόμενος.
(20) *Τοιούτῳ*. Harl. τοσούτῳ.
(21) *Μικροῦ δέ*. Coisl. secundus et Reg. secundus μικροῦ δεῖν.
(22) *Ἐδόκουν*. Addit codex Harl. τὸν δύσκολον, sed hæc desunt in aliis mss. et editis, et ad marginem satis apte posita, videntur in ipsum contextum migrasse; sed necessaria non sunt et facile supplentur. Ibidem editi, τὸν λάλῳ συνόντα, sed articulus deest in quinque mss.
(23) *Δεξαμένῳ*. Coisl. primus et Med. δεξάμενος. Paulo post codex Anglicanus et alii nonnulli μετὰ σοβαροῦ τοῦ φρονήματος.

ζειν μετὰ σοβαροῦ τοῦ βαδίσματος, οἷά τις ἀλαζὼν τοὺς πάντας περιφρονῶν. Ἐπεὶ οὖν καὶ σοὶ κατὰ μέθης λόγος πεπόνηται, βουλόμεθα τούτῳ περιτυχεῖν. Ἀλλὰ κομψὸν μέν τι λέγειν οὐκ ἐθέλω· ὁ δὲ λόγος ὀφθείς διδάξει με τὴν τοῦ λέγειν (24) τέχνην.

A perbo gressu incedere, instar nominis jactantioris omnes contemnentis. Quoniam igitur et ipse orationem contra ebrietatem elaborasti, eam volumus legere. Interea tamen lepidi quidquam dicere nolo : sed ipsa me oratio, ubi eam videro, artem dicendi docebit.

ΕΠΙΣΤΟΛΗ ΤΝΕ'.

EPISTOLA CCCLV*.

Libanius Basilio primas eloquentiæ defert.

Λιβάνιος Βασιλείῳ.

Ἆρα, Βασίλειε, μὴ τὰς Ἀθήνας οἰκεῖς, καὶ λέληθας σεαυτόν; Οὐ γὰρ τῶν Καισαρέων οἱ παῖδες ταῦτα ἀκούειν ἠδύναντο. Ἡ γλῶττα γάρ μοι τούτων ἐθὰς οὐκ ἦν· ἀλλ' ὥσπερεὶ τινα κρημνὸν διοδεύοντος, πληγεῖσα τῇ τῶν ὀνομάτων καινοτομίᾳ, ἐμοί τε τῷ πατρὶ ἔλεγε· Πάτερ, οὐκ ἐδίδαξας. Ὅμηρος, οὗτος ἀνήρ, ἀλλὰ Πλάτων, ἀλλ' Ἀριστοτέλης, ἀλλὰ Σουσαρίων (25) ὁ τὰ πάντα ἐπιστάμενος. Καὶ ταῦτα μὲν ἡ γλῶττα. Σὲ δὲ εἴη, Βασίλειε, τοιαῦτα ἡμᾶς ἐπαινεῖν.

Libanius Basilio.

Athenisne habitas, Basili, et tui ipsius oblitus es? Non enim Cæsariensium filii hæc audire potuerunt. Mea enim lingua his assueta non erat : B sed velut in præcipiti quodam loco incederem, vocum novitate perculsa, et mihi patri dicebat : Pater, ista non docuisti : Homerus est hic vir, imo Plato, imo Aristoteles, imo Susario, qui nihil ignoravit. Atque hæc quidem lingua. Tu vero, Basili, velim laudare me possis ob talia.

ΕΠΙΣΤΟΛΗ ΤΝϚ'.

EPISTOLA CCCLVI **.

Respondet Basilius epistolæ præcedenti, seque discipulum piscatorum esse profitetur.

Βασίλειος Λιβανίῳ.

Δεχομένοις μὲν ἡμῖν ἃ γράφεις, χαρά· ἀπαιτουμένοις δὲ πρὸς ἃ γράφεις ἀντεπιστέλλειν, ἀγών. Τί γὰρ ἂν εἴποιμεν πρὸς οὕτως ἀττικίζουσαν γλῶτταν, πλὴν ὅτι ἁλιέων εἰμὶ μαθητής, ὁμολογῶ καὶ φιλῶ;

Basilius Libanio.

Quæ scribis, accipio quidem lætus : sed dum exigis, ut ad ea quæ scripsisti, rescribam, sum anxius. Quid enim ad linguam adeo atticissantem dixerim, nisi me piscatorum esse discipulum profiteri ac gaudere

ΕΠΙΣΤΟΛΗ ΤΝΖ'

462 EPISTOLA CCCLVII ***.

Rogat Basilium Libanius ut sibi mœrorem solvat ex aliqua illius epistola conceptum.

Λιβάνιος Βασιλείῳ.

C

Τί παθὼν Βασίλειος ἐδυσχέρανεν τὸ γράμμα, τῆς φιλοσοφίας τὸ γνώρισμα; Παίζειν παρ' ὑμῶν ἐδιδάχθημεν· ἀλλ' ὅμως τὰ παίγνια σεμνά, καὶ οἱονεὶ πολιᾷ πρέποντα. Ἀλλὰ πρὸς τῆς φιλίας αὐτῆς καὶ τῶν κοινῶν διατριβῶν, λῦσόν μοι τὴν ἀθυμίαν, ἥν μοι ἔτεκεν ἡ ἐπιστολή. . . . . οὐδὲν διαφέρουσα.

Libanius Basilio.

Quid passus Basilius moleste tulit litteras, philosophiæ specimen? Ludere a vobis edocti sumus : verumtamen ludicra gravia sunt, ac veluti canitiem decentia. Sed per amicitiam ipsam communesque scholas, mihi solve mœrorem, quem peperit mihi epistola, a . . . . nequaquam differens.

ΕΠΙΣΤΟΛΗ ΤΝΗ'.

EPISTOLA CCCLVIII ****.

Dolet Libanius quod non sit cum Basilio; gratulatur quod juvenum curam suadente Alcimo susceperit.

Λιβάνιος Βασιλείῳ.

Ὢ χρόνων ἐκείνων, ἐν οἷς τὰ πάντα ἦμεν ἀλλήλοις! Νῦν διῳκίσμεθα πικρῶς· ὑμεῖς μὲν ἔχοντες ἀλλήλους· ἐγὼ δὲ ἀνθ' ὑμῶν οἷοί περ ὑμεῖς οὐδένα. Τὸν δὲ Ἄλκιμον ἀκούω τὰ νέων ἐν γήρᾳ τολμᾷν, καὶ πρὸς τὴν Ῥώμην πέτεσθαι, περιθέντα σοι τὸν τοῦ συνεῖναι τοῖς παιδαρίοις πόνον. Σὺ δέ, τά τε ἄλλα πρᾶός τις, καὶ τοῦτο οἴσεις οὐ χαλεπῶς· ἐπεὶ καὶ ἡμῖν τοῦ γράψαι πρότερον οὐκ ἔσχες χαλεπῶς.

Libanius Basilio.

O tempora illa, quibus cuncta invicem eramus. Nunc acerbe sejuncti sumus : vos quidem vobis D mutuo potiti; ego vero pro vobis neminem habens vestri similem. Porro Alcimum audio res juvenum in senectute audere, et ad Romam volare, postquam eum laborem tibi imposuit, ut cum pueris maneas. Tu vero, cum circa alia quoque mansuetus sis, hoc etiam non ægre feres; quandoquidem nec molestum tibi fuit, ut ad nos prior scriberes.

(24) Τοῦ λέγειν. Sic mss. septem. Editi τοῦ λόγου.
(25) Σουσαρίων. Medicæus codex Σουδαρίων.
* Alias CLXII.

** Alias CLXIII.
*** Ex Cotelerii *Monument. Ec. Gr.* t. II, p. 96.
**** Ibid.

EPISTOLA CCCLIX *.

Silentium Libanio exprobrat Basilius, seque ait libenter ad eum volaturum, si liceret; sed cum id non liceat, sermones mittere.

Basilius Libanio.

Tu quidem qui universam veterum artem tua in mente conclusisti, tandiu siles, adeo ut ne in litteris quidem aliquid lucri concedas nobis. Ego vero, si tuta foret Dædali ars, ad te venissem, fabricatis Icari alis. Attamen quoniam non licet ceram soli committere; pro Icariis alis, mitto ad te sermones, qui ostendant amicitiam nostram. Hæc est autem natura sermonum, ut animæ insidentes amores manifestos faciant. Atque hæc quidem sermones. Tu vero adduxeris eos quocunque voles; atque tantis viribus præditus, taces. Verum ad nos quoque sermonum fontes transfer, qui ex ore tuo profluunt.

ΕΠΙΣΤΟΛΗ ΤΝΘ'.

A *Βασίλειος Λιβανίῳ*

Σὺ μὲν ὅλην τὴν τῶν παλαιῶν τέχνην ἐν τῇ σεαυτοῦ καταχλείσας διανοίᾳ, τοσοῦτον σιγᾷς, ὡς μηδ' ἐν ἐπιστολαῖς ἡμῖν διδόναι τι κερδαίνειν. Ἐγὼ δὲ, εἴπερ ἦν ἀσφαλὲς ἡ τοῦ διδασκάλου (26) τέχνη, ἦλθον ἂν παρὰ σοὶ, ποιησόμενος Ἰκάρου πτερά. Ἀλλ' ὅμως ἐπειδὴ οὐκ ἔστι πιστεῦσαι ἡλίῳ κηρὸν, ἀντὶ τῶν Ἰκάρου πτερῶν, ἐπιστέλλω σοι λόγους, δεικνύντας τὴν ἡμετέραν φιλίαν. Φύσις δὲ λόγων, μηνύουσα τοὺς κατὰ ψυχὴν ἔρωτας. Καὶ ταῦτα μὲν οἱ λόγοι. Σὺ αὐτοὺς ἄγοις ὅπου βούλει· καὶ τηλικοῦτον κράτος κεκτημένος, σιωπᾷς. Ἀλλὰ μετάστησον καὶ ἐφ' ἡμᾶς τὰς ἀπὸ τοῦ στόματός σου τῶν λόγων πηγάς.

EPISTOLA CCCLX **.

De sancta Trinitate et Incarnatione, sanctorum invocatione, eorumque imaginibus

Ex epistola ad Julianum Apostatam.

Secundum immaculatam fidem Christianorum, quam divinitus sumus sortiti confiteor, et testor me credere in unum Deum Patrem omnipotentem, Deum Patrem, Deum Filium, Deum Spiritum sanctum : unum Deum, tria adoro et glorifico. Confiteor autem et Filii in carne dispensationem, et Dei Genitricem sanctam Mariam, quæ illum secundum carnem peperit. Suscipio autem et sanctos apostolos, prophetas et martyres; et ad supplicationem, quæ fit Deo, hos invoco, ut per eos, id est, interventionem eorum, propitius **463** mihi sit misericors Deus, et delictorum mihi redemptio fiat, et condonetur. Unde et characteres imaginum eorum honoro et osculor eximie, cum hæ traditæ sint a sanctis apostolis, nec sint prohibitæ, imo in omnibus ecclesiis nostris depictæ sint.

ΕΠΙΣΤΟΛΗ ΤΞ'.

B *Ἐκ τῆς ἐπιστολῆς αὐτοῦ πρὸς Ἰουλιανὸν τὸν παραβάτην.*

Κατὰ τὴν θεόθεν ἐπικεκληρωμένην ἡμῖν ἀμώμητον πίστιν τῶν Χριστιανῶν ὁμολογῶ καὶ συντίθημι πιστεύειν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱὸν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον· ἕνα Θεὸν, τὰ τρία προσκυνῶ καὶ δοξάζω. Ὁμολογῶ δὲ καὶ τὴν τοῦ Υἱοῦ ἔνσαρκον οἰκονομίαν, καὶ Θεοτόκον τὴν κατὰ σάρκα τεκοῦσαν αὐτὸν ἁγίαν Μαρίαν. Δέχομαι δὲ καὶ τοὺς ἁγίους ἀποστόλους, προφήτας, καὶ μάρτυρας, καὶ εἰς τὴν πρὸς Θεὸν ἱκεσίαν τούτους ἐπικαλοῦμαι, τοῦ δι' αὐτῶν, ἤγουν διὰ τῆς μεσιτείας αὐτῶν, ἵλεών μοι γενέσθαι τὸν φιλάνθρωπον Θεὸν, καὶ λύτρον μοι τῶν πταισμάτων γενέσθαι καὶ δοθῆναι· ὅθεν καὶ τοὺς χαρακτῆρας C τῶν εἰκόνων αὐτῶν τιμῶ καὶ προσκυνῶ, κατ' ἐξαίρετον τούτων παραδεδομένων ἐκ τῶν ἁγίων ἀποστόλων, καὶ οὐκ ἀπηγορευμένων, ἀλλ' ἐν πάσαις ταῖς ἐκκλησίαις ἡμῶν τούτων ἀνιστορουμένων.

EPISTOLA CCCLXI ***.

Apolinarium consulit auctor epistolæ de usiæ et substantiæ vocabulis ac de consubstantiali; ac sibi simile sine discrimine fateur magis placere quam consubstantiale. Gregorium sodalem cum parentibus esse nuntiat.

Apolinario.

Domino meo reverendissimo Apolinario, Basilius. Antea quidem ad te de locis Scripturarum obscuris scripsimus, et gavisi sumus tum de responsionibus tuis, tum de promissis. Nunc vero major nobis circa majora cura incumbit, in qua alium neminem inter hujus temporis homines habemus, ejusmodi consortem et auxiliatorem, ad quem recurramus, qualem te nobis Deus dedit, et scientia sermoneque accuratum, simulque accessu facilem. Cum ergo ii qui cuncta permiscent, ac sermonibus quæstionibusque orbem re-

ΕΠΙΣΤΟΛΗ ΤΞΑ'.

Ἀπολιναρίῳ.

Τῷ δεσπότῃ μου αἰδεσιμωτάτῳ Ἀπολιναρίῳ, Βασίλειος. Πρότερον μέν σοι περὶ τῶν ἐν ταῖς Γραφαῖς ἀσαφῶν ἐπεστέλλομεν, καὶ ηὐφραινόμεθα, οἷς τε ἔπεμπες, οἷς τε ὑπισχνοῦ. Νῦν δὲ μείζων ἡμῖν ὑπὲρ μειζόνων ἡ φροντὶς προσελήλυθεν, εἰς ἣν οὐδένα ἕτερον D ἔχομεν ἐν τοῖς νῦν ἀνθρώποις, τοιοῦτον κοινωνὸν καὶ προστάτην ἐπικαλέσασθαι, ὁποῖόν σε καὶ ἐν γνώσει καὶ ἐν λόγῳ ἀκριβῆ τε ὁμοῦ καὶ εὐπρόσιτον ὁ Θεὸς ἡμῖν ἐδωρήσατο. Ἐπεὶ οὖν οἱ πάντα φύροντες, καὶ λόγων καὶ ζητημάτων τὴν οἰκουμένην ἐμπλήσαντες, τὸ τῆς οὐσίας ὄνομα, ὡς ἀλλότριον τῶν θείων

* Ex Cotelerii *Monument. Eccl. Gr.* t. II, p. 97.
** Alias CCV.

*** Ex *Monum. Eccl. Gr.* t. II, p. 84.
(26) Fort. Δαιδάλου. Cotelér.

λογίων, ἐξέβαλον, καταξίωσον ἡμῖν σημᾶναι, ὅπως A οἱ πατέρες αὐτῷ ἐχρήσαντο, καὶ εἰ μηδαμοῦ εὗρες ἐν τῇ Γραφῇ κείμενον. Τὸν γὰρ ἐπιούσιον ἄρτον, καὶ τὸν λαὸν τὸν περιούσιον, καὶ εἴ τι τοιοῦτον, ὡς οὐδὲν ἔχοντα κοινὸν διαπτύουσιν. Ἔπειτα μέντοι καὶ περὶ αὐτοῦ τοῦ ὁμοουσίου (οὗ ἕνεκεν ἡγοῦμαι ταῦτα κατασκευάζειν αὐτοὺς, βαθέως τὴν οὐσίαν διαβάλλοντας, ὑπὲρ τοῦ μηδεμίαν χώραν τῷ ὁμοουσίῳ καταλιπεῖν) διαλαβεῖν ἡμῖν πλατύτερον βουλήθητι, τίνα τὴν διάνοιαν ἔχει, καὶ πῶς ἂν ὑγιῶς λέγοιτο, ἐφ' ὧν οὔτε γένος κοινὸν ὑπερκείμενον θεωρεῖται, οὔτε ὑλικὸν ὑποκείμενον προϋπάρχον, οὐχ ἀπομερισμὸς τοῦ προτέρου εἰς τὸ δεύτερον. Πῶς οὖν χρὴ λέγειν ὁμοούσιον τὸν Υἱὸν τῷ Πατρὶ, εἰς μηδεμίαν ἔννοιαν τῶν εἰρημένων καταπίπτοντας, θέλησον ἡμῖν πλατύτερον διαρθρῶσαι. Ἡμεῖς μὲν γὰρ ὑπειλήφαμεν, ὅπερ ἂν B εἶναι καθ' ὑπόθεσιν τοῦ Πατρὸς οὐσία ληφθῇ, τοῦτο εἶναι πάντως ἀναγκαῖον καὶ τὴν τοῦ Υἱοῦ λαμβάνεσθαι. Ὥστε εἰ φῶς νοητὸν, ἀΐδιον, ἀγέννητον, τὴν τοῦ Πατρὸς οὐσίαν τις λέγοι, φῶς νοητὸν, ἀΐδιον, γεννητὸν, καὶ τὴν τοῦ Μονογενοῦς οὐσίαν ἐρεῖ. Πρὸς δὲ τὴν τοιαύτην ἔννοιαν δοκεῖ μοι ἡ τοῦ ἀπαραλλάκτως ὁμοίου φωνὴ μᾶλλον ἤπερ ἡ τοῦ ὁμοουσίου ἁρμόττειν. Φῶς γὰρ φωτὶ μηδεμίαν ἐν τῷ μᾶλλον καὶ ἧττον τὴν διαφορὰν ἔχον, ταυτὸν μὲν οὐκ εἶναι (διότι ἐν ἰδίᾳ περιγραφῇ τῆς οὐσίας ἐστὶν ἑκάτερον), ὅμοιον δὲ κατ' οὐσίαν ἀκριβῶς ἀπαραλλάκτως, ὀρθῶς ἂν οἶμαι λέγεσθαι. Εἴτε οὖν ταύτας χρὴ διαλέγεσθαι τὰς ἐννοίας, εἴτε ἑτέρας μείζους ἀντιλαβεῖν, ὡς σοφὸς ἰατρὸς (καὶ γὰρ ἐξεφήναμέν σοι τὰ ἐν τῇ καρδίᾳ), τὸ μὲν ἀῤῥωστοῦν ἴασαι, τὸ δὲ σαθρὸν ὑπο- C στήριξον· παντὶ δὲ τρόπῳ βεβαίωσον ἡμᾶς. Τοὺς μετὰ τῆς εὐλαβείας σου ἀδελφοὺς ἀσπάζομαι, καὶ ἀξιῶ μετὰ σοῦ εὔχεσθαι ὑπὲρ ἡμῶν, ἵνα σωθῶμεν. Ὁ ἑταῖρος Γρηγόριος, τὸν μετὰ τῶν γονέων ἑλόμενος βίον, αὐτοῖς σύνεστιν. Ὑγιαίνων ἐπιπλεῖστον φυλαχθείης ἡμῖν, ὠφελῶν ἡμᾶς καὶ ταῖς εὐχαῖς καὶ τῇ γνώσει.

plent, usiæ seu substantiæ nomen, velut alienum a sacris litteris ejecerint, dignare significare mihi, quo pacto Patres eo usi fuerint, et an nullibi in Scriptura inveneris positum. Nam panem dictum ἐπιούσιον, et populum περιούσιον, et si quid simile, quasi nihil habeant hic commune, despuunt. Deinde vero et de ipso consubstantiali (propter quod puto eos ista adornare, qui substantiam penitus transfigunt, ut nullum locum relinquant consubstantialitati) disceptare nobis fusius velis, quem sensum habeat, et quomodo salubriter proferatur, in rebus, in quibus nec genus commune superpositum cernitur, nec materiale subjectum prius exsistens, nec distributio primi in secundum. Qua igitur ratione oporteat dicere Filium Patri consubstantialem, in nullum prædictorum sensuum incidendo, fac ut nobis prolixius explices. Nos siquidem existimamus, quidquid ex hypothesi, Patris substantia esse sumatur, idem omnino esse et substantiam Filii sumi necessario debere; adeo ut si quis substantiam Patris appellaverit lumen sub intelligentiam cadens, æternum, ingenitum; Unigeniti quoque substantiam vocaturus sit lumen sub intelligentiam cadens, æternum, genitum. In hunc porro sensum mihi videtur, vocem *similis sine discrimine*, magis congruere, quam vocem *consubstantialis*. Nam lux quæ cum luce nullam habet secundum magis et minus differentiam, recte quidem mea sententia dici potest, non eadem esse cum illa; quandoquidem in propria substantiæ determinatione utraque consistit; sed similis secundum substantiam absolute ac per omnia. Sive ergo has oporteat eloqui cogitationes, sive alias majores assumere, tu tanquam peritus medicus (tibi enim quæ corde gerimus fecimus manifesta), quod quidem ægrum est sana, quod vero debile suffulci; omni autem modo confirma nos. Fratres qui tua cum pietate degunt saluto, et rogo, ut una tecum pro nobis orent, quo salutem consequamur. **464** Sodalis Gregorius, electa cum parentibus vita, apud eos est. Sanus ad plurimum tempus conserveris nobis, adjuvans nos et precibus et doctrina.

ΕΠΙΣΤΟΛΗ ΤΞΒ'.

EPISTOLA CCCLXII*.

Respondetur præcedenti epistolæ, et quomodo Pater et Filius unum sint exponitur, exemplis e natura humana adductis.

Βασιλείῳ Ἀπολινάριος. D

Φιλοθέως πιστεύεις, καὶ φιλολόγως ζητεῖς, καὶ παρ' ἡμῶν τὸ πρόθυμον ὀφείλεται διὰ τὴν ἀγάπην, εἰ καὶ τὸ ἱκανὸν τῷ λόγῳ μὴ ἕποιτο, διά τε τὸ ἡμέτερον ἐνδεὲς, καὶ τὸ τοῦ πράγματος ὑπερφυές. Οὐσία μία, οὐκ ἀριθμῷ μόνον λέγεται, ὥσπερ λέγεις, καὶ τὸ ἐν μιᾷ περιγραφῇ, ἀλλὰ καὶ ἰδίως ἀνθρώπων δύο καὶ ἄλλου ὁτουοῦν τῶν κατὰ γένος ἑνιζομένων· ὥστε ταύτῃ γε καὶ δύο καὶ πλείονα (27) ταυτὸν εἶναι κατὰ τὴν οὐσίαν, καθὸ καὶ πάντες ἄνθρωποι Ἀδὰμ ἐσμεν ἐξ ὄντες, καὶ Δαβὶδ ὁ τοῦ Δαβὶδ υἱὸς, ὡς ταυτὸν ὢν

Basilio Apolinarius.

Ut Dei amantem virum decet credis, et ut doctrinæ studiosus quæris; atque a nobis promptus animus debetur propter charitatem, licet scientia sufficiens non sequatur, cum ob indigentiam nostram, tum ob rei immensitatem. Una substantia, non numero solum dicitur, quemadmodum ais, et quod est in una determinatione; sed etiam proprie duorum hominum et alterius cujusve, qui in genere adunantur: ita ut hac ratione duo ac plures idem sint secundum substantiam; in

(27) Fort. πλείονας. Cotel.

* Ex *Monument. Eccl. Gr.* t. II, p. 86.

quantum omnes homines Adam sumus, qui unus simus; et David, Davidis filius, qui idem sit cum illo: sicut et Filium recte asseris id esse secundum substantiam, quod est Pater. Aliter enim Filius non esset Deus, cum in confesso sit unum esse ac solum Deum Patrem: quo pacto unus Adam, hominum generis princeps; et unus David, regii generis auctor. Atque ita, unum esse genus superpositum, aut unam materiam subjectam, in Patre et Filio, a cogitatis auferetur, cum principalem assumpserimus proprietatem supremi principii, et genera ex generum principibus, ad unigenitam prolem ex uno principio orientem. Nam aliquatenus tantum ejusmodi res in similitudinem veniunt. Quoniam neque Adamo, ut per Deum condito, et nobis, ut per homines genitis, unum superponitur genus; sed ipse est hominum principium: neque materia communis est illi nobiscum; sed ipse est cunctorum hominum fundamentum. Neque etiam erga Davidem ac genus ex Davide ortum, id præintelligitur, in quantum est David: quandoquidem Davidis proprietas, a Davide incipit, et fundamentum omnium qui ex eo originem ducunt, ipse est: sed quia hæc deficiunt, in quantum aliæ sunt communitates omnium hominum ad invicem, quales fratrum: at circa Patrem et Filium hoc non reperies, sed ex toto Pater principium, et Filius ex principio. Quare nec distributio est primi in secundum, velut in corporibus, verum generationis productio: neque enim Patris proprietas velut in Filium divisa fuit, sed Filii proprietas ex paterna prodiit: idem in diversitate, et diversum in identitate: quomodo dicitur Patrem esse in Filio, et Filium in Patre. Neque enim diversitas absolute servabit veritatem filiationis, nec rursus identitas indivisionem hypostaseos: sed utrumque conjunctum est ac unius modi; idem diverse, et diversum eodem modo; ut vocabula, quæ ad rei declarationem pertingere nequeunt, per vim adducantur: confirmante intelligentiam nostram Domino, cum per vocem *major* [28] Patrem quidem in æqualitate majorem exhibet, Filium vero in minori gradu præditum æqualitate: quod docuit, in ejusdem speciei quidem, at inferiori **465** lumine intelligere Filium; non immutando substantiam, sed considerando idem, et superius et in ordine inferiori. At enim qui substantiam in nulla identitate admittunt, similitudinem extrinsecus afferentes Filio adjiciunt: quod sane ad ipsos quoque homines transit qui Deo assimilati sunt. Qui vero cognoscunt similitudinem creaturis convenientem, in identitate quidem Filium cum Patre conjungunt; sed identitate submissiore; ne ipse Pater sit, vel pars Patris; quæ potenter demonstrantur per illud, Alius Filius; sic Deus, non ut ille, sed ut

ἐκείνῳ· καθὰ καὶ τὸν Υἱὸν λέγεις καλῶς τοῦτο εἶναι κατὰ τὴν οὐσίαν, ὅπερ ὁ Πατήρ. Οὐδὲ γὰρ ἑτέρως ἂν ἦν Θεὸς ὁ Υἱὸς, ἑνὸς ὁμολογουμένου καὶ μόνου Θεοῦ τοῦ Πατρός· ὥς που καὶ εἷς Ἀδὰμ, ὁ ἀνθρώπων γενάρχης, καὶ εἷς Δαβὶδ, ὁ τοῦ βασιλείου γένους ἀρχηγέτης. Ταύτῃ γέ τοι καὶ ἓν εἶναι γένος ὑπερκείμενον, ἢ μίαν ὕλην ὑποκειμένην, ἐπὶ Πατρὸς καὶ Υἱοῦ, περιαιρεθήσεται τῶν ὑπονοιῶν, ὅταν τὴν γεναρχικὴν παραλάβωμεν ἰδιότητα τῆς ἀνωτάτω ἀρχῆς, καὶ τὰ ἐκ τῶν γεναρχῶν γένη, πρὸς τὸ ἐκ τῆς μιᾶς ἀρχῆς μονογενὲς γέννημα· μετρίως γὰρ τὰ τοιαῦτα εἰς ὁμοίωσιν ἔρχεται. Καθὸ μηδὲ τοῦ Ἀδὰμ, ὡς θεοπλάστου, καὶ ἡμῶν, ὡς ἀνθρωπογεννήτων, ἓν ὑπέρκειται γένος· ἀλλ' αὐτὸς ἀνθρώπων ἀρχή· μήτε ὕλη κοινὴ αὐτοῦ τε καὶ ἡμῶν, ἀλλ' αὐτὸς ἡ πάντων ἀνθρώπων ὑπόθεσις. Μήτε μὴν τοῦ Δαβὶδ, καὶ τοῦ γένους τοῦ ἐκ Δαβὶδ, προεπινοεῖται, καθὸ Δαβίδ· ἐπείπερ ἡ τοῦ Δαβὶδ ἰδιότης, ἀπὸ τοῦ Δαβὶδ ἄρχεται, καὶ ἡ ὑπόθεσις τῶν ἐξ αὐτοῦ πάντων, αὐτός· ἀλλ' ἐπειδὴ ταῦτα ἀπολείπεται, καθό εἰσιν ἕτεραι κοινότητες ἀνθρώπων ἁπάντων πρὸς ἀλλήλους, οἷαι ἂν ἀδελφῶν· ἐπὶ δὲ Πατρὸς καὶ Υἱοῦ τοιοῦτον οὐκ ἔστιν, ἀλλὰ τὸ ὅλον Πατὴρ ἀρχὴ, καὶ Υἱὸς ἐκ τῆς ἀρχῆς. Οὐκοῦν οὐδὲ ἀπομερισμὸς τοῦ προτέρου εἰς τὸ δεύτερον, ὥσπερ ἐπὶ σωμάτων, ἀλλ' ἀπογέννησις. Οὐδὲ γὰρ ἡ Πατρὸς ἰδιότης καθάπερ εἰς Υἱὸν ἀπομεμέρισται, ἀλλ' ἡ τοῦ Υἱοῦ ἐκ τῆς τοῦ Πατρὸς ἐκπέφηνε· ταυτὸν ἐν ἑτερότητι, καὶ ἕτερον ἐν ταυτότητι· καθὸ λέγεται Πατέρα εἶναι ἐν Υἱῷ, καὶ Υἱὸν ἐν Πατρί. Οὔτε γὰρ ἡ ἑτερότης ἁπλῶς φυλάξει τὴν ἀλήθειαν τῆς υἱότητος, οὔτε ἡ ταυτότης αὖ τὸ ἀμέριστον τῆς ὑποστάσεως· ἀλλ' ἑκάτερον σύμπλοκον καὶ ἑνοειδές· ταυτὸν ἑτέρως, καὶ ἕτερον ὡσαύτως· ἵνα τις τὰ ῥήματα, μὴ ἐφικνούμενα τῆς δηλώσεως, ἐκβιάζηται· βεβαιοῦντος ἡμῖν τοῦ Κυρίου τὴν ἔννοιαν, καὶ ἐν τῷ Μείζων μὲν ἰσότητι (28), παριστάναι τὸν Πατέρα, τὸν δὲ Υἱὸν, ἐν ὑποβάσει τὸ ἴσον ἔχοντα· ὅπερ ἐδίδαξεν ἐν ὁμοειδεῖ μὲν, ὑφειμένῳ δὲ φωτὶ νοεῖν τὸν Υἱὸν, μὴ τὴν οὐσίαν ἐξαλλάττοντας, ἀλλὰ τὸ αὐτὸ ὑπερβεβληκὸς καὶ ἐν ὑφέσει θεωροῦντας. Οἱ μὲν γὰρ τὴν οὐσίαν ἐν οὐδεμιᾷ ταυτότητι παραδεξάμενοι, τὴν ὁμοίωσιν ἔξωθεν φέροντες τῷ Υἱῷ προστιθέασιν· ὃ δὴ καὶ ἕως ἀνθρώπων διαβαίνει, τῶν ὁμοιουμένων τῷ Θεῷ. Οἱ δὲ τὴν ὁμοίωσιν τοῖς ποιήμασι πρέπουσαν εἰδότες, ἐν ταυτότητι μὲν τὸν Υἱὸν συνάπτουσι Πατρὶ, ὑφειμένῃ δὲ τῇ ταυτότητι· ἵνα μὴ αὐτὸς ὁ Πατὴρ ᾖ, ἢ μέρος Πατρὸς, ἃ δυνατῶς παρίσταται τῷ, Ἄλλος Υἱός, οὕτω Θεὸς, οὐχ ὡς ἐκεῖνος, ἀλλ' ὡς ἐξ ἐκείνου, οὐ τὸ πρωτότυπον, ἀλλ' εἰκών. Οὗτος ὁμοούσιος, ἐξῃρημένως παρὰ πάντα καὶ ἰδιαζόντως· οὐχ ὡς τὰ ὁμογενῆ, οὐχ ὡς τὰ ἀπομεριζόμενα, ἀλλ' ὡς ἐκ τοῦ ἑνὸς γένους καὶ εἴδους τῆς θεότητος, ἓν καὶ μόνον ἀπογέννημα, ἀδιαιρέτῳ καὶ ἀσωμάτῳ προόδῳ· καθ' ἣν μένον τὸ γεννῶν ἐν τῇ γεννητικῇ ἰδιότητι, προῆλθεν εἰς τὴν γεννητικὴν (29) ἰδιότητα.

[28] Joan. XIV, 28.

(28) Fort. μείζονα μὲ ἐν ισ. COTELER.

(29) Fort. γεννητήν. COTEL.

ex illo; non primitivum exemplar, sed imago. Hic consubstantialis, præcipue super omnia et peculiariter; non tanquam ea quæ sunt ejusdem generis, non tanquam ea quæ distributa sunt; sed velut ex uno genere unaque specie divinitatis, una et sola progenies, individuo et incorporali progressu; per quem quod generat manens in generativa proprietate, processit in genitam proprietatem.

ΕΠΙΣΤΟΛΗ ΤΞΓ'. — EPISTOLA CCCLXIII*.

Laudatur supra alios Scripturæ interpretes Apolinarius, ab eoque petitur, ut se de rebus obscuris consuli patiatur.

Ἀπολιναρίῳ.

Τῷ δεσπότῃ μου, τῷ αἰδεσιμωτάτῳ ἀδελφῷ, Ἀπολιναρίῳ, Βασίλειος. Διημάρτομεν τῶν προφάσεων, δι' ὧν ἐνῆν προσειπεῖν σου τὴν εὐλάβειαν, καίτοιγε ἡδέως ἂν ἐπὶ τοῖς γράμμασιν ἐκείνοις ἐπιστείλαντες. Σὲ γὰρ ἐν σιωπῇ κατέχειν τὴν ἡδονὴν ἐπ' ἐκείνοις ᾔσθημεν. Ὄντως γὰρ ἡμῖν ἔδοξας *οἶος πεπνύσθαι· τῶν ἑρμηνευόντων δὲ σκιαὶ ἀΐσσουσιν* (30)· οὕτως ἐπ' ἀσφαλοῦς τῆς διανοίας τὴν ἐξήγησιν ἄγων. Καὶ νῦν δὴ πλέον ὁ ἔρως τῆς γνώσεως τῶν θείων λογίων ἅπτεται τῆς ψυχῆς μου. Προβαλεῖν μὲν οὖν σοι τῶν ἀπορουμένων τινὰ ἀποκνῶ, μὴ δόξω πέρα τοῦ μέτρου ἐμφορεῖσθαι τῆς παῤῥησίας. Σιωπᾷν δὲ πάλιν οὐ καρτερῶ, ὠδίνων καὶ ἔτι προσλαβεῖν ἐφιέμενος. Ἄριστον οὖν μοι κατεφάνη πυθέσθαι σου, πότερον ἐφίῃς ἡμῖν, ὦ θαυμάσιε, ἐρωτᾷν τι τῶν ἀπορουμένων, ἢ χρὴ τὴν ἡσυχίαν ἄγειν. Ὁπότερον δ' ἂν ἀποκρίνῃ, τοῦτο φυλάξομεν τοῦ λοιποῦ. Ἐῤῥωμένον τε καὶ εὔθυμον καὶ ὑπερευχόμενον ἔχοιμέν σε διαπαντός.

A *Apolinario.*

Domino meo, reverendissimo fratri, Apolinario, Basilius. Elapsæ sunt occasiones, quibus licebat pietatem tuam alloqui, etsi lubenter ad litteras illas rescripserimus. Te enim in silentio obtinere voluptatem in illis lætati sumus. Nam revera nobis visus es *solus sapere : interpretum autem umbræ volitant :* ita ad solidum sensum expositionem ducis. Et certe nunc cognoscendorum divinorum eloquiorum cupido majorem in modum tangit animum meum. At tibi proponere quædam ex dubiis non audeo, ne videar ultra modum fiducia repleri. Tacere vero iterum non sustineo, parturiens, adhucque antevertere gestiens. Quare optimum factu censui, ut perconB tarer ex te, num permissurus nobis sis, o admirande, nonnihil interrogare de controversis, an oporteat tenere silentium. Utrumvis porro respondeas, id observabimus deinceps. Sanum lætumque et pro nobis orantem te possideamus semper.

ΕΠΙΣΤΟΛΗ ΤΞΔ'. — EPISTOLA CCCLXIV**.

Basilium frustra quæsitum in Cappadocia Apolinarius oblata occasione per litteras salutat. Nuntiat venisse episcopos Ægyptios, et scripta allata esse prorsus necessaria ad eos refellendos, qui antea aperte contradicebant, nunc occulte contradicunt, introducto simili secundum essentiam, ut consubstantiale abrogetur. Sanæ fidei defensionem nemini magis congruere declarat, quam Basilio et Gregorio.

Βασιλείῳ Ἀπολινάριος.

Τῷ δεσπότῃ μου, τῷ ποθεινοτάτῳ ἀδελφῷ, Βασιλείῳ, Ἀπολινάριος ἐν Κυρίῳ χαίρειν. Ποῦ μὲν ἤμην αὐτὸς, δέσποτα, ποῦ δὲ ἡ ποθεινοτάτη φωνὴ καὶ γράμμα τὸ σύνηθες; τί δὲ οὐ παρὼν ἀμύνεις, ἢ καὶ ἀπὼν παρακελεύεις, πολέμου τοσούτου κατὰ τῆς εὐσεβείας ἐῤῥωγότος, καὶ ἡμῶν οἷον ἐν μέσῃ παρατάξει βοώντων πρὸς τοὺς ἑταίρους διὰ τὴν ἐκ τῶν πολεμίων βίαν; Σὲ δὲ, οὐδ' ὅπως ἂν ζητήσωμεν, ἔχομεν· ἐπεὶ μηδὲ οὗ τυγχάνεις διατρίβων εὑρίσκομεν. Ἀλλ' ἐζήτησα μὲν ἐν τῇ Καππαδοκῶν, ἐπεὶ καὶ οὕτως ἤγγελλον οἱ ἐν Πόντῳ σοι περιτυχόντες, ἐπηγγέλθαι σε θᾶττον ἐπανήξειν· οὐχ εὗρον δὲ ἔνθα ἤλπιζον. Νῦν δὲ ἔτι σε κατὰ τὴν αὐτὴν διάγοντα χώραν ἀκούσας, εὐθὺς τῷ μηνυτῇ καὶ τὸ γράμμα ἐνεχείρησα. Ὅπερ δεξάμενος, μὴ καὶ τοῦ ἀντιγράφειν ἀπόσχῃ, ὡς καὶ τούτου συναποδημοῦντος. Ἴσθι δὲ, ὡς ἐν τῷ μεταξὺ γέγονεν ἐπισκόπων ἐπιδημία τῶν ἀπ' Αἰγύπτου, καὶ γράμματα διεδόθη σύμφωνα παλαιοῖς γράμμασιν, τοῖς τε θείοις αὐτοῖς, καὶ τοῖς καθ' ὁμοφωνίαν τῶν θείων ἐν Νικαίᾳ γραφεῖσιν.

Basilio Apolinarius.

Domino meo, exoptatissimo fratri, Basilio, C Apolinarius in Domino salutem. Ubinam ipse eram, domine, ubi vero desideratissima vox, et consuetæ litteræ? cur autem non præsens defendis, aut etiam absens cohortaris, tanto bello adversus pietatem erumpente, nobisque velut in media acie clamantibus ad socios, propter hostium vim? Te autem, ne quidem quomodo quæsituri simus, intelligimus: quandoquidem nec invenimus locum 466 in quo versaris. Sed conquisivi quidem in Cappadocia, quia sic nuntiaverant qui te nacti fuerant in Ponto, promisisse te cito reversurum: nec reperi ubi speraveram. At nunc cum audierim te adhuc ea in regione commorari, statim et indici epistolam tradidi. Qua accepta, cave ne non rescribas, quod et is una D peregrinetur. Scito autem, quod interjecto tempore advenerunt episcopi Ægyptii, et scripta antiquis scriptis congruentia, necnon divinis ipsis, iisque quæ convenienter divinis conscripta

(30) Ὀδ. K, 495.

* Ex *Monument. Eocl. Gr.* t. II, p. 89.

** Ibid., p. 90.

fuerunt Nicææ. Necessaria autem erat eorumdem cum explanatione repetitio, propter minime sanam pravamque contextus interpretationem, quam ii introduxerant qui aperte quidem olim contradicebant, nunc vero contradictionem sub specie enarrationis celant : ubi erat consubstantialitatis maligna abrogatio, quasi non deberet intelligi juxta ullam Græcam abnegationem ; pro consubstantiali autem introducebatur simile secundum substantiam : quod excogitatum est, confuse nominatum et malitiose intellectum : siquidem similitudo, rerum est quæ sunt in substantia, non quæ substantiales sunt : quo scilicet sic substantia assimilata intelligeretur, qualis fuerit verbi gratia statua respectu imperatoris. Contra quæ rescriptum est quod ab hominibus pium dogma cognoscentibus et sectantibus tenetur, nomine consubstantialitatis Filium declarari non similem Deo, sed Deum, utpote genuinam prolem ejusdemque cum genitore substantiæ. Simul etiam allatum fuit quod ad Spiritum pertinet, qui nimirum a Patribus in eadem fidei expositione Patri et Filio apponitur, quia in eadem exsistit divinitate. Hujus igitur piæ sententiæ legationem, quem decuit adeo persequi, ac te virum laudatissimum, una cum domino meo Gregorio, qui pariter nullo ex loco scribit, nec vel semel de quapiam re certiorem fecit? Vale, domine maxime desiderabilis.

A Ἀναγκαία δὲ ἦν μετ' ἐξηγήσεως τῶν αὐτῶν ἐπανάληψις, διὰ τὴν οὐχ ὑγιῆ τῶν κειμένων παρεξήγησιν, ἣν εἰσῆγον οἱ πάλαι μὲν ἄντικρυς ἀντιλέγοντες, νῦν δὲ τὴν ἀντιλογίαν ἐξηγήσεως σχήματι μεθοδεύσαντες· ἔνθα ἦν ἡ τοῦ ὁμοουσίου κακοῦργος ἀναίρεσις, ὡς οὐκ ὀφείλοντος νοεῖσθαι κατ' οὐδεμίαν ἄρνησιν Ἑλληνικήν· ἀντεισαγωγὴ δὲ τοῦ ὁμοουσίου τὸ ὅμοιον κατ' οὐσίαν, ὅπερ ἐπετηδεύθη, χυδαίως ὀνομασθὲν, καὶ κακοήθως νοηθέν· ἐπειδὴ ἡ ὁμοιότης τῶν ἐν οὐσίᾳ, ἐστὶ τῶν οὐσιωδῶν· ἵνα δὴ οὕτως ὡμοιωμένη οὐσία νοῆται, οἷος ἂν εἴη καὶ ἀνδριὰς πρὸς βασιλέα. Πρὸς ἅπερ ἀντεγράφη, τὸ ὑπὸ τῶν εὐσεβεῖν εἰδότων καὶ βουλομένων, ὅτι οὐχ ὅμοιον Θεῷ, ἀλλὰ Θεὸν δηλοῖ τὸ ὁμοούσιον, ὡς ἂν γέννημα γνήσιον καὶ τῆς αὐτῆς οὐσίας τῷ γεγεννηκότι. Συν-
B εισήγετο δὲ καὶ τὸ περὶ Πνεύματος, ὡς ὑπὸ τῶν Πατέρων ἐν τῇ αὐτῇ πίστει τῷ Θεῷ καὶ τῷ Υἱῷ κειμένου, ὅτι ἔστιν ἐν τῇ αὐτῇ θεότητι. Τὴν οὖν τῆς εὐσεβείας ταύτης πρεσβείαν, τίνα εἰκὸς ἦν οὕτω μετεῖναι, ὡς τὸν σπουδαιότατον, ἅμα τῷ δεσπότῃ μου Γρηγορίῳ, ὃς οὐδ' αὐτὸς οὐδαμόθεν γράφει, οὐδὲ σημαίνει καθάπαξ οὐδέν; Ἔῤῥωσο, δέσποτα ποθεινότατε.

EPISTOLA CCCLXV*.

ΕΠΙΣΤΟΛΗ ΤΞΕ'.

In summa Cappadociæ calamitate, cum fluvii inundatio res necessarias e vicinis provinciis advehere non sineret, rogatur Theodosius, ut fluvium, pontis commoditate adhibita, veluti Rubrum mare pedibus pervium efficiat.

Basilius magno imperatori Theodosio.

Calamitas accidit in regione nostra, non ex corporeo casu, sed ex aquarum effluvio. Unde autem hoc, patefaciam. Plurima nivis emissio facta est in nostram paludem. Qua nondum congelata, supervenit ventus calidus, simulque cadit australis imber. Quare subita confertaque orta liquefactione, immensi moti sunt fluctus, cum perenni fluvio permisti, ac exundatione eaque personante superantes tum linguam tum oculum. Is est qui nobis sorte obtigit vicinus fluvius, emanans quidem ex Armenia, descendens vero ad sacratissimum lacum Sebastenorum, in quem vere nominati, ac generosi quadraginta Christi milites, gravi borea flante infixi sunt. Ac inde (admitte me, optime imperator, vera dicentem) 467 ille fluvius circumdans nos, velut gens quædam inimica et formidabilis, non parum nos terret. Nullo enim unquam vel tempore vel modo pedibus permeabilis, non permittit ut necessariæ nobis ac utiles regiones, transvehant merces opportunas. Galatarum, inquam, et Paphlagonum, et Hellenopontiorum, per quas et ex quibus obveniunt quæ nobis sunt necessaria, præcipue pa-

C *Βασίλειος τῷ μεγάλῳ βασιλεῖ* (31) *Θεοδοσίῳ.*

Πάθος ἀπήντησε τῇ καθ' ἡμᾶς χώρᾳ, οὐκ ἐκ σωματικῆς περιπετείας, ἀλλ' ἐξ ὑδάτων ἐπιῤῥύσεως. Πόθεν δὲ τοῦτο, δηλώσω. Γέγονε καταβολὴ χιόνων (32) πολλὴ τῇ καθ' ἡμᾶς λίμνῃ. Μήπω δὲ αὐτῆς κρυσταλλωθείσης (33), ἐπιγίνεται πνεῦμα θερμὸν, καὶ ὄμβρος νότιος συμπίπτει αὐτῇ (34). Ἀθρόας οὖν γενομένης τῆς τήξεως, ἀνείκαστα ἐκινήθη ῥεύματα ἀεννάῳ ποταμῷ συνεπιμιγνύμενα τῷ ἄλυτι, ἐναύλῳ τε ὄντι, ὑπερβαίνοντα (35) γλώσσῃ καὶ ὀφθαλμῷ. Οὗτος ὁ λαχὼν ἡμῖν γείτων ποταμός· ἐκβλύζων μὲν ἐκ τῆς τῶν Ἀρμενίων, ἐκβιβαζόμενος δὲ ἐν τῇ ἱερωτάτῃ λίμνῃ τῶν Σεβαστηνῶν, εἰς ἣν οἱ φερώνυμοι καὶ γενναῖοι τεσσαράκοντα τοῦ Χριστοῦ στρατιῶται βορέου δεινοῦ πνεύσαντος (36) ἐνεπάρησαν. Κἀκεῖθεν (δέξαι με τὸ ἀληθὲς λέγοντα, κράτιστε) οὗτος ὁ περικυκλῶν ἡμᾶς ὥσπερ ἔθνος πολέμιον τῶν φοβερῶν, οὐ μικρῶς ἡμᾶς ἐκφοβεῖ. Ποσὶ γὰρ μηδέποτε
D περαιούμενος (37) κατά τινα χρόνον ἢ τρόπον, τὰς ἀναγκαίας ἡμῖν καὶ λυσιτελεῖς πατρίδας οὐ συγχωρεῖ διακομίζειν τὰ ἐμπορευόμενα ἐπιτήδεια. Λέγω δὴ τῶν Γαλατῶν καὶ Παφλαγόνων καὶ Ἑλληνοποντίων (38), δι' ὧν καὶ ἐξ ὧν τὰ ἀναγκαῖα ἡμῖν πρόσεστι, μάλιστα ἡ τοῦ ἄρτου δαψίλεια· κρυμώδους οὔ-

* Ex *Monum. Eccl. Gr.* t. II, p. 97.

(31) *Al.* τῷ βασιλεῖ tantum. Cot.

(32) *Al.* χιόνος. Id.

(33) *Al.* κρυστάλλῳ παγείσης. Id.

(34) *Al.* αὐτῷ. Id.

(35) *Al.* ὑπερβάλλοντα. Id.

(36) *Al.* ἐπιπνεύσαντος. Id.

(37) *Al.* περώμενος. Id.

(38) *Al.* Ἑλλησποντίων. Id.

σης τῆς περικύκλῳ γῆς, καὶ ἐκ τοῦ περιέχοντος ἀέρος, ἐκ τῆς ἀστραποβροντοχαλαζορειθροδαμάστου (39) ὀργῆς δεσμουμένης. Οὐ μικρὸν δὲ ἀπειλεῖ καὶ ἡ τοῦ πατρίου ἄλγους Ἀργέου ὑπεροψία. Σὺ οὖν ἐκδυσωπηθεὶς, κράτιστε, φιλοτιμεῖσθαι θέλησον τὴν ὑπόφορόν σου γῆν· ἵν' οὕτω τούτῳ ἐν ἀφθονίᾳ γεφύρας περαιοῦσθαι ἐφαρμοσάμενος, δείξῃς αὐτὸν νέαν Ἐρυθρὰν ὁδοιπόριστον. Καὶ γὰρ τῷ πολυστενάκτῳ βίῳ (40) τῶν Ἰουδαίων σπλαγχνισθεὶς ὁ Κύριος, τούτους ἀβρόχοις ποσὶ βαδίζειν εὐδόκησεν ὡς διὰ ξηρᾶς ἐν τῇ Ἐρυθρᾷ, δεδωκὼς αὐτοῖς προηγήτορα τὸν Μωσέα. Πολὺς οὖν ἡμῖν ὁ τοῦ ποταμοῦ τρόπος, ἀνθρώποις μὲν γέγονεν ὄλεθρος· ἄνω δὲ πελαγίζοντος αὐτοῦ, καὶ πᾶσαν χλοηφόρον γῆν ἐκθλίβοντος, καὶ ἐκ τῆς ἰλύος σκεπομένης τῆς ἀρούρας, ἀνάγκη λιμώττειν τὸν ἀροτῆρα βοῦν, καὶ πάντα τὰ ὑποζύγια τῆς περικύκλῳ γῆς. Καὶ εἰ μὲν ἦν ἄνθρωπος ἀδικῶν, οὐκ ἂν ἐπαυσάμεθα τοῖς δικαστηρίοις χρώμενοι. Τὸν δὲ νόμοις μὴ πειθόμενον μέγιστον ποταμὸν, τί ἂν ἄρα δέοι τις ἐφαρμόσασθαι; Σοὶ οὖν εὔχεσθαι δεῖ, κράτιστε, τῷ ἐν μιᾷ καιροῦ ῥοπῇ ἀναστεῖλαι δυναμένῳ τὸν τῶν ὁδοιπόρων κίνδυνον.

nis abundantia : cum vicina undique terra frigida sit, atque ex aere ambiente, perque iram fulgure, tonitru, grandine, flumine affligentem, colligata. Nec parum etiam minatur patrii doloris, Argæi montis supercilium. Tu igitur exoratus, præstantissime, bene mereri velis de terra tibi tributaria; ut ita efficiens fluvium pontis commoditate trajici, ostendas illum tanquam novum mare Rubrum pedibus pervium. Etenim infelicem valdeque gemebundam Judæorum vitam miseratus Dominus, ex bonitate sua voluit ut ii pedibus siccis per mare Rubrum, quasi per aridam, incederent, tradito iisdem in ducem itineris Mose. Itaque varia fluvii apud nos curricula, hominibus quidem fuere exitio : ipso autem superne inundante, universamque terram pascuam atterente, necnon arvis limo obtectis, necesse est ut esuriat arator bos, cum reliquis jumentis totius regionis. Et vero si homo fuisset qui homini fecisset injuriam, non destitissemus ad tribunalia rem differre. At in maximum fluvium, legibus nequaquam obtemperantem, quidnam aliquis poterit adornare? Quocirca ad te preces deferendæ sunt, potentissime, qui uno temporis momento, viatorum periculum sistere potes.

ΕΠΙΣΤΟΛΗ ΤΞϚ'.

EPISTOLA CCCLXVI.

ADMONITIO. — *En magni Basilii epistolam, ex prisco codice Veneto LXI, f. 324, a me exscriptam, quæ olim clarissimis quoque viris Marcianæ bibliothecæ descriptoribus Zannetio atque Morellio inedita visa est; atque utrum sit alicubi postremis his annis edita, mihi non constat, sed certe in plenissima Garnerii editione desideratur. Ea scribitur ad Urbicium monachum, ad quem aliæ duæ Basilii epistolæ exstant, nempe 123 et 262, in Garneriana editione. Argumentum titulusque est,* De continentia. *Neque vero scriptum hoc Basilianum diutius ego celandum arbitror, præsertim quia Suidas ac Photius nihil præstantius aut epistolari characteri accommodatius Basilii epistolis esse judicarunt.* MAI *Biblioth. nov. Patr., III*, 450.

Βασίλειος πρὸς Οὐρβίκιον μονάζοντα περὶ ἐγκρατείας.

Καλῶς ποιεῖς, ὅρους ἡμῖν εὐθεῖς ὁρίζων, ἵνα μὴ μόνον ἐγκράτειαν ἴδωμεν (41), ἀλλὰ καὶ τὸν καρπὸν αὐτῆς. Ἔστιν οὖν ὁ καρπὸς αὐτῆς, Θεοῦ μετουσία. Τὸ γὰρ μὴ φθείρεσθαι, Θεοῦ μετέχειν ἐστίν· ὥσπερ τὸ φθείρεσθαι, βίου μετουσία. Ἐγκράτεια γάρ ἐστιν σώματος ἄρνησις, καὶ ὁμολογία πρὸς Θεόν. Ἀπο-

S. Basilii ad Urbicium monachum epistola de continentia.

Recte facis, justos nobis fines definiens, ut non solum continentiam, verum etiam ejus fructum cognoscamus. Est igitur fructus ejus, Dei participatio : etenim non corrumpi, perinde est ac Deum participare; sicuti corrumpi, mundi participatio est. Continentia negatio corporis est, et Dei

(39) *Ἀστραποβροντοχαλαζορειθροδαμάστου.* Cum tota epistola Basilii stylo et ingenio discolor, tum maxime hoc plusquam sesquipedale verbum. Unde non immerito Cotelerius, qui hanc epistolam in lucem edidit, tom. II *Monum. Eccl. Græcæ*, hanc apposuit notam p. 559 : *In primo e codicibus*, inquit, *emunctæ naris criticus adnotaverat :* Ἡ ἐπιστολὴ αὕτη, οὔτε ἀπὸ τῶν νοημάτων, οὔτε ἀπὸ τῆς φράσεως ἔοικεν εἶναι τοῦ Μεγάλου Βασιλείου. Hoc est : *Ista epistola, neque ex sensis, neque ex dictione videtur esse Magni Basilii.* Videtur tamen Tillemontio hæc epistola juvenem et rhetorem Basilium non dedecuisse, et Theodosium, cui inscripta est, non magnum illum imperatorem intelligit, sed præsidem aliquem Cappadociæ. Iniquum sane esset in juvene summam styli gravitatem requirere; sed tamen Basilio nunquam defuisse crediderim pellucidum quemdam orationis nitorem, qui toti epistolæ prorsus deest. Auctor epistolæ imperatorem ipsum Theodosium, quem regnantem non vidit Basilius, manifeste alloquitur, ut patet ex his verbis : Σὺ οὖν ἐκδυσωπηθεὶς, κράτιστε, φιλοτιμεῖσθαι θέλησον τὴν ὑπόφορόν σου γῆν· *Tu igitur exoratus, præstantissime, bene mereri velis de terra tibi tributaria.* Sed quod de quadraginta martyribus dicitur, eos in stagnum Sebastenorum, gravi flante borea, infixos fuisse, id peregrinitatem hujus epistolæ adeo confirmat, ut mirer Tillemontium, qui hanc difficultatem observavit, dubitare potuisse, utrum Basilius epistolæ auctor haberi necne deberet. Cum enim illa de quadraginta martyribus opinio recentiorum Græcorum est, ut ipse observat Tillemontius, tom. V, p. 789, tum vero Gregorii Nysseni et Basilii testimoniis penitus repugnat, quorum alter quadraginta martyres in balneis publicis frigori expositos fuisse narrat, tom. III, p. 511, Basilius vero eos in urbe passos esse, non vero in stagno declarat : *Tunc igitur*, inquit, tom. II, p. 152, *ea in illos lata sententia est, ut sub dio pernoctarent, cum stagnum, circum quod condita erat civitas in qua sancti decertabant, esset velut quædam planities equitabilis, glacie illud transmutante, cumque id ex frigore ad continentis naturam redactum, super dorsum iter accolarum pedibus tutum præberet, prætereaque fluvii qui jugiter fluebant, glacie constricti, desiissent manare, et aquarum natura mollior in lapidum duritiem conversa esset, cum denique acres boreæ flatus animantia omnia urgerent ad mortem.*

(40) *Al.* τὸν πολυστένακτον βίον. COT.

(41) *Ἴδωμεν.* Lege εἰδῶμεν. EDIT.

confessio: a quavis re mortali semet abstrahit, et instar corporis habet Spiritum Dei, et Deo nos commiscet, æmulatione qualibet atque invidia carens. Nam qui corpus amat, alii invidet. Qui autem corruptionis morbum in cor non admittit, labori cuilibet deinceps sustinendo par est; et licet corpore occumbat, vivit immortalitati. Imo si rem perfecte cognoscamus, continentia videtur esse Deus, qui nihil concupiscit, sed omnia in se habet, nihilque appetit, nec sive oculis sive auribus passionem experitur; sed nulla re indigens, plenus usquequaque est. Concupiscentia morbus est animæ; sanitas ejusdem, continentia. Verumtamen haud in una specie continentiam oportet spectare, veluti circa res venereas; sed et in alia re qualibet, quam anima prave appetit, necessariis non contenta. Gignitur invidia, ob aurum, et improbitates innumeræ, ob alias cupiditates. Jam et ebrietate carere, continentia est; et cibi crapula non dirumpi, et corpus suum cohibere, continentia est. Item pravis dominari cogitationibus, quoties animam turbat aliqua phantasia neque bona neque veritati consentiens, corque in vanas distrahit curas. Prorsus nos liberos præstat continentia, quia simul medicina virtusque est: non enim temperantiam docet, sed præbet. Gratia Dei, continentia est. Jesus ipsa continentia visus est, cum terra marique levior fuit: nam neque tellus illum portavit neque mare; sed sicuti mare calcavit, ita telluri oneri non fuit. Nam si ex corruptione mors sequitur, ex corruptionis autem immunitate, immortalitas; utique Jesus deitatem magis præ se tulit quam mortalitatem (42). Manducavit bibitque singulari modo, quin quidquam comesum ex se redderet (43): tanta quippe fuit in eo continentiæ vis, ut cibus in eo non corrumperetur, quia ipse Jesus corruptibilitate carebat (44). Si modo aliqua continentia in nobis sit, superiores omnibus sumus. Nam et angelos audivimus, postquam incontinentes sunt effecti, cœlo propter concupiscentiam præcipites actos: victi sunt enim, non ipsi per se descenderunt. Quid enim illic ageret morbus hic, si (45) hujusmodi oculus ibidem exstitisset? Propterea dixi: Aliquantulum continentiæ si in nobis sit, et mundum minime diligamus, sed cœlestia sæcula, illic inveniemur quo mentem intenderimus. Hic enim videtur esse oculus, qui invisibilia cernere potest; nam etiam vulgo dici solet: Mens videt, et mens audit. Pauca tibi hæc videntur, sed multa ego scripsi: etenim unumquodque verbum, sensus quidam est; atque id scio te legentem fore cogniturum.

A βαίνει (46) του θνητοῦ παντὸς, ὥσπερ σῶμα ἔχουσα
τοῦ Θεοῦ τὸ Πνεῦμα· καὶ Θεῷ μίσγεσθαι ποιεῖ, οὔτε
ζῆλον ἔχουσα οὔτε φθόνον. Ὁ γὰρ ἐρῶν σώματος,
ἑτέρῳ διαφθονεῖται· ὁ δὲ μὴ κομισάμενος εἰς καρ-
δίαν τῆς φθορᾶς τὴν νόσον, ἔῤῥωται λοιπὸν πόνῳ
παντὶ, καίπερ ἀποθανὼν μὲν τῷ σώματι, ζῶν δὲ τῇ
ἀφθαρσίᾳ. Καί μοι τελείως καταμανθάνοντι, ἐγκρά-
τεια δοκεῖ ὁ Θεὸς εἶναι, ὅτι μηδενὸς ἐπιθυμεῖ, ἀλλὰ
πάντα ἔχει ἐν ἑαυτῷ· καὶ οὐδενὸς ὀρέγεται, οὐδὲ ἔχει
πάθος περὶ τοὺς ὀφθαλμοὺς, οὐδὲ περὶ τὰ ὦτα· ἀλλὰ
ἀνενδεὴς ὢν, πλήρης δι' ὅλου ἐστίν. Ἐπιθυμία
νόσος ἐστὶ ψυχῆς· ὑγεία δὲ, ἐγκράτεια. Οὐ μόνον δὲ
περὶ ἓν εἶδος τὴν ἐγκράτειαν δεῖ ὁρᾷν, οἷον ἕνεκεν
ἀφροδισίων, ἀλλὰ καὶ περὶ τὰ ἄλλα ὅσα ἐπιθυμεῖ ἡ
ψυχὴ κακῶς, οὐκ ἀρκουμένη τοῖς ἀναγκαίοις· γίνεται
B φθόνος διὰ χρυσίον, καὶ ἀδικήματα μυρία δι' ἑτέρας
ἐπιθυμίας. Καὶ τὸ μὴ μεθύειν, ἐγκράτειά ἐστιν· καὶ
τὸ μὴ διαῤῥήγνυσθαι ὑπερεμπιπλάμενον (47). Καὶ
τὸ κρατεῖν τοῦ σώματος, ἐγκράτειά ἐστιν, καὶ τὸ
κυριεύειν λογισμῶν πονηρῶν. Ποσάκις ἐτάραξεν ψυ-
χὴν ἔννοια, οὐκ ἀγαθὴ οὖσα οὔτε ἀληθὴς, καὶ καρδίαν
ἐμέρισεν εἰς πολλὰ φροντίζειν κενῶς. Πάντως ἐλευθε-
ροῖ ἡ ἐγκράτεια, ἅμα θεραπεύουσα καὶ δύναμις οὖσα·
οὐ γὰρ διδάσκει σωφροσύνην, ἀλλὰ παρέχει. Χάρις
ἐστὶν Θεοῦ ἐγκράτεια. Ἰησοῦς ἐγκράτεια ἐφάνη, καὶ
γῇ καὶ θαλάσσῃ κοῦφος γενόμενος. Οὔτε γὰρ γῆ ἐβά-
στασεν αὐτὸν, οὔτε πελάγη· ἀλλ' ὥσπερ ἐπάτησεν
θάλασσαν, οὕτως οὐκ ἐβάρησεν τὴν γῆν. Εἰ γὰρ ἐκ
τοῦ φθείρεσθαι τὸ ἀποθανεῖν, ἐκ δὲ τοῦ φθορὰν μὴ
C ἔχειν, τὸ μὴ ἀποθανεῖν, θεότητα ὁ Ἰησοῦς εἰργά-
ζετο, οὐ θνητότητα. Ἤσθιεν καὶ ἔπινεν ἰδίως, οὐκ
ἀποδιδοὺς τὰ βρώματα· τοσαύτη ἐν αὐτῷ ἡ ἐγκρατείας
δύναμις ἦν, ὥστε μὴ φθαρῆναι τὴν τροφὴν ἐν αὐτῷ,
ἐπεὶ τὸ φθείρεσθαι αὐτὸς οὐκ εἶχεν. Ὀλίγον τι ἐν
ἡμῖν ἐὰν ᾖ ἐγκράτεια, ἀνώτεροι ἁπάντων ἐσμέν.
Καὶ γὰρ ἀγγέλους ἠκούσαμεν ἀκρατεῖς γεγονέναι
κατασπασθέντας οὐρανοῦ δι' ἐπιθυμίαν. Ἐλιωσαν
γὰρ, οὐχὶ κατέβησαν· τί γὰρ ἔπραττεν ἐκεῖ αὕτη ἡ
νόσος, εἰ μή τις ἐκεῖ τοιοῦτος ὀφθαλμὸς ἦν; Διὰ
τοῦτο ἔφην· Ὀλίγον ἐγκράτειαν ἐὰν ἔχωμεν, καὶ τοῦ
βίου μὴ ἐρασθῶμεν, ἀλλ' αἰώνων τῶν ἀνωτέρων,
ἐκεῖ εὑρεθησόμεθα ὅπου ἀναπέμπομεν τὸν νοῦν.
Δοκεῖ γὰρ ὀφθαλμὸν εἶναι τοῦτον, τὸν τὰ ἀφανῆ ἰδεῖν
δυνάμενον. Καὶ γὰρ λέγεται· Νοῦς ὁρᾷ, καὶ νοῦς
D ἀκούει. Ταῦτά σοι ὀλίγα δοκοῦντα, πολλὰ γέγραφα·
ὅτι ἑκάστη λέξις, νοῦς ἐστιν· καὶ οἶδα, ὅτι ἀναγνοὺς
αἰσθήσῃ.

(42) Ludit quodammodo Basilius in vocabulis θεότητα et θνητότητα, quod Latine fieri nequit.

(43) Hac super re reverentissime theologiceque scribit Athanasius Corinthi episcopus in fragmento quod nos edidimus *AA. class.* t. X, p. 499-500, quod incipit: Ζητοῦμεν, εἰ ἡ πλήρωσις τῶν βρωμάτων ἐπὶ Χριστοῦ ἐκέκτητο καὶ κένωσιν. Erat enim hæc quoque una ex objectionibus hæreticorum. Definit autem, corpus Christi hac in re fuisse cæteris superius, sicuti etiam in insolita nativitate. Utitur quoque Athanasius exemplo trinitatis illius apud Abrahamum convivantis, neque tamen naturali necessitati obtemperantis; quod item de Christo post resurrectionem edente intelligendum dicit.

(44) Non natura, sed gratia et inhabitantis divinitatis privilegio. Videsis opus Severi Antiocheni contra incorrupticolas, apud nos in *Spicilegio Rom.*, t. X.

(45) Græce, εἰ μή τις. Sed μή redundare videtur, propter ea quæ sequuntur.

(46) Ἀποβαίνει. Cod. prima manu ἀποσβέννει.

(47) Ὑπερεμπιμπλάμενον. Prima manu πιμπλάμενον.

APPENDIX

TOMI TERTII* OPERUM S. BASILII MAGNI

COMPLECTENS

Viginti quatuor *De moribus* sermones ex ejus operibus a Symeone Metaphraste collectos, ac librum *De virginitate*** falso ascriptum nomini Basilii.

—

468 MONITUM.

Primum in hac Appendice locum merito sortientur viginti quatuor De moribus *sermones, qui cum toti sint ex Basilii operibus contexti, Basilium ipsum loquentem nobis exhibent, non alienos fetus illius nomini affingunt. Hos consuit centones Symeon magister et logotheta, Metaphrastes vocari solitus: quo in opere nihil fere apponit de suo, nisi cum rerum junctura unum aliquod verbum addi postulat aut mutari. Non enim seriem et ordinem penitus neglexit; sed, si nonnulla excipias testimonia, quæ nec cum iis quæ præcedunt, nec cum iis quæ sequuntur, necessitudinem habent, cætera satis inter se apta et nexa sunt. Quod autem ejusmodi operibus accidere solet, ut quæ nitebant in propria sede, deformentur in aliena, hoc vitium non semper effugit Metaphrastes. Exempli gratia, negat Basilius in epist.* 250, *adduci se debere, ut communionem suam omnibus concedat, ac nonnullos ab ea excludendos contendit: charitatem communioni substituit Symeon, et Basilium perabsurde loquentem inducit serm.* 3, *n.* 2. *Non levius peccat, cum impium Eunomii principium, ut præclare dictum Basilii, refert, serm.* 18, *n.* 1. *Quod enim Eunomius præsentes et futuros lectores obtestatur, ut verum ex multitudine non dijudicent, parti majori palma delata, nec dignitatum habeant rationem, neque aures obturent posterioribus, priorum agmini concessa victoria; id Metaphrastes sancto Basilio affinxit; nec subodoratus est in his verbis artificium hæretici, qui cum se et totius antiquitatis auctoritate et omnium Ecclesiarum consensu premi videret, tanti argumenti momentum, dissimulando et cavillando, elevabat. Cæterum satis utile hoc opus cum ipsa similium testimoniorum appositione, quæ ex variis locis in unum coguntur; tum etiam quia interdum prodest ad emendandum sancti Basilii contextum, ac multa continet, quæ cum in Basilii operibus non appareant, ex his quæ amisimus, eruta videri possunt. Ejusmodi testimonia stellulis distinximus ab aliis, quæ suis reperta locis indicantur. In duobus Regiis codicibus, quibus usi sumus, generatim ad marginem indicantur opera Basilii, sive orationes, ex quibus desumptum videtur unumquodque testimonium: verbi gratia, ex antirrheticis, ex asceticis, ex commentario* in Isaiam, *ex epistolis, ex homil.* in Hexaem. *Soli Psalmi accuratius, apposito ipsius psalmi numero, citantur. In his ad marginem admonitionibus duæ orationes recensentur, quæ hodie non exstant, nempe homilia* De eleemosyna et judicio (*a*), *serm.* 4, *et homilia,* Quod Deus incomprehensibilis, *serm.* 15.

Prodierunt hi Sermones, *inquit doctissimus Fabricius* (*b*), primum Græce e bibl. Regis Christianissimi, Paris. apud Guil. Morellum, 1556, 8°. Hinc a Simone Mailleo archiepiscopo Turonensi translati in Latinum sermonem, ibid. 1558, 8°. Postea utraque lingua cum nova interpretatione Stanislai Ilovii, Francf. 1598 et 1611, 8°. Simonis a Maille interpretatio Latina servata est in Græco-Latinis operum Basilii editionibus. Ex his ethicis suspicor esse homilias novem breviores, quas a Francisco Vergara versas esse Latine narrat Nicolaus Antonius in *Bibl. Hispana. Archiepiscopi Turonensis interpretatio, quæ cardinali Lotharingio nuncupata est, diligentiæ interpretis ac peritiæ Græci sermonis egregium monumentum est, sed tamen eam minime retinui, propterea quod doctissimus præsul, dum vitiosi codicis contextum sequitur, plurima incidit in errata quæ facile vitasset, si alium ejusdem Regiæ bibliothecæ codicem, qui magno mihi usui fuit, in manibus habuisset. Quare cum hoc opus ex comportatis testimoniis textum sit, satius visum est eam interpretationem apponere, quam suo quæque loco habuerant. Plurima tamen emendavimus, minus accurate reddita, aut minus clare. Quod autem spectat ad contextum, ex duobus codicibus Regiis, quibuscum collatus fuit, alter, qui* 1992 *notatur, magno, ut jam dixi, præsidio mihi fuit; alter, qui est* 1910, *ab editis tam parum discrepat, ut ad primam viginti quatuor sermonum editionem adhibitus fuisse videatur.*

* Nunc quarti. Edit.

** In Appendice tomi II nostræ recensionis. Id.

(*a*) Homiliam *De eleemosyna et judicio*, junctis duabus aliis, Græce publici juris fecit Chr. Frid. Matthæi in libro cui titulus: *Glossaria Græca minora*, Mosquæ, 1774, in-4°. Eas Latinitate donatas inseruimus tomo præcedenti. Id.

(*b*) *Bibliotheca Græca*, nov. edit. t. IX. Notitiam Fabricii integram dedimus supra inter Prolegomena. Vide pag. CCLXXII tomi I. Id

ΗΘΙΚΟΙ ΛΟΓΟΙ ΚΔ'

ΕΚΛΕΧΘΕΝΤΕΣ

ΔΙΑ ΣΥΜΕΩΝ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ ΚΑΙ ΛΟΓΟΘΕΤΟΥ

Ἐκ πασῶν τῶν πραγματειῶν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας.

—

SERMONES VIGINTI QUATUOR

DE MORIBUS

Per Symeonem Magistrum et Logothetam selecti ex omnibus operibus sancti Patris nostri Basilii archiepiscopi Cæsareæ Cappadociæ.

—

469 *DE VIRTUTE ET VITIO.*

SERMO I.

1. (1) Dominus noster Jesus Christus apostolis suis, *Euntes*, inquit, *docete omnes gentes, docentes ipsos* [1], non hæc quidem observare, illa vero negligere : sed *servare omnia quæcunque mandavi vobis* [2], id est, ne minimum quidem eorum prætaerire quæ præscripta sunt. (2) Etenim si non omnia essent nobis necessaria ad salutis propositum, non utique omnia mandata fuissent conscripta : neque fuisset sancitum, ut necessario servarentur omnia. (3) Nos vero si vel unicum mandatum confecisse nos arbitremur (neque enim confecisse dixerim : omnia siquidem inter se cohærent secundum sanam scopi ad quem tendunt rationem, sic ut uno exsoluto necesse sit alia etiam simul exsolvi), non ob ea quæ prætermisimus iram exspectamus, sed propter illud quod videmur peregisse, præmia præstolamur : haud scientes eum, qui ex decem talentis sibi commissis unum aut alterum retinuerit, reliqua vero reddiderit, non probum ob plura persoluta agnosci, sed improbum et rapacem ob paucorum direptionem argui. Quid autem dico direptionem? quandoquidem is cui concreditum fuerat talentum unum, ac deinde id quod acceperat, integrum ac intactum reddidit, propterea quod traditum talentum fenore non auxerit, condemnatur [3] : et qui per decennium patrem honoravit, et postea unam duntaxat plagam incussit, non ut pius et beneficus honore afficitur, sed ut parricida con-

A

ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.

ΛΟΓΟΣ Α'.

1. Ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς ἀποστόλοις, *Πορευθέντες*, φησὶ, *μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτοὺς*, οὐχὶ τὰ μὲν τηρεῖν, τῶν δὲ ἀμελεῖν, ἀλλὰ *τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν*, τουτέστι μηδὲ μικρόν τι παρεῖναι τῶν διατεταγμένων. Εἰ γὰρ μὴ πάντα ἡμῖν πρὸς τὸν τῆς σωτηρίας σκοπὸν ἀναγκαῖα ἦν, οὔτ' ἂν ἐγράφησαν πᾶσαι αἱ ἐντολαὶ, οὔτ' ἂν πάσας φυλαχθῆναι διηγορεύθη. Ἡμεῖς δὲ μίαν που τῶν ἐντολῶν πεποιηκέναι νομίσαντες (οὐ γὰρ ἂν φαίην ὅτι ποιήσαντες· πᾶσαι γὰρ ἀλλήλων ἔχονται, κατὰ τὸν ὑγιῆ τοῦ σκοποῦ (4) λόγον, ὡς ἐν τῇ λύσει τῆς μιᾶς καὶ τὰς λοιπὰς ἐξ B ἀνάγκης συγκαταλύεσθαι), οὐκ ἐπὶ τοῖς παρεθεῖσι τὴν ὀργὴν ἐκδεχόμεθα, ἀλλ' ἐπὶ τῷ κατορθωθέντι δῆθεν τὰς τιμὰς ἀναμένομεν· οὐκ εἰδότες, ὡς ὁ ἐκ τῶν δέκα ταλάντων τῆς παρακαταθήκης ἕν που ἢ δύο κατασχὼν, τὰ δὲ λοιπὰ ἀποτίσας, οὐχὶ εὐγνώμων διὰ τὴν ἀπότισιν τῶν πλειόνων γνωρίζεται, ἀλλ' ἄδικος καὶ πλεονέκτης ἐπὶ τῇ τῶν ἐλαττόνων ἀποστερήσει ἐλέγχεται. Τί δὲ λέγω ἀποστερήσει; ὁπότε ὁ τὸ ἓν τάλαντον πιστευθεὶς, εἶτα ἀποδοὺς ἐκεῖνο αὐτὸ ὁλόκληρον καὶ ἀκέραιον ὃ ὑπεδέξατο, ὅτι μὴ προσειργάσατο τῷ δοθέντι, κατακρίνεται· καὶ ὁ δέκα ἔτη τὸν πατέρα τιμήσας, μίαν δὲ πληγὴν ὕστερον ἐμβαλὼν μόνην, οὐχ ὡς εὐεργέτης τιμᾶται, ἀλλ' ὡς πατραλοίας καταδικάζεται. Ὁ τοίνυν ἐν προκοπῇ γενόμενος ἀγαθῶν ἔργων, εἶτα παλινδρομήσας πρὸς τὴν ἀρχαίαν συνήθειαν, οὐ μόνον

[1] Matth. XXVIII, 19. [2] ibid. 20. [3] Matth. XXV, 24-30.

(1) Ex asceticis, 328.
(2) Ibid., 329.
(3) Ibid., 328.

(4) *Τοῦ σκοπου.* Longe præferenda videtur hæc scriptura ei quam exhibet contextus, τοῦ λόγου σκοπόν.

ὧν ἐπὶ τοῖς προπεπονημένοις μισθὸν ἐζημιώθη, ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως, ὅτι γευσάμενος καλὸν Θεοῦ ῥῆμα, καὶ γνώσεως μυστηρίου ἀξιωθεὶς, πάντα προέδωκεν, ἡδονῇ βραχείᾳ δελεασθείς.

A demnatur. (6) Qui ergo in bonis operibus progressum fecit, deinde vero ad consuetudinem antiquam revertitur, non priorum modo laborum mercedem amittit, sed etiam graviorem condemnationem subit; quod cum Dei verbum bonum degustaverit, mysteriique cognitione dignatus sit, perdidit omnia, brevi voluptate inescatus.

2. Δέον οὖν ἡμᾶς, εἴπερ ἐθέλοιμεν ἀσφαλῶς τὴν ὑποκειμένην ὁδὸν τοῦ βίου διαδραμεῖν, καὶ παραστῆσαι Χριστῷ τὴν ψυχήν τε ὁμοῦ καὶ τὸ σῶμα τῆς ἐκ τῶν τραυμάτων αἰσχύνης ἐλεύθερα, καὶ τοὺς ἐπὶ τῇ νίκῃ στεφάνους λαβεῖν, ἐγρηγορότας περιάγειν ἀεὶ τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς, καὶ πάντα ὑποπτεύειν ὅσα τερπνὰ, καὶ μηδενὶ προσερείδειν τὴν ἔννοιαν, μηδὲ εἰ χρυσὸς φαίνοιτο χύδην προκείμενος, ἕτοιμος εἰς τὰς τῶν βουλομένων χεῖρας ἐλθεῖν (*Πλοῦτος* γὰρ, φησὶν, *ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίᾳ*)· μηδὲ εἰ γῆ βλαστάνουσα πᾶσαν (1) τρυφὴν, καὶ πολυτελεῖς δεικνύουσα σκηνὰς (*Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανῷ, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Χριστόν*)· μηδὲ εἰ χορεῖαι, καὶ κῶμοι, καὶ μέθαι, καὶ καταυλούμεναι τράπεζαι (*Ματαιότης* γὰρ, φησὶ, *ματαιοτήτων, τὰ πάντα ματαιότης*)· μηδὲ εἰ σωμάτων κάλλη προτείνοιτο (2), παρὰ πονηρῶν ψυχῶν ἐνοικούμενα (*Ἀπὸ προσώπου γὰρ γυναικὸς ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε*, φησὶν ὁ σοφός)· μηδὲ εἰ δυναστεῖαι (3) καὶ τυραννίδες, καὶ δορυφόρων ἢ κολάκων ἑσμοὶ, μηδὲ εἰ θρόνος ὑψηλὸς καὶ λαμπρὸς, ὑποζεύξας ἔθνη καὶ πόλεις εἰς δουλείαν ἀκούσιον· *Πᾶσα γὰρ σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε.* Τούτοις γὰρ δὴ πᾶσι τοῖς οὕτω τερπνοῖς ὁ κοινὸς ὑποκάθηται δυσμενὴς, ἀναμένων πότε (4) τοῖς ὁρωμένοις δελεασθέντες, τῆς μὲν εὐθείας ἐκτραπῶμεν ὁδοῦ, πρὸς δὲ τὸν ἐκείνου λόχον ἑαυτοὺς ἀποκλίνωμεν. Καὶ δέος πολὺ, μή ποτε προσδραμόντες ἀφυλάκτως αὐτοῖς, καὶ τὴν ἐκ τῆς ἀπολαύσεως τέρψιν οὐδὲν ἡγησάμενοι βλαβερὸν, ἐγκεκρυμμένον τῇ πρώτῃ γεύσει τὸ τοῦ διαβόλου (5) καταπίωμεν ἄγκιστρον· εἶτα ὑπὸ τούτου, τὰ μὲν ἑκόντες, τὰ δὲ ἄκοντες, προσδεθῶμεν αὐτοῖς, καὶ πρὸς τὸ φοβερὸν τοῦ λῃστοῦ καταγώγιον, τὸν θάνατον, λάθωμεν ἑλκυσθέντες ὑπὸ τῶν ἡδονῶν. Αἱ μὲν γὰρ ἀρεταὶ, ὅταν ἐξ ἐπιμελείας συναφθῶσι τῇ φύσει, ἡμέτερα κτήματα γίνεται, καὶ οὔτε ἐπὶ γῆς μοχθοῦντας ἡμᾶς ἀπολιμπάνειν ἐθέλουσιν (ἢν μὴ πρὸς βίαν αὐτὰς ἑκόντες ἀποδιώξωμεν ταῖς τῶν χειρόνων ἐπαγωγαῖς), ἐκεῖσέ τε ἐπειγομένων προτρέχουσι, καὶ τοῖς ἀγγέλοις τοὺς κτησαμένους συνάπτουσι, καὶ λάμπουσι δι' αἰῶνος ὑπὸ τοῖς τοῦ κτίσαντος ὀφθαλμοῖς. Πλοῦτος δὲ, καὶ δυναστεία, καὶ περιφάνεια, καὶ τρυφὴ, καὶ πᾶς ὁ τοιοῦτος ὄχλος, ὁ καθ'

2.470 (7) Itaque si modo velimus substratam vitæ viam tuto percurrere, atque animam simul et corpus vulnerum turpitudine immunia offerre Christo, coronasque ob victoriam accipere : oportet nos animi oculos semper undecunque vigilantes circumagere, et suspecta habere quæcunque jucunda sunt, nec mentem in ulla re ejusmodi defigere; ne si aurum quidem videatur fuse sparsum, quod in B cupientium manus venire paratum sit (*Divitiæ* enim, inquit, *si affluant, nolite cor apponere*[4]); neque si proferat terra delicias omnes ac sumptuosa tabernacula (*Nam nostra conversatio in cœlo est, unde etiam Salvatorem exspectamus Christum*[5]); neque si choreæ, et comessationes, et ebrietates, et mensæ tibiarum modulis resonantes proponantur (*Vanitas enim*, inquit, *vanitatum, omnia vanitas*[6]); neque si offerantur corpora formosa, in quibus animæ pravæ inhabitant (*A facie* enim *mulieris velut a facie serpentis fuge*, inquit Sapiens[7]); neque si potentatus dominatusque, ac satellitum aut adulatorum turmæ, neque si promittatur altus thronus atque splendidus, gentes ac civitates servituti non C voluntariæ subjiciens : *Omnis* enim *caro fenum, et omnis gloria hominis quasi flos feni : aruit fenum, et flos cecidit*[8]. Etenim sub his omnibus adeo jucundis communis ille hostis latitat, exspectans ecquando, rebus conspectis illecti, a recta deflectamus via, ac nosipsos in illius insidias conjiciamus. Quinetiam metuendum valde est, nequando ad hæc incaute accurrentes, ac perfruendi voluptatem minime noxiam arbitrati, diaboli hamum deglutiamus in primo gustu occultatum : deinde, ne ab hoc tracti, partim libentes, partim inviti his rebus alligemur, inscientesque a voluptatibus ad horrendum latronis hospitium trahamur, ad mortem scilicet. (8) Nam virtutes, cum ex studio et diligentia conjunguntur cum natura, nostra fiunt possessio, nosD que nec in terra laborantes deserere volunt, nisi eas per vim ultro fugaverimus vitiis introductis, et ad futuram vitam festinantes præcurrunt, et collocant inter angelos suum possessorem, et sub conditoris oculis æternum fulgent. Divitiæ vero, et potentatus, et claritudo, et deliciæ, et omnis ejusmodi turba quotidie per nostram insipientiam augescens, neque introivit nobiscum in vitam, neque

[4] Psal. LXI, 11. [5] Philipp. III, 20. [6] Eccle. I, 2. [7] Eccli. XXI, 2. [8] Isa. XL, 6.

(1) *Πᾶσαν*. Hanc vocem addidi ex contextu et codice Regio 1992, quo sæpissime utemur. Alter enim, qui est 1910, non magno usui fuit.

(2) *Προτείνοιτο*. Ita cod. Reg. et contextus. Editi προτείνοι.

(3) *Εἰ δυναστεῖαι*. Vocula addita ex contextu et utroque codice. Mox contextus εἰς δουλείαν ἑκούσιον, *servituti voluntariæ subjiciens*.

(4) *Πότε*. Minus recte recentiores editiones εἴ ποτε.

(5) *Διαβόλου*. Minus recte contextus δόλου.

(6) Ex homil. XIV, *in ebriosos*, 122.

(7) Ex homil. XXI, *Quod rebus mundanis adhærendum non sit*, 163.

(8) Ibid., *Quod rebus*, etc., 167.

cum ullis unquam abiit : sed in unoquoque homine fixum et ratum manet, quod olim a justo dictum est : *Nudus egressus sum ex utero matris meæ, nudus etiam revertar* [9]. (1) Utrum igitur tibi utilius temporariam eligere voluptatem, et per eam accipere æternam mortem : an virtute excolenda labores et ærumnas amplecti, et illius ope vitam æternam consequi? (2) Nam corporis pondera ex trutinæ momentis æstimamus : sed quæ in vita eligenda sunt, libero animæ arbitrio secernimus : quod et stateram Scriptura nominavit; quippe quia æqualem ad utrumque **471** inclinationem recipere potest. (3) Exempli causa, scortatio et pudicitia apud te judicantur, et excelsa tua mens ejusmodi judicio sibi commisso præsidet; atque voluptate scortationi favente, timor Dei suppetias venit castimoniæ. Quod si damnato peccato, victoriam pudicitiæ dederis, de re sententiam rectam tulisti; sin autem ad voluptatem inclinans, præferendum esse peccatum pronunties, obliquum fecisti judicium, obnoxius factus exsecrationi ejus, qui dixit : *Væ, qui dicitis amarum dulce, et dulce amarum : qui dicitis lucem tenebras, et tenebras lucem* [10]. (4) Quando igitur singulæ virtutes cum singulis vitiis judicium subeunt, tunc judiciorum rectitudinem ostendito in occulto animæ tuæ tribunali, præceptumque quasi assessorem adhibens tibi, odium in nequitiam tuum commonstrato, aversans peccata, virtutes præferens. Si enim facis ut in singulis actionibus vincant apud te meliora, beatus eris *In die illa, cum judicabit Dominus occulta hominum secundum evangelium nostrum* [11]; et, *Cogitationibus inter se et accusantibus, aut et defendentibus* [12], non ab ibis condemnatus quod ad mala inclinaveris : sed justitiæ coronis honorabere, quibus virtutem per omnem tuam vitam coronaveris. (5) Quemadmodum enim sagittarius jaculum ad scopum dirigit, si neque excedens, neque deficiens, neque in alterutram partem declinans aberrat : sic judex debet ad id quod justum est collineare, nec personarum habens rationem (*Personam enim in judicio cognoscere bonum non est* [13]), neque propensione agens, sed rectam minimeque distortam ferens sententiam. Et cum duo ab ipso judicentur, quorum alter plus æquo, alter minus habeat, debet judex ambos inter se exæquare, et tantum aufert ei qui plus satis habet, quantum ei qui injuriam accepit, deesse deprehendit.

ἡμέραν ἐκ τῆς ἡμετέρας ἀνοίας αὐξανόμενος, οὔτε συμπροῆλθε πρὸς τὸν βίον ἡμῖν, οὔτε συναπῆλθέ τισιν· ἀλλὰ τὸ τῷ δικαίῳ πάλαι ῥηθὲν, ἐπὶ παντὸς ἀνθρώπου πέπηγε καὶ κρατεῖ· *Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι.* Τί οὖν σοι λυσιτελέστερον; τὴν πρόσκαιρον ἑλέσθαι ζωὴν, καὶ δι' αὐτῆς (7) τὸν αἰώνιον λαβεῖν θάνατον, ἢ τὴν ἐν τῇ ἀσκήσει τῆς ἀρετῆς ἑλόμενον κακοπάθειαν, ταύτῃ προξένῳ χρήσασθαι τῆς αἰωνίου ζωῆς; Τὰ μὲν γὰρ τοῦ σώματος βάρη, ταῖς ἐπὶ τῆς τρυτάνης ῥοπαῖς δοκιμάζομεν· τὰ δὲ τοῦ βίου ἐκλεκτὰ, τῷ αὐτεξουσίῳ τῆς ψυχῆς διακρίνομεν· ὃ καὶ ζυγὸν ὠνόμασεν ἡ Γραφὴ, διὰ τὸ ἴσην δύνασθαι λαμβάνειν τὴν ῥοπὴν ἐφ' ἑκάτερα. Οἷόν τι λέγω, πορνεία καὶ σωφροσύνη παρὰ σοὶ κρίνεται, καὶ ὑψηλὸς προκαθέζεταί σοι ὁ νοῦς, πεπιστευμένος τὸ δικαστήριον· καὶ ἡ μὲν ἡδονὴ συνηγορεῖ τῇ πορνείᾳ, ὁ δὲ φόβος τοῦ Θεοῦ τῇ σωφροσύνῃ συνίσταται. Ἐὰν μὲν οὖν καταδικάσῃς τὴν ἁμαρτίαν, δῷς δὲ νικῆσαι τὴν σωφροσύνην, εὐθεῖαν ἐποιήσω τὴν κρίσιν τοῦ πράγματος· ἐὰν δὲ τῇ ἡδονῇ δοὺς τὴν ῥοπὴν, προτιμοτέραν ἀποφήνῃς τὴν ἁμαρτίαν, σκολιὸν ἐποιήσω τὸ κρίμα, ὑπόδικος γενόμενος τῇ ἀρᾷ τοῦ εἰπόντος· *Οὐαὶ, οἱ λέγοντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν· οἱ λέγοντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς.* Ἐπεὶ οὖν πᾶσα ἀρετὴ πρὸς πᾶσαν κακίαν διαδικάζεται, τότε δὴ ἐπίδειξαι τὴν εὐθύτητα τῶν κριμάτων ἐν τῷ κρυπτῷ σου τῆς ψυχῆς κριτηρίῳ, καὶ οἱονεὶ πάρεδρον σεαυτῷ τὴν ἐντολὴν ποιησάμενος, δεῖξον τὸ μισοπόνηρον, ἀποστρεφόμενος μὲν τὰς ἁμαρτίας, ὑπερτιμῶν δὲ τὰς ἀρετάς. Ἐὰν γὰρ ἐφ' ἑκάστης πράξεως νικᾷν ποιήσῃς παρὰ σοὶ τὰ βελτίονα, μακάριος ἔσῃ *Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν κρίνῃ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ Εὐαγγέλιον ἡμῶν·* καὶ, *Μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων,* οὐχ ὑπέρχῃ καταδεδικασμένος διὰ τὴν πρὸς τὰ φαῦλα ῥοπὴν, ἀλλὰ τοῖς τῆς δικαιοσύνης τιμηθήσῃ στεφάνοις, οἷς παρὰ πάντα σου τὸν βίον τὴν ἀρετὴν ἐστεφάνωσας. Ὥσπερ γὰρ ὁ τοξότης πρὸς τὸν σκοπὸν ἀπευθύνει τὸ βέλος, οὔτε ὑπερβολαῖς, οὔτε ἐλλείψεσιν, οὔτε ταῖς ἐφ' ἑκάτερα παρατροπαῖς ἀποπλανῶν τὴν τοξείαν· οὕτως ὁ κριτὴς ὀφείλει τοῦ δικαίου καταστοχάζεσθαι, οὔτε πρόσωπα λαμβάνων (*Γνωρίζειν γὰρ πρόσωπον ἐν κρίσει οὐ καλόν*), οὔτε ποιῶν κατὰ πρόσκλισιν (8), ἀλλ' εὐθείας καὶ ἀδιαστρόφους ἐκφέρων τὰς κρίσεις. Καὶ δύο κρινομένων παρ' αὐτῷ, τοῦ τε πλεονεκτοῦντος, καὶ τοῦ τὸ ἔλαττον ἔχοντος, ὀφείλει αὐτὸς ἵστασθαι ἐπανισῶν αὐτοὺς πρὸς ἀλλήλους, καὶ τοσοῦτον ἀφαιρῶν τοῦ ὑπερέχοντος, ὅσον ἐλαττούμενον εὑρίσκει τὸν ἀδικούμενον.

3. (6) Nam possessiones reliquæ non sunt possessorum magis quam quorumlibet eas adipiscen-

3. Τὰ μὲν γὰρ ἄλλα τῶν κτημάτων, οὐ μᾶλλον τῶν ἐχόντων ἢ καὶ οὑτινοσοῦν τῶν ἐπιτυχόντων

[9] Job I, 21. [10] Isa. V, 20. [11] Rom. II, 10. [12] ibid. 15. [13] Prov. XXIV, 23.

(1) Ex homil. *in ps.* LXI, 197.
(2) Ibid.
(3) Ex homil. *in princip. Proverb.*, 106.
(4) Ibid.
(5) Ibid. 105.

(6) Ex serm. *De legendis libris gentilium*, 177.
(7) *Δι' αὐτῆς*. Sic uterque codex. Editi δι' αὐτῆς. Mox in contextu τῆς αἰωνίου τρυφῆς.
(8) *Πρόσκλισιν*. Sic in contextu recte emendatum est. Editi πρόκλησιν. Uterque codex πρόσκλησιν.

ἐστὶν ὥσπερ ἐν παιδιᾷ κύβων, τῇδε κἀκεῖσε μεταβαλλόμενα· μόνη δὲ κτημάτων ἡ ἀρετὴ ἀναφαίρετον, καὶ ζῶντι καὶ τελευτήσαντι παραμένουσα. Ὅθεν δὴ καὶ Σόλων μοι δοκεῖ πρὸς τοὺς εὐπόρους εἰπεῖν τὸ,

Ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον [αἰεί,
Χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Διὸ ἀρετῆς ὑμῖν ἐπιμελητέον, ὦ ἄνθρωποι, ἣ καὶ ναυαγήσαντι συνεκνήχεται, καὶ ἐπὶ τῆς χέρσου γενόμενον γυμνὸν τιμιώτερον ἀποδείξει τῶν εὐδαιμόνων. Καὶ οὕτω βιώσωμεν, ὡς μηδέποτε τὰ παρελθόντα κρείττονα εἶναι τῶν μελλόντων· *Μηδὲ εἴπωμεν, ὅτι αἱ ἡμέραι αἱ πρότερον ἀγαθαὶ ἦσαν ὑπὲρ ταύτας*. Ἐὰν γὰρ αἱ προάγουσαι ἡμέραι βελτίους B ὦσι τῶν μετὰ ταῦτα, λεχθήσεται ἡμῖν· *Τοσαῦτα ἐπάθετε εἰκῇ*, ἀμαυρουμένων τῶν καλῶν ὑπὸ τῆς ἐν τοῖς ὕστερον ἀμελείας. Ὥσπερ γὰρ ὁ τελειούμενος τοῖς ἔμπροσθεν ἐπεκτείνεται, οὕτως ὁ ἁμαρτάνων εἰς τὸ κατόπιν ἀναποδίζει. Τίς δὲ μείζων κακίας ἀπόδειξις, ἢ ἡ τοῦ ἀγαθοῦ ἐγκατάλειψις; Καὶ πονηρίας ὑπερβολὴ, τὸ παροξῦναι τὸν ἀγαθὸν καὶ πρᾷον. Τὸ γὰρ ἔσχατον ἐν πονηρίᾳ, καὶ πρὸς ἑαυτό ἐστιν ἀσύμφωνον· καὶ ἔοικε τὸ κακὸν, οὐ τῷ ἀγαθῷ ἐναντιοῦσθαι μόνον, ἀλλὰ καὶ αὐτὸ ἑαυτῷ. Ὥσπερ οὖν ἡττᾶται σκότος τῇ τοῦ φωτὸς παρουσίᾳ, καὶ νικᾶται νόσος τῇ τῆς ὑγείας ἐπιδημίᾳ, καὶ ἡ κατ' ἀρετὴν προκοπὴ ἐπὶ τὸ μεῖζον ἀπὸ τῶν ἐλαττόνων τὴν αὔξησιν ἔχει· οὕτω καὶ ἡ τῆς κακίας χύσις ἀπὸ τῶν ὑποδεεστέρων τῶν ἐξ ἀρχῆς ἐπὶ τὸ ἀνήκεστον φέρεται. C Ἀρχὴ δὲ πρὸς τὴν ἀνάληψιν τῶν καλῶν, ἡ ἀναχώρησις τῶν κακῶν. *Ἔκκλινον* γὰρ, φησὶν, *ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν*. Εἰ γὰρ εὐθὺς προσέβαλέ σοι τὰ τέλεια, ἀπώκνησας ἂν πρὸς τὴν ἐγχείρησιν· νυνὶ δὲ τοῖς εὐληπτοτέροις σε προσεθίζει, ἵνα κατατολμήσῃς τῶν ἐφεξῆς. Ὡς γὰρ ἐπὶ τῆς κλίμακος πρώτη ἀνάβασις, ἡ τῆς γῆς ἀναχώρησις· οὕτως ἐπὶ τῆς κατὰ Θεὸν πολιτείας, ἀρχὴ προκοπῆς, ὁ τῶν κακῶν χωρισμός. Ἕως μὲν οὖν νήπιός ἐστιν ἕκαστος ἡμῶν, τὸ ἐν τῷ παρόντι ἡδὺ διώκων, οὐδεμίαν τοῦ μέλλοντος κηδεμονίαν ποιεῖται· ἀνὴρ δὲ γενόμενος, μετὰ τὸν ἀπαρτισμὸν τῶν ἐννοιῶν, οἷον ὁρᾷν δοκεῖ τὸν βίον αὐτῷ σχιζόμενον πρὸς ἀρετὴν καὶ κακίαν· καὶ πυκνὸν πρὸς ἑκάτερον τὸ ὄμμα τῆς ψυχῆς D μεταστρέφων, παράλληλα κρίνει τὰ ἑκατέρῳ προσόντα. Καὶ ὁ μὲν τῶν ἁμαρτωλῶν βίος πάντα δείκνυσι τὰ τοῦ παρόντος αἰῶνος τερπνά· ὁ δὲ τῶν δικαίων μόνα ὑποφαίνει τὰ τοῦ μέλλοντος ἀγαθά. Καὶ ἡ μὲν τῶν σωζομένων ὁδὸς, ὅσον καλὰ ὑπισχνεῖται τὰ μέλλοντα, τοσοῦτον ἐπίπονα παρέχεται τὰ παρόντα· ὁ δὲ ἡδὺς καὶ ἀκόλαστος βίος οὐχὶ προσδοκωμένην εἰς

A tium, quippe cum velut in tesserarum ludo huc et illuc transferantur. Virtus autem ex possessionibus sola est quæ nequeat auferri, et viventi ac mortuo non desit. Unde et Solon mihi videtur illud ad divites dicere

Virtutem non mihi divitiis
Permutare libet; namque hæc consistit in ævum,
Divitiæ cedunt nunc tibi, nunc alii.

(1) Quare habenda est vobis, o homines, virtutis cura, quæ et una cum naufragio enatat, et nudum in terram ejectum felicibus reddet venerabiliorem. (2) Atque ita vitam instituamus, ut quæ præterierunt, nunquam meliora sint sequentibus : *Ne dixeris, quia dies priores erant boni super hos*[14]. Si B enim dies priores posterioribus sunt meliores, dicetur nobis : *Tanta passi estis sine causa*[15]? bonis ad nihilum redactis præ subsequente negligentia. (3) Quemadmodum enim is qui ad perfectionem contendit, in anteriora progreditur : ita qui peccat, **472** retro pedem refert. (4) Quodnam autem majus malitiæ argumentum, quam a bono deficere? Summum est pravitatis, bonum ac mitem exasperare. Quod enim in improbitate extremum est, idem etiam secum ipsum pugnat. (5) Solet enim malum non solum bono, sed etiam sibimetipsi adversari. Quemadmodum igitur vincuntur tenebræ lucis præsentia, superaturque morbus sanitatis adventu, (6) ac progressus in virtute, a minoribus ad majora capit incrementum : ita malitiæ effusio a parvis C initiis, ad aliquid immedicabile devolvitur. (7) Porro principium bonorum acquirendorum est recessus a malo. *Declina a malo*, inquit, *et fac bonum*[16]. (8) Etenim si statim ea quæ sunt perfecta, tibi proposuisset, ad ea tentanda fuisses cunctantior; nunc autem facilioribus te assuefacit, ut ad ea quæ sequuntur, aggredi audeas. (9) Quemadmodum enim in scala primus gradus, recessus ab humo est : ita in vitæ secundum Deum instituto, profectus initium, discessus a malo est. (10) Dum igitur unusquisque nostrum puer est, id quod adest jucundum persequitur, neque habet ullam futurorum curam; jam autem vir factus, post judicii perfectionem, videre sibi videtur bifidum vitæ iter ad virtutem et vi- D tium, ac sæpe oculum animi in utrumque convertens, comparando dijudicat quæ utrique insunt. Et peccatorum quidem vita omnia ostendit in præsenti sæculo jucunda : justorum vero, sola futuri ævi bona commonstrat. Et certe salvandorum via, quanto pulchriora pollicetur futura, tanto laboriosiora exhibet præsentia : (11) jucunda autem et intemperans vita non exspectatam in posterum, sed

[14] Eccle. vii, 11. [15] Galat. iii, 4. [16] Psal. xxxvi, 27.

(1) Ex serm. *De legendis libris gentilium*, 177.
(2) Ex comment. *in Isa.*, 389.
(3) Ibid.
(4) Ibid.
(5) Uterque codex indicat Antirrhet.
(6) Ex comment. *in Isa.*, 388.
(7) Ex homil. *in psal.* i, 93.
(8) Ibid.
(9) Ibid.
(10) Ibid., 95.
(11) Ibid.

jam præsentem proponit voluptatem. (1) Beatus igitur ille qui voluptatis illecebris non deductus est ad interitum, ac in utriusque viæ delectu non eam ingressus est quæ ducit ad pejora. (2) Beatus ille est qui ab omni spe rerum hujus mundi semetipsum abstraxit, ac unicam spem suam Deum habet. Quemadmodum enim maledictus est homo (3) qui spem habet in homine : ita benedictus est qui innititur Domino. Non enim spes in Deum alternas vices admittit, nec solet Dominus plenam suam opem ei ferre, qui modo quidem in pecuniis spem suam constituit et in gloria humana ac mundi potestate, modo vero Deum tanquam spem sibi proponit : sed vere acquiescendum in Dei auxilio.

4. (4) Imperiti autem homines, mundique amatores, cum boni ipsius ignorent naturam, sæpe beata existimant, quæ nullius pretii sunt, divitias, sanitatem, vitæ splendorem : quarum rerum nihil est sua ipsius natura bonum, non solum quod facile in contraria mutentur, sed quod ne bonos quidem valeant possessores suos reddere. (5) Qui ergo in hac vita versatur, nondum propter incertum exitum beatus est prædicandus ; qui vero suum expleverit officium, vitamque certo fine clauserit, is jam beatus tuto dicitur. (6) Et qui faciunt bonum, in ipsa actione consequuntur approbationem : sed qui vitant malum, laudandi non sunt, si forte semel **473** aut iterum peccatum evitaverint, sed si omnino mali experientiam declinare possint. (7) Si igitur oportet ut quisque vitam optimam eligat, speretque consuetudine jucundam redditum iri, optima aggredi par est. Turpe est enim tempus præsens amittentes, elapsum postea revocare, cum nihil angi proderit. (8) Fieri non potest, ut divinæ gratiæ capaces reddamur, nisi malitiæ affectiones, quæ animas nostras occupaverant, expulerimus. Vidi ego medicos, non prius dantes salutaria medicamenta, quam per vomitum evacuassent materiam morbidam, quam sibi intemperantes ex malo victu pepererant. Sed et vas graveolenti humore prius imbutum, nisi fuerit elotum, non recipit unguenti fusionem. Effundenda ergo quæ prius inerant, ut recipi possint quæ ingeruntur. (9) Nam omnibus quidem adest Spiritus sanctus : sed iis qui puri sunt affectibus, peculiarem exhibet virtutem ; at vero iis, quorum mens peccati sordibus perturbatur, minime.

5. (10) Fieri enim non potest, ut id consequamur ad quod contendimus, si mens in varias curas diducta sit, quemadmodum Dominus affirmavit, cum

(1) Ex homil. *in psal.* I, 95.
(2) Ex comment. *in Isa.*, 566.
(3) Ibid.
(4) Ex hom. *in psal.* I, 92.
(5) Ibid.
(6) Ibid., 93.
(7) Ex serm. *De legendis lib. gentilium*, 184.

A ὕστερον, ἀλλ' ἤδη παροῦσαν προτείνεται τὴν ἀπόλαυσιν. Μακάριος οὖν ὁ μὴ περιτραπεὶς ἐκ τῶν τῆς ἡδονῆς δελεασμάτων πρὸς τὴν ἀπώλειαν, καὶ ἐν τῇ ἐκλογῇ (11) τῶν ὁδῶν ἑκατέρων μὴ ἐπιβὰς τῆς ὁδοῦ τῆς ἀγούσης ἐπὶ τὰ χείρονα. Μακάριος ὁ πάσης ἐλπίδος τῶν κατὰ τὸν κόσμον τοῦτον ἑαυτὸν ἀποστήσας, καὶ μόνην ἔχων ἑαυτοῦ ἐλπίδα τὸν Θεόν. Ὡς γὰρ ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον· οὕτως εὐλογημένος ὁ ἐπιστηριζόμενος τῷ Κυρίῳ. Οὐ γὰρ ἐπιδέχεται ἐπαμφοτερισμὸν ἡ εἰς Θεὸν ἐλπὶς, οὐδὲ καταδέχεται ὁ Κύριος ὁλόκληρον τὴν παρ' ἑαυτοῦ παρέχειν βοήθειαν τῷ ποτὲ μὲν ἐπὶ χρήμασιν ἠλπικότι, καὶ δόξῃ ἀνθρωπίνῃ, καὶ δυνάμει τῇ κατὰ κόσμον, ποτὲ δὲ αὐτὸν ὡς ἐλπίδα ἑαυτοῦ προβαλλόμενον· ἀλλὰ δεῖ ἀληθινῶς ἐπαναπαύ-
B εσθαι τῇ παρὰ τοῦ Θεοῦ βοηθείᾳ.

4. Ἀμαθεῖς δὲ ἄνθρωποι, καὶ φιλόκοσμοι, ἀγνοοῦντες αὐτοῦ τοῦ ἀγαθοῦ τὴν φύσιν, μακαρίζουσι πολλάκις τὰ μηδενὸς ἄξια, πλοῦτον, ὑγείαν, περιφάνειαν βίου, ὧν οὐδέν ἐστιν ἀγαθὸν τῇ ἑαυτοῦ φύσει, οὐ μόνον καθότι ῥᾳδίαν ἔχει τὴν πρὸς τὰ ἐναντία περιτροπὴν, ἀλλ' ὅτι μηδὲ ἀγαθοὺς δύναται τοὺς κεκτημένους ἀποτελεῖν. Ὁ μὲν οὖν ἐν τῷ βίῳ τυγχάνων, οὔπω μακαριστὸς, διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως· ὁ δὲ συμπληρώσας τὰ ἐπιβάλλοντα, καὶ ἀναντιῤῥήτῳ τέλει τὴν ζωὴν κατακλείσας, οὗτος ἤδη ἀσφαλῶς μακαρίζεται. Καὶ οἱ μὲν τὸ ἀγαθὸν ἐργαζόμενοι, ἐν αὐτῷ τῷ ἔργῳ τὸ εὐαπόδεκτον ἔχουσιν· οἱ δὲ τὸ κακὸν φεύγοντες, οὐκ ἐὰν ἅπαξ ἢ δεύτερον ἐκκλίνωσιν, ὦσιν ἂν ἐπαινετοὶ, ἀλλ' ἐὰν δυνηθῶσι τοῦ κακοῦ
C τὴν πεῖραν εἰς τὸ παντελὲς διαδρᾶναι. Εἰ οὖν δέοι βίον μὲν ἄριστον ἕκαστον προαιρεῖσθαι, ἡδὺν δὲ προσδοκᾷν τῇ συνηθείᾳ γενήσεσθαι, ἐγχειρεῖν τοῖς βελτίστοις. Αἰσχρὸν γὰρ τὸν παρόντα καιρὸν προεμένους, ὕστερόν ποτ' ἀνακαλεῖσθαι τὸ παρελθὸν, ὅτε οὐδὲν ἔσται πλέον ἀνιωμένοις. Τῷ ὄντι γὰρ ἀμήχανόν ἐστι χωρητικοὺς γενέσθαι ἡμᾶς τῆς θείας χάριτος, μὴ τὰ ἀπὸ κακίας πάθη προκατασχόντα τὰς ψυχὰς ἡμῶν ἐξελάσαντας. Εἶδον ἰατροὺς ἐγὼ μὴ πρότερον διδόντας τὰ σωτήρια φάρμακα, πρὶν ἐμέτοις ἀποκενῶσαι τὴν νοσοποιὸν ὕλην, ἣν ἐκ πονηρᾶς διαίτης ἑαυτοῖς οἱ ἀκόλαστοι ἐναπέθεντο. Ἀλλὰ καὶ ἀγγεῖον προκατειλημμένον ὑπό τινος ὑγροῦ δυσώδους, μὴ ἐκπλυθὲν, οὐ μὴ δέξηται τοῦ μύρου τὴν
D ἐπιῤῥοήν. Δεῖ τοίνυν ἐκχυθῆναι τὰ προϋπάρχοντα, ἵνα δυνηθῇ χωρηθῆναι τὰ ἐπαγόμενα (12). Πᾶσι μὲν γὰρ πάρεστι τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλὰ τοῖς μὲν καθαρεύουσι τῶν παθῶν, τὴν ἰδίαν ἐμφέρει δύναμιν· τοῖς δὲ τὸ ἡγεμονικὸν συγκεχυμένον ἔχουσιν ἀπὸ τῶν τῆς ἁμαρτίας σπίλων, οὐκ ἔτι.

5. Ἀδύνατον γὰρ, εἰς διαφόρους φροντίδας τοῦ νοῦ μεριζομένου, κατορθοῦσθαι τὸ σπουδαζόμενον· καθὼς ὁ Κύριος ἀπεφήνατο, εἰπών· *Οὐδεὶς δύναται*

(8) Ex hom. *in psal.* LXI, 196.
(9) Ex comment. *in Isa*, 379.
(10) Ex *Regulis fusius tractatis*, 350.
(11) *Ἐκλογῇ*. Sic Regius codex, melius quam editi ἐπιλογῇ.
(12) *Ἐπαγόμενα*. Sic contextus et Regius codex. Editi ὑπαγόμενα.

δυσὶ κυρίοις δουλεύειν· καὶ πάλιν· Οὐ δύνασθε A Θεῷ δουλεύειν καὶ μαμωνᾷ. Οὔτε γὰρ ἄλλης τινὸς ἐντολῆς τήρησιν, οὔτε αὐτὴν τὴν πρὸς Θεὸν ἀγάπην, οὔτε τὴν πρὸς τοὺς πλησίον δυνάμεθα κατορθῶσαι, ἄλλοτε περὶ ἄλλα ταῖς διανοίαις ἀποπλανώμενοι. Οὔτε γὰρ τέχνην ἢ ἐπιστήμην ἀκριβῶς καταλαβεῖν δυνατὸν, ἄλλοτε ἐπ' ἄλλην μεταβαίνοντα· οὔτε μὴν μιᾶς περιγενέσθαι, μὴ τὰ οἰκεῖα τοῦ τέλους γνωρίσαντα. Δεῖ γὰρ ἀκολούθους εἶναι τῷ σκοπῷ καὶ τὰς πράξεις, ὡς οὐδενὸς τῶν κατὰ λόγον διὰ τῶν ἀνοικείων κατορθουμένου. Ἐπεὶ οὔτε χαλκευτικῆς τέλος διὰ τῶν ἔργων τῆς κεραμείας περιγενέσθαι πέφυκεν, οὔτε ἀθλητικοὶ στέφανοι ἐκ τῆς περὶ τὸ αὐλεῖν σπουδῆς κατορθοῦνται· ἀλλ' ἑκάστῳ τέλει οἰκεῖος ὁ πόνος καὶ συναρμόζων ἐπιζητεῖται. Ὥσπερ οὖν καὶ ἡ ἄσκησις τῆς κατὰ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ B πρὸς Θεὸν εὐαρεστήσεως, ἐν τῇ ἀναχωρήσει τῶν μεριμνῶν τοῦ κόσμου, καὶ τῇ παντελεῖ ἀλλοτριώσει τῶν περισπασμῶν κατορθοῦται. Λυθῆναι οὖν δεῖ τῶν δεσμῶν τῆς προσπαθείας τοῦ βίου, τόνγε ἀληθινῶς ἀκολουθεῖν μέλλοντα τῷ Θεῷ· τοῦτο δὲ οὐκ ἄλλως, ἢ διὰ παντελοῦς ἀναχωρήσεως, καὶ λήθης τῶν παλαιῶν ἠθῶν κατορθοῦται. Ὡς εἰ μὴ ἀποξενώσαιμεν ἑαυτοὺς καὶ συγγενείας σαρκικῆς καὶ κοινωνίας βίου, οἱονεὶ πρὸς ἕτερον κόσμον διὰ τῆς σχέσεως μεταβαίνοντες, ἀμήχανον ἡμᾶς περιγενέσθαι τοῦ σκοποῦ τῆς πρὸς Θεὸν εὐαρεστήσεως. Ὁ τοίνυν πρὸς τὴν ἀγγελικὴν ἀξίαν μεταταξάμενος, εἰ τοῖς ἀνθρωπίνοις ἐμμολύνοιτο πάθεσιν, ὅμοιός ἐστι δορᾷ παρδάλεως, ἧς οὔτε λευκὴ παντελῶς ἡ θρὶξ, οὔτε μέλαινα διόλου, ἀλλὰ τῇ μίξει τῶν ἑτεροχροούντων διεστιγμένη, C οὔτε ἐν τοῖς μέλασιν (1), οὔτε ἐν τοῖς λευκοῖς ἀριθμεῖται. Ὥσπερ οὖν οἱ ζωγράφοι, ὅταν ἀπὸ εἰκόνων εἰκόνας γράφωσι, πυκνὰ πρὸς τὸ παράδειγμα ἀποβλέποντες, τὸν ἐκεῖθεν χαρακτῆρα πρὸς τὸ ἑαυτῶν σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα· οὕτω δεῖ καὶ τὸν ἐσπουδακότα ἑαυτὸν (2) πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς ἀπεργάσασθαι τέλειον, οἱονεὶ πρὸς ἀγάλματά τινα κινούμενα καὶ ἔμπρακτα τοὺς βίους τῶν ἁγίων ἀποβλέπειν, καὶ τὸ ἐκείνων ἀγαθὸν οἰκεῖον ποιεῖσθαι διὰ μιμήσεως.

6. Εἰ γὰρ βοῦς μὲν συνεργὸς ἡμῖν εἰς γεωργίαν παραδοθεὶς, καὶ φωνῆς τοῦ τρέφοντος ἐπαισθάνεται, καὶ τὸν συνήθως αὐτῷ προσφέροντα τὴν τροφὴν ἐπιγινώσκει· ὄνος δὲ αὐτομάτως ἐπὶ τοὺς συνήθεις τῆς D καταλύσεως τόπους ὁρμᾷ, καὶ τοσαύτη τοῖς ἀλόγοις πρὸς τὸν ἐπιμελούμενον ἡ συνήθεια· πόσον ἡ λογικὴ φύσις τῆς πρὸς Θεὸν ἀγάπης τὸ μέτρον ἀπαιτηθήσεται; Οὐδὲ γὰρ μία πρᾶξις τελειοῖ τὸν σπουδαῖον ἀλλὰ παντὶ προσήκει τῷ βίῳ τὰς κατ' ἀρετὴν ἐνεργείας συμπαρατείνεσθαι. Καὶ καθάπερ οἱ ἐπὶ τὸ λουτρὸν εἰσιόντες, γυμνοῦνται παντὸς περιβλήματος·

dixit : *Nemo potest duobus dominis servire* [17]; et rursus : *Non potestis Deo servire et mammonæ* [18]. (3) Nam nec aliud quodvis mandatum servare, neque Deum aut proximum diligere possumus, si huc et illuc mente divagemur. Neque enim artem aut scientiam probe callere potest, qui ab alia ad aliam transit : neque unam etiam comparare, qui ea quæ propria finis sunt, ignorat. Par namque est actiones ad scopum et finem quadrare : siquidem nihil quod rectum sit, via inepta et incongruenti peragitur. Nam neque artis ærariæ finis per figlinæ opera acquiri solet : neque per sedulum tibiæ cantum parantur athleticæ coronæ, sed unicuique fini peculiaris ac idoneus labor requiritur. Sic etiam exercitatio quæ fit ad placendum Deo juxta Christi Evangelium, recedendo a sollicitudinibus mundi, et omni prorsus removenda mentis evagatione perficitur. (4) Quisquis igitur vere Deum sequi vult, vinculis affectionum vitæ hujus solvatur necesse est : id autem nisi per integrum secessum morumque veterum oblivionem perfici non potest. Quare nisi nos ipsi et a cognatione carnali et a societate vitæ removerimus, veluti ad alterum mundum per animi habitudinem transmigrantes, scopum nostrum attingere non possumus, Deo videlicet ut placeamus. (5) Quamobrem qui institutum angelis æquale amplexus est, si humanis vitiis inquinetur, similis est pantheræ pelli, cujus setæ neque prorsus nigræ sunt, neque albæ omnino, sed cum sint diversorum colorum mistura distinctæ et interpunctæ, neque in nigris numerantur, neque in albis. (6) Quemadmodum ergo pictores, cum imagines ex imaginibus pingunt, crebro ad exemplar respicientes, inde formam in suum **474** opus transferre conantur : sic etiam qui sese omnibus virtutis partibus absolutum perficere studet, ad sanctorum vitas, velut ad simulacra quædam viva et actuosa, respicere debet, et quod illis inest boni suum imitando facere.

6. (7) Nam si bos, qui nobis adjutor ad agriculturam datus, vocem nutritoris novit, eumque qui sibi pabulum afferre solet, agnoscit : asinus autem sponte naturæ ad consueta stabuli sui loca festinat : si brutis animalibus tanta inest habitudo cum suo provisore : quanta dilectionis in Deum mensura reposcetur a rationali natura ! (8) Non enim actio una virum probum absolvit et perficit, sed ad omnem vitam extendi oportet virtutis opera. (9) Et quemadmodum qui in balneum ingrediuntur, omni amictu nudantur, ita etiam qui ad

[17] Matth. VI, 24. [18] ibid.

(1) Οὔτε ἐν τοῖς μέλασιν, etc. Sic contextus et Regius codex melioris notæ. Editi οὔτε ἐν τοῖς λευκοῖς ἀριθμεῖται, οὔτε πάλιν ἐν τοῖς μεμελανωμένοις.
(2) Ἑαυτόν. Desumpsimus hanc vocem ex contextu.
(3) Ex *Regulis fusius tractatis*, 341.

(4) Ibid., 342.
(5) Ex Serm. ascetico, 320.
(6) Ex epist. II, 73.
(7) Ex comment. *in Isa.*, 387.
(8) Ex hom. *in psal.* XIV, 354.
(9) Ex Serm. ascetico, 323.

asceticum vitæ genus accedunt, omni materia sæculi hujus exuti, in vitæ philosophicæ institutis versari debent. (1) *Estote* enim, inquit, *prudentes sicut serpentes* [19]. Serpens, ubi jam exuenda est pellis, in locum angustum et stricte corpus coercentem sese immittens, sic senectam prudenter ac sapienter exuit. Quod et idem nos imitari vult Scriptura, per angustam et arctam viam ingredientes [20], exuere veterem hominem, ac novum induere [21], ut nostra quoque, velut aquilæ, juventa renovetur [22]. Nam lumine illucescente evanescunt tenebræ, et sanitate redeunte molestiæ morbi sedantur, et veritate demonstrata, mendacii natura redarguitur. Sed plerique (2) homines nubibus similes sunt, quæ pro ventorum mutatione alias in aliam aeris partem feruntur : (3) et quibus facile mutabilis sententia, his minime mirum est vitæ ordinem non constare ; quibus vero firma mens est, semperque constans et eadem, his consentaneum est vitam instituto congruentem ducere. (4) Multi autem, dum pravas etiam comprobant actiones, dicacem quidem lepidum dicunt ; eum vero qui obscena verba profert, urbanum ; acerbum et iracundum, hominem nominant non contemnendum ; parcum et illiberalem, ut sedulum administratorem laudant ; luxurie diffluentem, ut liberalem ; scortatorem et lascivum, ut virum rebus suis perfruentem, et animi solutioris : uno verbo, vitio omni ex virtute adjacenti blandum nomen imponunt. Tales ore quidem benedicunt, ut ait David [23], corde vero maledicunt. Nam verborum lenocinio maledictionem omnem in eorum vitam conferunt, obnoxios illos æternæ damnationi approbationibus suis constituentes. (5) Ut igitur non justi judicis pares paribus statuere mercedes, sed necesse est ut mali inceptor cumulatius persolvat debita, si modo et ipse melior ex suppliciis futurus sit, et alios meliores facturus exemplo : (6) ita et qui boni prætextu malum facit, duplici multa dignus est : tum quia quod non bonum est agit, tum quia ad scelus perpetrandum, bono, ut ita dicam, socio abutitur.

475 7. (7) Cavendum igitur viro prudenti, ne ad vulgi rumusculos vivat, et ea spectet quæ multitudini probantur; ac non potius rectam rationem ita vitæ ducem instituat, ut etiamsi hominibus omnibus contradicendum sit, etiamsi male audiendum, ac periculum honesti causa subeundum; ex

A οὕτω χρὴ καὶ τοὺς τῇ ἀσκητικῇ προσερχομένους (8) ζωῇ, πάσης ὕλης βιωτικῆς γυμνωθέντας, ἐντὸς (9) τοῦ κατὰ φιλοσοφίαν γενέσθαι βίου. *Γίνεσθε* γὰρ, φησὶ, *φρόνιμοι ὡς οἱ ὄφεις*· ὃς ἐπειδὰν ἀποδύεσθαι δέῃ τὴν λεβήριδα, στενῷ τόπῳ καὶ ἀκριβῶς περισφίγγοντι τὸ σῶμα ἐπιδοὺς ἑαυτὸν, φρονίμως καὶ συνετῶς ἀποδύεται τὸ γῆρας. Ὅπερ οὖν καὶ ἡμᾶς βούλεται ὁ Λόγος, διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ πορευομένους, ἀποδύεσθαι μὲν τὸν παλαιὸν ἄνθρωπον, ἐνδύεσθαι δὲ τὸν νέον, ὥστε καὶ ἡμῶν ἀνακαινισθῆναι, ὡς ἀετοῦ τὴν νεότητα. Φωτὸς γὰρ ἀναφανέντος, ἀφανίζεται σκότος· καὶ ὑγείας παρούσης, τὰ ὀχληρὰ τῆς νόσου πέπαυται· καὶ ἀληθείας ἀποδειχθείσης, τοῦ ψεύδους ἡ φύσις ἐλέγχεται. Ἀλλ' οἱ πολλοὶ τῶν ἀνθρώπων ταῖς νεφέλαις ἐοί- B κασι, πρὸς τὰς τῶν πνευμάτων μεταβολὰς ἄλλοτε κατ' ἄλλο μέρος τοῦ ἀέρος (10) ἐκφερομέναις· καὶ οἷς μὲν εὔκολος πρὸς μεταβολὴν ἡ διάνοια, τούτοις οὐδὲν ἀπεικὸς καὶ τὸν βίον εἶναι μὴ τεταγμένον· οἷς δὲ πεπηγυῖα ἡ γνώμη, καὶ ἀεὶ ἑστῶσα, καὶ ἡ αὐτὴ, τούτοις ἀκόλουθον συμφώνως τῇ προαιρέσει τὴν ζωὴν διεξάγειν. Πολλοὶ δὲ καὶ τὰς πονηρὰς πράξεις ἀποδεχόμενοι, χαρίεντα μὲν τὸν εὐτράπελον λέγουσι· τὸν δὲ αἰσχρολόγον, πολιτικόν· καὶ τὸν πικρὸν καὶ ὀργίλον, ἀκαταφρόνητον ὀνομάζουσι· τὸν φειδωλὸν καὶ ἀκοινώνητον, ὡς οἰκονομικὸν, ἐπαινοῦσι· τὸν ἄσωτον, ὡς ἐλευθέριον· τὸν πόρνον καὶ ἀσελγῆ, ἀπολαυστικόν τινα καὶ ἀνειμένον· καὶ ἁπαξαπλῶς πᾶσαν κακίαν ἐκ τῆς παρακειμένης (11) ἀρετῆς ὑποκορίζονται. Οἱ τοιοῦτοι τῷ στόματι μὲν εὐλογοῦσι, C κατὰ τὸν Δαβὶδ, τῇ δὲ καρδίᾳ καταρῶνται. Ἐν γὰρ τῇ τῶν ῥημάτων εὐφημίᾳ πᾶσαν κατάραν ἐπάγουσιν αὐτῶν τῇ ζωῇ, ὑποδίκους αὐτοὺς τῇ αἰωνίᾳ κατακρίσει δι' ὧν ἀποδέχονται καθιστῶντες. Ὥσπερ οὖν οὐκ ἔστι δικαίου κριτοῦ ἴσας πρὸς ἴσας ὁρίζειν τὰς ἀντιδόσεις, ἀλλ' ἀνάγκη τὸν κατάρξαντα κακοῦ μετὰ προσθήκης ἀποτῖσαι τὰ ὀφειλόμενα, εἰ μέλλοι αὐτός τε βελτίων ταῖς τιμωρίαις γενήσεσθαι, καὶ τοὺς λοιποὺς σωφρονεστέρους ποιεῖν τῷ ὑποδείγματι· οὕτω καὶ ὁ τὸ κακὸν ἐν προσχήματι τοῦ ἀγαθοῦ ποιῶν, διπλασίονος τιμωρίας ἐστὶν ἄξιος, διότι αὐτό τε τὸ οὐκ ἀγαθὸν ἐργάζεται, καὶ κέχρηται εἰς τὸ τελέσαι τὴν ἁμαρτίαν, ὡς ἂν εἴποι τις, τῷ καλῷ συνεργῷ.

D 7. Φευκτέον οὖν τῷ σωφρονοῦντι τὸ πρὸς δόξαν ζῆν, καὶ τὰ τοῖς πολλοῖς δοκοῦντα περισκοπεῖν, καὶ μὴ τὸν ὀρθὸν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου, ὥστε κἂν πᾶσιν ἀνθρώποις ἀντιλέγειν, κἂν ἀδοξεῖν καὶ κινδυνεύειν ὑπὲρ τοῦ καλοῦ δέῃ, μηδὲν αἱρεῖσθαι τῶν ὀρθῶς ἐγνωσμένων παρακινεῖν. Τὸν γὰρ μὴ

[19] Matth. x, 16. [20] Matth. vii, 14. [21] Coloss. iii, 9. [22] Psal. cii, 5. [23] Psal. lxi, 5.

(1) Ex comment. *in Isa*, 378.
(2) Ex epist. ccxliv, 381.
(3) Ex epist. ccxciii, 431.
(4) Ex hom. *in psal.* lxi, 195.
(5) Ex epist. cclx, 396.
(6) Ex epist. liii, 147.
(7) Ex serm. *De legendis libris gent.*, 183.
(8) *Προσερχομένους*. Sic ope contextus emendavimus pravam lectionem προερχομένους.
(9) *Ἐντός*. Sic Regius codex et contextus, melius quam editi ἐν τοῖς.
(10) *Τοῦ ἀέρος*. Hæc addita ex Regio codice et contextu.
(11) *Παρακειμένης*. Sic contextus multo melius quam Metaphrastes ὑποκειμένης.

οὕτως ἔχοντα, τί τοῦ Αἰγυπτίου σοφιστοῦ φήσομεν ἀπολείπειν, ὃς φυτὸν ἐγένετο καὶ θηρίον, ὁπότε βούλοιτο, καὶ πῦρ καὶ ὕδωρ καὶ πάντα χρήματα· εἴπερ δὴ καὶ αὐτὸς νῦν μὲν τὸ δίκαιον ἐπαινέσεται παρὰ τοῖς τοῦτο τιμῶσι· νῦν δὲ τοὺς ἐναντίους ἀφήσει λόγους, ὅταν τὴν ἀδικίαν εὐδοκιμοῦσαν αἴσθηται, ὅπερ δίκην (1) ἐστὶ κολάκων, καὶ τῆς Ἀρχιλόχου ἀλώπεκος τὸ κερδαλέον τε καὶ ποικίλον ζηλοῦν; Ὁ μὲν γὰρ ἀληθὴς λόγος, καὶ ἀπὸ ὑγιοῦς διανοίας προϊὼν, ἁπλοῦς ἐστι καὶ μονότροπος, τὰ αὐτὰ λέγων περὶ τῶν αὐτῶν πάντοτε· ὁ δὲ ποικίλος καὶ ἔντεχνος, πολὺ τὸ ἐπίπλοκον καὶ ἐγκατάσκευον ἔχων, μυρία κατασχηματίζεται, καὶ στρέφεται στροφὰς ἀμυθήτους, πρὸς τὸ τῶν ἐντυγχανόντων ἀρέσκον μεταμορφούμενος. Ὅταν γὰρ ἄλλως μὲν φύσεως ἔχῃ (2) τὰ πράγματα, ἄλλως δ' οἱ λόγοι περὶ αὐτῶν ἀναπείθωσι, στροφή τίς ἐστι, μᾶλλον δὲ διαστροφὴ, ὑπὸ τοῦ λόγου περὶ τὴν ἀλήθειαν γινομένη. Καὶ ὁ ἄλλως μὲν φαινόμενος, ἄλλως δὲ ὢν κατὰ ἀλήθειαν, στροφαῖς κέχρηται λόγων, ἀπατῶν τοὺς συνόντας, ὥσπερ τοὺς κύνας λαγωοὶ καὶ ἀλώπεκες, ἑτέραν δεικνύοντες, καὶ ἑτέραν τρεπόμενοι. Ἡ δὲ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια, ὁδός τίς ἐστιν ἐπὶ τὰ πράγματα. Διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοί τινα λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι. Ὁ μὲν γὰρ τὴν ἄχρι ῥημάτων παρὰ τοῖς ἄλλοις φιλοσοφίαν ἔργῳ βεβαιῶν,

Οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσιν.

Ἐπεὶ τό γε λαμπρῶς μὲν ἐπαινέσαι τὴν ἀρετὴν εἰς τὸ μέσον, καὶ μακροὺς ὑπὲρ αὐτῆς ἀποτείνειν λόγους, ἰδίᾳ δὲ τὸ ἡδὺ πρὸ τῆς σωφροσύνης, καὶ τὸ πλέον ἔχειν πρὸ τοῦ δικαίου τιμᾷν, ἐοικέναι φαίην ἂν ἔγωγε τοῖς ἐπὶ σκηνῆς ὑποκρινομένοις τὰ δράματα· οἳ ὡς βασιλεῖς πολλάκις καὶ δυνάσται εἰσέρχονται, οὔτε βασιλεῖς ὄντες, οὔτε δυνάσται, οὐδὲ μὲν οὖν τυχὸν ἐλεύθεροι τὸ παράπαν. Εἶτα μουσικὸς μὲν οὐκ ἂν ἑκὼν δέξαιτο ἀνάρμοστον αὐτῷ τὴν λύραν εἶναι· καὶ χοροῦ κορυφαῖος, μὴ ὅτι μάλιστα συνᾴδοντα τὸν χορὸν ἔχειν· αὐτὸς δέ τις ἕκαστος διαστασιάσει πρὸς ἑαυτὸν, καὶ οὐχὶ τοῖς λόγοις ὁμολογοῦντα τὸν βίον παρέξεται; Οὔτε γὰρ ἵππον ταχὺν ποιεῖ ἡ τοῦ πατρὸς περὶ τὸν δρόμον εὐμοιρία, οὔτε κυνὸς ἐγκώμιον τὸ ἐκ ταχυτάτων φῦναι· ἀλλ' ὥσπερ τῶν ἄλλων ζώων ἡ ἀρετὴ ἐν ἑαυτῷ θεωρεῖται ἑκάστῳ, οὕτω καὶ ἀνδρὸς ἴδιος ἔπαινος ὁ ἐκ τῶν ὑπαρχόντων αὐτῷ κατορθωμάτων μαρτυρούμενος. Ἀρετῆς ἄσκησις, τίμιον μὲν κτῆμα τῷ ἔχοντι, ἥδιστον δὲ θέαμα τοῖς ἐντυγχάνουσιν. Οἱ γὰρ τὴν ἀρετὴν μετιόντες, ἄστροις ἐοίκασιν, ἐν νυκτερινῇ συννεφείᾳ (3), ἄλλοις κατ' ἄλλα μέρη τοῦ οὐρανοῦ δια-

A his, quæ recte statuta habet, nihil prorsus movere velit. Nam qui non ita affectus est, eum ab Ægyptio illo sophista quid differre dicemus, qui, cum vellet, planta fiebat et bestia, et ignis, et aqua, et res omnes? Nam et ipse modo quidem justitiam laudabit apud eos qui eam colunt: modo vero contrarios habebit sermones, ubi injustitiam probari animadverterit: quod quidem est adulatores imitari, (4) et Archilochi vulpeculæ astutiam versutiamque æmulari. (5) Sermo quidem verus et a sana mente proficiscens, simplex est et unius ejusdemque rationis, eadem de iisdem semper affirmans: varius vero et artificiosus, cum multum implexus sit et præparatus, sexcentas formas assumit, seque ad gratiam colloquentium conci-
B liandam transformans, in versutias innumeras vertitur. Cum enim aliter natura se res habent, aliter vero de eis suadent verba, versutia quædam est, vel potius inversio veritatis per sermonem facta. Et qui alius quidem videtur, alius reipsa est, strophis sermonum utitur, fucum faciens iis quibuscum versatur, perinde ut lepores vulpesque canibus, aliam viam commonstrantes, aliam carpentes. (6) Nam sermonibus pravis assuescere, via quædam est ad ipsa facta. Quapropter custodia omni servanda anima est, ne quid vitiorum per sermonum voluptatem imprudentes suscipiamus, perinde ut qui cum melle sumunt venena. (7) Siquidem qui philosophiam verbotenus apud alios manentem, facto confirmat,

C *Hic solus sapit, at volitant alii velut umbræ.*

Quandoquidem magnifice virtutem collaudare in propatulo, et longos de ea protrahere sermones, privatim vero voluptatem temperantiæ præferre, et quæstum justitiæ anteponere, hoc ego dixerim simile esse actoribus scenicis personas quasdam sustinentibus, qui plerumque velut reges et dynastæ prodeunt, cum nec reges nec dynastæ, ac fortasse ne liberi quidem prorsus sint. Ad hæc musicus non lubens patiatur dissonam sibi esse lyram: neque præfectus chori chorum sibi astare, qui quam maxime concinnus non sit: a se autem quisque dissidebit ipse, nec vitam cum verbis consentientem exhibebit? (8) Neque enim equum
D celerem reddit ejus qui genuit in cursu præstantia, neque canis laudatio est, ex velocissimis prognatum esse. Sed quemadmodum reliquorum animalium virtus in unoquoque consideratur: ita et viri propria laus est, quæ ex propriis ipsius recte factis testimonium habet. (9) Virtutis exercitatio, pretiosa quidem habenti possessio, jucundissimum autem occurrentibus spectaculum. Nam qui virtutem colunt (10), sideribus similes sunt in nebu-

(1) Ὅπερ δίκην. Reg. codex uterque, ὅπερ δίκης.
(2) Ἔχῃ. Reg. codex 1992, ἔχει. Mox uterque ἀναπείθουσι.
(3) Συννεφείᾳ. Male in editis συναφείᾳ, quod quidem ope contextus et Regii codicis emendavimus.
(4) Ex serm. *De legendis libris gent.* 183.
(5) Ex hom. *in principium Prov.* 103.
(6) Ex serm. *De legendis libris gent.* 175.
(7) Ibid., 178.
(8) Ex hom. *De Mamante*, 185.
(9) Uterque codex indicat *Hexaem.*
(10) Ex epist. CLIV, 243.

losa nocte alias aliis cœli partes illustrantibus: quorum 476 gratus quidem splendor, sed eo gratior, quod non exspectatur. Tales et illi sunt, pauci admodum et facile numerabiles, in hac tristi rerum conditione, quasi in nocte illuni coruscantes: præter virtutis gratiam, inde etiam, quod rari sint inventu, desiderium moventes. (1) Turpe est autem alieno ornatu decorari eum qui sua ipsius virtute illustris est.

8. (2) Itaque ne mihi dicas a Deo malum originem habere: id enim impium est, propterea quod nullum contrarium a contrario gignatur. Neque enim vita mortem generat, neque tenebræ lucis principium sunt, neque morbus opifex est sanitatis; sed in affectionum commutationibus, e contrariis ad contraria fiunt transitiones; in generationibus vero, res singulæ quæ fiunt, non ex contrariis, sed ex congeneribus producuntur. Malum igitur non est substantia vivens aut animata: sed animæ affectio virtuti contraria, desidiosis ac inertibus, propterea quod a bono deciderunt, indita. Malum itaque forinsecus ne circumspicias, neve primigeniam quamdam malignitatis naturam comminiscare: sed suæ quisque malitiæ seipsum agnoscat auctorem. (3) Nam si malum non esset voluntarium, nec in nostra potestate situm, non tantus timor a legibus impenderet injuriam inferentibus, nec tam inexorabiles essent judicum animadversiones, quibus pro meritis rei plectuntur. (4) Nam si vitiorum aut virtutum principia non sunt in nobis sita, sed sunt necessitates ab ortu pendentes: inutiles sunt legislatores, qui nobis agenda ac fugienda præscribunt: inutiles quoque judices, qui virtutem honore, vitium pœnis afficiunt. Non enim furis est iniquitas, neque homicidæ, qui ne volens quidem poterat manum continere, ob ineluctabilem necessitatem ipsum ad agendum impellentem. Vanissimi autem profecto qui artes excolunt: quippe frugibus abundabit agricola, tametsi neque semina in terram dejiciat, neque falcem exacuat: mercator itidem, velit, nolit, supra modum ditescet, fato ei opes coacervante. Magnæ autem illæ Christianorum spes evanescentes excident nobis, cum neque justitia honoribus ullis afficiatur, neque puniatur peccatum, propterea quod nihil ab hominibus libero animi proposito agatur. Nam ubi necessitas, et fatum dominatur, ibi meriti ratio nullum locum habet: id quod tamen præcipuum justi judicii fundamentum est. (5) Nam de ficis narrant ab aliis quidem ficos silvestres juxta hortenses conseri: alios vero, dum grossos caprifici fructuosis ac domesticis ficis alligant, ipsarum mederi infirmitati, jam diffluentem, ac evanescentem fructum

(1) Ex hom. *De Mamante*, 185.
(2) Ex hom. II *in Hexaem.*, 16.
(3) Ibid.
(4) Ex hom. VI *in Hexaem.*, 56.
(5) Ex hom. V *in Hexaem.*, 47.

λάμπουσιν· ὧν χαρίεσσα μὲν ἡ λαμπρότης, χαριέστερον δὲ δήπου τὸ ἀπροσδόκητον. Τοιοῦτοι δὴ καὶ οὗτοι, ὀλίγοι παντελῶς καὶ εὐαρίθμητοι, ἐν τῇ σκυθρωπῇ ταύτῃ καταστάσει τοῦ βίου οἷον ἐν σκοτομήνῃ διαφαινόμενοι, πρὸς τῷ ἐκ τῆς ἀρετῆς χαρίεντι, ἔτι καὶ τῷ σπανίῳ τῆς εὑρέσεως, τὸ περιπόθητον ἔχοντες. Αἰσχρὸν δὲ, ἀλλοτρίοις κόσμοις κοσμεῖσθαι τὸν τῇ οἰκείᾳ ἀρετῇ διαφαίνοντα.

8. Καὶ μή μοι λέγε παρὰ Θεοῦ τὸ κακὸν τὴν γένεσιν ἔχειν· οὐ γὰρ εὐσεβὲς τοῦτο, διὰ τὸ μηδὲν τῶν ἐναντίων παρὰ τοῦ ἐναντίου γίνεσθαι. Οὔτε γὰρ ἡ ζωὴ θάνατον γεννᾷ, οὔτε τὸ σκότος φωτός ἐστιν ἀρχὴ, οὔτε ἡ νόσος ὑγείας δημιουργός· ἀλλ' ἐν μὲν ταῖς μεταβολαῖς τῶν διαθέσεων, ἐκ τῶν ἐναντίων πρὸς τὰ ἐναντία αἱ μεταστάσεις· ἐν δὲ ταῖς γενέσεσιν, οὐκ ἐκ τῶν ἐναντίων, ἀλλ' ἐκ τῶν ὁμογενῶν ἕκαστον τῶν γινομένων προέρχεται. Τὸ τοίνυν κακόν ἐστιν οὐχὶ οὐσία ζῶσα καὶ ἔμψυχος, ἀλλὰ διάθεσις ἐν ψυχῇ ἐναντίως ἔχουσα πρὸς ἀρετὴν, διὰ τὴν ἀπὸ τοῦ καλοῦ (6) ἀπόπτωσιν τοῖς ῥᾳθύμοις ἐγγινομένη. Μὴ τοίνυν ἔξωθεν τὸ κακὸν περισκόπει, μηδὲ ἀρχέγονόν τινα φύσιν πονηρίας φαντάζου· ἀλλὰ τῆς ἐν ἑαυτῷ κακίας ἕκαστος ἑαυτὸν ἀρχηγὸν γνωριζέτω. Οὐ γὰρ ἂν, εἴπερ ἀκούσιον ἦν, καὶ μὴ ἐφ' ἡμῖν, τοσοῦτος μὲν ἐκ τῶν νόμων ὁ φόβος τοῖς ἀδικοῦσιν ἐπήρτητο, οὕτω δὲ ἀπαραίτητοι τῶν δικαστηρίων αἱ κολάσεις, τὸ πρὸς ἀξίαν τοῖς κακούργοις ἀντιμετροῦσαι. Εἰ γὰρ τῶν κατὰ κακίαν καὶ ἀρετὴν ἐνεργημάτων οὐκ ἐκ τοῦ ἐφ' ἡμῖν εἰσιν ἀρχαὶ, ἀλλ' ἐκ τῆς φύσεως αἱ ἀνάγκαι, περιττοὶ μὲν οἱ νομοθέται τὰ πρακτέα ἡμῖν καὶ τὰ φευκτὰ διορίζοντες, περιττοὶ δὲ καὶ οἱ δικασταὶ ἀρετὴν τιμῶντες, καὶ πονηρίαν κολάζοντες. Οὐ γὰρ τοῦ κλέπτου τὸ ἀδίκημα, οὐδὲ τοῦ φονέως, ᾧ γε οὐδὲ βουλομένῳ δυνατὸν ἦν κρατεῖν τῆς χειρὸς, διὰ τὸ ἀναπόδραστον τῆς ἐπὶ τὰς πράξεις κατεπειγούσης ἀνάγκης. Ματαιότατοι δὲ πάντως (7) καὶ οἱ περὶ τὰς τέχνας πονούμενοι· ἀλλ' εὐθηνήσει μὲν ὁ γεωργὸς, μήτε σπέρμα καταβαλὼν, μήτε δρεπάνην θηξάμενος· ὑπερπλουτήσει δὲ ὁ ἔμπορος, κἂν βούληται, κἂν μὴ, τῆς εἱμαρμένης αὐτῷ συναθροιζούσης τὰ χρήματα. Αἱ δὲ μεγάλαι τῶν Χριστιανῶν ἐλπίδες φροῦδαι ἡμῖν οἰχήσονται, οὔτε δικαιοσύνης τιμωμένης, οὔτε κατακρινομένης τῆς ἁμαρτίας, διὰ τὸ μηδὲν κατὰ προαίρεσιν ὑπὸ τῶν ἀνθρώπων ἐπιτελεῖσθαι. Ὅπου γὰρ ἀνάγκη καὶ εἱμαρμένη (8) κρατεῖ, οὐδεμίαν ἔχει χώραν τὸ πρὸς ἀξίαν, ὃ τῆς δικαιοκρισίας ὑπάρχει ἐξαίρετον. Καὶ γὰρ περὶ τῶν συκῶν φασιν, ὡς οἱ μὲν τὰς ἀγρίας συκᾶς παραφυτεύουσι ταῖς ἡμέροις· οἱ δὲ τοὺς ὀλύνθους ἐκδήσαντες, τῶν εὐκάρπων καὶ ἡμέρων συκῶν τὴν ἀτονίαν ἰῶνται, ῥέοντα ἤδη καὶ σκεδαννύμενον τὸν καρπὸν τοῖς ὀλύνθοις ἐπέχοντες. Τί δέ σοι τὸ παρὰ τῆς φύσεως αἴνιγμα; ὅτι χρ…

(6) *Τοῦ καλοῦ*. Sic Reg. codex 1910. Male in editis et contextu τοῦ κακοῦ.
(7) *Πάντως*. Legitur in contextu πάντων.
(8) *Καὶ εἱμαρμένη*. Sic contextus et Regius codex. Editi καὶ φύσις.

πολλάκις ἡμᾶς καὶ παρὰ τῶν ἀλλοτρίων τῆς πίστεως εὐτονίαν τινὰ προσλαμβάνειν εἰς τὴν τῶν ἀγαθῶν ἔργων ἐπίδειξιν. Ἐὰν γὰρ ἴδῃς τὸν ἐν βίῳ ἐθνικῷ, ἢ ἀπό τινος αἱρέσεως ἐνδιαστρόφου τῆς Ἐκκλησίας ἀπεσχισμένον, βίου σώφρονος καὶ τῆς λοιπῆς κατὰ τὸ ἦθος εὐταξίας ἐπιμελούμενον, πλέον σεαυτοῦ τὸ σπουδαῖον ἐπίτεινον, ἵνα γένῃ παραπλήσιος τῇ καρποφόρῳ συκῇ, ἐκ τῆς τῶν ἀγρίων παρουσίας ἀθροιζούσῃ τὴν δύναμιν, καὶ τὴν μὲν ῥύσιν ἐπεχούσῃ, ἐπιμελέστερον δὲ τὸν καρπὸν ἐκτρεφούσῃ. Τινὰ δὲ τῶν φυτῶν καὶ τὴν ἐκ φύσεως κακίαν ἐπιμελείαις γεωργῶν θεραπευόμενα ἔγνωμεν· οἷον τὰς ὀξείας ῥοὰς καὶ τῶν ἀμυγδάλων τὰς πικροτέρας, ὅταν διατρηθεῖσαι τὸ πρὸς τῇ ῥίζῃ στέλεχος, σφῆνα πεύκης λιπαρὸν τῆς ἐντεριώνης μέσον διελαθέντα δέξωνται, εἰς εὐχρηστίαν μεταβάλλουσι τότε τοῦ χυμοῦ τὴν δυσχέρειαν. Μηδεὶς οὖν ἐν κακίᾳ διάγων ἑαυτοῦ ἀπογνώτω. Εἰ γὰρ γεωργὸς τῶν φυτῶν τὰς ποιότητας μεταβάλλει, πολλῷ μᾶλλον ἡ κατ' ἀρετὴν τῆς ψυχῆς ἐπιμέλεια δύναται παντοδαπῶν ἀῤῥωστημάτων ἐπικρατῆσαι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΔΙΔΑΧΗΣ ΚΑΙ ΝΟΥΘΕΣΙΑΣ.

ΛΟΓΟΣ Β'.

1. Εἰ ἐπὶ τοσαύταις παραινέσεσιν, ἃς ἔν τε τῷ προλαβόντι χρόνῳ παρακαλοῦντες ὑμᾶς οὐ διελίπομεν, καὶ ἐφεξῆς τῶν ἑπτὰ τῆς νηστείας ἑβδομάδων νυκτὸς καὶ ἡμέρας διαμαρτυρόμενοι ὑμῖν τὸ Εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ οὐκ ἐπαυσάμεθα, οὐδὲν γέγονεν ὄφελος, ἐπὶ ποίαις ἐλπίσι διαλεχθῶμεν σήμερον; Ἐπεὶ καὶ γεωργὸς, τῶν πρώτων αὐτῷ σπερμάτων μὴ ἐκφυέντων, ὀκνηρότερός ἐστι πρὸς τὸ δεύτερον ταῖς αὐταῖς ἀρούραις πάλιν ἐγκαταβαλεῖν. Ὥστε κἂν ἐσιώπησα, εὖ ἴστε, εἰ μὴ ἐφοβούμην τὸ ὑπόδειγμα Ἱερεμίου· ὃς πρὸς ἀπειθῆ λαὸν φθέγγεσθαι μὴ βουλόμενος, ἔπαθεν ἐκεῖνα ἅπερ αὐτὸς διηγήσατο, ὅτι ἐγένετο αὐτῷ πῦρ ἐν τοῖς ἐγκάτοις, καὶ παρεῖτο πάντοθεν, καὶ οὐκ ἠδύνατο φέρειν. Ἐπεὶ γὰρ φύσει ἀρετὴ λόγου, μήτε ἀσαφείᾳ κρύπτειν τὰ σημαινόμενα, μήτε περιττὸν εἶναι καὶ μάταιον, εἰκῇ τοῖς πράγμασι περιῤῥέοντα· οὐ καλὸν περὶ πολλῶν εἰσάπαξ διαλεχθῆναι, μή ποτε τῇ ἀμετρίᾳ τοῦ λόγου ἄχρηστα φανῇ τὰ φιλοπόνως συνειλεγμένα. Ἀτονοῦσα γὰρ ἡ διάνοια πάντων ὁμοῦ περιδράξασθαι, ὅμοιον πάσχει γαστρὶ, διὰ τὴν ὑπερβολὴν τοῦ κόρου, εἰς πέψιν ἀγαγεῖν τὰ παραπεμφθέντα μὴ δυναμένῃ. Βίαιον μὲν γὰρ μάθημα οὐ πέφυκε παραμένειν, τὸ δὲ μετὰ τέρψεως καὶ χάριτος εἰσδυόμενον μονιμώτερόν πως ταῖς ψυχαῖς ἐνιζά-

[24] Jerem. xx, 9.

A grossis caprifici coercentes. Quid vult sibi illud naturæ exemplum? Quod nos vel ab iis, qui a fide alieni sunt, impetum quemdam ac vigorem ad dandum bonorum operum specimen sæpe accipere debemus. Etenim si videris eum, qui aut vitam ethnicam agit, aut ob perversam quamdam hæresim ab Ecclesia abscissus est, probæ ac continentis vitæ et reliquæ moralis disciplinæ studiosum esse, tuam magis intende sedulitatem, ut fructiferæ fico ex caprificorum **477** præsentia colligenti vires, et defluvium cohibenti, fructumque diligentius enutrienti, similis evadas. (1) Porro naturalia quarumdam arborum vitia agricolarum diligentia curari novimus; cujusmodi sunt mali punicæ acidæ, et amygdalæ amariores, quæ, ubi B perforato ad radicem trunco pinguem piceæ cuneum per mediam medullam adactum susceperint, tunc succi acerbitatem in bonum usum transmutant. Nemo igitur in vitio degens, de se ipse desperet. Nam si plantarum qualitates agricola commutat, multo magis nullum est infirmitatis genus, quod non animæ in iis, quæ ad virtutem attinent, cultura superare possit, in Christo Jesu Domino nostro, cui gloria et potestas nunc, et semper, et in sæcula sæculorum. Amen.

DE DOCTRINA ET ADMONITIONE.

SERMO II.

1. (2) Si ex tot exhortationibus, in quibus tum præterito tempore vos indesinenter adhortati sumus, tum postea per has septem jejuniorum hebdo- C madas nocte ac die Evangelium gratiæ Dei sine ulla intermissione vobis denuntiavimus, fructus nullus nullaque utilitas emersit: qua spe sermonem hodie habebimus? (3) Nam et agricola si priora semina enata non sint, ad aliud semen in iisdem arvis rursus spargendum segnior est et tardior. (4) Quare etiam tacuissem, mihi credite, nisi Jeremiæ timuissem exemplum: qui cum ad populum contumacem verba facere nollet, passus est quæ ipse recenset, quod factus est ignis in ejus visceribus, ac undique dissolvebatur, nec ferre poterat [24]. (5) Nam si naturale sermonis munus est, neque obscuritate ea quæ significantur occultare, neque supervacaneum esse et vanum, ac temere D rebus circumfluum: (6) non decorum est, de multis simul disserere, ne forte immoderato sermone inutilia evadant, quæ diligenter ac studiose collecta sunt. Mens enim quæ apprehendendis simul omnibus impar est, haud aliter se habet ac venter, qui ob nimiam saturitatem sumptos cibos concoquere non potest. (7) Vix enim durare solet quod invitus didiceris: quod autem jucunde sua-

(1) Ex hom. v *in Hexaem.*, 46.
(2) Ex hom. xiv *in ebriosos*, 122.
(3) Ibid.
(4) Ibid., 123.

(5) Ex hom. in illud, *Attende tibi ipsi*, 16.
(6) Ex hom. in illud, *In principio erat Verbum*, 138.
(7) Ex hom. *in psal.* I, 91.

viterque acceptum est, tenacius in animis nostris A insidet. (1) Quapropter et dogmatibus immiscuit harmoniæ dulcedinem, ut audiendi jucunditate ac dulcedine eloquiorum utilitatem e sermonibus latenter perciperemus : haud aliter atque sapientes medici, qui nauseantibus potionem amariorem daturi, sæpius calicem melle circumliniunt. Ideo concinni illi psalmorum concentus excogitati nobis sunt, ut qui pueri sunt ætate, aut etiam omnino moribus juvenes, in speciem quidem cantent, re autem vera animis erudiantur. (2) Nam et equorum domitores non statim feroces pullos frenis angunt et exagitant; sic enim recalcitrare et equites excutere edocentur : **478** sed cedentes primum, et ad eorum impetum sese accommodantes, ubi eorum ardorem suo ipsorum impetu atque vehe- B mentia fractum et exhaustum animadverterint, tunc subactos apprehendentes, illos jam per artem reddunt tractabiliores. (3) Qui enim diligenter ex quacunque re utilitatem colligunt, iis quasi magnis fluminibus solent undecunque fieri accessiones multæ. Nam parvum parvo adjungere, non magis ad pecuniæ amplificationem, quam ad quamlibet disciplinam quadrare, prudenti viro videri debet.

2. (4) Quod enim labore partum est, cum gaudio suscipitur, et diligenter conservatur : contra, quæ facile comparantur, ea cum contemptu possidentur. (5) Quemadmodum igitur non invidens nobis adjumenta ad vivendum, omnia nobiscum C similiter ac cum belluis nasci Opifex noster non permisit, sed inopiam rerum necessariarum ad industriæ nostræ exercitationem machinatus est : ita et in Scripturis obscuritatem ad utilitatem mentis, excitans illius intelligentiæ vim, inesse voluit ; primum quidem, ut his occupata, a deterioribus avocetur ; deinde quia labore parta magis amantur, quæque longo tempore acquiruntur, constantius permanent : quæ autem facile parantur, his non perinde avide fruimur. Negligitur enim rerum obviarum copia, neque ulla custodia dignas ducit, qui possidet. (6) Turpe namque est rejicere cibos exitiosos, disciplinarum vero quæ animam nostram nutriunt, rationem nullam habere, sed torrentis in morem quidquid obvium D est trahentes, id in animum recondere. Quemadmodum enim mellis natura non tantum ratione perspici potest ab inexpertis, quantum ex ipso gustus sensu ; ita nec bonitas cœlestis doctrinæ tradi docendo potest, nisi veritatis dogmatibus accuratius exploratis, possimus propria experientia perspicere Domini bonitatem.

νει. Διὰ τοῦτο καὶ τὸ ἐκ τῆς μελῳδίας τερπνὸν τοῖς δόγμασιν ἐγκατέμιξεν, ἵνα τῷ προσηνεῖ καὶ λείῳ τῆς ἀκοῆς τὸ ἐκ τῶν λόγων ὠφέλιμον λανθανόντως ὑποδεχώμεθα, κατὰ τοὺς σοφοὺς τῶν ἰατρῶν, οἳ τῶν φαρμάκων τὰ αὐστηρότερα πίνειν διδόντες τοῖς κακοσίτοις, μέλιτι πολλάκις τὴν κύλικα περιχρίουσι. Διὰ τοῦτο καὶ τὰ ἐναρμόνια μέλη τῶν ψαλμῶν ἡμῖν ἐπινενόηται, ἵνα ὡς οἱ παῖδες (7) τὴν ἡλικίαν, ἢ καὶ ὅλως οἱ νεαροὶ τὸ ἦθος, τῷ μὲν δοκεῖν μελῳδῶσι, τῇ δὲ ἀληθείᾳ τὰς ψυχὰς ἐκπαιδεύωνται. Καὶ γὰρ οἱ πωλοδάμναι τοὺς δυσηνίους τῶν πώλων οὐκ εὐθὺς κατάγχουσι τοῖς χαλινοῖς, οὐδὲ ἀνακρούουσιν· ἀναχαιτίζειν γὰρ οὕτω καὶ ἀποσείεσθαι τοὺς ἐπιβάτας διδάσκουσιν· ἀλλὰ συνενδιδόντες τὴν πρώτην καὶ συνεξορμῶντες αὐτοῖς, ἐπειδὰν ἴδωσιν ὑπὸ τῆς οἰκείας ὁρμῆς καὶ βίας τὸν θυμὸν ἀναλώσαντας, τότε παραλαβόντες δεδαμασμένους, εὐπειθεστέρους ποιοῦσι διὰ τῆς τέχνης. Τοῖς γοῦν ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν, πολλαὶ γίνεσθαι πολλαχόθεν προσθῆκαι πεφύκασι. Τὸ γὰρ καὶ σμικρὸν ἐπὶ σμικρῷ κατατίθεσθαι, οὐ μᾶλλον εἰς ἀργυρίου προσθήκην ἢ καὶ εἰς ἡντιναοῦν ἐπιστήμην, ὀρθῶς ἡγεῖσθαι ἔχειν (8) τῷ πεπυκνωμένῳ προσῆκε.

2. Τὸ γὰρ πόνῳ κτηθὲν, περιχαρῶς ὑπεδέχθη, καὶ φιλοπόνως διεφυλάχθη· ὧν μέντοι πρόχειρος ὁ πορισμὸς, τούτων ἡ κτῆσις εὐκαταφρόνητος. Ὥσπερ οὖν, οὐχὶ βασκαίνων ἡμῖν τῶν πρὸς τὸ ζῆν ἀφορμῶν, παραπλησίως τοῖς ἀλόγοις συναπογεννηθῆναι πάντα ὁ Δημιουργὸς ἡμῶν οὐ συνεχώρησεν, ἀλλὰ τὴν ἔνδειαν τῶν ἀναγκαίων γυμνάσιον ἡμῖν τῆς διανοίας ἐμηχανήσατο· οὕτω καὶ τὴν ἐν ταῖς Γραφαῖς ἀσάφειαν ἐπ' ὠφελείᾳ τοῦ νοῦ, διεγείρων αὐτοῦ τὴν ἐνέργειαν, ἐπετήδευσε· πρῶτον μὲν ἵνα τούτοις ἐνασχολούμενος τῶν χειρόνων ἀφέλκηται· ἔπειτα ὅτι τὰ πόνῳ κτηθέντα μᾶλλον προσαγαπᾶται, καὶ τὰ διὰ μακροῦ χρόνου προσγενόμενα μονιμώτερον παραμένει· ὧν δὲ ῥᾳδία ἡ κτῆσις, οὐ περισπούδαστος ἡ ἀπόλαυσις. Εὐκαταφρόνητος γὰρ ἡ τῶν προχείρων παρουσία, καὶ οὐδεμιᾶς φυλακῆς ἀξιουμένη τοῖς ἔχουσιν. Αἰσχρὸν δὲ, τῶν μὲν σιτίων τὰ βλαβερὰ διωθεῖσθαι· τῶν δὲ μαθημάτων, ἃ τὴν ψυχὴν ἡμῶν τρέφει, μηδένα λόγον ἔχειν· ἀλλ' ὥσπερ χειμάρρουν κατασύροντας (9) ἅπαν τὸ προστυγχάνον, ἐμβάλλεσθαι. Ὡς γὰρ τοῦ μέλιτος ἡ φύσις οὐ τοσοῦτον τῷ λόγῳ δύναται παραστῆναι τοῖς ἀπείροις, ὅσον ἀπ' αὐτῆς τῆς κατὰ τὴν γεῦσιν αἰσθήσεως· οὕτως οὐδὲ ἡ χρηστότης τοῦ οὐρανίου λόγου ἐναργῶς παραδοθῆναι διδασκαλίαις δύναται, ἐὰν μὴ τὰ τῆς ἀληθείας δόγματα ἐπιπλέον βασανίσαντες, δυνηθῶμεν τῇ οἰκείᾳ πείρᾳ καταλαβεῖν τὴν τοῦ Κυρίου χρηστότητα.

(1) Ex hom. *in psal.* I, 90.
(2) Ex hom. *in mart. Julittam*, 42.
(3) Ex serm. *De legendis lib. gent.*, 184.
(4) Ex homil. III *in Hexaem.*, 23.
(5) Ex comment. *in Isa.*, 382.
(6) Ex serm. *De legendis lib. gent.*, 179.
(7) *Ὡς οἱ παῖδες.* Prima vocula melius deest in contextu.
(8) *Ἔχειν.* Melius in contextu ἡγεῖσθαι ἔχειν. Primum verbum deerat.
(9) *Χειμάρρουν κατασύροντας.* Sic ope contextus emendavimus quod erat in editis χειμάρρου κατασύροντος.

3. Τοῦ γὰρ φιλανθρώπου Θεοῦ καὶ Σωτῆρος ἡμῶν A Ἰησοῦ Χριστοῦ λέγοντος· *Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*· οὐκ ἀκίνδυνον ἀπωθεῖσθαι τοὺς τῷ Κυρίῳ δι' ἡμῶν προσιόντας, καὶ ὑπελθεῖν αὐτοῦ τὸν χρηστὸν ζυγὸν βουλομένους. Προσήκει δὲ τὸν παρελθόντα βίον τῶν προσιόντων καταμανθάνειν, καὶ οἷς μὲν ἤδη τι κατώρθωται, τὰ τελειότερα τῶν διδαγμάτων παραδιδόναι· τοὺς δὲ ἐκ βίου πονηροῦ πρὸς τὸν ἀκριβῆ βίον τῆς θεογνωσίας ὁρμήσαντας ἀνακρίνειν χρὴ, ὁποῖοι τὸ ἦθός εἰσι, μὴ ἄστατοι, καὶ πρὸς τὰς κρίσεις εὐκίνητοι. Ὕποπτον γὰρ τῶν τοιούτων τὸ εὐμετάθετον· οἳ πρὸς τῷ μηδὲν ἑαυτοὺς ὠφελῆσαι, ἔτι καὶ ἑτέροις αἴτιοι βλάβης γίνονται. Ἐπεὶ δὲ πάντα ἐπιμελείᾳ κατορθοῦται, καὶ φόβος Θεοῦ παντοίων ἐλαττωμάτων ψυχῆς περιγίνεται, οὐδὲ τούτων B ἀπογνωστέον εὐθὺς, ἀλλὰ ἄγειν αὐτοὺς εἰς τὰ προσήκοντα γυμνάσια δεῖ, χρόνῳ καὶ ἐπιπόνοις ἀγωνίσμασι πεῖραν τῆς κρίσεως αὐτῶν λαμβάνοντας (1)· ὡς ἐάν τι βέβαιον παρ' αὐτοῖς εὕρωμεν, ἀκινδύνως αὐτοὺς προσίεσθαι· εἰ δὲ μὴ, ἔξω ὄντας ἀποπέμπεσθαι· ὥστε ἀζήμιωτον τὴν πεῖραν τῇ ἀδελφότητι γίνεσθαι. Τὸν δὲ ἀπό τινος περιφανεστέρου βίου πρὸς τὴν καθ' ὁμοίωσιν τοῦ Κυρίου ταπεινοφροσύνην ἐπειγόμενον (2), ὁρίζειν χρή τινα τῶν ἐπονειδίστων εἶναι δοκούντων παρὰ τοῖς ἔξωθεν, καὶ ἐπιτηρεῖν εἰ μετὰ πάσης πληροφορίας ἐργάτην ἀνεπαίσχυντον τῷ Θεῷ ἑαυτὸν παρίστησιν. Ὅσοι δὲ ὑπὸ ζυγὸν ὄντες δοῦλοι, ταῖς ἀδελφότησι προσφεύγουσι, νουθετηθέντας αὐτοὺς, καὶ βελτιωθέντας (3) ἀποπέμπεσθαι χρὴ τοῖς δεσπόταις, καθ' ὁμοίωσιν τοῦ C μακαρίου Παύλου· ὃς τὸν Ὀνήσιμον γεννήσας διὰ τοῦ Εὐαγγελίου, ἀπέπεμψε τῷ Φιλήμονι, τὸν μὲν πληροφορήσας, ὅτι ὁ ζυγὸς τῆς δουλείας εὐαρέστως τῷ Κυρίῳ κατορθούμενος, βασιλείας οὐρανῶν ἄξιον συνίστησι· τὸν δὲ παρακαλέσας, μὴ μόνον ἀνιέναι τὴν κατ' αὐτοῦ ἀπειλὴν, ἀλλὰ καὶ χρηστοτέραν ἔχειν πρὸς αὐτὸν τὴν διάθεσιν. Εἰ μέντοι κακὸς ὁ δεσπότης τύχοι, παράνομά τινα ἐπιτάσσων, καὶ πρὸς παράβασιν ἐντολῆς (4) τοῦ ἀληθινοῦ δεσπότου καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸν δοῦλον βιαζόμενος, ἀγωνίζεσθαι χρὴ, ὅπως μὴ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημηθῇ διὰ τὸν δοῦλον ἐκεῖνον, ποιήσαντά τι, ὃ μὴ ἀρέσκῃ Θεῷ. Κατορθοῦται δὲ ἀγὼν, ἢ ἐν τῷ τὸν δοῦλον ἐκεῖνον καταρτισθῆναι πρὸς ὑπομονὴν D τῶν ἐπιφερομένων αὐτῷ μαθημάτων, ὑπὲρ τοῦ πειθαρχῆσαι Θεῷ μᾶλλον ἢ ἀνθρώποις· ἢ ἐν τῷ τοὺς ὑποδεχομένους ἀναδέξασθαι τοὺς ὑπὲρ αὐτοῦ ἐπαγομένους αὐτοῖς πειρασμούς. Τοὺς ἐν συζυγίᾳ δὲ γάμου τοιούτῳ βίῳ προσερχομένους ἀνακρίνεσθαι χρὴ, εἰ ἐκ συμφωνίας τοῦτο ποιοῦσι, κατὰ τὴν διαταγὴν

3. (5) Cum enim benignus Deus et Salvator noster Jesus Christus dicat : *Venite ad me, omnes qui laboratis, et onerati estis, et ego reficiam vos* [25]; periculosum est repellere eos qui per nos accedunt ad Dominum, ejusque jugum suave subire volunt. (6) Præterita vero accedentium vita est expendenda, et iis qui aliquid recte jam gesserint, documenta perfectiora tradenda sunt : qui autem ex prava vita ad perfectam vitam in Dei cognitione sitam transeunt, hos perscrutari par est, nimirum qualibus præditi sint moribus, num instabiles, et in consiliis suis facile mobiles. Suspecta enim talium inconstantia : qui quidem præterquam quod ipsi nihil utilitatis capiunt, præterea sunt etiam cæteris detrimenti auctores. Sed quia nihil est quod non labore et diligentia perficiatur, ac timor Dei quævis animæ vitia superat : ne isti quidem statim desperandi, sed ducendi ad idoneas exercitationes, et tempore ac laboriosis certaminibus facienda eorum propositi probatio, ita ut si quid firmi in ipsis invenerimus, tuto admittamus ; secus vero dum adhuc extra sunt, dimittamus, nec eorum probatio **479** damni quidquam fratribus afferat. (7) Ei autem qui ab illustriore quodam vitæ genere secundum Domini exemplum ad humilitatem festinat, aliqua, quæ probrosa admodum apud externos esse videantur, præscribenda sunt ; observandumque, num cum omni æquanimitate seipsum ceu operarium pudoris expertem Deo exhibeat. (8) Porro quicunque servi sub jugo detenti, ad fratrum conventum confugiunt, admoniti et meliores effecti, ad dominos suos remittendi sunt, ad exemplum beati Pauli, qui cum genuisset Onesimum per Evangelium, eum ad Philemonem remisit [26], alteri quidem persuadens, servitutis jugum, si ita, ut Domino placet, feratur, cœlorum regno dignos reddere ; alterum vero exhortans, ut non solum minas servo intentatas remitteret, (9) sed animo etiam æquiore erga ipsum afficeretur. Sed tamen si dominus improbus sit, qui aliqua contra legem præscribat, vimque servo inferat ad mandata veri heri et domini nostri Jesu Christi violanda, conatus nobis adhibendus est, ut ne nomen Dei blasphemetur propter servum illum, si quid fecerit, quod Deo displiceat. Erit autem conatus laudabilis, si vel servum illum confirmemus ad implenda constanter præcepta, quæ ipsi imposita sunt, ut Deo magis obediat quam homini [27]; vel si, qui eum recipiunt, illatas sibi ipsius causa tentationes non recusent. (10) Ii vero qui matrimonio conjuncti, ad hujusmodi vitæ genus accedunt, interrogandi sunt,

[25] Matth. XI, 28. [26] Philem. 12. [27] Act. V, 29.

(1) *Λαμβάνοντας*. Uterque codex λαμβάνοντες [perperam].
(2) *Τὸν... ἐπειγόμενον*. Syntaxeos ratio postulat, τῷ ἐπειγομένῳ. EDIT.
(3) *Αὐτοὺς, καὶ βελτιωθέντας*. Hæc addita ex contextu et Regio codice.
(4) *Ἐντολῆς*. Editi addunt Θεοῦ et paulo post μὴ ποιήσαντά τι. Melius in contextu.
(5) Ex *Regulis fusius tractatis*, 152.
(6) Ibid., 30.
(7) Ibid., 353.
(8) Ibid.
(9) Ibid.
(10) Ibid., 354.

au mutuo consensu id efficiant ex Apostoli præcepto, sicque qui accedit, coram pluribus testibus recipiendus est. Quod si dissentiat altera pars, repugnetque, quod minus sollicita sit, quomodo placeat Deo, in mentem veniat Apostoli, qui dicit : *In pace autem vocavit nos Deus* [28]. (1) Eum igitur qui relictis suis Dominum sequi instituit, de iis, quæ spectant ad opes suas, non oportet esse negligentem; sed illud curare, ut omnia accurate colligens, jam tanquam Domino consecrata cum omni pietate distribuat, aut per seipsum, si potest, eique licet per experientiam, aut per alios, qui multo cum examine delecti sint, quippe editis speciminibus ostenderint se eas fideliter prudenterque distribuere posse, cum scire debeat ipsas non sine periculo aut propinquis relinqui, aut a quovis obvio distribui. Etenim si is, cui cura regiarum possessionum commissa, etiamsi sæpe nihil interverterit ex iis quæ in manibus habebat, sed negligentia aliqua prodiderit quæ acquiri poterant, a crimine non absolvitur : qualem exspectandum est ob ea quæ jam Domino dicata sunt condemnationem subiturum, qui in eis administrandis ignave ac negligenter se gesserit?

4. (2) Secessus autem a mundo, non est corpore extra ipsum esse, sed animam ab affectionum cum corpore consensione avellere, ac sine civitate esse, sine domo, sine propriis rebus, sine amicorum societate, sine possessionibus, sine rebus ad victum necessariis, sine negotiis, nullas res contrahentem, humanarum **480** disciplinarum expertem, paratum ad suscipiendas corde informationes, quæ ex doctrina divina ducuntur. Est autem cordis præparatio, documentorum ex prava consuetudine illud præoccupantium oblivio. (3) Atque illud quidem in primis homini Deum amanti studio esse debet, sermone non inscite uti, sed interrogare sine litigandi studio, respondere sine ambitione, non iuterpellare disserentem, si quid dicat utile, neque cupidum esse proprii sermonis ostentationis causa interserendi, modum tenere loquendi et audiendi : discere etiam sine verecundia, docere liberaliter, nec occultare si quid ab alio didiceris, velut improbæ mulieres facere solent, quæ spurios partus subjiciunt; sed grato animo parentem doctrinæ prædicare. Vocis vero sonus mediocris præferendus est, ut nec exilior auditum præterfugiat, nec nimia contentione importunus sit. Expendendum tecum prius quid dicturus sis, atque ita demum edendum et vulgandum. Adeuntibus affabilem esse oportet, atque in colloquiis suavem ; nec voluptatem facetis sermonibus aucupari, sed benigna adhortatione lenitatem obtinere. Ubique asperitas, etiamsi objurgandum sit, rejicienda. Nam qui prior se ipse

A τοῦ Ἀποστόλου, καὶ οὕτως ἐπὶ πλειόνων μαρτύρων δέχεσθαι τὸν προσερχόμενον. Εἰ δὲ στασιάζοι τὸ ἕτερον μέρος καὶ διαμάχοιτο, ἔλαττον φροντίζον τῆς πρὸς Θεὸν εὐαρεστήσεως, μνημονευέσθω ὁ Ἀπόστολος λέγων· *Ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεός.* Τὸν τοίνυν ἐξερχόμενον ἀπὸ τῶν ἰδίων, σκοπῷ τοῦ ἀκολουθῆσαι τῷ Κυρίῳ, οὐ χρὴ καταφρονητικῶς περὶ τῶν διαφερόντων αὐτῷ διακεῖσθαι· ἀλλὰ πειρᾶσθαι πάντα μετὰ ἀκριβείας λαβόντα, ὡς τῷ Κυρίῳ λοιπὸν ἀφιερωμένα, μετὰ πάσης εὐλαβείας οἰκονομεῖν, ἢ δι' ἑαυτοῦ, ἐὰν δυνατῶς καὶ ἐμπείρως ἔχῃ, ἢ διὰ τῶν μετὰ δοκιμασίας πολλῆς ἐπιλεγέντων, καὶ ἀπόδειξιν δεδωκότων τοῦ δύνασθαι πιστῶς καὶ φρονίμως οἰκονομεῖν· εἰδότα, ὅτι οὐκ ἀκίνδυνόν ἐστιν οὔτε τὸ προσαφεῖναι τοῖς οἰκείοις, οὔτε τὸ διὰ B τοῦ τυχόντος οἰκονομῆσαι. Εἰ γὰρ ὁ φροντίδα βασιλικῶν κτημάτων ἐγχειρισθεὶς, κἂν μὴ νοσφίσηται πολλάκις ἐκ τῶν ἑτοίμων, ἀμελείᾳ δέ τινι καταπροδῷ τὰ προσκτηθῆναι δυνάμενα, οὐκ ἀπολύεται τοῦ ἐγκλήματος· τίνα χρὴ προσδοκᾷν ἐπὶ τῶν ἤδη κατονομασθέντων τῷ Κυρίῳ τὴν κατάκρισιν ὑποστήσεσθαι, τὸν χαύνως καὶ ἠμελημένως διατεθέντα (4) πρὸς τὴν τούτων διοίκησιν;

4. Κόσμου δὲ ἀναχώρησις, οὐχὶ εςω αὐτοῦ γενέσθαι σωματικῶς, ἀλλὰ τῆς πρὸς τὸ σῶμα συμπαθείας τὴν ψυχὴν ἀποῤῥῆξαι, καὶ γενέσθαι ἄπολιν, ἄοικον, ἀνίδιον, ἀφιλέταιρον, ἀκτήμονα, ἄβιον, ἀπράγμονα, ἀσυνάλλακτον, ἀμαθῆ τῶν ἀνθρωπίνων διδαγμάτων· ἕτοιμον ὑποδέξασθαι τῇ καρδίᾳ τὰς ἐκ C τῆς θείας διδασκαλίας ἐγγινομένας διατυπώσεις· Ἑτοιμασία δὲ καρδίας, ἡ ἀπομάθησις τῶν ἐκ πονηρᾶς συνηθείας προκατασχόντων αὐτὴν διδαγμάτων. Πρῶτόν γε πάντων, σπουδάζειν προσήκει τὸν φιλόθεον ἄνδρα περὶ τὴν τοῦ λόγου χρῆσιν μὴ ἀμαθῶς ἔχειν, ἀλλ' ἐρωτᾷν μὲν ἀφιλονείκως, ἀποκρίνεσθαι δὲ ἀφιλοτίμως, μὴ διακόπτοντα τὸν προσδιαλεγόμενον, ὅταν τι χρήσιμον λέγῃ, μηδὲ ἐπιθυμοῦντα τὸν ἑαυτοῦ λόγον ἐπιδεικτικῶς ἐμβάλλειν, μέτρα ὁρίζοντα λόγῳ καὶ ἀκοῇ· μανθάνειν δὲ ἀνεπαισχύντως καὶ διδάσκειν ἀνεπιφθόνως, καὶ εἴ τι παρ' ἑτέρου δεδίδακται, μὴ ἀποκρυπτόμενον, ὡς αἱ φαῦλαι τῶν γυναικῶν αἱ τὰ νόθα ὑποβαλλόμεναι· ἀλλὰ κηρύσσειν εὐγνωμόνως τὸν πατέρα τοῦ λόγου. Τόνος δὲ D φωνῆς ὁ μέσος προτιμητέος, ὡς μήτε διαφεύγειν τὴν ἀκοὴν ὑπὸ σμικρότητος, μήτε φορτικὸν εἶναι τῷ μεγέθει τῆς διατάσεως· προεξετάσαντα ἐν ἑαυτῷ τὸ ῥηθησόμενον, οὕτω δημοσιεύειν τὸν λόγον. Εὐπροσήγορον ἐν ταῖς ἐντεύξεσι, γλυκὺν ἐν ταῖς ὁμιλίαις· οὐ διὰ τῆς εὐτραπελίας τὸ ἡδὺ θηρώμενον, ἀλλὰ διὰ τῆς εὐμενοῦς παρακλήσεως τὸ προσηνὲς ἔχοντα· πανταχοῦ τὸ τραχὺ, κἂν ἐπιτιμῆσαι δέῃ, ἀπωθούμενον. Προκαταβαλὼν γὰρ ἑαυτὸν διὰ ταπεινοφροσύνης, οὕτως εὐπαράδεκτος ἔσται τῷ δεομένῳ

[28] I Cor. vii, 15.

(1) Ex *Regulis fusius tractatis*, 331.
(2) Ex epist. ii, 71.
(3) Ibid., 73.
(4) *Διατεθέντα*. Uterque codex ὁ διατεθείς.

τῆς θεραπείας. Πολλάκις δὲ χρήσιμος ἡμῖν καὶ ὁ τοῦ προφήτου τρόπος τῆς ἐπιπλήξεως· ὃς τῷ Δαβὶδ ἁμαρτόντι, οὐ παρ' ἑαυτοῦ ἐπήγαγε τὸν ὅρον τῆς καταδίκης, ἀλλ' ὑποβολῇ προσώπου χρησάμενος, αὐτὸν ἐκεῖνον τοῦ ἰδίου δικαστὴν ἐκάθισεν ἁμαρτήματος· ὥστε αὐτὸν καθ' ἑαυτοῦ προεξενεγκόντα τὴν κρίσιν, μηδὲν ἐπιμέμψασθαι τὸν ἐλέγξαντα. Ὀλκὸς μὲν γὰρ ὕδατος δείκνυσι τὴν οἰκείαν πηγήν, λόγου δὲ φύσις τὴν προενεγκοῦσαν αὐτὸν καρδίαν χαρακτηρίζει.

5. Καὶ ὥσπερ ἐπὶ τῶν ἰατρικῶν παραγγελμάτων, ὅταν εὐστόχως καὶ κατὰ λόγον γίνηται, μετὰ τὴν πεῖραν μάλιστα τὸ ἀπ' αὐτῶν ὠφέλιμον δείκνυται· οὕτω καὶ ἐπὶ τῶν πνευματικῶν παραινέσεων, ἐπειδὰν μάλιστα τὴν ἔκβασιν λάβῃ μαρτυροῦσαν τὰ παραγγέλματα, τότε τὸ σοφὸν αὐτῶν καὶ ὠφέλιμον πρὸς τὴν ἐπανόρθωσιν τοῦ βίου καὶ τὴν τῶν πειθομένων τελείωσιν ἀναφαίνεται. Ὁ γὰρ τὸν κείμενον ἀνιστῶν, ὑψηλότερος εἶναι τοῦ πεπτωκότος πάντως ὀφείλει· ὁ δὲ ἐξ ἴσου καταπεσὼν, ἑτέρου καὶ αὐτὸς τοῦ ἀναστήσοντος ἐπιδέεται. Οἱ δὲ τυφλοῖς διδασκάλοις τὴν ὁδηγίαν ἑαυτῶν ἐπιτρέψαντες, ἐστέρησαν ἑαυτοὺς τῆς τοῦ φωτὸς ἀπολαύσεως. Τὸ γὰρ μετὰ θυμοῦ καὶ ὀργῆς ἐλέγχειν τὸν ἁμαρτήσαντα ἀδελφὸν, οὐχὶ ἐκεῖνόν ἐστιν ἁμαρτίας ἐλευθερῶσαι, ἀλλ' ἑαυτὸν περιβαλεῖν πλημμελήμασιν. Ἐν γὰρ πραότητι δεῖ παιδεύειν τοὺς ἀντιδιατιθεμένους, καὶ μὴ ἐν οἷς μὲν αὐτὸς παροφθῇ, σφοδρὸν εἶναι· ἐν οἷς δὲ ἂν ἄλλον καταφρονούμενον ἴδῃ, τὴν πρὸς τὸν ἡμαρτηκότα μακροθυμίαν ἐπιδείκνυσθαι· ἀλλὰ καὶ μᾶλλον δυσχεραίνειν ἐπὶ τῷ κακῷ τότε. Οὕτω γὰρ καὶ τῆς φιλαυτίας τὴν ὑποψίαν ἐκφεύξεται, καὶ ἀπόδειξιν δώσει τοῦ μὴ τὸν ἡμαρτηκότα μισεῖν, ἀλλὰ τὴν ἁμαρτίαν ἀποστρέφεσθαι· τὸ μὲν γὰρ μὴ δι' ἑαυτὸν (1) μεριμνᾷν καὶ ἐργάζεσθαι, φιλοχρίστου καὶ φιλαδέλφου διαθέσεως ἐγκώμιον. Παντὶ τοίνυν τρόπῳ χρὴ τὸν ἀσθενοῦντα θεραπεύειν, καὶ σπουδάζειν τὸ ἐξηρθρωμένον, ἵν' οὕτως εἴπω, μέλος ἐναρθροῦν· ἐὰν δὲ τῇ οἱαδηποτοῦν κακίᾳ ἐπιμένῃ, ἀφιέναι ὡς ἀλλότριον· γέγραπται γάρ· *Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται.* Ἐὰν γὰρ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἐθῶν, καὶ ταῖς ἡδοναῖς τῆς σαρκὸς δουλεύειν ἐθέλωσι μᾶλλον ἢ τῷ Κυρίῳ, καὶ τὴν κατὰ τὸ Εὐαγγέλιον ζωὴν μὴ καταδέχωνται, οὐδεὶς ἡμῖν κοινὸς πρὸς αὐτοὺς λόγος. Ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι *Σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν*, καὶ ἀλλοτρίαις ἁμαρτίαις μὴ κοινώνει. Καὶ εἰ μή τις ἐπιθυμητικῶς ἔρχεται ἐπὶ τὸ ψάλλειν, καὶ εἰ μὴ ἐπιφαίνεται (2)

A per humilitatem abjecerit, hoc pacto ei, cui curatione opus est, acceptus erit. Plerumque vero utilis nobis et illa increpationis ratio a propheta adhibita, qui, cum David peccasset, non a semetipso sententiam induxit condemnationis, sed accersita persona utens, ipsum proprii judicem peccati constituit; ita ut cum in se ipse sententiam dixisset, nihil jam succenseret arguenti. (3) Nam aquarum quidem rivulus fontem suum indicat: sermonis autem natura pectus, unde emanavit, depingit ac designat.

5. (4) Atque ut in medicorum præceptis, cum apposite et ex ratione fiunt, post experientiam maxime eorum utilitas solet ostendi: sic in spiritualibus exhortationibus, ubi maxime monita ac B præcepta fuerint exitu testata comprobataque, tunc ea sapienter utiliterque ad vitæ emendationem atque ad obtemperantium perfectionem adhibita fuisse apparet. (5) Nam jacentem qui erigit, altior omnino lapso esse debet: qui vero pariter cecidit, altero qui erigat, etiam ipse opus habet. (6) Qui vero cæcos doctores sui duces fecere, jucundissimo se luminis fructu privaverunt. (7) Nam redarguere fratrem cum indignatione et ira, non est illum a peccato liberare; sed seipsum delictis obstringere. Oportet enim in mansuetudine corripere eos qui resistunt [29]: neque, cum ipse contemneris, ob id vehemens esse: ubi vero alium contemni videris, erga eum qui deliquit, indulgentiam C ostendere: quin potius tunc in peccatum invehi decet. Ita enim et suspicionem a te hominis seipsum immodice amantis submovebis, et planissime te non peccantem odisse, sed peccatum aversari declarabis. (8) Nam sollicitum esse et agere non propter semetipsum, laus est animi Christum et fratres amantis. (9) Omni igitur modo curandus infirmus, ac danda sedula opera, ut luxatum membrum, ut ita dicam, **481** in suum locum restituatur. Quod si in suo vitio qualecunque tandem sit, perseveraverit, tum perinde atque alienus dimittendus est. Scriptum est enim: *Omnis plantatio, quam non plantavit Pater meus cœlestis, eradicabitur* [30]. (10) Quod si qui difficile avellantur a propriis moribus, carnisque voluptatibus servire ma- D lint quam Domino, et vitam secundum Evangelium instituere nolint, nulla est nobis cum illis communis ratio. Nos enim in populo inobsequenti et contradicenti edocti sumus audire: *Servans serva animam tuam* [31], alienis peccatis ne communicaveris. (11) Si quis alacriter non accedat ad psallendum, nec ferat præ se affectum illius, qui dixit, *Quam*

[29] II Tim. ii, 25. [30] Matth. xv, 13. [31] Gen. xix, 17.

(1) *Μὴ δι' ἑαυτόν*. Negationem, quæ prorsus necessaria est ad sententiæ seriem, desumpsimus ex codice Regio.
(2) *Ἐπιφαίνεται*. Uterque codex ἐπιφαίνηται, et antea ἔρχηται, et paulo post codex 1910 ἔρχηται.
(3) Ex epist. cxxxiv, 225.
(4) Ex hom. *Adversus eos qui irascuntur*. 83.
(5) Ex hom. *in mart. Julittam*, 42.
(6) Uterque codex indicat serm. *De ira*.
(7) Ex *Regulis fusius tractatis*, 395.
(8) Uterque codex indicat ascetica.
(9) Ex *Regulis brevius tractatis*, 451.
(10) Ex epist. ccxvii, 330.
(11) Ex *Regulis brevius tractatis*, 514.

dulcia faucibus meis eloquia tua! super mel ori meo [32] : nec putet magnum detrimentum desidiam esse : aut corrigatur, aut expellatur, ne modicum fermentum totam massam corrumpat [33]. (1) Quos communes pœnæ ad sanam mentem non revocant, nec a precum communione separatio ad pœnitentiam adducit, eos necesse est traditis a Domino canonibus subjicere. Scriptum est enim : *Si frater tuus peccaverit, corripe eum inter te et ipsum : si te non audierit, assume tecum alium : quod si ne sic quidem, dic Ecclesiæ ; si vero neque Ecclesiam audierit, sit tibi ut ethnicus et publicanus* [34]. Quod ipsum et in isto factum fuit. Semel accusatus est : coram uno et altero convictus fuit : tertio coram Ecclesia. Cum igitur eum obtestati fuerimus, nec acquieverit, sit deinceps excommunicatus. Et hoc pago toti denuntietur, eum admittendum non esse ad ullam rerum ad vitam pertinentium societatem : ut ex eo quod cum eo non commisceamur, sit prorsus diaboli pabulum. (2) Ut enim pueruli disciplinarum negligentes, post inflicta illis a doctoribus verbera, attentiores effecti, præcepta amplectuntur ; quemque sermonem ne audiebant quidem, antequam vapularent, eumdem accepto e flagris dolore, jam inde apertis auribus et auditu percipiunt, ac memoriæ mandant : sic et his accidit qui Dei doctrinam perfunctorie negligenterque audiunt, ejusque mandata pro nihilo ducunt. Postquam ipsi a Deo castigatione affecti fuerint, tum vix tandem Dei præcepta centies illis repetita, centiesque ab eis neglecta, quasi primum ad eorum aures pervenirent, suscipiuntur, ut ille ait : *Disciplina Domini aperit mihi aures* [35].

6. (3) Quemadmodum autem qui mente infirmi sunt, sedato animo curandi : ita vicissim ab iis qui curantur, objurgationes odii loco non sunt accipiendæ, neque cura ea, quæ ex misericordia ad animæ eorum salutem adhibetur, ducenda est pro tyrannide. Turpe est enim eos qui ægro corpore sunt, tantum medicis confidere, ut sive secent, sive urant, sive amarulentis medicamentis molestiam creent, ipsos de se bene meritos fuisse putent ; nos vero erga animarum nostrarum medicos, quando disciplina duriore salutem nobis afferunt, non eodem modo affici. (4) Quando quidem terribile judicium imminet præfecto **482** non redarguenti peccantes : is cui demandata est communis cura, ut rationem de singulis redditurus, ita parare se debet : probe sciens si inciderit in peccatum frater unus, cui antea justificationem

A αὐτῷ ἡ διάθεσις τοῦ εἰπόντος· *Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου! ὑπὲρ μέλι τῷ στόματί μου*· καὶ εἰ μὴ ζημίαν μεγάλην ἡγεῖται τὴν ἀργίαν· ἢ διορθωσάσθω, ἢ ἐξαρθήτω (5), ἵνα μὴ μικρὰ ζύμη ὅλον τὸ φύραμα δολώσῃ. Οὓς γὰρ τὰ κοινὰ ἐπιτίμια οὐ σωφρονίζει, οὔτε τὸ εἰρχθῆναι τῶν εὐχῶν ἄγει εἰς μετάνοιαν, ἀνάγκη τοῖς παρὰ τοῦ Κυρίου δοθεῖσι κανόσιν ὑποβάλλειν· γέγραπται γάρ· *Ἐὰν ὁ ἀδελφός σου ἁμάρτῃ, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ* (6)· *ἐάν σου μὴ ἀκούσῃ, παράλαβε μετὰ σεαυτοῦ καὶ ἄλλον· ἐὰν δὲ μηδὲ οὕτως, εἰπὲ τῇ Ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης*. Ὃ γοῦν ἐγένετο καὶ ἐπὶ τοῦδε. Ἅπαξ ἐνεκλήθη, ἐπὶ ἑνὸς καὶ δευτέρου διηλέγχθη, τρίτον ἐπὶ τῆς Ἐκ- B κλησίας. Ἐπεὶ οὖν διεμαρτυράμεθα αὐτῷ, καὶ οὐ κατεδέξατο, λοιπὸν ἔσται ἐκκήρυκτος, καὶ διαγγελθήτω πάσῃ τῇ πόλει, ἀπρόσδεκτον αὐτὸν εἶναι πρὸς πᾶσαν κοινωνίαν χρήσεως βιωτικῆς· ὡς ἐκ τοῦ μὴ συναναμίγνυσθαι ἡμᾶς αὐτῷ, γένηται παντελῶς κατάβρωμα τοῦ διαβόλου. Ὥσπερ γὰρ τῶν παίδων οἱ νήπιοι, κατολιγωροῦντες τῶν μαθημάτων, μετὰ τὰς μάστιγας, ἃς διδάσκαλοι αὐτοῖς ἢ παιδαγωγοὶ προσάγουσι, προσεχέστεροι δέχονται τὰ διδάγματα· καὶ ὁ αὐτὸς λόγος πρὸ μὲν τῶν πληγῶν οὐκ ἠκούετο, μετὰ δὲ τὰς ἐκ τῶν μαστίγων ὀδύνας ἄρτι τῶν ὤτων διανοιγέντων, καὶ παρεδέχθη τῇ ἀκοῇ καὶ παρεδόθη τῇ μνήμῃ· οὕτω καὶ ἐπὶ τῶν παρακουόντων τῆς θείας διδασκαλίας καὶ καταφρονητικῶς πρὸς τὰς C ἐντολὰς διακειμένων συμβαίνει. Ἐπειδὰν ἐπαχθῇ αὐτοῖς παρὰ τοῦ Θεοῦ ἡ παιδεία, τότε δὴ μόλις τὰ ἀεὶ λαλούμενα καὶ ἀεὶ παρακουόμενα τῶν τοῦ Θεοῦ προσταγμάτων, ὡς πρῶτον ἐμπεσόντα αὐτῶν ταῖς ἀκοαῖς, παρεδέχθη, κατὰ τὸν λέγοντα, ὅτι *Ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα*.

6. Ὥσπερ δὲ ἀπαθῶς χρὴ προσάγεσθαι τὰς θεραπείας (7) τοῖς ἀσθενοῦσι κατὰ ψυχήν, οὕτως πάλιν χρὴ τοὺς θεραπευομένους μὴ πρὸς ἔχθραν δέχεσθαι τὰ ἐπιτίμια, μηδὲ τυραννίδα νομίζειν τὴν ἀπὸ εὐσπλαγχνίας ἐπὶ σωτηρίᾳ ψυχῆς προσαγομένην αὐτῶν ἐπιμέλειαν. Αἰσχρὸν γάρ, τοὺς μὲν τὰ σώματα νοσοῦντας, τοσοῦτον τοῖς ἰατροῖς καταπιστεύειν, ὥστε κἂν τέμνωσι, κἂν καίωσι, κἂν πικροῖς τοῖς φαρμάκοις ἀνιῶσιν, εὐεργέτας λογίζεσθαι· ἡμᾶς δὲ D πρὸς τοὺς τῶν ψυχῶν θεραπευτάς, ὅταν δι' ἐπιπόνου ἀγωγῆς τὴν σωτηρίαν ἡμῖν κατεργάζωνται (8), μὴ τὴν αὐτὴν ἔχειν διάθεσιν. Ἐπεὶ οὖν φοβερὸν τὸ κρίμα τῷ προεστῶτι μὴ ἐλέγχοντι τοὺς ἁμαρτάνοντας, τὴν κοινὴν φροντίδα πεπιστευμένῳ· ὡς ὀφείλων λόγον δοῦναι περὶ ἑκάστου, οὕτω διακείσθω, εἰδώς, ὅτι ἐὰν ἐμπέσῃ εἰς ἁμαρτίαν εἷς τῶν ἀδελφῶν, μὴ προειπόντος αὐτῷ τὸ δικαίωμα τοῦ Θεοῦ, ἢ ἐμπε-

[32] Psal. CXVIII, 103. [33] Gal. v, 9. [34] Matth. XVIII, 15-17. [35] Isa. L, 5.

(1) Ex epist. CCLXXXVIII, 426.
(2) Uterque codex indicat epist.
(3) Ex *Regulis fusius tractatis*, 396.
(4) Ibid., 370.
(5) *Ἐξαρθήτω*. Codex 1992 ἔξω ἀρθήτω.
(6) *Αὐτοῦ*. Idem codex addit μόνου.
(7) *Τὰς θεραπείας*. Idem τὰς ἰατρείας, et paulo post αὐτῶν ἐπιμέλειαν. Editi et contextus habent αὐτῷ.
(8) *Κατεργάζωνται*. Sic uterque codex. Editi κατεργάζονται. Infra legendum ut in contextu ὁ τὴν κοινὴν φροντίδα πεπιστευμένος.

σὼν ἐπιμένῃ, μὴ διδαχθεὶς τὸν τρόπον τῆς ἐπανορθώσεως, τὸ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν αὐτοῦ ἐκζητηθήσεται, καθὼς γέγραπται· καὶ μάλιστα, ἐὰν μὴ δι' ἄγνοιάν τι παρίδῃ τῶν ἀρεσκόντων Θεῷ, ἀλλὰ διὰ κολακείαν συμπεριφερόμενος τοῖς ἑκάστου κακοῖς, τὴν ἀκρίβειαν τῆς πολιτείας ἐκλύσῃ. Ὥσπερ δὲ ὁ προεστὼς ὑπεύθυνός ἐστιν ὁδηγεῖν εἰς πάντα τὴν ἀδελφότητα, οὕτω πάλιν καὶ τοῖς λοιποῖς ἐπιβάλλει, ἐάν ποτε ὑποπτευθῇ τι περὶ τὸν προεστῶτα πλημμέλημα, ὑπομιμνήσκειν αὐτὸν τοὺς προέχοντας τήν τε ἡλικίαν καὶ τὴν σύνεσιν. Ἐὰν μὲν οὖν ᾖ τι ἄξιον διορθώσεως, τόν τε ἀδελφὸν ὠφελήσαμεν, καὶ ἑαυτοὺς δι' ἐκείνου, τὸν οἱονεὶ κανόνα τοῦ ἡμετέρου βίου ὄντα, καὶ τῇ αὐτοῦ ὀρθότητι τὸ ἐνδιάστροφον ἡμῖν διελέγχειν ὀφείλοντα, πρὸς τὸ εὐθὺ καταρτίσαντες· ἐὰν δὲ μάτην τινὲς ταραχθῶσι, πληροφορηθέντες διὰ τῆς φανερώσεως τῶν οὐ μετὰ ἀληθείας ὑποπτευθέντων, τῆς ἐπ' αὐτῷ διακρίσεως ἀπαλλάσσονται.

7. Οὐ γὰρ ἀγνοεῖτε, ὡς οἱ προεστῶτες δημοσίᾳ πᾶσι προκείμενοι, ὥσπερ οἱ ἐν τῇ θαλάσσῃ προβεβλημένοι σκόπελοι, αὐτοὶ τὸν θυμὸν τῶν ἐναντίων κυμάτων ὑποδέχονται, καὶ περὶ αὐτοὺς ῥηγνύμενα, τὰ κατόπιν αὐτῶν οὐκ ἐπικλύζουσιν. Ἐγὼ μὲν οὖν ἃ κράτιστα εἶναι κρίνω, τὰ μὲν νῦν εἰρημένα, τὰ δὲ παρὰ πάντα τὸν βίον ὑμῖν ξυμβουλεύσω. Κἂν γὰρ ἡ τοῦ σώματος ἀσθένεια ἐμποδίζῃ με (ἣν οὐκ ἀγνοεῖτε πάντως (1), ὅση μοι πάρεστιν, ἐκ τῆς πρώτης ἡλικίας μέχρι τοῦ γήρως τούτου συντραφεῖσά μοι, καὶ παιδεύουσά με, κατὰ τὴν δικαίαν κρίσιν τοῦ πάντα ἐν σοφίᾳ οἰκονομοῦντος Θεοῦ), ἀλλ' ἕως ἀναπνέομεν, ὑπεύθυνοί ἐσμεν μηδὲν ἐλλιμπάνειν τῶν εἰς οἰκοδομὴν τῶν καλῶν. Ὑμεῖς δὲ, τριῶν ἀῤῥωστημάτων μὴ τῷ ἀνιάτῳ προσεοικέναι δόξητε, μηδὲ τὴν τῆς γνώμης νόσον παραπλησίαν τῆς τῶν εἰς τὰ σώματα δυστυχησάντων δείξητε. Οἱ μὲν γὰρ τὰ μικρὰ τῶν παθῶν κάμνοντες, αὐτοὶ παρὰ τοὺς ἰατροὺς ἔρχονται· οἱ δὲ ὑπὸ μειζόνων καταληφθέντες ἀῤῥωστημάτων, ἐφ' ἑαυτοὺς καλοῦσι τοὺς θεραπεύσοντας· οἱ δ' εἰς ἀνήκεστον παντελῶς μελαγχολίαν παρενεχθέντες, οὐδὲ προσιόντας (2) προσίενται. Ὃ μὴ πάθητε νῦν ὑμεῖς, ὀρθῶς ἔχοντας τῶν λογισμῶν ἀποφεύγοντες· ἀλλὰ καὶ παιδεύθητε, καὶ στοιχειώθητε τῷ φόβῳ Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχητε, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A Dei non declararit, aut si lapsus, in eo perstiterit non edoctus ab eo de emendationis modo, sanguinem ipsius ex suis manibus requisitum iri, uti scriptum est [26]: et maxime, si quid eorum quæ placent Deo, non ex inscitia neglexerit, sed potius ex eo quod ob assentationem ad uniuscujusque vitia sese accommodet, disciplinæ integritatem labefactarit. (3) Atque etiam quemadmodum præfectus in omnibus fratrum dux esse debet, ita quoque vicissim reliquis convenit, si quando præfectus ipse delicti alicujus suspectus fuerit, ut ipsum admoneant qui cum ætate tum prudentia præstant. Si quid igitur fuerit, quod emendari operæ pretium sit, juvabimus et fratrem, et per illum nosmet ipsos, eo qui veluti vitæ nostræ regula est, suaque
B rectitudine perversitatem nostram redarguere debet, ad rectam viam a nobis reducto: sin autem temere turbati fuerint nonnulli illius causa, ipsi, iis quæ falso suspecta fuerant cognitis, certiores facti, ab ea quam de ipso conceperant suspicione liberantur.

7. (4) Non enim ignoratis, eos qui præsunt, palam omnibus propositos, veluti scopulos in mari prominentes, furorem fluctuum hæreticorum excipere, qui dum circa eos franguntur, ea quæ retro sunt, non alluunt. (5) Ego quidem quæ optima esse censeo, partim nunc dixi, partim vobis per omnem vitam suadebo. (6) Etiamsi enim me corporis infirmitas constringat (quam prorsus non ignoratis, quanta mihi adsit, a prima ætate ad hanc usque
C senectutem enutrita mecum, meque castigans secundum justum Dei judicium, qui omnia in sapientia moderatur), (7) tamen quandiu respirabimus, nihil debemus eorum omittere, quæ ad ædificationem bonorum pertinent. (8) Vos vero cum tria sint ægritudinum genera, ei quod insanabile est similes ne videamini, neque ostendatis animi morbum morbo eorum qui corpore ægrotant, consimilem. Etenim invaletudine parva qui laborant, ipsi accedunt ad medicos: qui vero morbis majoribus correpti fuere, medicos accersunt ad se: qui autem in aliquem atræ bilis morbum prorsus immedicabilem lapsi sunt, ne accedentes quidem admittunt. Quod cavete ne vobis nunc accidat, si eos
D qui mente ac ratione præditi sunt, fugiatis; sed erudimini atque initiamini timore Domini Dei nostri, ut futurorum bonorum participes esse possitis, in Christo Jesu Domino nostro, cui gloria et potestas cum æterno ejus Patre, et sanctissimo vivificanteque Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

[26] Ezech. III, 20.

(1) Ἐμποδίζῃ... πάντως. Sic uterque codex. Editi συμποδίσῃ... πάντες.
(2) Προσιόντας. Codex 1992 προσιόντα.
(3) Ex *Regulis fusius tractatis*, 371.
(4) Ex epist. CCIII, 302.
(5) Ex serm. *De legendis libris gent.*, 184.
(6) Ex epist. CCIII, 299.
(7) Ibid., 302.
(8) Ex serm. *De legendis libris gent.*, 184.

483 *DE CHARITATE IN DEUM ET PROXIMUM.*

SERMO III.

1. (1) Qui semetipsos a sæculi curis removerunt, cor suum omni custodia servare debent, ne unquam Dei cogitationem abjiciant, aut memoriam illius mirabilium imaginibus vanarum rerum contaminent; sed ex perpetua ac pura recordatione impressa animis nostris, velut sigillum indelebile, sancta Dei cogitatio circumferenda. Ita enim a nobis comparatur Dei dilectio, quæ simul excitat ad conficienda Dei mandata, et ipsa ab ipsis vicissim servatur, ut perpetua sit ac non intermissa. (2) Quem autem vehemens Christum sequendi cupiditas tenet, is non amplius se ad ullam rem, quæ ad hanc vitam attineat, convertere potest, non ad parentum, aut propinquorum amorem, si Domini præceptis adversetur. Tunc enim locum etiam habet illud : *Si quis venit ad me, et non odit patrem suum et matrem* [37], et cætera : (3) quod etiam docuerunt nos sancti Domini discipuli, Jacobus et Joannes, qui patrem suum Zebedæum, ipsumque, a quo tota illorum victus ratio pendebat, navigium reliquere; Matthæus etiam, qui ab ipso telonio surrexit, Dominumque secutus est, non telonii solum relinquens emolumenta, sed pericula etiam contemnens, quæ a potestatibus tum sibi tum consanguineis suis impendebant, quod vectigalium rationes reliquisset infectas. Paulo denique totus etiam mundus crucifixus erat, et ipse mundo. (4) Cum enim pietatis amor animam occupat, tum ipsa omne pugnarum genus irridet; atque etiamsi omnes illam rei adamatæ causa jaculis figant, delectant magis quam excruciant. (5) Nam si erga eos qui de nobis bene meriti sunt, benevolentiam amoremque naturalem habemus, nullumque non subimus laborem, ut beneficia prius in nos collata remuneremur; quisnam sermo Dei dona pro merito explicare possit? Tanta quidem est horum multitudo, ut etiam numerum effugiant : item magnitudine tanta sunt et talia, ut vel unicum satis ad id sit, ut omnimodam largitori gratiam rependere debeamus. (6) Est autem adeo bonus, ut neque remunerationem exigat, sed sat habet, si solum pro iis quæ tribuit, diligatur. Quæ omnia ubi mente recolo (ut meum affectum prodam), in horrorem quemdam et terrificum stuporem incido, nequando ob animi inconsiderantiam, aut propter meam circa res vanas occupationem a Dei dilectione excidens, Christo sim dedecori ac opprobrio. (7) Probro enim vertet Domino contemptum nostrum diabolus, ac de con-

A *ΠΕΡΙ ΑΓΑΠΗΣ ΤΗΣ ΠΡΟΣ ΘΕΟΝ ΚΑΙ ΤΟΝ ΠΛΗΣΙΟΝ.*

ΛΟΓΟΣ Γ'.

1. Τοὺς τῶν βιωτικῶν ἑαυτοὺς ἀποξενοῦντας μεριμνῶν, πάσῃ φυλακῇ τηρεῖν προσήκει τὴν ἑαυτῶν καρδίαν, ὡς μή ποτε τὴν περὶ Θεοῦ ἔννοιαν ἐκβάλλειν, ἢ τὴν μνήμην τῶν θαυμασίων αὐτοῦ φαντασίαις τῶν ματαίων καταῤῥυπαίνειν· ἀλλὰ διὰ τῆς διηνεκοῦς (8) καὶ καθαρᾶς μνήμης ἐντετυπωμένην ταῖς ψυχαῖς ἡμῶν, ὥσπερ σφραγῖδα ἀνεξάλειπτον, τὴν ὁσίαν τοῦ Θεοῦ ἔννοιάν περιφέρειν. Οὕτως γὰρ προσγίνεται ἡμῖν ἡ πρὸς Θεὸν ἀγάπη, ἅμα τε ἀνεγείρουσα τὴν ἐργασίαν τῶν ἐντολῶν τοῦ Κυρίου, καὶ ὑπ' αὐτῶν πάλιν αὕτη συντηρουμένη πρὸς τὸ διαρκὲς καὶ ἀδιάπτωτον. Ὁ δὲ σφόδρα τῇ ἐπιθυμίᾳ B τοῦ ἀκολουθεῖν τῷ Χριστῷ κατεχόμενος, πρὸς οὐδὲν ἔτι τῆς ζωῆς ταύτης ἐπιστραφῆναι δύναται, οὐ πρὸς γονέων ἢ οἰκείων φίλτρον, ὅταν ἐναντιούμενον ᾖ τοῖς τοῦ Κυρίου προστάγμασι. Τότε γὰρ καιρὸν ἔχει καὶ τὸ, *Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα*, καὶ τὰ λοιπά· καθὰ καὶ οἱ ἅγιοι μαθηταὶ τοῦ Κυρίου ὑπέδειξαν ἡμῖν, Ἰάκωβος μὲν καὶ Ἰωάννης, καταλιπόντες τὸν πατέρα αὐτῶν Ζεβεδδαῖον, καὶ αὐτὸ τὸ πλοῖον, τὴν πᾶσαν ἀφορμὴν τοῦ βίου· Ματθαῖος δὲ ἀπ' αὐτοῦ τοῦ τελωνίου ἀναστὰς, καὶ ἀκολουθήσας τῷ Κυρίῳ, οὐ τὰ κέρδη μόνον τὰ ἐν τῷ τελωνίῳ καταλιπὼν, ἀλλὰ καὶ τῶν κινδύνων ὑπεριδὼν, οἳ ἐπακολουθεῖν ἔμελλον αὐτῷ τε καὶ τοῖς οἰκείοις παρὰ τῆς ἐξουσίας, ἀτελεῖς τοὺς λόγους τοῦ τελωνίου καταλιμπάνοντι· C Παύλῳ δὲ καὶ ὁ σύμπας κόσμος ἐσταύρωτο, καὶ αὐτὸς τῷ κόσμῳ. Ὅταν γὰρ τῆς εὐσεβείας ἔρως τὴν ψυχὴν προκατάσχῃ, ἅπαν αὐτῇ πολέμων καταγέλαστον εἶδος· κἂν πάντες αὐτὴν ὑπὲρ τοῦ ποθουμένου τοξεύωσι, τέρπουσι μᾶλλον ἢ πλήττουσιν. Εἰ γὰρ διὰ τὴν πρὸς τοὺς εὐεργέτας εὔνοιαν καὶ τὸ φίλτρον φυσικῶς αἱρούμεθα, καὶ πάντα πόνον εἰς ἀνταπόδοσιν τῶν προσγενομένων ἡμῖν καλῶν ὑπομένομεν, τίς λόγος ἀξίως ἐφικέσθαι τῶν δωρεῶν τοῦ Θεοῦ δύναται; Αἳ τοσαῦται μέν εἰσι τὸ πλῆθος, ὡς καὶ ἀριθμὸν διαφεύγειν· τηλικαῦται δὲ τὸ μέγεθος καὶ τοιαῦται, ὥστε ἐξαρκεῖν καὶ μίαν ὑπευθύνους ἡμᾶς εἰς πᾶσαν χάριν τῷ δεδωκότι ποιῆσαι. Ὁ δ' οὕτως ἐστὶν ἀγαθὸς, ὥστε οὔτε ἀντίδοσιν ἀπαιτεῖ, ἀλλ' ἀρκεῖται D μόνον ἀγαπώμενος ἐφ' οἷς ἔδωκεν. Ὧν ἁπάντων ὅταν εἰς ἔννοιαν ἔλθω (ἵνα τὸ ἐμὸν πάθος ἐξείπω), εἰς φρίκην τινὰ καὶ ἔκστασιν φοβερὰν καταπίπτω, μή ποτε ἐξ ἀπροσεξίας τοῦ νοῦ, ἢ τῆς πρὸς τὰ μάταια ἀσχολίας, τῆς ἀγάπης τοῦ Θεοῦ ἐκπεσὼν, ὄνειδος γένωμαι τῷ Χριστῷ. Εἰς ὀνειδισμὸν γὰρ προσοίσει τῷ Κυρίῳ τὴν ἡμετέραν καταφρόνησιν ὁ διάβολος, καὶ ἐγκαυχήσεται τῇ ἀπειθείᾳ ἡμῶν· ὃς γε

[37] Luc. XIV, 26

(1) Ex *Regulis fusius tractatis*, 342.
(2) Ibid., 349.
(3) Ibid., 349.
(4) Ex hom. *De S. Barlaam*, 139.
(5) Ex *Regulis fusius tractatis*, 338.

(6) Ibid., 339.
(7) Ibid.
(8) *Διὰ τῆς διηνεκοῦς*. Præpositio addita ex codice Regio.

οὔτε κτίσας ἡμᾶς, οὔτε ἀποθανὼν ὑπὲρ ἡμῶν, ἀλλ' ὅμως ἔσχεν ἡμᾶς ἀκολουθοῦντας αὐτῷ ἐν τῇ ἀπειθείᾳ, καὶ ἐν τῇ ἀμελείᾳ τῶν ἐντολῶν τοῦ Θεοῦ. Τοῦτο τὸ ὄνειδος, τὸ κατὰ τοῦ Κυρίου, βαρύτερόν μοι τῶν ἐν τῇ γεέννῃ κολάσεων φαίνεται, τῷ ἐχθρῷ τοῦ Χριστοῦ ὕλην γενέσθαι καυχήματος καὶ ἀφορμὴν ἐπάρσεως κατὰ τοῦ ὑπὲρ ἡμων ἀποθανόντος καὶ ἀναστάντος.

2. Καὶ γὰρ Κύριον τὸν Θεὸν ἀγαπᾷν δεῖ πάσῃ τῇ ἐνυπαρχούσῃ ἡμῖν πρὸς τὸ ἀγαπᾷν δυνάμει, καὶ ἀγαπᾷν καὶ τὸν πλησίον, καὶ ἀγαπᾷν καὶ τοὺς ἐχθροὺς, ἵνα ὦμεν τέλειοι, μιμούμενοι τὴν χρηστότητα τοῦ ἐν οὐρανοῖς Πατρὸς, τὸν ἥλιον αὐτοῦ ἀνατέλλοντος ἐπὶ πονηροὺς καὶ ἀγαθούς· εἰς ἄλλα δὲ τὴν τοῦ ἀγαπᾷν δύναμιν παραναλίσκειν οὐ συγκεχώρηται. Τὸ γὰρ τῆς ἀγάπης καλὸν, εἰ μὲν ἐν τῷ ὀνόματι τῆς ἀγάπης περιγράφεται μόνῳ, καταγέλαστόν ἐστι, τὸν δεῖνα καὶ τὸν δεῖνα ἐκλεγομένους (1), τούτοις μόνοις μεταδιδόναι τοῦ ἀγαπᾷν, ἑτέρους δὲ μυρίους ἀποκλείειν τῆς πρὸς τὸ καλὸν κοινωνίας. Εἰ δὲ ἡ πρὸς τοὺς βλαβεροὺς συμφωνία ἐν ἀγάπης προσχήματι τὰ τῶν πολεμίων τοὺς προσδεχομένους ἐργάζεται, σκοπεῖν ὀφείλομεν οἷς ἑαυτοὺς ἀναμίγνυμεν. Εἰ γὰρ ὁ ἀγαπητὸς Υἱὸς τοῦ Θεοῦ μισεῖται, τί μέγα εἰ ἡμεῖς τοῦ μίσους ἀξιούμεθα παρὰ ἀνθρώποις, οἷς περισσεύει τὸ κτῆμα τοῦ μίσους; Πλὴν οὔτε οἰκοδομὴν συστῆναι, συνδέσμων ὑφαιρεθέντων, δυνατὸν, οὔτε Ἐκκλησίαν εἰς ὕψος αὐξηθῆναι, μὴ συνδεδεμένην τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ τῆς ἀγάπης. Καὶ γὰρ οὐδὲν οὕτως ἴδιον τῆς φύσεως ἡμῶν, ὡς τὸ κοινωνεῖν ἀλλήλοις, καὶ χρῄζειν ἀλλήλων, καὶ ἀγαπᾷν τὸ ὁμόφυλον. Πλέον γὰρ ἡμεῖς τῆς ἑνὸς ἑκάστου τῶν ἀδελφῶν ἐπικουρίας δεόμεθα, ἢ ὅσον ἡ ἑτέρα τῶν χειρῶν τῆς ἑτέρας. Ὅταν γὰρ πρὸς αὐτὰ ἀπίδω τὰ μέλη ἡμῶν, ὅτι ἓν οὐδὲ ἑαυτῷ πρὸς ἐνέργειαν αὔταρκες, πῶς ἐμαυτὸν λογίσομαι ἐξαρκεῖν ἑαυτῷ πρὸς τὰ τοῦ βίου πράγματα; Οὔτε γὰρ ἂν ποὺς ἀσφαλῶς βαδίσειε, μὴ συνυποστηρίζοντος τοῦ ἑτέρου· οὔτε ὀφθαλμὸς ὑγιῶς ἴδοι, μὴ κοινωνὸν ἔχων τὸν ἕτερον, καὶ μετ' αὐτοῦ συμφώνως προσβάλλων τοῖς ὁρατοῖς. Καὶ ἀκοὴ ἀκριβεστέρα, ἡ δι' ἀμφοῖν τοῖν πόροιν τὴν φωνὴν δεχομένη· καὶ ἀντίληψις κραταιοτέρα τῇ κοινωνίᾳ τῶν δακτύλων. Καὶ ἁπαξαπλῶς, οὐδὲν οὔτε τῶν ἐκ φύσεως, οὔτε τῶν ἐκ προαιρέσεως κατορθουμένων ὁρῶ, ἄνευ τῆς τῶν ὁμοφύλων συμπνοίας ἐπιτελούμενον· ὅπου γε καὶ αὐτὴ ἡ προσευχὴ, μὴ ἔχουσα τοὺς συμφωνοῦντας, ἀδρανεστέρα ἐστὶ πολλῷ ἑαυτῆς. Νουθετείτω σε τῶν νυκτερίδων τὸ φιλάλληλον, αἳ ὥσπερ ὁρμαθὸς ἀλλήλων ἔχονται· καὶ μὴ τὸ ἀπεσχισμένον καὶ ἰδιάζον

A tumacia et de defectione nostra gloriabitur : qui cum nec creaverit nos, nec pro nobis subierit mortem, tamen suæ contumaciæ, suæque in observandis Dei mandatis negligentiæ socios nos ac comites habuerit. Illud quod Domino inferetur probrum, et illa adversarii jactantia mihi suppliciis gehennæ gravior videtur, quod Christi inimico præbeamus materiam, **484** adversus eum, qui pro nobis mortuus est et resurrexit, jactandi se et efferendi.

2. (2) Nam Dominum Deum oportet diligere ea tota virtute, quæ nobis inest ad diligendum : diligendus insuper proximus : sunt quoque et inimici diligendi, ut simus perfecti, inimitantes benignitatem Patris nostri, qui in cœlis est : qui solem suum B oriri facit super bonos et malos [38]. Porro nefas est in alia perperam consumere vim diligendi. (3) Si charitatis bonum solo charitatis nomine circumscribitur, ridiculum est hunc et illum eligentes, iis solis charitatem impertire, alios vero innumerabiles ab illius boni communicatione excludere. Sed si cum perniciosis hominibus consensio iis, a quibus suscipitur, sub pacis specie damnum infert hostile ; considerare debemus quinam sint ii quibus nos admiscemus. (4) Si enim dilectus Dei Filius odio habetur, quid mirum si nos hominibus odiosi sumus [39], in quibus profecto odium exsuperat ? Cæterum neque ædificium consistere ablatis colligationibus potest, neque Ecclesia C adaugeri, nisi pacis amorisque vinculo fuerit colligata. Etenim nihil est naturæ nostræ adeo proprium, ut mutuo inter nos communicare, mutuoque indigere, atque ejusdem generis homines adamare. (5) Magis enim nos uniuscujusque fratrum auxilio indigemus, quam manus altera alterius ope. (6) Cum enim hæc ipsa nostra membra considero, quorum nullum sibi ipsi ad agendum satis est, quomodo mihi ipse videbor ad vitæ negotia sufficere? Neque enim pes tuto gradiatur, non suffulciente altero : neque oculus recte videat, non habens alterum consortem, et cum eo socialiter his quæ videntur, intentus. Auditus accuratior, qui per utrosque meatus vocem suscipit, et fortior apprehensio digitorum conjunctione. Et in D summa, nihil neque eorum quæ natura, neque eorum quæ libera voluntate perficiuntur, citra conspirationem eorum quæ ejusdem generis sunt, perfici video ; cum et preces ipsæ, si desint qui conspirent, longe sint seipsis debiliores. (7) Admoneat te mutuus vespertilionum amor qui contextim inter se cohærent : neque quod est separatum ac singulare, præstantius esse existima, eo

[38] Matth. v, 43-45. [39] Joan. xv, 18.

(1) Ἐκλεγομένους. Sic uterque codex. Editi ἐκλελεγμένους.
(2) Ex comment. *in Isa.*, 410.
(3) Ex epist. CCL, 385.

(4) Uterque codex indicat epist.
(5) Ex epist. XCVII, 190.
(6) Ibid.
(7) Ex hom. VIII *in Hexaem.*, 77

quod societatem cum unitate admittit. (1) Nihil A enim nos ab invicem separat, nisi animi proposito dissociemur. Unus nobis est Dominus, una fides [40], spes eadem. Sive caput vos ipsos existimatis, non potest caput dicere pedibus : Non est mihi opus vobis [41]. Sive vos in alio ordine reponitis, nobis in eodem corpore constitutis non potestis dicere : Vestri non indigemus. Nam et manus altera alterius eget, et pes alter alterum firmat, et oculi per concordiam clare ac perspicue vident. (2) Non enim vos illa cogitatio detineat : Extra multorum malum sumus, quamobrem quid nobis opus est cum aliis communio? Dominus enim insulas quidem a continente per mare divisit, insularum vero incolas per charitatem cum incolis continentis junxit. (3) Hoc enim potissimum **485** amicus ab B adulatore differt, quod hic quidem ad delectationem loquitur, ille vero ne molesta quidem prætermittit. (4) Scis quid a te præstandum sit proximo? quod tibi ipsi ab altero vis fieri. Nosti quid sit malum? quod ipse nolis ab alio pati. (5) Cum enim ex Deo audiverim : *In hoc cognoscent omnes, quod discipuli mei estis, si diligatis invicem* [42], cumque extremum munus discipulis suis, suam in carne dispensationem absoluturus, pacem suam Dominus reliquerit, dicens : *Pacem relinquo vobis, pacem meam do vobis* [43], dicere non possum, me sine mutua charitate, et nisi, quantum in me est, pacem cum omnibus habeam, dignum posse Jesu Christi servum vocari C

3. (6) Eodem igitur modo communem et æqualem omnibus inter se charitatem esse convenit, quo homo naturaliter erga singula sua membra affectus est, qui totum suum corpus pariter sanum vult, quando et uniuscujusque membri dolor æqualem corpori molestiam exhibet. (7) Qui enim in conventu unum præ aliis diligit, seipsum imperfectæ charitatis insimulat. Quare ex conventu contentio indecora et singularis amor sunt æqualiter amandandi. Oritur enim ex contentione inimicitia : ab amicitia vero particulari et sodalitate suspiciones et invidiæ nascuntur. Cum enim æqualitas aufertur, id ubique eis qui ea spoliantur, invidiæ et odii origo et causa est. Quemadmodum D igitur Deus optimus ex æquo impertit omnibus lucem, solem suum super justos ac injustos exoriri curans [44] : ita et Dei imitatores communem et parem charitatis radium in omnes effundant. Ubi enim deficit charitas, illic utique ejus loco succedit odium. Quod si, ut Joannes ait, *Deus charitas est* [45], prorsus necesse est diabolum odium esse. Sicut ergo qui habet charitatem, Deum

A τοῦ κοινωνικοῦ καὶ ἡνωμένου ἡγοῦ προτιμότερον. Οὐδὲν γὰρ ἡμᾶς χωρίζει ἀπ' ἀλλήλων, ἐὰν μὴ τῇ προαιρέσει τὸν χωρισμὸν ὑποστῶμεν. Εἷς ἡμῶν Κύριος, μία πίστις, ἐλπὶς ἡ αὐτή. Εἴτε οὖν κεφαλὴν ἑαυτοὺς λογίζεσθε, οὐ δύναται ἡ κεφαλὴ εἰπεῖν τοῖς ποσί· Χρείαν ὑμῶν οὐκ ἔχω· εἴτε καὶ ἐν ἄλλῃ τάξει ἑαυτοὺς τάσσετε, οὐ δύνασθε τοῖς ἐν τῷ αὐτῷ σώματι κατατεταγμένοις λέγειν (8) τὸ, Χρείαν ὑμῶν οὐκ ἔχομεν. Αἵ τε γὰρ χεῖρες ἀλλήλων δέονται, καὶ οἱ πόδες ἀλλήλους στηρίζουσι, καὶ οἱ ὀφθαλμοὶ ἐν τῇ συμφωνίᾳ τὸ ἐναργὲς τῆς καταλήψεως ἔχουσι. Μὴ γὰρ ἐκεῖνος ὑμᾶς ὁ λογισμὸς κατεχέτω, ὅτι Ἡμεῖς ἔξω τοῦ πάθους ἐσμὲν τῶν πολλῶν, καὶ τίς ἡμῖν χρεία τῆς πρὸς αὐτοὺς κοινωνίας; Ὁ γὰρ Κύριος ἡμῶν τὰς μὲν νήσους τῆς ἠπείρου διὰ θαλάσσης διέστησε, τοὺς δὲ νησιώτας τοῖς ἠπειρώταις διὰ B τῆς ἀγάπης συνέδησε. Καὶ τούτῳ μάλιστα φίλος κόλακος διενήνοχε, τῷ τὸν μὲν πρὸς ἡδονὴν ὁμιλεῖν, τὸν δὲ μηδὲ τῶν λυπούντων ἀπέχεσθαι. Οἶδας δὲ τί ποιήσεις τῷ πλησίον; ὃ σεαυτῷ βούλει παρ' ἑτέρου γενέσθαι. Οἶδας ὅ τί ποτέ ἐστι τὸ κακόν; ὃ οὐκ ἂν αὐτὸς παθεῖν ἕλοιο παρ' ἑτέρου. Ἐγὼ γὰρ ἀκούσας παρὰ τοῦ Θεοῦ, ὅτι *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους*· καὶ ὅτι ἐξιτήριον δῶρον τοῖς ἑαυτοῦ μαθηταῖς, μέλλων συμπληροῦν τὴν ἐν σαρκὶ οἰκονομίαν, τὴν ἑαυτοῦ εἰρήνην κατέλιπεν εἰπών· *Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν*· οὐ δύναμαι εἰπεῖν, ὅτι ἄνευ τῆς ἐν ἀλλήλοις ἀγάπης καὶ ἄνευ τοῦ, τὸ εἰς ἐμὲ ἧκον, εἰρηνεύειν πρὸς πάντας, δύναμαι ἄξιος κληθῆναι δοῦλος Ἰησοῦ Χριστοῦ. C

3. Οὕτω τοίνυν προσήκει κοινὴν καὶ ἴσην πᾶσι πρὸς ἀλλήλους τὴν ἀγάπην εἶναι, ὡς φυσικῶς πρὸς τὰ καθ' ἕκαστον ἑαυτοῦ μέλη ὁ ἄνθρωπος ἔχει, ἐξ ἴσης θέλων παντὶ τῷ σώματι τὴν ὑγίειαν, διότι καὶ ὁ πόνος ἑκάστου μέλους ἴσην παρέχει τῷ σώματι τὴν ἀηδίαν. Ὁ γὰρ ἐν συνοδίᾳ τὸν ἕνα ὑπὲρ τοὺς ἄλλους ἀγαπῶν, κατηγορεῖ ἑαυτοῦ μὴ ἔχων τὴν τελείαν ἀγάπην. Ὁμοίως οὖν ἀπόβλητός ἐστιν ἀπὸ συνοδίας ἥ τε ἀπρεπὴς μάχη, καὶ ἡ μερικὴ διάθεσις. Ἀπὸ μὲν γὰρ τῆς μάχης ἔχθρα γίνεται, ἀπὸ δὲ τῆς μερικῆς φιλίας καὶ ἑταιρείας ὑποψίαι καὶ φθόνοι γίνονται· πανταχοῦ γὰρ ἡ τοῦ ἴσου στέρησις ἀρχὴ καὶ ὑπόθεσις φθόνου καὶ δυσμενείας τοῖς ἐλαττουμένοις γίνεται. Ὥσπερ οὖν ὁ ἀγαθὸς Θεὸς κοινῇ D δίδωσι πᾶσι τὴν τοῦ φωτὸς μετουσίαν, ἀνατέλλων τὸν ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους, οὕτως καὶ οἱ μιμηταὶ τοῦ Θεοῦ κοινήν τε καὶ ὁμότιμον τὴν τῆς ἀγάπης ἀκτῖνα ἐπὶ πάντας φερέτωσαν. Ὅπου γὰρ ἐλλείπει ἡ ἀγάπη, ἐκεῖ πάντως ἀντεισέρχεται τὸ μῖσος. Εἰ δὲ, καθώς φησιν Ἰωάννης, *Ὁ Θεὸς ἀγάπη ἐστὶν*, ἀνάγκη πᾶσα τὸ μῖσος εἶναι τὸν διάβολον. Ὥσπερ οὖν ὁ τὴν ἀγάπην ἔχων, τὸν Θεὸν ἔχει· οὐ-

[40] Ephes. IV, 5. [41] I Cor. XII, 15. [42] Joan. XIII, 35. [43] Joan. XIV, 27. [44] Matth. V, 45. [45] I Joan. IV, 16.

(1) Ex epist. CCIII, 301.
(2) Ibid.
(3) Ex epist. XX, 98.
(4) Ex hom. IX *in Hexaem.*, 83.
(5) Ex epist. CCIII, 299.
(6) Ex serm. ascetico, 325.
(7) Ibid.
(8) *Λέγειν*. Regius codex εἰπεῖν χρείαν.

τως ὁ τὸ μῖσος ἔχων, τὸν διάβολον ἐν ἑαυτῷ τρέφει. A Διὰ τοῦτο προσήκει τὴν μὲν ἀγάπην ἴσην καὶ ὁμοίαν παρὰ πάντων τοῖς πᾶσιν εἶναι, τὴν δὲ τιμὴν κατὰ τὸ πρέπον ἑκάστῳ γίνεσθαι. Καὶ ὥσπερ ἐν ἡμῖν αὐτοῖς, ὁ μὲν πόνος ἑκάστου τῶν ἀῤῥωστούντων μελῶν ἴσως ἅπτεται τοῦ παντὸς σώματος, ἔστι δὲ ὅμως ἕτερα ἑτέρων τιμιώτερα μέλη (οὐ γὰρ ὁμοίως περὶ τὸν ὀφθαλμὸν καὶ (1) περὶ τὸν τοῦ ποδὸς δάκτυλον ἔχομεν, κἂν ὁ πόνος τὸ ἴσον ἔχῃ)· οὕτως τὴν μὲν συμπαθῆ διάθεσιν, καὶ τὴν ἀγαπητικὴν σχέσιν ἴσην ἐπὶ πάντων τῶν ἐν τῇ συνοδίᾳ ζώντων εἶναι παρ' ἑκάστου προσήκει· ἡ δὲ τιμὴ, κατὰ τὸ εὔλογον ἐπὶ τῶν χρησιμωτέρων τὸ πλέον ἕξει. Ἐπὶ γὰρ τῶν πνευματικῶν ἀλλήλοις συναρμοζομένων, οὐδὲ ἡ (2) σωματικὴ συγγένεια πλέον τι κατὰ τὴν ἀγάπην ἕξει· οὐδὲ εἴ τις ἀδελφός τινος κατὰ σάρκα εἴη, ἢ υἱὸς, ἢ B θυγάτηρ, ἐν πλείονι διαθέσει πρὸς τὸν τῷ γένει προσήκοντα παρὰ τοὺς ἄλλους γενήσεται ἡ κοινωνία τοῦ αἵματος. Ὁ γὰρ ἐν τούτοις τῇ φύσει ἀκολουθῶν, κατηγορεῖ ἑαυτοῦ, ὅτι οὔπω τελείως ἀπέστη τῆς φύσεως, ἀλλ' ἔτι ὑπὸ σαρκὸς διοικεῖται. Τῷ δὲ Θεῷ ἡμῶν δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ.

ΛΟΓΟΣ Δ'.

1. Εἰ θαυμάζεις (3) τὰ χρήματα, ἄνθρωπε, διὰ τὴν ἀπ' αὐτῶν τιμὴν, σκόπει πόσον ἐστὶ πρὸς δόξαν λυσιτελέστερον, μυρίων παίδων πατέρα προσαγορεύεσθαι, ἢ μυρίους στατῆρας ἔχειν ἐν βαλαντίῳ. Τὰ μὲν γὰρ χρήματα καταλείψεις ἐνταῦθα, καὶ μὴ C βουλόμενος· τὴν δὲ ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις φιλοτιμίαν ἀποκομίσεις πρὸς τὸν Δεσπότην, ὅταν δῆμος ὅλος ἐπὶ τοῦ κοινοῦ Κριτοῦ περιστάντες (4), τροφέα καὶ εὐεργέτην καὶ πάντα τὰ τῆς φιλανθρωπίας ἀποκαλῶσιν ὀνόματα. Καὶ ἐν μὲν πανηγύρει οὐδεὶς λυπεῖται προέμενος τὰ παρόντα, καὶ ἀντικτώμενος τὰ ἐνδέοντα· ἀλλ' ὅσῳπερ ἂν ἐλάττονος τιμῆς τὰ πολύτιμα πρίηται, τοσούτῳ χαίρει, ὡς λαμπροῦ αὐτῷ τοῦ συναλλάγματος γενομένου. Σὺ δὲ λυπῇ χρυσίον, καὶ ἀργύριον, καὶ κτήματα διδοὺς, τουτέστι λίθους καὶ χοῦν παρεχόμενος, ἵνα κτήσῃ τὴν μακαρίαν ζωήν; Τί δὲ καὶ χρήσῃ τῷ πλούτῳ; ἐσθῆτι πολυτιμήτῳ περιβαλεῖς σεαυτόν; Οὐκοῦν δύο μέν σοι πηχῶν χιτωνίσκος ἀρκέσει, ἑνὸς δὲ ἱματίου περιβολὴ πᾶσαν τῶν ἐνδυμάτων ἐκπληρώσει τὴν χρείαν; D Ἀλλ' εἰς τροφὴν καταχρήσῃ τῷ πλούτῳ; εἷς ἄρτος ἱκανὸς ἀποπληρῶσαι γαστέρα. Τί οὖν λυπῇ; ὡς τίνος ὑστερούμενος; Δόξης τῆς ἀπὸ τοῦ πλούτου; ἀλλ' ἐὰν μὴ χαμαὶ ζητήσῃς τὴν δόξαν, εὑρήσεις τὴν ἀληθινὴν καὶ λαμπρὰν, προάγουσάν σε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Σκορπιζόμενος γὰρ ὁ πλοῦτος, καθ' ὃν ὁ Κύριος ὑποτίθεται τρόπον, πέφυκε παρα-

habet; sic qui odium habet, is diabolum in seipso nutrit. Quamobrem ut æqualis similisque charitas quibusvis ab omnibus est exhibenda: ita honor, uti addecet, unicuique est tribuendus. (5) Et ut in nobismetipsis, dolor uniuscujusque ægrotantis membri similiter totum corpus attingit, et tamen sunt membra alia aliis præstantiora (non enim pariter de oculo ac de pedis digito afficimur, etiamsi dolor æqualis sit): ita unumquemque in omnes qui in conventu vixerint, commiserationem quidem atque amorem parem ostendere operæ pretium est; sed tamen, ut decet, iis qui utiliores sunt, major deferetur honor. Nam in his qui spirituali animorum conjunctione inter se sunt copulati, non futura est major dilectio ob corporalem consanguinitatem; neque si quis quidem germanus alicujus frater sit, filiusve, aut filia, majorem erga consanguineum, quam erga alios, amorem afferet sanguinis conjunctio. Qui enim in his naturam sequitur, is nondum a natura perfecte recessisse convincitur, sed etiamnum a carne gubernari. Deo autem nostro sit gloria in sæcula sæculorum. Amen.

466 *DE ELEEMOSYNA.*

SERMO IV.

1. (6) Si opes miraris, o homo, ob provenientem ex eis honorem, considera quanto sit ad gloriam conducibilius, innumerorum filiorum patrem appellari, quam innumeros in marsupio stateres habere. Nam pecunias quidem relicturus hic es vel invitus; contra, partam ob bona opera gloriam exportabis ad Dominum, cum scilicet circumstans coram communi Judice populus omnis, nutritorem et beneficum largitorem ac omnibus humanitatis appellabit nominibus. (7) Etenim in nundinis quidem nemo dolet quod profundat quæ adsunt, et vicissim quæ desunt comparet; contra, quo viliori pretio res pretiosissimas emerit, hoc magis gaudet, ut qui egregie negotiatus sit. Tu vero doles, quod aurum et argentum et opes tradas, hoc est, lapidem ac pulverem præbeas, ut beatam vitam acquiras. Sed cui tibi usui aurum? pretiosa te veste amicies? Annon duorum cubitorum tunica satis tibi fuerit, et unius pallii amictus omnem indumentorum necessitatem explebit? Uterisne divitiis ad lautius vivendum? Verum panis unus exsatiando ventri sufficit. Quid igitur tristitia afficeris? Cujusnam rei fecisti jacturam? An gloriæ quæ ex divitiis oritur? At si humi gloriam non quæsieris, veram illam ac splendidam, quæ te in regnum cœlorum deducet, invenies. (8) Dispersæ enim secundum Domini monitum divitiæ solent permanere,

(1) *Περὶ τὸν ὀφθαλμὸν καί.* Hæc addita ex contextu et codice Regio.

(2) *Οὐδὲ ἡ.* Idem codex οὐδὲν ἡ.

(3) *Εἰ θαυμάζεις.* Legitur τί θαυμάζεις, *quid admiraris?* in duobus codicibus Regiis, quibuscum has conciones contulimus. Sunt hi codices 1910 et 1992.

(4) *Περιστάντες.* Legitur in contextu περιστάντες σε.

(5) Ex serm. ascetico, 325.

(6) Ex hom. in illud Lucæ, *Destruam*, 43.

(7) Ex hom. *in Divites*, 52.

(8) Ibid., 53.

clausæ autem alienari. Si custodies, non habebis; si dispergas, non amittes. *Dispersit* enim, *dedit pauperibus, justitia ejus manet in sæculum sæculi* [46]. (1) Quare debent qui prudenter judicant, usum divitiarum ad dispensationem concessum existimare, non ad perfruendum: et his depositis lætari, ut ab alienis remoti, non ægre ferre, ut suis privati. Quid igitur affictare? quid animo discruciare cum audis: *Vende quæ habes, et da pauperibus* [47]? Etenim si te sequerentur in futurum sæculum, ne sic quidem essent studiosius exquirenda, utpote quæ a præmiis illic repositis obscurentur: sin autem necesse est ea hic manere, cur non ex his divenditis lucrum exportamus? (2) Quisquis enim male suis rebus utitur, miserabilis est, non aliter quam qui accepto ad hostes ulciscendos gladio semetipsum libens sauciat. Qui autem bene et secundum rectam rationem res suas tractat, ac dispensator est bonorum a Deo datorum, nec ea, ut ipse perfruatur, congerit, laude et amore dignus est ob dilectionem in fratres ac liberalem et beneficam indolem.

2. (3) Videte quemadmodum multitudo peccatorum nostrorum et anni tempestates a sua ipsarum natura abduxerit, et temporum formas transmutaverit in alienas temperaturas. (4) Omnia enim insolito modo terminos creationis **487** transgredientia, ac male ad nostram conspirantia perniciem, a victu et a vita mortales abigunt. Quæ ergo causa est inordinationis hujus atque confusionis? (5) Nimirum quia cum acceperimus, aliis non impertimus, laudamus beneficentiam, et eadem privamus egenos. Liberi ex servis facti, conservorum non miseremur; esurientes nutrimur, et egentem negligimus. Divitem datorem ac promum habentes parci effecti sumus, nihilque cum pauperibus communicamus. Oves nostræ abundant fetibus, et major nudorum numerus quam ovium. Horrea ob repositorum frugum copiam in angustum coguntur, nec tamen hominis, qui angustiis urgetur, commiserescimus. (6) Pauper es? Alter est te pauperior. Sunt tibi cibaria dierum decem; illi, unius. Quod tibi superest, ac redundat, id tu ceu bonus ac gratus ex æquo cum egente partiaris. Ne dubites ex modico dare: ne commodum tuum periculo publico anteponas. Quod si ad unum panem redactus cibatus sit, stetque pro foribus mendicus, promito ex penu illum unum, quem imponens manibus, et intuens in cœlum, miserabilem hanc simul et gratam vocem

A μένειν· συνεχόμενος δὲ, ἀλλοτριοῦσθαι. Ἐὰν φυλάσσῃς, οὐχ ἕξεις (7)· ἐὰν σκορπίζῃς, οὐκ ἀπολέσεις. *Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.* Ὥστε οἰκονομικὴν τοῦ πλούτου τὴν χρῆσιν, ἀλλ' οὐκ ἀπολαυστικὴν, τοὺς σωφρόνως λογιζομένους νομίζειν προσῆκε, καὶ ἀποτιθεμένους χαίρειν, ὡς ἀλλοτρίων χωριζομένους, ἀλλ' οὐχὶ δυσχεραίνειν, ὡς τῶν οἰκείων ἐκπίπτοντας. Τί οὖν λυπῇ; τί καταπενθεῖς τῇ ψυχῇ, ἀκούων· *Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς*; Εἰ μὲν γὰρ ἠκολούθει σοι πρὸς τὸ μέλλον, οὐδ' οὕτως ἂν ἦν περισπούδαστα, ὑπὸ τῶν ἐκεῖ τιμίων ἐπισκοτούμενα· εἰ δὲ ἀνάγκη μένειν ἐνταῦθα, τί μὴ πωλήσαντες, τὸ ἀπ' αὐτῶν κέρδος ἀπενεγκώμεθα; Ὁ μὲν γὰρ κακῶς τοῖς οὖσι κεχρημένος, B ἐλεεινὸς, ὡς ὁ τῷ ξίφει ὃ ἔλαβε πρὸς τὴν τῶν πολεμίων ἄμυναν, τούτῳ ἑκουσίως ἑαυτὸν κατατιτρώσκων· ὁ δὲ καλῶς καὶ κατὰ τὸν ὀρθὸν λόγον τὰ προσόντα μεταχειρίζων, καὶ οἰκονόμος τῶν παρὰ τοῦ Θεοῦ δεδομένων γινόμενος, μὴ οὐχὶ πρὸς ἰδίαν ἀπόλαυσιν θησαυρίζων, ἐπαινεῖσθαι καὶ ἀγαπᾶσθαι δίκαιός ἐστι, διὰ τὸ φιλάδελφον καὶ κοινωνικὸν τοῦ τρόπου.

2. Ὁρᾶτε, ὡς τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τὰς ὥρας τῶν οἰκείων ἐξήγαγε φύσεων, καὶ τῶν καιρῶν τὰς ἰδέας εἰς ἀλλοκότους κράσεις ἀπήμειψε. Πάντα γὰρ καινῶς (8) ὑπερβάντα τοὺς ὅρους τῆς κτίσεως, καὶ κακῶς εἰς τὴν καθ' ἡμῶν συμφωνήσαντα βλάβην, τοῦ βίου καὶ τῆς ζωῆς τοὺς ἀνθρώπους ἐλαύνουσι. C Τίς οὖν τῆς ἀταξίας καὶ τῆς συγχύσεως ἡ αἰτία; Ὅτι λαμβάνοντες ἡμεῖς, ἄλλοις οὐ παρέχομεν· τὴν εὐεργεσίαν ἐπαινοῦμεν, καὶ ταύτης ἀποστεροῦμεν τοὺς δεομένους. Δοῦλοι ὄντες ἐλευθερούμεθα, καὶ ὁμοδούλους οὐκ οἰκτείρομεν· πεινῶντες τρεφόμεθα, καὶ τὸν ἐνδεῆ παρατρέχομεν. Ἀνενδεῆ χορηγὸν καὶ ταμίαν ἔχοντες, φειδωλοὶ ἐγενόμεθα καὶ ἀκοινώνητοι πρὸς τοὺς πένητας· πολύτοκα ἡμῶν τὰ πρόβατα, καὶ οἱ γυμνοὶ τῶν προβάτων πλείους. Αἱ ἀποθῆκαι τῷ πλήθει τῶν ἀποκειμένων στενοῦνται, καὶ τὸν ἐστενωμένον οὐκ ἐλεοῦμεν. Πένης εἶ; ἀλλ' ἄλλον ἔχεις πάντως πενέστερον. Σοὶ δέκα ἡμερῶν τὰ σιτία, ἐκείνῳ μιᾶς. Ὡς καλὸς καὶ εὐγνώμων (9), τὸ σὸν περιττὸν ἐπανίσωσον πρὸς τὸν ἐνδεῆ. Μὴ ὀκνήσῃς ἐκ τοῦ ὀλίγου δοῦναι· μὴ προ- D τιμήσῃς τὸ σὸν συμφέρον ἐκ τοῦ κοινοῦ κινδύνου. Κἂν εἰς ἕνα ἄρτον περιστῇ ἡ τροφὴ, ἐπιστῇ δὲ (10) ταῖς θύραις ὁ ζητῶν, προκόμισον ἐκ τοῦ ταμιείου τὸν ἕνα, καὶ ἐπιθεὶς ταῖς χερσὶ, πρὸς οὐρανὸν ἀνατείνας, εἰπὲ λόγον ἐλεεινὸν ὁμοῦ καὶ εὐγνώμονα· Εἷς ἄρτος ὃν ὁρᾷς, Κύριε, καὶ ὁ κίνδυνος προφανὴς, ἀλλ' ἐγὼ

[46] Psal. CXI, 9. [47] Matth. XIX, 21.

(1) Ex hom. *in divites*, 54.
(2) Ex hom. *de Invidia*, 96.
(3) Ex hom. *in Famem*, 63.
(4) Ibid., 63.
(5) Ibid., 64.
(6) Ibid., 68.
(7) *Οὐχ ἕξεις*. Uterque codex οὐκ ἔχεις.
(8) *Καινῶς*. Sic legitur in homilia unde hæc desumpta sunt. At duo nostri codices habent κοινῶς, *communiter*, unde arbitror factum esse κοινοὺς in editis.
(9) *Καλὸς καὶ εὐγνώμων*. Sic in homil. Basilii. Regiorum codicum alter καλὸς εὐγνώμων. Editi καλῶς εὐγνώμων. Mox editi ἐπανάσωσον. Mss. ut in textu.
(10) *Ἐπιστῇ δέ*. Sic codices mss. Editi ἐπιστῇ καί.

τὴν σὴν ἐντολὴν ἐμοῦ προτίθημι, καὶ ἐκ τοῦ ὀλίγου δίδωμι τῷ λιμώττοντι ἀδελφῷ· δὸς δὴ καὶ σὺ τῷ κινδυνεύοντι δούλῳ. Οἶδά σου τὴν ἀγαθότητα, θαῤῥῶ καὶ τῇ δυνάμει· οὐχ ὑπερτίθεσαι εἰς χρόνον τὰς χάριτας, ἀλλὰ σκεδαννύεις, ὅταν ἐθέλῃς, τὰς δωρεάς. Κἂν οὕτως εἴπῃς καὶ πράξῃς, ὃν δίδως ἐκ τῆς στενώσεως ἄρτον, σπέρμα γίνεται γεωργίας, καὶ πολύχουν ἀπογεννᾷ τὸν καρπόν.

3. Σὺ δὲ λέγεις μὲν ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτὸν, τὸ δὲ παρὰ τοῦ Κυρίου λεχθὲν ἐλέγχει σε τῆς ἀληθινῆς ἀγάπης ἀπολειπόμενον. Εἰ γὰρ τοσοῦτον ἀπέδωκας ἑκάστῳ ὅσον καὶ σεαυτῷ, πόθεν σοι ἡ τῶν χρημάτων τοσαύτη περιουσία; Ὁ γὰρ ἀγαπῶν τὸν πλησίον ὡς ἑαυτὸν, οὐδὲν περισσότερον κέκτηται τοῦ πλησίον. Ἐπεὶ δὲ κέκτησαι σὺ, φαίνῃ δηλῶν τὴν οἰκείαν ἀπόλαυσιν προτιμοτέραν τῆς τῶν πολλῶν παραμυθίας ποιούμενος· ὅσον γὰρ πλεονάζεις τῷ πλούτῳ, τοσοῦτον ἐλλείπεις τῇ ἀγάπῃ. Εἰ γὰρ ἠγαπήκεις σου τὸν πλησίον, πάλαι ἂν ἐμελέτησας τῶν χρημάτων τὴν ἀλλοτρίωσιν· νυνὶ δὲ προσπέφυκέ σοι τὰ χρήματα πλέον ἢ τὰ μέλη τοῦ σώματος, καὶ λυπεῖ σε αὐτῶν ὁ χωρισμὸς, ὡς ἀκρωτηριασμὸς (1) τῶν καιρίων. Εἰ γὰρ ἠμφίεσας γυμνὸν, εἰ ἔδωκας πεινῶντι τὸν ἄρτον σου, εἰ ἡ θύρα σου ἀνέῳκτο παντὶ ξένῳ, εἰ ἐγένου πατὴρ ὀρφανῶν, εἰ παντὶ συνέπασχες ἀδυνάτῳ· ὑπὲρ ποίων ἂν ἐλυπήθης χρημάτων, πάλαι μελετήσας αὐτὰ διανέμειν τοῖς ἐνδεέσιν; Ὢ πόσην ἔδει σε χάριν ἔχειν τῷ εὐεργέτῃ, καὶ φαιδρὸν εἶναι, καὶ λαμπρύνεσθαι τῇ τιμῇ, ὅτι οὐκ αὐτὸς διοχλεῖς θύρας ἑτέρων, ἀλλὰ τὰς σὰς ἄλλοι καταλαμβάνουσι! Συμμεριστὰς ποίησαι τῶν σιτίων τοὺς ἀδελφούς. Τὸ αὔριον σηπόμενον σήμερον παράσχου τῷ δεομένῳ. Πλεονεξίας εἶδος τὸ χαλεπώτατον (2), μηδὲ τῶν φθειρομένων μεταδιδόναι τοῖς ἐνδεέσιν. Εἰ ὁ τὸν ἐνδεδυμένον ἀπογυμνῶν, λωποδύτης ὀνομασθήσεται· ὁ τὸν γυμνὸν μὴ ἐνδύων, δυνάμενος τοῦτο ποιεῖν, ἄλλης τινός ἐστι (3) προσηγορίας ἄξιος; Τοῦ πεινῶντός ἐστιν ὁ ἄρτος, ὃν σὺ κατέχεις· τοῦ γυμνητεύοντος τὸ ἱμάτιον, ὃ σὺ φυλάσσεις ἐν ἀποθήκαις· τοῦ ἀνυποδέτου τὸ ὑπόδημα, ὃ παρὰ σοὶ κατασήπεται· τοῦ χρῄζοντος τὸ ἀργύριον, ὃ κατορύξας ἔχεις. Ὥστε τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἐδύνασο. Πῶς σοι ὑπ' ὄψιν ἀγάγω τὰ πάθη τοῦ πένητος, ἵνα γνῷς ἀπὸ ποταπῶν στεναγμῶν σεαυτῷ θησαυρίζεις; Ὢ πόσου ἄξιόν σοι φανεῖται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως τὸ ῥῆμα ἐκεῖνο, *Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν!* Ποταπὴ δέ σοι φρίκη, καὶ ἱδρὼς, καὶ σκότος περιχυθήσεται ἀκούοντι τῆς καταδίκης, *Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ σκότος τὸ ἐξώτερον*, τὸ ἡτοι-

A emittito: Unus hic est panis, quem vides, Domine, et periculum aperte imminet, sed ego mihi tuum mandatum præpono, et ex modico tribuo esurienti fratri, jam tu quoque da periclitanti servo. Novi tuam bonitatem, confido etiam potentiæ: non differs diu beneficia, sed dona tua, cum libet, spargis. Quod si ita locutus fueris ac feceris, quem ex angustia panem porrigis, is semen fiet segetis ac edet fructus uberes.

3. (4) Tu vero dicis proximum tuum a te diligi ut teipsum; sed quod dictum est a Domino, demonstrat te a vera charitate longe abesse. Si enim tantum tribuisti unicuique, quantum et tibi ipsi, unde, quæso, hæc tibi divitiarum copia? Qui enim diligit proximum uti seipsum, nihil amplius quam B proximus possidet. Quia autem plus possedisti, manifeste declaras te propria commoda multorum solatio præferre. Itaque quo magis abundas divitiis, eo magis charitate destitueris. Nam si proximum tuum dilexisses, jamdudum in alienandis facultatibus exercitatus esses. Nunc autem adhærescunt tibi opes arctius quam membra corporis, dolesque dum a te separantur, perinde ac si præcipuæ corporis partes amputarentur. Nam si induisses nudum, si dedisses esurienti panem tuum, si fores tuæ apertæ fuissent hospiti omni, si orphanorum exstitisses pater, si miseratus fuisses infirmum omnem: de quibus, quæso, opibus nunc doleres, jampridem in eis egeno distribuendis exercitatus? C (5) Quantam oportebat habere te benefico largitori gratiam, quam hilarem esse, quam lætum ob eum qui tibi defertur honorem, videlicet quod non perturbes fores alienas, sed alii tuas occupent? Participes fac cibariorum fratres. Quod cras putrescet, id hodie trade egenti. Avaritiæ pessimum genus est, ne ea quidem quæ corrumpuntur, egenis erogare. (6) Si qui indutum nudat, fur appellabitur, qui nudum **488** non induit, cum facere possit, quanam alia appellatione dignus est? Esurientis est panis, quem tu detines; nudi est pallium, quod tu in arca servas; discalceati calceus, qui apud te putrescit; indigentis argentum, quod defossum habes. Quare quot hominibus dare potes, tot sunt quibus infers injuriam. Quomodo tibi ob oculos ponam ærumnas D pauperis, ut perspicias ex qualibus gemitibus tibi ipse thesaurum colligas? O quanti pretii tibi in die judicii videbitur verbum illud: *Venite, benedicti Patris mei, possidete paratum vobis regnum* [48]! Rursus quantus tibi horror sudorque et quantæ tenebræ circumfundentur, judicium illud damnatorium audienti: *Discedite a me, maledicti, in tenebras exteriores, quæ paratæ sunt diabolo et angelis ejus* [49]!

[48] Matth. xxv, 34. [49] ibid. 41.

(1) Ἀκρωτηριασμός. Deerat in editis, legitur in homil. et utroque codice.
(2) Τὸ χαλεπώτατον. Sic uterque codex et homil. Editi τὸ χαλεπώτερον.
(3) Ἄλλης τινός ἐστι. Sic scripsimus accentuum immutatione, pro ἄλλης τίνος ἐστί, quod legebatur in editis. Edit.
(4) Ex hom. *in Divites*, 52.
(5) Ex hom. in illud Lucæ, *Destruam*, 49.
(6) Ibid., 50.

(1) Neque enim misericordia sine judicio apud Deum, neque judicium sine misericordia. Ante judicium igitur diligit misericordiam, et post misericordiam venit ad judicium. Hæc autem inter se conjuncta sunt: misericordia cum judicio; ne aut misericordia sola mollitiem pariat, aut judicium solum afferat desperationem.

4. (2) Si non occidisti, non adulterium commisisti, neque furatus es, neque contra quempiam falsum testimonium dixisti : nihilominus tamen adhibitam in his agendis diligentiam tibi infructuosam efficis, qui quod reliquum est non adjicias, quo solo possis in Dei regnum ingredi. Ac quidem si medicus ea membra quæ a natura vel a quapiam infirmitate mutila habes, restituturum se promitteret, profecto id cum mœrore non audires : quia vero magnus animorum medicus te præcipuis rebus destitutum vult perfectum reddere per eleemosynam, beneficium ejusmodi non accipis, sed luges ac mœres animo, tibique inutilia efficis, quæcunque antea laborasti. (3) Non tibi ipse magnopere laborabis? non in præsenti sæculo recondes quæ ad ævi futuri requiem spectant, ubi ad formicæ exemplum respexeris? quæ in æstate sibi ipsi recondit biemale alimentum, nec, quia nondum adsunt incommoda biemis, segniter tempus traducit, sed inexorabili quadam diligentia ad operam se ipsa urget, donec sufficientem in cellulis reposuerit alimoniam. Neque id negligenter, sed efficit sapienti quadam solertia, ut ipsum alimentum quam diutissime conservetur. Dissecat enim suis ungulis medios fructus, ne germinantes sibi ad nutrimentum inutiles reddantur. Eosdem etiam exsiccat, tum, cum eos sentit madefactos: nec omni tempore eos expromit, sed cum aerem in sereno statu mansurum esse præsenserit. Non utique videas imbrem ex nubibus defluentem, quanto tempore a formicis expositum frumentum est. (4) Imitare terram, o homo; fructum profer velut illa, ne re inanimata videare deterior. Hæc enim fructus, non ut ipsa perfruatur, sed ad usum tuum enutrivit. Tu vero quemcunque beneficentiæ fructum ostenderis, eum tibi ipsi colligis, quia bonorum operum gratia in largitores revertitur. Dedisti esurienti, et tuum fit quod datum est, cum additamento rediens. Quemadmodum enim frumentum, quod in terram cadit, in lucrum **489**
cedit projicienti : ita panis in esurientem conjectus, in posterum multum afferet emolumenti.

5. (5) Si foribus tuis astiterit qui penuriæ suæ quærat levamen, ne videas inæqualia. Ne dixeris: Hic amicus est, hic consanguineus, hic bene de me meritus: ille peregrinus, alienus, ignotus. Inæqualia si videas, non consequere misericordiam. Natura est una: tum hic tum ille homo est; penu-

A *μασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ!* Οὔτε γὰρ ἡ ἐλεημοσύνη ἄκριτος παρὰ Θεῷ, οὔτε ἡ κρίσις ἀνελεήμων. Πρὸ μὲν γὰρ τῆς κρίσεως ἀγαπᾷ ἐλεημοσύνην, καὶ μετὰ τὴν ἐλεημοσύνην ἔρχεται ἐπὶ τὴν κρίσιν. Ταῦτα δὲ ἀλλήλοις συνέζευκται, ὁ ἔλεος μετὰ τῆς κρίσεως, ἵνα μήτε ὁ ἔλεος μόνος χαυνότητα ἐμποιήσῃ, μήτε μόνη ἡ κρίσις ἀπόγνωσιν ἐνεργάσηται.

4. Εἰ οὐκ ἐφόνευσας, οὔτε ἐμοίχευσας, οὔτε ἔκλεψας, οὔτε κατεμαρτύρησάς τινος μαρτυρίαν ψευδῆ· ἀνόνητον σεαυτῷ ποιεῖς τὴν περὶ ταῦτα σπουδὴν, μὴ προστιθεὶς τὸ λεῖπον, δι' οὗ μόνου δυνήσῃ εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Καὶ εἰ μὲν ἰατρὸς ἐπηγγέλλετο κολοβώματα μελῶν, ἐκ φύσεως ἢ ἐξ ἀῤῥωστίας προσόντα σοι, διορθώσασθαι, οὐκ ἂν ἠθύ-
B μεις ἀκούων· ἐπεὶ δὲ ὁ μέγας τῶν ψυχῶν ἰατρὸς τέλειόν σε διὰ τῆς ἐλεημοσύνης ποιῆσαι βούλεται τοῖς καιριωτάτοις ἐλλείποντα, οὐ δέχῃ τὴν χάριν, ἀλλὰ πενθεῖς καὶ σκυθρωπάζεις ὀδυνώμενος τὴν ψυχὴν, καὶ ποιεῖς σεαυτῷ ἄχρηστα πάντα ὅσα σοι προπεπόνηται. Οὐ φιλοπονήσεις περὶ σεαυτοῦ; οὐκ ἐν τῷ παρόντι αἰῶνι προαποθήσεις τὰς τοῦ μέλλοντος ἀναπαύσεις, πρὸς τὸ ὑπόδειγμα τοῦ μύρμηκος ἀποβλέψας; ὃς ἐν θέρει τὴν χειμέριον τροφὴν ἑαυτῷ θησαυρίζει, καὶ οὐχ ὅτι μήπω πάρεστι τὰ τοῦ χειμῶνος λυπηρὰ, διὰ ῥαθυμίας παραπέμπει τὸν χρόνον, ἀλλὰ σπουδῇ τινι ἀπαραιτήτῳ πρὸς τὴν ἐργασίαν ἑαυτὸν κατατείνει, ἕως ἂν τὴν ἀρκοῦσαν τροφὴν ἐναπόθηται τοῖς ταμιείοις· καὶ οὐδὲ τοῦτο ῥαθύμως, ἀλλὰ σοφῇ τινι ἐπινοίᾳ τὴν τροφὴν ἐπιπλεῖστον διαρκεῖν μηχα-
C νώμενος. Διακόπτει γὰρ ταῖς ἑαυτοῦ χηλαῖς τῶν καρπῶν τὸ μεσαίτατον, ὡς ἂν μὴ ἐκφυέντες ἄχρηστοι πρὸς τροφὴν αὐτῷ γένοιντο· καὶ διαψύχει τούτους, ὅταν αἴσθηται αὐτῶν διαβρόχων· καὶ οὐκ ἐν παντὶ προβάλλει καιρῷ, ἀλλ' ὅταν προαίσθηται τοῦ ἀέρος ἐν εὐδινῇ καταστάσει φυλαττομένου. Ἀμέλει οὐκ ἂν ἴδοις ὄμβρον ἐκ νεφῶν ἐπιῤῥυέντα, παρ' ὅσον χρόνον ἐκ τῶν μυρμήκων ὁ σῖτος προβέβληται. Μίμησαι τὴν γῆν, ἄνθρωπε, καρποφόρησον ὡς ἐκείνη, μὴ χείρων φανῇς τῆς ἀψύχου. Ἐκείνη μὲν γὰρ τοὺς καρποὺς οὐκ εἰς ἑαυτῆς ἀπόλαυσιν, ἀλλ' εἰς τὴν σὴν ὑπηρεσίαν ἐξέθρεψε. Σὺ δὲ ὃν ἂν ἐπιδείξῃ τῆς εὐποιίας καρπὸν, σεαυτῷ τοῦτον συνάγεις, διότι τῶν ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς διδόντας ἐπανα-
D στρέφουσιν. Ἔδωκας τῷ πεινῶντι, καὶ σὸν γίνεται τὸ δοθὲν, μετὰ προσθήκης ἐπανελθόν. Ὥσπερ γὰρ ὁ σῖτος εἰς τὴν γῆν πεσὼν, κέρδος τῷ προεμένῳ γίνεται· οὕτως ὁ ἄρτος εἰς τὸν πεινῶντα καταβληθεὶς πολύχουν τὴν ὠφέλειαν εἰς ὕστερον ἀναδίδωσιν

5. Ἐὰν παραστῇ τῇ θύρᾳ σου ὁ τὴν χρείαν αὐτοῦ ἐπανορθωθῆναι ζητῶν, μὴ ἀνώμαλα ἴδῃς. Μὴ εἴπῃς· Οὗτος φίλος, οὗτος συγγενὴς, οὗτος εὐεργέτης· ἐκεῖνος ξένος, ἀλλότριος, ἄγνωστος. Ἀνώμαλα βλέπων, οὐκ ἐλεηθήσῃ. Φύσις μία· ἄνθρωπος, καὶ οὗτος κἀκεῖνος· χρεία μία, ἔνδεια ἐν ἀμφοτέροις ἡ αὐτή.

(1) Ex hom. *in psal.* XXXII, 134.
(2) Ex hom. *in Divites*, 51.
(3) Ex hom. IX *in Hexaem.*, 83.
(4) Ex hom. in illud Lucæ, *Destruam*, 45.
(5) Ex hom. dicta *in Lacizis*, 538

ὡς τῷ ἀδελφῷ, καὶ τῷ ξένῳ· μήτε τὸν ἀδελφὸν A ἀποστραφῇς, καὶ τὸν ξένον ἀδελφὸν οἰκεῖον ποίησαι. Βούλεταί σε παραμυθητικὸν εἶναι τῶν δεομένων, οὐ προσωπολήπτην· οὐ τῷ συγγενεῖ διδόντα, τὸν δὲ ξένον ἀπωθούμενον. Πάντες γὰρ συγγενεῖς, πάντες ἀδελφοί, πάντες ἑνὸς πατρὸς ἔκγονοι. Εἰσί τινες ἐξ ἐπικρατείας κινδύνου τινὸς ἀναρπασθέντες ὑπὸ τοῦ κτίσαντος, καὶ μηδεμίαν ἔχοντες περιλελειμμένην αὐτοῖς βίου λοιπὸν ἀφορμὴν, ἀλλὰ μόνῃ τῇ ψυχῇ καὶ τῷ σώματι διαφυγόντες αὐτόν. Ἡμεῖς τοίνυν, ὅσοι τῆς τῶν δυσχερῶν ἄγευστοι πείρας ἐμείναμεν, κοινὴν ἐκείνοις προθῶμεν. τὴν εὐπορίαν ἑαυτῶν. Ἐναγκαλισώμεθα τοὺς περισωθέντας μόλις τῶν ἀδελφῶν· εἴπωμεν πρὸς ἕκαστον ἕκαστος· *Νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη*· καὶ τὸ συγγενὲς σῶμα σκεπάσωμεν. Ἀντιστήσωμεν B ταῖς τοῦ Δυσμενοῦς ἐπηρείαις τὴν ἡμετέραν παράκλησιν, ἵνα καὶ βλάπτων ἐκεῖνος μηδὲν μέγα βλάψαι δοκῇ· καὶ πολεμήσας, μηδένα δείξῃ (1) νενικημένον· καὶ περιελὼν τὴν εὐπορίαν τῶν ἀδελφῶν, ὑπὸ τῆς ἡμετέρας φιλοτιμίας φανείη νικώμενος.

6. Διὰ μὲν γὰρ τὴν ἀγάπην, ἐν ἁπλότητι καὶ ἀνειμένον εἶναι πρὸς τοὺς αἰτοῦντας τὸν μεταδοτικὸν δεῖ, κατὰ τὸ φάσκον παράγγελμα· *Τῷ αἰτοῦντί σε, δίδου*· λογισμῷ δὲ πάλιν διακρίνειν ἑκάστου τὴν χρείαν τῶν προσαιτούντων, καθὼς ἐν ταῖς Πράξεσι μεμαθήκαμεν. *Διεδίδοτο γὰρ ἑκάστῳ*, φησὶ, *καθ' ὅ τι ἄν τις χρείαν εἶχεν*. Ἐπειδὴ γὰρ πολλοὶ ὑπερβαίνοντες τὴν χρῆσιν τῶν ἀναγκαίων, ἀφορμὴν ἐμπορείας καὶ ὑπόθεσιν τρυφῆς ἀσελγοῦς ποιοῦνται τὴν C αἴτησιν, ἐπιστημόνως καὶ οἰκονομικῶς ταῖς χρείαις ἑκάστου τὴν διανομὴν τῶν ἀναγκαίων γίνεσθαι δεῖ. Τοῖς γὰρ δὴ τὰ θρηνώδη μέλη πρὸς τὴν τῶν γυναικῶν ἀπάτην συντιθεῖσι, καὶ τὰ πηρώματα τοῦ σώματος καὶ τὰ ἕλκη πρὸς ἐμπορείας ἀφορμὴν συντιθεῖσιν (2), οὐ πάντως τὸ δαψιλὲς τῆς διακονίας ὠφέλιμον· ἀφορμὴ γὰρ αὐτοῖς εἰς κακίαν ἡ χορηγία γενήσεται· ἀλλὰ μικρᾷ δόσει χρὴ τὴν τῶν τοιούτων ὑλακὴν ἀπωθεῖσθαι, τὸ δὲ συμπαθὲς καὶ φιλάδελφον ἐπιδείκνυσθαι (3) ἐν τοῖς μεθ' ὑπομονῆς τὴν θλίψιν φέρειν δεδιδαγμένοις, ὑπὲρ ὧν καὶ λεχθήσεται, ὅτι *Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν*. Διὰ τοῦτο τῷ ὄντι ἐμπειρίας χρῄζει ἡ διάγνωσις τοῦ ἀληθῶς δεομένου, καὶ τοῦ κατὰ πλεονεξίαν αἰτοῦντος. Καὶ ὁ μὲν τῷ θλιβομένῳ δοὺς, τῷ Κυρίῳ ἔδωκε, καὶ παρ' D αὐτοῦ λήψεται τὸν μισθόν· ὁ δὲ τῷ περιερχομένῳ παρασχόμενος παντὶ, προσέῤῥιψε κυνὶ φορτικῷ διὰ τὴν ἀναίδειαν, οὐκ ἐλεεινῷ διὰ τὴν ἔνδειαν.

7. Ἀκούσατε, οἱ πλούσιοι, ὁποῖα συμβουλεύομεν τοῖς πτωχοῖς διὰ τὴν ὑμετέραν ἀπανθρωπίαν, ἐγκαρτερεῖν μᾶλλον τοῖς δεινοῖς, ἢ τὰς ἐκ τῶν τόκων συμ-

ria una, egestas in utroque eadem: fratri da, et peregrino; nec fratrem averseris, et peregrinum pro fratre habe. Vult Deus te indigentibus solatium afferre, nullam personarum rationem habere, non propinquo dare, peregrinum vero repellere. Omnes enim propinqui, omnes fratres, unius patris filii omnes. (4) Sunt qui e faucibus periculi erepti fuere a Creatore, nec jam ullum habent sibi relictum vitæ subsidium, sed animam solam et corpus periculo subduxere. Nos ergo, quibuscunque ingustata rerum adversarum experientia, copiam nostram communem cum illis faciamus. Amplectamur fratres vix servatos, dicamus quisque cuique: *Mortuus erat, et revixit; perierat, et inventus est* [49*]; atque corpus nostro affine contegamus. Opponamus Inimici injuriis nostram consolationem, ut etiam lædens non multum læsisse videatur, et bellum inferens, neminem victum ostendat, et postquam disperdidit fratrum facultates, liberalitate nostra victus comperiatur.

6. (5) Oportet quidem ut qui liberalis est, ob charitatem in simplicitate præbeat se erga petentes facilem, secundum illud præceptum, *Petenti a te, da* [50]; et rursus ratione necessitatem uniuscujusque petentis discernas, ut ex Actis didicimus. *Dividebatur enim singulis*, inquit, *prout cuique opus erat* [51]. Quia enim multi necessarium usum transilientes, mendicitatem ad negotiationis occasionem, et lascivarum deliciarum materiam convertunt: scienter et provide pro uniuscujusque necessitate distributio rerum necessariarum facienda. (6) Qui enim lugubria carmina ad mulierculas decipiendas componunt, et mutila corporis membra, ac ulcera ad quæstus occasionem inveniendam confingunt, non sane his copiosa erogatio proderit; ipsis enim instrumentum est ad nequitiam liberalitas: sed oportet modica erogatione ejusmodi hominum latratum arcere, misericordiam autem et fraternam charitatem in eos ostendere qui res adversas patienter perferre didicerunt, pro quibus et dicetur: *Esurivi, et dedistis mihi manducare* [52]. (7) Quapropter experientia opus habet, ut is qui vere pauper est, ab eo, qui ex avaritia mendicat, secernatur. Et quidem quisquis calamitoso dat, dedit Domino, et ab eo mercedem accipiet: qui vero errabundo omni tribuit, projicit cani, molesto quidem ob impudentiam, sed non miserando ob indigentiam.

490 7. (8) Audite, divites, quale pauperibus demus consilium ob vestram inhumanitatem, nempe ut gravissima quæque constanter ferant potius,

[49*] Luc. xv, 24. [50] Luc. vi, 30. [51] Act. iv, 35. [52] Matth. xxv, 35.

(1) Δείξῃ. Codex 1992 δεῖξαι. Sic etiam homil. Basilii.

(2) *Συντιθεῖσιν*. Satis commode hoc verbum deest in eodem codice. Legitur in contextu προτιθεῖσιν.

(3) *Ἐπιδείκνυσθαι*. Legitur in ipso Basilii contextu ἐπιδεικνυμένους.

(4) Ex hom. *Quod mundanis adhærendum non sit*, 170.

(5) Ex hom. *in psal.* xiv, 357.

(6) Ibid.

(7) Ex epist. cl, 241.

(8) Ex hom. *in psal.* xiv, 112.

quam calamitates ex fenore provenientes perpetiantur. Morem si Domino gereretis, quid his verbis esset opus? Nam ait, *Mutuum date iis, a quibus non speratis recepturos vos esse*[53]. Cum enim pauperi Domini gratia dederis; idem et donum est et fenus. Donum quidem, quod recepturum te nihil esse speras: fenus vero, ob Domini pro inope persolventis munificentiam, qui, paucis per pauperem acceptis, magna eorum loco redditurus est. (1) Consideret igitur divitum quisque suos reditus, e quibus Deo dona oblaturus sit: num pauperem imperio suo oppresserit, num infirmiori vim intulerit, num a subdito quidpiam inique extorserit. Servare enim quod justum est et æquum, etiam in servos præcipimur: noli vero quia superior es vim afferre, neque quia potes, extorquere, sed quia tibi per vires licet, exere justitiæ opera; nam in quo nulla tibi datur facultas, in eo sane nullum tui erga Deum timoris atque obedientiæ specimen exhibebis: sed in eo quod cum transgredi possis, non transgrederis: si vero quæ pauperibus eripuisti, ea in pauperes erogas, præclarius tecum ageretur, si neque raperes, neque dares. Neque enim beneficia ab iniquo quæstu in pauperes collata, Deo grata acceptaque sunt: neque qui rapinis hujuscemodi abstinet, laudandus est, si de suo neminem juverit. De his enim qui injuste possident, atque dona offerre Deo aggrediuntur, scriptum est: *Sacrificium impiorum, abominatio coram Domino*[54]. De his autem qui nulla misericordia permoventur, *Qui obturat suas aures, ne pauperem exaudiat, ipse etiam invocabit, neque erit qui exaudiat*[55]. Propterea monet et hortatur Parœmia: *Honora Dominum de laboribus tuis justis: et primitias illi offer de tuis fructibus justitiæ*[56]. Si enim ex iniquitate et rapina quædam oblaturus es Deo, præstantius esset neque talia possedisse te unquam, neque ex his offerre. Purum enim donum evehet precem, ut scriptum est: *Preces eorum qui recto sunt corde, acceptæ sunt apud ipsum*[57]. Et rursum si possidens e justis laboribus non obtuleris Deo oblationes, quibus alantur pauperes, imputabitur tibi in rapinam: ut per prophetam Malachiam ait Deus: *Primitiæ et decimæ vestræ vobiscum sunt, et erit in domibus vestris direptio*[58]. Quid igitur tuas divitias coinquinas, o homo, iniqua lucra his superaddens? Quid abominabilem facis oblationem tuam ex injustitia, dum id offerre tentas cujus nomine alterius pauperis miserturus es? ejus misereare quem injuria afficis, in hunc summa ute-

A φορὰς ὑποδέχεσθαι. Εἰ δὲ ἐπείθεσθε τῷ Κυρίῳ, τίς χρεία τῶν λόγων τούτων; *Δανείζετε* γάρ, φησί, *παρ' ὧν οὐκ ἐλπίζετε λαβεῖν*. Ὅταν γὰρ πτωχῷ παρέχειν μέλλῃς (2) διὰ τὸν Κύριον, τὸ αὐτὸ καὶ δῶρόν ἐστι καὶ δάνεισμα· δῶρον μέν, διὰ τὴν ἀνελπιστίαν τῆς ἀπολήψεως· δάνεισμα δέ, διὰ τὴν μεγαλοδωρεὰν τοῦ Δεσπότου, τοῦ ἀποτιννύντος ὑπὲρ αὐτοῦ· ὃς μικρὰ λαβὼν διὰ τοῦ πένητος, μεγάλα ὑπὲρ αὐτῶν ἀποδίδωσι. Σκοπείτω τοίνυν τοὺς ἰδίους πόρους τῶν πλουτούντων ἕκαστος, ἐξ ὧν ἀναφέρειν δῶρα μέλλει Θεῷ, μὴ τὸν πένητα κατεδυνάστευσε, μὴ τὸν ἀσθενέστερον ἐβιάσατο, μὴ τὸν ὑποκείμενον αὐτῷ πεπλεονέκτηκεν, ἐξουσίᾳ χρώμενος ἀντὶ δικαιοσύνης. Τὸ δίκαιον γὰρ καὶ τὴν ἰσότητα κελευόμεθα φυλάττειν καὶ πρὸς τοὺς δούλους (3). Μὴ γὰρ ὅτι κρατεῖς, B βιάζου· μηδὲ ὅτι δύνασαι, πλεονέκτει· ἀλλ' ὅτι πάρεστί σοι τὰ τῆς ἐξουσίας, δεῖξον τὰ τῆς δικαιοσύνης. Οὐ γὰρ ἐν ᾧ μὴ δύνασαι, παρέξεις τὴν ἀπόδειξιν τῆς πρὸς Θεὸν ὑπακοῆς καὶ τοῦ φόβου· ἀλλ' ἐν ᾧ παραβῆναι δυνάμενος, οὐ παραβαίνεις. Εἰ δὲ ἀφελόμενος τὰ τῶν πενήτων, πένησι δίδως, κάλλιον ἦσθα μήτε ἁρπάζων μήτε διδούς. Οὔτε γὰρ ἐξ ἀδίκων κερδῶν εὐεργεσία πρὸς τὸν δεόμενον δεκτὴ παρὰ Θεῷ, οὔτε ὁ τῶν ἀδικιῶν ἀπεχόμενος ἐπαινετός, εἰ μηδενὶ μεταδοίη τῶν ἑαυτοῦ. Περὶ μὲν γὰρ τῶν ἀδικούντων, καὶ δῶρα Θεῷ προσφέρειν ἐπιχειρούντων, γέγραπται· *Θυσία ἀσεβῶν, βδέλυγμα Κυρίῳ*· περὶ δὲ τῶν μὴ ἐλεούντων· *Ὁ φράσσων τὰ ὦτα αὐτοῦ τοῦ μὴ ὑπακοῦσαι πένη-* C *τος, καὶ αὐτὸς ἐπικαλέσεται, καὶ οὐκ ἔσται ὁ ὑπακούων*. Διὰ τοῦτο ἡ Παροιμία συμβουλεύει· *Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης*. Εἰ γὰρ ἐξ ἀδικίας καὶ ἁρπαγῆς μέλλεις προσφέρειν τῷ Θεῷ, κάλλιον μήτε κτήσασθαι τοιαύτην κτῆσιν, μήτε προσφέρειν ἐξ αὐτῆς. Καθαρὸν γὰρ δῶρον ἀνοίσει τὴν εὐχὴν (4), ὡς γέγραπται· *Εὐχαὶ κατευθυνόντων, δεκταὶ παρ' αὐτῷ*. Καὶ πάλιν, εἰ κτώμενος ἐκ δικαίων πόνων μὴ προσφέροις Θεῷ προσφορὰς ἀφ' ὧν τρέφονται πένητες, ἁρπαγὴ λογισθήσεταί σοι, καθά φησι διὰ τοῦ προφήτου Μαλαχίου ὁ Θεός· *Αἱ ἀπαρχαὶ καὶ τὰ ἐπιδέκατα ὑμῶν μεθ' ὑμῶν εἰσι, καὶ ἔσται ἡ διαρπαγὴ ἐν τοῖς οἴκοις ὑμῶν*. Τί τοίνυν μολύνεις τὸν σαυτοῦ πλοῦτον, ἄνθρωπε, ἐπεισάγων D αὐτῷ τὰ μὴ δίκαια κέρδη; τί βδελυκτὴν ποιεῖς τὴν σαυτοῦ προσφοράν, ἐξ ἀδικίας προσφέρειν ἐπιχειρῶν, ἐν ᾧ μέλλεις ἕτερον πτωχὸν ἐλεεῖν; Ἐκεῖνον ἐλέησον ὃν ἀδικεῖς· εἰς τοῦτον κατάχρησαι τῇ φιλανθρωπίᾳ· τούτῳ χάρισαι, καὶ πληρώσεις ἔλεον μετὰ κρίσεως. Οὐ γὰρ κοινωνήσει πλεονεξίᾳ Θεός, οὐδὲ λῃστῶν καὶ ἁρπακτῶν κοινωνὸς ὁ Κύριος· οὐδὲ ὡς ἀδύνατος τρέφειν τοὺς πένητας, ἡμῖν κατέλιπε τρέ-

[53] Luc. VI, 35. [54] Prov. XV, 8. [55] Prov. XXI, 13. [56] Prov. III, 9. [57] Prov. XV, 8. [58] Malach. III, 8.

(1) Uterque codex indicat sermonem *De eleemosyna et judicio*. Homiliam illam post Matthæium denuo edimus ad calcem tomi tertii hujus editionis, col. 1735.

(2) *Μέλλῃς*. Codex Regius melioris notæ μέλλεις, [minus recte.]

(3) *Δούλους*. Idem codex ὁμοδούλους.

(4) *Τὴν εὐχήν*. Sic ope ejusdem codicis emendavimus vulgatam lectionem τὴν ψυχήν. Mox legendum videtur τρέφωνται.

φειν αὐτούς, ἀλλὰ τὴν δικαίαν καὶ φιλάνθρωπον καρποφορίαν παρ' ἡμῶν ζητῶν, εἰς ἡμετέραν εὐεργεσίαν. Ἐλεημοσύνη ἐξ ἀδικίας οὐ γίνεται, οὐδὲ ἐκ κατάρας εὐλογία, οὐδὲ ἐκ δακρύων εὐεργεσίαι. Κενοδοξίαι τὰ τοιαῦτα, καὶ πρὸς τοὺς ἐξ ἀνθρώπων ἐπαίνους, οὐ πρὸς τὸν ἔπαινον τὸν ἐκ Θεοῦ. Ἐὰν γὰρ, ὡς Θεοῦ τὴν ἐλεημοσύνην ὁρῶντος, ποιῇς αὐτὴν, φυλάξῃ μὴ ποιεῖν ἐκ πλεονεξίας, εἰδὼς ὅτι τὸν ἐπόπτην Θεὸν οὐκ εὐφραίνεις. Οὕτως οὖν ἐλεημοσύνην ποιῶμεν, ἵνα ἀπολάβωμεν παρὰ Θεοῦ· ἀποδίδωσι δὲ ὁ Θεὸς ἐκείνοις, οὓς ἐπαινεῖ, ἐπαινεῖ δὲ πλεονέκτην οὐδένα. Μὴ πλανᾶσθε· οὐκ ἄλλως ἀποδέξεται Χριστὸς τὰς εἰς τοὺς πτωχοὺς φιλοτιμήσεις, εἰ μὴ λυθεῖεν αἱ κατὰ τῶν ἀδικηθέντων πλεονεξίαι. Οὕτως ὁ Κύριος ἀπεδέξατο τοῦ Ζακχαίου τὴν ὀρθότητα, καὶ ἔφη· *Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο*· ὅτι προθέμενος ἀποδοῦναι τετραπλάσιον, εἴ τι ἐσυκοφάντησεν, οὕτω τῶν ὑπολειπομένων χρημάτων τὰ ἡμίση πτωχοῖς ἀπεμέρισεν. Ἤδει γὰρ ὅτι Χριστὸν ὑποδέξασθαι βούλεται. Δῶμεν τοιγαροῦν ἐξουσίαν, ἀδελφοὶ, ὑπερχεθῆναι βουλομένῳ πρὸς τοὺς δεομένους τῷ πλούτῳ· μὴ παραδράμωμεν τοὺς ἐν ὀφθαλμοῖς ἡμῶν ἔτι καὶ νῦν κειμένους Λαζάρους· μηδὲ τῶν ψιχίων τῆς ἡμετέρας τραπέζης ἀρκούντων αὐτοῖς εἰς χόρον βασκήνωμεν, μηδὲ τὸν ἀνήμερον ἐκεῖνον ζηλώσαντες πλούσιον, πρὸς τὴν αὐτὴν ἐκείνῳ τῆς γεέννης φλόγα μετέλθωμεν. Ἐπεὶ πολλὰ μὲν τοῦ Ἀβραὰμ δεηθησόμεθα τότε, πολλὰ δὲ ἑκάστου τῶν βεβιωκότων καλῶς· οὐδὲν δὲ ἔσται κέρδος ἡμῖν τῆς βοῆς. *Ἀδελφὸς γὰρ οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος;* Ἐρεῖ δὲ ἕκαστος ἐκείνων ἡμῖν κεκραγώς· Μὴ ζήτει φιλανθρωπίαν, ἣν αὐτὸς ἐφ' ἑτέρων ἠγνόησας, μηδὲ βούλου λαβεῖν οὕτω μεγάλα, σὺ τῶν ἐλαττόνων φεισάμενος· ἀπόλαυε τούτων ὧν ἐν τῷ βίῳ συνέλεξας. Δάκρυε νῦν, ἐπειδὴ τότε δακρύοντα τὸν ἀδελφὸν ὁρῶν οὐκ ἠλέησας. Ταῦτα ἐροῦσι, καὶ δικαίως, ἡμῖν. Δέδοικα δὲ ἐγὼ, μὴ καὶ πικροτέροις ἡμᾶς τούτων βάλωσι (1) ῥήμασιν, ἐπειδὴ καὶ νικῶμεν ἐκεῖνον, ὡς ἴστε, τῇ πονηρίᾳ τὸν πλούσιον. Ὅτι κόλακες μὲν καὶ παράσιτοι, μετὰ τὸ λαμπρῶς ἑστιαθῆναι παρ' ἡμῖν, καὶ τὰς χεῖρας πεπληρωμένας πολυτελῶν δώρων κατάγουσι, καὶ μανθάνουσι παρ' ἡμῶν, ὅτι λυσιτελεῖ μᾶλλον τῶν ἀρετῶν τὰ τοιαῦτα μετιέναι καὶ πράττειν αὐτοῖς. Εἰ δὲ παρασταίη πένης ἡμῖν, μόλις ὑπὸ τοῦ λιμοῦ φθεγγόμενος, ἀποστρεφόμεθα, μετὰ σπουδῆς ἀποτρέχομεν, ὥσπερ δεδοικότες, μὴ καὶ τῆς δυσπραγίας αὐτῆς ἐκ τοῦ σχολαίτερον βαδίσαι μετάσχωμεν. Καὶ εἰ μὲν εἰς γῆν νεύσοι τὴν συμφορὰν αἰσχυνόμενος, ὑποκρίσεως εἶναι λέγομεν ἐργάτην αὐτόν· εἰ δὲ μετὰ παρρησίας προσβλέψοι διὰ τὸ βαρὺ τοῦ λιμοῦ κέντρον ἡμᾶς (2), ἀναιδῆ πάλιν καλοῦμεν καὶ βίαιον. Καὶ εἰ μὲν τύχοι καλυπτόμενος ὑγιέσιν ἐσθήμασι δεδωκότος τινὸς, ὡς ἄπληστον ἀπελαύνομεν, καὶ ὀμνύμεθα προσποιεῖσθαι πενίαν αὐτόν· εἰ

A re humanitate, huic gratificare, et adimplebis misericordiam cum judicio. Neque enim Deo ulla est cum avaritia communicatio; neque ullum est Domino cum prædonibus et rapacibus commercium. Neque pauperes nobis enutriendos reliquit, quod eos alere non possit: **491** sed justitiæ atque humanitatis uberem a nobis fructum efflagitans, eos summo suo in nos beneficio nobis commendavit. Eleemosyna ab injustitia non exsistit, neque a maledictione benedictio, neque ex lacrymis beneficia. Inanis gloriæ sunt ista, atque laudem humanam, non divinam venantur. Si enim, ut Deo inspectore, eleemosynam facis, caveto ne eam ex alienorum usurpatione facias, non ignarus te hac ratione speculatori Deo non placere. B Sic igitur eleemosynam faciamus, ut a Deo postea eam recepturi. Reddit enim Deus illis quos laudat; rapacem vero neminem laudat. Ne decipiamini: non aliter Christo accepta erunt nostra in pauperes beneficia, nisi prius alienis injuria ablatis penitus exsolvamur. Sic enim Dominus gratam habuit Zacchæi probitatem: ac dixit, *Hodie salus domui huic facta est* [89]; quia cum instituisset quadruplum reddere, si quid defraudasset, postea pecuniarum quas reliquas habebat, dimidium pauperibus dabat. Sciebat enim quid sit Christum recipere. (3) Enimvero, fratres, divitiis effundi in egenos cupientibus per nos liceat; ob oculos nostros hodieque jacentes Lazaros C ne prætereamus, neque eis mensæ nostræ micas, quæ ad ipsos saturandos sufficiunt, invideamus, nec immitem illum divitem imitati, ad eamdem atque ipse gehennæ flammam veniamus [90]. Nam multum quidem tunc Abrahamum rogabimus, multum etiam quoscunque, qui vitam suam probe transegerint: sed lucrum nullum ex nostro clamore consequemur. *Frater* enim *non redimit, redimet homo* [91]? Unusquisque autem illorum clamans dicturus nobis est: Commiserationem quam ipse erga alios ignorasti, ne quæras: neque velis accipere adeo magna, qui minorum parcus fuisti: fruere his quæ in vita collegisti. Lacrymare nunc, siquidem lacrymantem tunc fratrem videns, non es misertus. Hæc dicent nobis, D nec injuria. Imo vereor ne nos impetant acerbioribus etiam verbis, cum vincamus illum, ut scitis, improbitate divitem. Nam assentatores et parasiti (4), postquam splendide apud nos epulati sunt, manus etiam pretiosis muneribus plenas referunt; et discunt ex nobis, esse sibi utilius prosequi talia et efficere quam virtutem colere. Quod si in nostrum conspectum pauper venerit, qui vix etiam præ fame loquatur, aversamur, festinanter transimus, quasi veriti, ne si

[89] Luc. XIX, 9. [90] Luc. XVI, 20 sqq. [91] Psal. XLVIII, 8.

(1) *Βάλωσι*. Uterque codex βαλοῦσι [perperam].
(2) *Κέντρον ἡμᾶς*. Sic uterque codex atque ipse etiam Basilii contextus. Editi κέντρον, ἡμεῖς.

(3) Ex hom. *Quid mundanis adhærendum non sit*, 168.
(4) Ibid., 169.

etiam lentius gradiamur, ejusdem miseriæ efficiamur participes. Et, si in terram oculos, calamitate pudorem ei incutiente, dimiserit, eum hypocrisis dicimus artificem; si vero libere ac confidenter, fame graviter exstimulatus, aspexerit nos, e contrario impudentem appellamus ac violentum. Et, si opertus sit integris vestibus ab aliquo acceptis, quasi inexplebilem repellimus, ac juramus paupertatem ab illo simulari; si vero panniculis putridis amiciatur, rursus abigimus uti male olentem. Et quamvis Conditoris nomen precibus admisceat, ac similes ærumnas indesinenter a nobis deprecetur, tamen immisericordem voluntatem flectere non potest. Quapropter gehennæ ignem graviorem quam qui **492** divitem illum Lazari despectorem combussit, reformido. Quod quidem ne eveniat, misericordia misericordiam comparemus, ut et æterna bona consequamur in Christo Jesu Domino nostro, cui gloria et potestas, cum æterno ejus Patre, et vivificante Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

A δὲ σκεπάζοιτο σεσηπόσι ῥακίοις, ὡς ὀδωδότα πάλιν διώκομεν. Καὶ οὔτε τὸ τοῦ κτίσαντος ὄνομα ταῖς ἱκετηρίαις ἐκεῖνος ἀναμιγνὺς, οὔτε τὸ (7) μὴ τοιούτοις πάθεσι περιπεσεῖν ἡμᾶς ἐξορκῶν συνεχῶς, δύναται τὴν ἀνελεῆ κάμψαι προαίρεσιν. Διὰ ταῦτα ὑφορῶμαι βαρύτερον τῆς γεέννης τὸ πῦρ, ἥπερ ἐκεῖνος ὁ τὸν Λάζαρον ὑπεριδὼν πλούσιος. Ἵνα δὲ μὴ τοῦτο γένηται, τῷ ἐλέῳ τὸν ἔλεον προσκτησώμεθα, ὅπως καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

DE DIVITIIS ET PAUPERTATE.

SERMO V.

1. (1) Putei hausti melius scaturiunt, sic et divitiæ, si stabiles sint, nihil prosunt; si moveantur et transferantur, communem utilitatem promovent ac fructum ferunt. Ac mirari quidem mihi subit, quomodo post superfluam et inutilem sumptuum excogitationem, (2) cum in sexcentos usus distractæ divitiæ redundant adhuc, in terra detruduntur a possidente, et in abditis locis asservantur. Papæ! postquam innumeris excogitatis modis aurum absumere non potuit, tunc illud sub terra occultavit. (3) Videtur autem mihi vitium animæ divitis, helluonum vitio simile, qui malunt præ ingluvie disrumpi, quam reliqui quidquam impertiri egentibus. (4) Talis erat ille in Evangelio dives. Astabant qui animam ejus repeterent, et ille secum disserebat de alimentis. Hac ipsa nocte abripiebatur, et ad multos annos rerum possessionem animo sibi fingebat. (5) Insania ingens! dum quidem aurum in metallis erat, terram scrutabatur: cum autem jam in propatulo est, rursus illud in terra abscondit: deinde aurum defodienti evenire arbitror, ut et cor suum simul defodiat. *Nam*, inquit, *ubi thesaurus tuus*, *ibi et cor*[11]. (6) Age, igitur, o dives, divitias varie dispensa, noli magno vendere, cave exspectes annonæ charitatem ad horrea aperienda; ne famem auri causa, ne inediam communem ob privatam opum tuarum copiam opperiare. Noli fieri caupo humanarum calamitatum; ne iram Dei occasionem feceris aggerendæ pecuniæ. Tu enim aurum quidem respicis, sed fratrem tuum non respicis;

B

ΠΕΡΙ ΠΛΟΥΤΟΥ ΚΑΙ ΠΕΝΙΑΣ.

ΛΟΓΟΣ Ε'.

1. Τὰ φρέατα εξαντλούμενα, εὐροώτερα γίνεται· καὶ πλούτου τὸ μὲν στάσιμον, ἄχρηστον· τὸ δὲ κινούμενον (8) καὶ μεταβαῖνον, κοινωφελές τε καὶ ἔγκαρπον. Καὶ θαυμάζειν μοι ἔπεισι, πῶς μετὰ τὴν περιττὴν καὶ ἄχρηστον τῶν ἀναλωμάτων ἐπίνοιαν, ἐπειδὰν εἰς μυρία διασπασθεὶς ὁ πλοῦτος ἔτι περισσεύῃ, κατὰ γῆς ὠθεῖται παρὰ τοῦ ἔχοντος, καὶ ἐν ἀποῤῥήτοις φυλάσσεται. Βαβαί! ὅτε οὐκ ἠδυνήθη ταῖς μυρίαις ἐπινοίαις ἐκδαπανῆσαι τὸν πλοῦτον, τότε αὐτὸν εἰς τὴν γῆν ἀπεκρύψατο. Καὶ δοκεῖ μοι τὸ πάθος τῆς τοῦ πλουσίου ψυχῆς τῷ τῶν γαστριμάργων προσεοικέναι, οἳ διαῤῥαγῆναι μᾶλλον ὑπὸ λαιμαργίας C αἱροῦνται, ἤ τι τῶν λειψάνων μεταδοῦναι τοῖς ἐνδεέσι. Τοιοῦτος ὁ ἐν τῷ Εὐαγγελίῳ πλούσιος. Παρέστησαν οἱ τὴν ψυχὴν ἀπαιτοῦντες, κἀκεῖνος περὶ βρωμάτων τῇ ψυχῇ διελέγετο. Ταύτῃ τῇ νυκτὶ παρελαμβάνετο, καὶ εἰς ἔτη πολλὰ τὴν ἀπόλαυσιν ἐφαντάζετο. Μανία δεινή· ἕως μὲν ἐν μετάλλοις ἦν ὁ χρυσὸς, ἀνηρεύνα τὴν γῆν· ὅτε φανερὸς ἐγένετο, πάλιν αὐτὸν ἐν τῇ γῇ ἀφανίζει. Εἶτ' οἶμαι συμβαίνειν τῷ κατορύσσοντι τὸν πλοῦτον, συγκατορύσσειν καὶ τὴν καρδίαν· *Ὅπου γὰρ ὁ θησαυρός σου*, φησὶν, *ἐκεῖ καὶ ἡ καρδία*. Δεῦρο οὖν, ποικίλως διάθου τὸν πλοῦτον, ὦ πλούσιε. Μὴ βαρύτιμος ἔσο· μὴ ἀνάμενε σιτοδείαν, ἵνα ἀνοίξῃς σιτοδοχεῖα· μὴ λιμὸν ἐκδέχου διὰ χρυσὸν, μὴ κοινὴν ἔνδειαν δι' εὐπορίαν ἰδίαν. Μὴ γίνου κάπηλος συμφορῶν ἀνθρωπίνων· D μὴ τὴν ὀργὴν τοῦ Θεοῦ καιρὸν ποιήσῃς περιουσίας χρημάτων. Σὺ γὰρ πρὸς μὲν τὸν χρυσὸν ἀποβλέπεις, τὸν δὲ ἀδελφόν σου οὐ προσβλέπεις· καὶ τοῦ μὲν νομίσματος ἐπιγινώσκεις τὸ χάραγμα,

[11] Matth. vi, 21.

(1) Ex hom. in illud Lucæ, *Destruam*, 48.
(2) Ex hom. *in divites*, 54.
(3) Ex hom. in illud Lucæ, *Destruam*, 45.
(4) Ibid.
(5) Ex hom. *in divites*, 54.

(6) Ex hom. in illud Lucæ, *Destruam*, 46.
(7) *Τό*. Forte τῷ. Edit.
(8) *Κινούμενον*. Sic uterque codex et Basilii contextus. Editi κοινούμενον.

καὶ τοῦ δοκίμου διακρίνεις τὸ κίβδηλον, τὸν δὲ ἀδελφὸν παρὰ τὴν χρείαν παντελῶς ἀγνοεῖς. Καὶ ἡ μὲν εὐχροιά σε τοῦ χρυσοῦ ὑπερήδει, ὅσος δέ σοι ἀκολουθεῖ τοῦ ἐνδεοῦς ὁ στεναγμὸς, οὐ λογίζῃ.

2. Καὶ τίνα, φησὶν, ἀδικῶ, συνέχων τὰ ἐμαυτοῦ; Ποῖα, εἰπέ μοι, σαυτοῦ; πόθεν αὐτὰ λαβὼν εἰς τὸν βίον εἰσήνεγκας; Ὥσπερ ἂν εἴ τις ἐν θεάτρῳ θέαν καταλαβὼν, εἶτα ἐξείργοι τοὺς ἐπιόντας, ἴδιον ἑαυτοῦ κρίνων τὸ κοινῶς πᾶσι κατὰ τὴν χρῆσιν προκείμενον· τοιοῦτοί εἰσι καὶ οἱ πλούσιοι. Τὰ γὰρ κοινὰ προκατασχόντες, ἴδια ποιοῦνται διὰ τὴν πρόληψιν. Ἐπεὶ εἰ τὸ πρὸς παραμυθίαν τῆς ἑαυτοῦ χρείας ἕκαστος κομιζόμενος, τὸ περιττὸν ἠφίει τῷ δεομένῳ, οὐδεὶς μὲν ἂν ἦν πλούσιος, οὐδεὶς δὲ ἐνδεής. Οὐχὶ γυμνὸς ἐξέπεσας τῆς γαστρός; οὐ γυμνὸς πάλιν εἰς τὴν γῆν ὑποστρέψεις; Τὰ δὲ παρόντα σοι πόθεν; Εἰ μὲν ἀπὸ ταυτομάτου λέγεις· ἄθεος εἶ, μὴ γνωρίζων τὸν κτίσαντα, μηδὲ χάριν ἔχων τῷ δεδωκότι· εἰ δὲ ὁμολογεῖς εἶναι παρὰ Θεοῦ, εἰπὲ τὸν λόγον ἡμῖν δι' ὃν ἔλαβες. Μὴ ἄδικος ὁ Θεὸς, ὁ ἀνίσως ἡμῖν διαιρῶν τὰ τοῦ βίου; Διὰ τί σὺ μὲν πλουτεῖς, ἐκεῖνος δὲ πένεται; Ἢ πάντως ἵνα καὶ σὺ χρηστότητος καὶ πιστῆς οἰκονομίας μισθὸν δέξῃ, κἀκεῖνος τοῖς μεγάλοις ἄθλοις τῆς ὑπομονῆς τιμηθῇ. Ἀλλ' ἀναγκαῖος ὁ πλοῦτος διὰ τοὺς παῖδας. Εὐπρόσωπος ἀφορμὴ πλεονεξίας αὕτη. Τοὺς γὰρ παῖδας προβάλλεσθε, τὴν δὲ καρδίαν πληροφορεῖτε. Μὴ αἰτιῶ τὸν ἀναίτιον· ἴδιον ἔχει Δεσπότην, ἴδιον οἰκονόμον· παρ' οὗ (1) τὴν ζωὴν ἐδέξατο, παρ' αὐτοῦ τὰς ἀφορμὰς ἀναμενέτω τοῦ βίου. Μὴ τοῖς γεγαμηκόσιν οὐκ ἐγράφη τὰ Εὐαγγέλια; *Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς.* Ὅτε ᾔτεις παρὰ τοῦ Θεοῦ τὴν εὐπαιδίαν, ὅτε ἠξίου γενέσθαι παίδων πατὴρ, ἆρα προσετίθεις τοῦτο, Δός μοι τέκνα, ἵνα παρακούσω τῶν ἐντολῶν σου; δός μοι τέκνα, ἵνα μὴ φθάσω εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; Τίς δὲ καὶ ἐγγυητὴς ἔσται τῆς τοῦ παιδὸς προαιρέσεως, ὅτι εἰς δέον χρήσεται τοῖς δοθεῖσι; πολλοῖς γὰρ ὁ πλοῦτος, ὑπηρέτης ἀκολασίας ἐγένετο. Ὅρα οὖν, μὴ μετὰ μυρίων πόνων τὸν πλοῦτον ἀθροίσας, ὕλην ἁμαρτημάτων ἑτέροις παρασκευάσῃς, εἶτα εὑρεθῇς διπλᾷ τιμωρούμενος, ὧν τε αὐτὸς ἠδίκησας, καὶ ὧν ἕτερον ἐφωδίασας. Οἱ μὲν γὰρ παῖδες παρὰ γονέων μηδὲν δεξάμενοι, ἑαυτοῖς πολλάκις οἴκους ἐποίησαν· ἡ ψυχὴ δὲ παρὰ σοῦ ἐγκαταλειφθεῖσα, παρὰ τίνος ἐλεηθήσεται; Τί τοίνυν τοσοῦτον ἐπτόησαι περὶ τὸν χρυσόν;

A et numismatis quidem notam agnoscis, et a sincero adulterinum discernis, fratrem vero tempore necessitatis prorsus ignoras. Ac nitidus quidem auri color valde admodum te oblectat, sed quot et quanti egenorum gemitus te prosequantur, non reputas.

2. (2) Cui, inquit, injuriam facio, dum mea custodio et claudo? Quæ, dic mihi, tua sunt? unde accepta in vitam intulisti? Velut si quis, loco in theatro ad spectandum occupato, deinde ingredientes arceat, id sui ipsius proprium ratus, quod ad omnium communem usum proponitur: tales quoque divites sunt. Nam communia præoccupantes, propria sibi faciunt eo quod præoccupaverint. B Quod si suæ quisque necessitati sublevandæ id modo quod satis est caperet, egenti vero relinqueret quod superfluum est, nemo esset dives, pauper nemo. Nonne nudus egressus es ex utero? nonne nudus iterum in terram reverteris [63]? Unde autem tibi præsentia bona? Si a casu dixeris: impius es, qui **493** non agnoscas Conditorem, neque gratiam habeas largitori; sin confiteris esse a Deo, dic nobis rationem cur acceperis. Num injustus Deus, qui nobis inæqualiter vitæ necessaria distribuit? Cur tu quidem dives, ille autem pauper? Annon utique, ut et tu benignitatis ac fidelis dispensationis mercedem accipias, et ille magnis patientiæ præmiis donetur? (3) Sed, inquis, necessariæ opes sunt propter liberos. C Speciosus hic avaritiæ prætextus; liberos namque prætenditis, interea vero satisfacitis vestro animo. Noli culpam rejicere in insontem; proprium Dominum habet, proprium rectorem: a quo vitam accepit, ab ipso vitæ subsidia exspectet. Num iis qui matrimonio juncti sunt, scripta non sunt Evangelia? *Si vis perfectus esse, vende quæ habes, et da pauperibus* [64]. Cum prolem numerosam peteres a Domino, cum rogares ut fieres liberorum pater, illudne addidisti: Da mihi liberos, tua ut violem præcepta? Da mihi sobolem, ut ad regnum cœlorum non perveniam? Ad hæc voluntatis filii quis erit sponsor, quod videlicet datis rebus recte usurus sit? Nam divitiæ multis exstitere libidinis ministræ, atque impuritatis. D Vide igitur ne divitias laboribus permultis coacervatas, aliis materiam peccatorum facias, posteaque plectaris duplici pœna, tum nomine eorum, quæ ipse inique egisti, tum eorum, quæ alter abs te adjutus perpetrarit. (4) Et quidem liberi, nulla a parentibus accepta hæreditate, plerumque sibiipsis domos pararunt: at tuæ animæ, si eam semel neligas, quis miserebitur? Quid igitur tanto auri desiderio afficeris?

3. Τίς καλλωπιστὴς ἠδυνήθη μίαν ἡμέραν τῷ βίῳ προσθεῖναι; τίνος ἐφείσατο θάνατος διὰ τὸν πλοῦτον; τίνος ἀπέσχετο νόσος διὰ τὰ χρήματα; Ἕως

3. (5) Quis ex iis qui plus æquo vestium elegantiam affectant, potuit unam diem suæ ipsius vitæ adjicere? cui pepercit mors ob divitias? a quo

[63] Job I, 21. [64] Matth. XIX, 21.

(1) *Παρ' οὗ*. Legitur apud Basilium παρ' ἄλλου, ubi tamen codex Colbertinus habet παρ' οὗ.
(2) Ex hom. in illud Lucæ, *Destruam.*, 49.
(3) Ex hom. *in divites*, 59.
(4) Ibid., 60.
(5) Ibid., 59.

abstinuit morbus causa pecuniarum? Usquequo aurum, animarum laqueus, mortis hamus, peccati illecebra? Quousque divitiæ belli causa, quibus conflantur arma, quibus acuuntur gladii, propter quas cognati ignorant naturam: fratres oculis cædem spirantibus sese invicem conspiciunt? Quis est mendacii pater? quis falsæ scripturæ opifex? quis parens perjurii? Nonne divitiæ? nonne earum studium? Quid facitis, o homines? quis vobis, quæ vestra sunt, in insidias vertit? Absit enim ut pecuniæ datæ sint ad malorum incitamentum. Redemptio sunt animæ. Absit enim ut occasio sint exitii. (1) Etenim si divitiæ adminicula sunt ad injustitiam, miserabilis est dives: sin autem inserviunt virtuti excolendæ, nullus est locus invidiæ, cum earum communis utilitas omnibus proponatur. (2) Propterea par est absentes non desiderare divitias; si vero adsint, non magis ipsarum possessione gloriari, quam scientia easdem dispensandi. Nam præclarum est illud Socratis, qui divitem quemdam virum magnopere de pecuniis superbientem non prius admiraturum se dixit, quam ipsa rei experientia didicisset eum iis uti nosse. (3) Nam divitiæ ac bona valetudo sæpenumero peccati administræ sunt, his qui horum utroque abutuntur. (4) Paupertas autem cum veritate, possessione omni apud sapientes pretiosior.

494 4. (5) Sed horum nihil unusquisque nostrum cogitat; verum hominem videns necessitate pressum, genibus provolutum ac supplicem, ecquid non humile facientem, ut vel fenore medeatur inopiæ, non tamen ejus miseretur adversa præter meritum fortuna utentis; sed inflexibilis stat, et implacabilis, jurat, ac sibi male precatur nisi prorsus indigeat, ac ipse etiam circumspiciat num quem mutuo dantem inveniat, ac fidem faciens mendacio per juramenta, perjurium ceu malum quemdam et adventitium inhumanitatis quæstum acquirit. Sed ubi qui mutuum quærit, meminit fenoris, et nomen pignoris protulit, tunc demisso supercilio subridet, atque paternæ amicitiæ refricat memoriam, ac familiarem et amicum appellat. Et videbimus, inquit, sicubi quidquam recondatur argenti apud nos. Depositum utique vir amicus nobis quæstus ergo concredidit. Verum ille graves usuras mutuæ pecuniæ exigit: sed nos profecto aliquid remittemus, et minori daturi sumus fenore. Talia confingens, verbisque ejusmodi blanditus misero ac lenocinatus, ubi illum syngraphis obstrinxit, atque, præter urgentem inopiam, libertatem etiam viro abstulit, abit. Quid agis, miser? pecuniasne et quæstum ab indigente postulas? Si te ditiorem posset

(1) Ex hom. *De invidia*, 96.
(2) Ex serm. *De legendis libris gentilium*, 183.
(3) Ex hom. *in psal.* I, 92.
(4) Ex hom. VII *in Hexaem.*, 65.
(5) Ex hom. *in ps.* XIV, 107.

A πότε χρυσὸς, τῶν ψυχῶν ἡ ἀγχόνη, τοῦ θανάτου τὸ ἄγκιστρον, τὸ τῆς ἁμαρτίας δέλεαρ; Ἕως πότε πλοῦτος, ἡ τοῦ πολέμου ὑπόθεσις, δι' ὃν ἀκονῶνται ξίφη, δι' ὃν συγγενεῖς ἀγνοοῦσι τὴν φύσιν, καὶ ἀδελφοὶ κατ' ἀλλήλων φονικὸν βλέπουσι; Τίς ἐστιν ὁ ψεύδους πατήρ; τίς ὁ πλαστογραφίας δημιουργός; τίς ὁ τὴν ἐπιορκίαν γεννήσας; Οὐχ ὁ πλοῦτος; οὐχ ἡ περὶ τοῦτον σπουδή; Τί πάσχετε, ὦ ἄνθρωποι, τίς ὑμῖν τὰ ὑμέτερα εἰς τὴν καθ' ὑμῶν ἐπιβουλὴν περιέστρεψε; Μὴ γὰρ ἐφόδια κακῶν ἐδόθη τὰ χρήματα, λύτρον ψυχῆς; μὴ γὰρ ἀφορμὴ ἀπωλείας; εἰ μὲν γὰρ ἐφόδιον πρὸς ἀδικίαν ὁ πλοῦτος, ἐλεεινὸς ὁ πλουτῶν· εἰ δὲ ὑπηρεσία πρὸς ἀρετὴν, οὐκ ἔχει χώραν ἡ βασκανία, κοινῆς τῆς ἀπ' αὐτοῦ ὠφελείας ἅπασι προκειμένης. Διὰ τοῦτο προσήκει ἀπόντα τε
B μὴ ποθεῖν τὸν πλοῦτον, καὶ παρόντος, μὴ τῷ κεκτῆσθαι μᾶλλον φρονεῖν, ἢ τῷ εἰδέναι αὐτὸν διατίθεσθαι. Τὸ γὰρ τοῦ Σωκράτους εὖ ἔχει· ὅς, μέγα φρονοῦντος πλουσίου ἀνδρὸς ἐπὶ τοῖς χρήμασιν, οὐ πρότερον αὐτὸν θαυμάσειν ἔφη, πρὶν ἂν καὶ ὅτι κεχρῆσθαι τούτοις ἐπίσταται πειραθῆναι. Ὁ γὰρ πλοῦτος καὶ ἡ ὑγίεια, ὑπηρεσία πολλάκις πρὸς ἁμαρτίαν τοῖς κακῶς χρωμένοις τούτων ἑκάστῳ γίνεται. Πενία δὲ μετὰ ἀληθείας (6), πάσης ἀπολαύσεως τοῖς σωφρονοῦσι τιμιωτέρα.

4. Ἀλλ' οὐδὲν τούτων ἕκαστος ὑμῶν ἐννοεῖ· ἀλλ' ὁρῶν ὑπὸ τῆς ἀνάγκης ἄνδρα κατακαμπτόμενον, πρὸ
C τῶν γονάτων ἱκετεύοντα, τί οὐ ποιοῦντα ταπεινὸν, ἵνα κἂν δανείῳ τὴν ἀπορίαν παραμυθήσηται, οὐκ ἐλεεῖ παρ' ἀξίαν πράττοντα· ἀλλ' ἄκαμπτος ἕστηκε καὶ ἀμείλικτος, ἐξομνύμενος καὶ ἐπαρώμενος ἑαυτῷ, ἦ μὴν ἀπορεῖν παντελῶς καὶ περισκοπεῖν καὶ αὐτὸς, εἴ τινα εὕροι τῶν δανειζόντων, καὶ πιστούμενος τὸ ψεῦδος διὰ τῶν ὅρκων, κακὸν παρεμπόρευμα τῆς ἀπανθρωπίας τὴν ἐπιορκίαν προσκτησάμενος. Ἐπειδὰν δὲ ὁ ζητῶν τὸ δάνειον, τόκων μνησθῇ, καὶ ὑποθήκας ὀνομάσῃ· τότε καταβαλὼν τὴν ὀφρὺν, προσεμειδίασε, καί που καὶ πατρῴας φιλίας ἐμνήσθη, καὶ συνήθη εἶπε, καὶ φίλον· καὶ ὀψόμεθα, φησὶν, εἴ που τί ἐστιν ἡμῖν ἀποκείμενον ἀργύριον. Ἔστι δὲ παρακαταθήκη φίλου ἀνδρὸς ἐπ' ἐργασίᾳ παραθεμένου ἡμῖν. Ἀλλ' ἐκεῖνος μὲν βαρεῖς ἐν αὐτῷ τοὺς
D τόκους ὥρισεν· ἡμεῖς δὲ πάντως ἐπανήσομέν τι, καὶ ἐλάττοσι τόκοις δώσομεν. Τοιαῦτα κατασχηματιζόμενος, καὶ τοιούτοις λόγοις ὑποσαίνων καὶ δελεάσας τὸν ἄθλιον, γραμματείοις αὐτὸν προσκαταδήσας, καὶ πρὸς τῇ καταπονούσῃ πενίᾳ ἔτι καὶ τὴν ἐλευθερίαν τοῦ ἀνδρὸς ἀφελόμενος ᾤχετο. Τί ποιεῖς, ἄθλιε; χρήματα καὶ πόρους ἐπιζητεῖς παρὰ τοῦ ἀπόρου; Εἰ πλουσιώτερόν σε (7) ἀποφαίνειν ἐδύνατο, τί ἐζήτει παρὰ τὰς θύρας τὰς σάς; Ὢ τῆς συμφορᾶς! Ἐπὶ

(6) *Μετὰ ἀληθείας*. Legitur in contextu Basilii μετὰ αὐταρκείας ἀληθοῦς, *cum rerum necessariarum copia*.
(7) *Πλουσιώτερόν σε*. Sic Basilii contextus, melius multo quam editi nostri πλουσιώτερόν σου εἶπεν.

A συμμαχίαν ἐλθὼν πολέμιον εὗρεν· ἀλεξιφάρμακα περιζητῶν, δηλητηρίοις (1) ἐνέτυχε. Δέον παραμυθεῖσθαι τοῦ ἀνδρὸς τὴν πτωχείαν, σὺ δὲ πολυπλασιάζεις τὴν ἔνδειαν· ὥσπερ ἂν εἴ τις ἰατρῶν πρὸς κάμνοντας εἰσιὼν, ἀντὶ τοῦ εἰς ὑγίειαν αὐτοὺς ἐπαναγαγεῖν, ὁ δὲ καὶ τὸ μικρὸν λείψανον τῆς δυνάμεως προσαφέλοιτο. Καὶ σὺ τοίνυν τὰς συμφορὰς τῶν ἀθλίων, ἀφορμὴν πόρων ποιῇ· καὶ ὥσπερ οἱ γεωργοὶ ὄμβρους εὔχονται εἰς πολυπλασιασμὸν τῶν σπερμάτων, οὕτω καὶ σὺ ἐνδείας καὶ ἀπορίας ἀνθρώπων ἐπιζητεῖς, ἵνα καὶ σοὶ ἐνεργὰ τὰ χρήματα γένηται.

5. Καὶ ὁ μὲν ζητῶν τὸ δάνεισμα, μέσος ἀμηχανίας ἀπειλημμένος, ὅταν μὲν πρὸς τὴν πενίαν ἀπίδῃ, ἀπογινώσκει τὴν ἔκτισιν· ὅταν δὲ πρὸς τὴν παροῦσαν ἀνάγκην, κατατολμᾷ τοῦ δανείσματος. Ὡς δὲ τὰ μὲν χρήματα ὑποῤῥεῖ, ὁ δὲ χρόνος προϊὼν τοὺς τόκους ἑαυτῷ συμπροάγει· οὐ νύκτες ἐκείνῳ ἀνάπαυσιν φέρουσιν, οὐχ ἡ ἡμέρα φαιδρὰ, οὐχ ὁ ἥλιος τερπνός· ἀλλὰ δυσχεραίνει τὸν βίον, μισεῖ τὰς ἡμέρας πρὸς τὴν προθεσμίαν ἐπειγομένας. Κἂν καθεύδῃ, ἐνύπνιον βλέπει τὸν δανειστὴν, κακὸν ὄναρ τῇ κεφαλῇ παριστάμενον· κἂν γρηγορῇ, ἔννοια αὐτῷ καὶ φροντὶς ὁ τόκος ἐστίν. Ἀλλ' ἔστιν εἰπεῖν καὶ πρὸς τὸν δανειζόμενον· Πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων, καὶ ἀπὸ σῶν φρεάτων πηγῆς· τουτέστι, μὴ ἐπ' ἀλλοτρίας πηγὰς βάδιζε, ἀλλ' ἐξ οἰκείων λιβάδων σύναγε (2) σεαυτῷ τὰς παραμυθίας τοῦ βίου. Ἔχεις χαλκώματα, ἐσθῆτα, ὑποζύγιον, σκεύη παντοδαπά; ταῦτα ἀπόδου· πάντα προέσθαι κατάδεξαι, πλὴν τῆς ἐλευθερίας. Ἀλλ' αἰσχύνομαι αὐτὰ δημοσιεύειν, φησί. Τί οὖν, ὅτι μικρὸν ὕστερον ἄλλος αὐτὰ προκομίσει, καὶ ἀποκηρύξει τὰ σὰ, καὶ ἐπ' ὀφθαλμοῖς σοῖς ἐπευωνίζων αὐτὰ διαθήσεται; Βέλτιον ταῖς κατὰ μικρὸν ἐπινοίαις τὴν χρείαν παραμυθεῖσθαι, ἢ ἀθρόως ἐπαρθέντα τοῖς ἀλλοτρίοις, ὕστερον πάντων ὁμοῦ τῶν προσόντων ἀπογυμνοῦσθαι. Εἰ μὲν οὖν ἔχεις ὅθεν ἀποδῷς, τί οὐχὶ τὴν παροῦσαν ἔνδειαν ἐκ τούτων τῶν ἀφορμῶν διαλύεις; εἰ δὲ ἀπορεῖς πρὸς τὴν ἔκτισιν, κακὸν κακῷ θεραπεύεις. Πένης εἶ νῦν, ἀλλ' ἐλεύθερος· δανεισάμενος δὲ, οὔτε πλουτήσεις, καὶ τὴν ἐλευθερίαν ἀφαιρεθήσῃ. Δοῦλος τοῦ δεδανεικότος ὁ δανεισάμενος, καὶ δοῦλος (3) μισθοφόρος, ἀπαραίτητον φέρων τὴν λειτουργίαν. Οἱ κύνες λαβόντες ἡμεροῦνται· ὁ δανειστὴς λαμβάνων προσερεθίζεται. Οὐ παύεται ὑλακτῶν, ἀλλὰ τὸ πλεῖον ἐπιζητεῖ. Ἐὰν ὀμνύῃς, ἀπιστεῖ· ἐρευνᾷ τὰ ἔνδον, τὰ συναλλάγματά σου πολυπραγμονεῖ. Ἐπὶ γαμετῆς καταισχύνει, ἐπὶ φίλων καθυβρίζει, ἐν ταῖς ἀγοραῖς ἄγχει, κακὸν συνάντημα ἑορτῆς, ἀβίωτόν σοι κατασκευάζει τὸν βίον. Ἀλλὰ μεγάλη, φησὶν, ἡ ἀνάγκη,

[68] Prov. v, 15.

reddere, quid ad tuas januas quæsivisset? O rem miseram et calamitosam! Venit subsidium quærens: sed hostem reperit; remedium dum requireret, in venena incidit. Officium tuum fuerat viri sublevare inopiam: at tu adauges egestatem; velut si quis medicus ægrotos invisens, cum eis debeat restituere sanitatem, econtrario vel exiguas virium reliquias adimat. Tu igitur miserorum calamitates quæstus occasionem facis. Et sicut coloni ad seminum multiplicationem imbres exoptant: ita et tu egestates et inopias hominum optas, tibi ut quæstuosæ sint pecuniæ.

5. Ac pecuniam quidem qui quærit fenore, in mediis difficultatibus constitutus, cum respicit ad **B** paupertatem, de solutione desperat; cum vero præsentem considerat egestatem, audax fit ad fenus. (4) Sed cum sensim diffluunt pecuniæ, tempusque progrediens secum fenus advehit, non noctes ei requiem afferunt, non dies hilaris est, non sol jucundus, sed vitam moleste fert. Odit dies ad constitutum tempus festinantes. Quod si dormiat, videt feneratorem in somnis, malum somnium, capiti astantem: si vero vigilet, cogitatio ei et cura fenus est. (5) Verum et ad eum qui fenore accipit, dicere licet, *Bibe aquas de tuis vasis* [68], et de fontibus tuis, hoc est, ad alienos fontes ne accede, sed ex propriis laticibus tibi ipse vitæ solatia compara. Habes vasa ærea, vestem, jumentum, diversi generis supellectilem? **C** Hæc vende: induc in animum omnia projicere præter libertatem. Sed me pudet, inquit, isthæc voci præconis subjicere. Cur igitur paulo post alius ea exponet, tuorumque bonorum faciet auctionem, **495** et vili pretio ob oculos tuos vendet? Satius est, arte et industria paulatim necessitatem levare, quam alienis facultatibus subito elatum, deinceps omnibus simul bonis nudari. Si igitur habes unde solvas, cur præsentem egestatem hisce auxiliis non depellis? Sin solvendo non es, malum malo curas. (6) Pauper es nunc, sed liber. Argentum si fenore sumpseris, non ditesces, sed libertate spoliabere. Qui pecuniam sumpsit fenore, feneratoris servus est, imo servus stipendiarius, inexorabile exhibens ministerium. Canes **D** accipiendo mansuescunt, fenerator vero recipiendo irritatur. Non enim allatrare desinit, sed plura exposcit. Si juraveris, non credit. Quæ in ædibus habes, perscrutatur; tua diligenter indagat commercia. Præsente uxore, afficit te pudore, coram amicis imponit contumeliam; in mercatibus fauces constringit; malus est festo die occursus;

(1) *Δηλητηρίοις*. Sic Basilii contextus. Codex Regius 1992 habet δηλητηρίῳ. Editi δηλητήριον.

(2) *Σύναγε*. Sic idem Regius codex et Basilii contextus. Editi συνάγαγε.

(3) *Καὶ δοῦλος*. Editi iterum addunt καί, sed hæc conjunctio deest in codice Regio 1992 et in contextu Basilii.

(4) Ex hom. *in ps.* xiv, 108.

(5) Ibid., 109.

(6) Ibid.

vitam tibi reddit injucundam et intolerabilem. At A magna, inquit, est necessitas, nec alia est parandæ pecuniæ ratio. Quæ, quæso, utilitas ex hodiernæ diei dilatione? Fenus enim non omnino liberat, sed consilii et mentis inopiam tantisper tardat. Etenim si argentum fenore non sumis; hodie et postea simili modo eris pauper: nunc quidem nullus tibi vertit probro paupertatem, siquidem malum est haud voluntarium; si vero fenori fueris obnoxius, nemo erit qui te stultitiæ non condemnet. (1) Jam perpende unde sis soluturus. Num ex iis pecuniis quas accipis? Sed hæ et ad necessitatem cohibendam et ad solutionem non sufficiunt. Quod si usuras etiam reputaveris; unde usque adeo multiplicabuntur pecuniæ? Vulnera vulnere curat nemo, neque malum B malo sanat. (2) At, inquis, quomodo nutriar? Manus habes, habes artem, loca operam tuam lucri gratia, ministra: multa sunt parandi victus consilia, multi modi. At id facere non potes? Pete a possidentibus. At turpe est postulare? Turpius utique fuerit creditorem datis fenori pecuniis defraudare. Deinde vero potest formica, nec mendicans, nec fenore accipiens, nutriri: apes itidem regibus largiuntur proprii alimenti reliquias: quibus tamen nec manus, nec artes concessit natura. Tu vero industrium animal homo inter artes omnes unam ad transigendam vitam non reperies?

καὶ οὐδείς μοι πόρος χρημάτων ἕτερος. Τί οὖν τὸ ὄφελος ἐκ τοῦ τὴν σήμερον ὑπερθέσθαι; Τὸ γὰρ δάνος οὐκ ἀπαλλαγὴν παντελῆ, ἀλλὰ μικρὰν ἀναβολὴν τῆς ἀμηχανίας παρέχεται. Μὴ δανεισάμενος μὲν ὁμοίως ἔσῃ πένης καὶ σήμερον, καὶ πρὸς τὸ ἑξῆς· καὶ νῦν μὲν οὐδεὶς ἐγκαλέσει σοι πτωχεύοντι· ἀκούσιον γὰρ τὸ κακόν· ἐὰν δὲ τόκοις ὑπεύθυνος ᾖς, οὐκ ἔστιν ὃς οὐ μέμψεταί σου τὴν ἀβουλίαν. Ἤδη βούλευσαι πόθεν ἀποτίσεις. Ἀφ' ὧν λαμβάνεις; ἀλλ' οὐκ ἐξαρκεῖ καὶ πρὸς τὴν χρείαν, καὶ πρὸς τὴν ἔκτισιν. Ἐὰν δὲ δὴ καὶ τοὺς τόκους λογίσῃ, πόθεν τὰ χρήματα εἰς τοσοῦτον πολυπλασιασθήσεται; Οὐδεὶς τραύματα τραύμασι θεραπεύει, οὐδὲ κακῷ τὸ κακὸν ἰᾶται. Πῶς οὖν διατραφῶ, φησίν; Ἔχεις χεῖρας, ἔχεις τέχνην· μισθάρνει, διακόνει· πολλαὶ ἐπίνοιαι τοῦ βίου, πολλαὶ ἀφορμαί. Ἀλλ' ἀδυνάτως ἔχεις; προσαίτει παρὰ τῶν κεκτημένων. Ἀλλὰ αἰσχρὸν τὸ αἰτεῖν; αἰσχρὸν μὲν οὖν (4) τὸ δανεισάμενον ἀποστερεῖν. Εἶτα ὁ μύρμηξ μὲν δύναται, μὴ προσαιτῶν, μήτε δανειζόμενος, διατρέφεσθαι· καὶ μέλισσαι τὰ λείψανα τῆς οἰκείας τροφῆς βασιλεῦσι χαρίζονται, οἷς οὔτε χεῖρας, οὔτε τέχνας ἡ φύσις δέδωκε. Σὺ δὲ τὸ εὐμήχανον ζῶον ὁ ἄνθρωπος, μίαν τῶν πασῶν μηχανῶν οὐχ εὑρήσεις πρὸς τὴν τοῦ βίου διαγωγήν;

6. (3) Dives es? argentum ne des fenore. Pauper es? ne sume fenore argentum. Etenim si locuples es, nihil tibi fenore opus est: si nihil vero habes, C non pendes usuras. Noli tuam ipsius vitam seræ pœnitentiæ objicere. Hoc uno præstamus divitibus nos pauperes, curarum vacuitate: ac eos vigilantes ridemus ipsi dormientes, ac curis semper distentos et sollicitos, quieti et liberi. Debitor utique et pauper est, et curis multis anxius, et omni tempore cogitatione defixus, nunc quidem res suas æstimans, nunc vero domos sumptuosas, divitum agros, occurrentium vestes. Hæc si mea essent, inquit, tanti et tanti divenderem, atque liberarer **496** fenore. Hæc ejus animo nocteque dieque insident. Januam si pulsaveris, irrepit sub lectum debitor. Velociter accurrit quis, et illius cor palpitat. Canis latrat: ille sudore diffluit, et anxietate corripitur, quaque via fugiat, conspicit. Dies præscriptus instat: D anxie secum reputat quodnam dicturus sit mendacium, et quo conficto prætextu depulsurus a se sit creditorem. Quid te ipse bestiæ fecundissimæ adjungis? Lepores aiunt simul et parere, et nutrire, et superfetare: sic pecuniæ feneratoribus simul et dantur ad pendendas usuras, et gignuntur, et pul-

6. Πλούσιος εἶ; μὴ δανείζου (5). Πένης εἶ; μὴ δανείζου. Εἰ μὲν γὰρ εὐπορεῖς, οὐ χρήζεις δανείσματος· εἰ δὲ οὐδὲν ἔχεις, οὐκ ἀποτίσεις τὸ δάνειον. Μὴ δῷς σεαυτοῦ τὸν βίον εἰς ὑστεροβουλίαν. Ἑνὶ τούτῳ διαφέρομεν τῶν πλουτούντων οἱ πένητες, τῇ ἀμεριμνίᾳ· καὶ καταγελῶμεν αὐτῶν ἀγρυπνούντων, αὐτοὶ καθεύδοντες· καὶ συνεστώτων ἀεὶ καὶ φροντιζόντων, αὐτοὶ ἀφροντιστοῦντες καὶ ἀνειμένοι. Ὁ μέντοι ὀφείλων καὶ πένης ἐστὶ, καὶ πολυμέριμνος, καὶ σύννους πάντα τὸν χρόνον, νῦν μὲν τὴν ἑαυτοῦ οὐσίαν ἀποτιμώμενος, νῦν δὲ τὰς οἰκίας τὰς πολυτελεῖς, τοὺς ἀγροὺς τῶν πλουσίων (6), τὰς ἐσθῆτας τῶν ἐντυγχανόντων. Εἰ ταῦτα ἐμὰ ἦν, φησὶν, ἀπεδιδόμην τόσου καὶ τόσου, καὶ ἀπηλλασσόμην τοῦ τόκου. Ταῦτα αὐτοῦ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐγκαθέζεται τῇ καρδίᾳ. Ἐὰν τὴν θύραν πατάξῃς, ὁ χρεώστης ὑπὸ τὴν κλίνην· σφοδρῶς εἰσέδραμέ τις, τοῦ δὲ ἐπάταξεν ἡ καρδία· ὑλακτεῖ ὁ κύων, ὁ δὲ ἱδρῶτι ῥεῖται, καὶ ἀγωνίᾳ συνέχεται, καὶ περισκοπεῖ πόθεν φύγοι. Ἡ προθεσμία προάγει· μεριμνᾷ τί ψεύσεται, ποίαν πλασάμενος πρόφασιν τὸν δανειστὴν διακρούσεται. Τί πολυτόκῳ (7) θηρίῳ σεαυτὸν παραζευγνύεις; Τοὺς λαγωούς φασι καὶ τίκτειν ὁμοῦ, καὶ τρέφειν, καὶ ἐπικυΐσκεσθαι· καὶ τοῖς τοκογλύφοις

(1) Ex hom. *in psal.* XIV, 110
(2) Ibid., 111.
(3) Ibid., 110.
(4) *Αἰσχρὸν μὲν οὖν*. Legitur in contextu αἰσχρότερον.
(5) *Δανείζου*. Nullus dubito quin legendum sit μὴ δάνειζε, *ne des fenore*, non vero, *ne pecuniam sumas fenore*. Rationem enim addit Basilius, quia divites fenore non indigent: qua voce non pecuniam mutuo sumendam, sed mercedem ex collocata pecunia provenientem manifestum est designari. Deterret ergo divites a pecunia in fenus collocanda. Legit archiepiscopus Turonensis, ita ut legendum contendimus. — Vide notam nostram ad tom. I, col. 272. EDIT.
(6) *Τῶν πλουσίων*. Codicum alter τῶν πλησίον, *proximi agros*.
(7) *Πολυτόκῳ*. Sic contextus. Editi nostri πολυπλόκῳ.

τὰ χρήματα ὁμοῦ καὶ δανείζεται, καὶ γεννᾶται, καὶ ὑποφύεται. Οὔπω γὰρ ἐδέξω εἰς χεῖρας, καὶ τοῦ παρόντος μηνὸς ἀπῃτήθης τὴν ἐργασίαν. Καὶ τοῦτο πάλιν δανεισθὲν, ἕτερον κακὸν ἐξέθρεψε, κἀκεῖνο ἕτερον, καὶ τὸ κακὸν εἰς ἄπειρον· Τόκος γὰρ, ὡς οἶμαι, διὰ τὴν πολυγονίαν (1) τοῦ κακοῦ προσηγόρευται· πόθεν γὰρ ἄλλοθεν; Ἢ τάχα τόκος λέγεται διὰ τὰς ὠδῖνας καὶ λύπας, ἃς ἐμποιεῖν ταῖς ψυχαῖς τῶν δανειζομένων πέφυκεν. Ὡς γὰρ ἡ ὠδὶς τῇ τικτούσῃ, οὕτως ἡ προθεσμία τῷ ὑποχρέῳ παρίσταται. Τόκος ἐπὶ τόκῳ, πονηρῶν γονέων πονηρὸν ἔκγονον. Τὰς ἐχίδνας λέγουσι τὴν γαστέρα τῆς μητρὸς διεσθιούσας τίκτεσθαι· καὶ οἱ τόκοι τοὺς οἴκους τῶν ὀφειλόντων ἐκφαγόντες ἀπογεννῶνται. Τὰ σπέρματα χρόνῳ φύεται· ὁ δὲ τόκος σήμερον γεννᾶται, καὶ σήμερον τοῦ τίκτειν ἄρχεται. Τῶν αὐξουμένων ἕκαστον, ἐπειδὰν πρὸς τὸ οἰκεῖον ἀφίκηται μέγεθος, τῆς αὐξήσεως ἵσταται· τὸ δὲ τῶν πλεονεκτῶν ἀργύριον τῷ χρόνῳ παντὶ συμπαραύξεται. Τὰ ζῶα παραδόντα τοῖς ἐκγόνοις (2) τὸ τίκτειν, αὐτὰ τῆς κυήσεως παύεται· τὰ δὲ τῶν δανειστῶν ἀργύρια καὶ τὰ ἐπιγινόμενα τίκτει, καὶ τὰ ἀρχαῖα νεάζει. Καὶ ὥσπερ ἐπὶ τῆς χολέρας οἱ τὸ ἀεὶ προϊστάμενον ἐξαιροῦντες (3), καὶ πρὶν παντελῶς καθαρθῆναι δευτέραν τροφὴν ἐπεμβαλλόμενοι, πάλιν ἐμοῦσι μετὰ ὀδύνης καὶ σπαραγμῶν· οὕτω καὶ οἱ δανειζόμενοι, τόκους ἐκ τόκων μεταλαμβάνοντες, καὶ πρὶν ἐκκαθᾶραι τὰ πρῶτα, δεύτερον ἐπεισάγοντες δάνεισμα, μικρὸν χρόνον τοῖς ἀλλοτρίοις ἐναβρυνόμενοι, ὕστερον καὶ τὰ οἰκεῖα ὠδύραντο. Ἀλλὰ πολλοὶ, φησὶ, καὶ ἐκ δανείσματος ἐπλούτησαν. Πλείους δὲ, οἶμαι, καὶ βρόχων ἥψαντο. Σὺ δὲ τοὺς ἀπαγξαμένους οὐκ ἀριθμεῖς, οἳ τὴν ἐπὶ ταῖς ἀπαντήσεσιν (4) αἰσχύνην μὴ φέροντες, τὸν δι' ἀγχόνης θάνατον τοῦ ἐπονειδίστως ζῇν προετίμησαν. Εἶδον ἐγὼ ἐλεεινὸν θέαμα, παῖδας ἐλευθέρους ὑπὲρ χρεῶν πατρικῶν ἑλκομένους εἰς τὸ πρατήριον. Οὐκ ἔχεις καταλιπεῖν χρήματα τοῖς παισί; μὴ προσαφέλῃ καὶ τὴν εὐγένειαν. Ἓν τοῦτο διατήρησον αὐτοῖς τὸ κτῆμα τῆς ἐλευθερίας, τὴν παρακαταθήκην, ἣν παρὰ τῶν γονέων παρέλαβες. Οὐδεὶς πενίαν πατρὸς ἐνεκλήθη ποτέ· ὄφλημα δὲ πατρῷον εἰς δεσμωτήριον ἄγει. Μὴ καταλίπῃς γραμματεῖον ὥσπερ ἀρὰν πατρικὴν εἰς παῖδας καταβαίνουσαν καὶ ἐκγόνους.

7. *Πλοῦτος* γὰρ, φησὶν, *ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν*. Θαύμασον τὴν φωνήν. *Πλοῦτος*, φησὶν, *ἐὰν ῥέῃ*. Ῥευστὴ ἡ φύσις τοῦ πλούτου, χειμάῤῥου ὀξύτερον τοὺς ἔχοντας παρατρέχει· ἄλλοτε ἄλλον πέφυκε παραμείβεσθαι. Καὶ ὥσπερ ποταμὸς ἀφ' ὑψηλοῦ φερόμενος, ἐγγίζει μὲν τοῖς παρεστῶσι τῇ ὄχθῃ, ὁμοῦ δὲ ἥψατο καὶ εὐθὺς ὑπεχώρησεν· οὕτω καὶ ἡ τοῦ πλούτου εὐκολία ὀξυτάτην ἔχει καὶ ὀλισθηρὰν τὴν παρουσίαν, καὶ ἄλλους ἐξ ἄλλων πα-

[66] Psal. LXI, 11.

lulant. Nondum enim in manus accepisti, et tamen præsentis mensis quæstus a te exposcitur. Et hæc pecunia rursus fenore accepta, malum alterum alit, et illud alterum, atque sic malum in infinitum. Etenim, opinor, τοκός, id est, *partus*, ob ingentem mali fecunditatem nominatur. Unde enim aliunde? Aut forte τοκός, hoc est, *partus*, dicitur ob dolores ac molestias, quas animis eorum qui fenore acceperunt, solet creare. Ut enim puerperium parituræ, ita dies indicta debitori instat. Fenus fenori additum, parentum malorum mala est soboles. Aiunt viperas, dum gignuntur, ventrem matris corrodere: fenus quoque, erosis ac consumptis debitorum ædibus, nascitur. Semina temporis progressu germinant: usura vero hodie generatur, et hodie parere incipit. Quidquid crescit, ubi ad propriam magnitudinem pervenerit, desinit augeri; avarorum vero argentum omni tempore augescit. Animalia ubi suæ soboli vim impertiverunt pariendi, supersedent prægnatione: at feneratorum pecuniæ et adnascentes pariunt, et veteres renovantur. (5) Et sicut ii qui cholera laborant, id semper quod ante sumptum est, ejiciunt, et si ante integram purgationem cibum alterum capiunt, hunc rursus cum dolore, et cum nervorum convulsione evomunt: sic qui fenore accipiunt, usuris usurarum sese onerantes, et antequam priores usuræ purgentur, alteram adjicientes, parumper in alienis gloriati, tum demum rei etiam familiaris jacturam lugent. Atqui, inquis, multi etiam fenore facti sunt divites. At vero plures, arbitror, ad laqueos pervenerunt. Tu vero strangulatos non numeras, qui vadimoniorum dedecus minime ferentes, sibi mortem maluerunt laqueo consciscere, quam probrose vivere. Vidi ego miserabile spectaculum, ingenuos pueros, ob patris debita, venales in forum pertrahi. Non habes pecuniam quam relinquas filiis? Cave ingenuitatem eis auferas. Unam hanc ipsis conserva libertatis possessionem, depositum illud, quod a parentibus accepisti. Nemini unquam patris paupertas data est crimini: at paternum debitum in carcerem ducit. Ne relinquas syngrapham ceu paternam exsecrationem in filios ac nepotes descendentem.

7. (6) *Divitiæ* enim, inquit, *si affluant, nolite cor apponere* [66]. Hanc vocem admirare. *Divitiæ*, inquit, *si affluant*. Fluxa est divitiarum natura, torrente citius prælerlabitur possessores, **497** alios aliter solet mutare. Quemadmodum fluvius ab alto labens, iis quidem qui ad ripam astant appropinquat, sed simul ut contigit, statim secedit: ita etiam divitiarum instabilitas velocissimam lubricamque præsentiam habet, alios ex aliis permutare solitam

(1) *Διὰ τὴν πολυγονίαν*. Sic mss. et contextus Basilii. Editi διὰ τινὰ πολυγονίαν.
(2) *Τοῖς ἐκγόνοις*. Sic codicum alter et Basilii contextus. Editi ἐγγόνοις.
(3) *Ἐξαιροῦντες*. Legitur in contextu ἐξερῶντες.

(4) *Ἀπαντήσεσιν*. Longe præferenda hæc scriptura ei quæ legitur in contextu ἀπαιτήσεσιν, *exactionum dedecus*.
(5) Ex hom. *in psal.* XIV, 112.
(6) Ex hom. *in psal.* LXI, 198.

Hodie hujus est ager, cras alterius, et paulo post alius. Respice ad civitatis domos; quot jam nomina ex quo exstructæ sunt, accepere, aliter ab alio possessore appellatæ. Quinetiam aurum semper e manibus ejus quem penes est, elabens, ad alterum transit, et ab illo ad alium. Comprehensam manu aquam facilius possis continere, quam divitias tibi constanter servare. Ne igitur invideas e valde locupletibus cuipiam, neque ejus vitam beatam esse duxeris: et si undique ac ex uberi fontium scaturigine circumfluant pecuniæ, ne hanc rerum copiam amplexeris. (1) Non semper laudabilis est paupertas, sed quæ secundum evangelicum consilium ex libera voluntate perficitur. Multi enim, cum pauperes sint, si facultates spectes, proposito avarissimi sunt: quos non salvat indigentia, sed propositum condemnat. (2) Divitiæ autem et gloria, quatenus bonos non reddunt possessores, non sunt ex eorum numero, quæ natura sunt bona: quatenus vero prosperitatem quamdam in vita nostra efficiunt, magis contrariis eligenda sunt paupertate et ignominia. Atque hæc quidem nonnullis ad distribuendum dantur a Deo velut Abraham, Jacob, et similibus. Improbis vero provocatio sunt, ut se ad meliorem frugem recipiant, ita ut qui post tantam a Deo benignitatis significationem perseverat in iniquitate, se ipse sine ulla excusationis venia obnoxium condemnationi constituat. Qui quidem justus est, neque ad divitias, cum adsunt, adjungit animum; neque eas, cum absunt, exquirit; siquidem non fruitur concreditis, sed earum administrator est. Nemo autem prudens negotium ambit in alienis rebus distribuendis, nisi respexerit ad laudem vulgi, cui homines in aliqua auctoritate constituti admirationi sunt ac æmulationi. (3) Quod si in despiciendo corpore exercitati essemus, vix aliud quidquam humanarum rerum admiraremur. Quid enim jam nobis, si corporis voluptates fastidiamus, opus sit divitiis, equidem non video; nisi jucundum sit et gratum thesauris defossis more fabulosorum draconum invigilare.

8. (4) Id itaque præcipuum est, et cujus maxime curam gerere Christianus debet, ut vitiosis affectibus qui varii sunt ac diversi, animamque coinquinant, denudetur. Deinde vero oportet, ut qui ad sublimem secundum Deum vitam respicit, opes suas ac facultates derelinquat: quia rerum terrenarum cura ac sollicitudo magnam in animo aberrationem generant. Cum igitur plures ad eumdem salutis scopum intenti, communem inter se vitam amplexi fuerint, id inter ipsos ante omnia obtineat necesse est, ut unum in omnibus sit cor, et voluntas una, unumque desiderium atque ut præcipit

A ραμείβεσθαι πεφυκυῖαν. Σήμερον τοῦδε ὁ ἀγρὸς, καὶ αὔριον ἄλλου, καὶ μετ' ὀλίγον ἄλλου. Ἀπόβλεψον πρὸς τὰς ἐν τῇ πόλει οἰκίας, πόσα ἤδη ἀφ' οὗ γεγόνασιν ὀνόματα μετειλήφασιν, ἄλλοτε ἀπ' ἄλλου τῶν κεκτημένων ὀνομαζόμεναι. Καὶ χρυσὸς ἀεὶ τὰς τοῦ ἔχοντος χεῖρας διαῤῥέων, ἐφ' ἕτερον διαβαίνει, καὶ ἀπ' ἐκείνου πρὸς ἄλλον. Μᾶλλον δύνασαι ὕδωρ τῇ χειρὶ περιλαβὼν κατασχεῖν, ἢ πλοῦτον διαρκῶς σεαυτῷ συντηρῆσαι. Μὴ τοίνυν ζηλώσῃς τῶν ὑπερπλουτούντων τινὰ, μηδὲ μακαρίσῃς αὐτοῦ τὴν ζωὴν κἂν πολλαχόθεν σοι καὶ ἐξ ἀφθόνων πηγῶν περιῤῥέῃ τὰ χρήματα, μὴ προσδέξῃ αὐτῶν τὴν περιουσίαν. Οὐκ ἀεὶ δὲ ἐπαινετὴ ἡ πτωχεία, ἀλλ' ἡ ἐκ προαιρέσεως κατὰ τὸν εὐαγγελικὸν σκοπὸν κατορθουμένη. Πολλοὶ γὰρ πτωχοὶ μὲν τῇ περιουσίᾳ, πλεονεκτικώ- B τατοι δὲ τῇ προαιρέσει τυγχάνουσιν· οὓς οὐχ ἡ ἔνδεια σώζει, ἀλλ' ἡ προαίρεσις κατακρίνει. Πλοῦτος δὲ καὶ δόξα, καθὸ μὲν οὐ ποιεῖ τοὺς ἔχοντας ἀγαθοὺς, οὐκ ἔστι τῶν κατὰ φύσιν ἀγαθῶν· καθὸ δὲ εὔροιάν τινα παρέχεται ἡμῶν τῷ βίῳ, αἱρετώτερά ἐστι τῶν ἐναντίων, πενίας καὶ ἀτιμίας. Ταῦτα μέντοι τοῖς μὲν οἰκονομίας ἕνεκεν δίδοται παρὰ τοῦ Θεοῦ, ὡς τῷ Ἀβραὰμ, καὶ τῷ Ἰακὼβ, καὶ τοῖς τοιούτοις. Τοῖς δὲ φαυλοτέροις πρόκλησίς ἐστι τοῦ βελτιωθῆναι κατὰ τὸν τρόπον, ὡς ὅ γε μετὰ τοσαύτην ἐκ Θεοῦ δεξίωσιν ἐπιμένων τῇ ἀδικίᾳ, ἀναντιῤῥήτως ἑαυτὸν ὑπόδικον τῇ κατακρίσει καθίστησιν. Ὁ μέντοι δίκαιος, οὔτε παρόντος ἐπιστρέφεται τοῦ πλούτου, οὔτε μὴ παρόντος ἐπιζητεῖ· οὐ γὰρ ἀπολαυστικός ἐστι τῶν δεδομένων, ἀλλ' οἰκο- C νομικός· οὐδεὶς δὲ τῶν εὖ φρονούντων ἐπιτρέχει τῇ ἀσχολίᾳ τῆς τῶν ἀλλοτρίων διανομῆς, ἐὰν μὴ πρὸς τὴν τῶν πολλῶν ἀποβλέπῃ δόξαν, οἳ θαυμάζουσι καὶ ζηλοῦσι τοὺς ἐν ἐξουσίᾳ τινὶ καθεστῶτας. Εἰ δὲ τοῦ σώματος ὑπερορᾷν μελετήσαιμεν, σχολῇ γ' ἂν ἄλλο τι τῶν ἀνθρωπίνων θαυμάσαιμεν. Τί γὰρ ὅτι χρησώμεθα (5) τῷ πλούτῳ, τὰς διὰ τοῦ σώματος ἡδονὰς ἀτιμάζοντες, ἐγὼ μὲν οὐχ ὁρῶ· πλὴν εἰ μὴ, κατὰ τοὺς ἐν τοῖς μύθοις δράκοντας, ἡδονήν τινα φέρει θησαυροῖς κατορωρυγμένοις ἐπαγρυπνεῖν.

8. Τὸ μὲν οὖν προηγούμενόν ἐστιν, οὗ μάλιστα προσήκει τὸν Χριστιανὸν ἐπιμελεῖσθαι (6), γυμνωθῆναι τὰ κατὰ τὴν κακίαν πάθη τὰ ποικίλα τε καὶ διά- D φορα, δι' ὧν μολύνεται ἡ ψυχή. Χρὴ δὲ κατὰ δεύτερον λόγον, καὶ τὴν τῶν ὑπαρχόντων ἀποταγὴν κατορθωθῆναι, τῷ πρὸς τὸν κατὰ Θεὸν ὑψηλὸν (7) ἀποβλέποντι βίον· διότι πολὺν παρέχει περισπασμὸν τῇ ψυχῇ ἡ τῶν ὑλικῶν πραγμάτων φροντίς τε καὶ ἐπιμέλεια. Ὅταν οὖν πλείους περὶ τὸν αὐτὸν βλέποντες τῆς σωτηρίας σκοπὸν, τὴν μετ' ἀλλήλων ζωὴν καταδέξωνται, χρὴ τοῦτο πρὸ πάντων ἐν αὐτοῖς κρατηθῆναι, τὸ μίαν ἐν πᾶσι καρδίαν εἶναι, καὶ

(1) Ex hom. *in psal.* XXXIII, 147.
(2) Ex ep. CCXXXVI, 364.
(3) Ex serm. *De legendis libris gent.*, 182.
(4) Ex serm. ascetico, 323.
(5) Ὅτι *χρησώμεθα*. Basilii contextus ἔτι χρησόμεθα. Legitur χρησόμεθα, in cod. 1992. Supra contextus καὶ τῷ Ἰώβ.
(6) Ἐπιμελεῖσθαι. Hoc verbum deerat in editis; sed cum prorsus necessarium sit, illud desumpsimus ex contextu.
(7) *Τὸν κατὰ Θεὸν ὑψηλόν*. Codicum alter πρὸς θεῖον καὶ ὑψηλόν. Contextus πρὸς τὸν ὑψηλόν.

θέλημα ἓν, καὶ μίαν ἐπιθυμίαν, καὶ καθὼς νομοθετεῖ ὁ Ἀπόστολος, ἓν γενέσθαι σῶμα ἐκ διαφόρων μελῶν συνηθροισμένον. Τοῦτο δὲ οὐκ ἔστιν ἄλλως κατορθωθῆναι, εἰ μὴ ἐκεῖνο κρατήσειε, τὸ μὴ ἐπονομάζεσθαί τινι ἀποτεταγμένως μήτε ἱμάτιον, μήτε σκεῦος, μήτε ἄλλο τι τῶν εἰς τὴν κοινὴν ζωὴν χρησιμευόντων· ἵνα ἕκαστον τούτων τῆς χρείας ᾖ, καὶ μὴ τοῦ κεκτημένου. Καὶ ὥσπερ ἀνάρμοστόν ἐστι τῷ μείζονι σώματι τὸ μικρὸν ἱμάτιον, ἢ τῷ μικροτέρῳ τὸ τελειότερον, ἀλλ' ἑκάστῳ τὸ σύμμετρόν ἐστι καὶ ἐπωφελὲς καὶ εὐάρμοστον· οὕτως καὶ ἐνταῦθα ἡ κλίνη, τὰ στρώματα, τὸ θερμὸν περιβόλαιον, τὸ ὑπόδημα τοῦ πάνυ χρήζοντος, οὐχὶ τοῦ κεκτημένου εἶναι ὀφείλει. Καὶ καθάπερ τῷ φαρμάκῳ ὁ τραυματισθεὶς, οὐχ ὁ ὑγιαίνων κέχρηται, οὕτω καὶ τῶν πρὸς τὴν ἄνεσιν τοῦ σώματος ἐπινοουμένων, οὐχ ὁ τρυφῶν, ἀλλ' ὁ χρήζων τῆς ἀνέσεως ἀπολαύει δικαίως (1), ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A Apostolus, unum efficiatur corpus ex diversis membris coagmentatum [67]. Hoc autem aliter perfici non potest, **488** nisi obtinuerit hæc consuetudo, ut nihil nominatim ac peculiariter cuiquam tribuatur, neque vestimentum, neque vas, neque quidpiam aliud ex iis quæ conducunt vitæ communi; ut singula usibus necessariis, non autem possessoribus destinentur. Et sicuti vestimentum parvum corpori majori, aut majus parvo non convenit, sed quidquid cuique accommodatum est, id utile est et commodum: ita etiam alia omnia, lectus, stragula, calidum vestimentum, valde indigentis esse debent, non possidentis. Quemadmodum enim medicamento qui vulneratus est, non qui sanus, utitur: sic etiam vir quæ ad sublevandum corpus excogitata sunt, B non qui delicate vivit, sed is cui levamen opus est, merito perfruitur, in Christo Jesu Domino nostro, cui gloria et potestas in sæcula sæculorum. Amen.

ΠΕΡΙ ΠΛΕΟΝΕΞΙΑΣ.

ΛΟΓΟΣ Ϛ'.

1. Ὅταν εἰς οἰκίαν ἀνδρὸς ἀπειροκάλου (2) εἰσέλθω, καὶ ἴδω αὐτὴν παντοίοις γεγανυμένην ἄνθεσιν, οἶδα ὅτι οὗτος οὐδὲν τῶν ὁρωμένων τιμιώτερον κέκτηται, ἀλλὰ τὰ μὲν ἄψυχα καλλωπίζει, τὴν δὲ ψυχὴν ἀκόσμητον ἔχει. Καίτοι μυρίοι ἐφεστᾶσι τῇ θύρᾳ πτωχοὶ, πᾶσαν ἐλεεινὴν ἀφιέντες φωνήν· ὁ δὲ ἀρνεῖται τὴν δόσιν, ἀδύνατον εἶναι λέγων ἐπαρκεῖν τοῖς αἰτοῦσι. Καὶ τῇ μὲν γλώσσῃ ἐξόμνυται, ὑπὸ δὲ τῆς χειρὸς ἐλέγχεται· σιωπῶσα γὰρ ἡ χεὶρ τὴν ψευδολογίαν κηρύσσει, περιαστραπτομένη ὑπὸ τῆς ἐπὶ τοῦ δακτυλίου σφενδόνης. Ἄθλιε καὶ ταλαίπωρε, πόσους δύναται εἷς σου δακτύλιος χρεῶν ἀπολῦσαι· πόσους οἴκους καταπίπτοντας ἀνορθῶσαι! Μία σου κιβωτὸς τῶν ἱματίων δύναται δῆμον ὁλόκληρον ῥιγοῦντα περιβαλεῖν· ἀλλ' ὑπομένεις ἄπρακτον ἀποπέμψαι τὸν πένητα, μὴ φοβούμενος τὸ δίκαιον τῆς ἀντιδόσεως τοῦ κριτοῦ. Οὐκ ἠλέησας, οὐκ ἐλεηθήσῃ· οὐκ ἤνοιξας τὴν οἰκίαν, ἀποπεμφθήσῃ τῆς βασιλείας· οὐκ ἔδωκας τὸν ἄρτον, οὐ λήψῃ τὴν αἰώνιον ζωήν. Ἀλλὰ πένητα λέγεις σεαυτόν. Κἀγὼ συντίθεμαι· πένης γάρ ἐστιν, ὁ πολλῶν ἐνδεής. Πολλῶν δὲ ὑμᾶς ἐνδεεῖς ποιεῖ τὸ τῆς ἐπιθυμίας ἀκόρεστον. Τοῖς δέκα ταλάντοις ἄλλα δέκα τάλαντα προστεθεικέναι σπουδάζετε· ἐπειδὰν εἴκοσι γένηται, ἄλλα τοσαῦτα ἐπιζητεῖτε, καὶ ἀεὶ (3) τὸ προστιθέμενον, οὐχὶ τὴν ὁρμὴν ἵστησιν, ἀλλ' ἀναφλέγει τὴν ὄρεξιν. Ὥσπερ γὰρ τοῖς μεθύουσιν ἀφορμὴ τοῦ πίνειν ἡ προσθήκη τοῦ οἴνου γίνεται, οὕτω καὶ οἱ νεόπλουτοι πολλὰ κτησάμενοι, πλειόνων ἐπιθυμοῦσι, τῷ ἀεὶ προστιθεμένῳ τὴν νόσον τρέφοντες, καὶ περιτρέπεται αὐτοῖς ἡ σπουδὴ πρὸς τὸ ἐναντίον. Οὐ γὰρ εὐφραίνει αὐτοὺς τὰ προσόντα τοσαῦτα ὄντα, ὅσον λυπεῖ τὰ ἐνδέοντα, ἅπερ ἂν αὐτοῖς ἐλλείπειν

DE AVARITIA.

SERMO VI.

1. (4) Quando in domum inepti viri ingredior, videoque ipsam omnigenis renidentem ornamentis, intelligo eum nihil iis quæ videntur pretiosius possidere, sed ornare diligenter inanimata, animam vero incultam relinquere. Quanquam innumeri stant pro foribus pauperes nullam non emittentes vocem miserabilem; negat ille se daturum, seque ait sufficere non posse rogantibus. Et lingua quidem C ejurat non posse, sed a manu arguitur. Illa enim silet quidem, sed mendacium prædicat, annuli pala coruscans. O infelix atque miser, quot potest unus tuus annulus ære alieno liberare! quot domos corruentes erigere! Arca tua vestiaria vel unica potest totum populum frigore rigentem amicere; et tamen sustines pauperem non donatum dimittere, justam judicis vindictam non reformidans. Non misertus es, non consequere misericordiam: non aperuisti domum, a regno excluderis: panem non dedisti, non accipies vitam æternam. Sed pauperem dicis teipsum; et ego assentior. Pauper enim est, qui multis indiget. Vos autem insatiabilis cupiditas multorum indigos efficit. Talentis decem, decem D alia adjicere conamini: viginti coactis, totidem quæritis, neque appetentiam sistet quod semper additur, imo accendit appetitum. Quemadmodum enim ebriis vini accessio bibendi fit occasio: sic etiam recens ditati ubi multa acquisierint, plura concupiscunt, semper addendo morbum nutrientes, eisque suum studium cedit in contrarium. Neque enim præsentia bona cum tanta sint, tantum illos exhilarant, quantum contristant quæ desunt, ea, inquam, quæ sibi deesse putant. Nam cum lætari

[67] I Cor. XII, 12.

(1) *Δικαίως*. Minus commode deest ea vox in contextu Basilii.

(2) *Ἀπειροκάλου*. Addit Basilii contextus καὶ ὀψιπλούτου, *et sero divitis*.

(3) *Καὶ ἀεί*. Voculam addidimus ex contextu et codicum altero. Idem codex paulo ante καὶ ἐπειδάν.

(4) Ex hom. *in Divites*, 56.

ipsos par esset, ac gratiam habere, quod tam multis sunt opulentiores : contra ægre ferunt ac dolent se forte ab uno aut altero locupletiore superari. (1) Neque eos qui se ipsis inferiores sunt enumerantes, pro iis quæ habent, gratias persolvunt largitori benefico : **499** imo facta cum eo quod præstantius est comparatione, quantum superentur reputantes, ita mœrent et conqueruntur bonis alienis privati, ac si suis spoliarentur. (2) Nam qui necessarios terminos excessere, cum jam sibi, more eorum qui in declive feruntur, nihil firmum suppetat, ad quod se recipiant, nusquam ulterius abripi intermittunt : sed quo plura compararint, eo magis opus habebunt paribus, aut etiam amplioribus ad cupiditatem explendam, secundum Execestidæ filium Solonem, qui ait :

Divitiarum homini finis non constitit ullus.

In his etiam Theognide magistro utendum est, qui dicit :

Non amo divitias, non opto : sed mihi parvo
Vivere contingat, nilque timere mali.

Ego autem Diogenis admiror omnium simul humanarum rerum contemptum, qui se rege magno pronuntiavit ditiorem, quod in vita paucioribus quam ille egeret. Avaris autem, nisi Pythii Mysi adsint talenta, nisi sint terræ tot et tot jugera, nisi pecorum greges innumeri, sufficiet nihil. (3) Sed quemadmodum ii qui scalas conscendunt, pede semper ad superiorem gradum erecto non prius conquiescunt, quam ad summum perveniant : sic et hi quando hunc divitem assecuti, confestim ditiori adhuc pares fieri conantur : et ubi eum quoque attigerint, studium suum ad alium transferunt, et non cessant ab appetenda potentia, donec in sublime evecti, alto casu seipsos contundant.

2. (4) Atque ut qui præ insania mente moti sunt, res ipsas non intuentur; sed ea ex quibus afficiuntur : sic avarorum animus, pecuniæ aviditate obrutus, cuncta aurum, cuncta argentum videt : ac lubentius aurum quam solem intueatur. Verti omnia in auri naturam exoptat, atque in id incumbit pro virili. Quid enim non molitur propter aurum? Frumentum fit illi aurum, vinum in aurum concrescit, lanæ illi in aurum vertuntur; mercatura omnis, omnis solertia parit illi aurum. Ipsum aurum generat semetipsum, dum per fenora multiplicatur; neque ullus finis reperitur cupiditatis. Ac pueris quidem gulosis plerumque concedimus, ut iis quæ cupiunt, sese abunde expleant, ut per majorem saturitatem fastidium ipsis afferatur. Avarus non

A ὑπόθωνται. Δέον γὰρ αὐτοὺς εὐφραίνεσθαι καὶ χάριν ἔχειν, τοσούτων ὄντας εὐπορωτέρους· οἱ δὲ δυσφοροῦσι, καὶ ὀδυνῶνται, ὅτι ἑνός που ἢ δευτέρου τῶν ὑπερπλουτούντων ἀπολιμπάνονται. Καὶ οὐ τοὺς ὑποδεεστέρους ἀπαριθμούμενοι, τὴν ὑπὲρ ὧν ἔχουσι χάριν ἀποπληροῦσι τῷ εὐεργέτῃ· ἀλλὰ τῇ πρὸς τὸ ὑπερέχον συγκρίσει· ὅσον ἀπολείπονται λογιζόμενοι, ὡς οἰκείων στερούμενοι τῶν ἑτέροις προσόντων, οὕτως ἀνιῶνται καὶ καταμέμφονται. Οἱ γὰρ τῶν ἀναγκαίων ὅρων ἔξω γενόμενοι, παραπλησίως τοῖς κατὰ τοῦ πρανοῦς φερομένοις, πρὸς οὐδὲν στάσιμον ἔχοντες ἀποβῆναι, οὐδαμοῦ τῆς εἰς τὸ πρόσω φορᾶς ἵστανται· ἀλλ' ὥσπερ ἂν πλείω προσπεριβάλωνται, τοῦ ἴσου δέονται, ἢ καὶ πλείονος πρὸς τὴν τῆς ἐπιθυμίας ἐκπλήρωσιν, κατὰ τὸν Ἐξηκεστίδου Σόλωνα, ὅς φησι·

B *Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι [κεῖται.*

Τῷ δὲ Θεόγνιδι πρὸς ταῦτα διδασκάλῳ χρηστέον, λέγοντι·

Οὐκ ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι· ἀλλά μοι εἴη
Ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν.

Ἐγὼ δὲ καὶ Διογένους ἄγαμαι τὴν πάντων ὁμοῦ τῶν ἀνθρωπίνων ὑπεροψίαν ὅς γε καὶ βασιλέως τοῦ μεγάλου ἑαυτὸν ἀπέφηνε πλουσιώτερον, τῷ ἐλαττόνων ἢ ἐκεῖνος κατὰ τὸν βίον προσδεῖσθαι. Τοῖς δὲ πλεονέκταις, εἰ μὴ τὰ Πυθίου τοῦ Μυσοῦ προσείη τάλαντα, καὶ πλέθρα γῆς τόσα καὶ τόσα, καὶ βοσκημάτων ἑσμοὶ πλείους ἢ ἀριθμῆσαι, οὐδὲν ἐξαρκέσει.
C Ἀλλ' ὥσπερ οἱ τὰς κλίμακας ἀναβαίνοντες, ἀεὶ πρὸς τὴν ὑπερκειμένην (5) βαθμίδα τὸ ἴχνος αἴροντες, οὐ πρότερον ἀφίστανται, πρὶν ἂν τῆς ἄκρας ἀφίκωνται (6)· οὕτω καὶ οὗτοι, ὅταν τοῦτον τὸν πλούσιον καταλάβωσιν, εὐθὺς τῷ πλουσιωτέρῳ παρισωθῆναι φιλονεικοῦσι· κἂν ἐπ' ἐκεῖνον φθάσωσιν, ἐπὶ τὸν ἄλλον τὴν σπουδὴν μεταφέρουσι, καὶ οὐ παύονται τῆς κατὰ τὴν δυναστείαν ὁρμῆς, ἕως ἂν ὑψωθέντες, ἀπὸ μετεώρου τοῦ πτώματος ἑαυτοὺς καταῤῥήξωσι.

2. Καὶ ὥσπερ οἱ ὑπὸ μανίας παράφοροι οὐ τὰ πράγματα βλέπουσιν, ἀλλὰ τὰ ἐκ τοῦ πάθους φαντάζονται· οὕτως ἡ τοῦ πλεονέκτου ψυχὴ τῇ φιλοχρηματίᾳ καταχωσθεῖσα (7), πάντα χρυσὸν, πάντα ἄργυρον βλέπει. Ἥδιον ἂν ἴδῃ (8) τὸν χρυσὸν, ἢ τὸν ἥλιον. Εὔχεται πάντα πρὸς τὴν τοῦ χρυσοῦ φύσιν μετα-
D βληθῆναι, καὶ ἐπινοεῖ μέντοι καθ' ὅσον οἷόν τε. Ποίαν γὰρ μηχανὴν διὰ χρυσὸν οὐ κινεῖ; Ὁ σῖτος χρυσὸς αὐτῷ γίνεται· ὁ οἶνος εἰς χρυσὸν μεταπήγνυται· τὰ ἔρια αὐτῷ ἀποχρυσοῦται· πᾶσα ἐμπορία, πᾶσα ἐπίνοια χρυσὸν αὐτῷ προσάγει (9). Αὐτὸς ἑαυτὸν ὁ χρυσὸς ἀπογεννᾷ, πολυπλασιαζόμενος ἐν δανείσμασι· καὶ τέλος τῆς ἐπιθυμίας οὐχ ἐξευρίσκεται. Τῶν μὲν γὰρ παίδων τοῖς λίχνοις ἀφειδῶς πολλάκις ἐνδίδομεν τῶν περισπουδάστων (10) ὑπερεμπίμπλασθαι, ὥστε

(1) Ex hom. *in mart. Julittam*, 39.
(2) Ex serm. *De legendis libris gent.*, 183
(3) Ex hom. *in divites*, 57.
(4) Ex hom. in illud Lucæ, *Destruam*, 47.
(5) *Ὑπερκειμένην*. Sic contextus Basilii. Editi nostri ὑποκειμένην.
(6) *Ἀφίκωνται*. Forte ἐφίκωνται. Edit.
(7) *Καταχωσθεῖσα*. Contextus κατασχεθεῖσα.
(8) *Ἴδῃ*. Forte ἴδοι. Edit.
(9) *Προσάγει*. Sic codicum alter et Basilii contextus. Editi προάγει.
(10) *Τῶν περισπουδάστων*. Sic idem codex et Basilii contextus. Editi τῷ περισπουδάστῳ.

A τῷ ὑπερβάλλοντι κόρῳ τὴν ἀποστροφὴν ἐμποιῆσαι. Ὁ δὲ πλεονέκτης, οὐχ οὕτως· ἀλλ' ὅσῳ πλειόνων ἐμφορεῖται, πλειόνων ἐφίεται. Τὸ μὲν πῦρ ἐπειδὰν καταπρήσεως ἅψηται, σπεύδει πᾶσαν ἐπινεμηθῆναι τὴν ὕλην· καὶ οὐδεὶς αὐτῷ (1) στῆσαι δύναται, πρὶν ἂν ἐπιλείπῃ ἡ ὕλη. Τὸν δὲ πλεονέκτην τί δύναται ἐπισχεῖν; Πυρός ἐστι χαλεπώτερος, πάντα διὰ συνεχείας νεμόμενος. Ἔλαβε τὰ τοῦ πλησίον· ἄλλος ἀνεφάνη γείτων, καὶ τὰ ἐκείνου ἐξιδιοποιήσατο. Οὐ τοῖς κατόπιν προσέχει, ὅτι πολλά· ἀλλὰ τοῖς λείπουσιν, ὅτι γείτονας κέκτηται. Οὐκ εὐφραίνει τὰ κτηθέντα· ἀλλὰ λυπεῖ τὰ λειπόμενα· οὐ τῇ ἀπολαύσει τῶν συναχθέντων προσέχει, ἀλλ' ἑαυτὸν ἐκδαπανᾷ τῇ ἐπιθυμίᾳ τῆς τοῦ πλείονος κτήσεως. Εἶτα ἀγρυπνίαι ἐντεῦθεν, αἱ μέριμναι, αἱ φροντίδες. Τί ποιήσω; B *Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. Ἄφρον, ἐν ταύτῃ τῇ νυκτὶ ἀπαιτοῦσι παρὰ σοῦ τὴν ψυχήν· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;* Μείζων τῆς αἰωνίου κολάσεως ὁ γέλως τῆς ἀβουλίας. Ὁ γὰρ μετ' ὀλίγον ἀνάρπαστος ἄγεσθαι (2) μέλλων, οἷα βουλεύεται; *Καθελῶ μου τὰς ἀποθήκας.* Καλῶς ποιεῖς, φαίην ἂν ἔγωγε πρὸς αὐτόν· ἄξια γὰρ καθαιρέσεως τὰ ταμιεῖα τῆς ἀδικίας. Κατάσκαπτε ταῖς ἑαυτοῦ χερσὶν, ἃ κακῶς ᾠκοδόμησας· λύε τὰ σιτοδοχεῖα, ὅθεν οὐδεὶς ἀπῆλθέ ποτε παραμυθίας τυχών· ἀφάνισον πάντα οἶκον, πλεονεξίας φύλακα, ἀποσκεύασον ὀρόφους, περίελε τοίχους, δεῖξον ἡλίῳ τὸν εὐρωτιῶντα σῖτον, ἐξάγαγε ἐκ φυλακῆς τὸν δέσμιον πλοῦτον, θριάμβευσον τὰ σκοτεινὰ τοῦ μαμωνᾶ καταγώγια. *Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω.* C Ἐὰν δὲ καὶ ταύτας ἐμπλήσῃς (3), τί ποτε ἄρα διανοηθήσῃ; ἦπου πάλιν καθαιρήσεις, καὶ πάλιν οἰκοδομήσεις; Καὶ τί τούτων ἀνοητότερον, ἀπέραντα μοχθεῖν. οἰκοδομεῖν μετὰ σπουδῆς, καὶ μετὰ σπουδῆς καθαιρεῖν;

3. Κἂν μὲν ἀκούσῃς, *Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς*, ἵνα ἔχῃς ἐφόδιον πρὸς τὴν αἰώνιον ἀπόλαυσιν, ἀπέρχῃ λυπούμενος· ἂν δὲ ἀκούσῃς, Δὸς χρήματα γυναιξὶ χλιδώσαις, δὸς λιθοξόοις, τέκτοσι, ψηφοθέταις, ζωγράφοις, χαίρεις ὡς δή τι χρημάτων τιμιώτερον κατακτώμενος. Οὐχ ὁρᾷς τοὺς τοίχους τούτους τοὺς ὑπὸ τοῦ χρόνου καταρρυέντας, ὧν τὰ λείψανα ὥσπερ σκόπελοί τινες διὰ τῆς πόλεως πάσης ἀνέχουσι; Πόσοι ἦσαν κατὰ τὴν πόλιν πένητες τούτων ἐγειρομένων, οἳ διὰ τὴν περὶ D ταῦτα σπουδὴν ὑπὸ τῶν τότε πλουσίων παρεωρῶντο; Ποῦ τοίνυν ἡ λαμπρὰ τῶν ἔργων κατασκευή; ποῦ δὲ ὁ ἐπὶ τῇ τούτων μεγαλουργίᾳ ζηλούμενος; Οὐ τὰ μὲν συγκέχυται καὶ ἠφάνισται, ὥσπερ τὰ κατὰ παιδιὰν ἐν ταῖς ψάμμοις ὑπὸ τῶν παίδων φιλοτεχνούμενα, ὁ δὲ ἐν τῷ ᾅδῃ κεῖται, ἐπὶ τῇ σπουδῇ τῶν ματαίων μεταμελούμενος; Μεγάλην ἔχε τὴν ψυχὴν, ἄνθρωπε. Τοῖχοι δὲ καὶ μικροὶ καὶ μείζονες τὴν αὐτὴν χρείαν πληροῦσι τοῖς ἔχουσιν. Ἔχεις ἀποθήκας, ἐὰν θέλῃς

[68] Luc. XII, 18-20. [69] Matth. XIX, 21.

(1) Αὐτῷ. Legendum videtur αὐτό. EDIT.
(2) Ἄγεσθαι. Codicum alter γενέσθαι.
(3) Ἐμπλήσῃς. Sic uterque codex et contextus. Editi ἐμπλήσεις.

item : sed quo pluribus impletur, hoc plura desiderat. (4) Ignis postquam accensus est, festinat materiam omnem depascere : nec quisquam priusquam materia deficiat, eum sistere potest. Avarum autem quid potest cohibere? Igne ipso est asperior, omnia continenter depascens. Usurpavit quæ proximi sunt; alius prodiit vicinus, ejus quoque bona sibi assumpsit : **500** non attendit iis quæ prius parta fuerunt, quod multa sunt : sed iis quæ desunt, quod vicinos habet. Non lætatur possessis : sed de iis quæ desunt, dolet : neque ad ea quæ congessit perfruenda animum appellit, sed opum ampliorum desiderio absumit semetipsum. Deinde hinc vigiliæ, curæ, sollicitudines. Quid faciam? *Diruam horrea mea, et ampliora ædificabo. Stulte, hac nocte animam tuam repetunt a te : quæ autem parasti, cujus erunt* [68]? (5) Hæc irrisio stultitiæ superat supplicium æternum. Qui enim paulo post rapiendus est et abducendus, qualia in animo versat consilia? *Destruam horrea mea.* Recte facis, ego ipse ei dixerim. Digna enim sunt quæ destruantur, iniquitatis horrea. Tuis ipse manibus dirue quæ male ædificasti. Solve frumentarias penus, unde nemo unquam allevatus exiit. Destrue omnem domum avaritiæ custodem, everte tecta, demolire muros, ostende soli frumentum cariosum, educ e carcere vinctas opes, produc in publicum tenebrosa mammonæ conclavia : *Destruam horrea mea, et majora ædificabo.* Quod si hæc quoque impleveris, quid tum excogitabis? rursusne destrues, et rursus ædificabis? Quid stultius, quam laborare perpetuo, ædificare diligenter, et diligenter destruere?

3. (6) Quod si audieris : *Vende quæ habes, et da pauperibus* [69], ut habeas viaticum ad æternam felicitatem, abis tristis : si vero audieris : Da pecunias mulieribus luxuriosis, da lapicidis, fabris lignariis, hominibus calculos locantibus, pictoribus, tunc perinde gaudes ac si quidquam pecuniis pretiosius acquiras. Non vides mœnia hæc temporis diuturnitate collapsa, quorum reliquiæ velut scopuli quidam per totam urbem eminent? Quot, cum exstruerentur, erant in urbe pauperes, qui ob collatum in ea studium a divitibus ejus temporis negligebantur? Ubi igitur splendida operum structura? ubi ille, qui magnopere laudabatur ob eorum magnificentiam? Nonne hæc quidem prolapsa et abolita, ut ea, quæ in arena a pueris ludentibus exstruuntur, illum autem in inferno jacentem impensi rebus vanis studii pœnitet? Sis animo magno, o homo. Muri tum parvi tum magni eumdem possidentibus usum præstant. (7) Habes horrea, si

(4) Ex hom. dicta *in Lacizis*, 590.
(5) Ex hom. in illud Lucæ, *Destruam*, 48.
(6) Ex hom. *in divites*, 55.
(7) Ex hom. in illud Lucæ, *Destruam*, 49.

vis, domos pauperum. *Thesauriza tibi thesaurum in cælo* [70]. Quæ illic reconduntur, ea non depascuntur tineæ, non corrodit caries, non prædantur fures. At egenis impertiar, cum secunda horrea implevero. Longum tibi vitæ tempus præfixisti. Cave te præfinita dies festinans prævertat. Nam pollicitatio isthæc nequitiæ argumentum est, non benignitatis. Polliceris enim, non ut de postea, sed ut præsens submoveas. Nunc cum liceat, quid impedit quominus largiare? Nonne adest indigus? nonne plena sunt horrea? an non parata merces? an non clarum præceptum est et perspicuum? Esuriens contabescit, nudus riget: strangulatur **501** is a quo debitum exigitur; et tu eleemosynam differs in crastinum? Audi Salomonem: *Ne dixeris: Abi ac revertere, et cras dabo, cum hodie benefacere possis* [71]: *ignoras enim quid pariet dies sequens* [72]. (1) Præterea, aurum cum das, et emis equum, non mœres: cum vero peritura impertis, ac regnum cœlorum accipis, lacrymas effundis, et rejicis rogantem, ac dare recusas, sexcentas tibi sumptuum causas comminiscens. Quid respondebis judici? qui parietes vestis, hominem non vestis? qui equos ornas, fratrem in sordibus jacentem aspernaris? qui putrescere sinis frumentum, esurientes non alis? qui defodis aurum, oppressum contemnis?

4. (2) Quomodo tibi pauperis calamitates ponam ob oculos? Ille re familiari circumspecta, videt aurum sibi nec adesse, nec unquam adfuisse, sed vasa ac vestes, qualis esse solet pauperum possessio, omnia paucis obolis æstimanda. Ecquid igitur? Tum demum miser convertit oculos in liberos, ut in forum ducens, mortis inveniat remedium. Hic urgentis famis pugnam consideres, velim, et paterni amoris. Fames quidem miserrimam mortem minatur, natura vero retrahit, suadetque ut una cum liberis moriatur: et sæpe impulsus, et sæpe retentus, tandem succumbit, necessitate egestatis coactus. Sed quæ in animo consilia versat pater? Quem primum divendam? quemnam frumenti venditor lubentius conspiciet? Accedam ad maximum natu? At ætatis jura revereor. An ad minimum natu? at me miseret illius ætatis, calamitates necdum intelligentis. Hic claram exhibet parentum effigiem: ille idoneus est ad disciplinas discendas. Heu, consilii inopiam! Quo me vertam? in quem horum impingam? qualem bestiæ animum induam? quomodo naturæ obliviscar? Omnes si servo, fame videbo consumi omnes. Unum si vendidero, quibus oculis reliquos aspi-

A τὰς οἰκίας (3) τῶν πενήτων. *Θησαύρισον σεαυτῷ θησαυρὸν ἐν οὐρανῷ*. Τὰ ἐκεῖ ἀποτιθέμενα οὐ σῆτες μεταβόσκονται, οὐ σηπεδὼν ἐπινέμεται, οὐ λῃσταὶ διακλέπτουσιν. Ἀλλὰ τότε μεταδώσω τοῖς δεομένοις, ὅταν τὰς δευτέρας ἀποθήκας πληρώσω. Μακροὺς σεαυτῷ τοὺς χρόνους τῆς ζωῆς ἔπηξας· καὶ σκόπει, μή σε προκαταλάβῃ ὁ κατὰ προθεσμίαν ἐπείγων. Καὶ γὰρ ἡ ἐπαγγελία οὐ χρηστότητός ἐστιν ἀλλὰ πονηρίας ἀπόδειξις. Ἐπαγγέλλῃ γὰρ, οὐχ ἵνα δῷς μετὰ ταῦτα, ἀλλ' ἵνα τὸ παρὸν διακρούσῃ. Ἐπεὶ νῦν τί τὸ κωλύον τὴν μετάδοσιν; Οὐ πάρεστιν ὁ ἐνδεής; οὐχὶ πλήρεις αἱ ἀποθῆκαι; οὐχ ὁ μισθὸς ἕτοιμος; οὐχ ἡ ἐντολὴ τηλαυγής; Ὁ πεινῶν τήκεται, ὁ γυμνητεύων πήγνυται, ὁ ἀπαιτούμενος ἀπάγχεται· καὶ σὺ τὴν ἐλεημοσύνην εἰς τὴν αὔριον ἀναβάλλῃ. B Ἄκουε Σολομῶντος· *Μὴ εἴπῃς· Ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα*. Εἶτα, χρυσὸν μὲν διδοὺς, καὶ ἵππον κτώμενος, οὐκ ἀθυμεῖς· φθαρτὰ δὲ προϊέμενος, καὶ βασιλείαν οὐρανῶν λαμβάνων, δακρύεις, καὶ ἀρνῇ τὸν αἰτοῦντα, καὶ ἀνανεύεις τὴν δόσιν, μυρίας προφάσεις ἀναλωμάτων ἐπινοῶν. Τί ἀποκριθήσῃ τῷ κριτῇ; ὁ τοὺς τοίχους ἀμφιεννὺς, ἄνθρωπον οὐκ ἐνδύεις; ὁ τοὺς ἵππους κοσμῶν, τὸν ἀδελφὸν ἀσχημονοῦντα περιορᾷς; ὁ κατασήπων τὸν σῖτον, τοὺς πεινῶντας οὐ τρέφεις; ὁ τὸν χρυσὸν κατορύσσων, τοῦ ἀγχομένου καταφρονεῖς;

4. Πῶς σοι ὑπ' ὄψιν ἀγάγω τὰ πάθη τοῦ πένητος; Ἐκεῖνος περισκεψάμενος τὰ ἔνδον, ὁρᾷ, ὅτι χρυσὸς C μὲν αὐτῷ οὔτε ἐστὶν, οὔτε γεγένηται (4) πώποτε· σκεύη δὲ καὶ ἐσθὴς, τοιαῦτα ὁποῖα ἂν γένηται πτωχῶν κτήματα (5), ὀλίγων τὰ πάντα ὀβολῶν ἄξια. Τί οὖν; Ἐπὶ τοὺς παῖδας λοιπὸν ὁ ἄθλιος ἄγει τὸν ὀφθαλμὸν, ὥστε ἀγαγὼν εἰς τὸ πρατήριον, ἐντεῦθεν εὕρασθαι τοῦ θανάτου παραμυθίαν. Νόησον ἐνταῦθα μάχην ἀνάγκης λιμοῦ καὶ διαθέσεως πατρικῆς. Ἡ μὲν τὸν οἴκτιστον θάνατον ἀπειλεῖ, ἡ δὲ φύσις ἀνθέλκει, συναποθανεῖν τοῖς τέκνοις πείθουσα· καὶ πολλάκις ὁρμήσας, καὶ πολλάκις ἀνακοπεὶς, τελευταῖον ἐκρατήθη, ὑπὸ τῆς ἀναγκαίας χρείας ἐκβιασθείς. Καὶ οἷα βουλεύεται ὁ πατήρ; Τίνα τούτων ἀπεμπωλήσω; τίνα δὲ ἡδέως ὁ σιτοπώλης ὄψεται; Ἐπὶ τὸν πρεσβύτατον ἔλθω; ἀλλὰ δυσωποῦμαι αὐτοῦ τὰ πρεσβεῖα. Ἀλλὰ τὸν νέον; ἀλλ' ἐλεῶ τὴν ἡλικίαν ἀναισθητοῦσαν τῶν D συμφορῶν. Οὗτος ἐναργεῖς σώζει τῶν γονέων τοὺς χαρακτῆρας· ἐκεῖνος ἐπιτηδείως ἔχει πρὸς τὰ μαθήματα. Φεῦ τῆς ἀμηχανίας! Τίς γένωμαι; τίνι τούτων προσκρούσω; ποίαν θηρίου ψυχὴν ἀναλάβω; πῶς τῆς φύσεως ἐπιλάθωμαι; Ἐὰν πάντων ἀντίσχωμαι (6), πάντας ὄψομαι δαπανωμένους τῷ πάθει. Ἐὰν ἕνα πρόωμαι, ποίοις ὀφθαλμοῖς τοὺς λοιπο-

[70] Matth. VI, 20. [71] Prov. III, 28. [72] Prov. XXVII, 1.

(1) Ex hom. *in Divites*, 55.

(2) Ex hom. in illud Lucæ, *Destruam*, 46.

(3) *Τὰς οἰκίας*. Editi τὰς κοιλίας, *ventres pauperum*. Melius Basilii contextus ac nostri codices.

(4) *Γεγένηται*. Legitur in contextu Basilii γενήσεται, *nec unquam adfuturum*.

(5) *Κτήματα*. Deest ea vox in utroque codice, quorum alter habet πτωχῷ.

(6) *Ἐὰν πάντων ἀντίσχωμαι*. Hæc addita ex codicum altero et contextu.

μένους προσίδω, ὕποπτος αὐτοῖς ἤδη γεγενημένος εἰς ἀπιστίαν; Πῶς οἰκήσω τὴν οἰκίαν, ἐμαυτῷ κατασκευάσας τὴν ἀπαιδίαν; πῶς ἐπὶ τράπεζαν ἔλθω, ἐκ τοιαύτης προφάσεως τὴν εὐπορίαν ἔχουσαν; Καὶ ὁ μὲν μετὰ μυρίων δακρύων τὸν φίλτατον τῶν παίδων ἀπεμπωλήσων ἔρχεται· σὲ δὲ οὐ κάμπτει τὸ πάθος, οὐ λογισμὸν λαμβάνεις τῆς φύσεως. Ἀλλ' ὁ μὲν λιμὸς συνέχει τὸν ἄθλιον, σὺ δὲ ἀναβάλλῃ καὶ εἰρωνεύῃ, μακροτέραν αὐτῷ κατασκευάζων τὴν συμφοράν. Καὶ ὁ μὲν τὰ σπλάγχνα προτείνεται τιμὴν τῶν τροφῶν· σοῦ δὲ οὐ μόνον οὐκ ἀποναρκᾷ ἡ χεὶρ, ἐκ τῶν τοιούτων συμφορῶν ὑποδεχομένη τιμήματα· ἀλλὰ καὶ ζυγομαχεῖς περὶ τοῦ πλείονος· καὶ ὅπως ἂν πολὺ λαβὼν ἔλαττον δώῃς φιλονεικεῖς, πανταχόθεν βαρύνων τὴν συμφορὰν τῷ ἀθλίῳ.

5. Τὴν Σελευκίδα τὸ ὄρνεον, ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων, ἀκόρεστον εἶναι ὁ κτίστης τῶν ὅλων ἐμηχανήσατο· σὺ δὲ ἐπὶ βλάβῃ τῶν πολλῶν ἀκόρεστον σεαυτοῦ τὴν ψυχὴν κατεσκεύασας. Ἀλληλοφάγοι τῶν ἰχθύων οἱ πλεῖστοι, καὶ ὁ μικρότερος παρ' ἐκείνοις βρῶμά ἐστι τοῦ μείζονος. Κἂν ποτε συμβῇ τὸν τοῦ ἐλάττονος κρατήσαντα ἑτέρου γενέσθαι θήραμα, ὑπὸ τὴν μίαν ἄγονται γαστέρα τοῦ τελευταίου. Τί νῦν ἡμεῖς ἄνθρωποι (1) ἄλλο τι ποιοῦμεν ἐν τῇ καταδυναστείᾳ τῶν ὑποδεεστέρων; τί διαφέρει τοῦ τελευταίου ἰχθύος ὁ τῇ λαιμάργῳ φιλοπλουτίᾳ τοῖς ἀπληρώτοις τῆς πλεονεξίας αὐτοῦ κόλποις ἀποκρύπτων τοὺς ἀσθενεῖς; Ἐκεῖνος εἶχε τὰ τοῦ πένητος· σὺ τοῦτον λαβὼν μέρος ἐποιήσω τῆς περιουσίας ἑαυτοῦ. Ἀδίκων ἀδικώτερος ἐφάνης, καὶ πλεονεκτικώτερος πλεονέκτου. Ὅρα, μὴ τὸ αὐτό σε πέρας τῶν ἰχθύων ἐκδέξηται, ἄγκιστρόν που, ἢ κύρτος, ἢ δίκτυον. Πάντως γὰρ καὶ ἡμεῖς πολλὰ τῶν ἀδίκων διεξελθόντες, τὴν τελευταίαν τιμωρίαν οὐκ ἀποδρασόμεθα. Ἐκ πλεονεξίας σοι κατέλιπεν ὁ πατὴρ κτήματα· ἀπόδος τῷ ἠδικημένῳ, μὴ ὡς ἰδίων ἀντιποιοῦ· ἁμαρτίας ἐστὶ κληρονομία. Ἀδίκως καταδουλωσάμενος ὁ πατὴρ ἀφῆκέ σοι δοῦλον· δὸς αὐτῷ σὺ τὴν ἐλευθερίαν, ἵνα κἀκείνῳ κουφοτέραν ποιήσῃς τὴν βάσανον, καὶ σεαυτῷ τὴν ἐλευθερίαν παρασκευάσῃς. Μὴ προφασίζου τοὺς παῖδας. Παῖδές εἰσι; θησαύριζε αὐτοῖς θησαυρὸν αἰώνιον. Κατάλειπε αὐτοῖς μνήμην ἀγαθήν, ἢ πλοῦτον (2) πολύν· πάντας ποίησαι τοῦ παιδὸς τοῦ σοῦ πατέρας διὰ τῆς εὐνοίας (3). Ἀνάγκη σέ ποτε ἀπελθεῖν τοῦ βίου· εἶτα τὸν σὸν παῖδα ἐν τῇ ἀφηλικίᾳ καταλείψεις, τῶν προεστώτων δεόμενον. Ἐὰν μὲν καλὸς καὶ ἀγαθὸς ᾖς, ἕκαστος τὸν σὸν ἔκγονον ὥσπερ ἴδιον ἐκθρέψει· μεμνήσεται γάρ, ὅτι καὶ σὺ ὀρφανῶν πατὴρ ἐγένου. Ἐὰν δὲ ἐν πονηρίᾳ ζήσας, καὶ πολλοὺς λυπήσας, καὶ παντὸς θηρίου χαλεπώτερος γενόμενος τοῖς συντυγχάνουσιν, ὑπεξέλθοις τοῦ βίου, κατέλιπες τὸν σὸν ἔκγονον κοινὸν ἐχθρὸν τῶν ζώντων. Ὥσπερ γὰρ τέκνον σκορπίου ὁ

(1) Ἄνθρωποι. Sic uterque codex et contextus. Editi ὦ ἄνθρωποι.

(2) Ἢ πλοῦτον. Editi οὐ πλοῦτον. Cum Basilii contextu consentit uterque codex.

(3) Διὰ τῆς εὐνοίας. In contextu Basilii satis commode emendatum est διὰ τῆς εὐποιίας, *benefaciendo*, quamvis duo tantum codices hanc scripturam agnoscant, cæteri cum editis consentiant.

A ciam, illis jam perfidiæ ac proditionis nomine suspectus? Quomodo habitabo domum, qui mihi ipse sim auctor orbitatis? Quomodo accedam ad mensam, cujus abundantia causam ejusmodi habet? Atque ille quidem innumeris cum lacrymis abit charissimum filiorum venditurus: te vero non flectit calamitas, neque animum tuum subit naturæ cogitatio. Atqui fames miserum illum premit, tu vero cunctaris ac illudis, calamitatem ei reddens longiorem. Et ille quidem viscera sua pretium alimentorum porrigit; tua vero manus ex ejusmodi calamitatibus pretia referens, non modo non stupet, sed de pretio etiam contendis, quasi plus satis offeras, atque studium in eo ponis, ut plus accipiens, minus des, misero undelibet accu-
B mulans calamitatem.

5. (4) Avem Seleucidem universorum opifex hominum gratia condidit insatiabilem; tu vero in multorum perniciem animum tuum inexplebilem effecisti. (5) Piscium plurimi vorant se invicem, minorque apud illos alimentum est majoris. Et si unquam contigerit, ut is qui **502** minorem superaverat, alterius fiat præda: ambo in unum et eumdem posterioris ventrem ingrediuntur. Quid igitur aliud nos homines agimus, dum tyrannide et potentia opprimimus inferiores? Quid a postremo pisce differt is, qui præ voraci divitiarum cupiditate in inexplebilibus avaritiæ suæ sinibus imbecilles abscondit? Ille possidebat pauperis bona: tu ipsum apprehensum fecisti tuæ ipsius
C opulentiæ partem. Injustis injustiorem, et rapaci rapaciorem te ostendisti. Cave excipiat te idem finis, qui pisces: hamus videlicet, aut nassa, aut rete. Omnino enim et nos, si multum admiserimus iniquitatis, ultimam non effugiemus pœnam. * Possessiones per rapinam partas tibi reliquit pater: redde tu injuria affecto, ne tu tibi eas ut proprias vindica; peccati est hæreditas. Injuste in servitutem redactum tibi servum reliquit pater: eum tu libertate dona, ut et illi efficias leviora tormenta, tibique libertatem pares. (6) Ne causeris liberos. Sunt tibi liberi? collige ipsis thesaurum æternum. Relinque illis recordationem bonam, magis quam divitias multas. Fac benevolentia, ut omnes filii
D tui sint patres. Aliquando de vita decedas necesse est; deinde filium tuum in immatura ætate relinques adhuc tutoribus egentem. Quod si honestus fueris et bonus, unusquisque filium tuum ut suum enutriet; nam eis in mentem veniet fuisse te quoque orphanorum patrem; sin autem posteaquam in malitia vixeris, multosque affeceris mœrore, et in eos qui tecum congrediuntur fera omni fueris acerbior, ita demum migras de vita; filium tuum reliquisti communem viventium hostem.

(4) Ex hom. *in divites*, 57.

(5) Ex hom. VII *in Hexaem.*, 65

(6) Ex hom. dicta *in Lacizis*, 591.

Quemadmodum enim qui scorpii natum conspexerit, timet ne quando ætate provectior imitetur patrem : ita etiam tuis liberis paternæ nequitiæ hæredibus, priusquam ad ætatem pervenerint, struentur ab omnibus insidiæ. (1) Nam ut flumina ex parvo initio profecta, deinde per eas quæ paulatim fiunt accessiones intolerabiliter aucta, quidquid obsistit et objicitur, id violento impetu secum trahunt ; ita etiam divites ex parva potentia prodeuntes, ubi ex iis quos jam potentia sua oppressere inferendæ injuriæ facultatem ampliorem adepti sunt, tunc reliquos una cum iis quos prius injuria affecere, redigunt in servitutem, fitque ipsis potestatis incrementum magnitudo nequitiæ, cum unusquisque eorum qui jam injuria affecti sunt, magis sollicitus sit, ne quid mali ulterius patiatur, quam ut de iis quæ perpessus est, vindictam sumat.

6. (2) Ne igitur concupiscas agros proximi. Ne sulcum sulco adjiciens, agrum tuum paulatim adaugeas. Quantum enim ex aliena accessione terram dilataveris, tanto majus peccatum tibi accersis. Et terra quidem quæ tibi paulatim accesserat, et per avaritiam parta fuerat, hic remanet, nec amplius tua est, sed hæredum, ac iniquas opes relinquis successori. *Terra in æternum stat* [73] : peccatum vero sequetur **503** ut umbra, animæ omni adhærens. Quemadmodum enim umbra sequitur corpus : ita et peccatum animæ adhæret. (3) Præterea quicunque usurpatis proximorum agris, limites possessionum suarum plus æquo extenderunt, eo quod possessiones illæ non sine gemitibus eorum qui injuria afficiebantur, fuerant acquisitæ, facti sunt a divina benedictione alieni. Unde ubi decem boum juga, ut est apud Isaiam [74], araverant, vix laguncula una vindemiabitur, et ubi sex artabæ fuerant seminatæ, vix tres fructuum mensuræ colligentur. (4) Malus in urbe, malus ruri vicinus est rapax. Novit mare terminos suos : nox antiquos limites sibi præscriptos non transgreditur. At vero homo rapax non veretur tempus, non agnoscit terminum, successionis ordini non cedit : sed ignis vim imitatur, invadit omnia, omnia depascitur. Quæcunque videt oculus, ea concupiscit rapax. *Non explebitur oculus videndo* [75], neque rapax satiabitur accipiendo. Infernus non dixit, Sufficit [76], neque rapax unquam dixit, Sufficit. (5) At vero quid inde lucri? Vigiliæ, curæ, sollicitudines. Judex exspectatur, et ipse circumspectat ne

θεασάμενος φοβεῖται, μή ποτε εἰς ἡλικίαν ἐλθὸν μιμήσηται τὸν πατέρα· οὕτω καὶ τὰ σὰ ἔκγονα πονηρίας πατρικῆς εἶναι κληρονόμα ὑποπτευόμενα, πρὶν εἰς ἡλικίαν ἐλθεῖν, παρὰ πάντων ἐπιβουλευθήσεται. Ὡς γὰρ οἱ ποταμοὶ ἐκ μικρᾶς τῆς πρώτης ἀρχῆς ὁρμηθέντες, εἶτα ταῖς κατ' ὀλίγον προσθήκαις ἀνυπόστατον λαμβάνοντες τὴν αὔξησιν, τῷ βιαίῳ τῆς φορᾶς τὸ ἐνιστάμενον παρασύρουσιν· οὕτω δὴ καὶ οἱ πλούσιοι ἐκ μικρᾶς δυνάμεως προελθόντες (6), καὶ ἐκ τῶν ἤδη καταδυναστευθέντων τὴν τοῦ πλεῖον ἀδικεῖν δύναμιν προσλαμβάνοντες, τοῖς προηδικημένοις τοὺς λειπομένους καταδουλοῦνται, καὶ γίνεται αὐτοῖς δυνάμεως αὔξησις ἡ περιουσία τῆς πονηρίας, πλείονα λόγον ἑκάστου τῶν ἠδικημένων ἔχοντος μὴ προσπαθεῖν τι κακὸν, ἢ δίκην λαβεῖν ὑπὲρ τῶν φθασάντων.

6. Μὴ τοίνυν ἐπιθυμήσῃς τῆς τοῦ πλησίον χώρας· Μὴ αὔλακα αὔλακι προστιθεὶς, κατὰ μικρὸν αὔξανε τὴν γῆν (7). Ὅσον γὰρ πλατύνεις ἐκ τῆς ἀλλοτρίας προσθήκης τὴν γῆν, τοσούτῳ μακροτέραν σοι τὴν ἁμαρτίαν κατασκευάζεις. Καὶ ἡ μὲν γῆ ἐνταῦθα παραμένει, κατὰ μικρόν σοι προχωρηθεῖσα, καὶ διὰ τῆς πλεονεξίας γενομένη, οὐκ ἔτι σὴ, ἀλλὰ τῶν μετὰ σὲ, καὶ ἀφίεις ἄδικον τῷ διαδεχομένῳ τὸν βίον. *Ἡ γῆ ἕστηκεν εἰς τὸν αἰῶνα*· ἡ δὲ ἁμαρτία ἀκολουθήσει ὡς σκιὰ, πάσῃ ἑπομένη (8) ψυχῇ. Ὥσπερ γὰρ ἡ σκιὰ τῷ σώματι ἕπεται, οὕτω καὶ ἡ ἁμαρτία τῇ ψυχῇ συμπέφυκεν. Ἄλλως τε ὅσοι μετὰ παρορισμοῦ τῶν πλησίον, τοὺς ὅρους τῶν οἰκείων κτήσεων ὑπερεξέτειναν, διὰ τὸ ἀπὸ στεναγμοῦ τῶν ἠδικημένων συμπεπορίσθαι τὰς κτήσεις, ἀλλότριοι τῆς θείας ἀπεδείχθησαν εὐλογίας· ὥστε ἔνθα ζεύγη δέκα βοῶν εἰργάσατο, κατὰ τὸν Ἡσαΐαν, μόγις κεράμιον ἓν τρυγηθῆναι· καὶ ἔνθα ἓξ ἀρτάβαι κατεσπάρησαν, τρία μέτρα συνάγεσθαι τὸν καρπόν. Πονηρὸς ἐν πόλει σύνοικος, πονηρὸς ἐν ἀγροῖς ὁ πλεονέκτης. Ἡ θάλασσα οἶδε τὰ ὅρια αὐτῆς· ἡ νὺξ οὐχ ὑπερβαίνει ὁροθεσίας ἀρχαίας. Ὁ πλεονέκτης δὲ οὐκ αἰδεῖται χρόνον, οὐ γνωρίζει ὅρον, οὐ συγχωρεῖ ἀκολουθίᾳ διαδοχῆς· ἀλλὰ μιμεῖται τοῦ πυρὸς τὴν βίαν, πάντα ἐπιλαμβάνων, καὶ πάντα ἐπινεμόμενος. Ὅσα ἐπιβλέπει ὁ ὀφθαλμὸς, τοσούτων ἐπιθυμεῖ ὁ πλεονέκτης. *Οὐ πλησθήσεται ὁ ὀφθαλμὸς τοῦ ὁρᾷν*, καὶ οὐ χορεσθήσεται φιλάργυρος τοῦ λαμβάνειν. Ὁ ᾅδης οὐκ εἶπεν, Ἀρκεῖ, οὐδ' ὁ πλεονέκτης εἶπέ ποτε· Ἀρκεῖ. Τὸ δὲ ἐντεῦθεν κέρδος τί; Ἀγρυπνίαι, μέριμναι, φροντίδες. Δικαστὴς προσδοκᾶται, καὶ οὗτος

[73] Eccle. I, 4. [74] Isa. V, 10. [75] Eccle. I, 8. [76] Prov. XXVII, 27; XXX, 16.

(1) Ex hom. *in divites*, 57.
(2) Ex hom. *in Lacizis*, 590.
(3) Ex comment. *in Isa.*, 486.
(4) Ex hom. *in divites*, 57.
(5) Ex hom. dicta *in Lacizis*, 591.
(6) *Οἱ πλούσιοι ἐκ μικρᾶς δυνάμεως προελθόντες*. Pro his vocibus legitur in contextu οἱ ἐπὶ μέγα τῆς δυνάμεως προελθόντες, *qui ad magnam potentiam provecti sunt*. Sed nostra scriptura longe videtur præferenda, ac cum altero comparationis membro melius quadrat. Cum ea consentit Colbertinus codex, nisi quod habet ἐκ μακρᾶς, quod erratum est librariorum.
(7) *Τὴν γῆν*. Minus commode in contextu τὴν σήν.
(8) *Πάσῃ ἑπομένη*. Sic videtur emendandum quod legebatur in contextu πᾶσι παρεπομένη. Quæ scriptura cum vitio non careret, inde factum ut illud πᾶσι in nonnullis codicibus mss. expungeretur. Est etiam expunctum in hac novissima editione.

περισκοπεῖ, μὴ εἰς δικαστήρια παρασυρῇ. Βουλεύεται ἐν νυκτὶ, τίνας τῶν πικρῶν συνηγόρων παρασκευάσει, ἵνα ψευδεῖς μαρτυρίας (1) ἐκμισθώσηται· πῶς ἐκπολιορκήσει τὸν ἐν τῇ ἐρημίᾳ, πῶς καταδυναστεύσει τούτου, καὶ ἐν δικαστηρίῳ τὴν ἀλήθειαν κλέψας, ἀμφοτέρους ἀναλώσει, καὶ τὸν δικαστὴν παρακρουσάμενος, καὶ τὸν ἀδικηθέντα (2) πλεονεκτήσας. Τὸν πλοῦτον, τὸν μὲν δημοσιεύει, τὸν δὲ κατορυγμένον ἔχει πρὸς ἐλπίδας τὰς ἀδήλους ἀποτιθέμενος, ἐλπίδας τὰς οὐκ ἐλπίδας. Εἰ γὰρ πρὸς ἐλπίδας ἦν ἡ ἀπόθεσις, πρὸς τὴν αἰωνίαν ἐλπίδα ἐγένετο ἂν ἡ παρασκευή. Νυνὶ δὲ ὑποκρύπτει τῇ κλίνῃ τὸν πλοῦτον τὸν ἄδηλον, τὴν ἐπερχομένην ζημίαν ἀποστρέψειν οἰόμενος. Ἀλλ' εἰ μὲν ἥξει ποτὲ ἡ χρεία, ἄδηλον· ἥξει μέντοι καιρὸς, ἐν ᾧ μεταμεληθήσεται, μὴ οἰκονομήσας τὸν πλοῦτον. Τοῦτο πρόδηλον, κἀγώ εἰμι ὁ ἐγγυώμενος. Τί ποιεῖς, ἄθλιε; Τῇ γῇ παραδίδως τὸν θησαυρόν. Πότε χρήσῃ τοῖς παροῦσι; πότε ἀπολαύσεις αὐτῶν, ἀεὶ τοῖς πόνοις τῆς κτήσεως συνεχόμενος; Οὐ προφασίζῃ μυρία, ἵνα λάβῃς τὰ τοῦ πλησίον; Ἐπισκοτεῖ μοι, φησὶ, τοῦ γείτονος ἡ οἰκία· θορύβους ἐνίησιν, ἢ τὸ ἀποπλανώμενον ὑποδέχεται. Εἰ ἐπιθυμεῖς τῆς τοῦ γείτονος οἰκίας, γείτων δέ σοι πάντως οὐ λείψει, ἀνάγκη σε δηλονότι ἐπὶ τὰ ἔσχατα φθάσαι τῆς καθ' ἡμᾶς οἰκουμένης. Εἰ δὲ τοῦτο ἀμήχανον, ἀπὸ τῆς πρώτης ἐννοίας παῦσον σεαυτοῦ τὴν πρὸς τὸ κακὸν ὁρμὴν, ὦ ἄνθρωπε, ἀρκούμενος οἷς παρέλαβες, ἐπιμένων οἷς ἔχεις· εἰδὼς, ὅτι καὶ μεγέθη οἰκιῶν, διὰ τὸ ἐξ ἀδικίας συστῆναι, ἔρημά ἐστι τῶν οἰκητόρων, καὶ πλῆθος χώρας ἐκ πλεονεξίας περιληφθὲν (3) ἄγονον πολλάκις τῶν καρπῶν ἀπεδείχθη. Προλαμβάνει γὰρ πολλάκις τὴν μέλλουσαν κρίσιν ἡ θεία δίκη, καὶ ἤδη τὰς ἀδίκως περιωρισμένας οἰκίας εἰς ἄχρηστον περιίστησιν, ἀπὸ τῆς πολυανθρώπου οἰκήσεως καὶ τῆς λαμπρᾶς εὐθηνίας ἐρήμους τῶν οἰκητόρων ποιοῦσα. Ὁ γὰρ τῶν ἀλλοτρίων ἐρῶν μετ' οὐ πολὺ θρηνήσει, τῶν ἰδίων ἀποστερούμενος. Τί τὸν Ναυουθαὶ τὸν Ἰεζραηλίτην ἀπέκτεινεν; οὐχ ἡ τοῦ Ἀχαὰβ (4) ἐπιθυμία τοῦ ἀμπελῶνος;

7. Μνήσθητι τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ *Ἀποκαλύπτεται ὀργὴ ἀπ' οὐρανοῦ*. Μνήσθητι τῆς ἐνδόξου τοῦ Χριστοῦ παρουσίας, ὅτε ἀναστήσονται, οἱ μὲν τὰ ἀγαθὰ πράξαντες, εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα, εἰς ἀνάστασιν κρίσεως. Ἐκεῖνα λυπείτω σε, καὶ μὴ λυπείτω σε ἡ τοῦ Θεοῦ ἐντολή. Πῶς σε δυσωπήσω; τί φθέγξομαι; Βασιλείας οὐκ ἐπιθυμεῖς, γέενναν οὐ φοβῇ· πόθεν εὑρεθῇ ἴασις τῇ ψυχῇ σου; Εἰ γὰρ τὰ φρικτὰ οὐ φοβεῖ (5), τὰ φαιδρὰ οὐ προτρέπεται, λιθίνῃ καρδίᾳ διαλεγόμεθα.

A ad judicium pertrahatur. Deliberat noctu, quos amarulentos patronos subornet, ut falsa testimonia mercede redimat, quomodo eum qui desolatus est expugnet, quomodo eum opprimat potentia, ac in ipso judicio occultata veritate, et judicem fallens, et injuria affectum bonis spolians, utrumque voret. Pecunias alias profert in medium, alias defossas habet, ad spes incertas seponens, ad spes, inquam, quæ spes nequaquam sunt. Etenim si ad spes reconderentur, in æternam spem fieret illa præparatio. Nunc autem sub lecto divitias incertas abscondit, venturum damnum avertere se ratus. Sed an ventura sit unquam utendi necessitas, incertum; contra, veniet tempus, in quo pecunias non distribuisse pœ-

B nitebit. Hoc certum est, et indubitatum, et ego sponsor sum. (6) Quid agis, miser? Humi thesaurum mandas. Quandonam uteris præsentibus? quando his frueris semper acquirendi labore detentus? annon innumera causaris, ut rem proximi usurpes? Mihi, inquit, tenebras offundit domus vicini, turbas excitat, aut errones suscipit. Si domum vicini desideras, nec tibi unquam vicinus defuturus est, necesse est videlicet, ut ad extremos orbis nostri terminos te conferas. (7) Quod si id fieri nequit, a prima cogitatione cohibe tuum ad malum impetum, o homo, his quæ antea possedisti contentus, stansque his quæ habes: non ignarus, ædium magnitudines, eo quod ex iniquitate constructæ essent, habitatoribus vacuas esse, et

C jugerum multitudinem ex rapinis comparatam sæpe infecundam effici. Antevertit enim sæpenumero futurum judicium divina ultio, ac terminis injustis circumscriptas domos nulli jam aptas usui relinquit, ex magna hominum **504** frequentia ac splendido apparatu vacuas habitatoribus redigens. Nam qui aliena cupit, non multo post lugebit, propriis suis privatus. (8) Quid Naboth Jezraelitam interemit? Nonne cupiditas Achaab vitem illius concupiscentis?

7. (9) Recordare illius diei, in quo *Revelatur ira de cœlo* [77]; veniat tibi in mentem gloriosus adventus Christi; cum qui bona egerint, resurgent in resurrectionem vitæ; qui vero mala, in resurre-

D ctionem judicii [78]. Hæc te tristitia afficiant, non molestum tibi sit præceptum Dei. Quomodo flectam te? quid dicam? Regni non teneris desiderio, non times gehennam, unde sanitas animæ tuæ conciliabitur? Etenim si non terrent horrenda, si læta ac hilaria non exstimulant, lapideum cor alloqui-

[77] Rom. I, 18. [78] Joan. V, 29.

(1) *Μαρτυρίας*. Codicum alter μάρτυρας, *falsos testes*.

(2) *Τὸν ἀδικηθέντα*. Contextus τὸν νήπιον, *infantem*.

(3) *Περιληφθέν*. Sic codicum alter. Editi περιβληθέν. Paulo post ejusdem codicis ope emendavimus vitium vulgatæ εἰς χρηστόν. Contextus paulo post πεπορισμένας, *injuste comparatas domos*.

(4) *Ἀχαάβ*. Sic contextus et codicum alter. Editi, Χαάμ.

(5) *Οὐ φοβεῖ*. Sic uterque codex. Editi οὐ φοβῇ.

(6) Ex hom. *in divites*, 57.

(7) Ex comment. *in Isa*. 486.

(8) Ex hom. *in divites*, 57.

(9) Ibid., 58.

mur. (1) Velim te ab injustitiæ operibus paululum respirare, o avare, et cogitationibus tuis otium dare, tecum ut reputes ad quem finem studium ejusmodi rerum tendat. Habes tot jugera terræ arabilis, totidem terræ arboribus consitæ, montes, campos, saltus, fluvios, prata. Quid igitur post hæc? Nonne tres terræ cubiti te exspectant? nonne paucorum lapidum onus misero corpori custodiendo erit satis? Ob quam rem inique agis? quid manibus infructuosam sterilitatem atque inexstinguibili perpetuoque igni materiam coacervas? Num tandem resipisces ab hac ebrietate? num recipies te ad saniorem mentem? num ad te redibis? num Christi judicium tibi pones ob oculos? Quam allaturus es excusationem, cum ii qui injuria affecti fuerint, jam te circumstantes, adversum te clamabunt coram æquo judice? Quid ergo facies? quos conduces patronos? quos testes duces? quomodo illudes judici, qui nullis artibus decipi potest? Nullus ibi adest rhetor, non sunt verba suasoria, quæ judici veritatem suffurari possint : non sequuntur adulatores, non pecuniæ, non fastus dignitatis. Desertus ab amicis, destitutus fautoribus, sine patrocinio, citra defensionem, pudore suffusus relinqueris, tristis, mœstus, solitarius, fiducia ac libertate loquendi carens. Quocunque enim converteS oculos, clara et aperta conspicies scelerum argumenta; hinc pupilli lacrymas, illinc viduæ gemitum, aliunde egenos abs te pugnis obtusos, servos quos cecidisti, vicinos quos ad iracundiam provocasti. Insurgent adversum te omnia : te tuarum actionum malarum chorus pravus stipabit. Nullus est ibi negandi locus, sed obturatur omne os impudens. Nam ipsa testimonium in unumquemque ferunt opera, non quidem vocem emittentia, sed talia apparentia, qualia a nobis peracta sunt. Fugiamus igitur totis viribus gravissimum avaritiæ vitium : fugiamus, inquam, ut et indicta nobis supplicia vitemus, et æternorum bonorum participes efficiamur, in Christo Jesu Domino nostro, cui gloria, et potestas, cum principio carente Patre, ac sanctissimo et vivificante Spiritu, nunc, et semper, et in infinita sæcula sæculorum. Amen.

A Ἐβουλόμην σε μικρὸν ἀναπνεῦσαι τῶν ἔργων τῆς ἀδικίας, ὦ πλεονέκτα, καὶ δοῦναι σχολὴν τοῖς ἑαυτοῦ λογισμοῖς, ὥστε ἐνθυμηθῆναι, πρὸς ποῖον πέρας ἡ σπουδὴ τῶν γινομένων συντέτακται (3). Ἔχεις γῆς ἀροσίμης πλέθρα τόσα καὶ τόσα, γῆς πεφυτευμένης τοσαῦτα ἕτερα, ὄρη, πεδία, νάπας, ποταμοὺς, λιβάδας. Τί οὖν μετὰ ταῦτα; Οὐχὶ τρεῖς σε πήχεις ἀναμένουσιν; οὐχὶ λίθων ὀλίγων βάρος ἀρκέσει πρὸς φυλακὴν τῇ δυστήνῳ σαρκί; Ὑπὲρ τίνος παρανομεῖς; τί συνάγεις χερσὶν ἀκαρπίαν, καὶ ὕλην τῷ αἰωνίῳ πυρί; Οὐ νήψεις ποτὲ ἀπὸ τῆς μέθης ταύτης; οὐχ ὑγιανεῖς τοὺς λογισμούς; οὐχ ἑαυτοῦ γενήσῃ; οὐ πρὸ ὀφθαλμῶν λήψῃ τὸ τοῦ Χριστοῦ δικαστήριον; Τί ἀπολογήσῃ, ἐπειδάν σε κύκλῳ περιστάντες οἱ ἠδικημένοι καταβοῶσί σου ἐπὶ τοῦ δικαίου κριτοῦ; Τί ποιήσεις;
B ποίους συνηγόρους μισθώσῃ; ποίους μάρτυρας παραστήσεις; πῶς παραπείσεις τὸν ἀπαραλόγιστον δικαστήν; Οὐκ ἔνι ῥήτωρ ἐκεῖ, οὐκ ἔνι πιθανότης ῥημάτων, κλέψαι δυναμένη τοῦ δικαστοῦ τὴν ἀλήθειαν· οὐκ ἀκολουθοῦσιν οἱ κόλακες, οὐ τὰ χρήματα, οὐχ ὁ ὄγκος τοῦ ἀξιώματος. Ἔρημος φίλων, ἔρημος βοηθῶν, ἀσυνηγόρητος, ἀναπολόγητος (4), καταισχυμμένος ἀπολειφθήσῃ, σκυθρωπὸς, κατηφὴς, μεμονωμένος, ἀπαῤῥησίαστος. Ὅπου γὰρ ἂν περιαγάγῃς τὸν ὀφθαλμὸν, ἐναργεῖς ὄψει τῶν κακῶν τὰς εἰκόνας· ἔνθεν τοῦ ὀρφανοῦ τὰ δάκρυα, ἐκεῖθεν τῆς χήρας τὸν στεναγμὸν, ἑτέρωθεν τοὺς κατακονδυλισθέντας ὑπὸ σοῦ πένητας, τοὺς οἰκέτας (5) οὓς κατέξαινες, τοὺς γείτονας οὓς παρώργιζες. Πάντα σοι ἐπαναστήσεται,
C καὶ πονηρὸς χορὸς τῶν κακῶν σου πράξεων περιστοιχίσεταί σε. Οὐκ ἔστιν ἄρνησις ἐκεῖ, ἀλλ' ἐμφράσσεται (6) πᾶν στόμα ἀναίσχυντον. Αὐτὰ γὰρ ἑκάστου καταμαρτυρεῖ τὰ πράγματα, οὐ φωνὴν ἀφιέντα, ἀλλὰ τοιαῦτα φαινόμενα οἷα ὑφ' ἡμῶν κατεσκεύασται. Φύγωμεν τοιγαροῦν τὸ τῆς πλεονεξίας χαλεπώτατον πάθος, ὅσῃ δύναμις· φύγωμεν, ἵνα καὶ τὴν ἀπειλουμένην ἡμῖν τιμωρίαν φύγωμεν, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

505 *DE PECCATO.*

SERMO VII.

D *ΠΕΡΙ ΑΜΑΡΤΙΑΣ.*

ΛΟΓΟΣ Ζ'.

1. (2) Magnum ac varium bellum nobis, dilectissimi, quotidie infert hostis veritatis. Infert autem, uti scitis, dum cupiditates nostras jacula adversum nos efficit, semperque vires a nobis ad nos lædendos mutuatur. Et quemadmodum improbi homines ac rapaces, quorum opera ac propositum est ex alienis ditescere, sed quibus non suppetit potentia ut violentiam apertam exerceant, vias insidiose

1. Πολὺν, ἀγαπητοὶ, καὶ ποικίλον ἐφ' ἡμέραν ἡμῖν ὁ τῆς ἀληθείας ἐχθρὸς προσάγει τὸν πόλεμον. Προσάγει δὲ, ὡς ἴστε, τὰς ἡμετέρας ἐπιθυμίας καθ' ἡμῶν βέλη ποιούμενος, καὶ παρ' ἡμῶν εἰς τὸ βλάπτειν ἡμᾶς ἀεὶ λαμβάνων ἰσχύν. Καὶ καθάπερ οἱ πονηροὶ καὶ πλεονεκτικοὶ τῶν ἀνθρώπων, οἷς ἔργον μὲν ἐστι καὶ προαίρεσις ἐκ τῶν ἀλλοτρίων πλουτεῖν, δύναμις δὲ οὐ πάρεστιν ὥστε μετὰ παῤῥησίας βιάζεσθαι, τὰς

(1) Ex hom. *in divites*, 57.
(2) Ex hom. XXI, *Quod mundanis adhærendum non sit*, 163.
(3) *Συντέτακται*. Contextus συντέταται, et paulo post, ἀναμένουσιν οἱ πάντες.

(4) Ἀναπολόγητος. Sic Basilii contextus. Edit. habebant ἀπαραλόγητος.
(5) *Τοὺς οἰκέτας*. Hoc additum ex contextu.
(6) Ἐμφράσσεται. Sic Basilii contextus. Edit. nostri φράσεται.

δοῖς ἐφεδρεύειν εἰώθασι· καὶ ει .οωσί τι χωρίον περὶ αὐτὰς, ἢ φάραγξι βαθείαις διεῤῥωγὸς, ἢ φυτῶν πυκνότητι σύσκιον, εἰς τοῦτο καταδυόμενοι, καὶ τὴν ἐκ πολλοῦ πρόοψιν τῶν ὁδοιπορούντων τοιούτοις ὑποεμνόμενοι προκαλύμμασιν, ἀθρόως ἐπιπηδῶσιν αὐτοῖς, ὥστε μὴ δυνηθῆναί τινας τοὺς τοῦ κινδύνου βρόχους ἰδεῖν, πρὶν εἰς τούτους ἐμπεσεῖν· οὕτως ὁ υσμενὴς ἄνωθεν ἡμῖν καὶ πολέμιος διάβολος, τὰς ῶν κοσμικῶν τέρψεων ὑποτρέχων σκιὰς, αἳ περὶ τὴν ὸν τοῦ βίου πεφύκασι δειναὶ κρύψαι λῃστὴν, καὶ ὸν ἐπιβουλεύοντα ποιῆσαι λαθεῖν, ἐντεῦθεν ἀπροπτως τὰς τῆς ἀπωλείας (1) ὑποσπείρει παγίδας ἡμῖν.

2. Ἀλλ' ὥσπερ οἱ τῶν πόλεων περίβολοι, κύκλῳ ᾶσι περικείμενοι, πάντοθεν τὰς τῶν πολεμίων ροσβολὰς ἀπείργουσιν· οὕτω καὶ ὁ φυλάσσων ἡμᾶς ἄγγελος καὶ προτειχίζει ἐκ τῶν ἔμπροσθεν, καὶ ὀπισθοφυλακεῖ, καὶ οὐδὲ τὰ ἑκατέρωθεν ἀφύλακτα καταλείπει· ἀλλ' ἀεὶ παρεδρεύει τοῖς πεπιστευκόσιν ἐπὶ τὸν Κύριον, ἐὰν μή ποτε αὐτὸν ἡμεῖς ἐκ τῶν πονηρῶν ἔργων (2) ἀποδιώξωμεν. Ὡς γὰρ τὰς μελίσσας καπνὸς φυγαδεύει, καὶ τὰς περιστερὰς ἐπελαύνει δυσωδία· οὕτω καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον ἡ πολύδακρυς καὶ δυσώδης ἀφίστησιν ἁμαρτία.

3. Εὐχῆς μὲν οὖν ἄξιον, μὴ προσάψασθαι τοῦ κακοῦ· δεύτερος δὲ πλοῦς, εὐθὺς μετὰ τὴν πεῖραν ὥσπερ ἰοβόλου πληγὴν ἀποφεύγειν. Οἶδα γάρ τινας ἐν νεότητι πρὸς τὰ τῆς σαρκὸς πάθη κατολισθήσαντας, καὶ μέχρι πολιᾶς αὐτῆς διὰ συνήθειαν τοῦ κακοῦ, ταῖς ἁμαρτίαις παραμείναντας. Ὥσπερ γὰρ οἱ ἐν βορβόρῳ κυλινδούμενοι χοῖροι ἀεὶ προσπλάττουσιν ἑαυτοῖς τὸν πηλὸν, οὕτως οὗτοι τὸ ἐκ τῆς ἡδονῆς αἶσχος καθ' ἑκάστην ἡμέραν προσαναμάσσονται. Ἡ γὰρ ἁμαρτία, ἕως μὲν ὠδίνεται, ἔχει τινὰ αἰσχύνην· ἐπειδὰν δὲ τελεσθῇ, τότε ἀναισχυντοτέρους ποιεῖ τοὺς ἐργαζομένους αὐτήν. Ἕως μὲν οὖν μικρὰ ἁμαρτάνομεν καὶ ὀλίγα, ὥσπερ τὰ φυτὰ ὑπὸ πρᾳείας αὔρας περιδονούμενοι, ἠρέμα πως σαλευόμεθα· ἐπειδὰν δὲ πλείω καὶ μείζονα ᾖ τὰ κακὰ, κατὰ τὴν ἀναλογίαν τῆς τῶν ἁμαρτημάτων αὐξήσεως καὶ ὁ σάλος ἐπιτείνεσθαι πέφυκε. Καὶ οἱ μὲν ἐπὶ πλέον σαλεύονται· οἱ δὲ μέχρι τοῦ καὶ αὐτόῤῥιζοι ἀνατραπέντες καταβληθῆναι, ὅταν λαῖλαπος πάσης βιαιότερον τὰ πνευματικὰ τῆς πονηρίας τὰς οἱονεὶ ῥίζας τῆς ψυχῆς, αἷς ἐπεστήρικτο τῇ πίστει τῇ κατὰ Θεὸν, ἀποῤῥήξῃ. Τῷ μὲν γὰρ ἀκουσίως τοῦ προσήκοντος ἁμαρτόντι κἂν συγγνώμη τις ἴσως παρὰ τοῦ Θεοῦ γένοιτο· τῷ δὲ ἐξεπίτηδες τὰ χείρω προελομένῳ οὐδεμία παραίτησις, τὸ μὴ οὐχὶ πολλαπλασίω τὴν κόλασιν ὑποσχεῖν. Καὶ γὰρ τῶν ἁμαρτανομένων τὰ μὲν ἀκούσιά ἐστι, τὰ δὲ ἀπὸ γνώμης πονηρᾶς ἁμαρτάνεται. Ἄλλως οὖν τὰ ἀκούσια τυγχάνει συγγνώμης, καὶ ἄλλως τὰ ἐκ μοχθηρᾶς

(1) *Τῆς ἀπωλείας*. Sic Basilii contextus, melius quam editi nostri τῆς σωτηρίας. Codex Regius 1992 τῆς ἁμαρτίας.

(2) *Ἐκ τῶν πονηρῶν*. Idem codex διὰ τῶν πονηρῶν.

(3) Ex hom. *in psal.* XXXIII, 148.

A occupare solent, et si viderint circa eas .ocum quempiam, aut vallibus profundis præruptum, aut arborum densitate umbrosum, eo recipientes se, et eminus prospiciendi viatoribus facultatem his præcidentes integumentis, ex improviso in illos insiliunt, ita ut nemo possit periculi laqueos videre antequam in eos incidat : sic infensus nobis ab initio et adversarius diabolus, voluptatum mundanarum umbras subiens, quæ circa hujus vitæ viam ad occultandum prædonem et ad dandas insidiatori latebras idoneæ esse solent, inde inopinato interitus laqueos nobis subjicit

2. (3) Sed quemadmodum urbium muri in circuitu omni ex parte circumducti, undecunque hostium assultus arcent : sic et custodiæ nostræ B angelus et præmunit a fronte, et a tergo custodit, nec quidquam utrinque incustoditum relinquit : sed semper excubias agens, Domino credentibus assidet, nisi nos illum operibus pravis abigamus. Quemadmodum enim fumus apes fugat, et fetor columbas expellit : sic angelum vitæ nostræ custodem lacrymabile ac graveolens peccatum abigit.

3. (4) Optandum igitur fuerit, ut ne attingamus malum. Attamen secunda superest navigatio, ut statim post experientiam illud tanquam bestiæ venenatæ plagam declinemus. Novi enim quosdam, qui in juventute ad carnis vitia delapsi, usque ad C ipsam canitiem in peccatis propter mali consuetudinem perseveraverunt. Quemadmodum enim sues, qui sese in cœno obvolvunt, semper magis ac magis luto asperguntur : sic ii quotidie magis ac magis voluptatis dedecus contrahunt (5). Peccatum enim, quandiu parturit, pudorem quemdam incutit : ubi autem perfectum est, tum impudentiores eos facit qui commiserunt. (6) Dum igitur parva peccamus et pauca, leniter quodammodo commovemur, velut plantæ quæ a leni aura agitantur : ubi vero plura majoraque fuerint mala, pro ratione incrementi peccatorum etiam commotio augeri solet. Et alii quidem multum commoventur; alii vero usque adeo, ut etiam radicitus eversi dejiciantur, cum spiritualia nequitiæ quasi radices animæ, D quibus per fidem in Deum subnixa erat, omni turbine violentius abruperint. Qui enim invitus ab officio discedit, **506** (7) forte veniam aliquam obtinebit a Deo : qui vero fuerit consulto mala amplexus, implacabiliter supplicia longe majora perferet. (8) Peccata enim alia sunt involuntaria, alia a pravo animo oriuntur. Aliter utique datur venia involuntariis : aliter ea quæ ex prava voluntate fiunt, condemnantur. Siquidem unus aliquis

(4) Ex hom. *in psal.* I, 96.
(5) Uterque codex indicat serm. ethic.
(6) Ex hom. *in psal.* LXI, 194.
(7) Ex serm. *De legendis libris gent.* 181.
(8) Ex hom. *in princip. Prov.* 104.

peccavit, prave ab initio educatus; quippe et a parentibus injustis procreatus introivit in vitam, et inter verba factaque iniqua nutritus fuit: alter vero multa habens virtutis incitamenta, educationem honestissimam, admonitionem parentum, magistrorum disciplinam, auditionem diviniorum sermonum, castigatam moderatamque diætam, et alia quibus anima ad virtutem instituitur, postea tamen delapsus est et ipse in idem peccatum; nonne ergo jure ac merito qui ejusmodi est, supplicio graviori punietur? Nam ille quidem ob sola inspersa animis nostris salutaria subsidia accusabitur, ut eis non probe usus; sed hic insuper, ut proditor omnis sibi concessi adjumenti, ac negligentia in pravam vitam abreptus.

4. (1) Quænam igitur peccata veniam apud Deum obtinere possunt, et ob quæ et ob qualia delicta fit quis contumaciæ judicio obnoxius? Neque in multitudine neque in magnitudine peccatorum, sed in una tantummodo cujuscunque tandem præcepti violatione, contumaciam adversus Deum clare judicari, communemque sententiam a Deo ferri in omnem inobedientiam invenimus, Scripturas sacras dum evolvimus. Atque in Veteri quidem lego horrendum illum ipsius Achar exitum [79], aut ejus qui Sabbato ligna collegerat [80], historiam: quorum neuter unquam aliud in Deum peccasse aut in hominem, sive magnum sive parvum deprehenditur. Sed alter quidem ob solam ac primam lignorum collectionem inevitabiles pœnas luit, ne pœnitentiæ quidem invento loco, quandoquidem Dei jussu confestim a cuncto populo lapidibus obruitur. Alter vero, quod solum sustulisset aliquid ex donariis et muneribus, iisque nondum in synagogam exportatis, necdum ab iis qui ad talia recipienda destinabantur, assumptis, non sibi modo, sed uxori etiam et liberis exitii atque perniciei auctor fuit, prætereaque et ipsi tabernaculo una cum suis omnibus. Jamque peccati vindicta, ignis in modum, populum omnem populatura erat, idque, cum neque rem nosset, neque peccanti conscius esset, nisi statim ob virorum interfectorum cladem contritus populus fuisset, iram Dei sentiens, ac Jesus Nave filius pulvere conspersus procidisset una cum senioribus, sicque reus per sortem deprehensus, eas quas dixi pœnas dedisset. (2) Quid vero Maria Moysis soror? Illa cum solum aliquid contra Moysem improbando dixisset, idque ipsum vere (uxorem enim, inquit, Æthiopissam sibi adjunxit), tantam experta est Dei indignationem, ut ne ipso quidem Moyse precante peccati pœna ipsi remitteretur [81]. Sed istorum quid meminisse necesse est, **507**

A προαιρέσεως κατακρίνεται. Ὁ μὲν γάρ τις ἥμαρτε, πονηρῶς τὸ ἐξ ἀρχῆς τεθραμμένος· καὶ γὰρ καὶ ὑπὸ γονέων ἀδίκων εἰς τὸν βίον παρήχθη, καὶ συνετράφη καὶ ῥήμασι καὶ πράξεσι παρανόμοις. Ἄλλος δὲ πολλὰ ἔχων τὰ προκαλούμενα αὐτὸν εἰς ἀρετήν, ἀνατροφὴν σεμνοτάτην, νουθέτησιν γονέων, διδασκάλων (3) ἀκρίβειαν, ἀκρόασιν λόγων θειοτέρων, δίαιταν κατεσταλμένην, τἄλλα οἷς ψυχὴ παιδαγωγεῖται πρὸς ἀρετήν· εἶτα καὶ αὐτὸς εἰς τὴν αὐτὴν ἁμαρτίαν ὑπώλισθε. Πῶς οὖν οὐχὶ βαρυτέρας δικαίως ὁ τοιοῦτος τῆς τιμωρίας ἀξιωθήσεται; Ὁ μὲν γὰρ ἐπὶ μόναις ταῖς κατεσπαρμέναις ἐν ταῖς ψυχαῖς ἡμῶν σωτηρίοις ἀφορμαῖς ἐγκληθήσεται, ὡς οὐ χρησάμενος αὐταῖς ὑγιῶς· ὁ δὲ πρὸς τούτῳ (4), καὶ ὡς προδεδωκὼς πᾶσαν τὴν δεδομένην αὐτῷ συνεργίαν
B καὶ δι' ἀπροσεξίαν εἰς τὸν πονηρὸν βίον κατασυρείς.

4. Ποῖα οὖν τῶν ἁμαρτημάτων συγγνώμην ἔχειν δύναται παρὰ τῷ Θεῷ; πόσα δὲ καὶ πηλίκα ἁμαρτήσας τις, ὑπεύθυνος γίνεται τῷ κρίματι τῆς ἀπειθείας; Οὔτε ἐν τῷ πλήθει τῶν ἁμαρτανομένων, οὔτε ἐν τῷ μεγέθει τῶν ἁμαρτημάτων, ἐν μόνῃ δὲ τῇ παραβάσει οὑτινοσοῦν προστάγματος σαφῶς κρίνομεν (5) τὴν πρὸς Θεὸν ἀπείθειαν, καὶ κοινὸν κατὰ πάσης παρακοῆς τοῦ Θεοῦ τὸ κρῖμα εὑρίσκομεν, τὰς θείας ἀναλαβόντες Γραφάς. Ἐν μὲν τῇ Παλαιᾷ τὸ φοβερὸν ἐκεῖνο τοῦ Ἄχαρ ἀναγινώσκοντες τέλος, ἢ τὴν κατὰ τὸν ἐν Σαββάτῳ ξύλα ἀναλέξαντα ἱστορίαν· ὧν ἑκάτερος οὐδὲν οὐδέποτε ἄλλο οὐκ εἰς Θεὸν ἡμαρτηκώς, οὐκ ἄνθρωπον ἠδικηκώς, οὐ μέγα, οὐ μικρὸν ὅλως, εὑρίσκεται. Ἀλλ' ὁ μὲν ἐπὶ μόνῃ καὶ πρώτῃ
C τῶν ξύλων συλλογῇ ἀπαραίτητον δίδωσι τὴν δίκην, οὐδὲ μετανοίας τόπον εὑρών· προστάγματι γὰρ θείῳ παρὰ παντὸς τοῦ λαοῦ παραχρῆμα λιθοβολεῖται. Ὁ δὲ, ὅτι μόνον ὑφείλετό τι τῶν ἀναθημάτων, οὔπω δὲ εἰσενεχθέντων εἰς τὴν συναγωγὴν, οὐδὲ προσαχθέντων ὑπὸ τῶν ἐπιτεταγμένων τὰ τοιαῦτα, αἴτιος ἀπωλείας, οὐχ ἑαυτῷ μόνῳ, ἀλλὰ καὶ γαμετῇ καὶ τέκνοις, πρὸς δὲ καὶ αὐτῇ σκηνῇ, σὺν πᾶσι τοῖς ἰδίοις ἐγένετο. Ἔμελλε δὲ ἤδη θᾶττον καὶ τὸν λαὸν ἅπαντα, πυρὸς τρόπον, ἐπινέμεσθαι τῆς ἁμαρτίας τὸ κακὸν, καὶ ταῦτα, οὔτε εἰδότα τὸ γεγονὸς, οὔτε συνεγνωκότα τῷ ἁμαρτήσαντι, εἰ μὴ ταχέως ἐκ τῆς πτώσεως τῶν ἀναιρεθέντων ἀνδρῶν συνετρίβη μὲν ὁ λαὸς αἰσθόμενος τῆς ὀργῆς τοῦ Θεοῦ, ἔπεσε δὲ ἅμα
D τοῖς πρεσβυτέροις καταπασάμενος χοῦν Ἰησοῦς ὁ τοῦ Ναυῆ· καὶ οὕτω διὰ κλήρου φωραθεὶς ὁ ἔνοχος τὴν εἰρημένην δέδωκε δίκην. Τί δὲ Μαρία ἡ ἀδελφὴ Μωϋσέως; Αὕτη κατὰ Μωϋσέως ἐπειδὴ εἶπέ τι μόνον ἐν καταγνώσεως μέρει, καὶ τοῦτο ἀληθὲς (γυναῖκα γὰρ, φησὶν, Αἰθιόπισσαν ἔλαβεν ἑαυτῷ), τοσαύτης ἐπειράθη τῆς τοῦ Θεοῦ ἀγανακτήσεως, ὡς μηδὲ αὐτοῦ τοῦ Μωϋσέως ἱκετεύοντος συγχωρηθῆναι αὐτῇ τῆς ἁμαρτίας τὸ ἐπιτίμιον. Καὶ τί δεῖ περὶ τούτων λέ-

[79] Jos. VII, 25. [80] Num. XV, 36. [81] Num. XII, 17 sqq.

(1) Ex Prooemio *De judicio Dei*, 217.
(2) Ibid.
(3) *Διδασκάλων*. Hanc vocem addidimus ex contextu et codicum altero.

(4) *Πρὸς τούτῳ*. Sic idem codex et contextus. Editi πρὸς τοῦτο.
(5) *Κρίνομεν*. Legendum videtur ut in contextu κρινομένην.

ειν, αὐτὸν τοῦτον ἀφέντας Μωϋσέα, τὸν τοῦ Θεοῦ A θεράποντα, τὸν μέγαν ἐκεῖνον, τὸν τοσαύτης μὲν καὶ τηλικαύτης ἀξιωθέντα παρ' αὐτοῦ τιμῆς, οὕτω δὲ ὑπὸ αὐτοῦ μαρτυρηθέντα, ὡς ἀκοῦσαι, *Οἶδά σε παρὰ πάντας, καὶ εὕρηκας χάριν ἐνώπιόν μου;* Οὗτος γὰρ ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας, οὐδενὸς ἕνεκεν ἑτέρου, ἢ ἵνα μόνον εἴπῃ τῷ λαῷ γογγύζοντι δι' ἀπορίαν ὕδατος, *Μὴ ἐκ ταύτης τῆς πέτρας ἐξάξω ὑμῖν ὕδωρ;* τούτου μόνου ἕνεκεν εὐθὺς ἀπειλὴν παρὰ τοῦ Θεοῦ δέχεται, εἰς τὴν γῆν τῆς ἐπαγγελίας οὐκ εἰσελεύσεσθαι, ἥτις ἦν τότε τῶν πρὸς Ἰουδαίους ἐπαγγελιῶν τὸ κεφάλαιον. Ὅταν οὖν ἴδω τοῦτον παρακαλοῦντα, καὶ μὴ συγχωρούμενον· ὅταν ἴδω μηδεμιᾶς συγγνώμης διὰ τὰ τοσαῦτα κατορθώματα ἐπὶ τῷ βραχεῖ ἐκείνῳ καταξιούμενον ῥήματι· οὐχὶ πῶς ὁρῶ Θεοῦ ἀποτομίαν, κατὰ τὸν Ἀπόστολον; B οὐχὶ κἀκεῖνο ἀληθὲς εἶναι πεισθήσομαι, τὸ, *Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;* Καὶ τί ταῦτα λέγω; Ἠλεὶ ὁ ἱερεὺς ὑπὲρ τοῦ ἰδίου βίου μηδὲν ἐγκαλούμενος, ὅτι μὴ τοῖς υἱοῖς ἐπεξῆλθε σφοδρότερον, τοιαύτην ἐκίνησεν ὀργὴν τῇ μακροθυμίᾳ τοῦ Θεοῦ, ὥστε ἐπαναστάντων ἀλλοφύλων, τοὺς μὲν υἱοὺς αὐτοῦ ἐκείνους ἀναιρεθῆναι κατὰ τὸν πόλεμον ἐν μιᾷ ἡμέρᾳ, ἡττηθῆναι δὲ σύμπαντα τὸν λαὸν, καὶ τούτων πεσεῖν ἱκανοὺς, γενέσθαι δὲ καὶ περὶ τὴν κιβωτὸν τῆς ἁγίας τοῦ Θεοῦ διαθήκης, ἃ μήτε ἠκούσθη ποτὲ πρότερον· ὥστε, ἧς οὔτε Ἰσραηλίταις, οὔτε μὴν αὐτοῖς τοῖς ἱερεῦσιν ἅπασιν, οὐδὲ πάντοτε, ἅπτεσθαι θεμιτὸν ἦν, οὐδὲ τόπος αὐτὴν (1) ὁ τυχὼν ὑπεδέχετο, ταύτην ὑπὸ χειρῶν ἀσεβῶν ἄλλοτε ἀλλαχόθεν μετακομίσεσθαι (2), καὶ ἀντὶ C τῶν ἁγίων, εἰδώλων ναοῖς ἀποτίθεσθαι. Ἐφ' οἷς πόσον τινὰ συνέβαινεν εἶναι καὶ κατ' αὐτοῦ τοῦ ὀνόματος τοῦ Θεοῦ γέλωτα καὶ χλεύην παρὰ τοῖς ἀλλοφύλοις, στοχάζεσθαι πάρεστιν. Ἐπὶ τούτοις καὶ αὐτὸς Ἠλεὶ τέλει χρησάμενος οἰκτροτάτῳ, ἀπειλὴν ἐδέξατο τοῦ καὶ τὸ σπέρμα αὐτοῦ ἀποκινηθήσεσθαι τοῦ ἱερατικοῦ ἀξιώματος· ὅπερ καὶ γέγονε. Καίτοι, τοῦ μὲν ἰδίου βίου ἕνεκεν, οὐδὲν ᾐτιάθη ὁ πρεσβύτης ποτέ. Καὶ αὐτοῖς δὲ τοῖς υἱοῖς οὐχ ὑπέμεινεν ἐφησυχάσαι· ἀλλὰ πολλὰ μὲν παρῄνει, περὶ τοῦ μηκέτι τοῖς ὁμοίοις ἐμμένειν, *Μὴ τέκνα*, λέγων, *μή· οὐκ ἀγαθαὶ αἱ ἀκοαὶ, ἃς ἐγὼ ἀκούω περὶ ὑμῶν.* Ὅμως ἐπειδήπερ οὐχὶ τὸν πρέποντα ζῆλον κατ' αὐτῶν ἐπεδείξατο, ἑαυτῷ τε κἀκείνοις, καὶ τῷ λαῷ, τοσαύτην τὴν τοῦ Θεοῦ ἀνῆψεν ὀργήν. Καίτοι ἔοικεν ὁ μὲν D ἔλεγχος τέλος ἔχειν τὴν διόρθωσιν τοῦ ἁμαρτάνοντος· ὁ δὲ ὀνειδισμὸς ἐπὶ ἀσχημοσύνῃ τοῦ ἐπταικότος γίνεσθαι. Εἰ γὰρ καὶ τὰ πλεῖστα κατωρθωκέναι δοκεῖ τις, ὀλίγων δέ που, ἢ καὶ μιᾶς ἡστινοσοῦν ἐντολῆς ἀμελήσει, ἢ τῷ πλημμελήσαντι ἀδιαφόρως ἐφησυχάσει, καὶ μὴ ζῆλον ἀγαθὸν κατὰ τὸ κρῖμα τοῦ Θεοῦ ἐπιδείξηται, ἐπὶ ταύτῃ μόνῃ δικαίως ὑφέξει. Κἂν ἐξ ἀγνοίας ἁμάρτῃ τι τοιοῦτον, οὐδὲ οὕτως ἀτιμώρητος διαφεύγει.

A ipso Moyse præterito, Dei famulo, magno illo viro, tot ac tantis honoribus a Deo insignito, et ipsius testimonio ita comprobato, ut audierit : *Novi te præ omnibus, et invenisti gratiam coram me* [81]? Hic enim ad aquas contradictionis, nulla alia de causa, nisi quod tantummodo populo ob aquæ penuriam murmuranti dixerat, *Num ex hac petra educam vobis aquam* [82]? hac sola de causa statim a Deo comminationem accepit, fore ut non ingrederetur in terram promissionis, quæ omnium, quæ Judæis promissa fuerant, tunc summa erat. Cum igitur video hunc rogantem, et veniam non obtinentem ; cum video nullam illi tot ac tanta recte facta brevis hujus verbi veniam impetrasse ; nonne revera secundum Apostolum severitatem Dei cerno [84]? B nonne ita persuadebo mihi plane verum esse illud : *Si justus vix salvus efficitur, impius et peccator ubi parebit* [85]? Et quid hæc commemoro? Heli sacerdos, vitæ alioqui integerrimæ, propterea quod in filios suos vehementius non inveheretur, tanta ira Dei lenitatem incendit, ut, alienigenis irruptionem facientibus, illi ipsi ejus filii una die in bello interficerentur, superareturque universus populus, non paucis ex eo cadentibus, imo etiam circa arcam sancti fœderis Dei fierent, quæ ne audita quidem unquam antea fuerant : sic ut arca quam neque Israelitis, neque ipsis sacerdotibus omnibus, neque quovis tempore contingere licebat, quæque non in quovis loco asservabatur, alio aliunde exportata sit ab impiis manibus, et pro sanctuario in simula- C crorum delubris collocata fuerit. Ex quibus conjectare fas est, quanto risui ludibrioque ipsum etiam Dei nomen alienigenæ illi habuerint. Ad hæc et ipse Heli miserrimo exitu vitam finiit, eique minatus est Dominus fore ut semen ejus a sacerdotali dignitate submoveretur : quod et contigit : tametsi senex ob suos ipsius mores nullo unquam crimine accusatus est. Imo etiam neque filiorum suorum flagitia tacitus sustinuit : sed multum admonuerat, ut ne amplius in ejusmodi peccatis perseverarent. Aiebat enim : *Absit, filii! non sunt boni rumores, quos audio de vobis* [86]. Quoniam tamen quod par erat animi studium in ipsos non ostendit, sibi ac illis ipsique populo tantam iram Dei accendit. (3) Et videtur quidem objurgatio finem habere peccatoris D correctionem, opprobrium vero ad lapsi confusionem inferri. (4) Etenim etiamsi videatur quispiam præclare permulta fecisse, paucorum vero vel etiam unius cujuslibet præcepti negligens fuerit, aut delinquenti indifferenter acquieverit, neque diligens studium secundum Dei judicium adhibuerit, justas hoc solum nomine pœnas luet. Quod si etiam imprudens tale quid peccet, neque eo prætextu supplicium effugiet.

[81] Exod. XXXIII, 12. [82] Num. XX, 10. [84] Rom. XI, 22. [85] I Pet. IV, 18. [86] I Reg. II, 24.

(1) *Τόπος αὐτὴν*. Sic ope contextus et alterius codicum emendavimus pravam lectionem τὸ πρὸς αὐτήν. Ibidem ope contextus emendavimus quod erat apud Symeonem, οὐδέποτε.

(2) *Μετακομίσεσθαι*. Forte μετακομίζεσθαι. Edit.

(3) Ex hom. *in ps.* XIV, 355.

(4) Unus codex indicat serm. ascet

5. (1) Ejus quidem generis judicia plurima in Veteri Testamento adversus omnem inobedientiam reperimus; nec vero his pauciora, Novum legendo dum pergimus, sed et multo hic severiorem deprehendimus judicii acerbitatem, ut illud, *Servus qui cognovit voluntatem* **508** *domini sui et non fecit, vapulabit multis; qui autem non cognovit, et fecit digna plagis, vapulabit paucis* [87]. Christus profecto nec eum qui peccarit imprudens a pœnis liberat, et in eos qui prudentes delinquunt, vehementiores minas intendit. Et rursum, *Cœlum*, inquit, *et terra transibunt, verba autem mea non præteribunt* [88]. Beatus quoque apostolus Paulus ait, *Consilia destruentes, et omnem altitudinem extollentem se adversus scientiam Dei, et in captivitatem redigentes omnem intellectum in obsequium Christi* [89]. (2) Omnem altitudinem, omnemque intellectum, non hunc, vel illum. *Et in promptu habentes ulcisci omnem inobedientiam* [90]. Et alibi rursum : *Qui talia agunt, digni sunt morte* [91]; et rursum : *Qui in lege gloriaris, per prævaricationem legis Deum inhonoras* [92]. Itaque nihil apud Deum impunitum relinquitur. Sed si hæc verba sunt solum sine re; ecce qui Corinthi uxorem patris habebat, qui cum hoc uno excepto, nullius alterius flagitii insimularetur, tamen non solum ipse traditur Satanæ ad carnis interitum, donec dignis pœnitentiæ fructibus emendasset peccatum, sed universam simul Ecclesiam, quod id scelus ulta non esset, in hæc conjicit vituperia. (3) Quid vero Ananias ille, cujus mentio est in Actis? Quodnam aliud malum perpetrasse invenitur, præter illud ipsum? Ubi igitur apparet, ipsum ira tanta dignum fuisse? Divenditis suis facultatibus, pecunias detulit ad pedes apostolorum : sed tamen, quod aliquam pretii partem seposuisset, propterea eadem hora una cum uxore morte plectitur, neque id consecutus ut de agenda ob admissum peccatum pœnitentia quidquam audiret, nec saltem invento tempore, quo ob scelus compungi posset, nec accepto ad agendam pœnitentiam præfinito spatio. Porro talis ac tanti judicii exactor, tantæque Dei in peccantem iræ minister, beatus ille Petrus, omnibus discipulis prælatus, cui soli majora data quam aliis sunt testimonia, qui prædicatus est beatus, cui claves regni cœlorum concreditæ sunt, cum audit a Domino, *Si non lavero te, non habebis partem mecum* [93], quale cor, quæso, et quantumvis lapideum ad metum judiciorum Dei non incitet? præsertim cum nullius peccati, nulliusve contemptus significationem ullam dedisset, imo potius egregio honore Dominum affecisset suum;

A 5. Τοιαῦτα μὲν οὖν ὅτι πλεῖστα κατὰ τὴν παλαιὰν Διαθήκην εὑρίσκομεν κατὰ πάσης παρακοῆς τὰ κρίματα· οὐχ ἧττον δὲ τούτων ἐν τῇ Καινῇ ἐρχόμενος, ἀλλὰ καὶ πολλῷ πλείω καταμανθάνω τοῦ κρίματος τὴν σφοδρότητα, οἷον· *Ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας*· καὶ ὅλως οὐχ ἀπολύσαντος μὲν τοῦ Χριστοῦ οὔτε τὸν κατ' ἄγνοιαν ἡμαρτηκότα τῆς τιμωρίας, σφοδρότερον δὲ κατὰ τῶν ἐν γνώσει τὴν ἀπειλὴν ἐπιτείναντος. Καὶ πάλιν, *Ὁ οὐρανός*, φησὶ, *καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.* Καὶ ὁ μακάριος ἀπόστολος Παῦλός φησι· *Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως* B *τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.* Πᾶν ὕψωμα καὶ πᾶν νόημα, οὐχὶ τοῦτο, ἢ ἐκεῖνο. *Καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν.* Καὶ ἀλλαχοῦ πάλιν· *Οἱ τὰ τοιαῦτα πράσσοντες, ἄξιοι θανάτου εἰσίν*· καὶ πάλιν· *Ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις.* Ὥστε οὐδὲν ἀνεκδίκητον ἀφίεται παρὰ τῷ Θεῷ. Εἰ δὲ ταῦτα λόγοι μόνον, καὶ οὐ πράγματα· ἰδοὺ ὁ τὴν γυναῖκα τοῦ πατρὸς ἐν Κορίνθῳ ἔχων, οὐδὲν ἕτερον ἐγκληθεὶς, ἐπὶ τούτῳ μόνῳ οὐ μόνον αὐτὸς παραδίδοται τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἕως ἂν τοῖς ἀξίοις καρποῖς τῆς μετανοίας διορθώσηται τὸ πλημμέλημα, ἀλλὰ καὶ πᾶσα ὁμοῦ ἡ Ἐκκλησία, ἐπεὶ μὴ ἐπεξῆλθε τῷ ἁμαρτήματι, ἐκείνοις περι- C βάλλεται τοῖς ἐγκλήμασι (4). Τί δὲ Ἀνανίας ὁ ἐν ταῖς Πράξεσι; τί ἄλλο κακὸν πεποιηκὼς εὑρίσκεται, ἢ ἐκεῖνο αὐτό; Ποῦ νῦν τοσαύτης ὀργῆς ἄξιος φαίνεται; Ἴδιον κτῆμα πωλήσας, ἤνεγκε τὰ χρήματα θεῖναι παρὰ τοὺς πόδας τῶν ἀποστόλων, νοσφισάμενος ἀπὸ τῆς τιμῆς, καὶ ἐπὶ τούτῳ παρ' αὐτὴν τὴν ὥραν ἅμα τῇ γυναικὶ θανάτῳ καταδικάζεται, οὐδὲ τοὺς περὶ μετανοίας λόγους ἐπὶ τῷ ἁμαρτήματι μαθεῖν καταξιωθεὶς, οὐ τοῦ κατανυγῆναι γοῦν ἐπὶ τούτῳ καιρὸν εὑρὼν, οὐ τοῦ μετανοῆσαι προθεσμίαν λαβών. Ὁ δὲ τοῦ τοιούτου καὶ τηλικούτου κρίματος ὑπηρέτης, ὁ μακάριος Πέτρος, ὁ πάντων μὲν τῶν μαθητῶν προκριθεὶς, μόνος δὲ πλείω τῶν ἄλλων μαρτυρηθεὶς καὶ μακαρι- D σθεὶς, ὁ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν πιστευθεὶς, ὅταν ἀκούῃ παρὰ τοῦ Κυρίου, *Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ*, ποίαν ἄρα καὶ τὴν ὁπωσοῦν λιθίνην καρδίαν οὐ δυσωπήσει πρὸς φόβον τῶν τοῦ Θεοῦ κριμάτων; καὶ ταῦτα, οὐδὲ μιᾶς μὲν ἁμαρτίας, οὐδὲ μιᾶς καταφρονήσεως ἔμφασιν δοὺς, τιμῇ δὲ μᾶλλον τῇ περὶ τὸν Δεσπότην ὑπερβαλλούσῃ (5) χρησάμενος, καὶ τὴν προσήκουσαν

[87] Luc. XII, 47. [88] Matth. XXIV, 35. [89] II Cor. X, 5. [90] ibid. 6. [91] Rom. I, 32. [92] Rom. II, 23. [93] Joan. XIII, 8.

(1) Ex Proœmio *De judicio Dei*, 219.
(2) Ibid. 220.
(3) Ibid. 221.
(4) *Τοῖς ἐγκλήμασι.* Referuntur in contextu illæ criminationes, nempe, *Quid vultis, in virga veniam ad vos?* etc.
(5) *Ὑπερβαλλούσῃ.* Hanc vocem ex contextu desumpsimus.

δούλῳ καὶ μαθητῇ εὐλάβειαν ἐπιδειξάμενος. Ἰδὼν A γὰρ τὸν ἑαυτοῦ καὶ πάντων Κύριον, καὶ Θεὸν, καὶ βασιλέα, καὶ Σωτῆρα, καὶ ὁμοῦ τὰ πάντα, ἐν ὑπηρέτου σχήματι διαζωσάμενον τὸ λέντιον, καὶ νίπτειν τοὺς πόδας αὐτοῦ βουλόμενον, εὐθὺς ὥσπερ εἰς συναίσθησιν ἐλθὼν τῆς οἰκείας ἀναξιότητος, καὶ τὸ ἀξίωμα τοῦ προσερχομένου καταπλαγεὶς, ἐξεβόησε· *Κύριε, σύ μου νίπτεις τοὺς πόδας;* καὶ πάλιν· *Οὐ μή μου νίψῃς τοὺς πόδας εἰς τὸν αἰῶνα.* Ἐπὶ τούτῳ τὴν τοσαύτην ἐκδέχεται ἀπειλὴν, ὡς εἰ μὴ ἔφθασε τῇ ταχύτητι καὶ σφοδρότητι τῆς ὑπακοῆς διορθωσάμενος τὴν ἀντιλογίαν, οὐδὲν ἂν αὐτῷ τῶν παρὰ τοῦ Κυρίου μακαρισμῶν τε καὶ δωρεῶν καὶ ἐπαγγελιῶν, οὐδὲ αὐτὴ ἡ τοῦ (1) Θεοῦ καὶ Πατρὸς τῆς τοιαύτης καὶ τοσαύτης εἰς τὸν μονογενῆ Υἱὸν B εὐδοκίας ἀποκάλυψις ἤρκεσε παραμυθήσασθαι τὴν παροῦσαν ἀπείθειαν.

6. Ἀλλὰ ταῦτα μὲν ἐὰν θέλω καταλέγειν, ὅσα εὑρίσκω ἔκ τε τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, ἐπιλείψει με τάχα διηγούμενον ὁ χρόνος. Πλὴν ἐκεῖνο μόνον πρὸς τὸ παρὸν μνημονεῦσαι ἀναγκαῖον, τὸ ἐν τῇ μεγάλῃ καὶ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ πρὸς τοὺς ἐξ ἀριστερῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἱσταμένους λεχθὲν παρ' αὐτοῦ· *Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ·* οὐχ ὅτι ἐφονεύσατε, ἢ ἐπορνεύσατε, ἢ ἐψεύσασθε, ἤ τινα ἠδικήσατε, ἢ ἄλλο τι τῶν ἀπηγορευμένων, κἂν τὸ βραχύτατον γοῦν, ἐπράξατε, ἀλλ' ὅτι τῶν ἀγαθῶν ἔργων ἠμελήσατε. *Ἐπείνασα γὰρ,* C φησὶ, *καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με.* Ὁ τοίνυν μὴ ἐκθηλυνόμενος, μηδὲ κατακαμπτόμενος ὑπὸ τῆς ἐγκρατείας, πᾶσαν φυγὴν (2) ἁμαρτημάτων κατώρθωσεν· εἰ δὲ τὰ μὲν πλεῖστα ἔφυγεν, ὑφ' ἑνὸς δὲ κρατεῖται, οὐκ ἐγκρατὴς ὁ τοιοῦτος, ὡς οὔτε ὑγιὴς ὁ ἑνὶ σωματικῷ πάθει παρενοχλούμενος· οὔτε ἐλεύθερος ὁ ὑφ' ἑνὸς καὶ τοῦ τυχόντος κυριευόμενος. Τοῖς μὲν οὖν ἰάσιμα ἁμαρτάνουσιν ἀπειλεῖ ὁ λόγος, ἐπισκέπτεσθαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν· τοῖς δὲ ἀνιάτως ἔχουσι λέγει· *Τί ἔτι πληγῆτε,* πάσας διεξεληλυθότες τὰς πληγάς; Πασῶν καταφρονήσατε τῶν ἐπιστρεπτικῶν μαστίγων, συντριμμὸς ὑμᾶς μένει. Τῶν δὲ περιστατικῶς συμ- D βαινόντων τινὰ μὲν ἁμαρτημάτων ἕνεκα γίνεται· τινὰ δὲ εἰς διόρθωσιν τοῦ ἤθους τῶν πειραζομένων· ἄλλα δὲ ὑπὲρ τοῦ ἐκτριβῆναι τοὺς ἀπεγνωσμένους, ὡς ἐπὶ τοῦ Φαραώ. Τούτοις γὰρ οὐκέτι πληγαὶ, οὐδὲ μάστιγες, ἀλλ' ἀφανισμὸς ἀπειλεῖται. *Τί ἔτι πληγῆτε,* ὧν καὶ τὰ σώματα καὶ αἱ ψυχαὶ μεμαστίγωνται, καὶ οὐδαμοῦ ἡ διόρθωσις; Ἔστι δὲ πολλάκις καὶ ἡ νόσος ὠφέλιμος, ὅταν παιδαγωγεῖν μέλ-

A ac convenientem servo et discipulo reverentiam declarasset. Cum enim vidisset suum et universorum Dominum ac Deum, et regem, et servatorem simulque omnia, in ministri habitu linteo cinctum, et pedes ipsius lavare volentem, mox ut conscius indignitatis suæ, et ob accedentis dignitatem attonitus, exclamavit: *Domine, tu mihi lavas pedes*[94]? et iterum: *Non lavabis mihi pedes in æternum*[95]. Hac de causa tantæ ei intenduntur minæ, ut nisi celeri ac fervida obedientia emendasset contradictionem, non Domini testimonia beatum eum prædicantia, non dona, non promissa, neque etiam accepta a Deo et Patre talis ac tantæ in Filium unigenitum be- B nevolentiæ revelatio, **509** hanc inobedientiam sanare potuisset.

6. Sed si omnia recensere velim, quæ in Veteri ac Novo Testamento nanciscor, fortasse narrantem me tempus deficiet. (3) Nunc illud tantum commemorandum est, quod in magna ac horrenda judicii die Dominus noster Jesus Christus his, qui ad lævam ipsius stabunt dicturus est: *Discedite a me, maledicti, in ignem æternum, qui paratus est diabolo, et angelis ejus*[96]: non quia occidistis, aut fornicati estis, aut mendacium dixistis, aut cuipiam intulistis injuriam, aut aliud quidquam saltem minutissimum ex iis quæ prohibita sunt, fecistis: sed quia bona opera ne- C glexistis. *Esurivi enim,* inquit, *et non dedistis mihi manducare: sitivi, et non dedistis mihi potum: infirmus et in carcere, et non visitastis me*[97]. Qui igitur mollitie non diffluit, et a continentia ac temperantia minime deflectit, is non omnem peccati fugam consecutus est: sed si plurima quidem effugit, ab uno vero superatus est, non temperans ille est, ut neque sanus qui vel unico corporis morbo agitatur: neque liber, qui uni quicunque ille sit domino paret. (4) His quidem quorum sanabilia sunt peccata, interminatur Scriptura fore, ut visitet Dominus eorum iniquitates in virga, et eorum injustitias in verberibus[97*]; sed his qui insanabiliter peccaverunt dicit: *Quid adhuc percutiamini*[98], plagas omnes D experti? Omnia contempsistis inflicta ad emendandum flagella, contritio vos manet. Ex iis autem calamitatibus quæ eveniunt, aliæ quidem accidunt ad punienda peccata, aliæ ad mores eorum qui tentantur emendandos, aliæ ad eos qui desperantur atterendos, ut in Pharaone. His enim non jam plagas aut flagella, sed interitum minatur. *Quid adhuc percutiamini vos*, quorum corpora et animæ flagris concisa sunt, nec usquam emen-

[94] Joan. XIII, 6. [95] ibid. 8. [96] Matth. XXV, 41. [97] ibid. 42. [97*] Psal. LXXXVIII, 33. [98] Isa. I, 5.

(1) Αὐτὴ ἡ τοῦ. Sic nostri codices et contextus. Editi αὐτὴ αὐτοῦ.

(2) *Πᾶσαν φυγήν.* Legendum μὴ πᾶσαν φυγήν, si sententiam sibi non repugnantem habere volumus. Ibidem legendum ἀπὸ τῆς ἐγκρατείας.

(3) Ex Proœmio *De judicio Dei*, 222.

(4) Ex comment. *in Isa.* 389.

datio! (1) Erit enim utilis sæpenumero vel morbus, cum videlicet peccantem refrenabit. Et nocua est sanitas cum peccati instrumentum fit recte valenti. Sic et pecuniæ nonnullis jam ad libidinem inservierunt; paupertas vero plurimos ad vitia magnopere propendentes repressit. Neque igitur fugias quæ non oportet; nec confugias ad quem non oportet: sed unum tibi fugiendum sit peccatum, et unum ex malis refugium Deus.

7. (2) Multi quidem priorum peccatorum obliviscuntur, nullam eorum habentes rationem, ac ea contemnentes, quasi nulla futura sit ultio. Qui vero judicium Dei jugiter habet ob oculos, creditque certo fore, ut omnes coram Christi tribunali sistamur, ut reportet unusquisque ea quæ fiunt per corpus, juxta id quod fecit, sive bonum, sive malum[99], is in anxietate semper versatur, et hunc animæ suæ dolorem sanare studens, per suas ad Deum confessiones se ipse accusat, exemplo illius qui ait: *Dolor meus in conspectu meo semper*[1]. (3) Multi vero etsi a pravis operibus recesserunt, dum **510** priora facta recordatione percurrunt, per eam sæpe quiescens renovant peccatum. (4) Silentio enim sopita improbitas, latens est morbus in anima. (5) Cæterum eorum qui peccant dimissio fit per derelictionem. Quorum autem curam gerit, de iis ait Scriptura: *Non te deseram, neque te derelinquo*[2]: e contrario de quibus prorsus desperat, hos ad carnis et cogitationum suarum desideria explenda liberos dimittit, quod eis profutura non sit animadversio. (6) Quoniam enim hoc peccatum vulnere, livore ac plaga tumente pejus est; non est malagma imponere tanquam ad plagam, neque oleum, ut ad vulnera: nec jam opus est hisce remediis: quippe majora sunt, inquit, symptomata quam ut hisce medicamentis cedant. Et quia tota gens peccatrix est, populusque omnis peccatis plenus, ob id ad omnes sæpenumero pervenit supplicium. *Et omne cor mœret*[3], dum in captivitatem abducitur populus ob peccata. Quemadmodum igitur sectionis, aut cauterii causam non sustinet medicus, sed morbus: sic et civitatum eversiones ab innumera peccatorum multitudine exortæ, omnem querelam a Deo propulsant.

8. (7) Invadunt enim propter paucos in omnem populum mala, ac flagitium unius plebi toti nocet. Achar sacrilegium commisit[4], et totus casti-

λῃ τὸν ἁμαρτάνοντα· καὶ ἡ ὑγεία βλαβερὰ, ὅταν ἐφόδιον γίνηται πρὸς ἁμαρτίαν τῷ ἔχοντι. Οὕτω καὶ τὰ χρήματα ἤδη τισὶν ὑπηρεσία πρὸς ἀκολασίαν ἐγένετο, καὶ πενία πολλοὺς ἐσωφρόνισε τῶν ὡρμημένων κακῶς. Μήτε οὖν φύγῃς ἃ μὴ δεῖ, μήτε προσφύγῃς ᾧ μὴ δεῖ (8)· ἀλλ' ἓν σοι φευκτὸν ἤτω, ἡ ἁμαρτία καὶ μία καταφυγὴ ἐκ τῶν κακῶν, ὁ Θεός.

7. Οἱ μέντοι πολλοὶ τῶν ἀνθρώπων καὶ λήθην ποιοῦνται τῶν προτέρων ἁμαρτημάτων, ἀδιαφοροῦντες ἐπ' αὐτοῖς καὶ καταφρονοῦντες, ὡς μηδεμιᾶς ἐκδικήσεως γενησομένης. Ὁ δὲ τὸ δικαστήριον τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν διὰ παντὸς ἔχων, καὶ πεπεισμένος, ὅτι πάντες παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον, ἐν ἀγωνίᾳ καθέστηκε πάντοτε, καὶ τὴν ἀλγηδόνα τῇ ἑαυτοῦ ψυχῇ ταύτην ἴστασθαι (9) φροντίζων, αὐτὸς ἑαυτοῦ κατηγορεῖ διὰ τῶν πρὸς τὸν Θεὸν ἐξομολογήσεων, κατὰ τὸν λέγοντα· *Ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διὰ παντός*. Πολλοὶ δὲ καὶ ἐπιστρέψαντες ἀπὸ πονηρῶν ἔργων, οἱονεὶ τὰς μνήμας τῶν παλαιῶν ἔργων παρακατέχοντες, δι' αὐτῶν πολλάκις ἀνανεοῦνται τὴν ἡσυχάζουσαν ἁμαρτίαν. Κακία γὰρ σιωπηθεῖσα, νόσος ὕπουλός ἐστιν ἐν τῇ ψυχῇ. Ἡ δὲ ἄνεσις τῶν ἁμαρτωλῶν κατὰ ἐγκατάλειψιν γίνεται. Ὧν μὲν γὰρ προνοεῖται ὁ λόγος, φησιν· *Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω*· ὧν δ' ἂν παντελῶς ἀπογνῷ, τούτους ἀνέτους ἀφίησι ποιεῖν τὰ θελήματα τῆς σαρκὸς, καὶ τῶν διανοιῶν αὐτῶν, ὡς τῆς παιδευτικῆς ἀνωφελοῦς αὐτοῖς ἐσομένης. Καὶ γὰρ ἐπεὶ ὑπὲρ τραῦμα καὶ μώλωπα καὶ πληγὴν φλεγμαίνουσαν ἡ ἁμαρτία ἐστὶν, οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι ὡς πρὸς τὴν πληγὴν, οὐδὲ ἔλαιον ὡς πρὸς τὰ τραύματα· οὐδὲ χρεία τῆς ἀπὸ τούτων βοηθείας· μείζονα γὰρ, φησὶ, τὰ συμπτώματα ἢ ὥστε τούτοις ἐνδοῦναι. Καὶ ἐπειδὴ (10) ὅλον τὸ ἔθνος ἁμαρτωλὸν, καὶ πᾶς ὁ λαὸς πλήρης ἀνομιῶν, διὰ τοῦτο καὶ ἡ κόλασις ἐπὶ πάντας πολλάκις ἔφθασε. Καὶ πᾶσα καρδία λυπηρὰ γέγονεν, εἰς αἰχμαλωσίαν ἀγομένου τοῦ λαοῦ διὰ τὰ ἁμαρτήματα. Ὥσπερ οὖν τῆς τομῆς, ἢ τοῦ καυτῆρος, οὐχ ὁ ἰατρὸς αἴτιος, ἀλλ' ἡ νόσος· οὕτω καὶ οἱ τῶν πόλεων ἀφανισμοὶ, ἐκ τῆς ἀμετρίας τῶν ἁμαρτανομένων τὴν ἀρχὴν ἔχοντες, τὸν Θεὸν πάσης μέμψεως ἀπολύουσιν.

8. Ἔρχεται γὰρ καὶ δι' ὀλίγους κακὰ, καὶ μοχθηρίας τινὸς παραπήλαυσε δῆμος. Ἄχαρ ἱεροσύλησε, καὶ ὅλη ἡ παράταξις ἐμαστίζετο. Ὁ Ζαμβρὶ πύρ

[99] II Cor. v, 10. [1] Psal. xxxvii, 18. [2] Jos. i, 5. [3] Isa. i, 5. [4] Jos. vii, 1.

(1) Ex hom. *in ps.* xlv, 171.
(2) Ex hom. *in psal.* xxxvii, 370.
(3) Unus codex indicat comment. *in Isa.*
(4) Uterque codex indicat serm. ethic.
(5) Ex comment. *in Isa.* 482.
(6) Ex comment. *in Isa.* 590.
(7) Ex hom. *in famem et siccit.* 66.
(8) *Ὧ μὴ δεῖ.* Codicum alter, οἷς μὴ δεῖ.
(9) *Ἴστασθαι.* Melius in contextu, ἰᾶσθαι. Ibidem ἐκ τῆ ἑαυτοῦ ψυχῇ.
(10) *Ἐπειδή.* Sic emendavimus ope Regii codicis 1992. Editi, ἐπεὶ μή.

εἰς τὰς Μαδιανίτιδας ἐξεπόρνευε, καὶ ὁ Ἰσραὴλ ἔπιπτεν εἰς δίκην. Καὶ καθάπερ ὁ λοιμὸς, ἐπειδὰν ἑνὸς ἀνθρώπου ἢ κτήνους ἅψηται, κατὰ διάδοσιν ἐπὶ πάντας τοὺς ἐγγίζοντας διανέμεσθαι πέφυκεν· οὕτω καὶ οἱ ἐργάται τῆς ἀνομίας, τὸ ἴδιον κακὸν ἐπὶ πάντας ἄγειν φιλονεικοῦσι, πολλοὺς ἑαυτοῖς παραπλησίους γενέσθαι φιλοτιμούμενοι, ἵνα ἐν τῇ κοινωνίᾳ τῶν κακῶν διαφεύγωσι τὰ ὀνείδη· καὶ ἄλλος ἄλλῳ τῆς νόσου μεταδιδόντες, συννοσοῦσιν ἀλλήλοις καὶ συναπόλλυνται. Οὔτε γὰρ πῦρ, εὐκαταπρήστου ὕλης ἁψάμενον, δυνατὸν μὴ οὐχὶ ἐπὶ πᾶσαν αὐτὴν διαβῆναι, ἄλλως τε κἂν ἐπιτύχῃ πνεύματος ἐπιφόρου τὴν φλόγα διακομίζοντος· οὔτε τὴν ἁμαρτίαν, ἑνὸς ἁψαμένην, μὴ οὐχὶ πάντας τοὺς ἐγγίζοντας διελθεῖν, ἐξαπτόντων αὐτὴν τῶν πνευμάτων τῆς πονηρίας.

9. Αἱ μὲν γὰρ διὰ τοῦ σώματος πράξεις καὶ χρόνου δέονται, καὶ εὐκαιρίας, καὶ καμάτων, καὶ συνεργῶν, καὶ τῆς λοιπῆς χορηγίας. Αἱ δὲ τῆς διανοίας κινήσεις ἀχρόνως ἐνεργοῦνται, ἀκόπως ἐπιτελοῦνται, ἀπραγματεύτως συνίστανται, πάντα καιρὸν ἐπιτήδειον ἔχουσι. Καί πού τις τῶν σοβαρῶν καὶ κατοφρυωμένων ἐπὶ σεμνότητι, πλάσμα σωφροσύνης ἔξωθεν περικείμενος, ἐν μέσοις καθεζόμενος πολλάκις τοῖς ἐπ' ἀρετῇ αὐτὸν μακαρίζουσιν, ἀπέδραμε τῇ διανοίᾳ πρὸς τὸν τῆς ἁμαρτίας τόπον (1) ἐν τῷ ἀφανεῖ τῆς καρδίας κινήματι. Εἶδε τῇ φαντασίᾳ τὰ σπουδαζόμενα, ἀνετυπώσατό τινα ὁμιλίαν οὐκ εὐπρεπῆ, καὶ ὅλως ἐν τῷ κρυφίῳ τῆς καρδίας ἐργαστηρίῳ ἐναργῆ τὴν ἡδονὴν ἑαυτῷ ζωγραφήσας, ἀμάρτυρον ἔσω τὴν ἁμαρτίαν εἰργάσατο. Τὸ γὰρ πλεῖστον τῆς ἁμαρτίας ἐν τῇ ὁρμῇ πληροῦται τῇ κατὰ πρόθεσιν· διότι αἱ μὲν τοῦ σώματος πράξεις ὑπὸ πολλῶν διακόπτονται, ὁ δὲ κατὰ πρόθεσιν ἁμαρτάνων τῷ τάχει τῶν νοημάτων συναπαρτιζομένην ἔχει τὴν ἁμαρτίαν. Ὡς γὰρ ἡ σκιὰ τῷ σώματι, οὕτω ταῖς ψυχαῖς αἱ ἁμαρτίαι παρέπονται, ἐναργεῖς τὰς πράξεις ἐξεικονίζουσαι. Τελεία μὲν οὖν κακία, τὸ καὶ γνώμῃ καὶ πράξεσιν ἁμαρτάνειν· ἥμισυ δὲ τοῦ κακοῦ, ἐπὶ τῆς ὁρμῆς τῆς κατὰ διάνοιαν στῆναι τὴν ἁμαρτίαν. Οὐ πάντῃ οὖν ἀτιμώρητος ὁ κατὰ διάνοιαν ἁμαρτάνων· ἀλλ' ὅσον ἐλλείπει τοῦ κακοῦ, τοσοῦτον αὐτῷ τῶν πόνων ὑφαιρεθήσεται. Τὸν μέντοι παραδεχθέντα εἰς τὴν ἀδελφότητα, εἶτα τὴν ὁμολογίαν ἀθετήσαντα, οὕτω χρὴ ὁρᾶσθαι, ὡς εἰς Θεὸν ἐξαμαρτόντα, ἐφ' οὗ, καὶ εἰς ὃν τὴν ὁμολογίαν τῶν συνθηκῶν κατέθετο. *Ἐὰν δὲ εἰς Θεὸν ἁμαρτήσῃ τις*, φησὶ, *καὶ τίς προσεύξεται περὶ αὐτοῦ;* Ὁ γὰρ ἀναθεὶς ἑαυτὸν τῷ Θεῷ, εἶτα πρὸς ἄλλον βίον ἀποπηδήσας, ἱερόσυλος γέγονεν, αὐτὸς ἑαυτὸν διακλέψας, καὶ ἀφελόμενος τὸ τοῦ Θεοῦ ἀνάθημα. Οἷς εὔλογόν ἐστι, μηκέτι θύραν τῶν ἀδελφῶν ἀνοίγεσθαι, μηδὲ εἰ κατὰ ψιλὴν πάρ-

A gatus est exercitus. Zambri Madianitidas scortatus est [a], et Israel pœnas dedit. (2) Ac ut pestis, ubi unum hominem, aut jumentum attigit, contagio in proximos quosque serpere solet: sic et iniquitatis operarii proprium malum in omnes transfundere conantur, multosque sibi similes fieri magnopere cupiunt, ut in vitiorum societate infamiam vitent; atque alter alteri morbum impertientes, ægrotant simul, simulque pereunt. Nam neque ignis, materiam suscipiendæ flammæ idoneam nactus, cohiberi potest, quominus universam pervadat, maxime, si vehemens ventus flammam pervehat: neque fieri potest, ut peccatum, quod unum aliquem attigerit, ad omnes vicinos non transeat, si nequitiæ spiritus il- B lud accendant.

9. (3) Etenim corporeæ actiones et tempore indigent, et opportunitate, et labore, et adjutoribus, denique reliquo commeatu. E diverso, cogitationis motus citra temporis moram fiunt, perficiuntur citra lassitudinem, citra negotium ullum consistunt, idoneum ipsis est tempus omne. Et sane nonnunquam invenitur qui arrogans sit, superbiatque de gravitate et castitate, quique extrinsecus præ se ferens temperantiæ larvam, ac plerumque inter eos, qui ipsum ob virtutem beatum prædicant, desidens medius, mox tamen cogitatione per occultum cordis motum ad peccati locum accurrat. Videt animo concupita, com- C miniscitur congressum quempiam indecorum, ac denique in abdita cordis officina, claram in seipso voluptatis speciem depingens, intus peccatum sine testibus perpetrat. Peccati enim maxima pars in voluntatis appetitione absolvitur; propterea quod corporis actiones a **511** multis interpellantur: qui vero peccat voluntate, statim celeri cogitationum motu peccatum explevit. (4) Ut enim umbra corpus, sic peccata animas comitantur, gestorum imaginem claram exprimentia. (5) Est enim perfecta malitia, cum quis et voluntate peccat et factis: dimidia vero mali pars est, cum peccatum in animi proposito manet. Itaque qui cogitatione peccat, non omnino remansurus est inultus: sed quantum deficit a malo, D tantum ei pœnarum remittetur. (6) Utique horum unusquisque, qui inter fratres admissus fuerit, posteaque professionem suam resciderit, perinde aspici debet, ut qui in Deum peccaverit, coram quo, et in quo pactorum confessionem deposuit. *Si vero*, inquit, *in Deum quis peccaverit, et quis orabit pro eo* [b]? Qui enim seipsum dicavit Deo, et deinde ad aliud vitæ genus transiit, factus est sacrilegus, cum ipse sui ipsius

[a] Num. xxv, 6. [b] I Reg. ii, 25.

(1) *Τόπον*. Sic contextus et uterque codex. Editi, τύπον.
(2) Ex hom. *in psal.* i, 96.
(3) Ex hom. in illud, *Attende tibi ipsi*, 17.
(4) Ex hom. *in divites*, 58.
(5) Ex comment. *in Isa.* 459.
(6) Ex *Regulis fusius tractatis*, 355.

fur fuerit, donariumque Deo consecratum abstulerit. Quibus æquum est non amplius fores fratrum aperiri, ne si in brevi quidem transitu ad poscendum tectum accederent. Perspicua est enim Apostoli regula, qua jubemur subducere nos ab omni inordinato, neque commisceri cum illo, ut confundatur.

οδον σκέπης ἕνεκεν ἐπιδημήσειεν. Ὁ γὰρ ἀποστολικὸς κανὼν φανερὸς, κελεύει (4) ἡμᾶς στέλλεσθαι ἀπὸ παντὸς ἀτάκτου, καὶ μὴ συναναμίγνυσθαι αὐτῷ, ἵνα ἐντραπῇ.

10. (1) Sic enim a principio absque spinis rosa nascebatur; postea vero floris pulchritudini fuit spina adjuncta, ut fruendæ voluptati foret dolor contiguus, dum recordaremur peccati, cujus causa ad hoc damnata terra est, ut nobis spinas proferret atque tribulos. Sed affectionum depravatio, per ignorationem Dei, improbam cognitionem insevit. (2) Siquidem magnus ille athleta Job tentationes omnis generis perpessus, non ignorabat undenam hoc sibi eveniret. Quapropter dicebat: *Sagittæ enim Domini in corpore meo sunt, quarum ira meum ebibit sanguinem*[7]. David vero cum anima ipsa ægrotaret, se ipse ulciscebatur atque affligebat, seque omni pœnarum generi subjiciebat in variis confitendi modis. *Quoniam enim sagittæ tuæ infixæ sunt mihi*, inquit, *et confirmasti super me manum tuam. Non est sanitas in carne mea a facie iræ tuæ. Non est pax ossibus meis a facie peccatorum meorum*[8]. Porro sagittæ hic memoratæ mihi videntur esse spirituales, imo vero ipsa Dei verba, quæ pungebant ac vulnerabant ipsius animam, et de conscientia ipsa sumebant supplicium, eamque castigabant. Vir enim hic tantus cum esset, totque a Deo bona consecutus, tamen factum turpe patravit. Quoniam enim inermis inventus David, ignitis maligni telis non resistebat, jure in anima sauciatus, concupiscentia correptus est. Quemadmodum autem Job diaboli sagittas, immissa videlicet corpori suo ulcera, quia permissu Dei acciderant, sagittas Domini vocavit, dicens: *Nam sagittæ Domini in corpore meo, quarum furor ebibit meum sanguinem*; ita verisimile est ideo Davidem hic sagittas Domini nominasse, quia ex Domini concessu inimicus eum oppugnabat, ut edisceret non dicere: *Non movebor in æternum*[9]. Quia enim Dei gratia roboratus, magna aliquando de se senserat, ita ut arroganter diceret: *Ego autem dixi in abundantia* 512 *mea: Non movebor in æternum*[10]: ideo jure tentatori traditus est, qui animam ejus adortus, majus ei quam Jobo damnum intulit.

10. Οὕτω γὰρ καὶ τὸ ῥόδον ἄνευ ἀκάνθης ἦν τὴν ἀρχὴν βλαστηθὲν, ὑπὲρ δὲ τῷ κάλλει τοῦ ἄνθους ἡ ἄκανθα παρεζεύχθη, ἵνα τῷ τερπνῷ τῆς ἀπολαύσεως ἐγγύθεν ἔχωμεν παρακειμένην τὴν λύπην, μεμνημένοι τῆς ἁμαρτίας, δι' ἣν ἀκάνθας καὶ τριβόλους ἡμῖν ἡ γῆ ἀνατέλλειν κατεδικάσθη. Ἀλλ' ἡ τῶν παθῶν κακία, διὰ τῆς περὶ Θεοῦ ἀγνωσίας, ἀδόκιμον γνῶσιν ἐντίθησιν. Ὁ μὲν γὰρ μέγας ἀθλητὴς Ἰὼβ, παντοίους ὑπομείνας πειρασμοὺς, οὐκ ἠγνόει ὁπόθεν αὐτῷ τοῦτ' ἐγένετο. Διὸ ἔλεγε· *Βέλη γὰρ Κυρίου ἐν τῷ σώματί μού ἐστιν, ὧν ὁ θυμὸς ἐκπίνει μου τὸ αἷμα.* Ὁ δὲ Δαβὶδ ἐπειδὴ περὶ τὴν ψυχὴν αὐτὴν ἐνενοσήκει, αὐτὸς ἑαυτὸν ἐτιμωρεῖτο, παντοίαις ὑποβάλλων κολάσεσιν ἐν τοῖς τῆς ἐξομολογήσεως τρόποις. *Ὅτι γὰρ τὰ βέλη σου ἐνεπάγησάν μοι*, φησὶ, *καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου. Οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.* Καί μοι δοκεῖ τὰ ἐνταῦθα λεγόμενα βέλη λογικὰ εἶναι· μᾶλλον δὲ αὐτοὺς τοὺς τοῦ Θεοῦ λόγους, νύττοντας καὶ τιτρώσκοντας αὐτοῦ τὴν ψυχὴν, καὶ τὴν συνείδησιν αὐτοῦ τιμωρουμένους καὶ κολάζοντας. Ἐπεὶ τοσοῦτος ἦν (5) ὁ ἀνὴρ, καὶ τοσούτων τετυχηκὼς ὑπὸ τοῦ Θεοῦ, αἰσχρᾷ πράξει ἑαυτὸν ἐξέδωκεν. Ἐπειδὴ γὰρ ἄφρακτος εὑρεθεὶς, οὐκ ἀντέσχε πρὸς τὰ τοῦ πονηροῦ πεπυρωμένα βέλη, εἰκότως τὴν ψυχὴν τρωθεὶς, ἑάλω τῇ ἐπιθυμίᾳ. Ὥσπερ δὲ τὰ τοῦ διαβόλου βέλη, τὰ ἕλκη τὰ ἐπιτεθέντα τῷ Ἰὼβ κατὰ τοῦ σώματος, ἐπειδὴ κατὰ συγχώρησιν ἐγίνετο τοῦ Θεοῦ, βέλη Κυρίου ὠνόμασεν, εἰπὼν, *Βέλη γὰρ Κυρίου ἐν τῷ σώματί μού ἐστιν, ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα*· οὕτως εἰκὸς καὶ τὸν Δαβὶδ ἐνταῦθα βέλη Κυρίου εἰρηκέναι, ἐπεὶ κατὰ συγχώρησιν τοῦ Κυρίου κατεστρατεύσατο αὐτοῦ ὁ ἀντίπαλος, ἵνα μάθῃ μὴ λέγειν· *Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.* Ἐπειδὴ γὰρ τῇ χάριτι τοῦ Θεοῦ δυναμούμενος, μέγα ἐφ' ἑαυτῷ ἐφρόνησέ ποτε, ὡς ἀπαυθαδιάσασθαι καὶ εἰπεῖν, *Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα*· τούτου χάριν εἰκότως παρεδόθη τῷ πειράζοντι, ὃς τῆς ψυχῆς αὐτοῦ καθαψάμενος, μειζόνως αὐτὸν ἢ τὸν Ἰὼβ ἐζημίωσεν.

11. (3) Ego autem tria hæc video animi affectionis discrimina in inviolabili Christo obediendi necessitate, servorum, mercenariorum, filiorum. Aut enim supplicii metu a malo declinamus, versamurque in affectu servili; aut mercedis lucra requiren-

11. Ἐγὼ δὲ τρεῖς ταύτας διαφορὰς τῆς διαθέσεως πρὸς τὴν ἀπαραίτητον ἀνάγκην τῆς ὑπακοῆς τοῦ Χριστοῦ καθορῶ, δουλείαν, μισθαρνίαν, υἱότητα. Ἢ γὰρ φοβούμενοι τὰς κολάσεις ἐκκλίνομεν ἀπὸ τοῦ κακοῦ, καὶ ἐσμὲν ἐν τῇ διαθέσει τῇ δουλικῇ·

[7] Job VI, 4. [8] Psal. XXXVII, 3-4. [9] Psal. XXIX, 7. [10] ibid.

(1) Ex hom. V *in Hexaemer.* 45.
(2) Ex hom. *in psal.* XXXVII, 364.
(3) Ex *Regulis fusius tractatis*, 329.

(4) *Φανερὸς, κελεύει.* Forte φανερῶς κελεύει, vel φανερὸς, κελεύων. EDIT.
(5) *Ἦν.* Forte ὤν. ED.

ἢ τὰ ἐκ τοῦ μισθοῦ κέρδη διώκοντες, ἕνεκεν τῆς ἑαυτῶν ὠφελείας πληροῦμεν τὰ προστεταγμένα, καὶ κατὰ τοῦτο προσεοίκαμεν τοῖς μισθίοις· ἢ δι' αὐτὸ τὸ καλὸν, καὶ τὴν πρὸς τὸν δεδωκότα ἡμῖν τὸν νόμον ἀγάπην, χαίροντες ὅτι οὕτως ἐνδόξῳ καὶ ἀγαθῷ Θεῷ δουλεύειν κατηξιώθημεν· καὶ ἐσμὲν οὕτως ἐν τῇ τῶν υἱῶν διαθέσει. Οὔτε οὖν ὁ ἐν φόβῳ τὰς ἐντολὰς κατορθῶν, καὶ ἀεὶ τὸ τῆς ῥᾳθυμίας ἐπιτίμιον ὑφορώμενος, τὰ μὲν ποιήσει τῶν προστεταγμένων αὐτῷ, τὰ δὲ παρόψεται· ἀλλὰ τὴν ἐπὶ πάσῃ παρακοῇ ἐκδίκησιν ὁμοίως φοβερὰν ἑαυτῷ ὑπολήψεται· καὶ διὰ τοῦτο μακαρίζεται, ὡς οὐδὲν αἱρούμενος παριδεῖν τῶν δεόντων (*Μακάριος γὰρ*, φησὶν, *ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον*· διὰ τί; *ὅτι ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα*). Ἀλλ' οὐδὲ ὁ μισθωτὸς παραβῆναί τι τῶν διατεταγμένων αἱρήσεται. Πῶς B γὰρ κομίσεται τὸν μισθὸν τῆς ἐργασίας, μὴ πάντα πληρώσας τὰ συμπεφωνημένα; Καὶ γὰρ ἐὰν ἕν τι λείπῃ τῶν ἀναγκαίων, ἄχρηστον τὸ ἔργον τῷ κεκτημένῳ κατέστησε. Τίς οὖν, μενούσης (1) ἔτι τῆς βλάβης, μισθὸν ὑποτελεῖ τῷ ἀδικήσαντι; Τρίτον ἦν ἡ κατὰ ἀγάπην ὑπηρεσία. Τίς οὖν υἱὸς σκοπὸν ἔχων τὴν τοῦ πατρὸς εὐαρέστησιν, ἐπὶ τοῖς μείζοσιν αὐτὸν εὐφραίνων, τῶν μικροτάτων ἕνεκεν λυπεῖν αἱρήσεται; Οἱ τοίνυν τὰς πλείστας τῶν ἐντολῶν παραβαίνοντες, ἐν ποίῳ μέρει τετάχθαι βούλονται; μήτε ὡς Πατρὶ ὑπηρετοῦντες τῷ Θεῷ, μήτε ὡς μεγάλα ἐπαγγελλομένῳ πειθόμενοι, μήτε ὡς Δεσπότῃ δουλεύοντες.

12. Πῶς δὲ τὸν καθ' ἡδονὴν βίον τοῦ κατ' ἐντολὴν C προτιμήσαντες, ζωῆς μακαριότητα, καὶ ἰσοπολιτείαν τῶν ἁγίων, καὶ τὰς μετ' ἀγγέλων εὐφροσύνας ἐν προσώπῳ Χριστοῦ ἑαυτοῖς ὑποθώμεθα; Νηπίας ὄντως φρενὸς τὰ τοιαῦτα φαντάσματα. Πῶς ἔσομαι μετὰ Ἰὼβ, ὁ μηδὲ τὴν τυχοῦσαν θλῖψιν μετ' εὐχαριστίας δεξάμενος; Πῶς μετὰ Δαβὶδ, ὁ μὴ πρὸς τὸν πολέμιον μακροθύμως διατεθείς; Πῶς μετὰ Δανιὴλ, ὁ μὴ μετ' ἐγκρατείας διηνεκοῦς καὶ δεήσεως φιλοπόνου τὸν Θεὸν ἐκζητήσας; Πῶς μεθ' ἑκάστου τῶν ἁγίων, ὁ μὴ τοῖς ἴχνεσιν αὐτῶν περιπατήσας; Τίς οὕτως ἄκριτος ἀθλοθέτης, ὡς τῶν ἴσων ἀξιῶσαι στεφάνων τὸν νικητὴν, καὶ τὸν μηδὲν ἠγωνισμένον; Τίς στρατηγὸς εἰς τὴν μερίδα τῶν σκύλων ἐξ ἴσου ποτὲ τοῖς νενικηκόσι τοὺς μηδὲ φανέντας ἐπὶ τῆς μάχης ἐκάλεσεν; Ἀγαθὸς ὁ Θεὸς, ἀλλὰ καὶ δίκαιος. D Δικαίου δὲ, ἡ πρὸς ἀξίαν ἀντίδοσις, καθὼς γέγραπται· *Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς, ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν*. Ἐλεήμων, ἀλλὰ καὶ κριτής. Ἀγαπᾷ γὰρ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος. Ἔμαθες ἐπὶ τίνας τὸ ἔλεος; *Μακάριοι*, φησὶν, *οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται*. Ὁρᾷς, πῶς κεκριμένως κέχρηται τῷ ἐλέῳ, οὔτε ἀκρίτως ἐλεῶν, οὔτε ἀνηλεῶς κρίνων; *Ἐλεήμων*

A tes, ob nostram ipsorum utilitatem mandata explemus, et hoc pacto mercenariis efficimur similes; aut ob ipsum honestum, et amorem illius qui legem nobis dedit, gaudentes quod digni simus habiti, qui tam glorioso ac bono Deo serviamus; et ita demum ut filii afficimur. Neque igitur is qui in timore perficit mandata, semperque desidiæ pœnam veretur, alia quidem quæ sibi præcepta fuerint, exsequetur, alia vero negliget : sed omnis inobedientiæ vindictam sibi ex æquo metuendam suspicabitur. Et idcirco beatus prædicatur qui scilicet nihil eorum quæ ad officium pertineant, prætermittere velit. *Beatus enim vir*, ait, *qui timet Dominum* [11]. Quam ob causam? *quia in mandatis ejus volet nimis* [12]. Sed neque mercenarius quidem quidquam eorum quæ præscripta sint, violare volet. Quomodo enim operæ mercedem referet, si pacta omnia non servaverit? Etenim si vel unum ex iis quæ necessaria exstiterint, defuerit, inutile opus possessori reddidit. Ecquis igitur, manente detrimento, mercedem persolvat injuriæ actori? Tertium ministerium erat ob charitatem præstitum. Quis igitur filius, cum ei scopus sit, ut complaceat patri, ipsum in rebus majoribus lætitia afficiens, tristitiam ob res minimi momenti afferre volet? Qui igitur maximam violant mandatorum partem, quo in numero collocari cupiunt? cum neque ut Patri obsequantur Deo, neque ut magna pollicenti pareant, neque ut Domino serviant.

12. Quomodo si vitam voluptariam vitæ quæ juxta mandata degitur, anteponamus, vitæ beatitudinem, et civitatis cum sanctis jus æquale, et cum angelis gaudia in Christi conspectu nobis pollicemur? Sunt animi vere stolidi talia commenta. Quomodo cum Job ero, qui ne levissimam quidem calamitatem cum gratiarum actione pertulerim? Quomodo cum Davide, qui leniter me non gesserim cum adversario? Quomodo cum Daniele, qui assidua abstinentia et sedula precatione Deum non exquisierim? Quomodo cum singulis quibusvis sanctis, qui illorum vestigia secutus non sim? Quis certaminum arbiter ita judicii expers est, ut victorem et eum qui non decertavit, paribus coronis dignos esse censeat? Quis imperator iis qui vicerint, et iis qui ne comparuerint quidem in pugna, distribuit unquam æqualem spoliorum partem? Deus quidem bonus est, sed est quoque justus. Justi autem est remunerare pro merito, sicut scriptum est: *Benefac, Domine, bonis. Declinantes autem in obligationes, adducet Dominus cum operantibus iniquitatem* [13]. Misericors quidem est, sed et judex. *Diligit enim*, inquit, *misericordiam et judicium Dominus* [14]. Didicistine quinam sint, **513** quorum misereatur? *Beati*, inquit, *misericordes, quoniam ipsi misericor-*

[11] Psal. cxi, 1. [12] ibid. [13] Psal. cxxiv. 4-5. [14] Psal. xxxii, 5.

(1) *Μενούσης*. Minus commode deest ea vox in contextu Basilii. Ibidem legimus ut in contextu τῷ κεκτημένῳ. Editi, τῶν κεκτημένων.

diam consequentur [15]. Vides quam considerate utatur misericordia? Neque citra judicium misericors est, neque judicat citra misericordiam. *Misericors enim Dominus et justus* [16]. Ne igitur dimidia ex parte Dominum cognoscamus, neque ipsius benignitas ignaviæ nobis occasio sit. Ideo tonitrua, ideo fulmina, ut ne contemnatur bonitas. Qui efficit ut sol oriatur [17], ipse etiam cæcitate multat [18]. Qui imbrem dat [19], etiam ignem pluit [20]. Illa clementiam, hæc severitatem indicant. Aut propter illa diligamus, aut propter hæc timeamus, ne nobis quoque dicatur : *An divitias bonitatis ejus et longanimitatis contemnis, ignorans quod benignitas Dei ad pœnitentiam te ducit? Secundum autem duritiam tuam, et impœnitens cor, thesaurizas tibi iram in die iræ* [21]. (1) Ecquid mihi proderunt cætera recte facta, B si propterea quod fratrem fatuum appellavero, sim gehennæ addicendus? Quam enim utilitatem percipit qui a multis liber est, si vel uno redigitur in servitutem? *Qui* enim, inquit, *facit peccatum, servus est peccati* [22]. Quid etiam cuiquam prodest multorum morborum esse expertem, si ipsius corpus vel ab uno morbo corrumpitur? (2) Qui enim voluntatem Dei facit, sed non ut vult Deus, neque in affectu amoris erga Deum id facit, inutile habet operis studium : nam ait, *Amen dico vobis, quia receperunt mercedem suam* [23]. (3) Itaque primæ tuæ originis si memor non es, o homo, ex persoluto pro te pretio aliquam dignitatis tuæ notionem accipe, ad pretium illud quo commutatus es respice, tuamque agnosce dignitatem. C Emptus es pretiosissimo Dei sanguine, peccati ne fias servus. Intellige tuam præstantiam, ut ne jumentis insipientibus assimileris. Quomodo enim vos, qui stultis perniciosisque concupiscentiis servitis velut mancipia, servis imperabitis? Quomodo liberos vestros recte instituetis, qui expertem disciplinæ et ordinis vitam degitis? *Ut enim mihi incumbit necessitas, et væ mihi est*, ut ait Apostolus, *nisi evangelizavero* [24], et justitiam Dei nocte dieque vobis annuntiavero. Ita etiam vobis par periculum, si vel desidiæ vos dederitis, vel remisse et dissolute in iis quæ vobis traduntur tum retinendis, tum opere complendis versemini. *Sermo* enim *quem locutus sum*, ait Dominus, *ille judicabit mundum in extrema die* [25]. (4) Semper D enim quod bonum est cupiens, ab eoque semper aberrans, nullam aliam possum eorum quæ fiunt causam invenire, nisi quod persuasum habeo, me veterum peccatorum pœnas persolvere. Ut igitur scientes adversa fronte nobis divinæ Scripturæ sermones, pro tribunali Christi oppositum iri; ita et iis quæ dicuntur, summa cum vigilantia attendamus, et ad opus perducere divina præcepta cum

A γὰρ ὁ *Κύριος καὶ δίκαιος*. Μὴ οὖν ἐξ ἡμισείας τὸν Κύριον γνωρίζωμεν, μηδὲ ἀφορμὴν ῥᾳθυμίας τὴν αὐτοῦ φιλανθρωπίαν λαμβάνωμεν. Διὰ τοῦτο βρονταὶ, διὰ τοῦτο κεραυνοὶ, ἵνα μὴ καταφρονῆται ἡ ἀγαθότης. Ὁ τὸν ἥλιον ἀνατέλλων, καὶ ἀβλεψίαν καταδικάζει. Ὁ τὸν ὄμβρον διδοὺς, καὶ τὸ πῦρ βρέχει. Ἐκεῖνα τῆς χρηστότητος, ταῦτα τῆς ἀποτομίας. Ἢ δι' ἐκεῖνα ἀγαπήσωμεν, ἢ διὰ ταῦτα φοβηθῶμεν (5), ἵνα μὴ ῥηθῇ καὶ ἡμῖν· *Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; Κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς*. Τί δέ μοι τὸ ὄφελος τῶν ἄλλων κατορθωμάτων, εἰ μέλλοιμι, μωρὸν εἰπὼν B τὸν ἀδελφὸν, ἔνοχος γενέσθαι τῇ γεέννῃ; Τί γὰρ ὄφελος τῆς ἀπὸ τῶν πολλῶν ἐλευθερίας τῷ ὑφ' ἑνὸς κρατουμένῳ εἰς δουλείαν; *Ὁ γὰρ ποιῶν*, φησὶ, *τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας*. Τί δὲ κέρδος τῆς ἐν πολλοῖς ἀπαθείας τῷ ὑφ' ἑνὸς πάθους φθειρομένῳ τὸ σῶμα; Ὁ γὰρ τὸ θέλημα τοῦ Θεοῦ ἐργαζόμενος, μὴ καθὼς δὲ θέλει ὁ Θεὸς, μηδὲ ἐν διαθέσει τῆς πρὸς Θεὸν ἀγάπης τοῦτο ποιῶν, ἀνόνητον ἔχει τὴν τούτου σπουδήν. *Ἀμὴν* γὰρ *λέγω ὑμῖν*, φησὶν, *ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν*. Τοιγαροῦν, εἰ μὴ τῆς πρώτης σεαυτοῦ γενέσεως, ἄνθρωπε, μέμνησαι, ἐκ τῆς καταβληθείσης ὑπὲρ σοῦ τιμῆς λάβε τινὰ τοῦ ἀξιώματος ἔννοιαν· ἀπόβλεψόν σου πρὸς τὸ ἀντάλλαγμα, καὶ γνῶθι σεαυτοῦ τὴν ἀξίαν. Τῷ πολυτιμήτῳ αἵματι τοῦ Θεοῦ ἠγοράσθης· μὴ C γίνου δοῦλος τῆς ἁμαρτίας. Σύνες σεαυτοῦ τῆς τιμῆς, ἵνα μὴ παρεικασθῇς τοῖς ἀνοήτοις κτήνεσι. Πῶς γὰρ τῶν οἰκετῶν ἄρξετε, αὐτοὶ δουλεύοντες ἐπιθυμίαις ἀνοήτοις καὶ βλαβεραῖς, ὡς ἀνδράποδα; Πῶς τοὺς παῖδας νουθετήσετε, ἀνουθέτητον ζωὴν καὶ ἀδιάτακτον ζῶντες; *Ὥσπερ γὰρ ἐμοὶ ἀνάγκη ἐπίκειται, καὶ οὐαί μοι ἐστὶν, ἐὰν μὴ εὐαγγελίζωμαι*, καὶ ἀναγγέλλω τὰ δικαιώματα τοῦ Θεοῦ νυκτός τε καὶ ἡμέρας, κατὰ τὸν Ἀπόστολον· οὕτω καὶ ὑμῖν ἴσος ὁ ἀγὼν, ἀποῤῥᾳθυμήσασιν, ἢ ἀτόνως καὶ ἐκλελυμένως πρός τε τὴν φυλακὴν τῶν παραδεδομένων καὶ τὴν διὰ τῶν ἔργων πλήρωσιν διατεθεῖσιν. *Ὁ λόγος γὰρ ὃν ἐλάλησα*, φησὶν ὁ Κύριος, *ἐκεῖνος κρινεῖ τὸν κόσμον ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ*. Ἀεὶ μὲν D γὰρ ἐπιθυμῶν τοῦ καλοῦ, ἀεὶ δὲ ἀποτυγχάνων αὐτοῦ, οὐκ ἄλλην τινὰ αἰτίαν ἔχω τοῖς γινομένοις ἐπινοεῖν, πλήν γε δὴ τοῦ πεπεῖσθαι παλαιῶν ἁμαρτημάτων ἐκτιννύειν δίκας. Ὡς οὖν εἰδότες, ὅτι ἀντιπρόσωποι ἡμῖν οἱ τῆς θεοπνεύστου Γραφῆς λόγοι στήσονται ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ· οὕτω καὶ προσέχωμεν νηφόντως τοῖς λεγομένοις, καὶ εἰς ἔργον προαγαγεῖν τὰ θεῖα διδάγματα σπουδαίως ἐπειχθῶμεν, ὅτι οὐκ οἴδαμεν ποίᾳ ἡμέρᾳ ἢ ὥρᾳ ὁ Κύριος

[15] Matth. v, 7. [16] Psal. cxiv, 5. [17] Matth. v, 45. [18] IV Reg. vi, 18. [19] Zach. x, 1. [20] Gen. xix, 24. [21] Rom. ii, 4, 5. [22] Joan. viii, 34. [23] Matth. vi, 2. [24] I Cor. ix, 16. [25] Joan. xii, 48.

(1) Ex *Regulis fusius tractatis*, 329.
(2) Ibid.
(3) Ex hom. *in psal.* xlviii, 183.
(4) Ex epist. lix, 153.
(5) *Ἢ διὰ ταῦτα φοβηθῶμεν*. Hæc addita ex codicum altero et contextu.

ἡμῶν ἔρχεται. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

ΛΟΓΟΣ Η'.

1. Διττός μοι φόβος ἐνέσκηψε τοῖς τῆς διανοίας κόλποις ἐκ τῆς περὶ σὲ ὑποθέσεως. Ἡ γάρ τις ἀσυμπαθὴς τρόπος προκαταρξάμενος εἰς μισανθρωπίας ἔγκλημά με περιῤῥίπτει, ἢ αὖθις συμπαθεῖν ἐθέλοντα, καὶ πρὸς τὰ πάθη μαλακίζεσθαι, κακῶς διατίθησι. Διόπερ καὶ διαχαράττειν μέλλων τουτί μου τὸ γράμμα, τὴν μὲν χεῖρα ναρκῶσαν τοῖς λογισμοῖς ἐνεύρωσα, τὸ δὲ πρόσωπον, ἠπορημένον ἐκ τῆς ἐπὶ σοὶ κατηφείας, ἀλλοιῶσαι οὐκ ἴσχυσα, B τοσαύτης μοι ἐπικειμένης αἰσχύνης, ὡς καὶ τὴν τοῦ στόματος σύμπτυξιν παραχρῆμα πίπτειν, τῶν χειλέων μου εἰς κλαυθμὸν ἐκτρεπομένων. Οἴμοι! τί εἴπω, ἢ τί λογίσωμαι, ἐν τριόδῳ (1) ἀπειλημμένος; Ἐὰν ἔλθω εἰς μνήμην τῆς προτέρας σου ματαίας ἀναστροφῆς, ὅτε σοι περιέῤῥει πλοῦτος, καὶ τὸ χαμαιπετὲς δοξάριον, φρίττω· ἡνίκα εἵπετό σοι κολάκων πλῆθος, καὶ τρυφῆς ἀπόλαυσις πρόσκαιρος μετὰ προφανοῦς κινδύνου καὶ ἀδίκων πόρων· καὶ πῆ μὲν ἀρχοντικοὶ φόβοι διεῤῥίπιζόν σου τὴν τῆς σωτηρίας ὑπόνοιαν, πῆ δὲ δημοσίων θόρυβοι διεσάλευόν σου τὴν ἑστίαν, ἢ τε συνοχὴ τῶν κακῶν ἀπεσφαίριζέ σου τὸν νοῦν πρὸς τὸν δυνάμενόν σοι βοηθεῖν· ἡνίκα κατὰ μικρὸν ἐμελέτας περιβλέπεσθαι τὸν Σωτῆρα, φέροντα μὲν πρὸς ὠφέλειαν τοὺς φόβους, ῥυόμενον C δὲ σε, καὶ σκέποντα, παίζοντα κατ' αὐτοῦ ἐν ταῖς ἐδείαις· ἡνίκα ἐγυμνάζου πρὸς μεταβολὴν σεμνοῦ τρόπου, σκυβαλίζων μέν σου τὴν πολυκίνδυνον περιουσίαν, οἴκου τε θεραπείαν, καὶ συνοίκου ὁμιλίαν ἀπαρνησάμενος. Ὅλος μετάρσιος, ὥσπερ ξένος καὶ ἀλήτης, ἀγροὺς καὶ πόλεις ἐξαμείβων, κατέδραμες ἐπὶ τὰ Ἱεροσόλυμα, ἔνθα σοι καὶ αὐτὸς συνδιατρίβων ἐμακάριζον τῶν ἀθλητικῶν πόνων, ὅτε ἑβδοματικοῖς κύκλοις νῆστις διατελῶν Θεῷ προσεφιλοσόφεις, ὁμοῦ καὶ τὰς τῶν ἀνθρώπων συντυχίας λόγῳ τροπῆς ὑποφεύγων, καὶ ἡσυχίαν ἑαυτῷ ἐφαρμόσας, τοὺς πολιτικοὺς θορύβους ἐξέκλινας. Σάκκῳ δὲ τραχεῖ τὸ σῶμά σου διανύττων, καὶ ζώνῃ σκληρᾷ τὴν ὀσφὺν περισφίγγων, καρτερικῶς τὰ ὀστᾶ σου διέθλιβες. D Λαγόνας δὲ ταῖς ἐνδείαις κοιλαίνων μέχρι τῶν νωτιαίων μερῶν ὑπεχαύνωσας· καὶ φασκίας μὲν ἁπαλῆς τὴν χρῆσιν ἀπηρνήσω· ἔνδοθεν δὲ τὰς λαπάρας σικύας δίκην ὑφελκύσας, τοῖς νεφριτικοῖς χωρίοις προσκολλᾶσθαι ἐβιάζου. Ὅλην δὲ τὴν τῆς σαρκὸς πιμελὴν ἐκκενώσας, τοὺς τῶν ὑπογαστρίων ὀχετοὺς γενναίως ἐξήρανας, γαστέρα τε αὐτὴν ταῖς ἀσιτίαις συμπτύξας, τὰ πλευριτικὰ μέρη, ὥσπερ τινὰ στέγης ἐξοχὴν, τοῖς τοῦ ὀμφαλοῦ μέρεσιν ἐπεσκίαζες. Καὶ συνεσταλμένῳ ὅλῳ τῷ ὀργάνῳ, κατὰ

A studio properemus; quia qua die et hora Dominus noster venturus sit, nobis plane est incertum [26]. Cui quidem gloria, et potestas, in sæcula sæculorum. Amen.

514 DE POENITENTIA.

SERMO VIII.

1. (2) Duplex timor subiit mentis meæ sinus tua causa. Aut enim præoccupans me immisericors quidam animi motus in crimen inhumanitatis conjicit, aut rursus misereri volentem, etiam ut ad vitia remollescam, male convertit. Quare et hanc meam epistolam exaraturus, manum quidem torpescentem ratiocinationibus corroboravi, sed vultum, ex concepta propter te tristitia anxium, mutare non potui; tanto mihi incusso pudore, ut oris etiam flexus, labiis meis in luctum conversis, statim concideret. Hei mihi, quid dicam, aut quid cogitem in trivio constitutus? Si mihi prioris tuæ vanæ vivendi rationis veniat in mentem, cum circumfluerent te divitiæ, ac humi repens gloriola, horreo; cum adulatorum te sequeretur multitudo, fruererisque brevi ac temporaria voluptate, non sine manifesto periculo et iniquo quæstu: et partim quidem magistratuum timor te de salute cogitantem exagitaret; partim vero publicorum negotiorum tumultus tuam interturbarent domum, atque malorum frequentia mentem tuam ad eum, qui opitulari tibi poterat, retorqueret; cum paulatim Servatorem circumspicere meditareris, timores quidem tibi ad tuam utilitatem inferentem, liberantem vero ac protegentem te, qui ei, dum in tuto esses, illuseras; cum te ad innovandos acquirendosque honestos mores exerceres, periculosissimam tuam opulentiam nihili faciens, reique familiaris curam et uxoris consuetudinem refugiens. Quin etiam totus sublimis, velut peregrinus et erro, agris et civitatibus peragratis, petisti Jerosolyma, ubi et ipse tecum commoratus ob athleticos te labores beatum prædicabam, cum per septenarios circulos jejunus perseverans Deo philosophareris, simulque congressus humanos veluti in fugam conversus devitares, atque tranquillo vivendi genere tibi parato, civiles tumultus declinares. Præterea corpus tuum cilicio aspero lancinans, et zona dura astringens lumbos tuos, patienter ossa tua atterebas. Quin et ilia inedia concavans, ea usque ad dorsi partes laxa effecisti, atque fasciæ mollis rejecto usu, abdomen intrinsecus cucurbitæ in morem contractum, renibus adhærescere cogebas. Ad hæc, evacuato carnis toto adipe, exsiccasti strenue meatus sub ventre sitos, et ipso ventre inedia coarctato, faciebas ut costatæ partes, tecti quasi quædam eminentia umbram inducerent partibus umbilici. Atque contracto toto organo, nocturnis horis confitens

[26] Luc. xII, 40

(1) Ἐν τριόδῳ. Sic ope contextus emendavimus quod erat in editis, ἐν προόδῳ.

(2) Ex epist. XLV, 135.

Deo, lacrymarum rivis barbæ pilos madefactos A complanabas. Quid autem opus est recensere me singula? Memineris quot sanctorum ora exceperis osculo, quot sacra corpora amplexus sis, quot viri manus tuas velut intaminatas foverint, quot servi Dei velut venerantes confugerint ad genua tua complectentes.

515 2. At horum quis tandem finis? Adulterii fama nuntiati crimen, sagitta velocius pervolans, aures nostras sauciat, acutiore stimulo viscera nostra compungens. Quæ tam artificiosa præstigiatoris versutia in tam perniciosum casum te conjecit? quænam diaboli sinuosa retia te constringentia, virtutis nervos immobiles reddiderunt? quo abiere laborum tuorum narrationes? Sed fortasse æquum non est his fidem adhibere? Et quomodo B non ex manifestis ea etiam credemus quæ hactenus abscondita fuerunt? siquidem animas quæ ad Deum confugiebant, juramentis horrendis obstrinxisti, cum tamen nominatim quidquid his voculis *est*, et *non* amplius est, diabolo attribuatur [27]. Itaque simul quoque exitiosi perjurii fuisti sponsor, atque instituti ascetici charactere in contemptum adducto, ad apostolos usque ipsumque Dominum dedecus ac infamiam transmisisti. Dedecorasti castitatis gloriationem, labe aspersisti continentiæ votum, captivorum facti sumus tragœdia, a Judæis et gentilibus res nostræ in scenam et actus deducuntur. Discidisti monachorum studia: diligentiores cautioresque in metum formidinemque conjecisti, adhuc diaboli potestatem admirantes; negligentiores C vero ad sequendum incontinentiæ exemplum traduxisti. Dissolvisti, quantum in te fuit, gloriationem Christi, qui dixit: *Confidite, ego vici mundum* [28], ejusque principem. Craterem dedecoris miscuisti patriæ. Vere implevisti Proverbium, *Velut cervus sagitta ictus in jecore*. Sed quid jam? Non cecidit fortitudinis turris, o frater: non obsorduerunt correctionis ac conversionis remedia: non occlusa est civitas perfugii. Ne in profundo malorum permaneas, nec te tradas homicidæ. Novit Dominus elisos erigere. Ne procul fugias, sed ad nos recurre. Resume iterum labores juveniles, secundis recte factis humi repentem sordidamque voluptatem delens. Respice ad finis diem, ita vitæ nostræ vicinum ac propinquum; et nosce quomodo jam Ju- D dæorum et gentilium filii ad Dei cultum compelluntur, nec omnino abneges mundi Servatorem: ne te maxime horribilis illa comprehendat sententia: *Non novi vos, quinam sitis* [29].

3. (1) Unius viri erat prædicatio Joannis, et omnes ad pœnitentiam traxit; tu vero qui per prophetas doceris: *Lavamini, mundi estote* [30]; qui per Psalmos admoneris, *Accedite ad eum, et illuminamini* [31]: qui per apostolos faustum illum nuntium

A τὰς νυκτερινὰς ὥρας ἀνθομολογούμενος τῷ Θεῷ, τοῖς τῶν δακρύων ὀχετοῖς γενειάδα ἔμβροχον καθωμάλιζες. Καὶ τί με δεῖ καταλέγειν ἕκαστα; Μνήσθητι ὅσα ἁγίων στόματα φιλήματι κατησπάσω· ὅσα ἱερὰ σώματα περιεπτύξω, ὅσοι σου τὰς χεῖρας ὡς ἀχράντους περιέθαλπον· ὅσοι δοῦλοι Θεοῦ, ὥσπερ λάτρεις, ὑπέδραμον τοῖς γόνασί σου περιπλεκόμενοι.

2. Καὶ τούτων τέλος τί; Μοιχικῆς φήμης διαβολὴ, βέλους ὀξύτερον διιπταμένη, τιτρώσκει ἡμῶν τὰς ἀκοὰς, ἀκμαιοτέρῳ κέντρῳ τὰ σπλάγχνα ἡμῶν διανύττουσα. Τίς ἡ τοῦ γόητος τοσαύτη ἔντεχνος ποικιλία εἰς τοσοῦτόν σε περιήγαγεν ὀλέθριον σκέλισμα; ποῖα πολύπλοκα τοῦ διαβόλου δίκτυα περισφίγξαντά σε, τὰς τῆς ἀρετῆς ἐνεργείας ἀκινήτους ἀπήλεγξε; ποῦ μοι τὰ διηγήματα τῶν σῶν πόνων οἴχεται; Ἆρα γὰρ ἀπιστῆσαι ἄξιον; Καὶ πῶς οὐχὶ B ἐκ τῶν ἐναργῶν καὶ τὰ τέως ἀφανῆ εἰς πίστιν δεξόμεθα; εἰ τὰς τῷ Θεῷ προσφυγούσας ψυχὰς φρικτοῖς ὅρκοις κατέκλεισας, ὁπότε παρατετηρημένως τοῦ ναὶ καὶ τοῦ *οὒ* τὸ περισσὸν τῷ διαβόλῳ προσνενέμηται. Ὁμοῦ τοίνυν καὶ παρορκίας ὀλεθρίου γέγονας ἔγγυος, καὶ φαυλίσας τῆς ἀσκήσεως τὸν χαρακτῆρα, μέχρι τῶν ἀποστόλων καὶ αὐτοῦ τοῦ Κυρίου ἀνέπεμψας τὸ αἶσχος. Κατῄσχυνας τὸ τῆς ἁγνείας καύχημα, ἐμωμήσω τῆς σωφροσύνης τὸ ἐπάγγελμα, ἐγενόμεθα αἰχμαλώτων τραγῳδία, Ἰουδαίοις καὶ Ἕλλησι δραματουργεῖται τὰ ἡμέτερα. Διέτεμες φρόνημα μοναχῶν, τοὺς ἀκριβεστέρους εἰς φόβον καὶ δειλίαν ἤγαγες, θαυμάζοντας ἔτι τοῦ διαβόλου τὴν δύναμιν· τοὺς ἀδιαφόρους εἰς ἀκολασίας ζῆλον μετ- C έθηκας. Ἔλυσας, ὅσον ἐπὶ σοὶ, τὸ τοῦ Χριστοῦ καύχημα, *Θαρσεῖτε*, λέγοντος, *ἐγὼ νενίκηκα τὸν κόσμον*, καὶ τὸν τούτου ἄρχοντα. Ἐκέρασας τῇ πατρίδι κρατῆρα δυσφημίας. Ὄντως εἰς ἔργον ἤγαγες τὰς Παροιμίας· *Ὡς ἔλαφος τοξευθεὶς εἰς τὸ ἧπαρ*. Ἀλλὰ τί νῦν; Οὐ πέπτωκεν ὁ τῆς ἰσχύος πύργος, ἀδελφὲ, οὐκ ἐμωμήθη τὰ τῆς ἐπιστροφῆς φάρμακα, οὐκ ἀπεκλείσθη τοῦ φευκτηρίου ἡ πόλις. Μὴ τῷ βάθει τῶν κακῶν ἐναπομείνῃς· μὴ χρήσῃς σεαυτὸν τῷ ἀνθρωποκτόνῳ. Οἶδεν ἀνορθοῦν κατερραγμένους ὁ Κύριος. Φεῦγε μὴ μακρὰν, ἀλλὰ πρὸς ἡμᾶς ἀνάδραμε. Ἀνάλαβε πάλιν νεανικοὺς πόνους, δευτέροις κατορθώμασι διαλύων τὴν χαμαίζηλον καὶ γλοιώδη ἡδονήν. Ἀνάνευσον πρὸς τὴν τοῦ τέλους ἡμέραν οὕτω προσεγγίσασαν τῇ ζωῇ ἡμῶν, καὶ D γνῶθι, πῶς λοιπὸν Ἰουδαίων καὶ Ἑλλήνων παῖδες συνελαύνονται πρὸς θεοσέβειαν, καὶ μὴ ἀπαξαπλῶς ἀπαρνήσῃ τὸν τοῦ κόσμου Σωτῆρα· μή σε ἡ φρικωδεστάτη ἐκείνη καταλάβῃ ἀπόφασις, ὅτι *Οὐκ οἶδα ὑμᾶς, τίνες ἐστέ*.

3. Ἑνὸς ἀνδρὸς ἦν Ἰωάννου τὸ κήρυγμα, καὶ πάντας εἷλκε πρὸς τὴν μετάνοιαν· σὺ δὲ, διὰ προφητῶν διδασκόμενος· *Λούσασθε, καθαροὶ γένεσθε*· διὰ Ψαλμῶν νουθετούμενος· *Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε*· δι' ἀποστόλων εὐαγγελιζόμε-

[27] Matth. v, 37. [28] Joan. xvi, 33. [29] Matth. xxv, 12. [30] Isa. i, 16. [31] Psal. xxxiii, 6

(1) Ex hom. *in sanctum baptisma*, 114.

νος· *Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος* A *ὑμῶν ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν ἐπαγγελίαν τοῦ Πνεύματος*· ὑπ' αὐτοῦ τοῦ Κυρίου προσλαμβανόμενος, λέγοντος· *Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*· ὀκνεῖς, καὶ βουλεύῃ, καὶ διαμέλλεις. Ἐκ νηπίου τὸν λόγον κατηχούμενος, οὔπω συνέθου τῇ ἀληθείᾳ; πάντοτε μανθάνων, οὐδέπω ἦλθες πρὸς τὴν ἐπίγνωσιν; Πειραστὴς διὰ βίου, κατάσκοπος μέχρι γήρως, πότε γενήσῃ Χριστιανός; πότε σε γνωρίσομεν ὡς ἡμέτερον; Πέρυσι τὸν παρόντα καιρὸν ἐξεδέχου, νῦν πάλιν ἀναμένεις τὸν ἐπιόντα. Ὅρα, μὴ εὑρεθῇς μακροτέρας τῆς ζωῆς τὰς ὑποσχέσεις ποιούμενος. Οὐκ οἶδας τί τέξεται ἡ ἐπιοῦσα· μὴ ἐπαγγέλλου τὰ μὴ σά. Ἐπὶ ζωήν σε καλοῦμεν, B ἄνθρωπε· τί ἀποφεύγεις τὴν κλῆσιν; ἐπ' ἀγαθῶν μετουσίαν· τί ὑπερβαίνεις τὴν δωρεάν; Βασιλεία οὐρανῶν ἤνοικται· ὁ καλῶν ἀψευδής· ἡ ὁδὸς ῥᾳδία, οὐ χρόνου, οὐ δαπάνης, οὐ πραγματείας χρεία· τί μέλλεις; τί ἀναδύῃ, τί φοβῇ τὸν ζυγόν, ὥσπερ δάμαλίς τις ἀπειρόζυγος; Οὐ τρίβει τὸν αὐχένα, ἀλλὰ δοξάζει. Οὐ γὰρ δεσμεῖται ἡ ζεύγλη περὶ τὸν τράχηλον, αὐτεξούσιον ἐπιζητεῖ τὸν ὑφέλκοντα. Ὁρᾷς, ὅτι κατηγορεῖται Ἐφραΐμ, ὡς παροιστρῶσα δάμαλις, ὅτι ἄτακτα περιπλανᾶται, τὸν τοῦ νόμου ζυγὸν ἀτιμάζων; Ὑπόθες σου τὸν ἀδάμαστον αὐχένα· γενοῦ ὑποζύγιον τοῦ Χριστοῦ, ἵνα μὴ ἀφειμένος τῆς ζεύγλης, μηδὲ ἐλευθεριάζων τῷ βίῳ, εὐεπιχείρητος ᾖς τοῖς θηρίοις.

C 4. Εἰ χρυσὸν τῇ Ἐκκλησίᾳ διένεμον, οὐκ ἂν μοι εἶπες· Αὔριον ἥξω, καὶ αὔριον δώσεις· ἀλλ' ἀπῄτεις ἂν ἤδη τὴν διανομὴν κατεπείγων, καὶ ἐδυσφόρεις πρὸς τὴν ὑπέρθεσιν. Ἐπεὶ δὲ οὐχ ὕλης εὐχροιαν, ἀλλὰ ψυχῆς καθαρότητα προτείνεταί σοι ὁ μεγαλόδωρος, προφάσεις πλάττῃ, καὶ αἰτίας ἀπαριθμῇ. Εἰ δοῦλος ἀνθρώπων ἦσθα, προεγράφη δὲ δούλοις ἐλευθερία, οὐκ ἂν ἐπὶ τὴν κυρίαν ἀπήντησας, συνηγόρους μισθούμενος, καὶ δικαστὰς παρακαλῶν, ὥστε πάσῃ μηχανῇ πρὸς ἐλευθερίαν ἐξαιρεθῆναι; Ἦ που καὶ ῥάπισμα, τὴν τελευταίαν τῶν δούλων πληγήν, ὑπὲρ τῆς μετὰ ταῦτα τῶν αἰκισμῶν ἀπαλλαγῆς καταδέχου. Ἐπειδὴ δὲ δοῦλον ὄντα σε οὐκ ἀνθρώπων, ἀλλὰ τῆς ἁμαρτίας, καλεῖ πρὸς ἐλευθερίαν ὁ κῆρυξ, ἵνα λύσῃ μέν σε τῆς αἰ- D χμαλωσίας, ἰσοπολίτην δὲ τοῖς ἀγγέλοις ποιήσῃ, καὶ υἱὸν μὲν ἀποδείξῃ τοῦ Θεοῦ, εἰσποιηθέντα διὰ τῆς χάριτος, κληρονόμον δὲ τῶν ἀγαθῶν τοῦ Χριστοῦ· οὔπω λέγεις εἶναί σοι καιρὸν δέξασθαι τὰ διδόμενα. Ὢ τῶν πονηρῶν ἐμποδίων! ὢ τῆς αἰσχρᾶς καὶ ἀτελέστου ἀσχολίας! Ἕως πότε ἡδοναί; ἕως πότε ἡδυπάθειαι; Πολὺν ἐζήσαμεν χρόνον τῷ κόσμῳ, ζήσωμεν λοιπὸν καὶ ἑαυτοῖς. Τί ψυχῆς ἀντάξιον; τί ἰσοστάσιον τῆς βασιλείας τῶν οὐρανῶν; Τίς ἀξιοπιστότερός σοι σύμβουλος τοῦ Θεοῦ; τίς φρονιμώτερος τοῦ σοφοῦ,

audis: *Agite pœnitentiam, et baptizetur unusquisque vestrum in nomine Domini Jesu in remissionem peccatorum, et accipietis promissionem Spiritus* [32]; qui ab ipso Domino invitaris, dicente: *Venite ad me omnes qui laboratis, et onerati estis, et ego reficiam vos* [33]; hæres tamen, deliberasque et cunctaris. A puero fidei rudimentis imbutus, nondum assensisti veritati? semper ediscens, nondum pervenisti ad cognitionem? Per omnem vitam explorator, ad senectutem usque speculator, quando tandem fies Christianus? quando agnoscemus te ut nostrum? Anno superiore hoc tempus præstolabare, nunc rursus exspectas venturum. Cave deprehendaris promissa facere vita longiora. Ignoras quid sequens dies **516** parturus sit; ne promitte quæ tua non sunt. Ad vitam te, homo, vocamus; quid fugis vocationem? ad bonorum participationem; quid donum prætermittis? Apertum est cœlorum regnum; verax est qui vocat; via facilis, non tempore, non sumptu, non labore opus est: quid differs? quid tergiversaris? quid jugum perhorrescis velut juvenca quædam jugum nondum experta? Collum non olterit, sed condecorat. Neque enim jugale vinclum circa collum ligatur, sed ultro ac libere trahentem poscit. Vides incusari Ephraim, tanquam vitulam œstro percitam [34], quod inordinate oberret legis jugum dedecorans? Subde indomitam cervicem tuam: Christi fias jumentum, ut ne jugo solutus liberioremque vitam degens, capi a bestiis facile possis.

4. (1) Quod si aurum Ecclesiæ distribuerem, non utique esses mihi dicturus: Cras veniam, et cras dabis; sed jam exposceres urgens distributionem, et dilationem animo iniquo ferres. Sed quia non materiam pulchre coloratam, sed animæ puritatem tibi offert magnus donorum largitor, comminisceris excusationes, atque causas recenses. Servus hominum si esses, servisque fuisset proposita libertas, nonne ad statam diem occurrisses, conducens patronos, judicesque rogans, ut machinatione omni in manu mittendorum numerum ascribereris? Quin et alapam, postremam servorum plagam, ut in posterum a verberibus liber fieres, acciperes. Quoniam autem servum te non hominum, sed peccati, vocat ad libertatem præco, ut te solvat ex captivitate et ex æquo cum angelis civitate donet, et filium Dei efficiat adoptatum gratia, ac bonorum Christi hæredem: nondum tempus esse hæc dona excipiendi dicis. O impedimenta prava! o turpem et interminatam occupationem! Quousque tandem voluptates? usquequo deliciæ? Viximus multum tempus mundo, reliquum vivamus et nobisipsis. Ecquid animæ æquiparabile? quid regno cœlorum comparandum? Quis tibi consiliarius fide dignior quam Deus? quis prudentior sapiente, aut quis uti

[32] Act. II, 38. [33] Matth. XI, 28. [34] Ose. IV, 16.

(1) Ex homilia *in sanctum baptisma*, 116.

lior bono? quis Conditore conjunctior? Nec Evæ profuit serpentis consilio credidisse magis quam Domini. O inepta verba! Non vacat sanari; nondum ostendas mihi lucem; nondum conjungas me regi. Nonne hæc aperte loqueris? Imo etiam his absurdiora. Tu enim si esses tributis publicis obnoxius, nuntiareturque undelibet debitoribus rescissio æris alieni: deinde esset qui te per injuriam expertem facere hujus condonationis conaretur; indignareris utique et clamares, ut legitima communis beneficii portione spoliatus. Postquam vero non præteritorum modo condonatio, sed futurorum etiam largitiones prænuntiatæ sunt; te ipse injuria afficiens, quantum ne ullus quidem inimicus imprecatus esset, putasne te convenienter consuluisse, utiliterque tibimetipsi providisse, qui scilicet non admittas condonationem, sed in ære alieno immoriaris? Si multa sunt peccata tua, ne desperes ob multitudinem. *Ubi enim abundavit delictum, superabundavit gratia* [33]; si modo gratiam suscipias. **517** (1) Sin autem parva ac levia, nec ad mortem fuerint peccata tua, cur anxius es de futuro, qui haud ignave præterita pertuleris?

5. Nunc velut in trutina animam tuam, o homo, appendi existima, hinc ab angelis, hinc a dæmonibus attractam. Utris, quæso, dabis cordis momentum? quid apud te vincet? voluptas carnis, an animæ sanctimonia? præsentium oblectatio, an futurorum desiderium? angeline te suscipient, an detinebunt qui jam tenent? In acie duces tesseram tribuunt sub se militantibus, ut et amici facile se invicem inclament, et si in conflictu fuerint cum hostibus commisti, queant citra confusionem sejungi. Agnoscet te nemo, nosterne sis, an hostium, nisi mysticis signis necessitudinem affinitatemque ostenderis, nisi signatum sit super te lumen vultus Domini [34]. Quomodo vindicabit te angelus? quomodo eripiet ex hostibus, nisi agnoverit signaculum? Quomodo dicturus es tu, Dei sum, si notas ac insignia non exhibeas? Thesaurus non obsignatus deripi a furibus facile potest; ovi signo carenti tuto struuntur insidiæ. (2) Si quis medicus promitteret tibi, se artibus quibusdam ac industria juvenem te ex sene facturum esse, nonne desiderares illam adesse diem, in qua teipsum visurus esses ad ætatis vigorem reversum? Sed cum pœnitentia facturam se spondet ac pollicetur, ut anima tua quam vetustate confecisti, ac iniquitatibus rugosam maculosamque reddidisti, ad pristinum florem redeat; aspernaris benefacientem, nec accurris ad promissionem. Itane vero magnum pollicitationis miraculum videre non cupis? quomodo sine matre regeneretur homo? quomodo inveteratus et erroris desideriis corruptus, vigeat rursus, repubescatque et ad verum juventutis

[33] Rom. v 20. [34] Psal. vi, 7.

(1) Ex homilia *in sanctum baptisma*, 117.
(2) Ibid.

A ἢ τίς ὠφελιμώτερος τοῦ ἀγαθοῦ; τίς τοῦ κτίσαντος οἰκειότερος; Οὐδὲ τῇ Εὔᾳ συνήνεγκε τῇ τοῦ ὄφεως συμβουλῇ πεισθῆναι μᾶλλον ἢ τῇ τοῦ Δεσπότου. Ὢ τῆς ἀτοπίας τῶν λόγων! οὐκ ἄγω σχολὴν ὑγιᾶναι· μήπω μοι δείξῃς τὸ φῶς· μήπω συνάψῃς τῷ βασιλεῖ. Οὐ ταῦτα λέγεις ἄντικρυς; Μᾶλλον δὲ τὰ τούτων ἀλογιστότερα. Σὺ δὲ, εἰ μὲν ἦς ἐγγεγραμμένος τοῖς δημοσίοις ὀφλήμασι, χρεῶν δὲ ἀποκοπαὶ τοῖς ὑπευθύνοις περιηγγέλθησαν, εἶτά τις ἦν ὁ πρὸς ἐπήρειαν ἄμοιρόν σε ποιῆσαι τῆς συγχωρήσεως ταύτης ἐπιχειρῶν· ἠγανάκτεις ἂν καὶ ἐβόας, ὡς τὸ ἐπιβάλλον σοι μέρος τῆς κοινῆς χάριτος ἀφαιρούμενος. Ἐπειδὴ δὲ οὐ μόνον ἄφεσις τῶν παρελθόντων, ἀλλὰ καὶ δωρεαὶ τῶν μελλόντων προεκηρύχθησαν, αὐτὸς ἑαυτὸν ἀδικῶν, ἃ μηδ' ἂν τῶν ἐχθρῶν σοί τις ἐπηράσατο, οἴει προσηκόντως βεβου- B λεῦσθαι, καὶ λυσιτελῶς ἐντεθυμῆσθαι περὶ σεαυτοῦ, ὅς γε οὐ δέχῃ τὴν ἄφεσιν, ἀλλ' ἐναποθνήσκεις τοῖς ὀφλήμασιν; Εἰ μὲν πολλά σού ἐστι τὰ ἁμαρτήματα, μὴ ἀθυμήσῃς τῷ πλήθει. *Ὅπου γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις*· ἐὰν δέξῃ τὴν χάριν. Εἰ δὲ μικρὰ καὶ εὐτελῆ, καὶ οὐ πρὸς θάνατόν σου τὰ ἁμαρτήματα, τί ἀγωνιᾷς τὸ μέλλον, ὅς γε οὐκ ἀγεννῶς τὰ παρελθόντα διήνεγκας;

5. Νῦν ὥσπερ ἐπὶ τρυτάνης ἑστάναι νόμιζέ σου τὴν ψυχὴν, ἄνθρωπε, ἔνθεν ὑπ' ἀγγέλων, κἀκεῖθεν ὑπὸ δαιμόνων διελκομένην. Τίσιν ἄρα δώσεις τὴν ῥοπὴν τῆς καρδίας σου τότε; τί παρὰ σοὶ νικήσει; ἡδονὴ σαρκὸς, ἢ ἁγιασμὸς ψυχῆς; ἀπόλαυσις τῶν παρόντων, ἢ τῶν μελλόντων ἐπιθυμία; ἄγγελοί σε C παραλήψονται, ἢ καθέξουσιν οἱ κατέχοντες; Ἐπὶ παρατάξεως οἱ στρατηγοὶ τὸ σύνθημα τοῖς ὑπ' αὐτοὺς διανέμουσιν, ἵνα καὶ οἱ φίλοι ῥᾳδίως ἀλλήλους ἀνακαλῶνται, καὶ πρὸς τοὺς ἐναντίους ἐὰν ταῖς συμπλοκαῖς ἀναμιχθῶσιν, εὐκρινὴς δύνηται ὑπάρχειν ὁ χωρισμός. Οὐδεὶς ἐπιγνώσεταί σε, εἰ ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων, ἐὰν μὴ τοῖς μυστικοῖς συμβόλοις παράσχῃ τὴν οἰκειότητα, ἐὰν μὴ σημειωθῇ ἐπὶ σὲ τὸ φῶς τοῦ προσώπου Κυρίου. Πῶς ἀντιποιηθῇ σου ὁ ἄγγελος; πῶς δὲ ἀφέληται τὸν ἐχθρὸν, ἐὰν μὴ ἐπιγνῷ τὴν σφραγῖδα; Πῶς δὲ σὺ ἐρεῖς, Τοῦ Θεοῦ εἰμὶ, μὴ ἐπιφερόμενος τὰ γνωρίσματα; Ἀσφράγιστος θησαυρὸς εὐεπιχείρητος κλέπταις· πρόβατον ἀσημείωτον ἀκινδύνως ἐπιβουλεύεται. Εἴ τις ἰατρῶν ἐπηγγέλλετό σοι, μηχαναῖς τισι καὶ ἐπι- D νοίαις νέον ποιήσειν ἐκ γέροντος, οὐκ ἂν ἐπεθύμησας ἐλθεῖν εἰς ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ σεαυτὸν ὁρᾷν ἔμελλες πρὸς ἀκμὴν ὑποστρέφοντα; Ἐπειδὴ δὲ τὴν ψυχήν σου ἀναθηλήσειν ἐπαγγέλλεταί σοι ἡ μετάνοια, ἣν σὺ ἐπαλαίωσας, καὶ ῥυσὴν αὐτὴν ἐκ τῶν ἀνομιῶν καὶ ἐσπιλωμένην ἀπέδειξας, καταφρονεῖς τοῦ εὐεργέτου, καὶ οὐ προστρέχεις (3) τῷ ἐπαγγέλματι. Οὐκ ἐπιθυμεῖς ἰδεῖν, τί τὸ μέγα θαῦμα τῆς ὑποσχέσεως; πῶς ἄνευ μητρὸς ἀναγεννᾶται ἄνθρωπος; πῶς ὁ παλαιούμενος καὶ φθειρόμενος κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, σφριγᾷ πάλιν καὶ ἀνηβᾷ,

(3) *Προστρέχειν*. Codicum alter prima manu, *προσέχεις* [melius].

καὶ εἰς τὸ ἀληθινὸν ἄνθος τῆς νεότητος ἐπανέρχεται; Τοσούτων ἀγαθῶν καὶ τηλικούτων, ἄθλιε, προτιμοτέραν ἄγεις τὴν ἡδονήν; Νοῶ γάρ σου τὴν ὑπέρθεσιν, κἂν περιστέλλῃ τοῖς ῥήμασιν· αὐτὰ βοᾷ τὰ πράγματα, κἂν τῇ φωνῇ σιωπᾷς· Ἔασον ἀποχρήσωμαι τῇ σαρκὶ πρὸς τὴν ἀπόλαυσιν τῶν αἰσχρῶν, ἐγκυλισθῶ τῷ βορβόρῳ τῶν ἡδονῶν, αἱμάξω τὰς χεῖρας, ἀφέλωμαι τὰ ἀλλότρια, δολίως πορευθῶ, ἐπιορκήσω, ψεύσωμαι· καὶ τότε ἡ μετάνοια, ὅταν λῆξίν ποτε τῶν κακῶν ὑποδέξωμαι. Εἰ μὲν οὖν καλὸν ἡ ἁμαρτία, φύλασσε ταύτην εἰς τέλος· εἰ δὲ βλαβερὰ τῷ ποιοῦντι, τί ἐπιμένεις τοῖς ὀλεθρίοις; Οὐ βλέπει Θεὸς τὰ γινόμενα; ἢ οὐ νοεῖ σου τὰ ἐνθυμήματα; ἢ συνεργάζεταί σου ταῖς ἀνομίαις; *Ὑπέλαβες γὰρ ἀνομίαν*, φησὶν, *ὅτι ἔσομαί σοι ὅμοιος*. Σὺ δὲ ἀνδρὸς μὲν θνητοῦ φιλίαν πραγματευόμενος, δι' εὐεργεσίας αὐτὸν προσάγῃ, ἐκεῖνα λέγων καὶ πράττων, οἷσπερ ἂν αὐτὸν αἴσθῃ χαίροντα· Θεῷ δὲ προσοικειούμενος, καὶ εἰς τὴν τοῦ υἱοῦ τάξιν ἐλπίζων παραδεχθήσεσθαι, τὰ ἐχθρὰ τῷ Θεῷ πράττων, καὶ διὰ τῆς τοῦ νόμου παραβάσεως ἀτιμάζων αὐτόν· ἐξ ὧν μάλιστα προσκρούεις, ἐκ τούτων ἐλπίζεις τὴν οἰκειότητα; Ὅρα, μὴ ἐπ' ἐλπίδι τῆς ἀπολυτρώσεως, πλῆθος κακῶν σεαυτῷ συλλεξάμενος, τὴν μὲν ἁμαρτίαν ἀθροίσῃς, τῆς δὲ συγχωρήσεως ἀποτύχῃς. *Θεὸς οὐ μυκτηρίζεται.* Μὴ ἐμπορεύου τὴν χάριν. Μὴ εἴπῃς· Καλὸς μὲν ὁ νόμος, ἀλλ' ἡδίων ἡ ἁμαρτία. Ἡδονὴ ἄγκιστρόν ἐστι τοῦ διαβόλου, πρὸς ἀπώλειαν ἕλκον. Ἡδονὴ, μήτηρ τῆς ἁμαρτίας· ἡ δὲ ἁμαρτία τὸ κέντρον ἐστὶ τοῦ θανάτου. Ἡδονὴ, τροφὸς τοῦ αἰωνίου σκώληκος· ἣ πρὸς καιρὸν μὲν καταλεαίνει τὸν ἀπολαύοντα, ὕστερον δὲ πικροτέρας χολῆς ποιεῖται τὰς ἀναδόσεις. Τί ποιεῖς, ἄνθρωπε; Ὅτε δυνατὸς εἶ ἐν ἔργοις, τὴν νεότητά σου ταῖς ἁμαρτίαις προσαναλίσκεις. Ὅταν ἀποκάμῃ τὰ ὄργανα, τότε προσάγεις αὐτὰ τῷ Θεῷ, ὅτε εἰς οὐδὲν αὐτοῖς ἔστι χρήσασθαι, ἀλλ' ἀνάγκη κεῖσθαι, διὰ τὸν ἐκ τοῦ χρόνου μαρασμὸν, παραλυθέντος τοῦ τόνου. Ἡ ἐν γήρᾳ σωφροσύνη, οὐ σωφροσύνη, ἀλλ' ἀκολασίας ἀδυναμία. Νεκρὸς οὐ στεφανοῦται· οὐδεὶς δίκαιος, δι' ἀδυναμίαν κακοῦ. Ἕως ἔστι σοι δύναμις, λόγῳ κράτει τῆς ἁμαρτίας· τοῦτο γάρ ἐστιν ἀρετὴ, ἔκκλισις ἀπὸ κακοῦ, καὶ ποίησις ἀγαθοῦ. Ἡ δὲ ἀργία τῆς πονηρίας οὔτε ἐπαίνων αὐτὴ καθ' ἑαυτὴν, οὔτε κολάσεων ἀξιοῦται. Ἐὰν δι' ἡλικίαν παύσῃ τῆς ἁμαρτίας, τῆς ἀσθενείας ἡ χάρις. Ἐπαινοῦμεν δὲ τοὺς κατὰ προαίρεσιν ἀγαθοὺς, οὐ τοὺς ὑπό τινος ἀνάγκης ἐξειργομένους. Τίς δέ σοι τὸν ὅρον τῆς ζωῆς ἔπηξε; τίς σοι τὴν προθεσμίαν τοῦ γήρως ὥρισε; τίς οὕτως ἀξιόπιστος παρὰ σοὶ τῶν μελλόντων ἐγγυητής; Οὐχ ὁρᾷς νήπια ἀναρπαζόμενα, τοὺς ἐν ἡλικίᾳ ἀπαγομένους; Οὐκ ἔχει μίαν προθεσμίαν ὁ βίος. Τί ἀναμένεις πυρετοῦ σοι δῶρον γενέσθαι τὴν μετάνοιαν, ὅτε οὐδὲ φθέγξασθαι δυνήσῃ τὰ τῆς ἐξομολογήσεως (1) σωτήρια ῥήματα· τάχα δὲ οὐδὲ ἀκοῦσαι καθαρῶς ἐπιτραπήσῃ,

A florem revertatur [37]? Tot ac tantis bonis, o miser, voluptatem ducis potiorem? Novi enim procrastinationem tuam, quanquam eam verbis contegis; clamant res ipsæ, tametsi voce taces: Sine utar corpore ad fruendas turpes libidines, voluter in cœno voluptatum, cruentem manus, diripiam aliena, dolose ambulem, pejerem, mentiar; et tum pœnitentia, cum vitiorum tandem finem fecero. Quod si peccatum bonum est et honestum, illud ad finem usque serva; sin noxium est patranti, quid in exitiosis immoraris? (2) Non videt Deus quæ fiunt? non agnoscit tuas cogitationes? an iniquitates tuas juvat? *Suspicatus es*, inquit, *iniquitatem, quod ero tibi similis* [38]. Tu autem mortalis viri amicitiam cum ambis, beneficiis
B eum allicis, dicisque ea ac facis, quibus gaudere ipsum intelligis; sed Deo conjungi volens, et in Filii locum te receptum iri sperans, si interea tamen quæ Deo inimica sunt perpetres, et per legis violationem eum dedecores; unde maxime illum offendis, indene ipsius familiaritatem necessitudinemque tibi polliceris? Vide ne liberationis spe tibi ipse malorum copiam congerens, peccatum quidem coacerves, venia vero priveris. *Deus non irridetur* [39]. **518** Cave abutaris gratia ad quæstum. Ne dixeris: Bona est quidem lex, sed jucundius peccatum. Diaboli hamus voluptas est, trahens ad perniciem. Voluptas est mater peccati: peccatum vero stimulus mortis est [40]. Voluptas
C nutrix est æterni vermis: quæ ad tempus quidem demulcet perfruentem, deinde vero germina felle amariora producit. Quid facis, o homo? Cum idoneus es qui opereris, absumis in peccatis juventutem tuam. Postquam elanguerunt organa, tunc ea Deo offers, cum non amplius potes his ad ullam rem uti: sed ea necesse est torpere, ob diutinam tabem, vigore et robore resoluto. Continentia in senectute continentia non est, sed lasciviendi impotentia. Mortuus non coronatur: nemo ideo justus, quod ei mali faciendi facultas non sit. Vires ac potentia dum tibi suppetunt, fac vincas ratione peccatum. Hoc enim virtus est, declinare a malo, et efficere bonum. Nam cessare a malo, neque laude, neque castigatione ex se dignum
D est. Peccare si desieris ob ætatem, beneficium est infirmitatis. Laudamus autem eos qui animi proposito boni sunt, non eos, qui necessitate aliqua coercentur. Cæterum quis tibi vitæ limitem præfixit? quis certum senectutis terminum tibi definivit? quis sponsor futurorum apud te adeo fide dignus? Annon vides infantes abreptos? annon vides eos qui ætate vigent, abduci atque de medio tolli? Nullum præfinitum tempus vita habet. Quid exspectas, dum febris beneficium tibi sit pœnitentia, quando nec pronuntiare poteris sa-

[37] Ephes. IV, 22. [38] Psal. XLIX, 21. [39] Galat. VI, 7. [40] I Cor. XV, 56.

(1) *Τῆς ἐξομολογήσεως*. Desunt hæc in contextu.

(2) Ibid. 118.

lutaria confessionis verba, neque forte tibi clare audire licebit, morbo caput ipsum occupante : non manus ad cœlum attollere, non in pedes erigi, non genu flectere ad adorandum, non commode doceri, non accurate confiteri, non credere in Deum, non inimico renuntiare, forte vero, neque intelligenter audire dum initiaberis, cum dubitent qui adsunt, utrum senseris gratiam, an sine sensu quæ aguntur accipias? Imo etiamsi scienter gratiam suscipias, tunc quidem talentum habes, sed lucrum non refers.

6. (1) Ad malefaciendum, fratres, vafer callidusque est diabolus. Intelligit nos homines in præsenti solum tempore vivere; actionemque omnem in præsenti tempore fieri. Quamobrem hodierna die nobis fraudulenter subrepta, nobis spem crastinæ relinquit. Nonne suggerit ut hodie perpetremus peccatum, suadet autem, ut justitiam in crastinum reservemus? Deinde cum dies crastina venit, rursus accedit malus noster divisor, sibique hodiernum, Domino vero crastinum poscit, atque sic semper præsens quidem per voluptatem subtrahens, futurum vero spei nostræ proponens, imprudentes nos et incautos e vita subducit. (2) Vidi ego aliquando talem callidæ avis astutiam. Nimirum cum pulli ejus essent captu faciles ob teneritudinem, se ipsa objiciebat ut paratam prædam, atque ante venantium manus volitans, neque facile poterat a venatoribus capi, neque spem capiendæ prædæ eis adimebat; sed interea, dum ipsos spe varie detineret, ac circa se occuparet, fugiendi **519** copiam ac securitatem pullis suis subministravit, ac postremo ipsa quoque simul avolavit. Time ne et tibi similia accidant, qui certa incertorum spe derelinquis. (3) Vide etiam, ne, dum pœnitentiam ex anno in annum, e mense in mensem, e die in diem rejicis, in diem inexspectatam aliquando incidas, cum jam deficiet te vivendi facultas, eritque undique angustia, et afflictio cujuscunque levamenti expers, desperantibus medicis, desperantibus et propinquis, cum crebro et sicco anhelitu pressus vehementi febre internas partes inflammante atque succedente, ingemiscoes quidem pectore imo, sed qui condoleat reperies neminem; ac loquere quidem tenue aliquid et remissum : sed non erit qui audiat; quidquid autem proferes, velut deliramentum contemnetur. Quis te de pœnitentia submonebit alto et gravi sopore ex morbo correptum? Mœrent propinqui, morbum alieni contemnunt : monita quasi perturbationem afferentia negligit amicus, aut forte etiam medicus decipit, nec de teipso desperas ob naturalem vitæ amorem. Astat mors, urgent qui abducant. Ecquis te eripiet? Deus, qui contemptus est, te scilicet tum exaudiet? Tu enim cum nunc

αὐτῇ τῇ κεφαλῇ ἐνοικούσης τῆς νόσου, οὐ χεῖρας ἆραι εἰς οὐρανὸν, οὐκ ἐπὶ πόδας διαναστῆναι, οὐ κλῖναι γόνυ εἰς τὴν προσκύνησιν, οὐ διδαχθῆναι χρησίμως, οὐχ ὁμολογῆσαι ἀσφαλῶς, οὐχὶ πιστεῦσαι Θεῷ (4), οὐκ ἀποτάξασθαι τῷ ἐχθρῷ, τάχα δὲ, οὐδὲ συνετῶς ἐπακοῦσαι (5) μυσταγωγούμενος, ἀμφιβόλως ὢν τοῖς παροῦσιν, ἄρα ᾔσθετο (6) τῆς χάριτος, ἢ ἀναισθήτως ἔχει τῶν γινομένων; Ὅταν δὲ καὶ ἐπιστημόνως τὴν χάριν δέξῃ, τότε τὸ μὲν τάλαντον ἔχεις, τὴν δὲ ἐργασίαν οὐκ ἐπιφέρῃ (7).

6. Σοφός ἐστι τοῦ κακοποιῆσαι ὁ πονηρὸς, ἀδελφοί· συνορᾷ, ὅτι κατὰ τὸ παρὸν ζῶμεν οἱ ἄνθρωποι, καὶ πᾶσα πρᾶξις κατὰ τὸ ἐνεστὼς ἐνεργεῖται. Τὴν οὖν σήμερον κλέπτων ἡμῶν διὰ τῆς μεθοδείας, τῆς αὔριον ἡμῖν τὰς ἐλπίδας περιαφίησιν. Ἡ γὰρ οὐχὶ τὴν μὲν ἁμαρτίαν σήμερον ποιεῖν ὑποβάλλει, τὴν δὲ δικαιοσύνην εἰς τὴν αὔριον πείθει ἡμᾶς ταμιεύσεσθαι; Εἶτα ἐπειδὰν ἡ αὔριον ἔλθῃ, πάλιν ἔρχεται ὁ κακὸς συμμεριστὴς ἡμῶν, ἀξιῶν τὴν σήμερον ἑαυτῷ, τὴν δὲ αὔριον τῷ Κυρίῳ· καὶ οὕτως ἀεὶ, τὸ μὲν παρὸν δι' ἡδονῆς ὑφαιρούμενος, τὸ δὲ μέλλον ταῖς ἐλπίσιν ἡμῖν προσαφιεὶς, λανθάνει ἡμᾶς ἀποδουκολῶν τῆς ζωῆς. Τοιαύτην εἶδον ἐγώ ποτε πανουργίαν ὄρνιθος εὐμηχάνου. Εὐαλώτων γὰρ αὐτῆς τῶν νεοττῶν ὑπαρχόντων δι' ἀπαλότητα, ἑαυτὴν προβαλλομένη ὡς ἕτοιμον θήραμα, καὶ ταῖς χερσὶ τῶν ἀγρευόντων ἐνστρεφομένη, οὔτε ἁλώσιμος ἦν ἐκ τοῦ προχείρου τοῖς θηρευταῖς, οὔτε ἀπόγνωσιν αὐτοῖς ἐνεποίει τῆς ἄγρας· ἀλλὰ ταῖς ἐλπίσιν αὐτοὺς ποικίλως παρακατέχουσα, τῇ περὶ αὐτὴν ἀσχολίᾳ, τοῖς νεοττοῖς τὴν ἄδειαν τῆς φυγῆς προυξένησεν, εἶτα τὸ τελευταῖον καὶ αὐτὴ συναπέπτη. Φοβήθητι, μὴ καὶ σὺ τὰ παραπλήσια πάθῃς, ἐν ταῖς τῶν ἀδήλων ἐλπίσι τὰ φανερὰ προϊέμενος. Ὅρα, μήποτε ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ, καὶ μῆνα ἐκ μηνὸς, καὶ ἡμέραν ἐξ ἡμέρας ὑπερτιθέμενος τὴν μετάνοιαν, ἐμπέσῃς ποτὲ εἰς ἣν οὐ προσδοκᾷς ἡμέραν, ἡνίκα ἂν ἐπιλείπωσί σε λοιπὸν αἱ τοῦ ζῆν ἀφορμαί· ἀπορία δὲ ᾖ πάντοθεν, καὶ θλῖψις ἀπαραμύθητος· ἀπειρηκότων μὲν ἰατρῶν, ἀπειρηκότων δὲ τῶν οἰκείων· ὅτε πυκνῷ ἄσθματι καὶ ξηρῷ συνεχόμενος, πυρετοῦ λάβρου διακαίοντος τὰ ἔνδον καὶ ὑποσμύχοντος, στενάζῃς μὲν ἀπὸ μέσης καρδίας, τὸν δὲ συλλυπούμενον οὐχ εὑρήσεις· καὶ φθέγξῃ μέν τι λεπτὸν καὶ ἀδρανὲς, ὁ δὲ ἀκούων οὐκ ἔσται· πᾶν δὲ τὸ λαλούμενον παρὰ σοῦ ὡς παραφροσύνη καταφρονεῖται. Τίς ὑπομνήσει σε περὶ μετανοίας τότε κεκαρωμένον τῷ πάθει; Οἱ προσήκοντες ἀθυμοῦσιν, οἱ ἔξω τοῦ πάθους καταφρονοῦσιν, ὁ φίλος ὀκνεῖ τὴν ὑπόμνησιν, ὡς ταραχὴν ἐμποιοῦσαν, ἢ που καὶ ἰατρὸς ἐξαπατᾷ, καὶ σεαυτὸν οὐκ ἀπογινώσκεις διὰ τὸ φύσει φιλόζωον. Ὁ θάνατος παρέστηκεν, οἱ ἀπάγοντες κατεπείγουσι. Τίς ὁ ἐξαιρούμενος; Θεὸς, ὁ καταφρονηθείς; Ἀλλ' εἰσακούσεται τότε· σὺ γὰρ αὐτοῦ νῦν εἰσακούεις. Προθεσμίαν

(1) Ibid., 119.
(2) Ibid., 120.
(3) Ibid., 121.
(4) *Πιστεῦσαι Θεῷ*. Contextus συνθέσθαι Θεῷ, cum Deo pacisci.
(5) *Ἐπακοῦσαι*. Contextus ἐπακολουθῆσαι.
(6) *Ἤσθετο*. Melius in contextu ᾔσθου, et ἔχεις.
(7) *Ἐπιφέρῃ*. Forte ἀποφέρῃ. EDIT.

δώσει· καλῶς ἐχρήσω τῇ δεδομένῃ. Μηδείς σε ἐξαπατάτω κενοῖς λόγοις. Ἐπιστήσεται γάρ σοι αἰφνίδιος ὄλεθρος, καὶ ἡ καταστροφὴ ὁμοίως καταιγίδι παρέσται. Ἥξει ἄγγελος κατηφὴς, ἀπάγων βιαίως καὶ σύρων σου τὴν ψυχὴν δεδεμένην ταῖς ἁμαρτίαις, πυκνὰ μεταστρεφομένην πρὸς τὰ ὧδε, καὶ ὀδυρομένην ἄνευ φωνῆς, τοῦ ὀργάνου λοιπὸν τῶν θρήνων ἀποκλεισθέντος. Ὢ πόσα σπαράξεις σεαυτόν! πόσα στενάξεις! ἄπρακτα μετανοῶν ἐπὶ τοῖς βουλευθεῖσιν, ὅταν ἴδῃς τὴν φαιδρότητα τῶν δικαίων ἐν τῇ λαμπρᾷ διανομῇ τῶν δώρων, καὶ τὴν κατήφειαν τῶν ἁμαρτωλῶν ἐν τῷ σκότει τῷ βαθυτάτῳ. Οἷα ἐρεῖς ἐν τῇ ὀδύνῃ τῆς καρδίας σου τότε; Αἴ με! μὴ ἀποῤῥῖψαι τὸ βαρὺ τοῦτο φορτίον τῆς ἁμαρτίας, οὕτω ῥᾳδίας οὔσης τῆς ἀποθέσεως, ἀλλὰ τὸν σωρὸν τῶν κακῶν τούτων ἐφέλκεσθαι. Αἴ με! τὰς κηλῖδας μὴ ἀποπλύνασθαι, ἀλλ' ἐστιγμένον εἶναι ταῖς ἁμαρτίαις. Νῦν ἂν ἤμην μετὰ τῶν ἀγγέλων· νῦν ἂν τοῖς οὐρανίοις ἀγαθοῖς ἐνετρύφων. Ὢ τῶν πονηρῶν βουλευμάτων! διὰ πρόσκαιρον ἁμαρτίας ἀπόλαυσιν, ἀθάνατα βασανίζομαι· δι' ἡδονὴν σαρκὸς, τῷ πυρὶ παραδίδομαι. Δικαία ἡ κρίσις τοῦ Θεοῦ. Ἐκαλούμην, καὶ οὐχ ὑπήκουον· ἐδιδασκόμην, καὶ οὐ προσεῖχον· διεμαρτύραντό μοι, ἐγὼ δὲ κατεγέλων. Ταῦτα καὶ τὰ τοιαῦτα ἐρεῖς ἀποκλαιόμενος σεαυτὸν, ἐὰν προαναρπασθῇς τῆς μετανοίας. Ἄνθρωπε, ἢ τὴν γέενναν φοβήθητι, ἢ τῆς βασιλείας ἀντιποιήθητι. Ἐμοὶ δακρύειν ἐπέρχεται, ὅταν ἐνθυμηθῶ, ὅτι τὰ ἔργα τῆς αἰσχύνης προτιμᾷς τῆς μεγάλης δόξης τοῦ Θεοῦ· καὶ διὰ τὸ τῆς ἀκολασίας ἡδὺ, δυσαποσπάστως ἔχων τῆς ἁμαρτίας, τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν σεαυτὸν ἀποκλείεις, ὡς μὴ ἰδεῖν τὰ ἀγαθὰ Ἱερουσαλὴμ τῆς ἐπουρανίου.

7. Βούλεταί σε ἐλεῆσαι, καὶ τῶν αὐτοῦ οἰκτιρμῶν μεταδοῦναι ὁ κριτὴς, κατὰ τὸν εἰπόντα· *Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος*. Ἀλλ' ἐὰν μὲν εὕρῃ σε μετὰ τὴν ἁμαρτίαν ταπεινὸν, συντετριμμένον, πολλὰ μετακλαύσαντα ἐπὶ τοῖς πονηροῖς ἔργοις, τὰ γενόμενα κρυφῇ ἀνεπαισχύντως δημοσιεύσαντα, δεηθέντα ἀδελφῶν συγκαμεῖν σοι πρὸς τὴν ἴασιν, ὅλως ἐλεεινόν σε γενόμενον ἐὰν ἴδῃ, ἄφθονόν σοι τὴν αὐτοῦ ἐλεημοσύνην ἐπιχορηγεῖ· ἐὰν δὲ καρδίαν ἀμετανόητον, φρόνημα ὑπερήφανον, ἀπιστίαν τοῦ αἰῶνος τοῦ μέλλοντος, ἀφοβίαν τῆς κρίσεως, τότε ἀγαπᾷ ἐπὶ σοὶ τὴν κρίσιν. Ὡς γὰρ ἰατρὸς ἐμμελὴς καὶ φιλάνθρωπος, καταντλήμασι πρότερον καὶ περιπλάσμασιν ἁπαλοῖς πειρᾶται καταστεῖλαι τὸ οἴδημα· ἐπειδὰν δὲ ἴδῃ ἀνενδότως καὶ σκληρῶς ἀντιτυποῦντα τὸν ὄγκον, ῥίψας τὸ ἔλαιον (1) καὶ τὴν μαλακὴν ἀγωγὴν, αἱρεῖται λοιπὸν τὴν τοῦ σιδήρου χρῆσιν. Τοὺς γὰρ ἀπὸ πολλῶν πτωμάτων πολλάκις διαναστάντας ἐκ τῆς κατὰ φιλανθρωπίαν χειραγωγίας, εἶτα ὕστερον ὑπὸ τῶν ἀσθενειῶν κρατηθέντας, ἀπειλεῖ παντελῶς

A audis. Tempus præfinitum prorogabit : scilicet dato tempore probe usus es. (2) Nemo te seducat inanibus verbis [41]. Nam repentinus tibi imminebit interitus [42], et exitium procellæ simile aderit. Veniet angelus tristis, abducens violenter trahensque animam tuam peccatis vinctam, crebro se ad ea quæ hic sunt convertentem, ac sine voce gementem, occluso jam gemituum ac lamentorum organo. O quam dilaniabis te ipse! quantum ingemisces! sed te tuorum consiliorum frustra pœnitebit, cum videbis hinc hilaritatem justorum de egregia donorum distributione lætantium, illinc mœrorem peccatorum qui in altissimis tenebris jacebunt. Quæ tunc dicturus es in dolore cordis tui? Hei mihi! hoc grave peccati onus, cum id exuere ita facile B esset, non abjeci : sed horum malorum acervum traxi. Hei mihi! maculas ac sordes non ablui : sed sum peccatorum notis compunctus. Nunc essem cum angelis : nunc cœlestium bonorum deliciis fruerer. O prava consilia! ob temporariam peccati delectationem æternum excrucior : ob carnis voluptatem igni trador. Justum est judicium Dei : vocabar, et non obediebam : docebar, et animum non attendebam : obtestabantur me, et ego deridebam. Hæc et alia ejusdem generis proferes, deflens temetipsum, si hinc ante pœnitentiam abripiaris. O homo, aut gehennam metue, aut enitere ut regnum adipiscare. Mihi quidem subit lacrymari, cum hoc mecum reputo, quod turpitudinis opera ingenti Dei gloriæ præfers, quod- C que peccato firmissime inhærens ob libidinis delectationem, a promissis bonis te ipse excludis, sic ut tibi cœlestis illius Jerusalem bona videre non liceat.

7. (3) Vult tui misereri judex, teque miserationum suarum facere participem, ut ille ait, *Diligit misericordiam et judicium Dominus* [43]. Si modo post peccatum repererit te humilem, contritum, prava opera multum deplorantem, **520** ac ea quæ clam facta sunt evulgantem citra pudorem, rogantem fratres tibi ut sint adjumento ad accipiendam medelam, uno verbo si commiseratione dignum viderit, abunde tibi suam impertietur misericordiam. Si vero cor pœnitere nescium, mentem su- D perbam, animum futuro sæculo non credentem, ac nullum judicii timorem conspexerit, tunc in te judicium diligit. Ita enim bonus ac humanus medicus fomentis prius ac remediis mollibus tumorem sedare conatur : postquam vero viderit molem nihil remittere, atque induratam reniti ; tum demum rejectis oleo ac molliore curandi ratione, ferri usum adhibet. (4) Iis enim, qui ex multis casibus sæpe misericordiæ divinæ præsidio erecti sunt, ac deinde infirmitatibus succubuere, mina-

[41] Ephes. v, 6. [42] I Thess. v, 3. [43] Psal. xxxii, 5.

(1) *Τὸ ἔλαιον*. Sic contextus. Editi τὸν ἔλεον, *misericordiam*. Infra editi ἀρωγήν δέ τινα.
(2) Ibid. 121.

(3) Ex hom. *in psal.* xxxii, 134.
(4) Uterque codex indicat commen.. *in Isa.*

tur omnino Deus se non remissurum. Ait enim, *Non amplius remittam vobis peccata vestra* [44], (1) indicans se jam sæpenumero similia prius condonasse : siquidem fieri nequit, ut quis sine venia quæ a Deo conceditur, vitæ secundum virtutem instituendæ sese dedat. (2) Vult enim, ut is qui in peccatis quibusdam versatus est, et deinde ad saniorem vitæ rationem pollicetur se recepturum, finem imponat præteritis, factoque post peccata initio quodam, quasi per pœnitentiam reviviscat. Contra, qui isthæc promittit sine ulla intermissione, et jugiter ab his excidit, illum velut penitus desperatum a sua clementia excludit. Non enim qui dicit, *Peccavi*, et postea in peccato perseverat, is confitetur : sed qui ubi juxta Psalmistam peccatum suum deprehendit, illud odit [45]. Quid enim emolumenti affert ægroto medici cura, quando is qui adversa valetudine utitur, suæ vitæ exitialia conquirit? Sic qui adhuc peccat, nihil ei utilitatis accedit ex peccatis condonatis : neque qui impurus est, quidquam percipit lucri ex remissis impudicitiæ vitiis.

8. (3) Desine itaque proximi tui vitia explorare ; cave cogitationibus otium dederis alienum morbum inquirendi ; sed ad teipsum perscrutandum converte oculos. Sunt enim nec pauci, qui festucam quidem animadvertunt in oculo fratris, trabem vero in suo ipsorum oculo non vident [46]. Ea quæ extrinsecus sunt ne circumspice, numcubi cujuspiam reprehendendi locum possis invenire, Pharisæum illum imitatus, qui stans se ipse justificabat, ac publicanum habebat despicatui. Imo vero ne intermittas teipsum percontari, nunquid deliqueris cogitatione, nunquid lingua labarit mentem præcurrens, nunquid in manuum operibus factum sit involuntarium. (4) Quemadmodum enim fieri non potest ut quis sanitatem recuperet, nisi depulsus morbus sit : velut ut quis calefiat, nisi plane sedatum sit frigus ; neque enim hæc simul consistere possunt : similiter et qui bonam vitam agere cupit, eum par est ab omni mali consortio recedere. (5) Non enim temporis diuturnitate, sed animæ affectione pœnitentia dijudicatur. (6) Qui vero ab inani vita recesserunt, et ad diviniorem seipsos exercent, ne apud se, neque seorsim soli se ipsi exerceant ; testibus enim non carere decet vitam ejusmodi, ut extra pravam suspicionem sit posita **521**. (7) Quod si quispiam jam olim inescatus, aut divitiarum pulverem inique apud se coacervavit, earumque curis illigavit animum ; aut lasciviæ scelus quod vix elui potest, naturæ adjunxit ; aut criminibus aliis semet exsatiavit ; is,

[44] Isa. I, 14. [45] Psal. XXXI, 5. [46] Matth. VII, 3.

(1) Ex comment *in Isa.*, 407

(2) Ibid. 408.

(3) Ex hom. in illud : *Attende tibi ipsi*, 21.

(4) Ex hom. *in psal.* XXXIII, 153.

(5) Ex epist. CLXXXVIII, can. 2, et ep. CCXVIII, can. 84.

A ὁ Θεὸς μὴ ἀφήσειν. *Οὐκέτι γὰρ*, φησὶν, *ἀνήσω τὰς ἁμαρτίας ὑμῶν*· ἔμφασιν ἡμῖν παρέχων τοῦ πολλάκις ἤδη πρότερον ἐπὶ τοῖς ὁμοίοις συγκεχωρηκέναι. Χωρὶς γὰρ τῆς παρὰ τοῦ Θεοῦ ἀφέσεως, ἐπιδιδόναι τινὰ ἑαυτὸν τῷ κατ' ἀρετὴν βίῳ, ἀμήχανον. Τὸν γὰρ ἔν τισιν ἁμαρτίαις ἐξετασθέντα, εἶτα ἀνατρέχειν ἐπὶ τὸν ὑγιῆ βίον ἐπαγγελλόμενον, βούλεται πέρατι μὲν ὁρίζειν τὰ παρελθόντα, ἀρχὴν δέ τινα ποιεῖσθαι μετὰ τὰ ἡμαρτημένα, οἱονεὶ διὰ τῆς μετανοίας ἀναβιώσκοντα. Συνεχῶς δὲ ταῦτα ἐπαγγελλόμενον, καὶ συνεχῶς αὐτῶν ἀποπίπτοντα, ὡς παντελῶς αὐτὸν ἀπεγνωσμένον, τῆς φιλανθρωπίας ἐκκλείει. Οὐ γὰρ ὁ εἰπὼν, *Ἥμαρτον*, εἶτα ἐπιμένων τῇ ἁμαρτίᾳ, οὗτος ἐξομολογεῖται· ἀλλ' ὁ κατὰ τὸν Ψαλμῳδὸν εὑρὼν τὴν ἁμαρτίαν αὐτοῦ, καὶ μισήσας.
B Τί γὰρ ὄφελος τῷ ἀῤῥωστοῦντι (8) ἡ παρὰ τοῦ ἰατροῦ ἐπιμέλεια, ὅταν τὰ φθαρτικὰ τῆς ζωῆς ὁ κάμνων ἐπιτηδεύῃ; Οὕτως οὐδὲν ὄφελος ἀδικημάτων συγχωρουμένων τῷ ἔτι ἀῤῥωστοῦντι, καὶ ἀκολαστημάτων ἀφιεμένων τῷ ἔτι ἀκολασταίνοντι.

8. Παῦσαι τοιγαροῦν τὰ τοῦ πλησίον κακὰ περιεργαζόμενος· μὴ δίδου σχολὴν τοῖς λογισμοῖς ἀλλότριον ἐξετάζειν ἀῤῥώστημα· ἀλλ' ἐπὶ τὴν οἰκείαν ἔρευναν στρέφε σου τὸ ὄμμα (9). Πολλοὶ γὰρ τὸ μὲν κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ κατανοοῦσι, τὴν δὲ ἐν τῷ οἰκείῳ ὀφθαλμῷ δοκὸν οὐκ ἐμβλέπουσι. Μὴ τὰ ἔξω περισκόπει, εἴπου τινὸς μῶμον ἐξευρεῖν
C δυνηθείης, κατὰ τὸν Φαρισαῖον ἐκεῖνον, ὃς εἱστήκει ἑαυτὸν δικαιῶν, καὶ τὸν τελώνην ἐξευτελίζων. Ἀλλὰ σεαυτὸν ἀνακρίνων μὴ διαλείπῃς, μή τι κατὰ τὰς ἐνθυμήσεις ἥμαρτες, μή τι ἡ γλῶσσα παρώλισθε τῆς διανοίας προεκδραμοῦσα, μὴ ἐν τοῖς ἔργοις τῶν χειρῶν πέπρακταί τι τῶν ἀβουλήτων. Ὥσπερ γὰρ ἀμήχανον ὑγείαν ἀναλαβεῖν μὴ τῆς νόσου ἀπαλλαγέντα, ἢ ἐν θερμότητι γενέσθαι τὸν μὴ καθαρῶς πεπαυμένον τῆς καταψύξεως (ἀνεπίδεκτα γὰρ ταῦτα ἀλλήλοις)· οὕτω καὶ τὸν μέλλοντα ἐν ἀγαθῇ ζωῇ γενέσθαι, πάσης προσήκει τῆς ἐπὶ τὸ κακὸν συνουσίας ἀπαλλαγῆναι· οὐ γὰρ χρόνου ποσότητι, διαθέσει δὲ ψυχῆς ἡ μετάνοια κρίνεται. Οἱ δὲ χωρισθέντες τοῦ κενοῦ βίου, καὶ πρὸς τὴν θειοτέραν ζωὴν ἑαυτοὺς ἀσκοῦντες, μὴ ἐφ' ἑαυτοὺς, μηδὲ καταμόνας
D ἀσκείσθωσαν· ἐμμάρτυρον γὰρ εἶναι προσήκει τὸν τοιοῦτον βίον, ὡς ἂν ἐκτὸς εἶναι πονηρᾶς ὑπονοίας. Καὶ εἴ τις πάλαι δελεασθεὶς, ἢ πλούτου κόνιν ἐξ ἀδικίας ἐφ' ἑαυτὸν συνεφόρησε, καὶ τὸν νοῦν ταῖς τούτου μερίμναις κατέδησεν· ἢ μύσος ἀσελγείας προσῆψε τῇ φύσει δυσέκνιπτον· ἢ τῶν ἄλλων ἐγκλημάτων ἐπλήρωσεν ἑαυτόν· οὗτος, ὡς ἔτι καιρὸς, πρὶν ἐλθεῖν εἰς τελείαν ἀπώλειαν, ἀποθέσθω τῶν φορτίων τὰ

(6) Uterque codex indicat comment. *in Isa.*

(7) Ex hom. *Quod mundanis adhærendum non sit*, 168.

(8) Ἀῤῥωστοῦντι. Contextus ἀδικοῦντι.

(9) *Τὸ ὄμμα*. In contextu additur τῆς ψυχῆς.

πλείονα, καὶ πρὶν ὑποβρύχιον γενέσθαι τὸ σκάφος, ἐκβολὴν ποιησάσθω τῶν ἀγωγίμων, ἃ μὴ δεόντως συνέλεξε. Τὰ χρήματα ἐκβληθέντα καλῶς, οὔτε ἀπόλλυται τοῖς ἐκβαλοῦσι καὶ ῥίψασιν· ἀλλ' ὥσπερ εἰς ὁλκάδας ἄλλας ἀσφαλεστέρας τινὰς τὰς τῶν πενήτων μεταθέντα γαστέρας, διασώζεται, καὶ φθάνει πρὸς λιμένας ἐλθόντα, καὶ φυλάττεται τοῖς ἐκβαλοῦσι κόσμος.

9. Τὰ γὰρ χρόνῳ κρατυνθέντα πάθη πρῶτον μὲν χρόνου δεῖται πρὸς τὴν διόρθωσιν· ἔπειτα ἰσχυρᾶς καὶ εὐτονωτέρας διαγωγῆς, εἰ μέλλοι τις τοῦ βάθους αὐτοῦ καθικνεῖσθαι, ὥστε πρόῤῥιζα ἐξελεῖν τὰ χρόνῳ μακρῷ ταῖς ψυχαῖς ἐῤῥιζωθέντα. Τοιαύτη ἡ ἐμμελὴς τῶν Νηνευϊτῶν μετάνοια, καὶ ἡ σοφὴ καὶ πεπυκνωμένη θλίψις ἐκείνη, ἥτις οὐδὲ τὰ ἄλογα ἀσυντελῆ τῆς τιμωρίας ἀφῆκεν· ἀλλὰ καὶ αὐτὰ βοᾶν ἐξ ἀνάγκης ἐμηχανήσατο. Ἐχωρίσθη γὰρ τῆς βοὸς ὁ μόσχος, ἀπηλάθη τῆς μητρῴας θηλῆς ὁ ἀρνειός· παιδίον ἐπιμάζιον οὐκ ἦν ἐν ταῖς τῆς τεκούσης ἀγκάλαις ἐπιδεικνύναι· φωναὶ δὲ παρὰ πάντων οἰκτραὶ ἀλλήλαις ἀντιβοῶσαι καὶ ἀντηχοῦσαι. Τὰ τέκνα λιμώττοντα τὰς πηγὰς ἐζήτει τοῦ γάλακτος· αἱ μητέρες τῷ φυσικῷ πάθει διακοπτόμεναι, συμπαθέσι φωναῖς ἀνεκαλοῦντο τὰ ἔγγονα· τὰ βρέφη κατὰ τὸν ὅμοιον τρόπον λιμώττοντά, σφοδροτάτῳ κλαυθμῷ ἀνεῤῥήγνυντο καὶ ἀπέσπαιρον· αἱ τεκοῦσαι ταῖς φυσικαῖς ἀλγηδόσι κατεκεντοῦντο τὰ σπλάγχνα. Ὁ πρεσβύτης ἐπ' ἐκείνων ἐθρήνει, καὶ τὴν πολιὰν ἔτιλλε καὶ ἐσπάραττεν. Ὁ νεανίσκος καὶ ἀκμάζων, σφοδρότερον ἀπωδύρετο· ὁ πένης ἐστέναξεν· ὁ πλούσιος ἐπιλαθόμενος τῆς τρυφῆς, ἤσκει τὴν κακοπάθειαν ὡς σώφρονα. Ὁ βασιλεὺς αὐτῶν, τὴν λαμπρότητα καὶ τὴν δόξαν εἰς αἰσχύνην μετέβαλεν. Ἀπέθετο τὸν στέφανον, καὶ κόνιν τῆς κεφαλῆς (1) κατεχέετο· τὴν ἁλουργίδα ῥίψας, σάκκον μετημφιάσατο· τὸν θρόνον τὸν ὑψηλὸν ἀφεὶς καὶ μετέωρον, ἐλεεινῶς τῇ γῇ προσεσύρετο· τὴν ἰδιάζουσαν καὶ βασιλικὴν καταλιπὼν εὐστάθειαν (2), συνεθρήνει τῷ δήμῳ· εἷς ἐγένετο τῶν πολλῶν, ὅτε τὸν κοινὸν πάντων Δεσπότην ἔβλεπεν ὀργιζόμενον. Τοῦτο δούλων εὐαισθήτων φρόνημα. Τοιαύτη τῶν ἁμαρτίαις ἐνεχομένων ἡ μετάνοια· ἵνα διὰ πάσης ἡλικίας ἡ σκυθρωπότης κρατήσῃ, αἰσθομένης τε καὶ ἀναισθήτου, τῆς μὲν κατὰ προαίρεσιν, τῆς δὲ κατ' ἀνάγκην. Διὰ τοῦτο ἰδὼν αὐτοὺς ὁ Θεὸς οὕτω ταπεινωθέντας, ὡς ἐπὶ ὑπερβαίνουσαν ἑαυτῶν ταλαιπωρίαν παγγενῆ καταχρίναντας, καὶ τὸ πάθος ἠλέησε, καὶ τῆς τιμωρίας ἀνῆκε, καὶ τὸ χαίρειν ἐδωρήσατο τοῖς εὐαισθήτως πενθήσασιν. Ἴδιον γὰρ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, τὸ μὴ σιωπῇ τὰς κολάσεις ἐπάγειν, ἀλλὰ προκηρύσσειν, διὰ τῶν ἀπειλῶν προκαλούμενος (3) εἰς μετάνοιαν τοὺς ἡμαρτηκότας· οὕτω γὰρ

(1) *Τῆς κεφαλῆς*. Editi, ἐπὶ τῆς κεφαλῆς. Melius in contextu quem secuti sumus.

(2) *Εὐστάθειαν*. Haud paulo melior hæc scriptura, quam quod in ipso contextu εὐπάθειαν.

(3) *Προκαλούμενος*. Contextus προκαλουμένου. Uterque codex προσκαλούμενος.

dum adhuc tempus est, antequam ad integrum exitium perveniat, deponat majorem sarcinarum partem, et priusquam navis submergatur, mercium indecore congestarum ejectionem faciat. (4) Neque vero pecuniæ probe ejectæ pereunt effundentibus ac projicientibus; sed quasi in alias quasdam onerarias naves tutiores, pauperum videlicet ventres, exportatæ conservantur, et ad portus perveniunt, custodiunturque jacientibus, quibus ornamento sunt.

9. (5) Tempore corroborata mala primum quidem tempore indigent ut sanentur; deinde forti ac firma agendi ratione, si quis velit ad imum ipsum pertingere, adeo ut radicitus evellantur quæ longo tempore in animis radices egerunt. (6) Haud absimilis fuit summa illa absolutaque Ninivitarum pœnitentia, atque prudens vehemensque eorum afflictatio, quæ ne bruta quidem animantia a pœnis immunia exemit: sed ea etiam necessario clamare artificio quodam adegit. Separatus namque est vitulus a vacca, semotus est a materno ubere agnus, puer lactens in maternis ulnis minime conspiciebatur; voces vero emittebantur ab omnibus miserabiles, vicissim clamantes, ac resonantes. Partus esurientes lactis fontes quærebant; matres naturali affectione discerptæ, vocibus commiserationem suam significantibus revocabant fetus. Eumdem ad modum infantes fame laborantes, ejulatu vehementissimo frangebantur, palpitabantque, et matrum viscera naturalibus doloribus compungebantur. Inter illos flebat senex, et canos vellebat, discerpebatque. Adolescens, et qui florenti ætate erat, vehementius lamentabatur; ingemiscebat pauper; dives, deliciarum oblitus, afflictationi ut bonæ se dedebat. Rex ipsorum splendorem gloriamque transmutavit in verecundiam. Deposita corona, caput cinere inspersit; purpura abjecta, induit saccum: throno alto et sublimi derelicto, miserabili habitu humi repebat: repudiata propria ac regia gravitate, lugebat cum populo, unus e multis factus et plebeius, quod communem Dominum omnium videret iratum. Hæc est servorum sensu præditorum prudentia: talis hominum peccatis implicitorum pœnitentia, ut tristitia occuparet ætatem omnem, tum sentientem, tum non sentientem, illam sponte, hanc præter voluntatem. Propterea cum vidisset Deus ipsos sic humiliatos, ut condemnarent sese ad gravissimas mulctas omnis generis, et doloris eorum misertus est, et pœnam remisit, et gaudium iis qui sano consilio luxerant, largitus est. (7) Proprium est enim Dei in homines amoris nequaquam silentio pœnas irrogare: sed eas prænuntiare, per minas peccatores provocando ad pœnitentiam: qua

(4) Ex hom. *Quod mundanis adhærendum non sit*, 168.

(5) Ex epist. CLVI, 245.

(6) Ex hom. *in famem*, etc., 65.

(7) Ex comment. *in Isa.*, 480.

ıgendi ratione usus est erga illos Jonæ opera. Nec acite exitium perniciemque induxit **522** Israeli peccanti : sed famulum suum ad fundendas pro populo preces excitans, his verbis prædixit : *Dimitte me ; et delebo populum hunc* [47]. Rursus simile quiddam in Evangelio etiam per parabolam a ficu sumptam sumus edocti ; quippe dominus ejus dicit agricolæ : *Ecce anni tres sunt ex quo venio ad hanc ficum, quærens fructum in ea, et non invenio : succide illam. Utquid etiam terram occupat* [48] ? (1) Itaque in quod tempus rejiciemus pœnitentiam ? annon recipiemus nos ad bonam frugem ? annon a consueta vivendi ratione revocabimus nos ad Evangelii integritatem ? annon ob oculos nobis ponemus illam Domini metuendam ac conspicuam diem, in qua hos quidem qui ad Domini dexteram per sua opera accesserint, regnum cœlorum suscipiet ; illos vero qui ob bonorum operum privationem ad sinistram dejecti fuerint, gehenna ignis et tenebræ æternæ involvent ? *Illic*, inquit, *erit fletus, et stridor dentium* [49]. (2) Nos autem acriter ac cito peccamus, sed negligenter, segniterque pœnitentiam amplectimur. (3) Cœlorum quidem regnum concupiscere nos dicimus, et tamen de iis quibus comparari potest, nihil sumus solliciti ; imo tametsi nullum pro conficiendo Dei mandato laborem subimus, nihilominus æquales honores ac præmia cum iis qui ad mortem usque peccato restiterint, recepturos nos esse præ mentis nostræ vanitate existimamus. (4) Simus tandem aliquando de animabus nostris solliciti, fratres, doleamus anteactæ vitæ vanitatem, decertemus pro futuris. Ne maneamus in socordia hac et dissolutione, neve præsens quidem tempus per jugem pigritiam amittentes, in crastinum vero et in posterum differentes operum initium, deinde ab eo qui animas nostras reposcit, inventi imparati a bonis operibus, a nuptialis thalami gaudio excludamur, et frustra inutiliterque ploremus, tunc vitæ tempus male præteritum lugentes, cum nihil amplius profuerit pœnitentibus. Hæc est pœnitentiæ ætas, illa remunerationis ; hæc operæ et laboris, illa rependendæ mercedis : hæc tolerantiæ, illa solatii. Nunc Deus adjutor est eorum qui se a via mala convertunt ; tunc horrendus et quem nullus fallet, humanarum actionum, verborumque et cogitationum inquisitor. Nunc experimur lenitatem, tunc justum judicium cognoscemus, cum videlicet resurgemus, alii ad supplicium æternum, alii ad vitam æternam. et unusquisque

A καὶ τούτοις πεποίηκε διὰ τοῦ Ἰωνᾶ. Καὶ τῷ Ἰσραὴλ ἡμαρτηκότι οὐ σιωπῇ ἐπήγαγε τὸν ἀφανισμόν· ἀλλὰ κινῶν εἰς τὴν ὑπὲρ τοῦ λαοῦ τὸν ἑαυτοῦ θεράποντα, προεκήρυσσε λέγων· *Ἄφες με, καὶ ἐξαλείψω τὸν λαὸν τοῦτον*. Παραπλησίως δέ τι καὶ ἐν τῷ Εὐαγγελίῳ περὶ τῆς κατὰ τὴν συκῆν παραβολῆς μεμαθήκαμεν, τοῦ δεσπότου αὐτῆς λέγοντος τῷ γεωργῷ· *Ἰδοὺ τρία ἔτη ἔρχομαι ἐπὶ τὴν συκῆν, ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ μὴ εὑρίσκων· ἔκκοψον αὐτήν. Ἵνα τί καὶ τὴν γῆν καταργεῖ;* Τοιγαροῦν πρὸς τίνα καιρὸν ὑπερτιθέμεθα τὴν μετάνοιαν; οὐκ ἐκνήψομεν; οὐκ ἀνακαλεσόμεθα ἑαυτοὺς ἀπὸ τοῦ κατὰ συνήθειαν βίου πρὸς τὴν ἀκρίβειαν τοῦ Εὐαγγελίου; οὐκ ἐν ὀφθαλμοῖς ληψόμεθα τὴν ἡμέραν Κυρίου τὴν φοβερὰν ἐκείνην καὶ ἐπιφανῆ, ἐν ᾗ τοὺς μὲν τῇ δεξιᾷ B τοῦ Κυρίου διὰ τῶν πράξεων προσεγγίζοντας βασιλεία οὐρανῶν ὑποδέξεται· τοὺς δὲ πρὸς τὴν ἀριστερὰν διὰ τὴν ἐρημίαν τῶν ἀγαθῶν ἔργων ἀπεωσμένους (5), γέεννα πυρὸς καὶ σκότος αἰώνιον κατακρύψει; *Ἐκεῖ ἔσται*, φησὶν, *ὁ κλαυθμὸς καὶ βρυγμὸς τῶν ὀδόντων*. Ἀλλ' ἡμεῖς τὴν μὲν ἁμαρτίαν ἐπιτελοῦμεν συντόμως (6), ὀλιγώρως δὲ καὶ ῥαθύμως ἀναλαμβάνομεν τὴν μετάνοιαν. Καὶ βασιλείας μὲν οὐρανῶν ἐπιθυμεῖν λέγομεν, ἐξ ὧν δὲ ἔστιν *αὐτῆς* ἐπιτυχεῖν οὐ φροντίζομεν· ἀλλὰ μηδένα πόνον ὑπὲρ ἐντολῆς τοῦ Θεοῦ καταδεχόμενοι, τῶν ἴσων τιμῶν τεύξεσθαι τοῖς μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν ἀντικαταστᾶσιν ἐν τῇ ματαιότητι τοῦ νοὸς ἡμῶν ὑποτιθέμεθα (7). Ἀψώμεθα τοίνυν, ἀψώμεθά ποτε τῆς φροντίδος τῶν ψυχῶν ἡμῶν, ἀδελφοί· λυπηθῶμεν C ἐπὶ τῇ ματαιώσει τοῦ προλαβόντος βίου· ἀγωνισώμεθα ὑπὲρ τῶν μελλόντων· μὴ τῇ ῥαθυμίᾳ καὶ τῇ ἐκλύσει ταύτῃ ἐναπομείνωμεν, καὶ τὸ μὲν παρὸν ἀεὶ διὰ ῥαθυμίας προϊέμενοι, πρὸς δὲ τὸ αὔριον καὶ τὸ ἐφεξῆς τὴν ἀρχὴν τῶν ἔργων ὑπερτιθέμενοι, εἶτα καταληφθέντες ὑπὸ τοῦ ἀπαιτοῦντος τὰς ψυχὰς ἡμῶν, ἀπαρασκεύαστοι τῶν ἀγαθῶν ἔργων, τῆς μὲν χαρᾶς τοῦ νυμφῶνος ἀποβληθῶμεν, ἀργὰ δὲ καὶ ἀνόνητα κλαίωμεν (8), τὸν κακῶς παρεθέντα τοῦ βίου χρόνον ὀδυρόμενοι τότε, ὅτε πλέον οὐδὲν ἐξέσται τοῖς μεταμελουμένοις. Οὗτος ὁ αἰὼν τῆς μετανοίας, ἐκεῖνος τῆς ἀνταποδόσεως· οὗτος τῆς ἐργασίας, ἐκεῖνος τῆς μισθαποδοσίας· οὗτος τῆς ὑπομονῆς, κἀκεῖνος τῆς παρακλήσεως. Νῦν βοηθὸς τῶν ἐπιστρεφόντων ἀπὸ ὁδοῦ κακῆς ὁ Θεὸς, τότε φοβερὸς καὶ ἀπαραλόγιστος D τῶν ἀνθρωπίνων πραγμάτων καὶ ῥημάτων (9) καὶ ἐνθυμημάτων ἐξεταστής. Νῦν τῆς μακροθυμίας ἀπολαύομεν, τότε τὴν δικαιοκρισίαν γνωρίσομεν, ὅταν ἀναστῶμεν, οἱ μὲν εἰς κόλασιν αἰώνιον. οἱ δὲ εἰς ζωὴν

[47] Exod. XXXII, 10. [48] Luc. XIII, 7. [49] Matth. XXV, 30.

(1) Ex *Regulis fusius tractatis*, 328.
(2) Ex hom. *in famem*, etc., 65.
(3) Ex *Regulis fusius tractatis*, 328.
(4) Ibid. 327.
(5) *Διὰ τὴν ἐρημίαν... ἀπεωσμένους*. Sic ope contextus emendavimus vulgatam lectionem διὰ τῆς ἐρημίας... ἐπεγνωσμένους.
(6) *Συντόμως*. Haud scio an præferenda sit hæc scriptura ipsi contextui, in quo legitur συντόνως.
(7) *Τιμῶν... ὑποτιθέμεθα*. Sic restituimus ope codicis Regii et contextus. Editi ἡμῶν ὑπερτιθέμεθα.
(8) *Ἀργὰ δὲ καὶ ἀνόνητα κλαίωμεν*. Hæc addita ex contextu et codicum altero. Idem codex τὸν κακῶς παροφθέντα. Editi προεθέντα. Melius in contextu παρεθέντα.
(9) *Καὶ ῥημάτων*. Hæc addita ex contextu et codicum altero.

αἰώνιον, καὶ ἀπολάβῃ ἕκαστος κατὰ τὴν πρᾶξιν αὐτοῦ. Ὑμῖν δὲ, ὅσοι ἐπεστυγνάσατε τῇ ἀσχημοσύνῃ τῶν καταγνωσθέντων, ἐκεῖνο ἐντελλόμεθα (1)· Ἐὰν μὲν ἴδητε μετανοοῦντας ἐπὶ τῇ ἀτοπίᾳ τῶν πεπραγμένων, συμπαθήσατε ὡς οἰκείοις μέλεσι νενοσηκόσιν· ἐὰν δὲ ἀπαυθαδιαζομένους καὶ καταφρονοῦντας τῆς ὑμετέρας ἐπ' αὐτοῖς λύπης αἴσθησθε, *Ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτησθε*· ἵν' οὕτως οἱ μὲν ἐντραπέντες, εἰς ἐπίγνωσιν ἔλθωσι τῆς οἰκείας κακίας· ὑμεῖς δὲ τοῦ ζήλου τοῦ Φινεὲς τὸν μισθὸν ὑποδέξησθε παρὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ.

ΛΟΓΟΣ Θ'.

1. Χρὴ τὴν προσευχὴν μὴ ἐν συλλαβαῖς ἡμᾶς ἐκπληροῦν, ἀδελφοί, ἀλλὰ προαιρέσει μᾶλλον ψυχῆς, καὶ πράξεσι ταῖς κατ' ἀρετὴν παντὶ τῷ βίῳ παρεκτεινομέναις. Οὐδὲ γὰρ ἡγούμεθα τὸν Θεὸν τῆς διὰ τῶν λόγων ὑπομνήσεως δεῖσθαι, ἀλλ' εἰδέναι καὶ μὴ αἰτούντων ἡμῶν τὰ χρήσιμα. Ἡ γὰρ θεία ἀκοὴ οὐ φωνῆς δεῖται πρὸς αἴσθησιν· οἶδε γὰρ καὶ ἐν τῷ κινήματι τῆς καρδίας γνωρίσαι τὰ ἐπιζητούμενα. Ἢ οὐκ ἀκούεις, ὅτι Μωϋσῆς μηδὲν φθεγγόμενος, ἀλλὰ τοῖς ἀλαλήτοις ἑαυτοῦ στεναγμοῖς ἐντυγχάνων τῷ Κυρίῳ, ἠκούετο παρὰ τοῦ Κυρίου λέγοντος· *Τί βοᾷς πρός με;* Οἱ δὲ ἐν τῷ βίῳ μὲν μηδὲν κατορθοῦντες, ἐν δὲ τῇ παρατάσει τῆς προσευχῆς νομίζοντες δικαιοῦσθαι, τούτων ἀκουέτωσαν τῶν ῥημάτων· *Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός μὲ, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν.* Οὐ γὰρ ἁπλῶς τὰ ῥήματα τῆς προσευχῆς ὠφελεῖ, ἀλλὰ τὸ μετὰ σπουδαίας διαθέσεως ἀναπέμπεσθαι. Ἐπεὶ καὶ *Ὁ Φαρισαῖος ταῦτα πρὸς ἑαυτὸν προσηύχετο*, οὐχὶ πρὸς τὸν Θεόν· ἐπανήρχετο γὰρ πρὸς ἑαυτὸν, ἐπείπερ ἐν ἁμαρτίᾳ τῆς ὑπερηφανίας ἐγίνετο. Διὰ τοῦτο καὶ ὁ Σωτήρ· *Προσευχόμενοι δὲ μὴ βαττολογεῖτε, ὡς καὶ οἱ ἐθνικοί· δοκοῦσι γὰρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται*· καὶ τὸ, *Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν*. Τοῦτό ἐστι τὸ αἴτιον τοῦ ἀποστρέφεσθαι (2) τοὺς ὀφθαλμοὺς τοῦ Θεοῦ, ὅταν ἐκταθῶσιν αἱ χεῖρες, διότι τὰ τῆς ἱκετηρίας σύμβολα παροξυσμοῦ εἰσιν ἀφορμαί. Ὥσπερ ἂν εἴ τις υἱόν τινος φονεύσας ἀγαπητὸν, ἔτι ᾑμαγμένας τὰς χεῖρας ἔχων, προτείνοι αὐτὰς τῷ πατρὶ χαλεπαίνοντι, δεξιὰν φιλίας αἰτούμενος· ἆρ' οὐχὶ φανὲν τοῦ τέκνου τὸ αἷμα ἐν τῇ χειρὶ τοῦ παιδοφόνου μᾶλλον εἰς ὀργὴν τὸν ἠδικημένον ἐγείροι; Τοιαῦταί εἰσι καὶ αἱ τῶν Ἰουδαίων εὐχαὶ, ὅταν ἐκτείνωσι τὰς χεῖρας τῆς εἰς τὸν μονογενῆ Υἱὸν ἁμαρτίας ἀναμιμνησκόντων τὸν Θεὸν καὶ Πατέρα, καὶ καθ' ἑκάστην

A secundum sua ipsius opera recipiet. (3) Vobis vero, quotquot de actionum improbatarum turpitudine doluistis, illud præcipimus. Si videritis quos stultitiæ gestorum suorum pœniteat, eorum misereamini tanquam vestrorum membrorum ægrotantium; sin pervicaces ac vestram pro ipsis mœstitiam spernentes senseritis, *Exite de medio, et separemini, et immundum ne tangatis* [80] : ut sic illi quidem pudore affecti, suam ipsorum pravitatem cognoscant : **523** vos vero mercedem æmulationis Phinees [81] recipiatis a Servatore nostro Jesu Christo, cui gloria, et potestas, nunc et semper, et in sæcula sæculorum. Amen

DE ORATIONE.

B

SERMO IX

1. (4) Orationem non syllabarum numeris absolvere nos oportet, o fratres; sed animi voluntate, rectisque per totam vitam actionibus. Neque enim Deum arbitramur ut verbis moneatur, indigere; sed nosse, ne petentibus quidem nobis, quæ conducibilia sint. (5) Utique auditus divinus voce non indiget ad percipiendum, siquidem petita etiam in cordis motu cognoscere valet. Nonne scis Moysen, cum nihil loqueretur, sed tacitis suis suspiriis Dominum interpellaret, a Domino auditum, dicente : *Quid clamas ad me* [82]? (6) Qui nulla virtute vitam suam exornant, nihilominus tamen sese existimant in precum suarum longitudine justificari, verba hæc audiant : *Cum extenderitis manus, avertam oculos meos a vobis : etsi multiplicaveritis supplicationem, non exaudiam vos* [83]. Neque enim precum verba simpliciter prolata juvant, sed si cum

C vehementi affectu depromantur. Nam et *Pharisæus hæc apud se orabat* [84], non apud Deum : respiciebat namque ad seipsum; siquidem in superbiæ peccato versabatur. Quapropter et Salvator ait : *Orantes autem nolite multum loqui sicut ethnici : putant enim quod in multiloquio suo exaudiantur* [85]; et illud : *Ex multiloquio non effugies peccatum* [86]. Hoc est causæ, cur Deus oculos avertat, cum extenderint manus, quod ipsa supplicationis symbola ad irritandum illum sint occasiones. Quemadmodum si quis dilectum alterius filium occiderit,

D ac manus suas adhuc cruentatas ad infensum sibi patrem exporrigat, dexteramque efflagitet amicitiæ; nonne sanguis filii in ipsius interfectoris manu apparens patrem injuria affectum acrius exasperat? Ejusmodi sunt Judæorum preces; siquidem cum extendunt manus, admissum in unigenitum Filium scelus Deo et Patri revocant in memoriam, atque per singulas extensiones suas ipsorum manus sanguine Christi plenas ostendunt. Enimvero

[80] II Cor. vi, 17. [81] Num. xxv, 11. [82] Exod. xiv, 15. [83] Isa. i, 15. [84] Luc. xviii, 11. [85] Matth. vi, 7. [86] Prov. x, 19.

(1) *Ἐντελλόμεθα.* Contextus διαστέλλόμεθα.
(2) *Τοῦ ἀποστρέφεσθαι.* Male in contextu τὸ ἀποστρέφεσθαι.
(3) Ex hom. *in ebriosos*, 130.

(4) Ex hom. *in mart. Julittam*, 35.
(5) Ex hom. *in psal.* cxiv, 200.
(6) Ex comment. *in Isa.*, 408.

qui in sua cæcitate perseverant, cædis paternæ A sunt hæredes. *Sanguis enim ejus*, inquiunt, *super nos, et super filios nostros* [87].

2. (1) Semper igitur, o homo, Dei memineris et illius timorem in corde habeto, atque ad communionem precum omnes adjunge. Magnum enim est eorum qui Deum placare possunt auxilium. Nam et viventibus nobis in hac carne bona erit adjutrix precatio, et inde proficiscentibus idoneum viaticum ad futurum ævum. Quemadmodum autem sollicitudo res bona est : ita rursus animum despondere et desperare ac de salute diffidere, res sunt animæ noxiæ. Spem itaque in Dei bonitate colloca, et illius auxilium exspecta : certo sciens, si recte ac B sincere ad **524** ipsum convertamur, futurum ut non modo nos omnino non rejiciat, sed etiam nobis adhuc precum verba proferentibus dicat : *Ecce adsum* [88]. (2) Quis enim vel malam admittat cogitationem, vel malum perficiat; si Deum credat ubique esse locorum, adesse his quæ fiunt, unicuique interesse actioni, ac cordium consilia introspicere? Sed rati vel Deum non inspicere, vel non curare ea quæ aguntur; sic homines ad impia patranda facinora animum conferunt. (3) Quies igitur principium expurgationis animæ, nec lingua loquente res humanas, nec oculis nitidos corporum colores aut concinnitates circumspicientibus; nec auditu animæ vigorem dissolvente per acroamata modorum C ad voluptatem compositorum, aut per hominum facetorum ac ridiculorum verba : id quod maxime animi vim frangere solet. Mens enim, quæ ad externa non dissipatur, neque per sensus in mundum diffunditur, redit quidem ad se ipsa; per se autem ad Dei cogitationem ascendit, atque decore illo illustrata, ipsius etiam naturæ obliviscitur, nec jam cibi cura distrahitur aut amictus sollicitudine; sed terrenis curis vacua, omne suum studium ad æterna bona adipiscenda transfert.

3. (4) Neque igitur patiare mediam vitæ partem inutilem tibi esse per somni soporem : sed dividatur tibi noctis tempus in somnum et precationem : D imo somnus ipse exercitatio sit pietatis. Sæpe enim expressæ in somno species nescio quomodo vestigia quædam ac reliquiæ esse solent diurnarum curarum. (5) Ecquid igitur beatius, quam statim quidem ac dies incipit ad preces surgentem, hymnis et canticis creatorem venerari; exinde sole jam clare dilucescente ad opera conversum, comitante ubique oratione, hymnis etiam opera tan-

A ἔκτασιν τὰς χεῖρας ἑαυτῶν τοῦ αἵματος τοῦ Χριστοῦ πλήρεις ἐπιδεικνυόντων. Οἱ γὰρ ἐπιμένοντες τῇ πωρώσει, τῆς πατρικῆς μιαιφονίας κληρονόμοι ὑπάρχουσι. *Τὸ γὰρ αἷμα αὐτοῦ*, φησὶν (6), *ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.*

2. Διὰ παντὸς τοίνυν μέμνησο τοῦ Θεοῦ, ἄνθρωπε, καὶ ἔχε τὸν φόβον αὐτοῦ ἐν τῇ καρδίᾳ σου, καὶ πάντας εἰς τὴν κοινωνίαν τῶν εὐχῶν παραλάμβανε. Μεγάλη γὰρ καὶ ἡ τῶν δυναμένων δυσωπεῖν τὸν Θεὸν βοήθεια. Καὶ γὰρ καὶ ζῶσιν ἡμῖν τὴν ἐν τῇ σαρκὶ ταύτην ζωὴν, ἀγαθὴ ἔσται βοηθὸς ἡ προσευχή· καὶ ἀπερχομένοις ἐντεῦθεν, ἐφόδιον διαρκὲς πρὸς τὸν αἰῶνα τὸν μέλλοντα. Ὥσπερ δὲ ἡ φροντὶς πρᾶγμά ἐστιν ἀγαθόν· οὕτω πάλιν ἡ ἀθυμία καὶ ἡ ἀπόγνωσις, καὶ τὸ δυσελπίστως ἔχειν πρὸς σωτηρίαν, τῶν βλαπτόντων B ἐστὶ τὴν ψυχήν. Ἐπέλπιζε τοίνυν τῇ ἀγαθότητι τοῦ Θεοῦ, καὶ ἐκδέχου αὐτοῦ τὴν ἀντίληψιν, γινώσκων, ὅτι ἐὰν καλῶς καὶ γνησίως πρὸς αὐτὸν ἐπιστραφῶμεν, οὐ μόνον οὐκ ἀποῤῥίψει ἡμᾶς εἰς τὸ παντελὲς, ἀλλ' ἔτι λαλούντων ἡμῖν τὰ ῥήματα τῆς προσευχῆς ἐρεῖ· *Ἰδοὺ πάρειμι.* Τίς γὰρ πιστεύων εἶναι πανταχοῦ τὸν Θεὸν, καὶ παρεῖναι τοῖς γινομένοις, καὶ ἑκάστῃ πράξει παρεστάναι, καὶ ταῖς βουλαῖς τῶν καρδιῶν ἐνορᾷν· ἢ τὴν ἔννοιαν τὴν πονηρὰν παραδέχεται, ἢ τελεσιουργεῖ τὸ κακόν; Ἀλλ' ἢ μὴ ἐφορᾷν τὸν Θεὸν, ἢ μὴ μέλειν αὐτῷ τῶν γινομένων ὑπολαμβάνοντες· οὕτως ὁρμῶσι πρὸς τὰς ἀνοσίας (7) πράξεις οἱ ἄνθρωποι. Ἀρχὴ δὲ καθάρσεως τῇ ψυχῇ ἡσυχία, μήτε γλώσσης λαλούσης τὰ τῶν ἀνθρώπων, C μήτε ὀφθαλμῶν εὐχροίας σωμάτων καὶ συμμετρίας περισκοπούντων, μήτε ἀκοῆς τὸν τόνον τῆς ψυχῆς ἐκλυούσης ἐν ἀκροάμασι μελῶν πρὸς ἡδονὴν πεποιημένων, μήτε ῥήμασιν εὐτραπέλων καὶ γελοιαστῶν ἀνδρῶν, ὃ μάλιστα λύειν τῆς ψυχῆς τὸν τόνον πέφυκε. Νοῦς γὰρ μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ὑπὸ τῶν αἰσθητηρίων ἐπὶ τὸν κόσμον διαφορούμενος, ἐπάνεισι μὲν πρὸς ἑαυτὸν, δι' ἑαυτοῦ δὲ πρὸς τὴν περὶ Θεοῦ ἔννοιαν ἀναβαίνει· κἀκείνῳ τῷ κάλλει περιλαμπόμενος, καὶ αὐτῆς τῆς φύσεως λήθην λαμβάνει· μήτε πρὸς τροφῆς φροντίδα, μήτε πρὸς περιβολαίων μέριμναν τὴν ψυχὴν καθελκόμενος· ἀλλὰ σχολὴν ἀπὸ τῶν γηίνων φροντίδων ἄγων, τὴν πᾶσαν ἑαυτοῦ σπουδὴν ἐπὶ τὴν κτῆσιν τῶν αἰωνίων ἀγαθῶν μετατίθησι.

3. Μὴ οὖν καταδέξῃ διὰ τῆς κατὰ τὸν ὕπνον ἀναισθησίας τὸ ἥμισυ τῆς ζωῆς ἀχρειοῦν· ἀλλὰ μεριζέσθω D σοι τῆς νυκτὸς ὁ χρόνος εἴς τε ὕπνον καὶ προσευχήν· ἀλλὰ καὶ οἱ ὕπνοι αὐτοὶ μελέτημα ἔστωσαν τῆς εὐσεβείας. Πεφύκασι γάρ πως αἱ καθ' ὕπνον φαντασίαι, ὡς τὰ πολλὰ, ἀπηχήματα εἶναι τῶν μεθημερινῶν φροντίδων. Τί δὲ μακαριστότερον ἀνθρώπου, τοῦ εὐθὺς μὲν ἀρχομένης ἡμέρας εἰς εὐχὰς ὁρμῶντος, καὶ ὕμνοις καὶ ᾠδαῖς γεραίροντος τὸν κτίσαντα; εἶτα ἡλίου καθαρῶς ἐπιλάμψαντος ἐπ' ἔργα τρεπομένου, πανταχοῦ αὐτῷ τῆς εὐχῆς συμπαρούσης, καὶ (8)

[87] Matth. XXVII, 25. [88] Isa. LVIII, 9.

(1) Ex epist. CLXXIV, 262.
(2) Ex comment. *in Isa.*, 416.
(3) Ex epist. I, 72.
(4) Ex hom. *in mart. Julittam*, 36.

(5) Ex epist. II, 72.
(6) *Φησίν.* Legisse videtur interpres φασίν. EDIT.
(7) *Ἀνοσίας.* Uterque codex ἀνοσίους.
(8) *Καί.* Forte ὡς vel ὥστε. EDIT.

τοῖς ὕμνοις, ὥσπερ ἅλατι, παραρτύειν τὰς ἐργασίας· τὸ γὰρ ἱλαρὸν καὶ ἄλυπον τῆς ψυχῆς κατάστημα, αἱ τῶν ὕμνων παρηγορίαι χαρίζονται. Εὐχαὶ καὶ πρὸ τῆς τροφῆς ἀξίως γενέσθωσαν τῶν τοῦ Θεοῦ παροχῶν, ὧν τε νῦν δίδωσι, καὶ ὧν πρὸς τὸ μέλλον ἐταμιεύσατο· εὐχαὶ καὶ μετὰ τὰς τροφὰς, εὐχαριστίαν τῶν διδομένων ἔχουσαι, καὶ αἴτησιν τῶν ἐπηγγελμένων. Εὐχὴ δὲ καλὴ, ἡ ἐναργῆ ἐμποιοῦσα τοῦ Θεοῦ ἔννοιαν τῇ ψυχῇ· τοῦτο γάρ ἐστι Θεοῦ ἐνοίκησις, τὸ διὰ τῆς μνήμης ἔχειν ἐνιδρυμένον ἐν ἑαυτῷ τὸν Θεόν. Οὕτω γινόμεθα ναὸς Θεοῦ, ὅταν μὴ φροντίσι γηΐναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται, μηδὲ τοῖς ἀπροσδοκήτοις πάθεσιν ὁ νοῦς ἐκταράσσηται· ἀλλὰ πάντα ἀποφεύγων, ἐπὶ Θεὸν ἀναχωρῇ, ἐξελαύνων τὰ προσκαλούμενα αὐτὸν εἰς ἀκρασίαν πάθη, καὶ τοῖς πρὸς ἀρετὴν ἄγουσιν ἐπιτηδεύμασιν ἐνδιατρίβων. Καὶ ὅπερ τοῖς ἄλλοις ὁ ὄρθρος ἐστὶ, τοῦτο τῷ τῆς εὐσεβείας ἀγωνιστῇ τὸ μεσονύκτιον, μάλιστα σχολὴν τῇ ψυχῇ τῆς νυκτερινῆς ἡσυχίας χαριζομένης, οὔτε ὀφθαλμῶν, οὔτε ὤτων βλαβερὰς ἀκοὰς ἢ θέας παραπεμπόντων ἐπὶ καρδίαν· ἀλλὰ καὶ μόνου καθ' ἑαυτὸν (1) τοῦ νοῦ τῷ Θεῷ συνόντος, καὶ διορθουμένου μὲν ἑαυτὸν ἐν τῇ μνήμῃ τῶν ἡμαρτημένων, ὅρους δὲ ἑαυτῷ τιθέντος πρὸς τὴν ἔκκλισιν τοῦ κακοῦ, καὶ τὴν παρὰ Θεοῦ συνεργίαν εἰς τὴν τελείωσιν τῶν σπουδαζομένων ἐπιζητοῦντος.

4. Τοῦτο καὶ ἡ κατὰ Μωϋσέα παραινίσσεται ἱστορία, ὅτι διὰ τὸ τοὺς προκόπτοντας μὴ ἐξομαλίζειν τὰς πράξεις, ἀλλὰ ποτὲ μὲν κρεῖττον βιοῦν, ποτὲ δὲ δι' ἀτονίαν ἐκλύεσθαι ἀσθενέστερον ἐνεργεῖν, τῆς ἀνθρωπίνης καταστάσεως σύμβολα ἦν τὰ τότε γινόμενα. Εἰ μὲν γὰρ ἐπῇρε τὰς χεῖρας, ἐνίσχυεν Ἰσραήλ· ὅτε δὲ καθῆκε τὰς χεῖρας, ἐνίσχυεν Ἀμαλήκ. Τουτέστι, καταπιπτούσης ἡμῶν τῆς δραστικῆς δυνάμεως, ἰσχύει τὰ ἀντιπαλαίοντα ἡμῖν· ὑψουμένης δὲ καὶ διαιρομένης, δυνατώτερον γίνεται τὸ διορατικὸν ἐν ἡμῖν· ἐπαίρει μὲν γὰρ ὁ τὰ ἄνω ζητῶν, ἐκτείνει δὲ ὁ τῆς εἰς τὰ σωματικὰ βοηθείας ἐπιδεόμενος. Ὁ τοίνυν ἐν τῷ ναῷ τοῦ Θεοῦ γενόμενος, οὐ κακολογίαν, οὐ ματαιότητα, οὐχ αἰσχρῶν πραγμάτων ῥήματα, ἀπαγγέλλει, ἄπαγε! ἀλλ' *Ἐν τῷ ναῷ αὐτοῦ*, κατὰ τὸν Δαβὶδ, *πᾶς τις λέγει δόξαν*. Ἑστήκασιν οἱ ἀπογραφόμενοι τὰ ῥήματα ἄγγελοι· πάρεστιν ὁ Κύριος τὰς διαθέσεις τῶν εἰσιόντων ἐπισκοπῶν. Ἡ προσευχὴ ἑκάστου πεφανέρωται τῷ Θεῷ· τίς ἐκ διαθέσεως, τίς ἐπιστημόνως ἐπιζητεῖ τὰ οὐράνια· τίς ἀφωσιωμένως ἄκροις τοῖς χείλεσι τὰ ῥήματα φθέγγεται, ἡ δὲ καρδία αὐτοῦ πόῤῥω ἀπέχει ἀπὸ Θεοῦ. Κἂν εὔχηται, ὑγίειαν σαρκὸς, καὶ σωματικὸν πλοῦτον, καὶ δόξαν ἀνθρωπίνην ἐπιζητεῖ. Δεῖ δὲ οὐδὲν τούτων, ὡς ὁ λόγος διδάσκει, ἀλλ' *Ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν*. Ἀλλ', ὢ τοῦ θαύματος! *Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ*. Ἀγγέλοις ἔργον,

A quam sale condire? siquidem hilarem jucundamque animæ æquabilitatem hymnorum solatia conferunt. (2) Preces ante cibum fiant, quæ donis Dei dignæ sint, tum quæ nunc largitur, tum quæ in futurum recondidit; preces etiam post cibum, quæ et gratiarum actionem pro acceptis bonis et promissorum petitionem habeant. (3) Est autem oratio illa præclara, quæ perspicuam Dei notionem animæ imprimit: idque Dei inhabitatio est, insidentem intus Deum memoria complecti. Sic Dei efficimur templum, cum nec terrenis curis perpetuus memoriæ tenor interpellatur, nec improvisis commotionibus perturbatur mens, sed omnia fugiens ad Deum secedit, repellens provocantes ad libidinem affectiones, ac in studiis ad virtutem ducentibus B immoratur. (4) Sed quod aliis diluculum, id pietatis cultoribus media nox: cum maxime nocturna quies otium animæ largiatur, neque oculis, neque auribus quidquam visu aut auditu exitiosum in cor immittentibus, sed mente sola per se cum Deo rationem habente, seque corrigente **525** per peccatorum recordationem et regulas sibi ipsi præscribente ad vitia declinanda, ac Dei auxilium ad ea, quæ studio habet, perficienda implorante.

4. (5) Hoc etiam nobis innuit Moysis historia; quippe quæ tunc flebant, conditionis humanæ erant symbola, quod ii qui proficiunt, non pari ratione ac tenore operantur: sed modo melius vivunt, C modo vero ob imbecillitatem franguntur, suasque languidius exerunt actiones. Etenim si Moyses attolleret manus, vincebat Israel [59]: quando vero eas demittebat, prævalebat Amalec. Hoc est, nostra facultas actuosa siquando fatiscit ac prosternitur, in nos prævalent adversariæ potestates: e contrario, si ea sublata in altum sit et erecta; vis nostra videndi vires majores resumit. Siquidem qui quærit sublimia, sustollit: extendit vero, qui ad comparandas res corporales auxilium rogat. (6) Qui igitur in templo Dei est, non convitia, non res vanas, non verba obscenis rebus referta profert, absit! sed *In templo ejus*, ut ait David, *quisque dicit gloriam*. Astant angeli, qui verba describunt: adest Dominus, qui animum ingredientium intuetur. D Preces uniuscujusque manifestæ Deo sunt; quis ex affectu, quis scite exquirat cœlestia; quis perfunctorie et extremis labris verba pronuntiet, cor vero ipsius procul a Deo. Quod si orat, carnis sanitatem, opesque corporeas et humanam gloriam efflagitat. Horum autem nihil petendum est, ut Scriptura docet: sed *In templo ejus unusquisque dicit gloriam* [60]. Verum, o rem admiratione

[59] Exod. xvii, 11. [60] Psal. xxviii, 9.

(1) *Καὶ μόνου καθ' ἑαυτόν*. Forte μόνου καὶ καθ' ἑαυτόν. Edit.
(2) Ex epist. ii, 74.
(3) Ibid., 75.
(4) Ibid., 75.
(5) Ex comment. *in Isa.*, 408.
(6) Ex hom. *in psal.* xxviii, 122.

dignam! *Cœli enarrant gloriam Dei* [61]. Deum gloria afficere, angelorum munus est. Hoc unum est totius cœlestis exercitus officium, referre creatori gloriam. Creatura omnis, tum silens, tum loquens, tum cœlestis, tum terrena, dat gloriam conditori. Miserabiles vero homines, postquam ædibus suis relictis ad templum cucurrerunt, quasi quidpiam consecuturi emolumenti, tamen Dei verbis aures non præbent, suam ipsorum naturam non sentiunt; non mœrent dum reminiscuntur peccatorum; non timent judicium; sed arridentes, et inter se jungentes dextras, precationis domum in locum immodicæ loquacitatis vertunt, aspernati Davidem declarantem et dicentem: *In templo ejus unusquisque dicit gloriam.* Tu vero non modo non loqueris: sed alteri etiam es impedimento, qui eum tibi reddas attentum. Deus enim minime indiget gloria; sed te vult esse dignum, qui consequare gloriam. Quapropter, *Quod seminat homo, hoc et metet* [62].

5. (1) Censeo autem oportere Deo bona largienti gratias agere, procrastinanti vero non succensere. Et sane si nobis dederit tecum esse, optima hæc simulque jucundissima parabimus; si rem differat, damnum leniter feremus. Nam melius profecto, quam nos ipsi eligere possimus, nostra moderatur. (2) Halcyon avis marina est. Hæc depositis in ipsa arena ovis, secundum ipsa littora fetificare solet; et circa mediam fere hiemem pullos excludit, tum cum mare multis et violentis ventis ad terram
526 alliditur. Attamen consopiuntur venti omnes, quiescunt æquorei fluctus per septem dies, quibus halcyon ovis incubat. Nam totidem diebus solum pullos excludit. Cum autem et victu ipsis opus sit, alios septem dies ad pullorum incrementum Deus munificentissimus minimo huic animali præstitit. Quamobrem et omnes nautæ hoc sciunt, diesque illos appellant halcyoneos. Res illæ per Dei in bruta providentiam sancitæ sunt et ordinatæ, ut tu his incitatus, ea quæ ad tuam salutem pertinent, a Deo exposcas. Quid tua causa, qui factus es ad Dei imaginem, etiam præter exspectationem fieri non possit, cum aviculæ adeo exiguæ gratia vastum et horrendum mare in media hieme quiescere jussum, detineatur ac frenetur? Si enim halcyoni tanta largitur, quanto majora iis qui ipsum toto corde invocant, concessurus est? Quapropter, o fratres, illud statutum habeamus, cum cæteris in precibus nostris, tum etiam tentationis tempore, non ad humanas spes accurrere, neque hinc venari nobis auxilium: sed in lacrymis et suspiriis et laboriosa prece vigiliisque assiduis preces fundere. Sic enim sua levatur anxietate, qui et humanum auxilium ut vanum contemnit, et spes in eum, cui servandi nostri est po-

A δοξολογεῖν τὸν Θεόν. Πάσῃ τῇ στρατιᾷ τῶν ἐπουρανίων ἓν τοῦτο ἔργον, δόξαν ἀναπέμπειν τῷ κτίσαντι. Ἡ κτίσις πᾶσα, ἥ τε σιωπῶσα καὶ φθεγγομένη, ἥ τε ὑπερκόσμιος, ἥ τε περίγειος, δοξάζει τὸν κτίσαντα. Ἄνθρωποι δὲ ἐλεεινοὶ, καταλιπόντες τοὺς οἴκους καὶ ἐπὶ τὸν ναὸν δραμόντες (3), ὡς δή τι ἑαυτοὺς ὠφελήσοντες, οὐχ ὑπέχουσι τὰς ἀκοὰς λόγοις Θεοῦ, οὐ λαμβάνουσιν αἴσθησιν τῆς ἑαυτῶν φύσεως, οὐ λυποῦνται εἰς μνήμην τῶν ἁμαρτιῶν ἀφικνούμενοι, οὐ τρέμουσι τὴν κρίσιν· ἀλλὰ μειδιῶντες καὶ τὰς δεξιὰς ἀλλήλοις ἐμβάλλοντες, τόπον μακρολογίας τὸν οἶκον ποιοῦνται τῆς προσευχῆς, παρακούοντες τοῦ Ψαλμῳδοῦ διαμαρτυρομένου καὶ λέγοντος, ὅτι *Ἐν τῷ ναῷ τοῦ Θεοῦ πᾶς τις λέγει δόξαν*. Σὺ δὲ οὐ μόνον οὐ λέγεις, ἀλλὰ καὶ ἑτέρῳ ἐμπόδιον γίνῃ, ἐπιστρέφων πρὸς
B ἑαυτόν. Μὴ γὰρ δόξης ἐπιδέεται ὁ Θεὸς, ἀλλὰ σὲ βούλεται ἄξιον εἶναι τοῦ δοξασθῆναι. Διότι, *Ὃ σπείρει ἄνθρωπος, τοῦτο καὶ θερίσει.*

5. Χρὴ δὲ διδόντι μὲν τὰ ἀγαθὰ τῷ Θεῷ χάριν εἰδέναι, ταμιευομένῳ δὲ μὴ δυσχεραίνειν. Καὶ εἰ μὲν παράσχοιτο συνεῖναι, ταῦτα ἡμῖν ἄριστά τε ὁμοῦ καὶ ἥδιστα ἡγησόμεθα· εἰ δὲ ἀναβάλοιτο, πράως οἴσομεν τὴν ζημίαν. Ἄμεινον γάρ που πάντως, ἢ ὡς ἂν ἡμεῖς προειλοίμεθα, διοικεῖται τὰ ἡμέτερα. Ἀλκυών ἐστι θαλάττιον ὄρνεον. Αὕτη παρ' αὐτοὺς νοσσεύειν τοὺς αἰγιαλοὺς πέφυκεν, ἐπ' αὐτῆς τὰ ᾠὰ τῆς ψάμμου καταθεμένη· καὶ νοσσεύει κατὰ μέσον που τὸν χειμῶνα, ὅτε πολλοῖς καὶ βιαίοις ἀνέμοις ἡ θάλασσα τῇ γῇ προσαράσσεται. Ἀλλ' ὅμως κοιμίζονται μὲν πάν-
C τες ἄνεμοι, ἡσυχάζει δὲ κῦμα θαλάσσιον, ὅταν ἀλκυὼν ἐπωάζῃ τὰς ἑπτὰ ἡμέρας· ἐν τοσαύταις γὰρ μόναις ἐκλεπίζει τοὺς νεοττούς. Ἐπεὶ δὲ καὶ τροφῆς αὐτοῖς χρεία, ἄλλας ἑπτὰ πρὸς τὴν τῶν νεοττῶν αὔξησιν ὁ μεγαλόδωρος Θεὸς τῷ μικροτάτῳ ζώῳ παρέσχετο. Ὥστε καὶ ναυτικοὶ πάντες ἴσασι τοῦτο, καὶ ἀλκυονίδας τὰς ἡμέρας ἐκείνας προσαγορεύουσι. Ταῦτά σοι εἰς προτροπὴν τοῦ αἰτεῖν παρὰ τοῦ Θεοῦ τὰ πρὸς σωτηρίαν διὰ τῆς περὶ τὰ ἄλογα τοῦ Θεοῦ προνοίας νενομοθέτηται. Τί γὰρ οὐκ ἂν γένοιτο τῶν παραδόξων ἕνεκεν σοῦ, ὃς κατ' εἰκόνα γέγονας Θεοῦ, ὅπουγε ὑπὲρ ὄρνιθος οὕτω μικρᾶς ἡ μεγάλη καὶ φοβερὰ κατέχεται θάλασσα, ἐν μέσῳ χειμῶνι γαλήνην ἄγειν ἐπιταχθεῖσα; Εἰ γὰρ ἀλκυόνι τὰ τηλικαῦτα
D χαρίζεται, πόσῳ μείζονα δώσει τοῖς ἐξ ὅλης καρδίας ἐπιβοωμένοις αὐτόν; Πείσωμεν τοιγαροῦν ἑαυτούς, ἀδελφοὶ, καὶ ἐν ταῖς ἄλλαις ἡμῶν αἰτήσεσι, καὶ ἐν καιρῷ πειρασμοῦ, μὴ πρὸς ἀνθρωπίνας ἐλπίδας ἀποτρέχειν, μηδὲ ἐκεῖθεν ἑαυτοῖς τὰς βοηθείας θηρᾶσθαι· ἀλλ' ἐν δάκρυσι καὶ στεναγμοῖς, καὶ φιλοπόνῳ προσευχῇ, καὶ ἀγρυπνίᾳ εὐτόνῳ, τὰς δεήσεις ποιεῖσθαι. Οὕτω γὰρ λαμβάνει βοήθειαν ἐκ θλίψεως, καὶ τῆς ἀνθρωπίνης βοηθείας ὡς ματαίας καταφρονῶν, καὶ τῇ ἐπὶ τὸν σώζειν δυνάμενον ἡμᾶς ἐλπίδι στηρ-

[61] Psal. xviii, 2. [62] Galat. vi, 8.

(1) Ex epist. i, 70.
(2) Ex hom. viii *in Hexaem.*, 75.
(3) Δραμόντες. Contextus συνδραμόντες. Codex Regius ἐν ναῷ Θεοῦ Contextu ἐπὶ τὸν ναόν. Hæc in editis nostris deerant.

ζόμενος. Ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ ἡ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ.

ΛΟΓΟΣ Ι'.

1. Στρατηγοὶ μὲν εἰς παράταξιν τὸν στρατὸν καθιστῶντες, τοῖς παρακλητικοῖς λόγοις πρὸ τῶν ἀγώνων κέχρηνται, καὶ τοσαύτην ἔχει δύναμιν ἡ παραίνεσις, ὥστε καὶ τοῦ θανάτου πολλάκις καταφρόνησιν ἐμποιεῖν. Γυμνασταὶ δὲ καὶ παιδοτρίβαι, πρὸς τοὺς ἐν τοῖς σταδίοις ἀγῶνας τοὺς ἀθλητὰς προσάγοντες, πολλὰ περὶ τοῦ χρῆναι πονεῖν ὑπὲρ τῶν στεφάνων διακελεύονται· ὥστε καὶ συνεπείσθησαν πολλοὶ τῇ περὶ τὴν νίκην φιλοτιμίᾳ τῶν σωμάτων ὑπεριδεῖν. Τοίνυν καὶ ἐμοὶ τοὺς Χριστοῦ στρατιώτας πρὸς τὸν κατὰ τῶν ἀοράτων ἐχθρῶν πόλεμον διατάσσοντι, καὶ τοὺς ἀθλητὰς τῆς εὐσεβείας ἐπὶ τοὺς τῆς δικαιοσύνης στεφάνους διὰ τῆς ἐγκρατείας παρασκευάζοντι, ἀναγκαῖος ὁ λόγος τῆς παρακλήσεως. Ἄγγελοί εἰσιν οἱ καθ' ἑκάστην ἐκκλησίαν ἀπογραφόμενοι τοὺς νηστεύοντας. Ὅρα, μὴ διὰ μικρὰν ἡδονὴν βρωμάτων ζημιωθῇς μὲν τὴν ἀπογραφὴν τοῦ ἀγγέλου, ὑπόδικον δὲ σεαυτὸν λειποταξίου γραφῆς τῷ στρατολογήσαντι καταστήσῃς. Ἐλάττων ὁ κίνδυνος, ῥίψασπιν ἐπὶ παρατάξεως ἐλεγχθῆναί τινα, ἢ τὸ μέγα ὅπλον τὴν νηστείαν ἀποβαλόντα φανῆναι. Πλούσιος εἶ; Μὴ καθυβρίσῃς τὴν νηστείαν, ἀπαξιώσας λαβεῖν αὐτὴν ὁμοτράπεζον, μηδὲ τῆς οἰκίας αὐτοῦ ἄτιμον ἀποπέμψῃ παρευημερηθεῖσαν ὑπὸ τῆς ἡδονῆς· μή ποτέ σου καταγγείλῃ ἐπὶ τοῦ νομοθέτου τῶν νηστειῶν, καὶ πολλαπλασιονά σοι ἀπὸ καταδίκης ἐπαγάγῃ τὴν ἔνδειαν, ἢ ἐξ ἀῤῥωστίας σώματος, ἢ ἐξ ἄλλης τινὸς σκυθρωπῆς περιστάσεως. Ὁ πένης μὴ εἰρωνευέσθω πρὸς τὴν νηστείαν, πάλαι σύνοικον αὐτὴν καὶ ὁμοδίαιτον ἔχων. Γυναιξὶ δὲ ὥσπερ τὸ ἀναπνεῖν, οὕτως τὸ νηστεύειν οἰκεῖόν ἐστι καὶ κατὰ φύσιν. Οἱ παῖδες, ὥσπερ τῶν φυτῶν τὰ εὐθαλῆ, τῷ τῆς νηστείας ὕδατι καταρδευέσθωσαν. Τοῖς πρεσβύταις κοῦφον ποιεῖ τὸν πόνον ἡ ἐκ παλαιοῦ πρὸς αὐτὴν οἰκείωσις· πόνοι γὰρ ἐκ μακρᾶς συνηθείας μελετηθέντες, ἀλυπότερον προσπίπτουσι τοῖς γεγυμνασμένοις. Τοῖς ὁδοιπόροις εὐσταλής ἐστι συνέμπορος ἡ νηστεία. Ὥσπερ γὰρ ἡ τρυφὴ ἀχθοφορεῖν αὐτοὺς ἀναγκάζει, τὰς ἀπολαύσεις περικομίζοντας· οὕτω κούφους αὐτοὺς καὶ εὐζώνους ἡ νηστεία παρασκευάζει. Καὶ τοῖς μὲν τοῦ κόσμου στρατιώταις, κατὰ τὴν τῶν καμάτων ἀναλογίαν, τὸ σιτηρέσιον αὔξεται· τοῖς δὲ πνευματικοῖς ὁπλίταις, ὁ ἔλαττον ἔχων τῆς τροφῆς, τὸ μεῖζον ἔχει τοῦ ἀξιώματος. Ἄτοπον οὖν ἐστι μὴ χαίρειν ἐπὶ ὑγείᾳ ψυχῆς, ἀλλὰ λυπεῖσθαι ἐπὶ βρωμάτων ἀπαλλαγῇ (1), καὶ πλείονα χάριν φαίνεσθαι διδόντας ἡδονῇ γαστρὸς, ἢ ἐπιμελείᾳ ψυχῆς. Κόρος μὲν γὰρ εἰς γαστέρα τὴν χάριν ἵστησι, νηστεία δὲ πρὸς ψυχὴν ἀναβιβάζει τὸ κέρδος. Μὴ μιμήσῃ τῆς Εὔας τὴν

(1) Ἀπαλλαγῇ. Melius in contextu ὑπαλλαγῇ.
(2) Ex hom. II *De jejunio*, 10.
(3) Ibid., 11.

A testas, nititur. Quoniam ipsi debetur gloria, et adoratio, cum æterno ejus Patre, et vivificante Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

DE JEJUNIO.

SERMO X.

1. (2) Duces cum aciem instruunt, exhortatoriis orationibus ante conflictum uti solent, tantamque vim habet ea exhortatio, ut etiam mortis contemptum frequenter afferat. Similiter palæstræ magistri et pædotribæ, cum ad stadii certamen athletas producunt, multa disserunt de labore pro coronis perferendo, adeo ut multis persuaserint, ut vincendi studio corpora contemnerent. Proinde mihi
B quoque, qui Christi milites ad bellum cum invisibilibus hostibus gerendum instruo, et athletas pietatis per abstinentiam præparo ad justitiæ coronas, opus est oratione exhortatoria. (3) Angeli sunt qui in singulis ecclesiis describunt ac recensent jejunantium capita. Vide ne ob parvam eduliorum voluptatem simul et priveris angeli recensione, et teipsum apud eum qui exercitum collegit obnoxium facias desertoris crimini. Minus periculum, si quis fugiendo scutum in acie abjicere deprehendatur, quam si magnum illud scutum, jejunium, videatur projecisse. Dives es? Ne jejunium affeceris contumelia, excludens illud fastidiose a mensæ tuæ consortio, neve absque ullo honore e domo tua ipsum expuleris, a voluptate
C victum ac superatum; ne quando te reum peragat apud jejuniorum legislatorem, teque longe majori condemnatum inedia mulctet, sive ex adversa valetudine corporis, sive ex alio quopiam tristi casu. Qui pauper **527** est, ne ludum jejunium faciat; quandoquidem illud jam olim habet et domesticum, et mensæ socium. Porro mulieribus quam est naturale respirare, tam est conveniens jejunium. Pueri, velut plantæ virides, jejunii aqua irrigentur. Senibus levem reddit laborem contracta jam olim cum jejunio familiaritas; labores siquidem quorum factum est experimentum longo usu, minore molestia efficiunt exercitatos. Viatoribus expeditus itineris comes est jejunium; quemadmo-
D dum enim luxus cogit illos onus perferre, nimirum ea quæ ad delicias spectant circumferentes: sic jejunium eos et leves reddit et expeditos. Atque hujus mundi militibus pro laborum ratione augetur obsonium: contra, inter spirituales milites qui minus habet alimenti, plus habet honoris. (4) Quapropter valde absurdum est non lætari de sanitate animæ, imo de commutatis cibis dolere, ac videri tales qui plus tribuamus voluptati ventris, quam curæ mentis. Nam in ventre sistitur satietatis delectatio, sed jejunium in animam subvehit lucrum. (5) Noli imitari Evæ inobedientiam, noli rursus

(4) Ex hom. I *De jejunio*, 2.
(5) Ibid., 3.

serpentem in consilium adhibere, edulium ad carnem mollius curandam proponentem. Ne causeris corporis infirmam valetudinem ac debilitatem. Neque enim mihi istas excusationes profers: sed scienti dicis. Age, dic mihi, jejunare non potes, et satiari per totam vitam ac conficere corpus pondere ciborum potes? Atqui infirmis, non ciborum varietatem, sed inediam et abstinentiam a medicis præscribi scio. Qui fit igitur, ut cum ista possis, illa te non posse causeris? Utrum ventri facilius est tenui victu transmittere noctem, an copia ciborum gravatum jacere? nisi forte a naucleris dices onustam sarcinis navem facilius servari quam expeditam et levem. Nam oneris magnitudine gravatam, quamvis exiguus fluctus adoriens demergit: contra, cujus sarcina moderata est ac modica, hæc facile fluctus superat.

A παρακοήν· μὴ πάλιν σύμβουλον παραδέξῃ τὸν ὄφιν, φειδοῖ τῆς σαρκὸς τὴν βρῶσιν ὑποτιθέμενον. Μὴ προφασίζου ἀῤῥωστίαν σώματος καὶ ἀδυναμίαν· οὐ γὰρ ἐμοὶ τὰς προφάσεις, ἀλλὰ τῷ εἰδότι λέγεις. Νηστεύειν οὐ δύνασαι, εἰπέ μοι; κορέννυσθαι δὲ διὰ βίου, καὶ συντρίβειν τὸ σῶμα τῷ βάρει τῶν ἐσθιομένων δύνασαι; Καὶ μὴν τοῖς ἀσθενοῦσιν οὐχὶ βρωμάτων ποικιλίαν, ἀλλ' ἀσιτίαν καὶ ἔνδειαν οἶδα τοὺς ἰατροὺς ἐπιτάσσοντας. Πῶς οὖν ὁ ταῦτα δυνάμενος, ἐκεῖνα προφασίζῃ μὴ δύνασθαι; Τί εὐκολώτερον τῇ γαστρὶ, λιτότητι διαίτης παρενεγκεῖν τὴν νύκτα, ἢ δαψιλείᾳ βρωμάτων βεβαρημένην κεῖσθαι; εἰ μὴ καὶ τοὺς κυβερνήτας φήσεις, βαρυνομένην τοῖς ἀγωγίμοις ὁλκάδα εὐκολώτερον σώζειν τῆς εὐσταλεστέρας καὶ κούφης. Τὴν μὲν γὰρ παραπεπιεσμένην τῷ B πλήθει, βραχεῖα κύματος ἐπανάστασις κατεβάπτισεν· ἡ δὲ συμμέτρως τῶν ἀγωγίμων ἔχουσα, ῥᾳδίως ὑπεραίρει τοῦ κλύδωνος.

2. (1) Quanquam non arbitror tanto mihi labore opus esse, ut vos ad jejunium exhorter, quanto ut dehorter ne quis in vitium ebrietatis incidat. Nam jejunium quidem plerique partim ob consuetudinem, partim ob pudorem inter ipsos mutuum suscipiunt. Verum ab ebrietate metuo, quam vinolenti non aliter quam paternam hæreditatem mordicus tenent. Quemadmodum enim qui longinquam profectionem adornant, ita nonnulli vecordes hodie adversus quinque dierum jejunium vino indulgent. Quid agis, o homo? (2) Nemo pudicam uxorem legitimo conjugio ducturus, prius scorta et concubinas domum inducit. Neque enim conjux legitima patitur convictum contuberniumque corruptarum. Proinde tu quoque cum exspectatur jejunium, cave prius introducas ebrietatem, scortum illud publicum, impudicitiæ matrem, insanientem, ad omnia turpitudinis genera proclivem. Jejunantem intra sacra septa suscipit Dominus: at luxu crapulaque plenum, veluti profanum et a sacris alienum, nequaquam **528** admittit. Etenim si cras venias vinum redolens, idque cruditate corruptum ac putrefactum, quomodo tibi crapulam pro jejunio imputabo? neque enim illud cogita, quod merum tibi recens infusum non est: sed quod a vino purus non es, hoc reputa. In utro te ordine collocabo? inter ebrios, an inter jejunantes? Præterita vinolentia te sibi asserit: præsens inedia jejunium testificatur. Anceps es, et controversum temulentiæ veluti mancipium, nec unquam dimittet te, idque optimo jure: quippe quæ manifesta servitutis argumenta proferat, odorem vini velut in lagena residentem.

2. Πλὴν οὐ τοσούτου μοι δεῖν ἀγῶνος ἡγοῦμαι τὴν περὶ νηστείας παράκλησιν, ὅσον τοῦ μή τινα τοῖς κακοῖς τῆς μέθης περιπεσεῖν. Τὴν μὲν γὰρ νηστείαν, καὶ διὰ τὴν συνήθειαν, καὶ διὰ τὴν πρὸς ἀλλήλους αἰδῶ, οἱ πολλοὶ καταδέχονται. Φοβοῦμαι δὲ τὴν μέθην, ἣν, ὥσπερ τινὰ κλῆρον πατρῷον, οἱ φίλοινοι διασώζουσιν. Ὡς γὰρ οἱ πρὸς τὰς μακρὰς ἀποδημίας ἐπαίροντες, οὕτω τινὲς τῶν ἀνοήτων σήμερον πρὸς τὰς πέντε τῶν νηστειῶν ἡμέρας οἰνίζονται. Τί ποιεῖς, ἄνθρωπε; Οὐδεὶς γυναῖκα σεμνὴν νόμοις γαμικοῖς ἐπάγεσθαι μέλλων, παλλακίδας καὶ ἑταίρας προλαβὼν εἰσοικίζει· οὐ γὰρ ἀνέχεται ἡ νομίμη τὴν μετὰ C τῶν διεφθαρμένων συνοίκησιν. Μὴ τοίνυν καὶ σὺ, προσδοκωμένης νηστείας, προεισαγάγῃς τὴν μέθην, τὴν πάνδημον πόρνην, τὴν τῆς ἀναισχυντίας μητέρα, τὴν μαινάδα, τὴν πρὸς πᾶσαν ἰδέαν ἀσχημοσύνης εὔκολον. Τὸν νηστεύοντα, εἴσω τῶν ἱερῶν περιβόλων παραδέχεται ὁ Κύριος· τὸν κραιπαλῶντα, ὡς βέβηλον καὶ ἀνίερον, οὐ προσίεται. Ἐὰν γὰρ ἔλθῃς αὔριον οἴνου ἀπόζων, καὶ τούτου σεσηπότος, πῶς τὴν κραιπάλην εἰς νηστείαν σοι λογίσομαι; Μὴ γὰρ ὅτι πρόσφατον οὐκ ἐνεχέω τὸν ἄκρατον, ἀλλ' ὅτι οὐ καθαρεύεις οἴνου, τοῦτο λογίζου. Ποῦ σε τάξω; ἐν τοῖς μεθύσοις, ἢ ἐν τοῖς νηστευταῖς; Ἡ παρελθοῦσα οἰνοφλυγία πρὸς ἑαυτὴν ἐπισπᾶται· ἡ παροῦσα ἔνδεια νηστείαν προσμαρτυρεῖ. Ἀμφισβητήσιμος εἶ D τῇ μέθῃ ὥσπερ ἀνδράποδον, καὶ οὐκ ἀφέξεταί σου δικαίως· ἐναργεῖς τὰς ἀποδείξεις τῆς δουλείας παρεχομένη, τὴν ὀσμὴν τοῦ οἴνου ὥσπερ ἀγγείῳ ἐναπομείνασαν.

3. (3) Cujus magistri præsentia puerorum strepitus tam subito compescit, quam jejunium oboriens civitatis tumultus coercet? quis comessator prodiit in jejunio? quis chorus lasciviens a jejunio coactus est? Meretriciæ cantilenæ, insanæ saltationes subito diffugiunt e civitate, a jejunio tanquam

3. Τίνος διδασκάλου παρουσία παίδων θόρυβον οὕτως ἀθρόως καθίστησιν, ὡς ἡ νηστεία παραφανεῖσα ταραχὴν πόλεως καταστέλλει; ποῖος κωμαστὴς ἐν νηστείᾳ προῆλθε; ποῖος χορὸς ἀσελγὴς ἀπὸ νηστείας συνέστη; Ἄσματα πορνικὰ καὶ ὀρχήσεις ἐκμανεῖς ἐξαπίνης τῆς πόλεως ὑπεξέρχονται, ὥσπερ ὑπὸ ἐν-

(1) Ex hom. II *De jejunio*, 15.
(2) Ibid., 12.
(3) Ibid., 13.

κάστου τινος αὐστηροῦ τῆς νηστείας φυγαδευθεῖσαι (1). Εἰ δὲ πάντες αὐτὴν εἰς τὴν ὑπὲρ τῶν πρακτέων σύμβουλον παρελάμβανον, οὐδὲν ἐκώλυε βαθεῖαν εἰρήνην εἶναι κατὰ πᾶσαν τὴν οἰκουμένην· μήτε ἐθνῶν ἐπανισταμένων ἀλλήλοις, μήτε στρατοπέδων συῤῥηγνυμένων. Οὐδ' ἂν ὅλως εἶχον αἱ ἐρημίαι τοὺς κακούργους, ἢ αἱ πόλεις τοὺς συκοφάντας, ἢ τοὺς καταποντιστὰς ἡ θάλασσα. Οὐδ' ἂν οὕτως ἦν ὁ βίος ἡμῶν πολυστένακτος καὶ κατηφείας πλήρης, εἰ νηστεία τὸν βίον ἡμῶν ἐπρυτάνευε. Δηλονότι ἐδίδαξεν ἂν πάντας οὐχὶ βρωμάτων μόνον ἐγκράτειαν, ἀλλὰ καὶ φιλαργυρίας, καὶ πλεονεξίας, καὶ πάσης κακίας παντελῆ φυγήν τε καὶ ἀλλοτρίωσιν. Αὕτη τὸν μέγαν Σαμψὼν ἐτιθηνήσατο, καὶ ἕως ὅτε συμπαρῆν τῷ ἀνδρὶ, κατὰ χιλίους ἔπιπτον οἱ πολέμιοι, καὶ πύλαι πόλεων ἀνεσπῶντο, καὶ λέοντες τὴν ἰσχὺν τῶν χειρῶν οὐχ ὑφίσταντο. Ὅτε δὲ μέθη αὐτὸν καὶ πορνεία παρέλαβον, ἁλώσιμος ἦν τοῖς ἐχθροῖς, καὶ τῶν ὀφθαλμῶν στερηθεὶς, παίγνιον προέκειτο τοῖς παιδαρίοις τῶν ἀλλοφύλων. Νηστεύσας Ἠλίας, ἀπέκλεισε τὸν οὐρανὸν τρία ἔτη καὶ μῆνας ἕξ. Ἐπειδὴ γὰρ εἶδε πολλὴν ἐκ τοῦ κόρου τικτομένην τὴν ὕβριν, ἀναγκαίως αὐτοῖς τὴν ἀκούσιον ἐκ τοῦ λιμοῦ νηστείαν ἐπήγαγε, δι' ἧς πρὸς τὸ ἄμετρον ἤδη χεομένην αὐτῶν τὴν ἁμαρτίαν ἔστησεν, οἷον καυτῆρί τινι ἢ τομῇ τῇ νηστείᾳ τὴν εἰς τὸ πλέον πρόοδον τοῦ κακοῦ διακόψας. Ἵνα γὰρ μαλάξῃ τὴν ἀμάλακτον καρδίαν τῶν σκληροτραχήλων, εἵλετο καὶ ἑαυτὸν τῇ κακοπαθείᾳ συγκαταδικάσαι ὁ δίκαιος. Διὰ τοῦτο, *Ζῇ Κύριος, εἰ ἔσται ὕδωρ ἐπὶ τῆς γῆς, εἰ μὴ διὰ στόματός μου*, φησίν. Οὕτως ἀπέδωκε καὶ τῇ χήρᾳ τὸν παῖδα, ἰσχυρὸς φανεὶς κατὰ θανάτου διὰ νηστείας. Οὔτε δὲ εὐποιίας σαλπιζομένης ὄφελος, καὶ νηστείας δημοσιευομένης κέρδος οὐδέν. Τὰ γὰρ ἐπιδεικτικῶς γενόμενα οὐ πρὸς τὸν αἰῶνα τὸν μέλλοντα τὸν καρπὸν ἐπεκτείνει, ἀλλ' εἰς τὸν τῶν ἀνθρώπων ἔπαινον καταστρέφει. Ἐλισσαίῳ δὲ ποταπὸς ὁ βίος; πῶς μὲν παρὰ τῆς Σουναμίτιδος τῆς ξενίας ἀπέλαυε; πῶς δὲ αὐτὸς τοὺς προφήτας ἐδεξιοῦτο; Οὐχὶ λάχανα ἄγρια καὶ ἄλευρον βραχὺ τὴν φιλοξενίαν ἐπλήρου; ὅτε καὶ τῆς κολύπης παραληφθείσης, κινδυνεύειν ἔμελλον οἱ ἀψάμενοι, εἰ μὴ τῇ εὐχῇ (2) τοῦ νηστευτοῦ ἠμαυρώθη τὸ δηλητήριον. Καὶ ἁπαξαπλῶς, εὕροις ἂν τὴν νηστείαν πάντας τοὺς ἁγίους εἰς τὴν κατὰ Θεὸν πολιτείαν χειραγωγήσασαν.

4. Ἔστι τις φύσις σώματος ἣν καλοῦσιν ἀμίαντον, ἀνάλωτος πυρί· ἥτις ἐν μὲν τῇ φλογὶ κειμένη, ἀπηνθρακῶσθαι δοκεῖ· ἐξαιρεθεῖσα δὲ τοῦ πυρὸς, ὡς ὕδατι λαμπρυνθεῖσα (3), καθαρωτέρα γίνεται. Τοιαῦτα ἦν τὰ τῶν τριῶν παίδων ἐκείνων σώματα, ἐκ τῆς νηστείας ἔχοντα τὸ ἀμίαντον. Ἐν γὰρ τῇ μεγάλῃ

A ab austero quopiam judice in exsilium actæ. Quod si omnes jejunium ad res gerendas in consilium adhiberent, nihil obstaret quominus per universum terrarum orbem alta pax esset, videlicet nec aliis gentibus in alias insurgentibus, nec exercitibus manus inter se conserentibus. In summa, nec deserta haberent maleficos, nec civitates sycophantas, nec mare piratas. Nec vita nostra tot suspiriis, tot mœroribus esset differta, si jejunium vitam nostram gubernaret. Videlicet unumquemque doceret non tantum ab eduliis abstinentiam, verum etiam ab avaritia et rapinis, denique ab omni vitio prorsus abhorrere, et alienum esse. (4) Jejunium magnum illum Sampsonem educavit [13], idque quandiu viro adfuit, cadebant hostes mille, urbium B portæ evellebantur, leones robur manuum illius non sustinebant. At simul atque ebrietas ac scortatio apprehendit hominem, facile in manus hostium incidit, atque exoculatus, pro ludo expositus est pueris alienigenarum. Elias, cum jejunasset, clausit cœlum tres annos, ac menses sex. Etenim cum videret multam nasci e satietate petulantiam, necessario illis involuntarium ex fame jejunium intulit, per quod citra modum jam effusam illorum iniquitatem cohibuit jejunio, velut ustione aut sectione quadam, majorem mali progressum intercidens. (5) Ut enim hominum duram cervicem habentium cor indomitum emolliret, vir justus voluit et seipsum ea calamitate cum cæteris condemnare. Propterea, *Vivit Dominus*, inquit, *si erit* C *aqua super terram, nisi per os meum* [14]: sic et reddidit viduæ filium, fortis factus adversus ipsam mortem per jejunium. Nam nec boni operis tuba nuntiati utilitas ulla; nec fructus ullus jejunii in publicum jactati. (6) Quæ enim ostentationis causa fiunt, ea nequaquam porrigunt fructum in sæculum venturum, verum in hominum laudem commendationemque desinunt. (7) Rursus quinam victus Elisei? quomodo apud Sunamitidem hospitio usus est? quomodo ipse prophetas excepit? Nonne agrestia olera ac farinæ pauxillum hospitalitatis munus explebant? quo tempore etiam colocynthide sumpta, erant periclitaturi qui gustarant, ni fuisset jejunatoris **529** prece dissipatum D venenum. Atque, ut semel omnia dicam, reperies quotquot fuere sancti, omnes per jejunium ad vitam Deo dignam institutos fuisse.

4. Ea est natura corporis cujusdam, quod amianton vocant, ut igni consumi non possit. Id si in flamma ponatur videtur quidem ignescere, et in prunam verti: sed si eximatur igni, perinde quasi fuisset aqua illustratum, evadit purius. Hujusmodi erant trium illorum puerorum corpora,

[13] Judic. XIII, 14 sqq. [14] III Reg. XVII, 1.

(1) *Φυγαδευθεῖσαι.* Codicum alter φυγαδευθέντα.
(2) *Εὐχῇ.* Sic contextus et codicum alter. Editi ψυχῇ.
(3) *Τοῦ πυρὸς ὡς ὕδατι λαμπρυνθεῖσα.* Hæc addita ex eodem codice et ex contextu.

(4) Ex hom. II *De jejunio*, 14.
(5) Ex hom. I *De jejunio*, 5.
(6) Ibid., 2.
(7) Ibid., 5.

naturam amianti per jejunium habentia. Siquidem A in vehementi fornacis flamma quasi natura fuissent aurei, ita apparuerunt noxa ignis ac injuria superiores. Quin et auro ostensi sunt fortiores. Neque enim ipsos conflabat ignis, sed integros illibatosque tuebatur. Atqui nihil est quod illam tum flammam sustinere potuisset, quam naphthe, pix et sarmenta sic alebant, ut ad quadraginta novem cubitos diffusa esset, atque circumjacentia depascens, plurimos Chaldæos absumpserit. Hoc igitur tantum incendium pueri cum jejunio ingressi conculcarunt, liquidum ac roscidum aerem in igne tam vehementi respirantes. Neque enim ignis vel pilos illorum ausus est attingere, eo quod a jejunio essent aliti. Porro Daniel vir desideriorum [65], cum tres hebdomadas panem non edisset, B nec bibisset aquam, demissus in lacum etiam leones jejunare docuit. Neque enim leones dentes in illum impingere valuerunt, perinde quasi e lapide, aut ære, aut alia quapiam rigidiore materia concretus fuisset. Adeo jejunium velut quædam ferri tinctura firmarat viri illius corpus, ac leonibus insuperabile reddiderat. (1) Nequaquam Moses ausus fuisset verticem montis fumantem attingere, neque ingredi in nubem, nisi fuisset jejunio obarmatus. Per jejunium legem accepit digito Dei scriptam in tabulis, atque in montis quidem cacumine jejunium legem impetravit, in radice vero montis ingluvies ad idololatriam dementavit. Quod enim famulus quadraginta dies jejunus assidue versans cum Deo deprecansque confecerat, id C unica temulentia reddidit irritum, infrugiferumque. Nam tabulas quas jejunium impetrarat conscriptas digito Dei, ebrietas comminuit; judicavit quippe propheta ebrium populum dignum non esse, qui legem acciperet a Deo. Ecquid inquinavit Esau, et servum fecit fratris? nonne edulium unum, cujus gratia vendidit jus primogeniti [66]? (2) Cum quadraginta dierum jejunio repurgasset animam Elias; ita demum in spelunca quæ est in Choreb, promeruit videre Dominum, quantum quidem licet homini videre. (3) *Quorum cadavera prostrata sunt in deserto* [67]? nonne eorum, qui esum carnium flagitabant? Illi donec erant contenti manna, et aqua de petra fluente, superabant Ægyptios, per mare faciebant iter, *Non erat infirmus in tribubus eorum* [68]. Posteaquam vero recordati sunt carnium ollas, et desiderio reversi sunt in Ægyptum, non viderunt terram repromissam.

A φλογὶ τῆς καμίνου οἱονεὶ χρυσοῖ τὴν φύσιν ὄντες, οὕτω κρείττους τῆς ἀπὸ τοῦ πυρὸς διεδείκνυντο βλάβης. Ἤπου καὶ χρυσοῦ δυνατώτεροι διεδείκνυντο. Οὐ γὰρ ἐχώνευεν αὐτοὺς τὸ πῦρ, ἀλλ' ἐφύλαττεν αὐτοὺς ἀκεραίους. Καίτοι οὐδὲν ἂν ἐκείνην τότε τὴν φλόγα ὑπέστη, ἣν νάφθα καὶ πίσσα καὶ κληματίδες ἔτρεφον, ὡς ἐπὶ τεσσαράκοντα ἐννέα πήχεις αὐτὴν διαχεῖσθαι, καὶ τὰ κύκλῳ αὐτῆς ἐπινεμομένην, πολλοὺς τῶν Χαλδαίων ἐξαναλῶσαι. Ἐκείνην τοίνυν τὴν πυρκαϊὰν μετὰ νηστείας εἰσελθόντες, κατεπάτουν οἱ παῖδες, λεπτὸν ἀέρα καὶ ἔνδροσον ἐν οὕτω λάβρῳ τῷ πυρὶ ἀναπνέοντες. Οὐδὲ γὰρ τῶν τριχῶν τὸ πῦρ κατετόλμησε, διὰ τὸ ὑπὸ νηστείας αὐτὰς ἐκτραφῆναι. Δανιὴλ δὲ ὁ ἀνὴρ τῶν ἐπιθυμιῶν, ὁ τρεῖς ἑβδομάδας ἄρτον μὴ φαγὼν, καὶ ὕδωρ μὴ πιὼν, καὶ τοὺς λέοντας B νηστεύειν ἐδίδαξεν, εἰσελθὼν εἰς τὸν λάκκον. Ὥσπερ γὰρ ἐκ λίθου, ἢ χαλκοῦ, ἢ ἄλλης τινὸς στεῤῥοτέρας ὕλης ἐμπεπηγότι, ἐμβαλεῖν οὐκ εἶχον τοὺς ὀδόντας οἱ λέοντες. Οὕτως οἱονεὶ βαφὴ σιδήρου τὸ σῶμα τοῦ ἀνδρὸς ἡ νηστεία στομώσασα, ἀδάμαστον ἐποίει τοῖς λέουσιν. Οὐκ ἂν κατετόλμησε Μωϋσῆς καπνιζομένης τῆς κορυφῆς προσβαλεῖν τῷ ὄρει, οὐδ' ἂν ἐθάῤῥησεν εἰσελθεῖν εἰς τὸν γνόφον, εἰ μὴ νηστείᾳ καθώπλιστο. Διὰ τῆς νηστείας τὴν ἐντολὴν ὑπεδέξατο, δακτύλῳ Θεοῦ γραφεῖσαν ἐν ταῖς πλαξί· καὶ ἄνω μὲν ἡ νηστεία νομοθεσίας πρόξενος γίνεται, κάτω δὲ ἡ γαστριμαργία εἰς εἰδωλολατρίαν ἐξέμηνε. Τεσσαράκοντα γὰρ ἡμερῶν προσεδρείαν νηστεύοντος καὶ δεομένου τοῦ θεράποντος ἄχρηστον ἀπέδειξεν οἰνοφλυγία μία. Ἃς γὰρ ἡ νηστεία ἔλαβε πλάκας δακτύλῳ Θεοῦ γραφείσας, C ταύτας ἡ μέθη συνέτριψεν· οὐκ ἄξιον κρίναντος τοῦ προφήτου μεθύοντα λαὸν νομοθετεῖσθαι παρὰ τοῦ Θεοῦ. Τί τὸν Ἡσαῦ ἐβεβήλωσε, καὶ ἐποίησε δοῦλον τοῦ ἀδελφοῦ; οὐ βρῶσις μία, δι' ἣν ἀπέδοτο τὰ πρωτοτόκια; Τεσσαράκοντα Ἠλίας ἡμέραις νηστείᾳ τὴν ψυχὴν ἀποκαθάρας, οὕτως ἐν τῷ σπηλαίῳ τῷ ἐν Χωρὴβ ἰδεῖν κατηξιώθη, ὡς δυνατόν ἐστιν ἰδεῖν ἀνθρώπῳ, τὸν Κύριον. *Τίνων ἔπεσε τὰ κῶλα ἐν τῇ ἐρήμῳ;* οὐ τῶν κρεωφαγίας ἐπιζητούντων; Ἐκεῖνοι ἕως μὲν ἠρκοῦντο τῷ μάννα, καὶ τῷ ἐκ τῆς πέτρας ὕδατι, Αἰγυπτίους ἐνίκων, διὰ θαλάσσης ὥδευον, *Οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν.* Ἐπειδὴ δὲ ἐνεθυμήθησαν τῶν κρεῶν τῶν λεβήτων, καὶ ἐστράφησαν ταῖς ἐπιθυμίαις εἰς Αἴγυπτον, οὐκ εἶδον τὴν γῆν τῆς ἐπαγγελίας.

5. Ac ne Daniel quidem ille sapiens visiones D vidisset, nisi jejunio reddidisset animam limpidiorem. Siquidem pinguiore pastu ceu fumosi quidam vapores exhalantur, qui lucem **530** sancti Spiritus in hominis mentem irradiantem, quasi densa nubes interveniens, intercipiunt. (4) Somni leves, ejusque modi, qui excuti facile possint,

5. Ἀλλ' οὐδ' ἂν ὁ σοφὸς Δανιὴλ τὰς ὀπτασίας εἶδεν, εἰ μὴ νηστείᾳ διαυγεστέραν ἐποίησε τὴν ψυχήν. Ἐκ γὰρ τῆς παχείας τροφῆς οἷον αἰθαλώδεις ἀναθυμιάσεις ἀναπεμπόμεναι, νεφέλης δίκην πυκνῆς, τὰς ἀπὸ τοῦ ἁγίου Πνεύματος ἐπιγινομένας ἐλλάμψεις ἐπὶ τὸν νοῦν διακόπτουσιν. Καὶ ὕπνοι κοῦφοι, καὶ εὐαπάλλακτοι, φυσικῶς ἀκολουθοῦσι τῷ λεπτῷ

[65] Dan. x, 2. [66] Hebr. III, 17. [67] Psal. CIV, 37. [68] Exod. XVI, 3.

(1) Ex hom. I *De jejunio*, 4.
(2) Ibid., 5.
(3) Ibid., 8.
(4) Ex epist. II, 75.

τῆς διαίτης· κατ' ἐπιτήδευσιν δὲ ταῖς περὶ τῶν μεγάλων μερίμναις διακοπτόμενοι. Τὸ γὰρ βαρεῖ κάρῳ κατακρατεῖσθαι, λυομένων αὐτοῦ (1) τῶν μελῶν, ὥστε σχολὴν ἀλόγοις φαντασίαις παρέχειν, ἐν καθημερινῷ θανάτῳ ποιεῖ τοὺς οὕτω καθεύδοντας. Μωϋσῆς, δευτέραν λαμβάνων νομοθεσίαν, δευτέρας νηστείας προσεδεήθη. Καὶ Νινευΐταις εἰ μὴ καὶ τὰ ἄλογα συνενήστευσεν, οὐκ ἂν διέφυγον τὴν ἀπειλὴν τῆς καταστροφῆς. Μέγα ἀγαθὸν ἀνθρώποις ἡ νηστεία, ἥτις ἀπόφασιν Θεοῦ ἀνεκαλέσατο. Ἐκηρύχθη ἐν Νινευῒ τριήμερος καταστροφή· καὶ ἐνίκησεν ἡ πρὸς τὸν Θεὸν ἐπιστροφὴ τὴν καταστροφήν· ἡ γὰρ ἀπειλὴ τῆς καταστροφῆς, διὰ τὴν ἐπιστροφὴν ἀνείθη. Εὐγνώμονες (2) ἁμαρτωλοὶ οἱ Νινευῖται, ἀκούσαντες τοῦ Ἰωνᾶ κηρύσσοντος τὴν καταστροφήν, τῷ τρόπῳ τῆς νηστείας ἔστησαν τὴν ἀπειλήν, καὶ τῷ φαρμάκῳ τῆς ἐξομολογήσεως καὶ προσευχῆς ἐπεσπάσαντο τὴν σωτηρίαν. Τίς τὸν ἑαυτοῦ οἶκον ἠλάττωσεν ἐν νηστείᾳ; Ἀρίθμησον σήμερον τὰ ἔνδον, καὶ ἀρίθμησον τὰ μετὰ ταῦτα, οὐδὲν διὰ τὴν νηστείαν λείψει τῶν ἐν τῷ οἴκῳ. Οὐδὲ ἓν ζῶον ὀδύρεται θάνατον, οὐδαμοῦ αἷμα (3), οὐδαμοῦ ἀπόφασις, παρὰ τῆς ἀπαραιτήτου γαστρὸς ἐκφερομένη κατὰ τῶν ζώων. Πέπαυται μαγείρων μάχαιρα· ἡ τράπεζα ἀρκεῖται τοῖς αὐτομάτοις. Τοῖς δὲ κομψοῖς Ἐγκρατιταῖς πρὸς τὸ σεμνὸν αὐτῶν πρόβλημα· Διὰ τί καὶ ἡμεῖς οὐχὶ πάντες ἐσθίομεν; ἐκεῖνο λεγέσθω, ὅτι καὶ τὰ περιττώματα ἡμῶν βδελυσσόμεθα. Κατὰ μὲν γὰρ τὴν ἀξίαν, λάχανα χόρτου ἡμῖν ἐστι τὰ κρέα· κατὰ δὲ τὴν τῶν συμφερόντων διάκρισιν, ὡς καὶ ἐν λαχάνοις τὸ βλαβερὸν τοῦ καταλλήλου χωρίζομεν, οὕτω καὶ ἐν τοῖς κρέασι τοῦ χρησίμου τὸ βλαβερὸν διακρίνομεν. Ἐπείτοι λάχανόν ἐστι καὶ τὸ κώνειον, ὥσπερ κρέας ἐστὶ καὶ τὸ γύπειον· ἀλλ' ὅμως οὔτε ὑοσκύαμον φάγοι ἄν τις νοῦν ἔχων, οὔτε κυνὸς ἅψαιτο, εἰ μὴ μεγάλης ἀνάγκης κατεπειγούσης· ὡς ὅγε φαγὼν οὐχ ἠνόμησεν. Ἀνάπαυσόν σου τὸν μάγειρον, δὸς ἀργίαν τῷ τραπεζοποιῷ· στῆσον τὴν χεῖρα τῷ οἰνοχόῳ· παυσάσθω ποτὲ καὶ ὁ τὰς ποικιλίας τῶν βρωμάτων ἐπιτηδεύων· ἡσυχασάτω ποτὲ καὶ ὁ οἶκος ἀπὸ τῶν μυρίων θορύβων, καὶ τοῦ καπνοῦ καὶ τῆς κνίσσης, καὶ τῶν ἄνω καὶ κάτω διατρεχόντων, καὶ οἱονεὶ ἀπαραιτήτῳ δεσποίνῃ τῇ γαστρὶ λειτουργούντων. Δότω τινὰ ἐκεχειρίαν καὶ ἡ γαστὴρ τῷ στόματι· σπεισάσθω ἡμῖν πενθημέρους σπονδάς, ἡ ἀεὶ ἀπαιτοῦσα καὶ οὐδέποτε λήγουσα, ἡ λαμβάνουσα σήμερον, καὶ αὔριον ἐπιλανθανομένη. Ὅταν ἐμπλησθῇ, περὶ ἐγκρατείας φιλοσοφεῖ· ὅταν διαπνευσθῇ, ἐπιλανθάνεται τῶν δογμάτων.

6. Ἀλλὰ καιρὸς ἤδη λοιπὸν, καὶ πρὸς τὸν ἐπι-

A naturalem cum tenui victus ratione necessitudinem habent : imo vero de industria magnarum rerum curis interrumpantur. Nam altiore correptum esse sopore, membris solutis, ita ut facilis pateat aditus imaginibus a ratione alienis, id quotidianæ morti addicit ita dormientes. (4) Moses ut alteram acciperet legem, altero jejunio opus habuit. Nisi et una cum Ninivitis jejunassent et ipsa bruta animalia, haudquaquam effugissent subversionis comminationem. (5) Magnum procul dubio mortalibus bonum est jejunium, quod quidem Dei decretum revocavit. Proclamata est Ninivæ post triduum subversio, et conversio ad Deum vicit subversionem. Subversionis siquidem comminatio propter conversionem relaxata est. Candidi et ingenui peccatores Ninivitæ, audito Jona B subversionem prædicante, per jejunii modum comminationem cohibuerunt, et confessionis orationisque remedio attraxerunt salutem. (6) Quis rem familiarem diminuit in jejunio? Recense hodie domus supellectilem, ac postea denuo numera, nihil deerit ob jejunium in rebus domesticis. Nullum animal deplorat mortem, nusquam sanguis, nusquam sententia ab inexorabili ventre adversus animantia prolata. Cessat machæra coquorum, mensa contenta est sponte nascentibus. (7) Lepidis autem Encratitis ad præclaram eorum quæstionem, Cur nos etiam non omnibus vescimur? hoc detur responsi, nos etiam excrementa C nostra aversari. Ac quantum quidem ad dignitatem, olera herbæ nobis sunt carnes : quantum vero ad utilium discretionem, quemadmodum et in oleribus noxium a salubri separamus, ita et in carnibus ab utili noxium secernimus. Nam certe et cicuta olus est, sicut etiam caro est vulturina : sed tamen nec hyoscyamum sanus quisquam comedet, nec cane vescetur, nisi urgente summa necessitate; qui tamen comedit non peccat. (8) Dato respirationem et moram coquo tuo, sine vacare structorem mensarum; siste pocillatoris manum; sit aliquando respiratio variorum bellariorum ac cupediarum architecto; conquiescat tandem ipsa domus ab infinitis tumultibus, a fumo, a nidore, ab his qui sursum deorsum cursitant, D ac ventri velut imperiosæ dominæ ministrant. Det, det, inquam, aliquantum vacationis et venter ori; paciscatur nobiscum quinque dierum inducias, qui semper alioqui flagitat, nec unquam desinit, dum quod accepit hodie, cras obliviscitur. Cum fuerit expletus, tum de abstinentia philosophatur : ubi detumuit, dogmatum illorum obliviscitur.

6. (9) Sed jam tempus est, ut causa apud im-

(1) Αὐτοῦ. Codicum alter αὐτῶν.
(2) *Εὐγνώμονες*, etc. Locum hunc sanavimus et supplevimus quæ deerant ope codicum alterius et ipsius contextus. Editi εὐγνωμόνως τοῦ Ἰωνᾶ.
(3) *Οὐδαμοῦ αἷμα*. Hæc addita ex eodem codice et ex contextu.

(4) Ex hom. I *De jejunio*, 5.
(5) Ex hom. II *De jejunio*, 622.
(6) Ex hom. I *De jejunio*, 6.
(7) Ex epist. CCXXXVI, 363.
(8) Ex hom. I *De jejunio*, 6.
(9) Uterque codex indicat epist.

peratorem insanabilia nobis præcipientem breviter A dicta, desinamus. (1) Velis nobis, serenissime, parcere; qui tantum possidemus, quantum, si hodie comedere voluerimus, nobis non sufficiet. Cessat apud nos, ut par est, coquorum ars; nec eorum culter sanguinem attingit. **531** Ciborum nostrorum optimi, quibus affluimus, herbarum folia sunt cum pane asperrimo, et vino acescente: ne scilicet stupentes sensus nostri ob ventris ingluviem in vesania versentur. (2) Et quemadmodum in vestimento necessarium præcipue sectandum: ita in cibo panis explebit necessitatem; aqua sedabit sitim recte valenti: quibus accedent quæcunque ex leguminibus pulmenta corpori vires ad necessarios usus conservare possunt. Edere autem decet, non belluan- B tium speciem præbentes, sed ubique modestiam et lenitatem atque in voluptatibus continentiam retinentes. (3) Sed quid faciam? Cum eorum quæ dicta sunt copiam considero, ultra modum ferri me video: cum autem iterum ad sapientiæ in opificiis splendescentis varietatem respicio, ne incepisse quidem narrationem mihi videor. Atque etiam diutius detinere vos non fuerit inutile. Quid enim quis ab hoc tempore ad usque vesperam facere possit? Vos non urgent convivatores, non vos compotationes exspectant. Unde, si videtur, corporali jejunio ad exhilarandas animas utemur. Sæpe inservisti carni ad voluptatem capiendam: hodie animæ ser- C vire persevera. *Delectare in Domino, et dabit tibi petitiones cordis tui* [99]. Quid enim prodest, quæso, corpore jejunare, animam vero innumeris malis refertam esse? Qui vero male non agit, alias autem otium agit, quid non loquitur vani? quid absurdi non auscultat? Nam otium Dei timore destitutum, iis qui tempore uti non norunt, magister est pravitatis. Fortassis igitur aliqua etiam utilitas ex iis quæ dicuntur, percipietur a vobis; sin minus, saltem licet vobis per præsentem occupationem non peccare. Quare diutius vos detinere, est diutius vos a delictis amovere, atque ad cœleste illud regnum veluti manu ducere. Quod quidem assequi nos omnes contingat, in Christo Jesu Domino nostro, quia illi D debetur gloria, et honor, atque adoratio, æternoque simul Patri, ac sanctissimo vivificantique Spiritui, nunc et semper, et in sæcula sæculorum. Amen.

DE MORTE.

SERMO XI.

1. (4) O rem mirandam, charissimi! ut unusquisque nostrum ubi e materno sinu exivit, statim

[99] Psal. XXXVI, 4.

(1) Ex epist. XLI, 124

(2) Ex epist. II, 74.

(3) Ex hom. VIII *in Hexaem.*, 79.

A τάττοντα ἡμῖν τὰ ἀνίατα βασιλέα μικρὸν ἀπολογησαμένους, καταλῦσαι τὸν λόγον. Φείσασθαι ἡμῶν θέλησον, γαληνότατε, τοσαῦτα ἡμῶν κεκτημένων, ὅσα ἂν σήμερον θελήσωμεν φαγεῖν, οὐκ ἐξαρκέσει ἡμῖν. Ἀργεῖ γὰρ, ὡς εἰκὸς, παρ' ἡμῖν μαγείρων τέχνη, μάχαιρα δὲ αὐτῶν αἵμασιν οὐ προσομιλεῖ. Τὰ βέλτιστα τῶν παρ' ἡμῖν βρωμάτων, ἐν οἷς ἡ δαψίλεια, χόρτων φύλλα σὺν ἄρτῳ τραχυτάτῳ καὶ τῷ ἐξεστηκότι οἴνῳ, ὥστε μὴ ἐκθαμβεῖσθαι ἡμῶν τὰ αἰσθητήρια ὑπὸ τῆς γαστριμαργίας, καὶ ἐπ' ἀφροσύνῃ μὴ πολιτεύεσθαι. Ὡς γὰρ ἐν τῷ ἐνδύματι ἡγεῖσθαι προσήκει τὸ χρειῶδες, οὕτω καὶ ἐν τῇ τροφῇ ἄρτος ἐκπληρώσει τὴν χρείαν, καὶ ὕδωρ θεραπεύσει τὴν δίψαν τῷ ὑγιαίνοντι, καὶ ὅσα ἐκ σπερμάτων προσοψήματα πρὸς τὰς ἀναγκαίας χρείας τὴν ἰσχὺν τῷ B σώματι δύναται διασώσασθαι. Ἐσθίειν δὲ, μὴ λυσσώδη γαστριμαργίαν ἐπιφαίνοντα, ἀλλὰ πανταχοῦ τὸ εὐσταθὲς καὶ πρᾶον καὶ περὶ τὰς ἡδονὰς ἐγκρατὲς διασώζοντα. Ἀλλὰ τί πάθω; Ὅταν μὲν ἀπίδω πρὸς τὸ πλῆθος τῶν εἰρημένων, ἔξω ἐμαυτὸν ὁρῶ τοῦ μέτρου φερόμενον· ὅταν δὲ πάλιν πρὸς τὸ ποικίλον τῆς ἐν πᾶσι τοῦ Θεοῦ σοφίας ἀποβλέψω, οὐδ' ἦρχθαι νομίζω τῆς διηγήσεως· ἅμα δὲ καὶ τὸ παρακατέχειν ὑμᾶς ἐπὶ πλεῖον, οὐκ ἄχρηστον. Τί γὰρ ἄν τις ποιοῖ τὸν μέχρι τῆς ἑσπέρας χρόνον; οὐκ ἐπείγουσιν ὑμᾶς οἱ ἑστιάτορες, οὐκ ἀναμένει ὑμᾶς τὰ συμπόσια. Ὅθεν, εἰ δοκεῖ, τῇ σωματικῇ νηστείᾳ εἰς τὴν τῶν ψυχῶν εὐφροσύνην ἀποχρησόμεθα (5). Πολλάκις ὑπηρέτησας τῇ σαρκὶ πρὸς ἀπόλαυσιν, C σήμερον τῇ διακονίᾳ παράμεινον τῆς ψυχῆς. *Κατατρύφησον τοῦ Κυρίου, καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου.* Τί γὰρ ὄφελος νηστεύειν τῷ σώματι, τὴν δὲ ψυχὴν μυρίων κακῶν ἐμπεπλῆσθαι; Ὁ μὴ κακὸν μὲν ἐργαζόμενος, σχολὴν δὲ ἄγων, τί οὐ φθέγγεται τῶν ματαίων; τί οὐκ ἀκούει τῶν ἀτόπων; Σχολὴ γὰρ ἄνευ φόβου Θεοῦ, πονηρίας διδάσκαλος τοῖς ἀκαιρουμένοις ἐστί. Τάχα μὲν οὖν τι καὶ ὄφελος ἐν τοῖς λεγομένοις εὑρήσετε· εἰ δὲ μὴ ἀλλὰ τό γε μὴ ἁμαρτάνειν ἐκ τῆς ἐνταῦθα ὑμῖν ἀσχολίας περίεστιν. Ὥστε τὸ ἐπὶ πλέον κατέχειν, ἐπὶ πλέον ἐστὶν ὑμᾶς τῶν κακῶν ὑπεξάγειν, καὶ πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν χειραγωγεῖν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι αὐτῷ πρέπει ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις, D σὺν τῷ ἀνάρχῳ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΘΑΝΑΤΟΥ.

ΛΟΓΟΣ ΙΑ'.

1. Ὢ τοῦ θαύματος, ἀγαπητοί! πῶς ἕκαστος ἡμῶν μετὰ τὸ τοὺς μητρῴους κόλπους ἀποφυγεῖν, εὐθὺς

(4) Ex h. *Quod mundanis adhærendum non sit*, 16.

(5) *Ἀποχρησόμεθα*. Sic contextus et codicum alter. Editi ἀποχρησώμεθα.

τοῖς τοῦ χρόνου ῥεύμασιν ἐνδεθεὶς ὑποσύρεται· κατόπιν ἀεὶ τὴν βεβιωμένην ἡμέραν ἐῶν, καὶ πρὸς τὴν χθὲς ἐπανελθεῖν οὐδέποτε, κἂν θελήσοι, δυνάμενος. Ἡμεῖς δὲ ἡδόμεθα ἐπὶ τὰ πρόσω φερόμενοι, καὶ τὰς ἡλικίας ἀμείβοντες, ὥς τι προσλαμβάνοντες, χαίρομεν, καὶ μακάριον κρίνομεν, ὅταν ἐκ παιδὸς μὲν ἀνὴρ, ἐκ δὲ ἀνδρὸς γένηταί τις πρεσβύτης. Ἀγνοοῦμεν δὲ ἄρα τοσοῦτον ἀπολλύντες ἑκάστοτε τῆς ζωῆς, ὅσον ἐζήσαμεν· καὶ οὐκ αἰσθανόμεθα δαπανωμένου τοῦ βίου, καίτοιγε ἀεὶ μετροῦντες αὐτὸν ἀπὸ τοῦ παραδραμόντος καὶ παραῤῥεύσαντος· οὐδὲ ἐννοοῦμεν, ὡς ἄρα ἄδηλον, ὁπόσον ὁ πρὸς τὴν ὁδοιπορίαν ταύτην ἐκπέμψας ἡμᾶς ἐνδοῦναι τῷ χρόνῳ βουλήσεται. Οὐδὲ ἐθέλομεν σκοπεῖν ἀκριβῶς, ποῖα μὲν κοῦφα φορτία πρὸς τὸν τοιοῦτον δρόμον ἡμῖν, καὶ συμμεθίστασθαι δύναται τοῖς συλλέξασι· ποῖα δὲ βαρέα καὶ δυσχερῆ καὶ προσηλωμένα τῇ γῇ, καὶ οὐ πεφυκότα τοῖς ἀνθρώποις οἰκειοῦσθαι καθάπαξ, οὐδὲ συγχωρούμενα διὰ τῆς στενῆς ἐκείνης πύλης ἀκολουθῆσαι τοῖς ἔχουσιν. Ἀλλ' ὅσα μὲν χρὴ συλλέγειν, καταλιμπάνομεν· ὧν δὲ ὑπερορᾷν προσήκει, ταῦτα συλλέγομεν. Καὶ ἃ μὲν ἡμῖν ἑνωθῆναι, καὶ κόσμος ὄντως γενέσθαι δύναται συμφυὴς ψυχῇ τε καὶ σώματι, τούτοις οὐδὲ προσέχομεν· ἃ δὲ ἀλλότρια μένει διηνεκῶς, μόνην ἡμῖν ἐναποματτόμενα (1) τὴν αἰσχύνην, ταῦτα ἀθροίζειν ἐπιχειροῦμεν, μοχθοῦντες διακενῆς, καὶ πονοῦντες πόνον, οἷόν τις ἑαυτὸν ἀπατῶν, εἰς τετρημένον πίθον ἀντλεῖν ἐθελήσειεν. Ὥσπερ γὰρ οἵ τινα συντεταμένην πορείαν ἀνύοντες, ἐπὶ τὰ πρόσω τὰς τῶν ποδῶν βάσεις ἁμιλλωμένας ἀλλήλαις εἰς δρόμον ἀμείβοντες, καὶ τὴν ἀεὶ προτέραν ἐπὶ τῆς γῆς ἐρεισθεῖσαν δευτέραν ἀποδεικνύντες τῇ ταχείᾳ μεταθέσει τῆς ἄλλης, ῥᾳδίως ἐπὶ τὸ τῆς ὁδοῦ τέρμα χωροῦσιν· οὕτως οἱ πρὸς τὸ ζῆν παραχθέντες ὑπὸ τοῦ κτίσαντος, εὐθὺς ἐν ἀρχῇ τοῖς τοῦ χρόνου τμήμασιν ἐπεμβαίνοντες, καὶ τὸ πρότερον ἀεὶ καταλιμπάνοντες ὕστερον, ἐπὶ τὸ πέρας φθάνουσι τῆς ζωῆς. Καὶ γὰρ συνεχής τις ὁδὸς ὑφηπλῶσθαί μοι δοκεῖ ἡ παροῦσα ζωὴ, καὶ πορεία διειλημμένη ταῖς ἡλικίαις καθάπερ σταθμοῖς· ἀρχὴν μὲν ἑκάστῳ τῆς ὁδοιπορίας παρέχουσα τὰς τῶν μητέρων ὠδῖνας, τέρμα δὲ ὑποδεικνῦσα τοῦ δρόμου τὰς τῶν τάφων σκηνάς· καὶ πρὸς ἐκείνας ἅπαντας ἄγουσα, τοὺς μὲν θᾶττον, τοὺς δὲ βραδύτερον, καὶ τοὺς μὲν διὰ πάντων τῶν τοῦ χρόνου διαστημάτων ὁδεύσαντας, τοὺς δὲ οὐδὲ τοῖς πρώτοις ἐπαυλισθέντας τοῦ βίου σταθμοῖς.

A temporis fluento illigatus rapitur, semper a tergo diem quam vixit relinquens, nec unquam ad hesternam, etiamsi velit, reverti valens. Nos autem lætamur cum progredimur ulterius, et permutata ætate quasi nonnihil acquirentes, gaudemus, ac beatum quiddam ducimus, cum quis ex puero vir, et ex viro senex factus est. Sed fugit nos, tantum vitæ spatium a nobis amitti, quantum viximus; sicque inscientibus nobis vita absumitur, quanquam semper ipsam ex eo quod ante actum est, quodque jam præterfluxit, metiamur: neque cogitamus quam incertum sit, **532** quantum nobis temporis ad hunc cursum impertire velit qui nos ad hoc iter perficiendum misit. Neque diligenter considerare volumus, quæ B sarcinæ leves sint nobis ad hunc cursum, et tales, ut cum colligentibus transferri possint: quæ vero graves sint et molestæ, atque humi defixæ, et ejusmodi, ut suapte natura hominum propriæ nunquam esse possint, nec possessores suos per angustam illam portam subsequi permittantur. Sed tamen relinquimus quæ colligenda erant: quæ vero contemnere par fuerat, colligimus. Et quæ nobiscum copulari, vereque esse possunt ornamentum animæ simul et corpori conveniens, his ne attendimus quidem: quæ vero perpetuo aliena manent, solam nobis infamiam inurentia, ea coacervare nitimur; inanem operam sumentes, atque ejusmodi suscipientes laborem, perinde C ut si quispiam, seipsum seducens, in pertusum dolium infundere voluerit. (2) Quemadmodum enim qui aliquod iter haud remisse susceptum conficiunt, gressus pedum ad cursum peragendum certatim ulterius promoventes, jugiterque gressum humi prius fixum veloci alterius translatione posteriorem reddentes, pertingunt facile ad viæ finem: ita qui in vitam a Conditore introducti sunt, statim in ipso initio particulas temporis ingredientes, ac priorem semper posteriorem relinquentes, ad vitæ terminum perveniunt. Nam hæc vita præsens mihi videtur continua quædam et porrecta via esse, et iter ætatibus quasi quibusdam mansionibus interstinctum: quod ut profectionis initium partum maternum D unicuique exhibet, ita cursus finem tentoria sepulcrorum ostendit. Atque huc omnes conducit, alios citius, serius alios, et hos quidem per omnia temporis intervalla profectos, alios vero ne in primis quidem vitæ stationibus commoratos.

2. Ὁ γὰρ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς, ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν, καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου. Τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε· τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος ἐτάξατο, κατὰ τοὺς ἀῤῥήτους αὐτοῦ τῆς σοφίας καὶ τῆς δικαιοσύνης λόγους. Ὥσπερ γὰρ οἱ

2. (3) Deus enim qui formavit nos et animavit, animæ cuilibet tribuit propriam quamdam vitæ moram, et aliis alios exitus terminos præfixit. Etenim certo quodam consilio voluit alium diutius in carne permanere: statuit vero alium ocius vinculis corporis exsolvi, juxta ineffabiles sapientiæ atque justitiæ suæ rationes. Quemadmodum

(1) Ἐναποματτόμενα. Sic Regius codex toties citatus, ac ipse etiam contextus. Editi ἐναποτιθέμενα.

(2) Ex hom. *Quod mundanis adhærendum non sit*, 164.

(3) Ex hom. *in mart. Julittam*, 33.

igitur ex iis qui in carcerem conjiciuntur, alii diutius detinentur in carcerum cruciatibus, alii ab ea calamitate liberantur citius: sic et animæ, aliæ quidem diutius, aliæ vero minus in hac vita detinentur, pro cujusque merito ac dignitate, Deo, qui nos condidit, rebus cujusque nostrum prospiciente sapienter, et alte, sicque, ut mens hominum attingere non possit. (1) Quemadmodum enim qui in navigiis dormiunt, sponte a vento in portus deducuntur, et quamvis ipsi nequaquam sentiant, cursus tamen eos ad terminum ducit: sic et nos, diffluente vitæ nostræ tempore, insensibili vitæ nostræ cursu velut continuo quodam et irrequieto motu unusquisque ad proprium finem festinamus. In hac vita viator es: omnia transeunt, post tergum tuum relinquuntur omnia. Plantam, **533** herbam, aquam, aut quidvis aliud aspectu dignum in via vidisti: paulum oblectatus, mox præteris. Rursus in lapides, convalles, præcipitia, scopulos et palos, aut etiam in feras, in animalia repentia, in spinas, et in aliud quodvis infortunium incidisti: postquam es paululum afflictus, mox ista reliquisti. Vita est ejusmodi: neque ejus deliciæ, neque molestiæ constanter perseverant. Hodie tu coluisti terram, cras alter, post hunc colet et alius. Vides agros hos et domos sumptuosas? quoties singula, ex quo exsistunt, nomen jam mutavere? Dicebantur hujus esse, postea ipsis impositum est nomen alterius, ad alium transierunt, tum demum alterius esse dicuntur. Nonne ergo vita nostra via est, alio tempore alium excipiens, et in qua sibi invicem succedunt omnes? (2) Alias quidem vias quæ ex urbe ad urbem ducunt, licet declinare, et per eas non proficisci, si quis ita volet: hæc vero vitæ istius via, etiamsi nos differre cursum voluerimus, eos qui in se incedunt viatores violenter apprehensos ad destinatam a Domino metam trahit. Nec fieri potest, ut is qui semel extra portam ad hanc vitam deducentem egressus est, idque iter inivit, non etiam ad illius terminum perveniat.

3. (3) Ne igitur pretiosissimis vilissima præferte, neque male commutetis, dum mortalem hanc vitam immortali beatæque illi quieti anteponitis. Siquidem præter ignominiæ affectiones, quibus voluptarii plerique subjecti sunt, adhuc etiam vitæ necessitates, magnanimitatem animæ frangentes, ipsam veluti redigunt in servitutem, dum ad carnis famulatum illam detrahunt. Ubi autem servitus, illic esse et ignominiam liquet. Fugienda igitur est vita, cui ignominia conjuncta est.

Non magna facio, inquit, *si me hero tradam tibi;*

(1) Ex hom. *in psal.* I, 94.
(2) Ex hom. *Quod mundanis adhærendum non sit*, 464.
(3) Ex hom. *in psal* CXV, 375.

A ἐν ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων (4) ἐναποκλείονται. οἱ δὲ ταχυτέραν εὑρίσκουσι τὴν τῆς κακοπαθείας ἀπαλλαγήν· οὕτω καὶ αἱ ψυχαὶ, αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ' ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου· σοφῶς καὶ βαθέως, καὶ ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων, τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπομένου Θεοῦ. Ὥσπερ γὰρ οἱ ἐν τοῖς πλοίοις καθεύδοντες αὐτομάτως ὑπὸ τοῦ πνεύματος ἐπὶ λιμένας ἄγονται, κἂν αὐτοὶ μὴ αἰσθάνωνται, ἀλλ' ὁ δρόμος αὐτοὺς πρὸς τὸ τέλος ἐπάγει· οὕτω καὶ ἡμεῖς, τοῦ χρόνου τῆς ζωῆς ἡμῶν παραῤῥέοντος, οἷόν τινι κινήσει συνεχεῖ καὶ ἀπαύστῳ πρὸς τὸ οἰκεῖον ἕκαστος πέρας τῷ λανθάνοντι δρόμῳ τῆς
B ζωῆς ἡμῶν κατεπειγόμεθα. Ὁδοιπόρος ἐφέστηκας τῷ βίῳ τούτῳ· πάντα παρέρχῃ, πάντα κατόπιν σου γίνεται. Εἶδες ἐπὶ τῆς ὁδοῦ φυτὸν ἢ πόαν ἢ ὕδωρ, ἢ ὅ τι ἂν τύχοι τῶν ἀξίων θεάματος· μικρὸν ἐτέρφθης, εἶτα παρέδραμες. Πάλιν ἐνέτυχες λίθοις καὶ φάραγξι, καὶ κρημνοῖς καὶ σκοπέλοις καὶ σκόλοψιν, ἤ που καὶ θηρίοις, καὶ ἑρπετοῖς, καὶ ἀκάνθαις, καί τισιν ἄλλοις τῶν ὀχληρῶν· μικρὸν ἠνιάθης, εἶτα κατέλιπες. Τοιοῦτος ὁ βίος· οὔτε τὰ τερπνὰ μόνιμα, οὔτε τὰ λυπηρὰ διαρκῆ κεκτημένος. Σήμερον τὴν γῆν σὺ ἐγεώργησας, καὶ αὔριον ἄλλος, καὶ μετ' ἐκεῖνον ἕτερος. Ὁρᾷς τοὺς ἀγροὺς τούτους καὶ τὰς πολυτελεῖς οἰκίας; πόσα ἤδη ὀνόματα ἀφ' οὗ γέγονε τούτων ἕκαστον ἤμειψε; Τοῦ δεῖνος ἐλέγετο, εἶτα μετωνομάσθη πρὸς ἕτερον, πρὸς τὸν δεῖνα μετῆλθεν, εἶτα νῦν ἄλλου λέγεται.
C Ἆρ' οὖν οὐχ ὁδὸς ἡμῶν ὁ βίος, ἄλλοτε ἄλλον μεταλαμβάνων, καὶ πάντας ἔχων ἀλλήλοις ἐφεπομένους; Τὰς μὲν οὖν ἄλλας ὁδοὺς, ὅσαι πρὸς πόλιν ἐκ πόλεως ἄγουσιν, ἔστιν ἐκκλῖναι, καὶ μὴ ὁδεῦσαι τὸν μὴ βουλόμενον· ἡ δὲ τῆς ζωῆς ταύτης ὁδὸς, κἂν ἡμεῖς ἀναβάλλεσθαι βουληθῶμεν τὸν δρόμον, περιλαβοῦσα πρὸς βίαν, ἐπὶ τὸ τεταγμένον ὑπὸ τοῦ δεσπότου πέρας ἕλκει τοὺς ἐπ' αὐτῆς. Καὶ οὐκ ἔστι τὸν ἅπαξ ὑπεκδραμόντα τὴν ἐπὶ τόνδε τὸν βίον φέρουσαν πύλην, καὶ τῆς ὁδοῦ ταύτης ἐπιβάντα, μὴ καὶ πρὸς τὸ τέλος ταύτης ἐλθεῖν.

3. Μὴ τοίνυν προτιμᾶτε τῶν πολυτιμήτων τὰ ἀτιμότατα, μηδὲ κακοὶ συναλλάκται γίνεσθε, τὴν φθειρομένην ζωὴν τῆς ἀφθάρτου καὶ μακαρίας
D καταστάσεως (5) προτιμῶντες. Ἄνευ γὰρ τῶν παθημάτων τῆς ἀτιμίας, οἷς οἱ πλεῖστοι τῶν φιληδόνων ὑπόκεινται, ἔτι καὶ αἱ κατὰ τὸν βίον χρεῖαι, τῆς ψυχῆς τὸ μεγαλοφυὲς κατακάμπτουσαι, οἱονεὶ δουλοῦνται αὐτὴν, πρὸς τὴν ὑπηρεσίαν τῆς σαρκὸς κατασύρουσαι. Ὅπου δὲ δουλεία, ἐκεῖ δηλονότι καὶ ἀτιμία. Φευκτέον οὖν τὴν ζωὴν, ᾗ τὸ ἄτιμον παραπέφυκεν.

Οὐδὲν γάρ, φησὶ, μέγα ποιῶ, ἐμαυτόν σοι ἀποδιδοὺς τῷ δεσπότῃ

(4) *Τῶν δεσμωτηρίων.* Idem codex τῶν δεσμῶν, *in vinculorum cruciatibus.*
(5) *Καταστάσεως.* Sic Regius codex et Colbertinus. Editi καταπαύσεως.

Δοῦλος γὰρ ὢν σὸς, σοὶ προσάγω (1) *τὸ σὸν [κτῆμα.* A *Tibi namque servus, quod tuum est tibi offero.*

ἄντως γὰρ τοῦ κτίσαντος δοῦλον ὑπάρχει τὸ ἐκτισμένον. Τοιγαροῦν ζῶντα μὲν ἐν τῇ σαρκὶ πάροικον ναι προσήκει τὸν ἄνθρωπον· μεταβαίνοντα δὲ ἀπὸ ῆς ζωῆς ταύτης, τοῖς οἰκείοις τόποις ἐναναπαύεσθαι. Διὰ τοῦτο καὶ Ἀβραὰμ ἐν μὲν τῇ ζωῇ παροιεῖ τοῖς ἀλλοφύλοις, οὐδὲ βῆμα ποδὸς ἰδίας γῆς κεκτημένος· ἐν δὲ τῇ ταφῇ οἰκείαν ἑαυτῷ τὴν δεξαμένην αὐτοῦ τὸ σῶμα γῆν ἀργυρίου ἐπραγματεύσατο. Μακάριον οὖν τῷ ὄντι, μὴ ὡς οἰκείοις προστετηκέναι οῖς ἐν τῇ γῇ, μηδὲ ὥσπερ πατρίδος τινὸς φυσικῆς ντέχεσθαι τῶν ἐνταῦθα (2)· ἀλλὰ τὴν ἐκ καταδίκης νθάδε διαγωγὴν βαρυνομένους, οὕτω παροικεῖν, ὡς πὸ δικαστῶν τινων ἐπί τισι πλημμελήμασιν εἰς ὴν ὑπερορίαν ἐκ τῆς ἐνεγκούσης ἀπελαθέντας. B Ἀλλὰ λούτῳ κομᾷς; καὶ ἐπὶ προγόνοις μέγα φρονεῖς (3); αὶ ἐπαγάλλῃ πατρίδι καὶ κάλλει σώματος, καὶ ταῖς αρὰ πάντων τιμαῖς; Εἶτα οὐκ οἶδας, ὅτι θνητὸς εἶ, τι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ; Περίβλεψαι τοὺς ρὸ σοῦ ἐν ταῖς ὁμοίαις περιφανείαις ἐξετασθέντας. Ποῦ οἱ τὰς πολιτικὰς δυναστείας περιβεβλημένοι; ποῦ ἱ δυσμαχώτατοι ῥήτορες; ποῦ οἱ στρατηγοὶ, οἱ σατράπαι, οἱ τύραννοι; Οὐ πάντα χόνις; οὐ πάντα μῦθος; ὐκ ἐν ὀλίγοις ὀστέοις τὰ μνημόσυνα αὐτῶν; Ἔγκυψον τοῖς τάφοις, εἰ δυνήσῃ διακρῖναι, τίς ὁ οἰκέτης καὶ τίς ὁ δεσπότης, τίς ὁ πτωχὸς καὶ τίς ὁ πλούσιος. Διάκρινον, εἴ τίς σοι δύναμις, τὸν δέσμιον ἀπὸ τοῦ βασιλέως, τὸν ἰσχυρὸν ἀπὸ τοῦ ἀσθενοῦς, τὸν εὐπρεπῆ ἀπὸ τοῦ δυσειδοῦς. C Καὶ μεμνημένος τῆς φύσεως, οὐκ ἐπαρθήσῃ ποτέ.

Omnino enim res creatæ Creatoris servæ sunt. (4) Oportet igitur viventem in carne incolam esse hominem; migrantem autem ex hac vita, in propriis locis requiescere. Propterea etiam Abraham in hac vita incola erat cum alienigenis, ac ne passum quidem pedis terræ propriæ possedit: in sepultura autem propriam sibimetipsi terram, quæ corpus ipsius exciperet, argento mercatus est. Porro beatum plane fuerit, rebus terrenis non ut propriis nos addictos esse, neque rebus præsentibus tanquam naturali cuidam patriæ adhærere: sed nostram hic commorationem, quæ ex condemnatione nobis imposita est, moleste ferentes, ita peregrinari, quasi ob aliqua delicta a judicibus in exteram regionem ex patria pulsi essemus. (5) Efferris vero ob divitias? jactas te ob majorum nobilitatem? de patria ac pulchritudine corporis, deque delatis ab omnibus honoribus gloriaris? Itane ignoras, mortalem te esse, terram esse et in terram reversurum? Circumspice eos, qui ante te degerunt in similibus splendoribus. Ubi sunt qui magistratus civiles gessere? ubi **534** rhetores illi inexpugnabiles? exercituum duces, satrapæ, tyranni? Annon omnia pulvis? annon omnia fabula? annon ipsorum memoria conservatur in paucis ossibus? Conspicito sepulcra, num possis servum ab hero, et pauperem a divite discernere. Discerne, si quo modo potes, vinctum a rege, fortem a debili, formosum a deformi. Itaque naturæ si memineris, nunquam te extolles.

4. Τί γὰρ ὄφελος πλουσίῳ ἀποθνήσκοντι, μὴ δυναμένῳ λαβεῖν τὸν πλοῦτον σὺν ἑαυτῷ; ὅσγε τοσοῦτον ἀπὸ τῆς ἀπολαύσεως ἐκέρδανε μόνον, ὅσον τὴν ψυχὴν αὐτοῦ ἐν τῇ ζωῇ ταύτῃ παρὰ τῶν κολάκων μακαρισθῆναι. Ἐν δὲ τῷ ἀποθνήσκειν οὐ λήψεται πᾶσαν ταύτην τὴν περιβολήν· μόλις ἔνδυμα λήψεται καλύπτον αὐτοῦ τὰ ἀσχήμονα, καὶ τοῦτο, ἐὰν δόξῃ τῶν οἰκετῶν τοῖς περιστέλλουσιν. Ἀγαπητὸν αὐτῷ, γῆς ὀλίγης λαχεῖν· καὶ ταύτης δι' οἶκτον διδομένης αὐτῷ παρὰ τῶν κηδευόντων, οἵτινες αὐτῷ παρέχονται ταῦτα, αἰδοῖ τῆς κοινῆς καὶ ἀνθρωπίνης φύσεως, οὐκ αὐτῷ χαριζόμενοι, ἀλλὰ τιμῶντες τὴν ἀνθρωπότητα. D Ὥστε οὐδὲν τῶν ἐν τῷ βίῳ τερπνῶν, ἐφ' ὧν οἱ πλείους μεμήνασιν, ἡμέτερον ὄντως ἐστὶν, ἢ γενέσθαι πέφυκεν· ἀλλ' ὁμοίως ἁπάντων ἀλλότρια φαίνεται, τῶν τε ἀπολαύειν δοκούντων, τῶν τε οὐ προσπελαζόντων αὐτοῖς. Οὐ γὰρ εἰ χρυσόν τινες ἐν τῷ βίῳ συναγάγοιεν ἄπλετον, ἴδιος αὐτῶν μένει διηνεκῶς· ἀλλ' ἢ ζῶντας ἔτι πανταχόθεν αὐτὸν περισφίγγοντας ἀποδιδράσκει, πρὸς τοὺς δυνατωτέρους

4. (6) Quæ enim utilitas est diviti morienti, cum non queat secum auferre divitias? qui scilicet id ex earum possessione lucratus sit solum, quod ipsius anima in hac vita ab adulatoribus beata prædicata sit. Verum cum moritur, non assumet omnem hanc opulentiam: vix indumentum accipiet, quo pudenda ejus tegantur, idque, si visum fuerit famulis ipsum amicientibus. Bene cum eo actum fuerit, si exiguam terram sortiatur; eamque ipsi a funeris curatoribus datam ob commiserationem, qui ei isthæc præstant, ob communis humanæ naturæ reverentiam, non ei hæc largientes, sed humanam naturam honore afficientes. (7) Itaque nihil eorum quæ in vita jucunda sunt, et quorum gratia plerique insaniunt, vere nostrum est, aut ex se esse posset: sed ipsa omnibus pariter extranea, tum iis qui eis frui videntur, tum iis qui ne illa quidem attingunt. Nec enim si qui in vita plurimum auri congesserint, id ipsorum proprium perpetuo manet; sed aut adhuc viventibus

(1) *Προσάγω.* Sic etiam idem codex cum contextu. Editi προάγω.
(2) *Τῶν ἐνταῦθα.* Hic quoque Regius codex consentit cum contextu. Editi habebant τῆς ἐνταῦθα.
(3) *Μέγα φρονεῖς.* Sic Basilii contextus. Codex Regius μεγαφρονεῖς. Editi μεγαλοφρονεῖς.

(4) Ex hom. *in psal.* XIV, 352.
(5) Ex hom. in illud, *Attende tibi ipsi*, 21.
(6) Ex hom. *in psal.* XLVIII, 187.
(7) Ex hom. *Quod mundanis adhærendum non sit*, 165.

ac illud undique constringentibus elabitur ad potentiores affluens, aut jam mortem oppetentes deserit, nec vult una cum iis qui ipsum compararunt, peregre proficisci. Sed hi quidem ab eo, qui vi animas a misera hac carne separat, ad ineluctabilem migrationem tracti, frequenter convertentes se ad pecunias, sudores quos a juventute ob eas emisere, deplorant; divitiæ vero in alienas manus commigrant, posteaquam solum illis colligendi laborem atque avaritiæ crimen asciverint. Neque si quis innumera terræ jugera possideat, et magnificas ædes, et animantium greges omnis generis, fueritque humano omni potentatu septus, his perpetuo fruitur : sed eorum dominus brevi dictus tempore, aliis rursus opes cedit, ipsum vero exigua tellus recondit. Imo etiam sæpe ante sepulturam, et antequam hinc discedat, videbit sua bona ad alios, eosque fortasse inimicos, transire. An ignoramus quam multi agri, quam multæ ædes, quam multæ gentes ac civitates, etiam adhuc viventibus qui ea possederant, aliorum dominorum nomina prioribus exutis induerint? et quemadmodum ii qui olim servituti addicebantur, conscenderint principatus thronum : qui vero domini herique vocabantur, si cum subditis sederent, bene secum actum arbitrati sint, ac succubuerint suis ipsorum servis, rebus, velut in tesserarum circumactu, derepente transmutatis?

5. (1) Quandocunque herbam feni et florem conspexeris, veniat tibi in mentem humana natura, hanc sapientis Isaiæ imaginem recordanti : *Omnis caro ut fenum, et omnis gloria* **535** *hominis ut flos feni*[76]. Nam vitæ brevitas, et prosperitatis humanæ lætitia, hilaritasque haud diu duratura accommodatissimam apud prophetam sortita est similitudinem. Hodie qui floret corpore, qui præ deliciis carnosus est, qui colorem præ ætatis flore efflorescentem præ se fert, qui viget et acer est, et cujus nequit sustineri impetus, hic idem cras miserabilis est, aut tempore marcidus, aut morbo dissolutus. Quispiam divitiarum copia inclaruit, ipsumque adulatorum circumstat multitudo : adest fictorum amicorum, gratiam illius venantium, comitatus : frequentes sunt consanguinei, iique simulationis artificio eruditi : adest agmen sequacium innumerorum, qui partim parandi sibi gratia, partim ob alias necessitates ipsi astant : quos dum et abiens, et iterum rediens, secum trahit, in se occurrentium concitat invidiam. Adde divitiis etiam civilem aliquam potestatem, aut etiam dilatos a regibus honores, aut gentium gubernationem, aut exercituum imperium, præconem magna voce ante ipsum clamantem, lictores hinc et inde subditis timorem gravissimum inferentes, plagas, publicationes bonorum,

[76] Isa. XL, 6.

(1) Ex hom. V *in Hexaem.*, 41.

(2) *Κύριος τούτων*. Sic codex Regius, multo melius, quam quod in editis ac ipso contextu legitur, ἀπὸ τούτων, *ab his accepto nomine*

A μεταῤῥυεὶς, ἢ πρὸς τῷ θανάτῳ γεγενημένους ἑξῆς καταλιμπάνει, καὶ οὐκ ἐθέλει τοῖς κτησαμένοις συνεκδημεῖν. Ἀλλ' οἱ μὲν ὑπὸ τοῦ πρὸς βίαν χωρίζοντος τὰς ψυχὰς τῆς ταλαιπώρου ταύτης σαρκὸς ἑλκόμενοι πρὸς τὴν ἀναγκαίαν ὁδὸν, πυκνὰ μεταστρεφόμενοι πρὸς τὰ χρήματα, τοὺς ἐκ νεότητος ἐπ' αὐτοῖς ἱδρῶτας ἀποδακρύουσιν· ὁ πλοῦτος δὲ εἰς ἑτέρων χεῖρας ὁρᾷ, μόνον ἐκείνοις τὸν ἐπὶ τῇ συλλογῇ μόχθον καὶ τὸ τῆς πλεονεξίας ἔγκλημα προστριψάμενος. Οὔτε εἰ ἐπὶ γῆς πλέθρα κτήσαιτό τις μυρία, καὶ μεγαλοπρεπεῖς οἰκίας, καὶ ζώων ἀγέλας παντοδαπῶν, καὶ τὴν ἐν ἀνθρώποις ἅπασαν περιβάλλοιτο δυναστείαν, ἀπολαύοι δι' αἰῶνος αὐτῶν· ἐπ' ὀλίγον δὲ κύριος τούτων (2) ὀνομασθεὶς, ἄλλοις πάλιν τῆς εὐπορίας ἐκστήσεται, βραχεῖαν γῆν αὐτὸς ὑπελθών.
B Πολλάκις δὲ καὶ πρὸ τοῦ τάφου, καὶ πρὸ τῆς ἐντεῦθεν ἀπαναστάσεως, εἰς ἑτέρους, καὶ πολεμίους τυχὸν, τὴν εὐπραγίαν ὄψεται μεταβαίνουσαν. Ἢ οὐκ ἴσμεν, ὁπόσοι μὲν ἀγροὶ, πόσαι δὲ οἰκίαι, πόσα δὲ ἔθνη καὶ πόλεις, καὶ ζώντων (3) ἔτι τῶν κτησαμένων, ἑτέρων ὀνόματα μετημφιάσαντο δεσποτῶν; καὶ ὡς οἱ μὲν πάλαι δουλεύοντες, ἐπὶ τὸν τῆς ἀρχῆς θρόνον ἀνέβησαν· οἱ δὲ κύριοι καὶ δεσπόται καλούμενοι, στῆναι μετὰ τῶν ἀρχομένων ἠγάπησαν, καὶ τοῖς ἑαυτῶν δούλοις ὑπέκυψαν, ὥσπερ ἐν κύβων περιτροπαῖς, μεταχθέντων ἄφνω τῶν πραγμάτων αὐτοῖς;

5. Ὅταν ἴδῃς βοτάνην χόρτου καὶ ἄνθος, εἰς ἔννοιαν ἔρχου τῆς ἀνθρωπίνης φύσεως, μεμνημένος
C τῆς εἰκόνος τοῦ σοφοῦ Ἡσαΐου, ὅτι *Πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου*. Τὸ γὰρ ὀλιγοχρόνιον τῆς ζωῆς, καὶ τὸ ἐν ὀλίγῳ περιχαρὲς καὶ ἱλαρὸν τῆς ἀνθρωπίνης εὐημερίας, κυριωτάτης παρὰ τῷ προφήτῃ τετύχηκε τῆς εἰκόνος. Ὁ σήμερον εὐθαλὴς τῷ σώματι, κατασεσαρκωμένος ὑπὸ τρυφῆς, ἐπανθοῦσαν ἔχων τὴν εὔχροιαν ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς, σφριγῶν καὶ σύντονος, καὶ ἀνυπόστατος τὴν ὁρμὴν, αὔριον αὐτὸς οὗτος ἐλεεινὸς, ἢ τῷ χρόνῳ μαρανθεὶς, ἢ νόσῳ διαλυθείς. Ὁ δεῖνα περίβλεπτος ἐπὶ χρημάτων περιουσίᾳ, καὶ πλῆθος περὶ αὐτὸν κολάκων· δορυφορία φίλων προσποιητῶν, τὴν ἀπ' αὐτοῦ χάριν θεραπευόντων· πλῆθος συγγενείας, καὶ ταύτης κατεσχηματισμένης· ἐσμὸς
D τῶν ἑφεπομένων μυρίος, τῶν τε ἐπὶ σιτίων καὶ τῶν κατ' ἄλλας χρείας αὐτῷ προσεδρευόντων· οὓς καὶ προϊὼν καὶ πάλιν ἐπανιὼν καὶ ἐπισυρόμενος, ἐπίφθονός ἐστι τοῖς ἐντυγχάνουσι. Πρόσθες τῷ πλούτῳ καὶ πολιτικὴν δυναστείαν, ἢ καὶ τὰς ἐκ βασιλέων τιμὰς, ἢ ἐθνῶν ἐπιμέλειαν, ἢ στρατοπέδων ἡγεμονίαν, τὸν κήρυκα μέγα πρὸ αὐτοῦ βοῶντα, τοὺς ῥαβδούχους ἔνθεν καὶ ἔνθεν βαρυτάτην κατάπληξιν τοῖς ἀρχομένοις ἐμβάλλοντας, τὰς πληγὰς, τὰς δημεύσεις, τὰς ἀπαγωγὰς, τὰ δεσμωτήρια, ἐξ ὧν ἀφό-

(3) *Ζώντων*. Hanc vocem addidimus ex codice Regio et contextu.

τος ὁ τῶν ὑποχειρίων συναθροίζεται φόβος. Καὶ μετὰ τοῦτο; Μία νὺξ, καὶ πυρετὸς εἷς, ἢ πλευρῖ-;, ἢ περιπνευμονία, ἀνάρπαστον ἐξ ἀνθρώπων ἄγουσα τὸν ἄνθρωπον οἴχεται, πᾶσαν τὴν κατ' τὸν σκηνὴν ἐξαπίνης ἀπογυμνώσασα, καὶ ἡ δόξα είνη ὥσπερ ἐνύπνιον ἀπηλέγχθη. Ὥστε ἐπιτέυκται τῷ προφήτῃ ἡ πρὸς τὸ ἀδρανέστατον ἄνθος ς ἀνθρωπίνης δόξης ὁμοίωσις.

6. Ἀλλὰ τίνα ἡμῖν εὐπρόσωπον αἰτίαν τῆς φειδωις οἱ περὶ τὴν ζωὴν ταύτην ἐπτοημένοι προβάλνται; Οὐ πωλῶ τὰ ὑπάρχοντα, οὐδὲ δίδωμι τοῖς ωχοῖς, διὰ τὰς ἀναγκαίας χρείας τοῦ βίου· ἀλλ' ολαύσας αὐτῶν παρὰ πᾶσάν μου τὴν ζωὴν, μετὰ ν τελευτὴν τοῦ βίου, διαδόχους ποιήσομαι τῶν ἐμοὶ οσόντων τοὺς πένητας. Ὅτε οὐκέτι ἔσῃ ἐν ἀνώποις, τότε γενήσῃ φιλάνθρωπος· ὅταν νεκρόν σε ω, τότε εἴπω φιλάδελφον. Πολλή σοι χάρις τῆς λοτιμίας, ὅτι ἐν τῷ μνήματι κείμενος, καὶ εἰς γῆν λυθεὶς, ἁδρὸς γίνῃ ταῖς δαπάναις καὶ μεγαλόψυς. Ποίων, εἰπέ μοι, καιρῶν τοὺς μισθοὺς ἀπαιτής, τῶν ἐν τῇ ζωῇ, ἢ τῶν μετὰ τὴν ἀποβίωσιν; λλ' ὃν μὲν ἔζης χρόνον, καθηδυπαθῶν, καὶ τῇ τρυῇ διαῤῥέων, οὐδὲ προσβλέπειν ἠνείχου τοὺς πένηις· ἀποθανόντος δὲ (1) ποία μὲν πρᾶξις; ποῖος δὲ σθὸς ἐργασίας ὀφείλεται; Δεῖξον τὰ ἔργα, καὶ παίτει τὰς ἀντιδόσεις. Οὐδεὶς μετὰ τὸ λυθῆναι τὴν ανήγυριν πραγματεύεται, οὐδὲ μετὰ τοὺς ἀγῶνας πανελθὼν στεφανοῦται, οὐδὲ μετὰ τοὺς πολέμους ιδραγαθίζεται. Οὐ τοίνυν οὐδὲ μετὰ τὴν ζωὴν εὐσέβεια δηλονότι. Ἐὰν γὰρ μέλανι καὶ γράμμασι κατεπαγγέλλῃ τὰς εὐποιίας, τίς ἀναγγελεῖ σοι τὸν καιὸν τῆς ἐξόδου; τίς ἐγγυητὴς ἔσται τοῦ τρόπου τῆς ελευτῆς; Πόσοι ὑπὸ βιαίων ἀνηρπάσθησαν συμπτωμάτων, οὐδὲ φωνὴν ῥῆξαι συγχωρηθέντες ὑπὸ οῦ πάθους! Τί ἀναμένεις καιρὸν, ἐν ᾧ πόλλακις ὐδὲ τῶν λογισμῶν τῶν σεαυτοῦ ἔσῃ κύριος; νὺξ αθεῖα, καὶ ἡ νόσος βαρεῖα, καὶ ὁ βοηθῶν οὐδαμοῦ. ἶτα περιβλεψάμενος ὧδε κἀκεῖσε, καὶ ἰδὼν τὴν εριεστῶσάν σε ἐρημίαν, τότε αἰσθήσῃ τῆς ἀβουλίας· ότε στενάξεις τὴν ἄνοιαν, εἰς οἷον καιρὸν ἐταμιεύου ὴν ἐντολὴν, ἐν τῇ ζωῇ μὲν ἀπολαύων τῶν ἡδονῶν, ποθανὼν δὲ διαπραττόμενος τὰ διατεταγμένα. Ὅτε ζῇς, σεαυτὸν τῆς ἐντολῆς προετίθης· μετὰ δὲ τὸν άνατον, τότε τὴν ἐντολὴν τῶν ἐχθρῶν προτιμᾷς. Ἵνα γὰρ μὴ λάβῃ ὁ δεῖνα, λαβέτω, φησὶν, ὁ Χριτός. Καὶ τί τοῦτο; ἐχθρῶν ἄμυνα, ἢ τοῦ πλησίον γάπη;

7. Μὴ τοίνυν ὀδυρώμεθα τὰς ἐντεῦθεν ἐξόδους, καὶ άλιστα τῶν ὁσίων ἀνδρῶν, ἀλλὰ τὰς γενέσεις μᾶλον καὶ τὰς εἰς τὴν ζωὴν ταύτην παρόδους. Ἡ μὲν ὰρ εἰς τὸν κόσμον τοῦτον εἴσοδος δι' ἀτιμίας ἐστὶ ύπου καὶ δυσωδίας, καὶ ὧν οὐδ' ἂν τὴν θέαν εὐκόλως ἀνάσχοιτό τις τῆς ζωῆς ἡμῶν καθηγουμένων (2). ιὰ γὰρ τῶν τοιούτων ἡ πάροδος τῆς σαρκίνης γε-

(1) Ἀποθανόντος δέ. Hæc etiam, quæ deerant in ditis, ex eodem codice et contextu supplevimus.
(2) Τις... καθηγουμένων. Legendum videtur τις ῶν... καθηγουμένων. Edit.

A exsilia, vincula, e quibus intolerabilis ille subjectorum metus concrescit. Quid vero post hoc? una nox, aut una febris, aut pleuritis, aut pulmonis inflammatio, hunc hominem ex hominibus abreptum abducit, illico omnem illius scenam nudat, atque gloria illa ceu somnium esse convincitur. Quare apte propheta humanam gloriam cum debilissimo flore comparavit.

6. (3) Sed quamnam speciosam parcimoniæ causam nobis afferunt ii qui attoniti hujus vitæ rebus adeo inhiant? Non vendo quæ habeo, neque do pauperibus, ob necessarios vitæ usus. Sed posteaquam divitiis fruitus fuero per omnem vitam meam, post finem vitæ meæ pauperes constituam hæredes facultatum mearum. Cum jam non versabere inter
B homines, tum humanus fies et liberalis; cum mortuum te videro, tunc dicam te fratris amantem. Multa tibi debebitur gratia ob munificentiam, quod in sepulcro jacens et in terram resolutus, jam in sumptibus faciendis largus exstiteris atque magnanimus. Dic mihi, quæso, quorumnam temporum mercedem exposces, eorumne quibus vixisti, an eorum, quæ post mortem secuta sunt? Sed quo tempore vivebas, voluptatibus deditus et deliciis diffluens, ne aspicere quidem egenos sustinuisti. Jam autem quænam actio est mortui? quæ quoque operis merces debetur? Ostende opera, et reposce remunerationem. Nemo solutis nundinis negotiatur: nec post certamen superveniens coronatur, nec post
C bellum egregia edit facinora. Neque igitur post vitam locus ullus est pietatis excolendæ. Nam si atramento ac tabulis fore te beneficium polliceris, quis annuntiabit tibi exitus tempus? quis generis mortis sponsor erit? Quot violentis casibus abrepti sunt, quibus ne vocem quidem edere per morbum licuit! Quid igitur exspectas tempus, in quo plerumque rationis non eris compos? cum videlicet erit 536
profunda nox, morbus gravis, nemo usquam qui adjuvet. Deinde conjectis huc et illuc oculis, circumstantem te solitudinem conspiciens, tunc dementiam tuam intelliges; tunc lugebis stultitiam, quod præceptum distuleris in hoc tempus, interim dum vivebas voluptatibus indulgens: (4) mortuus vero, mandata perficiens. Quoad vixisti, te ipse
D prætulisti mandato; mortuus vero, tunc inimicis præceptum anteponis. Etenim ne accipiat homo ille, accipiat, inquit, Christus. At quid illud? hostiumne ultio, an proximi charitas?

7. (5) Ne igitur eorum qui hinc excedunt, maximeque piorum sortem lugeamus, sed potius ortum, et eorum in hanc vitam ingressum. Nam introitus in hunc mundum adjunctam habet ignominiam sordium fetorisque et earum rerum, quarum ne aspectum quidem facile ferre posset nostrum aliquis, qui in vita prævimus. Per talia enim necessitate

(3) Ex hom. *in Divites*, 60.
(4) Ibid., 61.
(5) Ex hom. *in psal.* cxv, 374.

naturæ constitutus est carneæ nativitatis ingressus: contra, exitus, et is qui hinc fit abscessus, pretiosus est et illustris, non omnium hominum, sed eorum, qui sancte et juste hanc vitam transegerunt. Pretiosa igitur est mors, non pretiosus hominum ortus. *Seminatur enim*, inquit, *in ignobilitate, surgit in gloria: seminatur in corruptione, surgit in incorruptione* [71]. Cum etiam Judaice interirent homines, abominanda erant cadavera : ubi vero contigit mors pro Christo, reliquiæ sanctorum ejus sunt pretiosæ. Antea dicebatur sacerdotibus et Nazaræis : Non contaminabitur super ullo mortuo : et, *Si quis tetigerit cadaver, immundus erit* [72]; item, *Lavabis tua ipsius vestimenta* [73]. Nunc autem qui martyris ossa tetigerit, ex insidente in corpore gratia quamdam sanctitatis participationem accipit. *Pretiosa enim est in conspectu Domini mors sanctorum ejus* [74]. Compara itaque mortem nativitati; ac eum qui liberatus est ignominia, lugere desinas. (1) Cum justis enim exsultare, simulque lætari, præcipit nobis sermo divinus : lugeamus vero et lamentemur cum iis qui ex pœnitentia effundunt lacrymas : aut etiam eos qui nullo doloris sensu tanguntur, deploremus, quod perire se ne intelligant quidem. Cæterum implevisse mandatum haudquaquam putandus est, qui hominum mortem deplorat et cum lugentibus edit clamorem. Neque enim laudaverim medicum, qui cum opem ægrotantibus ferre deberet, morbis ipse repleretur. (2) Sic etiam David cum amicissimum sibi Jonatham lugeret, hostem quoque suum una luxit, *Doleo super te*, inquiens, *frater mi Jonathan*; et, *Filiæ Israel, super Saul flete* [75]. Hunc quidem luget, ut peccato immortuum; Jonathan vero ut hominem sibi per totam vitam conjunctissimum.

8. (3) Homines enim mors invadit, expletis vitæ terminis, quos unicuique ab initio constituit judicium justum Dei, quid cuique nostrum conducat, longe prospicientis. At filii charissimi mors animum tuum dolore opprimit. (4) Quis enim adeo corde lapideo, aut omnino humanæ naturæ expers, ut in **537** ejusmodi eventu nihil patiatur, aut modicum dolorem animo accipiat? Domus splendidæ successio, fulcimentum generis, patriæ spes, parentum piorum germen cum innumeris votis educatum, in ipso ætatis flore, ex mediis patris manibus ereptum abjit. Hæc quam adamantis naturam non valeant dissolvere, et ad commiserationem adducere? (5) Igitur si ob ea quæ acciderunt lugere, et lacrymas effundere volumus, tempus vitæ nobis non sufficiet; nec si homines

A νέσεως τῷ τῆς φύσεως ἀναγκαίῳ νενομοθέτηται· ἡ δὲ ἔξοδος, καὶ ἡ ἐντεῦθεν ἀπαλλαγή, τιμία καὶ περιφανής, οὐ πάντων ἀνθρώπων, ἀλλὰ τῶν ὁσίως καὶ δικαίως τὸν ἐνταῦθα βίον διενεγκόντων. Τίμιος γὰρ ὁ θάνατος, οὐχὶ τιμία τῶν ἀνθρώπων ἡ γένεσις. *Σπείρεται γάρ*, φησίν, *ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ*. Καὶ ὅτε μὲν Ἰουδαϊκῶς ἀπέθνησκον οἱ ἄνθρωποι, βδελυκτὰ ἦν τὰ θνησιμαῖα· ὅτε δὲ ὑπὲρ Χριστοῦ ὁ θάνατος, τίμια τὰ λείψανα τῶν ὁσίων αὐτοῦ. Πρὸ τούτου ἐλέγετο τοῖς ἱερεῦσι καὶ τοῖς Ναζιραίοις τό, Οὐ μιανθήσεται ἐπ' οὐδενὶ τεθνηκότι· καὶ τό, *Ἐάν τις ἅψηται νεκροῦ, ἀκάθαρτος ἔσται*· καὶ τό, *Πλυνεῖς σεαυτοῦ* (6) *τὰ ἱμάτια*. Νῦν δὲ ὁ ἁψάμενος ὀστέων μάρτυρος, λαμβάνει τινὰ μετουσίαν ἁγιασμοῦ ἐκ τῆς B τοῦ σώματος παρεδρευούσης χάριτος. *Τίμιος γὰρ ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ*. Σύγκρινον τοίνυν τῇ γενέσει τὸν θάνατον, καὶ παῦσαι ὀδυρόμενος τὸν τῆς ἀτιμίας ἀπαλλασσόμενον. Δικαίοις μὲν γὰρ συσκιρτᾷν καὶ συναγάλλεσθαι ὁ θεῖος λόγος ἡμῖν ἐπιτρέπει· τοῖς δ' ἐκ μετανοίας ἀφιεῖσι δάκρυον, συμπενθεῖν καὶ συνοδύρεσθαι· καὶ τοὺς ἀναλγήτως διακειμένους ἀποκλαίεσθαι, ὅτι οὐδὲ ἴσασι πῶς ἀπόλλυνται. Οὐχὶ δὲ ἐπὶ θανάτῳ ἀνθρώπων καταχλαύσαντα, καὶ συνεκβοήσαντα (7) τοῖς πενθοῦσι, πληρωτὴν προσήκει νομίζειν εἶναι τῆς ἐντολῆς. Οὐδὲ γὰρ ἰατρὸν ἐπαινῶ, τὸν ἀντὶ τοῦ βοηθεῖν τοῖς κάμνουσιν, ἑαυτὸν τῶν νοσημάτων ἀναπιμπλάμενον. Οὕτω καὶ ὁ Δαβὶδ τὸν φίλον ὀλοφυρόμενος Ἰωνάθαν, συναπεθρήνησε καὶ τὸν ἐχθρὸν C αὐτοῦ, *Ἀλγῶ ἐπὶ σέ*, λέγων, *ἀδελφὲ Ἰωνάθαν*· καί, *Θυγατέρες Ἱερουσαλήμ, θρηνήσατε ἐπὶ Σαούλ*. Τὸν μὲν γὰρ θρηνεῖ, ὡς ἐναποθανόντα τῇ ἁμαρτίᾳ· τὸν δὲ Ἰωνάθαν, ὡς μέχρι παντὸς αὐτῷ κοινωνήσαντα τοῦ βίου.

8. Θάνατοι γὰρ τοῖς ἀνθρώποις ἐπάγονται, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῖν συμφέρον προβλεπομένου. Ἀλλὰ παιδὸς ἀγαπητοῦ θάνατος ἐκπιέζει σου τὴν ψυχήν. Καὶ τίς οὕτω λίθινος τὴν καρδίαν, ἢ ἔξω παντελῶς τῆς ἀνθρωπίνης φύσεως, ὥστε ἀπαθῶς ἐνεγκεῖν τὸ συμβάν, ἢ μετρίῳ πάθει τὴν ψυχὴν καταληφθῆναι (8); Οἴκου λαμπροῦ διαδοχή, ἔρεισμα D γένους, πατρίδος ἐλπίς, γονέων εὐσεβῶν βλάστημα ὑπὸ μυρίαις εὐχαῖς ἐντραφέν, ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας ὄν, ἐκ μέσου τῶν πατρικῶν χειρῶν ἀναρπασθεὶς οἴχεται. Ταῦτα ποίαν ἀδάμαντος φύσιν οὐχ ἱκανὰ ἐκλῦσαι, καὶ εἰς συμπάθειαν ἀγαγεῖν; Ἀλλ' ἐὰν μὲν ποτνιᾶσθαι ἐπὶ τοῖς συμβᾶσι καὶ δακρύειν βουλώμεθα, οὐκ ἐξαρκέσει μὲν ὁ χρόνος τοῦ βίου

[71] I Cor. xv, 42, 43. [72] Levit. xi, 39. [73] ibid. 25. [74] Psal. cxv, 14. [75] II Reg. i, 26.

(1) Ex hom. *in mart. Julittam*, 41.
(2) Ex hom. *De gratiarum actione*, 28.
(3) Ex hom. *Quod Deus non est auctor malorum*, 74.
(4) Ex epist. v, 77.
(5) Ibid.
(6) *Πλυνεῖς σεαυτοῦ*. Sic Regius codex. Editi πλυνεῖς αὐτοῦ. Legitur in ipso contextu πλυνεῖ ἑαυτοῦ.
(7) *Καὶ συνεκβοήσαντα*. Hæc addita ex Regio codice et contextu.
(8) *Καταληφθῆναι*. Regius codex 1992, καταβληθῆναι.

πάντες δὲ ἄνθρωποι μεθ' ἡμῶν στένοντες, παριστάναι ἀπαθῆ τὸν ὀδυρμὸν οὐ δυνήσονται· ἀλλὰ κἂν τὰ τῶν ποταμῶν ῥεύματα δάκρυον γένηται, ἐκπληρῶσαι τῶν συμβάντων τὸν θρῆνον οὐκ ἐξαρκέσει. Διὸ παρακαλῶ, ὡς γενναῖον ἀγωνιστὴν, στῆναι πρὸς τὸ μέγεθος τῆς πληγῆς, καὶ μὴ ὑποπεσεῖν τῷ βάρει τῆς λύπης, μηδὲ καταποθῆναι τὴν ψυχήν· ἐκεῖνο πεπεισμένον, ὅτι κἂν οἱ λόγοι τῶν παρὰ Θεοῦ οἰκονομουμένων διαφεύγωσιν ἡμᾶς, ἀλλὰ πάντως γε τὸ παρὰ τοῦ σοφοῦ καὶ ἀγαπῶντος ἡμᾶς οἰκονομηθὲν ἀπόδεκτόν ἐστι, κἂν ἐπίπονον ᾖ. Αὐτὸς γὰρ οἶδε, πῶς ἑκάστῳ διατίθησι τὸ συμφέρον, καὶ διὰ τί ἄνισα τίθησιν ἡμῖν τοῦ βίου τὰ πέρατα. Ἔστι γάρ τις ἀνθρώποις αἰτία ἀκατάληπτος, δι' ἣν οἱ μὲν θᾶττον ἐντεῦθεν ἀπάγονται, οἱ δὲ ἐπὶ πλεῖον προσταλαιπωρεῖν τῷ ὀδυνηρῷ τούτῳ βίῳ καταλιμπάνονται. Ὥστε B ἐπὶ πᾶσι προσκυνεῖν αὐτοῦ τὴν φιλανθρωπίαν ὀφείλομεν, καὶ μὴ δυσχεραίνειν· μεμνημένοι τῆς μεγάλης ἐκείνης καὶ ἀοιδίμου φωνῆς, ἣν ὁ μέγας ἀθλητὴς Ἰὼβ ἐφθέγξατο, ἐπὶ μιᾶς τραπέζης ἰδὼν δέκα παῖδας ἐν βραχείᾳ καιροῦ ῥοπῇ συντριβέντας· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο* (1) · *ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο.* Ἡμέτερον τοῦτο τὸ θαῦμα ποιησώμεθα· ἴσος ὁ μισθὸς παρὰ τοῦ δικαίου κριτοῦ τοῖς τὰ ἴσα ἐπιδεικνυμένοις ἀνδραγαθήματα. Οὐκ ἀπεστερήθημεν τοῦ παιδὸς, ἀλλ' ἀπεδώκαμεν τῷ χρήσαντι (2) · οὐκ ἠφανίσθη αὐτοῦ ἡ ζωὴ, ἀλλ' ἐπὶ τὸ βέλτιον διημείφθη · οὐ γῆ κατέκρυψε τὸν ἀγαπητὸν, ἀλλ' οὐρανὸς ὑπεδέξατο. Μικρὸν ἀναμείνωμεν, καὶ συνεσόμεθα τῷ ποθουμένῳ. Οὐδὲ πολὺς ὁ χρόνος C τῆς διαστάσεως, πάντων ὥσπερ ἐν ὁδῷ τῷ βίῳ τούτῳ πρὸς τὸ αὐτὸ καταγώγιον ἐπειγομένων· ἐν ᾧ ὁ μὲν προκατέλαβεν (3), ὁ δὲ ἐπῆλθεν, ὁ δὲ ἐπείγεται, πάντας δὲ ἓν ὑποδέχεται τέλος. Εἰ γὰρ καὶ θᾶττον τὴν ὁδὸν κατέλυσεν, ἀλλὰ πάντες τὴν αὐτὴν πορευόμεθα, καὶ πάντας τὸ αὐτὸ ἀναμένει κατάλυμα. Ἀναμνήσθητι τοῦ σοῦ πατρὸς, ὅτι τέθνηκε. Τί οὖν θαυμαστὸν, ἐκ θνητοῦ γεννηθέντα, θνητοῦ γενέσθαι πατέρα; Τὸ δὲ πρὸ ὥρας, καὶ πρὶν κορεσθῆναι τοῦ βίου, καὶ πρὶν εἰς μέτρον ἡλικίας ἐλθεῖν, καὶ φανῆναι τοῖς ἀνθρώποις, καὶ διαδοχὴν τοῦ γένους καταλιπεῖν· ταῦτα οὐκ αὔξησις τοῦ πάθους, ἀλλὰ παραμυθία τοῦ γεγονότος ἐστὶν, ὅτι μὴ κατέλιπεν ὑπὲρ γῆς ὀρφανὰ τέκνα· ὅτι μὴ γυναῖκα χήραν θλίψει μακρᾷ ἔκδοτον ἀφῆκεν, ἢ ἀνδρὶ ἑτέρῳ συνοικοῦσαν, D καὶ τῶν προτέρων τέκνων καταμελοῦσαν. Τὸ δὲ, ὅτι οὐ παρετάθη τῷ βίῳ τούτῳ ἡ ζωὴ τοῦ παιδὸς, τίς οὕτως ἀγνώμων, ὡς μὴ τὸ μέγιστον τῶν ἀγαθῶν τοῦτο νομίζειν εἶναι; Ἡ γὰρ ἐπὶ πλεῖον ἐνταῦθα διατριβὴ, πλειόνων κακῶν ἐστιν ἀφορμή.

9. Τίνος ἕνεκεν οὐχὶ θνητὰ φρονεῖν περὶ τοῦ θνητοῦ προεθίσθης, ἀλλ' ἀπροσδόκητον τοῦ παιδὸς τὸν θάνατον προσεδέξω; Ὅτε σοι πρῶτον ἠγγέλθη τοῦ

A omnes nobiscum gemant, infortunio planctum adæquare poterunt: imo etiamsi fluviorum aquæ lacrymæ fiant, nequibunt casus illius lamenta explere. (4) Quare adhortor te, ut strenuum athletam, ut contra plagæ magnitudinem obnitaris, nec succumbas ponderi doloris, neque absorbearis animo; persuasum habens, etsi rationes eorum quæ a Deo dispensantur, nos latent, at profecto quod a sapiente nosque amante dispensatur, accipiendum, etiamsi molestum sit. Novit enim ipse, quomodo unicuique dividat quod utile est, et quam ob causam inæquales vitæ terminos nobis præstituat. Est enim causa aliqua hominibus indeprehensa, ob quam alii quidem citius hinc abripiuntur, alii vero diutius in hac calamitosa vita ad ærumnas perferendas relinquuntur. Itaque in omnibus adorare illius in nos amorem debemus, nec ægre ferre; memores magnæ illius et celeberrimæ vocis, quam magnus ille athleta Job emisit, cum in uno convivio liberos decem exiguo temporis momento oppressos vidit: *Dominus dedit, Dominus abstulit: sicut Domino visum, ita et factum est* [76]. Admirabilem illam vocem nostram faciamus: par merces a justo judice paria præclare facta designantibus. Non sumus filio orbati: sed restituimus ei qui mutuo dederat. Neque exstincta est illius vita, sed in melius transmutata: neque humus dilectum nostrum obtexit, sed cœlum suscepit. Paulisper exspectemus; et una cum eo quem desideramus, erimus. Neque longum est tempus sejunctionis, cum omnes in hac vita tanquam in via ad idem diversorium contendant: in quod hic jam advenit, ille supervenit, alter festinat: finis autem unus omnes excipiet. Etsi enim citius viam confecit, eamdem omnes ingredimur, omnesque idem manet diversorium. (5) Fac recorderis patris tui, qui mortuus est. Quid igitur mirum, ex mortali genitum, mortalis patrem factum esse? Quod autem immature, et priusquam vita satiaretur, priusquam ad ætatis mensuram perveniret, et innotesceret hominibus, ac generis relinqueret successionem: nequaquam hæc doloris accessio, sed eventus sunt solatium, quod non reliquerit in terra liberos orbos, nec viduam aut ærumnis diuturnis obnoxiam, aut cum altero viro habitaturam et liberos priores neglecturam. Quod autem vita pueri longius in hoc sæculo producta non fuit; quis adeo inconsideratus, ut id maximum bonorum esse non judicet? Longior enim hic commoratio, malorum plurium occasio est.

538 9. (6) Quorsum non prius assuevisti de mortali mortale quiddam sentire, sed mortem filii suscepisti præter exspectationem? Ortus filii cum tibi pri-

[76] Job I, 21.

(1) Ἀφείλετο. Uterque codex et editio prima Paris. ἀφεῖλατο.
(2) Χρήσαντι. Codex Regius 1992, χαρίσαντι.
(3) Προκατέλαβεν. Contextus προκατ[illegible]τεν, et infra, συνοικήσουσαν, et καταμελήσουσαν.
(4) Ex epist. v, 78.
(5) Ex epist. ccc, 436.
(6) Ex hom. *in mart. Julittam*, 7.

mum nuntiatus est, si quis te interrogasset quale esset quod natum est, quidnam tunc respondisses? aliudne dixisses, nisi quod homo sit quod natum est? Quod si homo, utique et mortalis. Quid igitur miri, si mortuus est mortalis? Annon vides solem orientem et occidentem? non vides crescentem lunam et decrescentem? non terram virentem, deinde arescentem? Quid igitur mirum, si nos quoque cum pars simus mundi, eorum quæ mundi sunt, participes simus? Filii charissimi, aut uxoris gratissimæ, aut alterius cujuspiam eorum qui sunt amicissimi, et omni benevolentia atque necessitudine conjuncti, privatio, haudquaquam futura est molesta et gravis homini provido, et rectam rationem vitæ ducem habenti, non autem ex consuetudine quadam incedenti. Nam acerbissimum est vel ipsis brutis animantibus a consuetudine avelli. Equidem ego ipse vidi aliquando bovem in præsepi illacrymantem, pastus ac jugi socio morte sibi prærepto. Quinetiam videre est reliquas belluas consuetudini valde admodum adhærescere.

10. (1) Non existimavi æquum esse ut officio meo deessem, nec ad te, quæ illius mater es, sermonem converterem. Novi qualia sint matrum viscera; atque conjicio quantum probabile sit in præsentibus malis dolorem esse. Filium amisisti, quem viventem matres omnes prædicabant beatum, talesque suos esse optabant; mortuum vero perinde luxerunt, ac si suum quæque humo contexisset. Illius mors plaga exstitit patriæ; cum illo magnum et illustre genus concidit, veluti fulcro sublato concussum. O incursum mali dæmonis, quantum potuit mali patrare! O terra talem coacta suscipere casum! Horruit forte ipse sol, si quis in eo sensus, triste illud spectaculum. Et quis tantum dicere poterit, quantum inops consilii animus suggerit? Verum nostra non fiunt citra providentiam, quemadmodum in Evangelio didicimus, ne passerem quidem cadere sine voluntate Patris nostri [77]. Quare si quid contigit, voluntate contigit Conditoris nostri. Quis autem Dei voluntati resistit [78]? Suscipiamus quod accidit; moleste enim ferentes, neque id quod factum est reparamus, ac præterea nosmetipsos perdimus. Ne culpemus justum Dei judicium. Nimium imperiti sumus, quam ut arcana illius judicia exploremus. Nunc Dominus amoris in se tui periculum facit. Tibi nunc tempus est, ut per patientiam partem martyrum consequare. Machabæorum mater [79] septem filiorum mortem conspexit, nec ingemuit, nec ignobiles lacrymas effudit: sed gratias agens Deo, quod videret eos igne et ferro et acerbissimis verberibus e vinculis carnis exsolvi, Deo quidem probata fuit, celebris vero habita est apud homines. Afflictio magna, fateor et ego: sed et magna a Domino præmia patientibus

A υἱέως ὁ τοκετὸς, εἴ τίς σε εἴρετο, Ποταπόν ἐστι τὸ τεχθὲν, τί ποτε ἂν ἀπεκρίνω; ἆρα ἄλλο τι ἂν εἶπες, ἢ ὅτι ἄνθρωπός ἐστι τὸ γεννηθέν; Εἰ δὲ ἄνθρωπος, καὶ θνητὸς δηλονότι. Τί οὖν παράδοξον, εἰ ἀπέθανεν ὁ θνητός; Οὐχ ὁρᾷς ἥλιον ἀνατέλλοντα καὶ δυόμενον; οὐχ ὁρᾷς τὴν σελήνην αὔξουσαν, εἶτα φθίνουσαν; οὐ τὴν γῆν θάλλουσαν, εἶτα ξηραινομένην; Τί οὖν θαυμαστὸν, εἰ καὶ ἡμεῖς, μέρος ὄντες τοῦ κόσμου, ἀπολαύομεν τῶν ἐκ τοῦ κόσμου; Παιδὸς ἀγαπητοῦ, ἢ γυναικὸς καταθυμίας, ἢ ἄλλου τινὸς τῶν φιλτάτων καὶ κατὰ πᾶσαν εὔνοιαν συνημμένων στέρησις, οὐδὲν δεινὸν τῷ προεσκεμμένῳ, καὶ τὸν ὀρθὸν λόγον ἡγεμόνα τῆς ζωῆς ἔχοντι, ἀλλὰ μὴ κατὰ συνήθειάν τινα πορευομένῳ. Ἔθους γὰρ χωρισμὸς καὶ τοῖς ἀλόγοις ἐστὶ δυσφορώτατος. Καί B ποτε εἶδον ἐγὼ βοῦν ἐπὶ φάτνης δακρύοντα, τοῦ συννόμου αὐτῷ καὶ ὁμοζύγου τελευτήσαντος. Καὶ τὰ λοιπὰ τῶν ἀλόγων σφοδρῶς τῆς συνηθείας ἔστιν ἰδεῖν ἀντεχόμενα.

10. Ἀλλὰ γὰρ οὐκ ἐνόμισα δίκαιον εἶναι παραλιπεῖν τὸ ἐπιβάλλον ἐμοὶ, καὶ μὴ καὶ πρὸς σὲ, τὴν ἐκείνου μητέρα, τὸν λόγον τρέψαι. Οἶδα γὰρ ποταπὰ τῶν μητέρων τὰ σπλάγχνα· καὶ λογίζομαι, πόσην εἰκὸς ἐπὶ τοῖς παροῦσιν εἶναι τὴν ἀλγηδόνα. Παῖδα ἐζημιώθης, ὃν περιόντα μὲν ἐμακάρισαν πᾶσαι μητέρες, καὶ ηὔξαντο τοὺς ἑαυτῶν τοιούτους εἶναι· ἀποθανόντα δὲ ἐστέναξαν, ὡς ἑκάστη τὸν ἑαυτῆς τῇ γῇ C καταχρύψασα. Ἐκείνου ὁ θάνατος πληγὴ τῆς πατρίδος ἐγένετο· ἐκείνῳ τὸ μέγα καὶ περιφανὲς γένος συγκατέπεσεν, ὥσπερ ἐρείσματος ὑφαιρεθέντος κατασεισθέν. Ὢ συνάντημα πονηροῦ δαίμονος, πόσον ἴσχυσε κακὸν ἐξεργάσασθαι! Ὢ γῆ τοιοῦτον ἀναγκασθεῖσα ὑποδέξασθαι πάθος! Ἔφριξε τάχα καὶ ὁ ἥλιος, εἴ τις αἴσθησις αὐτῷ, τὸ σκυθρωπὸν ἐκεῖνο θέαμα. Καὶ τί ἄν τις τοσοῦτον εἴποι, ὅσον ἡ ἀμηχανία τῆς ψυχῆς ὑποβάλλει; Ἀλλ' οὐ γὰρ ἀπρονόητα τὰ ἡμέτερα, ὡς μεμαθήκαμεν ἐν τῷ Εὐαγγελίῳ, ὅτι οὐδὲ στρουθίον πίπτει ἄνευ θελήματος τοῦ Πατρὸς ἡμῶν. Ὥστε εἴ τι γέγονε, θελήματι γέγονε τοῦ κτίσαντος ἡμᾶς. Τῷ δὲ βουλήματι τοῦ Θεοῦ τίς ἀνθέστηκε; Καταδεξώμεθα τὸ συμβάν· δυσανασχετοῦντες γὰρ οὔτε τὸ γενόμενον διορθούμεθα, καὶ ἑαυ- D τοὺς προσαπόλλυμεν. Μὴ κατηγορήσωμεν τῆς δικαίας κρίσεως τοῦ Θεοῦ. Ἀμαθεῖς ἐσμεν, ὥστε τὰ ἄῤῥητα αὐτοῦ κρίματα δοκιμάζειν. Νῦν σου λαμβάνει τὴν δοκιμὴν ὁ Κύριος τῆς πρὸς αὐτὸν ἀγάπης· νῦν σοι πάρεστι καιρὸς διὰ τῆς ὑπομονῆς τὴν μερίδα τῶν μαρτύρων λαβεῖν. Ἡ τῶν Μακκαβαίων μήτηρ ἑπτὰ παίδων εἶδε θάνατον, καὶ οὐκ ἀνεστέναξεν, οὐδὲ ἀφῆκεν ἀγεννὲς δάκρυον· ἀλλ' εὐχαριστοῦσα τῷ Θεῷ, ὅτι ἔβλεπεν αὐτοὺς πυρὶ καὶ σιδήρῳ καὶ ταῖς χαλεπωτάταις αἰκίαις τῶν δεσμῶν τῆς σαρκὸς λυομένους, εὐδόκιμος μὲν παρὰ Θεῷ, ἀοίδιμος δὲ παρὰ ἀνθρώ-

[77] Matth. x, 29. [78] Rom. ix, 19. [79] II Machab. vii, 20.

(1) Ex epist. vi, 78.

ποις ἐκρίθη. Μέγα τὸ πάθος, φημὶ κἀγώ· ἀλλὰ μεγάλοι καὶ οἱ παρὰ τοῦ Κυρίου μισθοὶ τοῖς ὑπομένουσιν ἀποκείμενοι. Ὅτε ἐγένου μήτηρ, καὶ εἶδες τὸν παῖδα, καὶ ηὐχαρίστησας τῷ Θεῷ, ᾔδεις πάντως, ὅτι θνητὴ οὖσα θνητὸν ἐγέννησας. Τί οὖν παράδοξον, εἰ ἀπέθανεν ὁ θνητός; Ἀλλὰ λυπεῖ ἡμᾶς τὸ παρὰ καιρόν. Ἄδηλον, εἰ μὴ εὔκαιρον τοῦτο· ἐπειδὴ ἡμεῖς, καὶ ἐκλέγεσθαι τὰ συμφέροντα ταῖς ψυχαῖς, καὶ ὁρίζειν προθεσμίαν ἀνθρωπίνης ζωῆς, οὐκ ἐπιστάμεθα. Περίβλεψαι τὸν κόσμον ἅπαντα, ἐν ᾧ κατοικεῖς· καὶ ἐννόησον, ὅτι πάντα θνητὰ τὰ ὁρώμενα· καὶ πάντα φθορᾷ ὑποκείμενα. Ἀνάβλεψον πρὸς τὸν οὐρανὸν, καὶ οὗτός ποτε λυθήσεται· πρὸς τὸν ἥλιον, οὐδὲ οὗτος διαμενεῖ· οἱ ἀστέρες σύμπαντες, ζῶα χερσαῖα καὶ ἔνυδρα, τὰ περὶ γῆν κάλλη, αὐτὴ ἡ γῆ, πάντα φθαρτὰ, καὶ πάντα μικρὸν ὕστερον οὐκ ἐσόμενα. Ἡ τούτων ἔννοια, παραμυθία ἔστω τοῦ συμβεβηκότος. Μὴ καθ' ἑαυτὸ μέτρει τὸ πάθος· ἀφόρητον γὰρ οὕτω φανεῖταί σοι· ἀλλὰ τοῖς ἀνθρωπίνοις πᾶσι συγκρίνουσα, ἐντεῦθεν εὑρήσεις αὐτοῦ τὴν παραμυθίαν. Ἐπὶ πᾶσι δὲ ἐκεῖνο εἰπεῖν ἰσχυρὸν ἔχω· Φεῖσαι τοῦ ὁμοζύγου· ἀλλήλοις γένεσθε παραμυθία· μὴ ποιήσῃς αὐτῷ χαλεπωτέραν τὴν συμφορὰν, τῷ πάθει ἑαυτὴν καταναλίσκουσα.

11. Ὕποπτον γάρ ἡμῖν ἐστι τὸ ἄγαν σου φιλότεκνον, μήποτε ἔκδοτον δῷς σαυτὴν τῷ πάθει, δι' ἁπαλότητα ἠθῶν βαθεῖαν τὴν πληγὴν δεξαμένη τῆς λύπης. Οὐδὲν γὰρ τῶν συμβαινόντων ἡμῖν ὡς λυπηρὸν ὑποδέχεσθαι χρὴ, κἂν πρὸς τὸ παρὸν ἅπτηται τῆς ἀσθενείας ἡμῶν. Εἰ γὰρ καὶ τοὺς λόγους ἀγνοοῦμεν, καθ' οὓς ἕκαστον τῶν γινομένων ὡς καλὸν παρὰ τοῦ Δεσπότου ἡμῖν ἐπάγεται· ἀλλ' ἐκεῖνο πεπεῖσθαι ὀφείλομεν, ὅτι πάντως συμφέρει τὸ γινόμενον, ἢ ἡμῖν διὰ τὸν τῆς ὑπομονῆς μισθὸν, ἢ τῇ παραληφθείσῃ ψυχῇ, ἵνα μὴ ἐπὶ πλέον τῇ ζωῇ ταύτῃ ἐπιβραδύνασα, τῆς ἐμπολιτευομένης τῷ βίῳ κακίας ἀναπλησθῇ. Εἰ μὲν γὰρ ἐν τῇ ζωῇ ταύτῃ ἡ τῶν Χριστιανῶν ἐλπὶς περιώριστο, εἰκότως χαλεπὸν ἂν ἐνομίσθη τὸ θᾶττον διαζευχθῆναι τοῦ σώματος· εἰ δὲ ἀρχὴ τοῦ ἀληθινοῦ βίου τοῖς κατὰ Θεὸν ζῶσίν ἐστι τὸ τῶν δεσμῶν τούτων τῶν σωματικῶν τὴν ψυχὴν ἐκλυθῆναι, τί λυπούμεθα, ὡς καὶ οἱ μὴ ἔχοντες ἐλπίδα; Ἀλλ' ἀνδρὸς φιλτάτου στέρησις ἀνυπομόνητόν σοι τὴν συμφορὰν ἐμποιεῖ. Κἀγὼ συντίθημι. Ὅτι μὲν γὰρ λυπηρὰ συμφορὰ τοῦ πάθους τοῦ κατὰ τὸν ἄριστον τῶν ἀνδρῶν ἐκεῖνον, ἅπαντες ἴσμεν. Πάντως γὰρ οὐδεὶς οὕτως ἐστὶ λιθίνην ἔχων τὴν καρδίαν, ὃς εἰς πεῖραν ἀφικόμενος τοῦ ἀνδρὸς ἐκείνου, εἶτ' ἀκούσας αὐτὸν ἀθρόον ἐξ ἀνθρώπων ἀναρπασθέντα, οὐχ ὡς κοινὴν ζημίαν τοῦ βίου τὴν τούτου στέρησιν ἐλογίσατο. Εἰ δὲ τοῖς πόρρω τῆς οἰκειότητος οὕτω βαρὺ καὶ δύσφορον τὸ συμβὰν, πῶς εἰκὸς ὑπὸ τοῦ πάθους τὴν σὴν διατεθῆναι ψυχὴν, οὕτως ὑποκειμένην τῷ πάθει, ὥστε οἱονεὶ διχοτομίας τινὸς αἰσθάνεσθαι ἐν τῷ τοῦ φιλτάτου χωρισμῷ τελευτήσαντος; Καὶ γὰρ οὐχ ἧττόν ἐστιν ἀλγεινὴ ἡ τοιαύτη διάζευξις, ἢ εἰ τὸ ἥμισυ

(1) Ex epist. CCLXIX, 415.
(2) Ex epist. CI, 197.

A reposita. Mater cum effecta es **539**, puerumque vidisti, ac gratias egisti Deo, plane sciebas mortalem a te, cum mortalis sis, genitum esse. Quid igitur mirum, si mortuus est mortalis? Sed dolet nobis, quod præter tempus. Incertum, utrum hoc non fuerit tempestivum : nos siquidem eligere quæ animabus utilia sunt, et præfinire terminos humanæ vitæ non novimus. Circumspice totum terrarum orbem, in quo habitas, et cogita omnia mortalia esse quæ videntur, omnia corruptioni obnoxia. Respice ad cœlum, et illud ipsum aliquando dissolvetur : ad solem, ne ille quidem permanebit; stellæ omnes, animalia terrestria et aquatilia, terræ ornatus, terra ipsa, omnia corruptioni obnoxia, omnia paulo post non amplius futura. Horum cogitaB tio sit casus solatium. Cave calamitatem seipsa metiaris : ita enim tibi videbitur intolerabilis : sed eam cum omnibus rebus humanis comparans, inde reperies illius solatium. His autem omnibus illud validissimum addendum habeo : Parce marito : alter alteri solamen estote : ne facias ei graviorem calamitatem, dolore te ipsa conficiens.

11. (1) Sed tamen suspectus mihi est ingens tuus filii amor, ne forte mœrori te dedas, ob simplicitatem morum profundam plagam recipiens doloris. (2) Nihil eorum quæ nobis accidunt, ut molestum accipere oportet, etiamsi in præsentia infirmitatem nostram tangat. C Etsi enim rationes ignoramus, ob quas unumquodque eorum quæ contingunt, veluti bonum a Domino nobis exhibetur : tamen hoc nobis persuasum esse debet, omnino utile esse quod evenit : sive nobis, ob patientiæ mercedem : sive animæ assumptæ, ne diutius in hac vita immorans, vigente in hoc mundo malitia repleretur. Si enim hac vita circumscriberetur Christianorum spes, non immerito sane molestum videretur citius a corpore disjungi : sin autem veræ vitæ initium est, iis qui secundum Deum vivunt, animæ e corporis vinculis solutio, quid tristitia afficimur, sicut et ii qui spem non habent? (3) At viri charissimi privatio intolerabilem tibi calamitatem facit. Et ego assentior. Tristem enim esse calamitatem, optimi D illius viri casum, omnes scimus. Nam profecto nemo ita corde lapideo, ut virum illum expertus ac deinde audiens ex hominibus subito ereptum esse, non commune humanæ vitæ damnum illius jacturam existimaverit. Quod si his qui non sunt affinitate conjuncti, id quod accidit adeo grave et ad perferendum difficile : quomodo verisimile sit animam tuam in hoc casu affici, quæ ipsi ita est subjecta, ut veluti bipartitam quamdam sectionem in conjugis separatione senserit? (4) Ejusmodi enim separatio non minus habet doloris, quam si media nostri corporis pars discinderetur. Ac tri-

(3) Ex epist. CCCII, 438.
(4) Ibid., 439.

stia quidem ejusmodi, et his majora; sed quæ in his quæ evenerunt consolatio? Primum quidem vigens illa ab initio lex Dei nostri, necesse omnino esse, ut quisquis natus fuerit, stato tempore de vita exeat. Si igitur sic res humanæ ab Adam ad nostra usque tempora constitutæ sunt, communes naturæ **540** casus animo iniquo ne feramus, sed Domini erga nos dispensationem amplectamur. (1) Ac semper quidem utilis Scripturarum doctrina, sed maxime ejusmodi temporibus. Memento igitur latæ a Creatore nostro sententiæ, per quam quotquot ex terra orti sumus, in terram revertimur [80]: nec quisquam ita magnus, ut dissolutioni non sit obnoxius. Admirandus ille vir erat quidem eximius et magnus, et corporis robori parem habens animi virtutem, fateor et ego; nemini sane in utroque secundus, sed tamen homo erat, et mortuus est, ut Adam, ut Noe, ut Abraham, ut Moses, ut alius quivis, quem ejusdem naturæ participem nominaveris. (2) Unum enim revera exemplar naturæ humanæ virum illum Conditor noster creaverat; unde omnes in eum conjiciebantur oculi, et lingua omnis res illius prædicabat; pictores autem et statuarii formæ dignitatem assequi non poterant; historici vero, dum res præclare in bello gestas referunt, in fabularum incredibilium incommodum incidunt. Quare ne adduci quidem plerique poterant, ut famæ tristem illum nuntium circumferenti crederent, aut omnino mortuum esse talem virum faterentur. Sed tamen perpessus est, quæ et cœlo et soli et terræ accident. (3) Ita igitur dolori moderare, ut neque illum animo projicias, neque a tristitia absorbearis.

12. (4) Eos autem, qui dum vivunt, mutuo conjunguntur, ac deinde morte a se invicem divelluntur, viatoribus cogita non esse absimiles, unam et eamdem euntibus viam, et propter continuam inter se confabulationem necessitudine atque consuetudine devinctis. Hi post emensum iter commune, ubi sectam viam repererint, necessitate jam cogente ut alter ab altero separetur, nequaquam consuetudine detenti negligunt quod sibi proposuerant: sed causam quæ se initio compulit, in memoriam revocantes, ad suam quisque metam contendunt. Quemadmodum igitur his alius erat viæ scopus, intercessit autem ex consuetudine inter ipsos, cum iter facerent, necessitudo quædam ac familiaritas: sic etiam iis qui nuptiis aut alia quapiam vitæ societate conjuncti sunt, fuit procul dubio præstitutus proprius quidam vitæ terminus; sed tamen ipsos inter se conjunctos prædefinitus vitæ finis necessario separavit ac sejunxit. (5) Itaque grati animi fuerit non ægre ferre

A ἡμῶν τοῦ σώματος ἀπεῤῥήγνυτο. Ἀλλὰ τὰ μὲν λυπηρὰ τοιαῦτα, καὶ μείζω τούτων· ἡ δὲ ἐπὶ τούτοις παραμυθία τίς; Ἡ ἐξ ἀρχῆς κεκρατηκυῖα τοῦ Θεοῦ ἡμῶν νομοθεσία· τὸ χρῆναι πάντως τὸν εἰς γένεσιν παρελθόντα, τοῖς καθήκουσι χρόνοις ἀπιέναι τοῦ βίου. Εἰ οὖν οὕτως ἀπὸ Ἀδὰμ μέχρις ἡμῶν τὰ ἀνθρώπινα διατέτακται, μὴ ἀγανακτῶμεν ἐπὶ τοῖς κοινοῖς τῆς φύσεως ἡμῶν παθήμασιν, ἀλλὰ καταδεχώμεθα τὴν ἐφ' ἡμῖν τοῦ Δεσπότου οἰκονομίαν. Πάντοτε μὲν γὰρ χρήσιμον τὸ τῶν Γραφῶν διδασκαλεῖον, μάλιστα δὲ ἐπὶ τῶν τοιούτων καιρῶν. Μνήσθητι τοίνυν τῆς τοῦ κτίσαντος ἡμᾶς ἀποφάσεως, δι' ἧς πάντες οἱ ἐκ τῆς γῆς φύντες, πάλιν εἰς τὴν γῆν ὑποστρέφομεν· καὶ οὐδεὶς οὕτω μέγας, ὥστε βελτίω φανῆναι τῆς διαλύσεως. Καλὸς μὲν οὖν καὶ μέγας ὁ θαυμαστὸς ἐκεῖνος, καὶ ἐφάμιλλος τῇ ῥώμῃ τοῦ σώματος B τὴν τῆς ψυχῆς ἀρετὴν, φημὶ κἀγώ· οὐμενοῦν ἔχων ὑπερβολὴν εἰς ἑκάτερα, ἀλλ' ὅμως ἄνθρωπος, καὶ τέθνηκεν, ὡς Ἀδὰμ, ὡς Νῶε, ὡς Ἀβραὰμ, ὡς Μωϋσῆς, ὡς ὅντινα ἂν εἴπῃς τῶν τῆς αὐτῆς φύσεως μετασχόντων. Ἓν τῷ ὄντι ὑπόδειγμα τῆς ἀνθρωπείας φύσεως τὸν ἄνδρα ἐκεῖνον ὁ κτίσας ἡμᾶς ἐδημιούργησεν· ὥστε πάντες μὲν ὀφθαλμοὶ πρὸς αὐτὸν ἐφέροντο· πᾶσα δὲ γλῶσσα τὰ κατ' αὐτὸν διεξῄει· γραφεῖς δὲ καὶ πλάσται τῆς ἀξίας ἀπελιμπάνοντο· ἱστορικοὶ δὲ ἄνδρες, τὰ κατ' ἀρετὴν ἀνδραγαθήματα διηγούμενοι, πρὸς τὴν τῶν μύθων ἐκπίπτουσιν ἀπιστίαν. Ὅθεν οὐδὲ πιστεύειν ἠνείχοντο οἱ πολλοὶ τῇ φήμῃ τὴν σκυθρωπὴν ἀγγελίαν περιαγούσῃ, οὐδὲ καταδέχεσθαι ὅλως, ὅτι τέθνηκεν ὁ τοιοῦτος. Ἀλλ' C ὅμως πέπονθεν ἃ καὶ οὐρανῷ καὶ ἡλίῳ καὶ γῇ συμβήσεται. Οὕτω τοίνυν τὸ πάθος μέτρησον, ὡς μήτε ἐκβαλεῖν τῆς καρδίας, μήτε καταποθῆναι ὑπὸ τῆς λύπης.

12. Τοὺς γὰρ κατὰ τὸν βίον συναφθέντας ἀλλήλοις, εἶτα θανάτῳ διισταμένους, ὁδοιπόροις λογίζου παραπλησίους, μίαν πορευομένοις ὁδὸν, καὶ διὰ τὴν συνεχῆ μετ' ἀλλήλων διατριβὴν ἑνωθεῖσιν ὑπὸ τῆς συνηθείας. Οἳ ἐπειδὰν τὴν κοινὴν ὁδὸν διεξελθόντες, καταλάβωσι λοιπὸν σχιζομένην αὐτὴν, τῆς χρείας ἤδη ἀναγκαίως μεριζούσης ἑκάτερον, οὐ τῇ συνηθείᾳ προσκαθεζόμενοι ἀμελοῦσι τῶν προκειμένων, ἀλλὰ τῆς ἐξ ἀρχῆς κινησάσης αὐτοὺς αἰτίας ὑπομνησθέντες, πρὸς τὸ οἰκεῖον ἕκαστος ἀποτρέχουσι D πέρας. Ὡς οὖν ἐκείνοις ἄλλος μὲν ἦν ὁ σκοπὸς τῆς ὁδοῦ, συνέβη δὲ αὐτοῖς ἡ κατὰ τὴν ὁδοιπορίαν ἐκ τῆς συνηθείας οἰκείωσις· οὕτω καὶ τοῖς ἐν γάμῳ, ἢ ἄλλῃ τινὶ κοινωνίᾳ βίου συνημμένοις, ἴδιον προέκειτο δηλονότι τῆς ζωῆς τὸ πέρας· συναφθέντας δὲ ἀλλήλοις, ἀναγκαίως τὸ προδιατεταγμένον τῆς ζωῆς τέλος ἐχώρισε καὶ διέλυσε. Εὐγνώμονος δὲ διανοίας, οὐκ ἐπὶ τῷ χωρισμῷ δυσφόρως ἔχειν τοῦ συναφθέντος, ἀλλ' ἐπὶ τῇ ἐξ ἀρχῆς συναφείᾳ χάριν ἔχειν τῷ συγκληρώσαντι. Σὺ δὲ, καὶ ὅτε περιῆν σοι

[80] Gen. III, 19.

(1) Ex epist. CCLXIX, 415.
(2) Ibid., 416.
(3) Ibid.

(4) Ex hom. *in mart. Julittam*, 38.
(5) Ibid.

ὁ ἀνὴρ ἢ τὸ παιδίον, ἢ ὁτιοῦν ὧν ὀδύρῃ νῦν, οὐχὶ χάριν εἶχες τῶν παρόντων τῷ δεδωκότι, ἀλλ' ἐνεκάλεις ὑπὲρ τῶν ἐλλειφθέντων. Εἰ μὲν ἀνδρὶ μόνῳ συνῴκεις, ὅτι μὴ παῖδες ἦσαν οἵους ἐβούλου· εἰ δὲ καὶ παῖδες παρῆσαν, ὅτι μὴ ὑπερεπλούτεις. Ὅρα τοίνυν, μήποτε αὐτοὶ ἑαυτοῖς ἀναγκαίας τῶν φιλτάτων τὰς στερήσεις κατασκευάζωμεν· παρόντων μὲν, οὐκ αἰσθανόμενοι, παρελθόντων δὲ, περιεχόμενοι. Ἐπειδὴ γὰρ παρακειμένων τῶν ἐκ Θεοῦ ἀγαθῶν οὐκ εὐχαριστοῦμεν, ἀναγκαία ἡμῖν ἡ ἀφαίρεσις διὰ τὴν αἴσθησιν γίνεται. Ὥσπερ γὰρ οἱ ὀφθαλμοὶ τὸ ἄγαν προκείμενον οὐχ ὁρῶσιν, ἀλλὰ δέονται συμμέτρου τινὸς ἀποστάσεως· οὕτω καὶ αἱ ἀχάριστοι ψυχαὶ ἐοίκασιν ἐν τῇ ἀλλοτριώσει τῶν ἀγαθῶν τῆς παρελθούσης χάριτος ἐπαισθάνεσθαι. Ὅτε γὰρ ἀπέλαυον τῶν χρηστοτέρων, οὐδεμίαν χάριν τῷ δεδωκότι γινώσκοντες· μετὰ τὴν στέρησιν, τὸ παρελθὸν μακαρίζουσιν. Ἀλλ' ἡμεῖς ἀφέντες τὰς ἐπὶ τοῖς ἀποῦσι λύπας, διδαχθῶμεν τὴν ἐπὶ τοῖς παροῦσιν εὐχαριστίαν ἀποδιδόναι. Εἴπωμεν, ἐν μὲν ταῖς σκυθρωποτέραις περιστάσεσι τῶν πραγμάτων, τῷ σοφῷ ἰατρῷ· *Ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.* Εἴπωμεν· *Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με.* Εἴπωμεν, ὅτι *Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.* Εἴπωμεν, ὅτι *Ὀλίγα ὧν ἡμάρτομεν μεμαστιγώμεθα.* Παρακαλέσωμεν τὸν Κύριον, ὅτι *Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ. Ἐλεγχόμενοι γὰρ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.* Ἐν δὲ τῇ φαιδροτέρᾳ τοῦ βίου διαγωγῇ ἐκείνην λέγωμεν τοῦ Δαβὶδ τὴν φωνήν· *Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;* καλῶς ἀποροῦντος τοῦ Προφήτου, καὶ περισκοποῦντος αὐτοῦ τὴν πενίαν, ὅτι οὐδὲν ἔχει πρὸς ἀντίδοσιν ἄξιον· ὃς ἐφ' οὕτω μεγάλαις καὶ λαμπραῖς εὐεργεσίαις, οὐμενοῦν ἐχούσαις ὑπερβολὴν, πολλαπλασίονα ἡμῖν τὰ εἰς ὕστερον ἐπαγγέλλεται ἀγαθὰ, *Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.* Ὧν καὶ ἡμεῖς ἐπιτύχοιμεν, ἐκ τῶν παθῶν τῆς σαρκὸς ἑαυτοὺς ἐκκαθάραντες, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A separationem illius qui conjunctus fuerat: sed ei qui hujusce consortii auctor fuerat, gratiam ob primam conjunctionem habere. Tu quoque cum superstes esset vir tuus, aut infantulus, aut quodlibet eorum quæ nunc lamentaris, nullas grates rependebas bonorum præsentium largitori: imo de absentibus conquerebaris. Et quidem si absque prole cum viro degebas, querebare quod filii quales desiderasses, tibi non essent: sin autem habebas filios, dolebas quod non afflueres divitiis. Cave igitur, ne forte charissimorum privationem nobis ipsis reddamus necessarium, cum non afficiamur illorum præsentia, sed amissos desideremus. Quoniam enim pro præsentibus bonis a Deo collatis grates non persolvimus: ideo privari B nos iis necesse est, ut affectus noster **541** commoveatur. Quemadmodum enim non vident oculi quod nimium propre admotum est, sed congruenti aliquo spatio indigent: ita et ingratæ animæ per bonorum abalienationem videntur de præterito beneficio affici. Nam cum fruerentur bonis, nullam tum gratiam habebant largitori; sed ubi sunt iis spoliatæ, id ipsum quod evanuit, laudant æstimantque. (1) Nos autem mœrorem ex iis quæ desunt emergentem amandantes, discamus ob præsentia gratias exsolvere. Dicamus sapienti medico in tristioribus rerum infortuniis, *In tribulatione parva, disciplina tua nobis* [81]. Dicamus: *Bonum mihi quia humiliasti me* [82]. Dicamus: *Non sunt condignæ* C *passiones hujus temporis ad futuram gloriam quæ revelabitur in nobis* [83]. Dicamus: *Pauca præ iis quæ peccavimus accepimus verbera* [84]. Obsecremus Dominum: *Castiga me, Domine, verumtamen in judicio, et non in furore* [85]. *Cum enim redarguimur, a Domino corripimur, ut non cum hoc mundo damnemur* [86]. At vero in lætiore vitæ statu emittamus illam Davidis vocem: *Quid retribuemus Domino pro omnibus quæ retribuit nobis* [87]? recte nimirum dubitante Propheta, ac inopiam suam circumspiciente, talem videlicet, ei ut nihil suppeteret dignum quod retribueret. Dominus enim post beneficia adeo magna splendidaque, et quibus nihil præstantius, nobis in posterum multo majora pollicetur, *Quæ oculus non vidit, nec auris audivit, et* D *in cor hominis non ascenderunt quæ præparavit Deus diligentibus se* [88]. Quæ utinam nos corporeis his affectibus repurgati consequi etiam valeamus, per gratiam ac humanitatem Domini nostri Jesu Christi, cui gloria, et potestas, nunc et semper, et in sæcula sæculorum. Amen.

ΠΕΡΙ ΛΥΠΗΣ ΚΑΙ ΑΘΥΜΙΑΣ.

ΛΟΓΟΣ ΙΒ'.

1. Ὅταν ἴδω καὶ τὸ κακὸν εὐοδούμενον, καὶ τὴν ὑμετέραν εὐλάβειαν κεκμηκυῖαν καὶ ἀπαγορεύουσαν πρὸς τὸ συνεχὲς τῶν ἐπηρειῶν, ἀθυμίας πληροῦ-

DE TRISTITIA ET ANIMI DEJECTIONE.

SERMO XII.

1. (2) Cum video et malum ad optatos exitus perduci, et vestram pietatem defatigari, animumque despondere ob continuas calamitates, mœstitia

[81] Isa. xxvi, 16. [82] Psal. cxviii, 71. [83] Rom. viii, 18. [84] Job xv, 11. [85] Jerem. x, 24. [86] I Cor. xi, 22. [87] Psal. cxv, 12. [88] I Cor. ii, 9.

(1) Ex hom. in mart. *Julittam*, 40.

(2) Ex epist. ccxlvi, 583.

repleor. Sed rursus cum magnam Dei manum considero, eumque nosse et confractos erigere, et justos diligere, superbos vero conterere, et potentes de suis sedibus dejicere: rursus immutatus spe concepta allevor. (1) Novi et persuasum habeo, quod et vobis notum esse volo, celerem adfuturam opem, nec perpetuam derelictionem futuram. Quod enim passi sumus, ob peccata nostra passi sumus; sed opem suam, ob suum in servos suos amorem ac misericordiam, benignus ostendet. (2) Sive enim peccatorum solvimus pœnas, sufficiunt flagella ad evertendam deinceps Dei in nos iram [89]; sive ad sustinenda pro pietate certamina his tentationibus vocamur, justus est certaminum arbiter, ut non sinat tentari nos ultra quam ferre possumus: sed nobis reddat pro toleratis jam laboribus, patientiæ et spei in ipsum nostræ coronam. (3) Quis enim animo ita adamantino, quis ita commiserationis omnis ac mansuetudinis expers, ut audiens gemitum **542** undique auras nostras ferientem, velut ex tristi quodam choro communem quamdam ac consonam lamentationem edente, non animo doleat, non humi procumbat, et non penitus inextricabilibus his curis tabescat? Hæc autem dico, (4) non consolandi gratia: quis enim sermo inveniatur tantæ medicus calamitatis? sed cordis mei dolorem, quantum possumus, vobis hac voce significo.

2. (5) Perspeximus enim astutiam belli diabolici, qui, ubi vidit in hostium persecutionibus multiplicari in vobis virtutem, ac magis florere, mutavit suum ipsius consilium, nec jam aperte bellum gerit, sed occultas nobis insidias struit, obtegens callidam nocendi voluntatem nomine quod circumferunt hostes, ut et patiamur eadem quæ patres nostri, nec videamur pati pro Christo, eo quod Christianorum nomen habeant et ipsi persecutores. (6) Hæc nos perculserunt, et propemodum mente emoverunt. Ad has autem cogitationes illa etiam accessit: Num Dominus servos suos reliquit? num novissima hora est, et defectio per hæc ingreditur, ut reveletur tandem iniquus ille, filius perditionis, qui adversatur, et effertur adversus omnem qui dicitur Deus aut numen [90]? Sed tamen sive temporaria est ista tentatio, ferte illam, ut boni Christi athletæ: sive etiam res summo interitui traditæ sunt, animo ne concidamus ob præsentia, sed exspectemus e cœlis revelationem, et adventum magni Dei et Salvatoris nostri Jesu Christi. Etenim si creatura omnis dissolvetur, et transmutabitur mundi hujus figura, quid mirum

A μαι. Ὅταν δὲ πάλιν τὴν μεγάλην χεῖρα τοῦ Θεοῦ ἐννοήσω, καὶ ὅτι οἶδεν ἀνορθοῦν τοὺς κατεῤῥαγμένους καὶ ἀγαπᾷν δικαίους, συντρίβειν τε ὑπερηφάνους, καὶ καθαιρεῖν ἀπὸ θρόνων δυνάστας· πάλιν μεταβαλὼν, κουφότερος γίνομαι ταῖς ἐλπίσι. Καὶ οἶδα καὶ πέπεισμαι, ὃ καὶ ὑμᾶς γινώσκειν βούλομαι, ὅτι ταχεῖα ἔσται ἡ ἀντίληψις, καὶ οὐκ εἰς τέλος ἔσται ἡ ἐγκατάλειψις. Ἃ μὲν γὰρ πεπόνθαμεν, διὰ τὰς ἁμαρτίας ἡμῶν πεπόνθαμεν· τὴν δὲ αὐτοῦ βοήθειαν διὰ τὴν περὶ τοὺς δούλους αὐτοῦ ἀγάπην καὶ εὐσπλαγχνίαν ὁ φιλάνθρωπος ἐπιδείξεται. Εἴτε γὰρ ἁμαρτημάτων ἀποτίννυμεν δίκας, ἱκαναὶ αἱ μάστιγες πρὸς παραίτησιν λοιπὸν τῆς ἐφ' ἡμῖν ὀργῆς τοῦ Θεοῦ· εἴτε εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας διὰ τῶν πειρασμῶν τούτων κεκλήμεθα, B δίκαιος ὁ ἀθλοθέτης μὴ ἐᾶσαι ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα ὑπενεγκεῖν· ἀλλ' ἐπὶ τοῖς πεπονημένοις ἀποδοῦναι ἡμῖν τὸν τῆς ὑπομονῆς καὶ τῆς εἰς αὐτὸν ἐλπίδος στέφανον. Τίς γὰρ οὕτως ἀδαμάντινος τὴν ψυχὴν, τίς οὕτως παντελῶς ἀσυμπαθὴς καὶ ἀνήμερος, ὡς ἀκούων τοῦ πανταχόθεν ἡμᾶς (7) προσβάλλοντος στεναγμοῦ, οἷον ἀπό τινος χοροῦ κατηφοῦς, κοινόν τινα θρῆνον καὶ σύμφωνον προσηχοῦντος, μὴ οὐχὶ παθεῖν τὴν ψυχὴν, καὶ καταχαμρθῆναι εἰς γῆν, καὶ ταῖς ἀμηχάνοις ταύταις ἀνίαις παντελῶς ἐκτακῆναι; Ταῦτα δὲ λέγω, οὐ παρακλήσεως ἕνεκεν, (τίς γὰρ καὶ λόγος εὑρεθείη τοσαύτης συμφορᾶς ἰατρός;) ἀλλὰ τὴν ὀδύνην τῆς καρδίας μου, καθ' ὅσον δυνατὸν, ἐκ τῆς φωνῆς ταύτης ὑμῖν διασημαίνων.

C 2. Ἐλογισάμην γὰρ τὸ ἔντεχνον τοῦ διαβολικοῦ πολέμου· ὃς ἐπειδὴ εἶδεν ἐν ταῖς παρὰ τῶν ἐχθρῶν ἐπηρείαις πληθυνομένην τὴν ἀρετὴν ἐν ὑμῖν, καὶ μᾶλλον θάλλουσαν, μετέστρεψεν ἑαυτοῦ τὴν βουλὴν, καὶ οὐκ ἔτι ἐκ τοῦ προφανοῦς πολεμεῖ, ἀλλὰ κεκρυμμένας (8) ἡμῖν τὰς ἐνέδρας τίθησι, καλύπτων αὐτοῦ τὴν ἐπιβουλὴν διὰ τοῦ ὀνόματος οὗ περιφέρουσιν οἱ πολέμιοι· ἵνα καὶ πάθωμεν τὰ αὐτὰ τοῖς πατράσιν ἡμῶν, καὶ μὴ δόξωμεν πάσχειν ὑπὲρ Χριστοῦ, διὰ τὸ Χριστιανῶν ὄνομα ἔχειν καὶ τοὺς διώκοντας. Ταῦτα ἡμᾶς ἐξέπληξε, καὶ μικροῦ δεῖν (9), ἔξω ἐποίησε τῶν λογισμῶν. Συνεισῆλθε δὲ τούτοις τοῖς διαλογισμοῖς κἀκείνη ἡ ἔννοια· Ἆρα μὴ ἐγκατέλιπεν ἑαυτοῦ τοὺς δούλους ὁ Κύριος; ἆρα μὴ ἐσχάτη ὥρα ἐστὶ, καὶ ἡ ἀποστασία διὰ τούτων λαμ- D βάνει τὴν εἴσοδον, ἵνα λοιπὸν ἀποκαλυφθῇ ὁ ἄνομος, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος, καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα; Πλὴν, εἴτε πρόσκαιρός ἐστιν ὁ πειρασμὸς, βαστάσατε αὐτὸν ὡς καλοὶ (10) τοῦ Χριστοῦ ἀγωνισταί· εἴτε καὶ τῇ παντελεῖ φθορᾷ τὰ πράγματα παραδέδοται, μὴ ἀκηδιάσωμεν πρὸς τὰ παρόντα· ἀλλ' ἀναμείνωμεν τὴν ἐξ οὐρανῶν ἀποκάλυψιν καὶ ἐπι-

[89] I Cor. x, 13. [90] II Thess. ii, 3.

(1) Ex epist. ccxlvii, 383.
(2) Ex epist. ccl, 232.
(3) Ibid.
(4) Ex epist. xxix, 109.
(5) Ex epist. cxxxix, 230.
(6) Ibid., 231.
(7) Ἡμᾶς. Sic Regius codex cum contextu. Editi ὑμᾶς.
(8) Κεκρυμμένας. Sic idem codex et contextus. Editi κεκρυμμένως.
(9) Μικροῦ δεῖν. Deest postrema vox in utroque codice Regio.
(10) Ὡς καλοί. Contextus οἱ καλοί.

φάνειαν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰ γὰρ πᾶσα ἡ κτίσις λυθήσεται, καὶ μεταποιηθήσεται τὸ σχῆμα τοῦ κόσμου τούτου, τί θαυμαστὸν καὶ ἡμᾶς, μέρος ὄντας τῆς κτίσεως, παθεῖν τὰ κοινὰ πάθη, καὶ παραδοθῆναι θλίψεσιν, ἃς κατὰ τὸ μέτρον τῆς δυνάμεως ἡμῶν ὥρισεν ὁ δίκαιος κριτής, οὐκ ἐῶν ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ διδοὺς σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν; Μὴ τοίνυν ἀποκάμωμεν, ἀδελφοί· ἀναμένουσι γὰρ ἡμᾶς οἱ τῶν μαρτύρων στέφανοι· ἕτοιμοί εἰσιν οἱ χοροὶ ὁμολογητῶν προτεῖναι ὑμῖν (1) τὰς χεῖρας, καὶ δέξασθαι ὑμᾶς εἰς τὸν ἴδιον ἀριθμόν. Μνήσθητε τῶν πάλαι ἁγίων, ὅτι οὐδεὶς τρυφῶν, οὐδὲ κολακευόμενος, τῶν στεφάνων τῆς ὑπομονῆς ἠξιώθη· ἀλλὰ πάντες διὰ μεγάλων θλίψεων πυρωθέντες, τὸ δοκίμιον ἐπεδείξαντο. Μακάριος ὁ καταξιωθεὶς τῶν ὑπὲρ Χριστοῦ παθημάτων. Μακαριώτερος δὲ ὁ πλεονάσας ἐν τοῖς παθήμασι· διότι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Ὁ γὰρ μὴ ὑποπεσὼν ταῖς θλίψεσιν, ἀλλὰ διὰ τῆς πρὸς Θεὸν ἐλπίδος, τῆς λύπης τὸ βάρος ὑπενεγκὼν, μεγάλην ἔχει παρὰ Θεῷ τῆς ὑπομονῆς τὴν ἀντίδοσιν.

A est nos quoque, qui rerum creatarum pars sumus, communibus malis affici, ac tradi afflictionibus, quas pro virium nostrarum modulo infligit nobis justus judex, non tentari nos sinens supra id quod possumus, sed dans una cum tentatione exitum, ut perferre possimus [91]? Ne igitur deficiamus, fratres: exspectant enim nos martyrum coronæ: parati sunt confessorum chori manus vobis porrigere, inque suum numerum recipere. Memineritis veterum sanctorum, quorum nemo deliciis inserviens, aut adulationibus delinitus, coronas patientiæ consecutus est; sed omnes per magnas afflictiones quasi per ignem tentati, experimentum sui dederunt. (5) Beatus qui dignus habetur, qui patiatur pro Christo. Beatior qui majora B patitur, quandoquidem afflictiones temporis præsentis dignæ non sunt, quæ comparentur cum gloria, quæ deinceps revelabitur in nobis. (6) Qui enim non succumbit afflictionibus, sed per spem in Deum doloris pondus tolerat, is magnam habet apud Deum patientiæ mercedem.

3. Ὥσπερ οὖν οἱ σκώληκες τοῖς ἁπαλωτέροις τῶν ξύλων ἐντίκτονται μάλιστα, οὕτως αἱ λῦπαι τοῖς μαλακωτέροις ἤθεσι τῶν ἀνθρώπων ἐμφύονται. Οὔτε δὲ γυναιξὶν, οὔτε ἀνδράσιν ἐπιτέτραπται τὸ πολυπενθὲς καὶ πολύδακρυ· ἀλλ' ὅσον ἐπιστυγνάσαι τοῖς λυπηροῖς, καὶ μικρόν τι δάκρυον ἐπιστάξαι, καὶ τοῦτο ἡσυχῇ, μὴ ἀναβρυχόμενον, μηδὲ ὀλολύζοντα, μηδὲ καταῤῥηγνύντα χιτῶνα, ἢ κόνιν χεόμενον, μηδ' ἄλλο τι τοιοῦτον ἀσχημονοῦντα τῶν ἐπιτηδευομένων παρὰ τῶν ἀπαιδεύτως ἐχόντων πρὸς τὰ ἀνθρώπινα (2). Ἀνάνδρου γὰρ ψυχῆς, καὶ οὐδένα τόνον (3) ἐκ τῆς ἐπὶ Θεὸν ἐλπίδος ἐχούσης, τὸ σφοδρῶς καταῤῥήγνυσθαι καὶ ὑποπίπτειν τοῖς λυπηροῖς. Τὸ μὲν γὰρ δάκρυον, ὥσπερ ἐκ πληγῆς (4) τινος, τῆς προσβολῆς τοῦ ἀβουλήτου τὴν ψυχὴν τύπτοντος καὶ συστέλλοντος, καταθλιβομένου τοῦ περικαρδίου πνεύματος, ἀποτίκτεσθαι πέφυκεν· ἡ δὲ χαρὰ οἷον σκίρτημά τί ἐστι τῆς ψυχῆς ἐπαγαλλομένης τοῖς κατὰ γνώμην. Ὅθεν καὶ τὰ περὶ τὸ σῶμα συμπτώματα διενήνοχε. Τοῖς μὲν γὰρ λυπουμένοις, ὕπωχρος καὶ πελιδνὸς καὶ κατεψυγμένος ὁ ὄγκος· τοῖς δὲ φαιδρυνομένοις, ἐξανθοῦσα καὶ ὑπέρυθρος ἡ τοῦ σώματος ἕξις, μονονουχὶ πηδώσης τῆς ψυχῆς, καὶ προωθουμένης ὑφ' ἡδονῆς εἰς τὸ ἔξω. Καὶ πολλοὺς ἔγνωμεν ἐν συμφοραῖς ἀνηκέστοις ἀποστάξαι δάκρυον βιαίως ἐγκαρτερήσαντας· εἶτα τοὺς μὲν εἰς ἀνήκεστα ἐκπεσόντας πάθη, ἀποπληξίας ἢ παραλύσεις· τοὺς δὲ καὶ παντελῶς ἀποψύ-

3. (7) Quemadmodum igitur in lignis tenerioribus gignuntur vermes: sic tristitia in molliore hominum indole innascitur. **543** Nec vero mulieribus, neque viris effusior ille luctus fletusque permissus est: sed tantum, quantum fas est, afflictari de adversis, et parum lacrymari, idque ta- C cite, sine fremitibus, sine ejulatibus, adeo ut nec vestis scindatur, nec cinis inspergatur, nec aliud quidquam eorum indecore fiat, quæ studiose facere solent qui ad humanos casus nulla imbuti fuere disciplina. Etenim animi est ignavi, nullumque ex reposita in Deo spe robur habentis, frangi admodum, et adversis succumbere. (8) Nam lacrymæ velut ex quodam ictu, ex improviso casu percutiente animam, eamque contrahente, compresso circa cor spiritu, oriri consuevere: gaudium vero est animæ ob res ex sententia succedentes gestientis, quidam quasi saltus. Hinc differunt corporis symptomata. Tristes quidem subpallidam lividamque ac rigentem habent corporis molem: D inest vero efflorescens quædam et subrubra corporis habitudo lætis et hilaribus, anima tantum non prosiliente et prorumpente ad exteriora præ voluptate. (9) Ac novimus multos in gravissimis adversitatibus sibi per vim a lacrymis temperasse; quorum alii posthac in immedicabiles morbos inciderunt, in apoplexiam, paralysimque; alii vero omnino supremum diem obierunt, quod eorum vires,

[91] I Cor. x, 13.

(1) Ὑμῖν. Sic Regius codex 1992, cum contextu, et paulo post ὑμᾶς. Editi ἡμῖν et ἡμᾶς.
(2) *Πρὸς τὰ ἀνθρώπινα.* Haud scio an melior sit hæc scriptura, quam quod in contextu legitur, πρὸς τὰ οὐράνια.
(3) *Τόνον.* Sic contextus. Editi nostri τόπον.
(4) *Πληγῆς.* Sic etiam contextus, multo aptius quam editi nostri, πηγῆς.
(5) Ex epist. cxxxix. 231.
(6) Ex epist. cccii, 439.
(7) Ex hom. *De gratiarum actione*, 30.
(8) Ibid., 28.
(9) Ibid., 29.

A quasi debile quoddam fulcrum, pondere tristitiæ frangerentur. Nam quod videre in flamma licet, quam fumus proprius, si non exeat, sed circumvolvatur, suffocat; id etiam in facultate, qua animal constituitur, fieri dicunt, nimirum extabescere illam et exstingui præ doloribus, si nullus ad exteriora aperiatur exitus. (1) Cur enim Lazari causa Christus flevit? certe ut querulorum ac luctus amantium ad flendum propensionem, animique eorum demissionem sanaret. Quod enim citra ullam animi commotionem, sed ad erudiendos nos lacrymatus est Dominus, perspectum est ac manifestum ex illo: *Lazarus amicus noster dormit, sed vado ut a somno excitem eum* [92]. Quis nostrum deflet amicum dormientem, quem aliquanto post
B sperat expergefactum iri? *Lazare, veni foras* [93]. Mortuus revocabatur ad vitam; alligatus ambulabat. Inest miraculum in miraculo. Pedes ligabantur institis, nec tamen a motu prohibebatur. Etenim aderat vis quædam obice major. Quomodo igitur Dominus, qui erat talia facturus, casum illum lacrymis dignum judicasset? Annon palam est, ipsum infirmitatem nostram undique suffulcientem, eas affectiones quæ inevitabiles sunt et necessariæ, intra modos quosdam ac terminos continuisse? Apathiam quidem vitavit tanquam quiddam ferinum: noluit tamen mœrori ac tristitiæ deditus esse, ac multum lacrymari, quod hoc illiberale esset et ignavum. (2) At vero Job, quid? num illi adamantinum erat cor? num com-
C pacta ei erant ex saxo viscera? Ceciderunt ei decem liberi in brevi temporis momento, una plaga obtriti, in domo jucunditatis, in tempore deliciarum, decutiente in eos domum diabolo. Vidit mensam sanguine immistam, vidit liberos diverso quidem tempore natos, sed unum communemque sortitos vitæ exitum. Non ejulavit, **544** non comam evellit, non emisit vocem ullam degenerem, sed celebrem illam et ab omnibus decantatam gratiarum actionem protulit: *Dominus dedit, Dominus abstulit: sicut Domino placuit, ita et factum est; sit nomen Domini benedictum* [94]. Num homo ille erat expers affectionum? At quomodo? cum ipse de se dicat: *Ego flevi super omni afflicto* [95]. Estne his dicendis mentitus? Imo vero
D præter cæteras virtutes veritas veracem eum quoque fuisse declarat, his verbis: *Homo inculpatus, justus, pius, verax* [96]. Verum hominum plerique cantilenis quibusdam ad mœstitiam compositis ad flendum abutuntur, studentque animum suum modulis lugubribus absumere; et quemadmodum peculiaria sunt tragœdis fictio et apparatus, quocum theatra conscendunt: ita et lugenti hanc existimant speciem convenire, vestem atram, comam

A ξαντας, ὥσπερ ἐρείσματος ἀσθενοῦς τῆς δυνάμεως αὐτῶν τῷ βάρει τῆς λύπης ἀποκλασθείσης. Ὃ γὰρ ἐπὶ τῆς φλογὸς ὁρᾷν ὑπάρχει, ὑπὸ τοῦ οἰκείου αὐτὴν καπνοῦ καταπνίγεσθαι, μὴ ὑπεξιόντος, ἀλλὰ περὶ αὐτὴν εἰλουμένου· τοῦτό φασι καὶ ἐπὶ τῆς οἰκονομούσης τὸ ζῶον δυνάμεως γίνεσθαι· ἀπομαραίνεσθαι γὰρ ὑπὸ τῶν ὀδυνηρῶν καὶ κατασβέννυσθαι, μηδεμιᾶς γενομένης ἐπὶ τὸ ἔξω διαπνοῆς. Τίνος γὰρ ἕνεκεν ἐπὶ τῷ Λαζάρῳ ὁ Χριστὸς ἐδάκρυε; τῶν ὀδυρτικῶν πάντως καὶ φιλοθρήνων τὸ ἄγαν περιπαθὲς καὶ ταπεινὸν ἐπανορθούμενος. Ὅτι γὰρ οὐκ ἐμπαθὲς ἦν τὸ δάκρυον τοῦ Κυρίου, ἀλλὰ καὶ διδασκαλικὸν, ἐκεῖθεν δῆλον· *Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν*. Τίς δὲ ἡμῶν κοιμώμενον ὀδύρεται
B φίλον, ὃν μικρὸν ὕστερον προσδοκᾷ διυπνίζειν; *Λάζαρε, δεῦρο ἔξω*· καὶ ὁ νεκρὸς ἐζωοποιεῖτο, καὶ ὁ δεδεμένος περιεπάτει. Θαῦμα ἐν θαύματι· κειρίαις δεδέσθαι τοὺς πόδας, καὶ μὴ κωλύεσθαι πρὸς τὴν κίνησιν· μεῖζον γὰρ ἦν τὸ ἐνισχύον τοῦ ἐμποδίζοντος. Πῶς οὖν ὁ τὰ τοιαῦτα ἐνεργεῖν μέλλων, δακρύων ἄξιον τὸ συμβὰν ἔκρινεν; Ἢ δῆλον, ὅτι πανταχόθεν ἡμῶν τὸ ἀσθενὲς ὑπερείδων, μέτροις τισὶ καὶ ὅροις τὰ ἀναγκαῖα περιέλαβε πάθη· τὸ μὲν ἀσυμπαθὲς ὡς θηριῶδες ἐκκλίνων, τὸ δὲ φιλόλυπον καὶ πολύθρηνον ὡς ἀγεννὲς παραιτούμενος. Ὁ δὲ Ἰὼβ, τί; μὴ ἀδαμάντινος ἦν τὴν καρδίαν; μὴ ἐκ λίθου ἦν αὐτῷ πεποιημένα τὰ σπλάγχνα; Ἔπεσον αὐτῷ δέκα παῖδες ἐν βραχείᾳ καιροῦ ῥοπῇ, μιᾷ πληγῇ συντριβέντες,
C καὶ ἐν τῷ οἴκῳ τῆς θυμηδίας, ἐν τῷ καιρῷ τῆς ἀπολαύσεως, ἐπικατασείσαντος αὐτοῖς τοῦ διαβόλου τὸ οἴκημα. Εἶδε τράπεζαν αἵματι μεμιγμένην· εἶδε παῖδας διαφόρως μὲν κατὰ τὸν χρόνον ἀποτεχθέντας, κοινῇ δὲ ὑπεξελθόντας τοῦ βίου (3) τὸ τέλος. Καὶ οὐκ ᾤμωξεν, οὐ κατετίλατο κόμην, οὐκ ἀφῆκέ τινα φωνὴν ἀγεννῆ, ἀλλὰ τὴν ἀοίδιμον ἐκείνην καὶ παρὰ πᾶσιν ἀνυμνουμένην εὐχαριστίαν ἀπεφθέγξατο· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον*. Μὴ ἀσυμπαθὴς ὁ ἄνθρωπος; Καὶ πῶς; ὅς γε περὶ ἑαυτοῦ λέγει· *Ἐγὼ ἔκλαυσα ἐπὶ παντὶ θλιβομένῳ*. Ἀλλὰ ἄρα μὴ ἐψεύδετο ταῦτα λέγων; Καὶ μὴν μαρτυρεῖ αὐτῷ ἡ ἀλήθεια, ὅτι πρὸς ταῖς λοιπαῖς ἀρεταῖς καὶ ἀληθινὸς ἦν· *Ἄνθρωπος* γὰρ,
D φησὶν, *ἄμεμπτος, δίκαιος, θεοσεβής, ἀληθινός*. Ἀλλ' οἱ πολλοὶ τῶν ἀνθρώπων ᾠδαῖς τισι πρὸς τὸ κατηφὲς πεποιημέναις καταθρηνοῦσι, καὶ μέλεσι γοεροῖς ἐκτήκειν ἑαυτῶν τὰς ψυχὰς ἐπιτηδεύουσι· καὶ ὥσπερ τῶν τραγῳδῶν ἴδιόν ἐστι τὸ ἀνάπλασμα καὶ ἡ σκευὴ, μεθ' ἧς τὰ θέατρα καταλαμβάνουσιν· οὕτως οἴονται προσήκειν καὶ τῷ πενθοῦντι πρέπον εἶναι σχῆμα, μέλαν ἱμάτιον, καὶ αὐχμηρὰν κόμην, καὶ σκότος ἐν οἰκίᾳ, καὶ ῥύπον, καὶ κόνιν, καὶ μέλος στυγνὸν, ἀεὶ νεαρὸν τῆς λύπης τὸ τραῦμα τῇ ψυχῇ

[92] Joan. xi, 11. [93] ibid. 43. [94] Job i, 21. [95] Job xxx, 25. [96] Job i, 1.

(1) Ex hom. *De gratiarum actione*, 29.
(2) Ibid., 30.

(3) *Βίου*. Addidimus hanc vocem ex codice Regio et contextu.

διασώζοντι (1)· οὐκ εἰδότες (2), ὅτι ψυχὴ ἡ ἅπαξ προσδεθεῖσα τῷ πόθῳ τοῦ κτίσαντος, καὶ τοῖς ἐκεῖ κάλλεσιν ἐνειθισμένη φαιδρύνεσθαι, τὸ περιχαρὲς αὐτῆς καὶ εὔθυμον ὑπὸ τῆς ποικίλης μεταπτώσεως τῶν σαρκικῶν παθημάτων οὐ μεταβαλεῖ, ἀλλὰ τὰ τοῖς ἄλλοις λυπηρὰ προσθήκην εὐφροσύνης ποιήσεται. Ὥσπερ γὰρ οἱ ἀσθενεῖς τὰ ὄμματα, των ἄγαν λαμπρῶν τὰς ὄψεις ἀπάγοντες, ἄνθεσι καὶ πόαις προσαναπαύουσιν· οὕτω χρὴ καὶ τὴν ψυχὴν μὴ συνεχῶς καταβλέπειν τὸ λυπηρὸν, μηδὲ τοῖς παροῦσιν ἀνιαροῖς προσκεῖσθαι, ἀλλὰ πρὸς τὴν θεωρίαν τῶν ὄντως ἀγαθῶν περιάγειν αὐτῆς τὰ ὄμματα.

A squalidam, tenebras in domo, sordes, pulverem, et lugubrem cantum, mœroris vulnus semper recens in animo servanti : nescientes animam quæ semel Conditoris sui capta est desiderio, earumque rerum quæ illic sunt pulchritudine exhilarari assuevit, summum illud gaudium et alacritatem, corporearum perturbationum vicissitudine non mutare, imo quæ cæteris sunt molesta, ad lætitiæ accessionem convertere. (5) Ut enim ii, quibus oculi infirmi sunt, obtutus suos a rebus nimis fulgidis deflectunt, eosque florum et herbarum recreant conspectu : ita quoque non debet anima semper sibi res tristes ponere ob oculos, nec jugiter in præsentibus ærumnis defigi, sed bona vera speculari.

4. Αἱ γὰρ λῦπαι τὴν ψυχὴν, ὡς τὸ πῦρ τὸν χρυσὸν, ἀπελέγχουσι· καὶ τῷ ὄντι τοῖς καλῶς παρεσκευασμένοις αἱ θλίψεις οἱονεὶ τροφαί τινές εἰσιν, ἀθλητικὰ (3) γυμνάσια, ἐπὶ τὴν πατρῴαν δόξαν τὸν ἀγωνιστὴν προβιβάζουσαι. Ἡ δὲ εἰς ἄγαν κατήφεια γίνεται τῆς ἁμαρτίας αἰτία, τῆς μὲν λύπης βαπτιζούσης τὸν νοῦν καὶ ἀμηχανίας ἐμποιούσης ἴλιγγον, τῆς δὲ ἀπορίας τῶν λογισμῶν τὴν ἀχαριστίαν ἀπογεννώσης. Αἰσχρὸν οὖν, εὐλογεῖν μὲν ἡμᾶς ἐπὶ τοῖς χρηστοτέροις, σιωπᾷν δὲ ἐπὶ τοῖς σκυθρωποτέροις καὶ ἐπιπόνοις πράγμασιν. Ἀλλὰ τότε καὶ πλέον εὐχαριστεῖν δεῖ, εἰδότας, ὅτι *Ὃν ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.* Καὶ ῥύεται ἐκ θλίψεως τοὺς ἁγίους αὐτοῦ ὁ Θεὸς, οὐχ ἀδοκιμάστους αὐτοὺς καταλιμπάνων, ἀλλὰ τὴν ὑπομονὴν αὐτοῖς χαριζόμενος. Εἰ γὰρ ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν· ὁ τὴν θλίψιν ἀφαιρούμενος, τῆς δοκιμῆς ἑαυτὸν ἀπεστέρησεν. Ὡς οὖν οὐδεὶς στεφανοῦται ἄνευ ἀνταγωνιστοῦ, οὕτως οὐδὲ δόκιμος ἀποφανθῆναι δύναται εἰ μὴ (4) διὰ θλίψεων. Ἐκ πασῶν οὖν τῶν θλίψεων ῥύσεται αὐτοὺς, οὐχὶ μὴ ἐῶν αὐτοὺς θλίβεσθαι, ἀλλὰ σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν χαριζόμενος. Ὁ δὲ λέγων μὴ πρέπειν τῷ δικαίῳ τὴν θλίψιν, οὐδὲν ἕτερον λέγει, ἢ μὴ ἁρμόζειν τῷ ἀθλητῇ ἀνταγωνιστήν.

4. Molestiæ siquidem animum, ut ignis aurum probant : (6) atque reipsa afflictiones, quasi quæ- B dam alimenta ac athleticæ exercitationes, sunt bene præparatis atque instructis : quæ athletam ad paternam gloriam deducunt. (7) Nimia vero tristitia causa fit peccati, quod demergat mentem mœror, inducatque vertiginem desperatio, et vitium ingrati animi pariat consilii inopia. (8) Turpe est igitur nos benedicere in rebus secundis, silere vero in tristibus et adversis. Imo tunc etiam gratias uberiores agere oportet, cum noverimus, quod *Quem diligit Dominus, castigat, flagellat autem omnem filium quem recipit*[97]. (9) Itaque liberat ex tribulatione sanctos suos Deus, non quod illos citra probationem relinquat, sed quod patientiam ipsis largiatur. Nam si tribulatio patientiam operatur, patientia vero probationem[98] : qui tribula- C tionem detrectat, probatione se ipse privat. Quemadmodum ergo nemo coronatur sine adversario : sic neque probatus quisquam pronuntiari potest, nisi per tribulationes. Ex omnibus igitur tribulationibus ipsos eruet, non quod divexari eos non sinat, sed quod cum tentatione exitum etiam præbeat, adeo ut ferre valeant[99]. Qui vero afflictionem justo minime convenire asserit, nihil aliud dicit quam athletæ non congruere adversarium cum quo decertet.

5. Ἐπεὶ δὲ φέρει παραμυθίαν ὀδυρομένοις ἡ κοινωνία τῶν στεναγμῶν, ἐπιστυγνάζειν μὲν ταῖς συμφοραῖς τῶν πεπονθότων ἀκόλουθον. Οὕτω γὰρ ἑαυτὸν οἰκειώσῃ τοῖς πάσχουσι, μὴ καθιλαρευόμενος τῶν συμφορῶν, μηδὲ ἐναδιαφορῶν τοῖς ἀλλοτρίοις ἀλγήμασιν. Οὐ μὴν περαιτέρω γε συνεκφέρεσθαι τοῖς λυπουμένοις προσῆκεν, ὥστε ἢ συνεκβοᾷν, ἢ συνθρηνεῖν τῷ πεπονθότι, ἢ ἐν τοῖς ἀλλοτρίοις μιμεῖσθαι καὶ ζηλοῦν τὸν ἐσκοτωμένον ὑπὸ τοῦ πάθους, οἷον

545 5. (10) Quoniam vero societas gemituum affert solatium lugentibus, par fuerit de alienis calamitatibus ac ærumnis afflictari. (11) Nam hoc pacto afflictorum conciliaturus tibi es benevolentiam, neque hilarem te ostendens ob eorum adversita- D tes, neque alienam afflictionem indifferenter perferens. Minime tamen convenit dolentium miseriis plus æquo commoveri, sic ut aut conclames, aut lugeas cum afflictato, aut alienis in rebus hominem

[97] Hebr. XII, 6. [98] Rom. V, 3. [99] I Cor. X, 13.

(1) *Διασώζοντι*. Sic uterque codex. Editi διασῶζόν τι. Minus commode contextus, διασῶζον referendo ad μέλος.
(2) *Οὐκ εἰδότες*. Hæc verba usque ad ποιήσεται non reperta in contextu.
(3) *Ἀθλητικά*. Legitur in contextu, ἀθλητικὰ καὶ γυμνάσια.
(4) *Εἰ μή*. Prima vocula addita ex contextu et Regio codice. Paulo post idem codex, ῥύεται.
(5) Ex hom. *De gratiarum actione*, 32.
(6) Ex hom. *in psal.* XXXIII, 143.
(7) Ex hom. *In famem et siccitatem*, 68.
(8) Ex hom. *in psal.* XXXIII, 144.
(9) Ibid., 146.
(10) Ex hom. *Adversus calumn. S. Trinitatis*, 609.
(11) Ex hom. *in mart. Julittam*, 41.

a tristitia obcæcatum imiteris æmulerisque : exempli causa, si una cum ipso te ipse includas, et induaris veste atra, si pariter jaceas humi, comamque negligas. Ex iis enim magis crescit quam elevatur calamitas. (1) Attamen abs re non fuerit, iis quæ accidunt angi, et tacite de adversis afflictari, ita ut ex vultu, qui cogitatione defixus sit, exque modestia, quæ gravitatem adjunctam habeat, animi affectum significes. Ubi autem ad colloquium ventum est, non statim ad objurgationes devenire decet, velut jacentibus insultantem ac illudentem. Nam objurgationes iis quorum animus præ tristitia cruciatur, molestæ sunt et graves : simulque sermones eorum qui nullo prorsus doloris sensu afficiuntur, ægre audiuntur a mœrentibus, et ad eos consolandos vim non habent persuadendi. (2) Quemadmodum enim oculo inflammato lenimentum vel tenerrimum dolorem affert ; ita animæ gravi mœrore afflictæ, etiamsi multum solatii ferat oratio, molesta tamen quodammodo videtur, in ipso doloris articulo adhibita. (3) Quando autem videris fratrem lugentem ob peccatorum pœnitentiam, lacrymare cum viro ejusmodi, ac illius commiseresce ; tunc etenim tibi licebit ex malis alienis tuum corrigere. Nam qui fervidas lacrymas pro peccato proximi effundit, dum fratrem deflet, medetur sibimetipsi. Luge peccati causa. Animæ ægritudo est peccatum, mors est animæ immortalis, peccatum luctu atque irrequietis lamentis dignum est. Ob hoc fluant lacrymæ omnes, nec cessent duci ex pectore imo suspiria. Sic Jeremias deflebat qui ex populo peribant ; idemque cum sibi naturales lacrymæ non satis essent, lacrymarum fontem inquirebat et extremam mansionem[1]. Pro omnibus autem his gratias agemus Christo Deo nostro, cui debetur omnis gloria, honor et adoratio, simul et principio carenti ejus Patri, et sanctissimo vivificantique Spiritui, nunc et semper, et in sæcula sæculorum. Amen.

A συγκαθειργνῦναι ἑαυτὸν καὶ συμμελανειμονεῖν, καὶ χαμαὶ συγκαθῆσθαι, καὶ κουρᾶς ἀμελεῖν. Ἐκ τούτων γὰρ ἐπιτείνειν μᾶλλον ἔστι τὴν συμφορὰν, ἢ καταπραΰνειν. Ἀλλὰ δάκνεσθαι μὲν ὑπὸ τῶν γινομένων, καὶ ἡσυχῇ τοῖς λυπηροῖς ἐπιστυγνάζειν προσήκει ἐν συννοίᾳ προσώπου, καὶ σεμνότητι βάρος ἐχούσῃ τὸ τῆς ψυχῆς πάθος διασημαίνοντα. Φθεγγόμενον δὲ, οὐκ εὐθὺς ἐπιπηδᾷν ταῖς ἐπιτιμήσεσι προσήκει, ὥσπερ ἐναλλόμενον καὶ ἐπεμβαίνοντα τοῖς κειμένοις. Φορτικὸν γὰρ τοῖς ὑπὸ λύπης τὴν ψυχὴν κεκακωμένοις ἡ ἐπιτίμησις, καὶ ἅμα δυσπαράδεκτοί εἰσι τοῖς κάμνουσι, καὶ πρὸς παρηγορίαν ἀπίθανοι τῶν ἀπαθῶς παντάπασι διακειμένων οἱ λόγοι. Ὥσπερ γὰρ ὀφθαλμῷ φλεγμαίνοντι καὶ τὸ ἁπαλώτατον τῶν παρηγορημάτων ἀνίαν ἐμποιεῖ· οὕτω καὶ ψυχῇ ὑπὸ λύ-
B ψεως βαρείας κεκακωμένῃ, κἂν πολλὴν παράκλησιν φέρῃ ὁ λόγος, ὀχληρός πως εἶναι δοκεῖ ἐν τῇ περιωδυνίᾳ προσφερόμενος. Ὅταν δὲ ἴδῃς ἐπὶ μετανοίᾳ τῶν ἡμαρτημένων τὸν ἀδελφὸν ὀδυρόμενον, σύγκλαυσον τῷ τοιούτῳ, καὶ σύμπαθε (5)· καὶ γάρ σοι ὑπάρξει ἐν ἀλλοτρίοις πάθεσι τὸ οἰκεῖον ἐπανορθοῦσθαι. Ὁ γὰρ ὑπὲρ τῆς τοῦ πλησίον ἁμαρτίας θερμὸν ἐπιστάξας δάκρυον, ἑαυτὸν ἐξιάσατο, δι' ὧν τὸν ἀδελφὸν ἀπωδύρατο. Ὑπὲρ ἁμαρτίας κλαῖε. Αὕτη ἀρρωστία ψυχῆς, αὕτη θάνατός ἐστι τῆς ἀθανάτου, αὕτη πένθους ἀξία καὶ ὀδυρμῶν ἀσιγήτων. Ἐπὶ ταύτῃ πᾶν δάκρυον ῥέοι, καὶ μὴ διαλείποι στεναγμὸς ἐκ μέσης καρδίας ἀναπεμπόμενος. Οὕτως ἔκλαιεν Ἱερεμίας ἐπὶ τοῖς ἀπολλυμένοις τοῦ λαοῦ· ᾧ γε ἐπειδὴ οὐκ
C ἤρκει τὸ ἐκ φύσεως δάκρυον, πηγὴν ἐπεζήτει δακρύων καὶ σταθμὸν ἔσχατον. Ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν Χριστῷ τῷ Θεῷ ἡμῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

DE PATIENTIA ET LONGANIMITATE.

SERMO XIII.

1. (4) Nemo ex malis quæ passus est, adducatur ut cogitet ac dicat res nostras providentia nulla gubernari, neque Domini administrationem ac judicium incuset : sed in athletam Job intueatur, ipsumque sibi cogitationum meliorum consiliarium adhibeat. Reputet omnia ex ordine certamina, in quibus ille victor exstitit, et quot jaculis a diabolo petitus lethalem nullam plagam acceperit. **546** Evertit quidem illius domesticam prosperitatem, eumdemque alternis adversitatum nuntiis obruere statuerat. Cum enim prior cladem aliquam adhuc annuntiaret, nuntius alter rerum deteriorum tristitiam afferens veniebat : malaque connectebantur

ΠΕΡΙ ΥΠΟΜΟΝΗΣ ΚΑΙ ΜΑΚΡΟΘΥΜΙΑΣ.

ΛΟΓΟΣ ΙΓ'.

1. Μηδεὶς ἐξ ὧν ἔπαθε λυπηρῶν ἀναπεισθῇ λογίσασθαί τι καὶ λέγειν, ὡς ἄρα οὐδεμία πρόνοια διοικεῖ τὰ καθ' ἡμᾶς, μηδὲ κατηγορείτω τῆς οἰκονομίας τοῦ
D Δεσπότου καὶ κρίσεως· ἀλλ' εἰς τὸν ἀθλητὴν Ἰὼβ ὁράτω, κἀκεῖνον σύμβουλον ποιείσθω τοῦ κρείττονος. Ἀναλογιζέσθω τοὺς ἀγῶνας ἅπαντας ἐφεξῆς, ἐν οἷς ἐκεῖνος ἠρίστευσε· καὶ πόσοις βέλεσιν ὑπὸ τοῦ διαβόλου βληθεὶς, οὐκ ἐδέξατο καιρίαν πληγήν. Περιεῖλε μὲν γὰρ αὐτοῦ τὴν εὐπραγίαν τῶν οἰκείων, κατακλύσαι δὲ αὐτὸν ταῖς ἐπαλλήλοις τῶν κακῶν ἐβουλεύετο φήμαις. Ἔτι γὰρ τοῦ προτέρου τὴν τοιάνδε συμφορὰν ἐξαγγέλλοντος, ἕτερος ἄγγελος ἧρχετο, χειρόνων πραγμάτων φέρων κατήφειαν· ἀλλήλοις τε ἐπ-

[1] Jerem. XI, 1.

(1) Ex hom. *in mart. Julittam*, 42.
(2) Ex epist. VI, 78.
(3) Ex hom. *in mart. Julittam*, 42.
(4) Ex hom. *Quod mundanis adhærendum non* sit, 171.

(5) *Καὶ σύμπαθε*. Hæc addidimus ex codice Reg. Legitur in contextu hujus editionis συμπά.... συμπάθει].

συνήπτετο τὰ δεινά, καὶ τὴν τῶν κυμάτων ἐπιδρομὴν A ἐζήλουν αἱ συμφοραί, καὶ πρὶν ἢ παυθῆναι τὸ πρότερον δάκρυον, ἑτέρου προσήγετο πρόφασις. Ὁ δὲ ὥσπερ τις πρόβολος εἱστήκει, τὰς τοῦ χειμῶνος ὑποδεχόμενος προσβολάς, καὶ ἀλλοιῶν εἰς ἀφρὸν τῶν κυμάτων τὴν βίαν, καὶ τὴν εὐγνώμονα πρὸς τὸν Δεσπότην ἠφίει φωνήν, καὶ οὐδὲν τῶν συμβαινόντων δακρύων ἠξίωσεν. Ἐπειδὴ δὲ ἧκέ τις ἀγγέλλων, ὡς τοῖς παισὶ καὶ ταῖς θυγατράσιν εὐωχουμένοις ἐπετίναξε πνεῦμά τι βίαιον τὸ τῆς εὐφροσύνης δωμάτιον, τότε μόνον τὴν ἐσθῆτα διέῤῥηξε, τὸ τῆς φύσεως ἐπιδεικνύμενος συμπαθές, καὶ ὅτι πατὴρ εἴη φιλόστοργος οἷς ἔπραττε μαρτυρούμενος· καὶ ταῖς εὐσεβέσιν ἐκείναις φωναῖς κοσμῶν τὸ γινόμενον, ἔλεγεν· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο·* μονονουχὶ τοιαῦτα βοῶν· B Ἐκλήθην πατήρ, ἐφ' ὅσον ὁ τοῦτό με ποιήσας ἐβούλετο χρόνον. Περιελεῖν μου τὸν ἐκ τῆς γονῆς στέφανον ἐβουλεύσατο πάλιν, οὐ διαμάχομαι περὶ τῶν ἰδίων αὐτῷ. Κρατείτω τὸ τῷ Δεσπότῃ δοκοῦν· αὐτός ἐστιν ὁ πλάστης τοῦ γένους, ἐγὼ δὲ ὄργανον· τί με χρὴ δοῦλον ὄντα δυσχεραίνειν ἀνόνητα (1), καὶ μέμφεσθαι ψῆφον ἣν οὐ δύναμαι λύειν. Τοιούτοις τὸν διάβολον ὁ δίκαιος κατηκόντιζε ῥήμασιν. Ἐπειδὴ δὲ αὐτὸν νικῶντα εἶδε πάλιν ὁ δυσμενής, καὶ οὐδενὶ τούτων τιναχθῆναι δυνάμενον, αὐτῇ τῇ σαρκὶ τὸ τῆς πείρας προσῆγε μηχάνημα, καὶ τὸ σῶμα μαστίξας ἀῤῥήτοις πληγαῖς, σκωλήκων ἀναδίδοσθαι πηγὰς ἐξ αὐτοῦ παρεσκεύασε· καὶ τῶν τῆς βασιλείας θρόνων τὸν ἄνδρα καταγαγών, ἐπὶ κοπρίας C ἐκάθισεν (2). Ὁ δὲ καὶ τοιούτοις βαλλόμενος πάθεσιν, ἀκίνητος ἔμενε· καὶ σπαραττομένου τοῦ σώματος, ἄσπιλον (3) ἐφύλαττε τὸν τῆς εὐσεβείας θησαυρὸν ἐν τῷ κρυπτῷ τῆς ψυχῆς.

2. Οὐκ ἔχων τοίνυν ὅ τι ποιήσει λοιπὸν ὁ πολέμιος, ἐπὶ τὴν τῆς ἀρχαίας ἐπιβουλῆς ἔρχεται μνήμην, καὶ τὴν τοῦ γυναίου διάνοιαν ὑποσύρας εἰς ἀσεβῆ γνώμην καὶ βλάσφημον, δι' ἐκείνης σαλεύειν ἐπειρᾶτο τὸν ἀθλητήν. Καὶ ἡ μὲν πρὸς τὸν μακρὸν πόνον (4) ἀπαγορεύσασα, τῷ δικαίῳ παρίστατο, κάτω νενευκυῖα, καὶ τὰς χεῖρας ἐπὶ τοῖς ὁρωμένοις συγκρούουσα, καὶ τοὺς τῆς εὐσεβείας αὐτῷ καρποὺς ὀνειδίζουσα, καὶ καταλέγουσα μὲν τὴν παλαιὰν εὐθηνίαν τῶν οἰκείων, ὑποδεικνῦσα δὲ τὰ παρόντα κακά, καὶ οἷον ἐξ οἵων ἔλαχε βίον, καὶ τίνα τῶν πολλῶν D θυσιῶν ἐδέξατο παρὰ τοῦ Δεσπότου μισθόν. Ἔλεγέ τε ἀεὶ τῆς μὲν τῶν γυναικῶν ὀλιγοψυχίας ἄξια ῥήματα, ταράξαι δὲ πάντα ἄνδρα δυνάμενα, καὶ περιτρέψαι καὶ γενναίαν διάνοιαν. Πλανῆτις γὰρ καὶ λάτρις περιέρχομαι (5), ἡ βασιλὶς δουλεύω, καὶ πρὸς τὰς τῶν ἐμῶν οἰκετῶν χεῖρας ἠνάγκασμαι βλέπειν, καὶ τρέφουσα πάλαι πολλούς, ἀγαπητῶς ἐκ τῶν ἀλλοτρίων παρατρέφομαι νῦν. Καὶ ὅτι καλὸν

inter se, et calamitates fluctuum incursum imitabantur, atque priusquam priores lacrymæ sedarentur, aliarum afferebatur occasio. Sed ille tempestatis excepto impetu, et undarum vi in spumam commutata, velut scopulus stabat, emittebatque ad Dominum gratam illam vocem, nec quidquam eorum quæ accidebant, lacrymis dignum duxit. Ubi vero advenit qui narraret quemadmodum filiis et filiabus convivantibus violentus quidam ventus oblectationis domum conquassasset, tunc solum scidit vestem, ostendens condolentem naturam, atque iis agendis declarans patrem esse se liberorum amantem, piisque illis vocibus quod evenerat ornans dicebat : *Dominus dedit, Dominus abstulit : sicut Domino placuit, ita et factum est*[1] : tantum non clamans in hunc modum : Pater vocatus sum dum voluit qui me patrem effecit. Statuit rursus sobolis mihi coronam auferre, haud repugno quominus sua auferat. Obtineat quod Domino visum est; ipse est generis conditor, ego organum; quid necesse est, servus eum sim, dolere me frustra, ac de sententia quam nequeo irritam facere, conqueri? Verbis ejusmodi quasi jaculis justus ille diabolum confodit. Postquam autem iterum inimicus eum vidit esse victorem, nec ulla harum ærumnarum concuti posse, tentationis admovit machinamentum carni ipsi, et corpore infandis vulneribus percusso effecit, ut ex eo vermium fontes scaturirent; virumque ex regio throno deturbatum, in sterquilinio collocavit. Ille vero vel talibus angustiis lacessitus, permansit immotus; et lacerato corpore, pietatis thesaurum in recondito animæ recessu intaminatum servabat.

2. Cum igitur non haberet quod jam faceret hostis, insidiarum veterum recordatur; atque ad impiam ac blasphemam sententiam uxoris animum pertrahens, opera illius aggrediebatur athletam concutere. Ac illa quidem laboris diuturnitati cedens, justo astitit, humi prona, manus super iis quæ videbat complodens, pietatis ei fructus exprobrans, hinc veterem rei familiaris opulentiam recensens, illinc mala præsentia commonstrans, et qualem ex qualibus sortitus esset vitam, et quam pro multis sacrificiis mercedem a Domino recepisset. Et semper verba pusillo quidem mulierum animo digna proferebat, sed talia tamen, quæ virum omnem perturbare, et animum vel fortem subvertere possent. Vaga, inquiebat, et ancilla oberro, regina servio, et ad meorum famulorum manus respicere coacta sum, et quæ multos olim nutrivi, bene nunc mecum agi existimo si enutriar ex alienis. Addebat melius esse ac utilius si

[1] Job I, 21.

(1) Ἀνόνητα. Sic uterque Regius codex et contextus. Male in editis nostris ἀνόητα.
(2) Ἐκάθισεν. Sic uterque codex et contextus. Editi ἐκάθιζεν.
(3) Ἄσπιλον. Contextus ἄσυλον, *inviolatum*.
(4) Πόνον. Contextus χρόνον
(5) Περιέρχομαι. Regius codex 1992 περιέρχομαι, φησίν

de terra se ipse exscinderet, impiis verbis utendo, **547** et gladium iræ conditoris exacuendo, quam si malorum tolerantia sibi ipsi et uxori certaminum laborem proroget. Ille vero his verbis magis quam ullo malorum priorum offensus, et vultum ira replente, ad uxorem velut hostem conversus, quid dicit? *Quare tanquam una de stultis mulieribus locuta es* [a]? Depone, o mulier, inquit, illud consilium. Quousque dictis tuis dedecorabis vitam communem? Mentita es, et quod utinam Deus avertisset, institutum meum tuis istis verbis, et vitam meam calumnia aspersisti. Videor nunc mihi dimidia ex parte impie egisse: siquidem unum quidem corpus utrosque nos nuptiæ præstiterunt, sed tu prolapsa es in blasphemiam. *Si bona suscepimus de manu Domini, mala non sustinebimus* [b]? Redigas tibi in memoriam præterita bona. Compensa bona malis. Nullius hominis vita perpetuo beata est: semper felicem esse, solius Dei est. Tu igitur si ob præsentia dolore afficeris, ex præteritis te ipsa consolare. Nunc lacrymaris, at prius risisti: nunc pauper es, at prius fuisti dives; bibisti limpidum vitæ laticem, jam turbidum bibens animo æquo patiare. Ne fluviorum quidem fluenta perpetuo apparent pura. Est autem fluvius vita nostra, ut nosti, continue fluens ac fluctibus alternatim sibi succedentibus referta. Etenim jam pars præterfluxit, pars adhuc transit: pars jam emersit e fontibus, pars vero emersura est, et ad commune mortis mare festinamus omnes. *Si bona suscepimus de manu Domini, mala non sustinebimus?* Cogimusne judicem nobis perpetuo paria suppeditare? docemusne Dominum, quomodo debeat vitam nostram moderari? Decreta sua penes ipsum sunt. Res nostras pro suo arbitratu regit. Est enim sapiens; et quod utile est, id suis servis admetitur. Cave curiosius perscruteris Domini judicium. Æqui bonique fac solum quæ ab illius sapientia dispensantur. Quidquid dederit tibi, cum gaudio accipe. Ostende in adversis, exstitisse te lætitia pristina dignam. His dicendis repulit Job et hunc diaboli assultum, et plenam ei cladis ignominiam incussit. Quid igitur hinc evenit? Fugit iterum ab illo morbus, tanquam qui accessisset frustra, nec quidquam amplius effecisset. Reversa caro in alteram pubertatem reviruit, floruit rursus vita omnibus rebus, et duplicatæ divitiæ undecunque in domum confluxerunt, ut quasi nihil amisisset, unam partem haberet, pars vero altera justo esset patientiæ merces. (1) Ex illo igitur animi fortitudinem unusquisque discamus, qui rebus suis retro sublapsis, ac egens ex divite, orbus ex pulchræ prolis parente temporis momento factus, non solum idem permansit, infractos animi sensus ubique retinens,

A εἴη καὶ χρήσιμον, ἀσεβέσι χρησάμενον ῥήμασι, καὶ ἑαυτὸν τῆς γῆς ἐκτεμεῖν, τὸ τῆς τοῦ κτίσαντος ὀργῆς ἀκονήσαντα ξίφος, ἢ διακαρτεροῦντα πρὸς τὰ δεινά, τὸν ἐν τοῖς ἀγῶσι μόχθον ἑαυτῷ τε καὶ τῇ συνοικούσῃ μηκύνειν. Ὁ δὲ ἐπὶ τούτοις τοῖς ῥήμασιν ἀχθεσθεὶς, ὡς ἐπ' οὐδενὶ τῶν προτέρων κακῶν, καὶ θυμοῦ τὸ βλέμμα πληρώσας, καὶ πρὸς τὴν γυναῖκα καθάπερ πρὸς πολεμίαν ἀποστραφεὶς, τί φησιν; *Ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐφθέγξω;* Κατάθου, φησὶν, ὦ γύναι, τὴν συμβουλήν. Μέχρι τίνος τὴν κοινὴν ἐν οἷς λέγεις ὑβρίζεις ζωήν; Ἐψεύσω, καὶ τὴν ἐμὴν, ὡς οὐκ ηὐχόμην, ἀναστροφὴν διέβαλες ἐν οἷς ἐλάλησας, καὶ τὸν ἐμὸν βίον. Ἐξ ἡμισείας ἠσεβηκέναι νενόμικα νῦν· ἐπειδήπερ B ἓν μὲν σῶμα ἀμφοτέρους ἡμᾶς ὁ γάμος ἐποίησε, σὺ δὲ εἰς βλασφημίαν κατέπεσας. *Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;* Ἀνάμνησον τῶν φθασάντων σεαυτὴν ἀγαθῶν· ἀντισήκωσον τὰ κρείττω τοῖς χείροσιν. Οὐδενὸς ἀνθρώπων ὁ βίος διόλου μακάριος· τὸ διὰ παντὸς εὖ πράττειν μόνου Θεοῦ ἐστι. Σὺ δὲ εἰ τοῖς παροῦσιν ἀλγεῖς, ἀπὸ τῶν προλαβόντων σαυτὴν παραμύθησαι. Νῦν δακρύεις, ἀλλ' ἐγέλασας πρότερον· νῦν πτωχεύεις, ἀλλ' ἐπλούτησας πρότερον· ἔπιες τὸ διειδὲς νᾶμα τοῦ βίου, καὶ τὸ θολερὸν πίνουσα καρτέρησον. Οὐδὲ τὰ τῶν ποταμῶν ῥεύματα διόλου φαίνεται καθαρά· ποταμὸς δὲ, ὡς οἶσθα, ὁ βίος ἡμῶν, ῥέων ἐνδελεχῶς, καὶ κύμασιν ἀλλεπαλλήλοις πληρούμενος. Τὸ μὲν γὰρ αὐτοῦ προέρρευσεν C ἤδη, τὸ δὲ ἔτι πορεύεται, τὸ δὲ ἄρτι προέκυψε τῶν πηγῶν, τὸ δὲ μέλλει· καὶ πρὸς τὴν κοινὴν ἅπαντες τοῦ θανάτου σπεύδομεν θάλατταν. *Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;* Ἀναγκάζομεν τὸν κριτὴν ὅμοια χορηγεῖν τὰ πράγματα δι' αἰῶνος ἡμῖν; διδάσκομεν τὸν Δεσπότην, ὅπως χρὴ διεξάγειν τὸν ἡμέτερον βίον; Αὐτὸς τῶν οἰκείων ψήφων ἔχει τὴν ἐξουσίαν· ὅπως βούλεται, τάττει τὰ καθ' ἡμᾶς· σοφὸς δέ ἐστι, καὶ τὸ λυσιτελοῦν ἐπιμετρεῖ (2) τοῖς οἰκέταις. Μὴ περιεργάζου τοῦ Δεσπότου τὴν κρίσιν· ἀγάπα μόνον τὰ παρὰ τῆς αὐτοῦ σοφίας οἰκονομούμενα. Ὅπερ ἂν δῷ σοι, τοῦτο δέχου μεθ' ἡδονῆς· δεῖξον ἐν τοῖς ἀλγεινοῖς ὡς καὶ τῆς εὐφροσύνης ἀξία τῆς πρόσθεν ἐτύγχανες. Ταῦτα ὁ Ἰὼβ λέγων, ἀπεκρούσατο καὶ ταύτην τοῦ διαβόλου D (3) τὴν προσβολὴν, καὶ τελείαν αὐτῷ τὴν τῆς ἥττης αἰσχύνην ἐπήγαγε. Τί οὖν ἐντεῦθεν συνέβαινεν; Ἔφυγεν αὖθις ἡ νόσος αὐτὸν, ὡς εἰκῇ προσελθοῦσα, καὶ μηδὲν ἀνύσασα πλέον. Ἀνέθαλεν εἰς δευτέραν ἥβην ἡ σάρξ, ἤνθησεν ὁ βίος πάλιν τοῖς ἅπασι, καὶ διπλασίων πανταχόθεν ἐπὶ τὸν οἶκον ὁ πλοῦτος συνέρρευσεν· ἵνα τὸ μὲν ὡς μηδὲν ἀπολωλεκὼς ἔχῃ, τὸ δὲ ὑπάρξῃ τῆς καρτερίας τῷ δικαίῳ μισθός. Ἐκ τούτου τοίνυν ἀνδρίαν ψυχῆς ἕκαστος παιδευώμεθα· ὃς οὐ μόνον, πρὸς τὰ ἐναντία τοῦ βίου

[a] Job II, 10. [b] ibid.

(1) Ex epist. II, 73.
(2) Ἐπιμετρεῖ. Sic Regius codex. Editi ἐπιμετρεῖν. Contextus ἐπιμετρῶν.

(3) *Του διαβόλου*. Editi καὶ τοῦ διαβόλου, *Repulit et uxorem et diaboli assultum*. Regium codicem et contextum sequi maluimus.

περιπεσόντος αὐτῷ, πένης ἐκ πλουσίου, καὶ ἄπαις A ἀπὸ καλλίπαιδος ἐν μιᾷ καιροῦ ῥοπῇ γενόμενος, διέμεινεν ὁ αὐτὸς, ἀταπείνωτον πανταχοῦ τὸ τῆς ψυχῆς φρόνημα διασώζων· ἀλλ' οὔτε τῶν φίλων, τῶν εἰς παραμυθίαν ἡκόντων, ἐπεμβαινόντων αὐτῷ καὶ συνεπιτεινόντων τὰ ἀλγεινὰ, παρωξύνθη.

3. Ἔστιν ὅτε καὶ κατὰ πεῖραν ταῖς ψυχαῖς αἱ τοῦ βίου δυσχληρίαι τοῖς ἀνθρώποις προσάγονται, ἵν' ἐπὶ τῆς δυσκολίας ἀπελεγχθῶσιν οἱ δόκιμοι, εἴτε πλούσιοι, εἴτε πένητες. Ἑκάτεροι γὰρ διὰ τῆς ὑπομονῆς δοκιμάζονται· κἀν τούτῳ μάλιστα τῷ καιρῷ διαδείκνυται ὁ μὲν, εἰ κοινωνικὸς καὶ φιλάδελφος· ὁ δὲ, εἰ εὐχάριστος καὶ μὴ τοὐναντίον βλάσφημος, ταῖς τοῦ βίου περιφοραῖς ὀξέως συμμεταβάλλων τὸ φρόνημα. Καὶ κυβερνήτην μὲν ὁ χειμὼν, καὶ τὸν ἀθλητὴν τὸ στάδιον, τὸν στρατηγὸν ἡ παράταξις, B τὸν μεγαλόψυχον ἡ συμφορά· τὸν Χριστιανὸν δὲ ὁ πειρασμὸς δοκιμάζει. Καὶ ὥσπερ τοὺς ἀθλητὰς οἱ τῶν ἀγώνων κάματοι τοῖς στεφάνοις προσάγουσιν, οὕτω καὶ τοὺς Χριστιανοὺς ἡ ἐν τοῖς πειρασμοῖς δοκιμασία πρὸς τὴν τελείωσιν ἄγει, ἐὰν μετὰ τῆς πρεπούσης ὑπομονῆς εὐχαριστίᾳ πάσῃ τὰ οἰκονομούμενα παρὰ τοῦ Κυρίου καταδεξώμεθα. Πένης εἶ; μὴ ἀθυμήσῃς, ἀλλ' ἔχε τὴν ἐλπίδα πρὸς τὸν Θεόν. Μὴ γὰρ οὐκ ἐπιβλέπει τὴν στένωσιν; Ἔχει τὴν τροφὴν ἐν χειρὶ, καὶ παρέλκει τὴν δόσιν, ἵνα σου δοκιμάσῃ τὸ βέβαιον, ἵνα καταμάθῃ τὴν γνώμην, εἰ μὴ τῇ τῶν ἀκολάστων καὶ ἀγνωμόνων ἐστὶν ὁμοία. Καὶ γὰρ ἐκεῖνοι, μέχρι μὲν ἐν τῷ στόματι τὰ σιτία τυγχάνει, εὐφημοῦσι, κολακεύουσιν, ὑπερθαυμάζουσιν· C ὀλίγον δὲ τῆς τραπέζης ὑπερτεθείσης, ὥσπερ τισὶ λίθοις ταῖς βλασφημίαις βάλλουσιν οὓς πρὸ βραχέως (1) διὰ τὴν ἡδονὴν προσεκύνουν. Ἠλίαν εἶχεν ὁ Κάρμηλος, ὄρος ὑψηλὸν καὶ ἀοίκητον, ἔρημος ἐρήμων· ψυχὴ δὲ ἦν τῷ δικαίῳ τὰ πάντα, καὶ τῆς ζωῆς ἐφόδιον, ἡ πρὸς Θεὸν ἐλπίς. Ζῶν δὲ οὕτως, λιμῷ τὴν ζωὴν οὐκ ἀπήλλαξεν· ἀλλ' οἱ ἁρπακτικώτεροι καὶ μάλιστα γαστρίμαργοι τῶν ὀρνίθων, οὗτοι διεκόμιζον τὰ σιτία, καὶ τροφῆς ἐγένοντο τῷ δικαίῳ διάκονοι, οἱ τὰς ἀλλοτρίας τροφὰς ἐκ συνηθείας ἁρπάζοντες· καὶ τῷ Δεσποτικῷ προστάγματι τὴν φύσιν διήμειψαν, πιστοὶ φύλακες γενόμενοι τῶν ἄρτων καὶ τῶν κρεῶν. Εἶχε καὶ ὁ Βαβυλώνιος λάκκος τὸν Ἰσραηλίτην νεανίσκον, αἰχμάλωτον μὲν τὴν συμφορὰν, ἐλεύθερον δὲ τὴν ψυχὴν καὶ τὸ φρόνημα. Καὶ τί τὰ παρ' D ἐκεῖνον; Οἱ μὲν λέοντες παρὰ φύσιν ἐνήστευον, ὁ δὲ τούτου τροφεὺς Ἀββακοὺν ἐφέρετο δι' ἀέρος, κομίζοντος τοῦ ἀγγέλου μετὰ τῶν ὄψων τὸν ἄνθρωπον· καὶ ἵνα μὴ λιμῷ πιεσθῇ δίκαιος, τοσαύτης ὑπερηνέχθη γῆς καὶ θαλάττης ὁ προφήτης ἐν μικρῷ μορίῳ καιροῦ, ὅσην ἐκ τῆς Ἰουδαίας μέχρι Βαβυλῶνος ἡπλῶσθαι. Τί δὲ πάλιν ὁ τῆς ἐρήμου λαὸς, οὗ Μωσῆς ἐπετρόπευσε; πῶς ᾠκονομήθη τὸν βίον ἐν ἔτεσι τεσσαράκοντα; Οὐκ ἦν ἐκεῖ σπείρων ἀνὴρ, οὐ βοῦς ἕλκων ἄροτρον, οὐχ ἅλως, οὐ ληνὸς, οὐ ταμιεῖον·

sed ne amicis quidem, qui ad consolandum venerant, insultantibus et dolores conjunctim intendentibus, ira commotus est.

548 3. (2) Fit quoque aliquando, ut vitæ infortunia irrogentur hominibus ad animas probandas, ut inter difficultates deprehendantur, qui probi sint, sive divites, sive pauperes. Utrique enim per patientiam probantur : et maxime hoc tempore declaratur, sitne hic liberalis et fratrum amans; sitne ille gratus et beneficiorum memor, ac non contra blasphemus, cujus animus statim vitæ vicissitudinibus mutetur. (3) Navis quippe gubernatorem tempestas, athletam stadium, imperatorem acies, magnanimum virum calamitas, Christianum tentatio probat. (4) Quemadmodum enim certaminum labor athletas ad coronam, ita etiam Christianos probatio in tentationibus ad perfectionem adducit, si modo ea quæ a Domino dispensantur, cum debita patientia in omni gratiarum actione suscipiamus. (5) Pauper es? cave animum abjicias, sed spem habeto in Deum. Nunquid enim non videt angustiam? Habet cibum in manibus : sed differt largitionem, ut probet tuam constantiam, ut animum agnoscat, sitne intemperantibus et ingratis consimilis. Hi enim, dum in ore sunt cibi, benedicunt, adulantur, supra modum admirantur; paululum vero dilata mensa, blasphemiis velut lapidibus impetunt eos quos paulo antea propter ciborum voluptatem colebant. Eliam habebat Carmelus, excelsus mons et inhabitabilis, solitudo solitarium : verum anima erat justo instar omnium, vitæque erat viaticum spes, quam in Deo reponebat. Etsi autem sic viveret, fame tamen vitam non finivit : sed avium rapacissimæ et voracissimæ, hæ ipsæ afferebant cibum : et justo erant victus ministræ eædem, quæ solent alienos cibos diripere, ac transmutata per Domini præceptum natura, panis ac carnium fidæ custodes effectæ sunt. Habebat etiam Babylonicus lacus Israelitam juvenem, calamitate quidem captivum, animo vero ac constantia liberum. Quid tum inde? Leones quidem præter naturam jejunabant, Habacuc vero illius altor ferebatur per aerem, angelo hominem una cum obsoniis portante : et ne justus fame premeretur, tantum terræ ac maris spatium brevi temporis momento prætervectus est propheta, quantum a Judæa ad Babylonem usque extenditur [a]. Quid rursus solitudinis populus, Moyse præfecto? quomodo fuit ei per quadraginta annos dispensatus victus? Illic erat nemo, qui sementem faceret : non bos, qui traheret aratrum : non area, non torcular, non cella penaria ; et ta-

[a] Dan. xiv, 30-38.

(1) Πρὸ βραχέως. Contextus addit ἴσα Θεῷ.
(2) Ex hom. *in famem et siccitatem*, 66.
(3) Ibid., 67.
(4) Ex epist. ci, 197.
(5) Ex hom. *in famem et siccitatem*, 67.

men sibi suppetebat victus citra sementem, citra arationem : fontes denique qui prius non exstiterant, sed in necessitate eruperant, petra subministrabat. Tu igitur velut strenuus Job, patiens esto in calamitate, et ne evertaris a tempestate, nec quidquam ex his, quas tecum vehis, virtutis mercibus abjicias. Serva in animo gratiarum actionem tanquam vecturam pretiosissimam, et tu quoque pro gratiarum actione voluptatem duplo majorem consequere.

4. (1) Atqui non is cui necessaria desunt, tolerans est : sed is, qui inter bonorum fruendorum copiam in malis ferendis perseverat. **549** (2) Æger es? æquanimiter tolera, quoniam *Quem diligit Dominus castigat* [a]. Pauper es? lætare, quia manet te successio et hæreditas Lazari. Contumelias pateris propter nomen Christi? beatus es, quoniam tibi ista confusio angelici consortii gloriam parat. (3) Servus es? habe etiam eo nomine gratiam, est aliquis te dejectior; gratias repende, quod uni præstes, quod non sis addictus pistrino, quod plagas non accipias. Nemini procul dubio desunt gratias agendi occasiones. Fuste plecteris immerito? gaude spe futurorum. Jure damnatus es? sic etiam grates age. (4) Et quoniam bonæ quoque priscorum hominum actiones aut memoriæ successione ad nos usque conservantur, aut in poetarum aut historicorum monumentis custodiuntur, ne utilitas quidem quæ hinc nasci potest, desit nobis. Verbi gratia, homo quidam circumforaneus conviciis Periclem consectabatur; hic autem non attendebat; et die tota perstitit uterque, ille quidem permultis probris incessens, hic vero nequaquam curans. Deinde vespere jam facto, tenebrisque obortis vix discedentem Pericles facem præferens deduxit, ne sibi desineret exercitatio philosophiæ. (5) Rursus, cum percuteret quidam Sophronisci filium Socratem, in ipsam faciem facto sæpius impetu : hic autem nihil repugnavit, sed sivit ebriosum illum iram suam exsatiare sic ut intumesceret jam ejus vultus præ plagis, essetque saniosus. Ubi autem ille a verberibus destitisset, Socrates quidem nihil aliud fecisse dicitur, quam fronti suæ quasi statuæ inscripsisse auctorem, Talis faciebat; seque hoc modo vindicasse. (6) Quidam vero Euclidi Megarensi iratus, mortem ei minitatus est, ac juravit : hic vicissim juravit facturum utique, ut is placaretur, ac sibi infensus esse desineret. (7) Quin et illud Cliniæ, qui unus e Pythagoræ discipulis est, vix crediderim cum nostris institutis fortuito consentire, non consulto ea imitari. Ecquid autem erat, quod fecit ille?

A καὶ τὴν τροφὴν εἶχον ἄσπορον καὶ ἀνήροτον· καὶ τὰς πηγὰς ἐχορήγει πέτρα, οὐ πρότερον οὔσας, ἀλλ' ἐκραγείσας ἐπὶ τῆς χρείας. Καὶ σὺ τοίνυν καρτέρησον ἐπὶ τῆς συμφορᾶς, ὡς ὁ γενναῖος Ἰὼβ, καὶ μὴ παρατραπῇς ἐκ τοῦ κλύδωνος, μηδὲν ἀποβάλῃς ὧν φέρεις ἀγωγίμων τῆς ἀρετῆς. Ὡς βαρύτιμον ἐνθήκην τὴν εὐχαριστίαν διάσωσον ἐπὶ τῆς ψυχῆς, καὶ λήψῃ καὶ σὺ τῆς εὐ αοιστία τὰ διπλασίονα τὴν τρυφὴν (8).

4. Καίτοι οὐχ ὁ ἀπορῶν τῶν ἀναγκαίων, καρτερικός· ἀλλ' ὁ ἐν ἀφθονίᾳ τῆς ἀπολαύσεως ἐγκαρτερῶν τοῖς δεινοῖς. Νοσεῖς; εὐθύμει, ὅτι *Ὃν ἀγαπᾷ Κύριος παιδεύει*. Πτωχεύεις; εὐφραίνου, ὅτι Λαζάρου σε τὰ ἀγαθὰ διαδέξεται. Ἀτιμάζῃ διὰ τὸ B ὄνομα τοῦ Χριστοῦ; μακάριος εἶ, ὅτι σου ἡ αἰσχύνη εἰς δόξαν ἀγγέλου μεταβληθήσεται. Οἰκέτης εἶ; εὐχαρίστει καὶ οὕτως, ἔχεις τὸν σεαυτοῦ ταπεινότερον· εὐχαρίστει ὅτι ἑνὸς ὑπερέχεις, ὅτι μὴ ἐν τῷ μυλῶνι καταδεδίκασαι, ὅτι μὴ πληγὰς λαμβάνεις. Οὐδένα ἐπιλείψουσιν αἱ τοῦ εὐχαριστεῖν ἀφορμαί. Ξύλῳ ἀδίκως κολάζῃ; τῇ τῶν μελλόντων ἐλπίδι χαῖρε. Δικαίως κατεδικάσθης; καὶ οὕτως εὐχαρίστει. Ἐπεὶ δὲ καὶ πράξεις σπουδαῖαι τῶν παλαιῶν ἀνδρῶν, ἢ μνήμης ἀκολουθίᾳ πρὸς ἡμᾶς διασώζονται, ἢ ποιητῶν ἢ συγγραφέων φυλαττόμεναι λόγοις, μηδὲ τῆς ἐντεῦθεν ὠφελείας ἀπολειπώμεθα. Οἷον, ἐλοιδόρει τὸν Περικλέα τῶν ἐξ ἀγορᾶς τις ἀνθρώπων· ὁ δὲ οὐ προσεῖχε· καὶ εἰς πᾶσαν διήρκεσε τὴν ἡμέραν, ὁ μὲν ἀφειδῶς πλύνων αὐτὸν τοῖς C ὀνείδεσιν, ὁ δὲ οὐ μέλων αὐτῷ (9). Εἶτα, ἑσπέρας ἤδη καὶ σκότους ἀπαλλαττόμενον μόλις, ὑπὸ φωτὶ παρέπεμψε Περικλῆς, ὅπως αὐτῷ μὴ διαφθαρῇ τὸ πρὸς φιλοσοφίαν γυμνάσιον. Πάλιν ἔτυπτέ τις τὸν Σωφρονίσκου Σωκράτην εἰς αὐτὸ τὸ πρόσωπον ἐμπεσὼν ἀφειδῶς· ὁ δὲ οὐκ ἀντῆρεν, ἀλλὰ παρεῖχε τῷ παροινοῦντι τῆς ὀργῆς ἐμφορεῖσθαι, ὥστε ἐξοιδεῖν ἤδη καὶ ὕπουλον αὐτῷ τὸ πρόσωπον ὑπὸ τῶν πληγῶν εἶναι. Ὡς δ' οὖν ἐπαύσατο τύπτων, ἄλλο μὲν οὐδὲν ὁ Σωκράτης ποιῆσαι, ἐπιγράψαι δὲ τῷ μετώπῳ λέγεται, ὥσπερ ἀνδριάντι τὸν δημιουργόν· Ὁ δεῖνα ἐποίει· καὶ τοσοῦτον ἀμύνασθαι. Εὐκλείδῃ δέ τις τῷ Μεγαρόθεν παροξυνθεὶς, θάνατον ἠπείλησε καὶ ἐπώμοσεν· ὁ δὲ ἀντώμοσεν, ἦ μὴν ἱλεώσασθαι (10) αὐτὸν, D καὶ παύσειν χαλεπῶς πρὸς αὐτὸν ἔχοντα. Τὸ δὲ τοῦ Κλεινίου, τῶν Πυθαγόρου γνωρίμων ἑνὸς, χαλεπὸν πιστεῦσαι ἀπὸ ταυτομάτου συμβῆναι τοῖς ἡμετέροις, ἀλλ' οὐχὶ μιμησαμένου σπουδῇ. Τί δὲ ἦν ὃ ἐποίησεν ἐκεῖνος; Ἐξὸν δι' ὅρκου τριῶν ταλάντων ζημίαν ἀποφυγεῖν, ὁ δὲ ἀπέτισε μᾶλλον ἢ ὤμοσε, καὶ ταῦτα εὐορκεῖν μέλλων· ἀκούσας, ἐμοὶ δοκεῖν, τοῦ προστάγματος τοῦ τὸν ὅρκον ἡμῖν ἀπαγορεύοντος. Καὶ

[a] Hebr. XII, 6.

(1) Ex hom. *in quadraginta martyres*, 154.
(2) Ex hom. *in psal.* LIX, 192.
(3) Ex hom. *in mart. Julittam*, 39.
(4) Ex serm. *De legendis libris gentilium*, 178.
(5) Ibid., 179.
(6) Ibid., 178
(7) Ibid., 179.
(8) *Τὴν τρυφήν*. Sic Regius codex. Contextus et editi τῆς τρυφῆς.
(9) Αὐτῷ. Forte αὐτοῦ. EDIT.
(10) *Ἱλεώσασθαι*. Lege, ἱλεώσεσθαι. ID.

τουτὶ μὲν τὸ τοῦ Κλεινίου, ἀδελφὸν ἐκείνῳ τῷ παραγγέλματι· τὸ δὲ τοῦ Εὐκλείδου, τῷ τοῖς διώκουσιν εὔχεσθαι τὰ ἀγαθὰ, ἀλλὰ μὴ ἐπαρᾶσθαι· ὥς ὅγε ἐν τούτοις προπαιδευθεὶς, οὐκ ἔτι ἂν ἐκείνοις ὡς ἀδυνάτοις διαπιστήσειεν. Ἔστω σοι τοίνυν ἡ ἐντολὴ τοῦ Θεοῦ σύνοικος, οἷόν τι φῶς καὶ διαύγειαν πρὸς τὴν τῶν πραγμάτων διάκρισιν ἀδιαλείπτως παρεχομένη· ἥτις πόῤῥωθεν τὴν τῆς ψυχῆς σου ἐπιστασίαν προκατασχοῦσα, καὶ τὰς ἀληθεῖς περὶ ἑκάστου δόξας προευτρεπίζουσα, ὑπ' οὐδενὸς ἐάσει σε τῶν προσπιπτόντων ἀλλοιωθῆναι· ἀλλὰ προσευτρεπισμένον τῇ διανοίᾳ, ὥσπερ τινὰ σκόπελον θαλάσσης γείτονα, ἀσφαλῶς καὶ ἀσείστως τῶν τε βιαίων πνευμάτων καὶ κυμάτων (1) τὰς προσβολὰς ὑπομένειν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A Jurejurando cum ei liceret talentorum trium effugere multam, solvere maluit quam jurare, idque cum non esset falso juraturus, præceptum quo nobis jusjurandum interdicitur, ut mihi videtur, edoctus. Atque hoc Cliniæ factum, illi præcepto germanum est; Euclidis vero ei quod persequentibus bene precari jubet, mala vero nequaquam : adeo ut qui his jam antea fuerit imbutus, non amplius nostris, ut impossibilibus, fidem deroget. Contubernale igitur semper tibi Dei mandatum esto, perpetuam tibi dans lucem, et veluti facem præferens, discernendis dijudicandisque rebus : quod quidem eminus animi tui principatum præoccupans, verasque de singulis opiniones prius informans atque præparans, nullis te casibus alienari atque B immutari permittet : sed tota mentis acie præinstructum, veluti quemdam vicinum mari scopulum, rapidos violentorum ventorum et fluctuum impetus tuto atque immobiliter sustinere te faciet, in Christo Jesu Domino nostro, cui gloria in sæcula sæculorum. Amen.

ΠΕΡΙ ΜΕΛΛΟΥΣΗΣ ΚΡΙΣΕΩΣ.

ΛΟΓΟΣ ΙΔ'.

1. Ὅταν μέλλῃς ἐπί τινα ὁρμᾷν ἁμαρτίαν, ἐννόησόν μοι ἐκεῖνο τὸ φρικτὸν καὶ ἀνύποιστον τοῦ Χριστοῦ δικαστήριον, ἐν ᾧ προκαθέζεται μὲν ἐπὶ θρόνου τινὸς ὑψηλοῦ καὶ ἐπηρμένου ὁ κριτὴς, παρέστηκε δὲ πᾶσα ἡ κτίσις ὑποτρέμουσα τὴν ἐπιφάνειαν αὐτοῦ τὴν ἔνδοξον. Παράγεσθαι δὲ μέλλομεν καθ' ἕνα εἰς ἐξέτασιν τῶν βεβιωμένων ἡμῖν. Εἶτα τῷ πολλὰ πονηρὰ πεποιηκότι κατὰ τὸν βίον, φοβεροί τινες καὶ κατηφεῖς παρίστανται ἄγγελοι, πῦρ βλέποντες, πῦρ C ἀναπνέοντες, διὰ τὴν πονηρίαν τῆς προαιρέσεως· νυκτὶ ἐοικότες τὰ πρόσωπα, διὰ τὸ κατηφὲς καὶ μισάνθρωπον. Εἶτα βάραθρον βαθὺ, καὶ σκότος ἀδιεξόδευτον, καὶ πῦρ ἀλαμπὲς ἐν τῷ σκότει, τὴν μὲν καυστικὴν δύναμιν ἔχον, τὸ δὲ φῶς ἀφῃρημένον. Εἶτα σκωλήκων τι γένος ἰοβόλων καὶ σαρκοφάγων, ἀπλήστως ἐσθίον καὶ μηδέποτε κορεννύμενον, ἀφορήτους ὀδύνας ἐμποιοῦν τῇ καταβρώσει· εἶτα τὴν πασῶν χαλεπωτάτην κόλασιν, τὸν ὀνειδισμὸν ἐκεῖνον, καὶ τὴν αἰσχύνην τὴν αἰώνιον. Τούτων τῷ φόβῳ (2) παιδαγωγούμενος, οἱονεὶ χαλινῷ τινι ἀνάκοπτε τὴν ψυχὴν ἀπὸ τῆς πρὸς τὰ φαῦλα ἐπιθυμίας. Ὁ γὰρ τὴν ἡμέραν ἐκείνην καὶ τὴν ὥραν πρὸ ὀφθαλμῶν τιθέμενος, καθ' ἣν πᾶσα ἡ κτίσις περιστήσεται τὸν κριτὴν, τὰς εὐθύνας τῶν πεπραγμένων ἀποδιδοῦσα, καὶ D ἀεὶ μελετῶν τὴν ἐπὶ τοῦ ἀπαραλογίστου κριτηρίου ἀπολογίαν· ὁ τοιοῦτος ἢ οὐδὲν παντελῶς, ἢ ἐλάχιστα ἁμαρτήσεται· διότι τὸ ἁμαρτάνειν ἡμῖν κατὰ ἀπουσίαν τοῦ φόβου τοῦ Θεοῦ γίνεται. Οἷς δὲ ἂν ἐναργὴς παρῇ τῶν ἀπειλουμένων ἡ προσδοκία, οὐδένα καιρὸν δώσει τοῖς τοιούτοις ὁ σύνοικος φόβος εἰς ἀβουλήτους πράξεις ἢ ἐνθυμήσεις ἐκπεσεῖν.

550 DE FUTURO JUDICIO.

SERMO XIV.

1. (3) Cum ad aliquod peccatum impelli te videris, horrendum illud et intolerabile Christi tribunal, quæso, cogita : in quo præsidet quidem judex in alto quodam et sublimi throno, omnis vero creatura ob gloriosum ejus conspectum contremiscens astat ; imo vero futurum est ut singuli adducamur, eorum quæ in vita egerimus examen subituri. Deinde ei qui multa mala per vitam perpetraverit, horribiles quidam ac morosi angeli assident, ignem ex oculis emittentes, ignem spirantes, adeo perversi animo judicioque depravati sunt : nocti vultu similes, ob faciei tetricitatem et hominum odio. Postea animo tibi fingas barathrum profundum, tenebras impenetrabiles, ignem splendoris expertem, vim quidem urendi in tenebris habentem, sed luce destitutum : subinde vermium quoddam genus venenatum ac carnivorum, edens insatiabiliter, nec unquam exsatiatum, intolerabiles dolores morsibus inducens : postremo supplicium omnium gravissimum, probrum illud et dedecus sempiternum. Horum metu ductus, quasi freno quodam a pravis concupiscentiis tuam cohibe animam. (4) Qui enim diem illam atque horam ante oculos positam habet, in qua creatura omnis actionum suarum rationem redditura judicem circumstabit, semperque suam pro illo tribunali, quod decipi nequit, defensionem meditatur, is aut nihil aut omnino levissima peccabit, quia peccare nobis ob absentiam timoris Dei contingit. Quibus autem clare observabitur intentarum minarum exspectatio, his nullum tempus dabit insitus timor involuntarias actiones aut cogitationes incidendi.

(1) *Καὶ κυμάτων*. Hæc desumpsimus ex codice Regio. Totus hic locus ἔστω σοι τοίνυν usque ad finem non repertus in operibus S. Basilii.

(2) *Τούτων τῷ φόβῳ*. Sic Regius codex. Editi ταῦτα καί, etc. Contextus ταῦτα φοβοῦ· καὶ τούτῳ.

(3) Ex hom. *in psal.* XXXIII, 151.

(4) Ex epist. CLXXIV, 262.

A 2. (1) Strenui etenim Dei athletæ, qui cum invisibilibus inimicis per omnem suam vitam valde colluctati sunt, postquam eorum omnes insectationes effugerint, prope vitæ finem constituti, a sæculi principe examinantur, ut si reperiantur aut vulnera ex certaminibus, aut aliquas maculas, aut peccati vestigia retinuisse, detineantur : sin autem inveniantur invulnerati et intemerati, a Christo tanquam invicti et liberi in requiem transferantur. Et hæc ipso Domino discere potes, circa suæ passionis tempus dicente : *Nunc princeps hujus mundi venit, et in me non habebit quidquam* [7]. Enimvero qui peccatum non admiserat, nihil illum in se habere dicebat : satis autem fuerit homini, si audeat dicere : Venit princeps mundi hujus, et in me habebit pauca et parva. B (2) Cogita, quæso, horrenda illa mala, quæ a Deo puniendis infligentur : nimirum cum offundentur stellis tenebræ, deficietque lux solis, nec luna amplius illustrabitur, cum, fulminibus percurrentibus, horrendo cum fragore ruent tonitrua [8] ; cum aer capiti imminens obscurabitur, ita ut cruciatus eorum qui iræ fuerint traditi, nulla ex parte solatium aut levamen admittat. Creatura enim, conditoris **551** administra [9], vehementer ad iniquos plectendos exasperatur : mitigatur vero et demulcetur ad eos qui suam in ipso fiduciam reposuerint, afficiendos beneficio. Et quemadmodum *Super uno peccatore pœnitentiam agente gaudium est in cœlis* [10] : ita quoque indignatio et tristitia est C super iis, qui per peccatum a Conditore deficiunt. (3) Tum ignis qui diabolo et angelis ejus in supplicium paratus est, voce Domini interciditur ; ut cum duæ sint in igne facultates, quarum una comburit, altera illustrat, ignis quidem asperitas, ac torquendi proprietas iis qui adustione digni sunt servetur ; illius vero splendor et claritas ad hilaritatem eorum qui lætam ac beatam vitam acturi sunt, destinetur : adeo ut supplicii quidem ignis obscurus sit ; qui vero in oblectamentum, vi careat comburendi. Neque ea in re tibi addubitandum esse cogita. (4) Nam cum rerum in vita gestarum merces retribuetur, natura ignis dividetur ; cujus quidem lumen, justorum oblectamento : urendi vero molestia, puniendorum tri- D buetur ultioni. (5) Horribilior autem tenebris et igne æterno ignominia, in qua æternum vivent peccatores, semper ob oculos habentes vestigia admissi in carne peccati, quæ in modum indelebilis cujusdam tincturæ perpetuo in animæ eorum memoria permansura sunt. Paucorum autem est ac-

A 2. Καὶ γὰρ καὶ οἱ γενναῖοι τοῦ Θεοῦ ἀθληταὶ, ἱκανῶς παρὰ πάντα τὸν βίον ἑαυτῶν τοῖς ἀοράτοις ἐχθροῖς προσπαλαίσαντες, ἐπειδὰν πάσας αὐτῶν ὑπεκφύγωσι τὰς διώξεις, πρὸς τῷ τέλει τοῦ βίου γενόμενοι, ἐρευνῶνται ὑπὸ τοῦ ἄρχοντος τοῦ αἰῶνος, ἵνα ἂν μὲν εὑρεθῶσιν ἔχοντες τραύματα ἀπὸ τῶν παλαισμάτων, ἢ σπίλους τινὰς καὶ τύπους τῆς ἁμαρτίας, κατασχεθῶσιν· ἐὰν δὲ ἄτρωτοι εὑρεθῶσι καὶ ἄσπιλοι, ὡς ἀκράτητοι ὄντες, ὡς ἐλεύθεροι ὑπὸ Χριστοῦ ἀναπαύωνται. Καὶ ταῦτα μάθοις ἂν ἐξ αὐτοῦ τοῦ Κυρίου λέγοντος περὶ τὸν καιρὸν τοῦ πάθους· *Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἔρχεται, καὶ ἐν ἐμοὶ ἕξει οὐδέν*. Ἀλλ' ὁ μὲν μὴ ποιήσας ἁμαρτίαν, ἔλεγεν ἔχειν οὐδέν· ἀνθρώπῳ δὲ αὔταρκες, ἐὰν τολμήσῃ εἰπεῖν, ὅτι Ἔρχεται ὁ ἄρχων τοῦ B κόσμου τούτου, καὶ ἐν ἐμοὶ ἕξει ὀλίγα καὶ μικρά. Ἐννόησόν μοι τοιγαροῦν τὰ ἀπὸ τοῦ Θεοῦ φοβερὰ ἐπιπίπτοντα τοῖς κολαζομένοις, ὅταν σκότωσις μὲν γένηται ἀστέρων, ἀφεγγὴς δὲ ὁ ἥλιος, καὶ ἡ σελήνη οὐκ ἔτι (6) πεφωτισμένη, ὅταν σκηπτοὶ διατρέχοντες, καὶ βρονταὶ φοβερῶς καταῤῥηγνύμεναι· ὅταν ὑπὲρ κεφαλῆς ἀὴρ ἐσκοτισμένος ὑπάρχῃ, ὡς πανταχόθεν ἀπαραμύθητον εἶναι τοῖς τῇ ὀργῇ παραδεδομένοις τὴν βάσανον. Ἡ γὰρ κτίσις, τῷ ποιήσαντι ὑπηρετοῦσα, ἐπιτείνεται μὲν εἰς κόλασιν κατὰ τῶν ἀδίκων, ἀνίεται δὲ εἰς εὐεργεσίαν ὑπὲρ τῶν ἐπ' αὐτῷ πεποιθότων. Καὶ καθάπερ *Ἐπὶ ἑνὶ* (7) *ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν τοῖς οὐρανοῖς*, οὕτω καὶ παροξυσμὸς καὶ λύπη ἐπὶ τοῖς ἀποστατοῦσι διὰ τῆς C ἁμαρτίας τοῦ κτίσαντος. Τότε τὸ πῦρ ἡτοιμασμένον εἰς κόλασιν (8) τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ διακόπτεται τῇ φωνῇ τοῦ Κυρίου· ἵνα ἐπειδὴ δύο εἰσὶν ἐν τῷ πυρὶ δυνάμεις, ἥ τε καυστικὴ καὶ ἡ φωτιστικὴ, τὸ μὲν δριμὺ καὶ κολαστικὸν τοῦ πυρὸς τοῖς ἀξίοις τῆς καύσεως προσαπομείνῃ, τὸ δὲ φωτιστικὸν αὐτοῦ καὶ λαμπρὸν τῇ φαιδρότητι τῶν εὐφραινομένων ἀποκληρωθῇ· ὡς ἀλαμπὲς εἶναι τὸ πῦρ τῆς κολάσεως, ἄκαυστον δὲ τὸ τῆς ἀναπαύσεως ἀπομεῖναι (9). Καὶ μὴ ἀμφίβαλλε. Ἐν γὰρ ταῖς τῶν βεβιωμένων ἡμῖν ἀνταποδόσεσι, τοῦ πυρὸς ἡ φύσις διαιρεθήσεται· καὶ τὸ μὲν φῶς, εἰς ἀπόλαυσιν τοῖς δικαίοις· τὸ δὲ τῆς καύσεως ὀδυνηρὸν, τοῖς κολαζομένοις ἀποταχθήσεται. Φοβερωτέρα δὲ τοῦ σκότους καὶ τοῦ πυρὸς τοῦ αἰωνίου ἡ αἰσχύνη ἐστὶν, ᾗ μέλλουσι συνδιαιωνίζειν D οἱ ἁμαρτωλοὶ, ἀεὶ ἐν ὀφθαλμοῖς ἔχοντες τὰ ἴχνη τῆς ἐν σαρκὶ ἁμαρτίας, οἱονεί τινος βαφῆς ἀνεκπλύντου, τῇ μνήμῃ τῆς ψυχῆς αὐτῶν εἰς τὸ διηνεκὲς ἀναμένοντα (10). Ὀλίγων δέ ἐστι τὸ προσελθεῖν τῷ φωτὶ τῷ ἀληθινῷ, καὶ ἀποκαλύψαι, καὶ μετὰ τὴν ἀποκάλυψιν τῶν κρυπτῶν, μὴ ἀπελθεῖν αἰσχυνθέντας τὰ πρόσωπα. Θεοῦ γὰρ ἀλλοτρίωσις, καὶ ἀποστροφὴ, καὶ τῶν

[7] Joan. xiv, 30. [8] Matth. xxiv, 29. [9] Sap. v, 18-21. [10] Luc. xv, 10.

(1) Ex hom. *in psal.* vii, 99.
(2) Ex comment. *in Isaiam*, 581.
(3) Ex hom. *in psal.* xxviii, 121.
(4) Ex hom. vi *in Hexaem.* 52.
(5) Ex hom. *in psal.* xxxiii, 147.
(6) *Οὐκ ἔτι*. Sic contextus, cui favent nostri codices. In his enim legitur οὐκ ἔστι. Editi οὐκ ἔσται.

(7) *Ἑνί*. Deest in cod. 1992
(8) *Εἰς κόλασιν*. Hæc desunt in eodem codice.
(9) *Ἀπομεῖναι*. Uterque codex ἀπομένῃ. Ibidem cod. 1992 μὴ ἀμφίβαλλε ὡς ἐν ταῖς, etc.
(10) *Ἀναμένοντα*. Idem codex ἐπιμένοντα. Contextus παραμένοντα.

ἐν τῇ γεέννῃ προσδοκωμένων κολάσεων ἀφορητότερόν ἐστι καὶ βαρύτερον τῷ παθόντι, ὡς ὀφθαλμῷ φωτὸς στέρησις, κἂν μὴ ὀδύνη προσῇ. Πᾶσαν γὰρ ὁμοῦ τὴν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι τῷ λόγῳ τις συλλαβὼν καὶ εἰς ἓν ἀθροίσας εὐδαιμονίαν, οὐδὲ πολλοστῷ μέρει τῶν ἀγαθῶν ἐκείνων εὑρήσει παρισουμένην· ἀλλὰ πλεῖον τοῦ ἐν ἐκείνοις ἐλαχίστου τὰ σύμπαντα τῶν τῇδε καλῶν κατὰ τὴν ἀξίαν ἀφεστηκότα, ἢ καθ' ὅσον σκιὰ καὶ ὄναρ τῶν ἀληθινῶν (1) ἀπολείπεται. Μᾶλλον δὲ, ἵν' οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, ὅσῳ ψυχὴ τοῖς πᾶσι τιμιωτέρα σώματος, τοσούτῳ καὶ τῶν βίων ἑκατέρων ἐστὶ τὸ διάφορον.

A cedere ad veram lucem, ac revelare, et post occultorum revelationem, facie non confusa abire. Dei enim a nobis alienatio atque aversio, illi qui eam patitur, intolerabilior graviorque est quam cætera gehennæ exspectata supplicia : ut oculo privatio luminis, licet alius non adsit dolor. (3) Si quis enim omnem simul ex quo homines nati sunt felicitatem sermone complexus, in unum coacervaverit, eam tamen comperiet ne minimæ quidem bonorum illorum parti æquiparandam esse; sed omnia præsentis vitæ bona plus a minima futurorum dignitate distare, quam a rebus veris umbram et somnium. Imo vero, ut exemplo magis idoneo utar, quanto anima omnibus præstat corpori, tanta est et utriusque vitæ differentia.

3. Ἀλλ' οἱ πολλοὶ τῶν ἀνθρώπων, διὰ τὸ, *Ὁ μὲν δαρήσεται πολλὰς, ὁ δὲ ὀλίγας*, τέλος εἶναι τῆς κολάσεως τοῖς κολαζομένοις φασίν. Ὅπερ οὐχ ἐν τῇ τοῦ χρόνου παρατάσει ἢ συμπληρώσει, ἀλλ' ἐν τῇ διαφορᾷ τῆς κολάσεως γίνεται. Τοῦ γὰρ Κυρίου ποτὲ μὲν ἀποφαινομένου, ὅτι ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον· ποτὲ δὲ ἐκπέμποντός τινας εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καὶ ἄλλοτε ὀνομάζοντος γέενναν πυρὸς, καὶ ἐπιφέροντος· *Ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται*· καὶ ἔτι πάλιν διὰ τοῦ προφήτου περί τινων εἰρηκότος, ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται· τούτων καὶ τῶν τοιούτων πολλαχοῦ τῆς θεοπνεύστου Γραφῆς κειμένων, ἓν πάντως καὶ τοῦτο τῆς μεθοδείας τοῦ διαβόλου, τὸ τοὺς πολλοὺς τῶν ἀνθρώπων, ὥσπερ ἐπιλανθανομένους τῶν τοσούτων καὶ τοιούτων τοῦ Κυρίου ἀποφάσεων, τέλος κολάσεως, εἰς τὸ μᾶλλον κατατολμᾷν τῆς ἁμαρτίας, ἑαυτοῖς ὑπογράφειν. Εἰ γὰρ τῆς αἰωνίου κολάσεως ἔσται ποτὲ τέλος, ἕξει πάντως καὶ ἡ αἰώνιος ζωή. Εἰ δὲ ἐπὶ τῆς ζωῆς τοῦτο νοῆσαι οὐ καταδεχόμεθα, πῶς ἂν ἔχοι λόγον τῇ κολάσει τῇ αἰωνίῳ τέλος διδόναι; Ἡ γὰρ τοῦ αἰωνίου προσθήκη ἐφ' ἑκατέρων ἐπίσης κεῖται. *Ἀπελεύσονται γὰρ οὗτοι*, φησὶν, *εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι, εἰς ζωὴν αἰώνιον*. Ὥστε καὶ τὸ, *Δαρήσεται πολλὰς, καὶ ὀλίγας*, οὐχὶ τέλος, ἀλλὰ διαφορὰν κολάσεως δηλοῖ. Εἰ γὰρ ὁ Θεὸς δίκαιος κριτής ἐστιν, οὐ μόνον τοῖς ἀγαθοῖς, ἀλλὰ καὶ τοῖς πονηροῖς, ἀποδιδοὺς ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ, δύναται εἶναι ὁ μέν τις πυρὸς ἀσβέστου ἄξιος, καὶ τούτου ἤτοι μαλακωτέρου, ἢ μᾶλλον φλέγοντος· ὁ δέ τις σκώληκος ἀτελευτήτου, καὶ τούτου πάλιν ἢ πρᾳότερον ὀδυνῶντος, ἢ σφοδρότερον, κατὰ τὴν ἀξίαν ἑκάστου· καὶ ἄλλος (2) γεέννης, διάφορα πάντως ἐχούσης τὰ κολαστήρια· καὶ ἕτερος τοῦ ἐξωτέρου σκότους, ἔνθα ὁ μέν τις ἐν κλαυθμῷ μόνον, ὁ δέ τις καὶ ἐν βρυγμῷ τῶν ὀδόντων, διὰ τὸ ἐπιτεταμένον τῶν πόνων γίνεται. Καὶ τὸ ἐξώτερον δὲ σκότος

B 3. Sed homines multi propter eum Scripturæ locum qui habet, (4) *Hic quidem vapulabit multis, ille vero paucis* [11], finem tandem suppliciorum habituros esse eos qui puniuntur asserunt. Sed tamen ut hic multis vapulet, ille vero paucis, non temporis diuturnitate aut complemento, sed pœnæ diversitate perficitur. Cum enim Dominus pronuntiet aliquando hos in supplicium æternum ituros, justos autem in vitam æternam [12]; aliquando vero mittat quosdam in ignem æternum paratum diabolo et angelis ejus [13], et alibi gehennæ ignis mentione facta, subjiciat illud : *Ubi vermis eorum non moritur, et ignis non exstinguitur* [14]; cumque rursus de quibusdam dixerit per prophetam, vermem eorum non moriturum, neque ignem eorum exstinC ctum iri [15] : hæc igitur et horum similia cum in multis divinæ Scripturæ locis habeantur, hoc quoque unum profecto est ex artificiis diaboli, ut multi homines velut obliti tot et talium Domini sententiarum, quo majore cum audacia peccent, sibi finem supplicii fingant. **552** Etenim si æterni supplicii futurus est aliquando finis, finem utique habitura est etiam vita æterna. Quod si non possumus illud de vita æterna intelligere, qua ratione supplicio æterno ascribitur finis? Nam æqualiter pro utroque habetur *æterni* adjectio. *Ibunt enim*, inquit, *hi in supplicium æternum : justi autem in vitam æternam* [16]. Itaque etiam illud, *Vapulabit multis, et paucis* [17], non finem, sed diversitatem supplicii significat. Si enim Deus justus judex est, D non bonis solum, sed malis etiam, reddens unicuique juxta opera sua, potest alius esse dignus igne inexstinguibili, qui aut mollius aut acrius adurat : alius verme nunquam morituro, qui etiam aut mitius aut acerbius excruciet pro cujusque merito : alius gehenna, quæ varia ac penitus diversa supplicia habeat; alius exterioribus tenebris, ubi hic quidem in fletu solum, ille vero in dentium etiam stridore ob dolorum vehemen-

[11] Luc. XII, 47. [12] Matth. XXV, 46. [13] Ibid. 41. [14] Marc. IX, 45. [15] Isa. LXVI, 24. [16] Matth. XXV, 46. [17] Luc. XII, 47.

(1) *Τῶν ἀληθινῶν*. Codex uterque pro his vocibus habet. τῶν ἀγαθῶν.
(2) *Καὶ ἄλλος*. Cod. 1992 καὶ ἄλλος τόπος, *Ac alius gehennæ locus*.
(3) Ex serm. *De legendis libris gentilium*, 174.
(4) Ex *Regulis fusius tractatis*, 306, 307.

tiam exsistat. Quin et exteriores illæ tenebræ alias etiam prorsus esse interiores indicant. Et illud quod dictum est in Proverbiis [18], *In profundum inferni*, declarat quosdam esse in inferno quidem, sed non in profundo inferni, qui leviorem pœnam perferant. ' Minime autem existimaveris me veluti nutritiam quamdam matrem, larvas tibi ac terricula obtrudere, quemadmodum illæ infantibus puerulis incomposite pertinaciterque flentibus factitare consueverunt, eosque fictis et commentitiis narrationibus compescunt. Hæc enim non fabulæ, sed minime mendax sermo longe ante voce promulgatus. Tibique certo persuadeas velim, futuram aliquando diligentem actæ vitæ pervestigationem. (1) Afflixisti fratrem? par exspecta. Rapuisti inferiorum facultates, pugnis pauperes cecidisti, per convicia incussisti pudorem, calumniatus es, mentitus es, alienis nuptiis parasti insidias, pejerasti, terminos patrum transposuisti, orphanorum invasisti possessiones, viduas oppressisti, bonis promissis prætulisti præsentem voluptatem? Vicem his dignam exspecta. Qualia enim unusquisque seminat, talia et metet. Cæterum si quid etiam boni abs te perpetratum est, remunerationem similiter exspecta.

ὑποφαίνει πάντως εἶναι καὶ ἐσώτερον. Καὶ τὸ, *Εἰς πυθμένα ᾅδου*, ἐν Παροιμίαις εἰρημένον δηλοῖ, ὅτι εἰσί τινες ἐν τῷ ᾅδῃ μὲν, οὐκ ἐν πυθμένι δὲ ᾅδου, κουφοτέραν ὑπομένοντες τὴν κόλασιν. Καὶ μή με νομίσῃς ὥσπερ μητέρα τινὰ τροφὸν, ψευδῆ σοι μορμολύκεια ἐπισείειν, ὥσπερ ἐκεῖναι ποιεῖν περὶ τοὺς νηπίους τῶν παίδων εἰώθασιν, ὅταν θρηνῶσιν ἄτακτα καὶ ἀπέραντα, καὶ δι' ἐπιπλάσεως τῶν διηγημάτων κατασιγάζουσι. Ταῦτα γὰρ οὐ μῦθος, ἀλλὰ λόγος ἀψευδὴς προκεκηρυγμένος φωνῇ (3). Καὶ ἴσθι ἀκριβῶς, ὅτι γενήσεται τῶν βεβιωμένων ἔλεγχος ἀκριβής. Ἔθλιψας τὸν ἀδελφόν; ἐκδέχου τὸ ἴσον. Ἥρπασας τὰ τῶν ὑποδεεστέρων, κατεκονδύλισας πένητας, κατῄσχυνας ἐν λοιδορίαις, ἐσυκοφάντησας, κατεψεύσω, ἀλλοτρίοις ἐπεβούλευσας γάμοις, ἐπιώρκησας, ὅρια πατέρων μετέθηκας, κτήμασιν ὀρφανῶν ἀπῆλθες (4), χήρας ἐξέθλιψας, τὴν παροῦσαν ἡδονὴν τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν προετίμησας; Ἐκδέχου τούτων τὴν ἀντιμέτρησιν. Οἷα γὰρ σπείρει ἕκαστος, τοιαῦτα καὶ θερίσει. Καὶ μέντοι καὶ εἴ τι τῶν ἀγαθῶν πέπρακταί σοι, κἀκείνων ἐκδέχου παραπλησίως (5) τὰς ἀντιδόσεις.

4. (2) Cogita autem, o homo, diem extremam (siquidem non tu solus sæculum æternum vives), anxietatem, suffocationem, mortis horam, urgentem Dei sententiam, festinantes angelos, animum interea graviter perturbatum, et conscientia peccatrice amare excruciatum, seque miserabiliter ad ea quæ hic sunt convertentem, ac ineluctabilem longe illius peregrinationis necessitatem. Describe mihi in mente tua extremum communis vitæ finem, cum veniet Filius hominis in gloria sua. *Veniet enim et non silebit* [19] : nimirum quando veniet judicaturus vivos et mortuos, atque unicuique secundum opus suum redditurus; quando tuba illa magnum quiddam ac horrendum sonans excitabit eos qui ab orbe condito dormierint, **553** et procedent qui bona fecerint, in resurrectionem vitæ, qui vero mala, in resurrectionem judicii [20]. Revoca tibi in memoriam Danieli oblatam Dei visionem, quomodo nobis ob oculos judicium ponat. *Aspiciebam*, inquit, *donec throni positi sunt, et Antiquus dierum sedit. Flumen ignis trahebat in conspectu ejus. Mille millia deserviebant ei, et dena millia denum millium assistebant ei. Judiciique locum constituit, et libri aperti sunt* [21], bona, mala, manifesta, occulta, actiones, verba, cogitationes, omnia acervatim, ut ab omnibus et angelis et hominibus exaudiri pos-

4. Λάβε τοίνυν εἰς ἔννοιαν τὴν ἐσχάτην ἡμέραν, ὦ ἄνθρωπε (οὐ γὰρ δὴ σὺ μόνος τὸν αἰῶνα βιώσεις), καὶ τὴν συνοχὴν (6) καὶ πνιγμὸν, καὶ θανάτου ὥραν, καὶ ἀπόφασιν Θεοῦ κατεπείγουσαν, καὶ ἀγγέλους ἐπισπεύδοντας, καὶ ψυχὴν ἐν τούτοις δεινῶς θορυβουμένην, καὶ ἁμαρτωλῷ συνειδότι πικρῶς μαστιγουμένην (7), καὶ πρὸς τὰ τῇδε ἐλεεινῶς ἐπιστρέφουσαν, καὶ ἀπαραίτητον τῆς μακρᾶς ἐκείνης ἀποδημίας ἀνάγκην. Διάγραψόν μοι τῇ διανοίᾳ τὴν τελευταίαν τοῦ κοινοῦ βίου καταστροφὴν, ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ. *Ἥξει γὰρ, καὶ οὐ παρασιωπήσεται*· ὅταν ἔλθῃ κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ· ὅταν ἡ σάλπιγξ ἐκείνη, μέγα τι καὶ φοβερὸν ἠχήσασα, τοὺς ἀπ' αἰῶνος ἐξυπνίσῃ καθεύδοντας, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Μνήσθητι τῆς τοῦ Δανιὴλ θεοπτίας, ὅπως ἡμῖν ὑπ' ὄψιν ἄγει τὴν κρίσιν. *Ἐθεώρουν*, φησὶν, *ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ Παλαιὸς ἡμερῶν ἐκαθέζετο. Ποταμὸς πυρὸς εἷλκεν* (8) *ἔμπροσθεν αὐτοῦ. Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ. Κριτήριον ἐκάθισε, καὶ βίβλοι ἀνεῴχθησαν*, τὰ καλὰ, τὰ φαῦλα, τὰ φανερὰ, τὰ κεκρυμμένα, τὰ πράγματα, τὰ ῥήματα, τὰ ἐνθυμήματα, τὰ πάντα

[18] Prov. IX, 8. [19] Psal XLIX, 3. [20] Joan. V, 39. [21] Dan. VII, 9-10.

(1) Ex hom. *in psal.* LXI, 198.
(2) Ex epist. XLVI, 138.
(3) *Φωνῇ*. Sic Regius codex 1992, melius quam editi φωνεῖ. Paulo post idem codex καὶ ἴστε. Hic autem locus ab his verbis, καὶ μὴ μενομίσῃς, usque ad illa, ἔλεγχος ἀκριβής, non repertus in contextu.
(4) Ἀπῆλθες. Forte ἐπῆλθες. EDIT.
(5) *Παραπλησίως*. Magis arridet hæc scriptura, quam quod legitur in contextu πολλαπλασίους, *multiplicem remunerationem*.
(6) *Τὴν συνοχήν*. Regius codex 1992 λάβε μοι τὴν συνοχήν
(7) *Μαστιγουμένην*. Sic idem codex et contextus. Editi προσμαστιγουμένην. Mox idem codex διὰ τὴν ἀπαραίτητον.
(8) *Εἷλκεν*. Contextus εἷλκε

ἀθρόως εἰς ἐξάκουστον τοῖς πᾶσι καὶ ἀγγέλοις καὶ A ἀνθρώποις σαφῶς ἀνακαλύπτουσαι. Πρὸς ταῦτα ποταποὺς εἶναι ἀνάγκη τοὺς κακῶς βεβιωκότας; Ποῦ ἄρα ἡ ψυχὴ ἐκείνη καταδύσεται, ἡ ἐν ὄψεσι τοσούτων θεατῶν ἐξαίφνης ὀφθεῖσα αἰσχύνης ἀνάπλεως; ποίῳ δὲ σώματι τὰς ἀπεράντους ἐκείνας καὶ ἀνυποίστους ὑποστήσεται μάστιγας, ὅπου πῦρ ἄσβεστον, καὶ σκώληξ ἀθάνατα κολάζων, καὶ πυθμὴν ᾅδου σκοτεινὸς καὶ φρικώδης, καὶ οἰμωγαὶ πικραὶ, καὶ ὀλολυγμὸς ἐξαίσιος, καὶ κλαυθμὸς, καὶ βρυγμὸς ὀδόντων, καὶ πέρας οὐκ ἔχει τὰ δεινά; Τούτων οὐκ ἔστιν ἀπαλλαγὴ μετὰ θάνατον, οὐδέ τις ἐπίνοια, οὐδὲ μηχανὴ τοῦ διεκδῦναι τὰ πικρὰ κολαστήρια. Ταῦτα φεύγειν ἔξεστι νῦν. Ἕως ἔξεστιν, ἑαυτοὺς ἀπὸ τοῦ πτώματος ἀναλάβωμεν, μηδ' ἀπελπίσωμεν ἑαυτῶν, ἐὰν ἀναλύσωμεν ἀπὸ τῶν κακῶν. Ἔστιν ὁδὸς σω- B τηρίας, ἐὰν θέλωμεν. Σὲ ζητεῖ ὁ ποιμὴν ὁ καλὸς, ὁ καταλιπὼν τὰ μὴ πεπλανημένα. Ἐὰν ἐπιδῷς σεαυτὸν, οὐκ ὀκνήσει, οὐδ' ἀπαξιώσει σε ὁ φιλάνθρωπος ἐπὶ τῶν ὤμων βαστάσαι τῶν ἰδίων, χαίρων ὅτι εὗρεν αὐτοῦ τὸ πρόβατον τὸ ἀπολωλός. Ἕστηκεν ὁ πατὴρ καὶ ἀναμένει τὴν σὴν ἀπὸ τῆς πλάνης ἐπάνοδον. Μόνον ἀνάλυσον, καὶ ἔτι σοῦ μακρὰν ὄντος, προσδραμὼν ἐπιπεσεῖται (1) ἐπὶ τὸν τράχηλόν σου, καὶ φιλικοῖς ἀσπασμοῖς περιπτύξεται τὸν ὑπὸ τῆς μετανοίας ἤδη κεκαθαρμένον. Κἂν ἐγκαλέσῃ τις τῶν ἑστάναι δοκούντων, ὅτι ταχὺ προσελήφθης, αὐτὸς ὁ ἀγαθὸς (2) ὑπὲρ σοῦ ἀπολογήσεται, λέγων· Εὐφρανθῆναι δεῖ καὶ χαρῆναι, ὅτι οὗτος ὁ Υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε, καὶ ἀπολωλὼς, καὶ εὑρέθη. Αὐτῷ ἡ δόξα C εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΑΡΧΗΣ ΚΑΙ ΕΞΟΥΣΙΑΣ.

ΛΟΓΟΣ ΙΕ'.

1. Καλὸν ἀεὶ τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος ἄγεσθαι· πολλάκις γὰρ ἀκρισία δήμου τὸν χείριστον εἰς ἀρχὴν προεστήσατο. Προσήκει τοίνυν τὸν ἐπὶ πάντων ἐπὶ συνέσει καὶ εὐσταθείᾳ καὶ τῇ κατὰ τὴν ζωὴν ἀκριβείᾳ μεμαρτυρημένον διαφέρειν, τοῦτον προστήσεσθαι (3) εἰς τὸ καθηγεῖσθαι τῶν ἄλλων, ἵνα τὸ ἐν τούτῳ ἀγαθὸν κοινὸν πάντων τῶν μιμουμένων γίνηται. Πρὸς γὰρ τὸ τῶν κρατούντων ἦθος πλάττεσθαι πέφυκεν, ὡς τὰ πολλὰ, τὸ ἀρχόμενον· ὥστε ὁποῖοί ποτ' ἂν οἱ ἄγοντες ὦσι, τοιοῦτον ἀνάγκη καὶ τὸν ἀγόμενον εἶναι. Καὶ ὁποῖοι δ' ἂν ὦσιν οἱ προ- D εστῶτες, τοιαῦτα ὡς ἐπὶ πολὺ καὶ τὰ ἤθη τῶν ἀρχομένων πέφυκε γίνεσθαι. Καὶ ὥσπερ, εἰ πλείονες ζωγράφοι ἑνὸς προσώπου χαρακτῆρα γράφοιεν, πᾶσαι αἱ εἰκόνες ὁμοίως πρὸς ἀλλήλας ἕξουσι, διὰ τὸ τῷ ἑνὶ ὁμοιοῦσθαι· οὕτω τὰ πολλὰ ἤθη, εἰ πρὸς τὴν τοῦ ἑνὸς μίμησιν βλέποι, πᾶσιν ὁμοίως ἀγαθὸς τοῦ βίου χαρακτὴρ ἐπιλάμψει. Καὶ γὰρ ἡ ἀληθὴς καὶ

sint, clare et aperte revelantes. Ad hæc quomodo affectos necesse est esse eos, qui male vixerint? Ubi itaque anima illa abscondetur, quæ in oculis tot spectatorum subito visa fuerit dedecoris plena? quali vero corpore infinita illa et intolerabilia perferet supplicia, ubi ignis inexstinctus, et vermis indesinenter puniens, et imum inferi tenebricosum et horrendum et ululatus amari, et ejulatus ingens, et ploratus, et stridor dentium, et ubi mala finem non habent? Ab his post mortem liberari non datur, neque est industria ulla, neque ars effugiendi amara supplicia. (4) Hæc nunc vitare licet. Dum autem licet, erigamus nosmetipsos ex casu, neque de nobis ipsi desperemus, si a malis discesserimus. Est via salutis, si modo velimus. (5) Quærit te pastor bonus, ovibus, quæ non erravere, derelictis. Te ipse si dederis, non cunctabitur, neque dedignabitur te suis ipsius humeris portare, lætus quod ovem suam perditam invenerit. Stat pater ac exspectat tuum ab errore reditum. Revertere tantummodo, teque longe adhuc stante, accurrens cadet in collum tuum, et amicis amplexibus jam pœnitentia expurgatum complectetur. (6) Quod si quispiam ex iis, qui stare sibi videntur, vitio verterit, quod cito assumptus es, ipse ille bonus pater pro te respondebit, dicens : Lætandum est et gaudendum, quia hic filius meus mortuus erat, et revixit, et disperditus erat, et inventus est [22]. Illi gloria in sæcula sæculorum. Amen.

DE IMPERIO AC POTESTATE.

SERMO XV.

1. (7) Imbecilliores semper a præstantioribus regi ac gubernari decet : pessimo enim principatum popularis sæpenumero detulit imprudentia. (8) Consentaneum est igitur, ut qui omnium testimonio cæteros sapientia, et fortitudine, atque exacta integrioris vitæ ratione antecellit, aliis dux præficiatur, ut quidquid in eo boni est, commune omnium imitantium fiat. (9) Enimvero subjecti ad mores eorum qui rerum potiuntur, ut plurimum sese conformare solent : ita ut quales tandem fuerint duces, eum etiam qui ducitur, talem esse necesse sit. Et quales sunt qui præsunt, tales ut plurimum et mores eorum, **554** quibus præsunt, esse solent. (10) Et quemadmodum si plures pictores unius faciei lineamenta pingunt, omnes imagines futuræ sunt inter se similes, utpote uni assimilatæ : eumdem ad modum si multa ingenia unum imitandum sibi proponant, in omnibus æqualiter

[22] Luc. xv, 32.

(1) *Ἐπιπεσεῖται*. Hanc vocem addidi ex Regio codice et contextu.
(2) *Ὁ ἀγαθός*. Sic idem codex et contextus. Editi, *ὡς ἀγαθός*. In ipso contextu additur, *πατήρ*.
(3) *Προστήσεσθαι*. Forte *προστήσασθαι*. Edit.
(4) Ex epist. XLVI, 139.
(5) Ibid., 140.
(6) Ibid.
(7) Uterque codex indicat *Ascetica*.
(8) Ex *Ascet.*, 324.
(9) Ex comment. *in Isai.*, 417.
(10) Ex *Ascet.*, 324.

bona vitæ forma elucescet. Vera etenim et perfecta subditorum erga præfectum obedientia in eo declaratur, si non a flagitiosis modo abstineant ex præfecti consilio, sed si ne ea quidem quæ laudabilia sunt, citra illius arbitrium peragant. Nam abstinentia et omnis corporalis afflictatio ad aliquid utilis est : sed si quis animi sui motum secutus, quod sibi placet, egerit, et præposito consilium sibi danti non obtemperaverit, peccatum futurum est majus, quam recte factum. *Qui enim resistit potestati, Dei ornationi resistit* [23]; atque obedientiæ major merces quam abstinentiæ virtuti tribuitur.

2. (1) Is igitur qui potest malo mederi, sed sponte differt, non injuria velut homicida condemnari poterit. Non autem qui præest ob eum in quo positus est dignitatis gradum sese attollat aut insolescat, ne humilitatis beatitudine privetur. (2) Nunquid enim qui regi famulatur, se ideo jactabit quod in hoc aut in illo ministerii ordine collocatus est : qui vero dignus habitus est qui Deo serviat, aliunde laudes sibi excogitabit, quasi ad omnem gloriæ splendorisque cumulum invocatio Domini sibi non sufficiat? Satis enim est nobis ad omnem dignitatem, tanti Domini servos nominari. (3) Et quemadmodum nec quidquam aliud oportet præter Deum colere : sic nec in alio, quam in Deo omnium Domino spem reponere. Qui namque in homine sperat, aut qui ob aliquid aliud mundanum effertur, puta, ob potestatem, vel ob divitias, vel ob quidpiam aliud eorum, quæ splendida a multis reputantur, non potest dicere : *Domine Deus meus, in te speravi*. Præceptum enim est, non oportere in principibus sperare; et, *Maledictus homo qui confidit in homine* [24]. (4) Beatus igitur vere est, qui ob nullam vitæ rem quantumvis sublimem exsultat, sed suam Deum gloriam esse ducit, Deumque quo glorietur unicum habet, ac secundum Apostolum dicere potest : *Mihi autem absit gloriari, nisi in cruce Christi* [25]. Etenim si quis sese magnopere jactat, quod servus sit regis, atque in magno honore apud eum habeatur : quantum convenit gloriari te apud temetipsum, quod Regis magni servus es, ab ipso accitus ad summam familiaritatem? (5) Qui vere princeps est, non ab externis insignibus dignoscitur, uti purpura, paludamento et diademate; sed ab imperatoria qua præditus est virtute. Qui enim subditur voluptatibus, ac variis cupiditatibus ducitur, servus cum sit peccati, ad imperandum idoneus non est. (6) Nam rebelles sub potestatem redigere, et fortis est viri, et vere imperantis : at benignum esse ac mansuetum in pro-

A τελεία ὑπακοὴ τῶν ὑποχειρίων πρὸς τὸν προεστῶτα, ἐν τούτῳ δείκνυται, ἐν τῷ μὴ μόνον τῶν ἀτόπων κατὰ τὴν συμβουλὴν αὐτοῦ ἀπέχεσθαι, ἀλλὰ μηδὲ αὐτὰ τὰ ἐπαινετὰ χωρὶς τῆς ἐκείνου γνώμης ποιεῖν. Ἡ γὰρ ἐγκράτεια, καὶ πᾶσα ἡ σωματικὴ κακοπάθεια, πρός τι χρησίμως ἔχει· ἀλλ' ἐάν τις ταῖς ἰδίαις ὁρμαῖς ἀκολουθῶν, τὸ ἀρέσκον ἑαυτῷ ποιῇ, καὶ συμβουλεύοντι τῷ προεστῶτι μὴ πείθηται, μεῖζον τοῦ κατορθώματος ἔσται τὸ πλημμελούμενον. *Ὁ γὰρ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Κυρίου διαταγῇ ἀνθέστηκε*· καὶ ὁ τῆς ὑπακοῆς μισθὸς μείζων τοῦ κατὰ τὴν ἐγκράτειάν ἐστι κατορθώματος.

2. Ὁ τοίνυν ἔχων ἐν ἐξουσίᾳ τὴν τοῦ κακοῦ θεραπείαν, ἑκὼν δὲ ὑπερτιθέμενος, εἰκότως ἂν ἐν τῷ B ἴσῳ τῶν αὐτοχείρων καταδικάζοιτο. Καὶ τὸν προεστῶτα δὲ μὴ ἐπαιρέτω τὸ ἀξίωμα, ἵνα μὴ ἐκπέσῃ τοῦ μακαρισμοῦ τῆς ταπεινοφροσύνης. Οὐ γὰρ δήπου βασιλείᾳ (7) μέν τις ὑπηρετῶν μέγα φρονήσει, διὰ τὸ ἐν τῇδε τῇ τάξει τῆς ὑπηρεσίας τετάχθαι· Θεῷ δὲ καταξιωθεὶς λατρεύειν, ἀλλαχόθεν τοὺς ἐπαίνους ἑαυτῷ περινοήσει, ὡς οὐκ ἀρκούσης αὐτῷ τῆς ἐπικλήσεως τοῦ Κυρίου πρὸς πᾶσαν δόξης καὶ περιφανείας ὑπερβολήν; Ἀρκεῖ γὰρ ἡμῖν πρὸς ἅπαν ἀξίωμα τὸ τηλικούτου Δεσπότου δούλους ἡμᾶς ὀνομάζεσθαι. Καὶ ὥσπερ οὐδὲ σέβειν ἄλλο τι παρὰ τὸν Θεὸν προσῆκεν, οὕτως οὐδὲ ἐπὶ ἄλλον ἐλπίζειν ἢ ἐπὶ τὸν Θεὸν τὸν πάντων Κύριον. Ὁ γὰρ ἐπ' ἄνθρωπον ἐλπίζων, ἢ ἐπ' ἄλλο τι τῶν κατὰ τὸν βίον μετεωριζόμενος, οἷον ἐπὶ δυναστείαν, ἢ χρήματα, ἤ C τι τῶν παρὰ τοῖς πολλοῖς νομιζομένων εἶναι λαμπρῶν, οὐ δύναται εἰπεῖν· *Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα*. Παράγγελμα γάρ ἐστι μὴ ἐλπίζειν ἐπ' ἄρχοντας, καὶ, *Ἐπικατάρατος ἄνθρωπος* ὃς τὴν *ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον*. Μακάριος οὖν τῷ ὄντι, ὁ μηδενὶ τῶν κατὰ τὸν βίον ὑψηλῶν ἐπαγαλλόμενος, ἀλλὰ Θεὸν ἔχων (8) τὴν ἑαυτοῦ δόξαν, ὁ καύχημα ἑαυτοῦ ἔχων τὸν Θεόν· ὁ δυνάμενος λέγειν κατὰ τὸν Ἀπόστολον· *Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ*. Εἰ γὰρ ὁ δεῖνα μέγα φρονεῖ, ὅτι δοῦλός ἐστι βασιλέως, τιμώμενος παρ' αὐτοῦ τὰ μεγάλα, πόσον σοι προσῆκεν ἐπὶ σαυτῷ μεγαλύνεσθαι, ὅτι δοῦλος εἶ τοῦ μεγάλου βασιλέως, προσκληθεὶς παρ' αὐτοῦ εἰς τὴν ἄκραν οἰκείωσιν; D Ὁ γὰρ ἀληθῶς ἄρχων, οὐκ ἐκ τῶν ἔξωθεν συμβόλων γνωρίζεται, οἷον πορφύρας, χλανίδος, καὶ διαδήματος· ἀλλ' ἐκ τοῦ ἔχειν τὴν ἀρχικὴν ἀρετήν. Ὁ δὲ ἀρχόμενος ὑπὸ τῶν ἡδονῶν, καὶ ἀγόμενος ἐπιθυμίαις πολλάκις, δοῦλος ὢν τῆς ἁμαρτίας, ἀνεπιτήδειος πρὸς τὸ ἄρχειν καθέστηκε. Καὶ τὸ μὲν τοὺς ἀντιτείνοντας ὑπὸ χεῖρα λαμβάνειν, ἀνδρείου τε καὶ ἄρχοντος ὡς ἀληθῶς· τὸ δὲ τοῖς ὑποπεπτωκόσι χρη-

[23] Rom. XIII, 2. [24] Jerem. XVII, 5. [25] Galat. VI, 14.

(1) Ex hom. *in famem et siccitatem*, 69.
(2) Ex hom. *in psal.* XXXIII, 145.
(3) Ex hom. *in psal.* VII, 98.
(4) Ex hom. *in psal.* LXI, 196.
(5) Ex comment. *in Isai.*, 456.
(6) Ex epist. CXII, 204.

(7) *Βασιλείᾳ*. Ita Regius codex. Editi βασιλείας. Contextus βασιλεῖ.

(8) *Θεὸν ἔχων*. Sic ope ejusdem codicis et contextus emendavimus vulgatam scripturam ἔχων τὴν ἑαυτοῦ δόξαν ἐπὶ τὸν Κύριον. Quæ sequuntur, prorsus superflua sunt, nec in contextu reperiuntur.

στὸν εἶναι καὶ πρᾶον, μεγαλοφροσύνῃ πάντων καὶ A ἡμερότητι διαφέροντος. Κύριοι μὲν γὰρ τῶν ἠδικηκότων πολλοὶ τῶν πρότερον ἤδη γεγόνασιν, ὧν οὐδεὶς πρὸς τοὺς ὕστερον διεπέμφθη λόγος· ἀφῆκαν δὲ τὴν ὀργὴν οἱ φιλοσοφίᾳ τοὺς πολλοὺς ὑπεράραντες, ὧν ἀθάνατος ἡ μνήμη τῷ χρόνῳ παντὶ παραδέδοται. Τοὺς γάρ τῳ ὁτιοῦν ἀδικοῦντας οὐχ ὑπὲρ τῶν ἤδη γεγενημένων κολάζομεν, (τίς γὰρ ἂν γένοιτο μηχανὴ μὴ γεγενῆσθαι τὰ πεπραγμένα;) ἀλλ' ὅπως ἂν ἢ αὐτοὶ πρὸς τὸ λοιπὸν ἀμείνους γένοιντο, ἢ ἑτέροις ὑπάρξαιεν τοῦ σωφρονεῖν παράδειγμα.

3. Πολλάκις γὰρ (1) καὶ ἐν τοῖς σμικροτάτοις ἡ σοφία τοῦ Θεοῦ διαφαίνεται. Ὁ γὰρ οὐρανὸν ἁπλώσας, καὶ τὰ ἄπλετα μεγέθη τῶν πελάγων ἀναχέας, οὗτός ἐστιν ὁ καὶ τὸ λεπτότατον κέντρον τῆς μελίσ- B σης κοιλάνας, ὥσπερ αὐλὸν, ὥστε τὸν ἰὸν δι' αὐτοῦ ἐκχεῖσθαι. Τοῦτον σαρκὸς (2) μὲν ὀφθαλμοῖς θεωρῆσαι (3) ἀδύνατον, τὸ γὰρ ἀσώματον σαρκὸς ὄμμασιν ὑποπίπτειν οὐ δύναται· καὶ μεμαρτύρηκεν αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, λέγων· *Θεὸν οὐδεὶς πώποτε τεθέαται*. Εἰ γὰρ καὶ κατὰ τὸ γεγραμμένον εἶδεν ὁ Ἰεζεκιὴλ, ἀλλὰ τί λέγει ἡ Γραφή; *Εἶδεν ὁμοίωμα δόξης Κυρίου*, οὐ μὴν δὲ αὐτὸν τὸν Κύριον· ἀλλ' οὐδὲ αὐτὴν τὴν δόξαν, ὡς ἔστιν ἀληθῶς. Καὶ ἰδὼν τὸ ὁμοίωμα τῆς δόξης, καὶ οὐκ αὐτὴν τὴν δόξαν, ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τοῦ φόβου. Εἰ δὲ τὸ τῆς δόξης ὁμοίωμα θεαθὲν φόβον καὶ ἀγωνίαν περιεποίει τοῖς ἀνθρώποις, αὐτὸν εἴ τις ἂν ἐθεώρησε τὸν Θεὸν, πάντως ἂν ἀπηλλάττετο, κατὰ τὸ εἰρημένον· *Οὐδεὶς ὄψεται τὸν Θεὸν, καὶ ζήσεται*. Διὰ C τοῦτο καὶ κατὰ τὴν μεγίστην αὐτοῦ φιλανθρωπίαν ὁ Θεὸς παραπέτασμα τῆς οἰκείας θεότητος ἐξέτεινε τὸν οὐρανὸν, ἵνα μὴ ἀπολώμεθα. Οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ προφήτης εἶπεν· *Ἐὰν ἀνοίξῃς τὸν οὐρανὸν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται παρ' αὐτά*. Καὶ τί θαυμάζεις, εἰ ὁ Ἰεζεκιὴλ, τὸ ὁμοίωμα τῆς δόξης ἰδὼν, ἔπεσεν; Ὁ Δανιὴλ οἰκέτην ἰδὼν τοῦ Κυρίου, καὶ ἔπτηξε (4), καὶ ἔπεσεν· καὶ ἄχρις ὅτου ἐξεβιάζετο τοῖς ὀφθαλμοῖς ἰδεῖν εἰς ὁμοίωμα υἱοῦ Θεοῦ, οὐκ ἐτόλμησεν ἀποκριθῆναι. Εἰ δὲ Γαβριὴλ ὀπτανόμενος, τρόμον ποιεῖ προφήταις ἀνθρώποις τοῦ Θεοῦ· εἰ ἦλθε καθὼς ἦν, οὐκ ἂν ἀπώλλυντο πάντες; παντί που δῆλον. Εἰ τοίνυν θέλεις γνῶναι σαφῶς, ὅτι φύσιν Θεοῦ καταλαβεῖν ἀδύ- D νατον, μάνθανε, τί λέγουσιν οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ τοῦ πυρὸς, ὑμνολογοῦντες τὸν Θεόν· *Εὐλογητὸς εἶ, ὁ βλέπων ἀβύσσους, καθήμενος ἐπὶ χερουβίμ*. Εἰπέ μοι, τοῦ χερουβὶμ τίς ἐστιν ἡ φύσις, καὶ τότε τὸν ἐπικαθήμενον θεωρεῖς. Καίτοιγε

A stratos, hominis est magnanimitate et clementia omnes superantis. (5) Illud enim considera, dominos eorum qui læserant exstitisse multos ex iis qui
555 ante nos vixere, de quibus nullus ad posteros transmissus sermo; at vero iram remisisse, qui philosophia vulgus antecelluerunt, quorum immortalis memoria in omni ævo perhibetur. (6) Nam eos qui quidvis deliquerint, non ob ea quæ jam admissa sunt, punimus, (qua enim arte quæ facta sunt, infecta reddantur?) sed ut aut ipsi deinceps meliores fiant, aut aliis sapiendi sint exemplum.

3. (7) Sæpe enim in tenuissimis etiam Dei sese exserit sapientia. Nam qui convexum cœlum expandit, atque ingentes marium gurgites effudit, ille B ipse est qui tenuissimum apiculæ stimulum in fistulæ modum excavavit, adeo ut per ipsum venenum effundatur. (8) Hunc corporeis quidem oculis contemplari minime conceditur: incorporeum enim visui subjici corporeo non potest: quod quidem unigenitus ipse Dei Filius testificatus est dicens: *Deum nemo vidit unquam* [26]. Etsi enim, ut scriptum est, vidit Ezechiel: audi quid Scriptura dicat, *Vidit similitudinem gloriæ Domini* [27]; non tamen ipsum Dominum, sed ne ipsam quidem gloriam, qualis illa revera est. Et cum similitudinem gloriæ vidisset, non ipsam gloriam; præ timore in terram cecidit. Quod si conspecta gloriæ similitudo terrorem hominibus tremoremque incutit, Deum ipsum si quispiam viderit, e vita prorsus migraverit, ut dictum C est: *Nemo videbit Dominum, ac vivet* [28]. Propterea Deus pro sua erga nos humanitate, cœlum ipsum, suæ divinitatis velum, ne pereamus, obtendit. Neque de meo id affero, imo ipse propheta dixit: *Si aperueris cœlum, tremor a tuo conspectu apprehendet montes, et continuo tabescent*. Et quid miraris si gloriæ similitudinem cum vidisset Ezechiel, cecidit in faciem? Daniel, conspecto Dei servo, et tremuit, et in faciem cecidit: et quandiu oculis videre contendit Dei filii similitudinem, tandiu respondere non ausus est [29]. Si vero visus Gabriel prophetis hominibus Dei tremorem incutit; si qualis est, is sese ostenderit, nonne perierint omnes? Nemini profecto dubium est. Si vis igitur aperte cognoscere incomprehensibilem esse Dei naturam, disce quid D tres pueri in ardentis ignis fornace laudantes Deum dicant: *Benedictus es qui intueris abyssos, et sedes super cherubim* [30]. Quæso te, dic mihi, quænam est cherubim natura, atque tum insidentem contemplaberis. Quamvis propheta Ezechiel illorum descri-

[26] Joan. I, 18. [27] Ezech. II, 19. [28] Exod. XXXIII 20. [29] Dan. X, 7 sqq. [30] Dan. III, 55.

(1) *Πολλάκις γάρ*, etc. Hæc verba usque ad illa, ἐκχεῖσθαι, desumpta esse ex *Hexaemero* indicat codex Regius 1992, sed ea reperire non potuimus in hoc opere.

(2) *Τοῦτον σαρκός*. Hæc verba usque ad illa, ἐκ μέρους καταργηθήσεται, reperire non potuimus. Codex 1992 indicat orationem, *Quod incomprehensibilis est Deus*.

(3) *Θεωρῆσαι*. Codex Regius 1992 ὑποπίπτειν.

(4) *Ἔπτηξε*. Hunc locum ope utriusque codicis sanavimus. Habebant editi ἔπηξε καὶ ἔπεσεν ἐπὶ πρόσωπον, καὶ... ἐξεβιβάζετο εἰς ὁμοίωμα.

(5) Ex epist. CXII, 204.

(6) Ibid. 205.

(7) Unus codex indicat hom. in *Hexaem*.

(8) Uterque codex indicat, serm. *Quod Deus sit incomprehensibilis*.

ptiorem quod fieri potuit, scriptis sit persecutus, inquiens: *Quatuor facies habebat unum, facies una hominis, facies secunda leonis; et in tertio facies aquilæ, et in quarto facies vituli*[31]: quodque uni sex essent alæ, atque ipsis undique essent oculi, quodque singuli subjectam haberent quadrangularem rotam; facta tamen a propheta descriptione, etiamsi legimus, percipere non valemus. Si vero solium, quod explanavit, animo comprehendere non possumus, insidentem ipsi invisibilem Deum, qua ratione poterimus? facie siquidem ad faciem visuros, perfectamque
556 incomprehensibilis Dei majestatis in futuro sæculo cognitionem habituros eos qui digni fuerint, certa pollicitatione confirmatum est. Nunc vero etiam si Paulus alter quispiam fuerit, etiam si Petrus, cernit quidem vere, neque hallucinatur, aut imaginibus deluditur, verumtamen veluti per speculum, et in ænigmate intuetur: et quod nunc ex parte est cum gratiarum actione accipiens, quod plane perfectum est summa cum lætitia in futurum opperitur[32]. Quod enim in ea ipsa cognitione nunc perfectum esse videtur, adeo exiguum quiddam est et obscurum, ut a futuri sæculi claritate distet magis, quam a cognitione quæ est facie ad faciem. Ac tanta quidem est cognitionis Dei infinitas, tantaque humanæ naturæ in percipiendis hoc in sæculo divinis mysteriis imbecillitas, cum semper quidem pro cujusque progressu aliqua fiat accessio, sed nemo perfectam cognitionem assequatur, donec venerit quod perfectum est, quando quod ex parte est evacuabitur[33].

4. (1) Qui eorum quæ sunt investigationem comparari posse dicit, is procul dubio via quadam et ordine mentem suam ad eorum quæ sunt cognitionem appulit; et in rebus captu facilibus et minutis exercitatus, ita demum per hanc cognitionem, ad eam quoque quæ cogitationem omnem superat, suam comprehendendi facultatem promovit. Qui igitur eorum quæ sunt cognitionem apprehendisse se gloriatur, is animalis minutissimi ex iis quæ in conspectum cadunt, naturam explicet, et quæ sit formicæ natura dicat, an spiritu et anhelitu contineatur ipsius vita: an corpus ossibus distinctum: an compages nervis atque ligamentis firmata: an musculorum et glandularum ambitu contineatur nervorum situs: an medulla a sincipite ad caudam usque una cum dorsi vertebris protendatur: an membris quæ moventur, ex nervosæ membranæ complexu motum imprimat: an sit in ipsa jecur, et in jecore vas quoddam, quod fel suscipiat, sintne renes et cor, et arteriæ, et venæ, et pelliculæ, et diaphragmata: sitne animal nudum an pilosum: utrum ungulas indivisas, an pedes multifidos habeat: item quanto tempore vivat, et quomodo aliæ alias gignant: quandiu gestetur fetus, et quomodo

A Ἰεζεκιὴλ ὁ προφήτης καὶ τὴν ἔκφρασιν αὐτῶν ἐποιήσατο δυνατῶς, λέγων, ὅτι *Τέσσαρα πρόσωπα τῷ ἑνί· τὸ μὲν ἀνθρώπου, τὸ δὲ λέοντος, τὸ δὲ ἀετοῦ, τὸ δὲ μόσχου*· καὶ ὅτι ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ὅτι ὀφθαλμοὶ αὐτοῖς πανταχόθεν, καὶ ὅτι ὑπὸ καθ' ἕκαστον τροχὸς τετράγωνος ὑποκείμενος· καὶ ὅμως τοῦ προφήτου (2) τὴν ἔκφρασιν πεποιημένου, οὔπω ἡμεῖς οὔτε ἀναγινώσκοντες καταλαβεῖν δυνάμεθα. Εἰ δὲ τὸν θρόνον ὃν διηγήσατο, καταλαβεῖν οὐ δυνάμεθα, τὸν ἐπικαθήμενον ἀόρατον Θεὸν πῶς καταλαβεῖν δυνησόμεθα; τὸ μὲν γὰρ πρόσωπον πρὸς πρόσωπον, καὶ ἡ τελεία ἐπίγνωσις τῆς τοῦ Θεοῦ ἀκαταλήπτου μεγαλειότητος, ἐν τῷ μέλλοντι αἰῶνι τοῖς ἀξίοις ἀποδοθῆναι ἐπήγγελται. Νῦν δὲ κἂν Παῦλός τις ᾖ, κἂν Πέτρος, βλέπει μὲν ἀληθῶς, καὶ οὐ πλανᾶται, οὐδὲ
B φαντάζεται, δι' ἐσόπτρου δὲ ὅμως βλέπει καὶ ἐν αἰνίγματι· καὶ τὸ ἐκ μέρους νῦν εὐχαρίστως δεχόμενος, τὸ τέλειον εἰς τὸ μέλλον περιχαρῶς ἐκδέχεται. Τὸ γὰρ δοκοῦν νῦν ἐν τῇ γνώσει τέλειον, βραχύ τι καὶ ἀμυδρότερον τοσοῦτόν ἐστιν, ὡς πλέον ἀπολιμπάνεσθαι τῆς ἐν τῷ μέλλοντι αἰῶνι τρανότητος, ἢ ὅσον ἀπολιμπάνεται τοῦ προσώπου πρὸς πρόσωπον. Τοσοῦτον μὲν οὖν τῆς ἐπιγνώσεως τοῦ Θεοῦ τὸ ἀπέραντον, τοσοῦτον δὲ τῆς ἀνθρωπίνης φύσεως τὸ τῶν θείων μυστηρίων ἐν τῷ παρόντι ἀνέφικτον· ἀεὶ μὲν κατὰ προκοπὴν ἑκάστου προστιθεμένου (3) τοῦ πλείονος, ἀεὶ δὲ τοῦ πρὸς ἀξίαν ἀπολιμπανομένου ἁπάντων, ἄχρις ἂν ἔλθῃ τὸ τέλειον ὅτε τὸ ἐκ μέρους καταργηθήσεται.

C 4. Ὁ δὲ ἐφικτὴν εἶναι λέγων τῶν ὄντων τὴν εὕρεσιν, ὁδῷ τινι πάντως καὶ ἀκολουθίᾳ διὰ τῆς τῶν ὄντων γνώσεως προέβαλεν ἑαυτοῦ τὴν διάνοιαν· καὶ τοῖς εὐλήπτοις τε καὶ μικροτέροις ἐγγυμνασθεὶς διὰ τῆς καταλήψεως, οὕτω καὶ εἰς τὴν ἐπέκεινα πάσης ἐννοίας προήγαγεν ἑαυτὸν καταληπτικὴν φαντασίαν. Οὐκοῦν ὁ τὴν περὶ τῶν ὄντων εἴδησιν κατειληφέναι μεγαλαυχούμενος, τὸ σμικρότατον τῶν προφαινομένων, ὅπως ἔχει φύσεως, ἑρμηνευσάτω, καὶ τίς ἡ τοῦ μύρμηκος φύσις, εἰπάτω· εἰ πνεύματι καὶ ἄσθματι συνέχεται αὐτοῦ ἡ ζωή· εἰ ὀστέοις τὸ σῶμα διείληπται· εἰ νεύροις καὶ ἐνδέσμοις τὰς ἁρμονίας τετόνωται· εἰ μυῶν περιβολῇ καὶ ἀδένων ἡ τῶν νεύρων περικρατεῖται θέσις· εἰ τοῖς νωτιαίοις σπονδύλοις ἐκ τοῦ βρέγματος ἐπὶ τὸ οὐραῖον ὁ μυελὸς συμπαρα-
D τείνεται· εἰ ἐπὶ τῇ περιοχῇ τοῦ νευρώδους ὑμένος τοῖς κινουμένοις μέλεσι τὴν ὁρμητικὴν ἐνδίδωσι δύναμιν· εἰ ἔστιν ἐν αὐτῷ τὸ ἧπαρ, καὶ χοληδόχον ἀγγεῖον ἐπὶ τοῦ ἥπατος, νεφροί τε καὶ καρδία, καὶ ἀρτηρίαι, καὶ φλέβες, ὑμένες, καὶ διαφράγματα· εἰ ψιλόν ἐστιν, ἢ τετρίχωται· μονώνυχόν ἐστιν, ἢ πολυσχιδεῖς ἔχει τὰς βάσεις· πόσον δὲ βιοῖ τὸν χρόνον· καὶ τίς αὐτοῖς ὁ τρόπος τῆς ἐξ ἀλλήλων γεννήσεως· ἐπὶ πόσον δὲ κυΐσκεται τὸ τικτόμενον, καὶ πῶς ὠὰ

[31] Ezech. x, 14. [32] I Cor. xiii, 12. [33] ibid. 10.

(1) Ex epist. xvi, 95.
(2) *Προφήτου*. Sic Regius codex 1992, melius quam editi προσώπου.

(3) *Προστιθεμένου*. Sic uterque codex pro eo quod erat in editis προτιθεμένου.

πεζοὶ πάντες οἱ μύρμηκες, οὔτε ὑπόπτεροι πάντες, ἀλλ' οἱ μὲν τῶν χαμαὶ ἑρπομένων εἰσίν, οἱ δὲ διαέριοι φέρονται. Ὁ τοίνυν τῶν ὄντων τὴν γνῶσιν ἐπικομπάζων, τέως τὴν τοῦ μύρμηκος φύσιν εἰπάτω· εἶθ' οὕτως φυσιολογείτω τὴν πάντα νοῦν ὑπερέχουσαν δύναμιν. Εἰ δὲ τοῦ βραχυτάτου μύρμηκος οὔπω περιέλαβες τῇ γνώσει τὴν φύσιν, πῶς τὴν ἀκατάληπτον τοῦ Θεοῦ δύναμιν μεγαλαυχεῖς φαντάζεσθαι;

5. Τὸ γὰρ οἴεσθαι τοῦ ἐπὶ πάντων Θεοῦ αὐτὴν τὴν οὐσίαν ἐξευρηκέναι, πολλῆς ὑπερηφανίας ἐστὶ καὶ φυσιώσεως· σχεδὸν γὰρ καὶ αὐτὸν ἀποκρύπτουσι τῇ μεγαληγορίᾳ τὸν εἰπόντα· *Ἐπάνω τῶν ἄστρων θήσομαι τὸν θρόνον μου.* Οὐχ ὁ μὲν μέγας Δαβὶδ, ᾧ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς ἑαυτοῦ σοφίας ἐδήλωσεν ὁ Θεὸς, φανερῶς ὁμολογεῖ τῆς γνώσεως τὸ ἀπρόσιτον, λέγων· *Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ;* Ἡσαΐας δὲ, ὁ ἐν θεωρίᾳ τῆς δόξης τοῦ Θεοῦ γενόμενος, τί περὶ τῆς θείας οὐσίας ἐδήλωσεν ἡμῖν; ὅς γε ἐν τῇ περὶ τοῦ Χριστοῦ προφητείᾳ διαμαρτύρεται, λέγων· *Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;* Τί δὲ τὸ σκεῦος τῆς ἐκλογῆς Παῦλος, ὁ λαλοῦντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστὸν, ὁ ἕως τρίτου ἁρπαγεὶς οὐρανοῦ, ὁ τὰ ἄρρητα ἀκούσας ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι, τίνα ἡμῖν περὶ οὐσίας Θεοῦ διδασκαλίαν ἀφῆκεν; Ὅς γε, ὅτε εἰς τοὺς μερικοὺς τῆς οἰκονομίας διέκυψε (1) λόγους, οἱονεὶ ἰλιγγιάσας πρὸς τὸ τῆς θεωρίας ἀδιεξόδευτον, ἐκείνην ἐξεβόησε τὴν φωνήν· *Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ!* Εἰ δὲ ταῦτα τοῖς εἰς τὸ τῆς Παύλου γνώσεως πεφθακόσιν ἀνέφικτα, πόσος ὁ τῦφος τῶν ἐπαγγελλομένων εἰδέναι τοῦ Θεοῦ τὴν οὐσίαν; Οὓς ἡδέως ἂν ἐρωτήσαιμι περὶ τῆς γῆς ἐφ' ἧς ἑστᾶσι, καὶ ἀφ' ἧς γεγόνασι, τί ποτε λέγουσι, τίνα αὐτῆς τὴν οὐσίαν ἐπαγγέλλουσιν ἡμῖν· ἵνα ἐὰν ἄρα περὶ τῶν χαμαὶ καὶ ὑπὸ τοῖς ποσὶ κειμένων ἀναντιῤῥήτως ἡμῖν διαλεχθῶσι, τότε αὐτοῖς καὶ περὶ τῶν ἐπέκεινα πάσης ἐννοίας διατεινομένοις πιστεύσωμεν. Καὶ ὥσπερ φασὶν, ὅτι Ἀδὰμ ἐκ τοῦ Θεοῦ, ἡμεῖς αὐτοὺς ἐρωτήσωμεν, ὁ Θεὸς ἐκ τίνος; ἆρ' οὐ πρόχειρόν ἐστι τῇ ἑκάστου διανοίᾳ ὅτι ἐξ οὐδενός; τὸ δὲ ἐξ οὐδενὸς, τὸ ἄναρχόν ἐστι δηλονότι· τὸ δὲ ἄναρχον, τὸ ἀγέννητον. Ὡς οὖν ἐπ' ἀνθρώπων οὐκ ἦν οὐσία τὸ ἐκ τινὸς, οὕτως οὐδὲ ἐπὶ Θεοῦ τῶν ὅλων οὐσίαν ἔστιν εἰπεῖν, τὸ ἐξ οὐδενός· ὅπερ ἴσον ἐστὶ τῷ (2), ἀγέννητος. Ὁ δὲ τὸ ἄναρχον οὐσίαν εἶναι λέγων, παραπλήσιον ποιεῖ, ὥσπερ ἂν εἴ τις ἐρωτώμενος, τίς ἡ τοῦ Ἀδὰμ οὐσία, καὶ τίς ἡ φύσις αὐτῷ, ὁ δὲ ἀποκρίνοιτο, μὴ ἐκ συνδυασμοῦ ἀνδρὸς καὶ γυναικὸς, ἀλλ' ἐκ τῆς θείας χειρὸς διαπλασθῆναι. Ποῖος οὖν ἔτι τρόπος τῆς γνώσεως ὑπολείπεται; ἀποκρινάσθωσαν ἡμῖν οἱ περιφρονοῦντες μὲν πάντα τὰ ἐν

A neque omnes formicæ pedestres sint, neque omnes alatæ; sed repentibus humi aliis, aliæ per aerem ferantur. Qui ergo de eorum quæ sunt cognitione gloriatur, interim formicæ nobis explicet naturam, atque ita demum ejus potestatis, quæ intellectum omnem superat, naturam scrutetur. Quod si minutissimæ formicæ naturam nondum cognitione apprehendisti, quomodo incomprehensibilem Dei naturam imaginatione tua comprehensam esse gloriaris?

5. (3) Putare enim se Dei, qui super omnia est, substantiam ipsam adinvenisse, magnæ superbiæ est atque elationis; fere enim jactantia superant vel illum ipsum, qui dixit: *Super astra ponam sedem meam* [34]. Nonne magnus ille David, cui occulta B absconditaque suæ sapientiæ Deus manifestavit, palam confitetur inaccessam esse cognitionem, cum dicit: *Mirabilis facta est* **557** *scientia tua ex me* [35]. Isaias autem, qui majestatem Dei speculatus est, quid nobis de divina substantia declaravit? nempe cum de Christo prophetiam edit, testatur his verbis: *Generationem ejus quis enarrabit* [36]? Quid vero vas electionis Paulus [37], qui loquentem in se habebat Christum [38], qui ad tertium usque cœlum raptus est, qui arcana audivit verba, quæ non licet homini loqui [39], quam nobis de substantia Dei doctrinam reliquit? Hic ad particulares Providentiæ rationes cum respexisset, velut vertigine laborans propter insuperabilem contemplandi difficultatem, C sic exclamat: *O altitudo divitiarum et sapientiæ et cognitionis Dei! quam inscrutabilia sunt judicia ejus, et investigabiles viæ ejus* [40]! Quod si hæc illi ipsi qui ad cognitionem Pauli pervenerunt, assequi non possunt; quanta est superbia eorum, qui se substantiam Dei profitentur cognoscere? Quos profecto libens interrogaverim quidnam de terra in qua commorantur, et ex qua nati sunt, dicant, quam ejus nobis exponant substantiam: ut si de iis quæ humi sunt ac pedibus subjacent, certo indubitanterque disserant, tunc eis quoque, cum de rebus intellectum omnem superantibus sententiam proferunt, fidem habeamus. Et sicut inquiunt, (4) Quod Adam a Deo est: ita interrogabimus, Deus a quo est? nonne uniuscujusque mente promptum fuerit D respondere, ex nullo? quod autem ex nullo est, utique sine principio est: et quod sine principio est, id ingenitum est. Sicut ergo in hominibus origo ex aliquo, non est eorum essentia: sic neque in Deo universorum ex nullo esse, quod idem est atque ingenitum, ejus essentiam dicere possumus. Porro esse sine principio essentiam esse qui dicit, non aliter facit, ac si quis interrogatus quæ fuerit essentia Adæ, et quæ ipsius natura, respondeat, non ex coitu viri et mulieris, sed divina manu confor-

[34] Isa. XIV, 13. [35] Psal. CXXXVIII, 6. [36] Isa. LIII, 8. [37] Act. IX, 15. [38] II Cor. XIII, 3. [39] II Cor. XII, 2 4. [40] Rom. XI, 33.

(1) Διέκυψε. Sic contextus et Regius codex melioris notæ. Editi ἐδείκνυτο.

(2) Ὅπερ ἴσον ἐστὶ τῷ. Idem codex ὧπερ ἴσον ἐστὶ τό.

(3) Ex lib. *adversus Eunomium*, 224.

(4) Ibid., 227.

matum eum fuisse. Qualis igitur nobis reliquus est cognitionis modus? respondeant nobis hi qui omnia quidem pedibus nostris subjecta despiciunt, in ipsum vero cœlum penetrant, atque omnes cœlestes potestates. (1) Si cœli magnitudo exsuperat humanæ intelligentiæ mensuram, quisnam valeat sempiternorum naturam perscrutari? Si sol ille corruptioni obnoxius, adeo pulcher est et adeo magnus, cum velox ad motum, tum ordinatos circuitus explens, magnitudinem quidem ad universum ita accommodatam nactus, ut eam quam cum universo habet proportionem non excedat, sua vero pulchritudine tanquam naturæ oculus quidam pellucidus res creatas condecorans: hujus si insatiabilis est aspectus, quali pulchritudine sol justitiæ præditus est? Si hunc solem non conspicere, cæco detrimentum est: quale est peccatori dispendium luce vera carere? Nam si hæc temporaria talia sunt, qualia sempiterna? Et si adeo speciosa quæ videntur, qualia invisibilia, quæ præparavit Deus diligentibus se? Quæ utinam assequi omnes valeamus, gratia atque humanitate Domini nostri Jesu Christi, quia illi debetur gloria, in sæcula sæculorum. Amen.

A ποσὶ, διαβαίνοντες δὲ τὸν οὐρανὸν, καὶ πάσας τὰς ὑπερκοσμίους δυνάμεις. Εἰ οὐρανοῦ μέγεθος, μέτρον ἀνθρωπίνης διανοίας ἐκβαίνει· τῶν ἀϊδίων τὴν φύσιν τίς ἄρα (6) ἐξιχνιάσαι δυνήσεται; Εἰ ὁ τῇ φθορᾷ ὑποκείμενος ἥλιος οὕτω καλὸς καὶ μέγας, ὀξὺς μὲν κινηθῆναι, εὐτάκτους δὲ τὰς περιόδους ἀποδιδοὺς, σύμμετρον μὲν ἔχων τὸ μέγεθος τῷ παντὶ, ὥστε μὴ ἐκβαίνειν τὴν πρὸς τὸ ὅλον ἀναλογίαν· τῷ δὲ κάλλει τῆς φύσεως οἷόν τις ὀφθαλμὸς διαυγὴς ἐμπρέπων τῇ κτίσει· εἰ ἀκόρεστος τούτου ἡ θέα, ποταπὸς τῷ κάλλει ὁ τῆς δικαιοσύνης ἥλιος; Εἰ τυφλῷ ζημία τοῦτον μὴ βλέπειν (7), ποταπὴ ζημία τῷ ἁμαρτωλῷ τοῦ ἀληθινοῦ φωτὸς στερηθῆναι; Εἰ γὰρ τὰ πρόσκαιρα τοιαῦτα, ποταπὰ τὰ αἰώνια; Καὶ εἰ τὰ ὁρώμενα οὕτω καλὰ, ποταπὰ τὰ ἀόρατα, ἃ ἡτοίμασεν ὁ Θεὸς B τοῖς ἀγαπῶσιν αὐτόν; Ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ πρέπει ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

558 *DE INGLUVIE ET EBRIETATE.*

SERMO XVI.

1. (2) Æqualis et constans Christiani vita, charissimi, et unicum scopum habet Dei gloriam. *Sive enim manducatis, sive bibitis, sive quid facitis, omnia in gloriam Dei facite*, ait Paulus [41] qui in Christo loquebatur [42]. At vero multiformis et varia est hominum mundanorum vivendi ratio, quæ scilicet aliis atque aliis modis ad conciliandam accedentium gratiam transformetur. (3) Quod si etiam futurum est, ut ipsi quoque simus eorumdem rei, et quoad licet nobis, inquiramus etiam ea quæ pertinent ad voluptatem, et ipsa ad ostentationem apparemus, vereor ne quæ destruimus, ea ædificare videamur, et dum cæteros judicamus, nosmetipsos condemnemus, qui simulate vita utamur, modo in hanc, modo in illam formam mutati, nisi forte immutemus etiam vestimenta nostra tum, cum in viros claros et superbos inciderimus. Quod si id turpe est, longe turpius mensam nostram ob homines deliciis diffluentes commutare. (4) Si enim copia ciborum atque lautitia fratri voluptatem afferre volens, mensam tuam immutas, illius accusas amorem voluptatis, et iis quæ præparas, gulæ probro illum aspergis, his eum rebus arguens oblectari. (5) Quid igitur nobis cum apparatibus sumptuosis? Accessit hospes aliquis? si frater sit, et idem vitæ institutum sequatur, suam ipsius mensam agnoscet; quæ enim reliquit domi, ea inventurus est apud nos. At fatigatus est ex itinere? tantum afferimus lavamenti, quantum requiritur ad lassitudinem sublevandam. Advenit alius sæculo huic addictus? ex factis discat

ΠΕΡΙ ΓΑΣΤΡΙΜΑΡΓΙΑΣ ΚΑΙ ΜΕΘΗΣ.

ΛΟΓΟΣ ΙϚ'.

1. Μονότροπος ὁ τοῦ χριστιανισμοῦ βίος, ἀγαπητοὶ, ἕνα σκοπὸν ἔχων, τὴν δόξαν Θεοῦ. *Εἴτε γὰρ ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε*, φησὶν ὁ ἐν Χριστῷ λαλῶν Παῦλος. Πολύτροπος δὲ καὶ ποικίλος ὁ τῶν ἔξωθεν C βίος, ἄλλοτε ἄλλως πρὸς τὴν ἀρέσκειαν τῶν ἐντυγχανόντων μεταπλασσόμενος. Εἰ οὖν μέλλοιμεν καὶ αὐτοὶ τοῖς αὐτοῖς ἐνέξεσθαι, καὶ κατὰ τὴν ὑπάρχουσαν δύναμιν τὰ πρὸς ἡδονὴν ἐπιζητεῖν, καὶ πρὸς ἐπίδειξιν παρασκευάζεσθαι, φοβοῦμαι, μὴ ἃ καταλύομεν, ταῦτα φανῶμεν οἰκοδομοῦντες, καὶ δι' ὧν ἑτέρους κρίνομεν, ἑαυτοὺς κατακρίνωμεν, ἐσχηματισμένως τῷ βίῳ κεχρημένοι, καὶ ἄλλοτε ἄλλως μεταμορφούμενοι, εἰ μὴ ἄρα καὶ τὰς ἐσθῆτας ἡμῶν διαμείβομεν, ὅταν τοῖς ὑπερηφάνοις περιτυγχάνωμεν. Εἰ δὲ αἰσχρὸν τοῦτο, πολλῷ αἴσχιον διὰ τοὺς τρυφῶντας τὴν τράπεζαν ἡμῶν μετασκευάζεσθαι. Πλήθει γὰρ βρωμάτων καὶ περιεργείᾳ πρὸς ἡδονὴν μετασκευάζων τοῦ ἀδελφοῦ σου τὴν τράπεζαν, κατηγορεῖς αὐτοῦ φιληδονίαν, καὶ καταχέεις αὐτοῦ γαστριμαργίας D ὀνείδη δι' ὧν παρασκευάζῃ, ἐλέγχων αὐτοῦ τὴν πρὸς ταῦτα ἡδυπάθειαν. Τί οὖν ἡμῖν καὶ ταῖς πολυτελείαις; Ἐπεδήμησέ τις τῶν ξένων; εἰ μὲν ἀδελφὸς καὶ τὸν αὐτὸν ἔχων σκοπὸν τοῦ βίου, τὴν οἰκείαν τράπεζαν ἐπιγνώσεται· ἃ γὰρ κατέλιπεν οἴκοι, ταῦτα παρ' ἡμῖν εὑρήσει. Ἀλλὰ κέκμηκεν ἐκ τῆς ὁδοιπορίας; τοσοῦτον αὐτῷ προστίθεμεν, ὅσον τὸν κόπον παραμυθήσασθαι. Ἄλλος ἐλήλυθεν ἐκ τοῦ ἔξωθεν βίου; μαθέτω διὰ τῶν ἔργων, ὅσον ὁ λόγος αὐτὸν οὐκ ἔπεισε, καὶ λαβέτω τύπον καὶ ὑπογραμμὸν τῆς

[41] I Cor. x, 31. [42] II Cor. II, 17.

(1) Ex homil. VI *in Hexaem.*, 50.
(2) Ex *Regulis fusius tractatis*, 365.
(3) Ibid., 364.
(4) Ibid., 365.

(5) Ibid., 364.
(6) *Τίς ἄρα*. Codex Regius τίς ἄρα νοῦς.
(7) *Τοῦτον μὴ βλέπειν*. Idem codex τὸ, μὴ βλέπειν.

ταῖς τροφαῖς αὐταρκείας. Ἐναπομεινάτω αὐτῷ ὑπομνήματα Χριστιανῶν τραπέζης, καὶ ἀνεπαισχύντου διὰ Χριστὸν πτωχείας. Εἰ δὲ οὐ προσέξει, ἀλλὰ καταγελάσει, δεύτερον ἡμῖν οὐκ ὀχλήσει. Τὸ γὰρ περιτρέχειν ἡμᾶς διερευνωμένους τὰ μὴ πρὸς τὸ ἀναγκαῖον ταῖς χρείαις ἐπιζητούμενα, ἀλλὰ πρὸς τὴν ὀλεθρίαν ἡδονὴν καὶ βλαβερὰν κενοδοξίαν περινενοημένα, οὐ μόνον αἰσχρὸν ἡμῖν καὶ ἀσύμφωνον, ἀλλὰ καὶ βλάβην ἔχον οὐ τὴν τυχοῦσαν, ὅταν οἱ τρυφῶντες καὶ ταῖς ἡδοναῖς τῆς γαστρὸς τὴν μακαριότητα ὁριζόμενοι, περὶ τὰς αὐτὰς φροντίδας καὶ ἡμᾶς ὁρῶσι στρεφομένους, περὶ ἃς ἐκεῖνοι ἐπτόηνται. Ἐσθίοντες δὲ, μὴ ἀργὸν τὸν νοῦν ἐν τῇ περὶ Θεοῦ ἐννοίᾳ ἔχωμεν, ἀλλὰ αὐτὴν τῶν βρωμάτων τὴν φύσιν, καὶ τὴν τοῦ ὑποδεχομένου σώματος κατασκευὴν, ἀφορμὴν ποιεῖσθαι δοξολογίας· πῶς ποικίλα εἴδη τροφῶν τῇ ἰδιότητι τῶν σωμάτων ἁρμόζοντα, παρὰ τοῦ πάντα οἰκονομοῦντος ἐπινενόηται. Τροφῆς δὲ ὥρα μία ἀποτεταγμένη ἤτω· ἡ αὐτὴ κατὰ περίοδον ἀπαντῶσα, ὡς ἐκ τῶν εἰκοσιτεσσάρων ὡρῶν τοῦ ἡμερονυκτίου μίαν εἶναι μόλις ταύτην τὴν προσαναλισκομένην τῷ σώματι, τὰς δὲ λοιπὰς ἐν τῇ κατὰ νοῦν ἐνεργείᾳ ἀπασχολεῖν.

A quæ ei sermo non persuasit, et frugalitatis in escis servandæ formam et exemplar accipiat. Maneant in ipso monumenta mensæ Christianorum, et ejus paupertatis, quæ Christi causa citra verecundiam perferenda est. Quod si his ille minime commovebitur, ac potius deridebit, rursus nobis non exhibiturus est molestiam. (2) Nam circumcursare nos, ac investigare ea quæ non ad necessarium usum requiruntur, sed quæ ad perniciosam voluptatem et ad inanem exitiosamque gloriam adinventa fuerunt, non solum nobis turpe atque indecorum est, sed detrimentum etiam affert non leve, cum scilicet qui in deliciis vivunt, et ventris voluptatibus metiuntur beatitudinem, nos quoque eisdem curis, quibus ipsi cum admiratione et stupore incumbunt, B distentos vident. (3) Inter epulandum ne tum quidem animam a Dei cogitatione habeamus otiosam, sed ex ipsa alimentorum natura, et corporis ea suscipientis structura divinarum laudum materiam ducamus, quod varia ciborum genera, qualitati corporum accommodata, ab eo qui omnia moderatur, inventa sint. Hora una capiendo cibo destinata, eademque per circuitum revertens, adeo ut ex viginti quatuor horis diei ac noctis vix illa una ad curandum corpus insumatur, reliquæ in animi exercitatione.

2. Ὁ μὲν γὰρ ἄριστα βουλευόμενος, τῆς ψυχῆς ὅτι μάλιστα φροντίσει, καὶ τοῦτο διὰ πάντων πειράσεται σώζειν εἰλικρινές τε καὶ γνήσιον· τῆς σαρκὸς δὲ ἢ λιμῷ τηκομένης, ἢ κρυμῷ καὶ θάλπει προσπαλαιούσης, ἢ νόσοις ἀλγυνομένης, ἢ πασχούσης τι παρά τινων βίαιον, ὀλίγον ποιήσεται τὸν λόγον, καὶ οὐδὲ τοὺς ὑπὲρ τοῦ ζῆν κινδύνους προϊόντας (1) ὁρῶν, φανήσεται δεδιώς. Εἰ δέ τις ἐθέλοι φείδεσθαι καὶ τοῦ σώματος, ὡς μόνου κτήματος αὐτῷ ἀναγκαίου ψυχῇ, καὶ συνεργοῦντος αὐτῇ πρὸς τὸ ζῆν ἐπὶ γῆς, μικρὰ πρὸς τὰς τούτου χρείας ἐπιστραφήσεται, καὶ ὥστε συνέχειν μόνον αὐτὸ, καὶ τῇ τῆς ψυχῆς ὑπηρεσίᾳ διὰ μετρίας ἐπιμελείας ἐῤῥωμένον τηρεῖν, μὴ μέντοιγε ἐπιτρέπειν ὑπὸ κόρου σκιρτᾷν. Τούτοις μὲν γὰρ εὐήνιόν τε αὐτὸ καὶ κοῦφον ἀεὶ πρὸς τὴν οὐράνιον ὁδοιπορίαν ἐργάσεται, καὶ μᾶλλον εἰς τὰ προκείμενα κτήσεται συνεργόν. Εἰ δὲ ὑβρίζειν αὐτὸ συγχωρήσοι, καὶ πάντων ἐφ' ἡμέραν ἐμπίπλασθαι, καθάπερ τι θηρίον ἀνήμερον· ὕστερον ταῖς βιαίοις αὐτοῦ πρὸς γῆν ἀνθολκαῖς συνεπισπασθεὶς, κείσεται στένων ἀνόνητα. Καὶ πρὸς τὸν Δεσπότην ἀχθεὶς, καὶ τῆς ἐπὶ γῆς πορείας τῆς ἐνδοθείσης αὐτῷ τὸν καρπὸν ἀπαιτούμενος, εἶτα οὐκ ἔχων δοῦναι, θρηνήσει μακρὰ, καὶ σκότος οἰκήσει διηνεκὲς, πολλὰ τῇ τρυφῇ καὶ τῇ ταύτης πλάνῃ μεμφόμενος, ὑφ' ἧς τὸν τῆς σωτηρίας ἐσυλήθη καιρόν· οὐδὲν δὲ ἐκ τῶν δακρύων ἔσται κερδαίνων· *Ἐν γὰρ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;* φησὶν ὁ Δαβίδ. Γαστὴρ συναλλάκτης ἐστὶν ἀπιστότατος,

2. (4) Qui enim sibi optime consulit, curabit
559 animam quam maxime, hocque modis omnibus et sincerum et genuinum servare conabitur: carnis vero, sive fame conficiatur, sive cum frigore aut calore luctetur, sive a morbis excrucietur, sive C violentum quid ab aliquibus perpetiatur, rationem parvam habebit, et ubi venire se in vitæ periculum viderit, haudquaquam apparebit timidus. Si quis tamen voluerit corpus etiam commiserari, tanquam quod una possessio sit, quæ animæ necessario est, eique ad vitam in terra degendam suppetias fert, exiguam necessitatum ejus curam suscipiet, ut illud et sustentet tantum, et per mediocrem curam sanum conservet ad animæ ministerium, non ita autem ut ipsum satietate lascivire sinat. His enim illud sibi comparabit et minime rebelle, et ad cœleste iter conficiendum nullo non tempore expeditum, eritque auxilio majori ad ea quæ proposita sunt obeunda munia. Sin autem insolens ac protervum esse permiserit, et quibusvis quotidie tan- D quam immanem quamdam bestiam oppleri, tum demum ipsius pondere ad terram violenter vergente attractus, jacebit inaniter ingemiscens. Quin et ad Dominum adductus, et terreni illius itineris sibi commissi fructum rogatus, nec reddere valens, plurimum lamentabitur, et in perpetuis tenebris habitabit, delicias, eorumque fallaciam non parum incusans, quibus salutis tempus sibi ademptum est; sed nihil tunc utilitatis ex lacrymis capiet. *In in-*

(1) *Προϊόντας*. Forte προσιόντας. Edit.
(2) Ex *Regulis fusius tractatis*, 364.
(3) Ex epist. II, 74.

(4) Ex hom. *Quod mundanis adhærendum non sit*, 167.

ferno enim *quis confitebitur tibi* [43]? inquit David. (1) Venter est pessima fide in conventis, penum incustoditum, in quod cum multa reposueris, noxam quidem retinet, at non servat deposita. (2) Quæ igitur nobis ad cibum ac potum excogitata sunt, et quidquid petulantes divitiæ ultra necessitatem ad ingrati nihilque continentis ventris obsequium adinvenere, quando nostra sunt, etiamsi perpetuo infunduntur? quæ ubi gustum in transitu duntaxat modica quadam voluptate affecerint, mox tanquam molesta ac superflua ægre ferimus, ut in summum vitæ discrimen venturi, si in visceribus diu permaneant. Mortem enim non paucis intulit satietas, fuitque in causa, cur nihil amplius degustarent. Nam vis illa qua animali providetur, temperatum ac parcum victum nullo negotio concoquit, et in corporis quod alitur substantiam vertit; at eadem ubi opiparos variosque cibos complexa est, nec deinde par est his omnino coquendis, tum diversa gignit morborum genera. Satietas lasciviæ initium est. (3) Statim enim una cum deliciis, ebrietate, et omnis generis condimentis, prodit libidinis belluinæ genus omne. Hinc equi insanientes in feminas fiunt homines, ob œstrum ac furorem quem in animo gignunt deliciæ. A temulentis orta est naturæ inversio, dum in masculino sexu femininum, in feminino masculinum quærunt. Siquidem pinguiore pastu ceu fumosi quidam vapores exhalantur, qui lucem sancti Spiritus in hominis mente irradiantem, quasi densa nubes interveniens, intercipiunt. (4) Ne igitur carni tuæ obsequare, somno, balneo, ac mollibus culcitis, semper hanc repetens sententiam: *Quæ utilitas in sanguine* **560** *meo, dum descendo in corruptionem* [44]? Quid foves quod paulo post interiturum est? quid saginas teipsum et pinguefacis? An ignoras quod quanto pinguius tibi corpus conficis, tanto graviorem carcerem animæ struis? Corporearum enim virium abundantia, spiritus saluti impedimento est. (5) Oportet itaque quæ necessaria sunt ventri subministrare, non quæ sunt perquam jucunda, ut solent qui quosdam mensarum structores coquosque exquirunt, totamque terram ac mare vestigant, velut moroso hero tributa pendentes, digni miseratione ob ejusmodi occupationem, haud remissius quam qui in inferno versantur, excruciati, plane dissecantes ignem, cribro ferentes aquam, et in pertusum dolium infundentes, laborum finem nullum habentes. (6) Quemadmodum igitur sitis efficit, ut jucundus sit potus, et sicut quæ præivit fames, epulas suaves reddit: ita quoque quæ su-

[43] Psal. vi, 6. [44] Psal. xxix, 10.

(1) Ex hom. *De jejunio*, 15.
(2) Ex hom. *Quod mundanis adhærendum non sit*, 166.
(3) Ex hom. *De jejunio*, 9.
(4) Ex hom. *in psal.* xxix, 130.
(5) Ex serm. *De legendis lib. gentilium*, 181.
(6) Ex hom. *De jejunio*, 6.

A ταμεῖον ἀφύλακτον, πολλῶν ἐναποτιθεμένων, τὴν μὲν βλάβην παρακατέχουσα, τὰ μέντοι παρατεθέντα οὐ διασώζουσα. Τὰ τοίνυν εἰς βρῶσιν ἡμῖν ἐπινενοημένα καὶ πόσιν, καὶ πάντα, ὅσα πέρα τῆς χρείας ὁ πλοῦτος ὑβρίζων ἐμηχανήσατο πρὸς θεραπείαν τῆς ἀχαρίστου καὶ μηδὲν στεγούσης γαστρὸς, πότ' ἂν ἡμετέρα γένοιτο, κἂν ἐπαντλῆται (7) διηνεκῶς; ἅ γε μικράν τινα γεύσει μόνον ἐναποθέμενα κατὰ τὴν πάροδον ἡδονὴν, εὐθὺς ὡς ὀχληρὰ καὶ περιττὰ δυσχεραίνομεν, ὡς εἰ τοῖς σπλάγχνοις ἐγχρονίσοι, τὰ μέγιστα περὶ τὸ ζῆν κινδυνεύσοντες. Πολλοῖς γοῦν ὁ χόρος ἤγαγε θάνατον, καὶ τοῦ μηδενὸς ἀπολαύειν ἔτι γεγένηται πρόξενος. Ἡ γὰρ οἰκονομοῦσα τὸ ζῶον δύναμις αὐτάρκειαν μὲν καὶ λειότητα (8) ῥᾳδίως κατειργάσατο, καὶ ᾠκείωσε τῷ τρεφομένῳ· B πολυτέλειαν δὲ καὶ ποικιλίαν βρωμάτων παραλαβοῦσα, εἶτα ἀντισχεῖν πρὸς τὸ πέρας μὴ ἐξαρκέσασα, τὰ ποικίλα γένη τῶν νοσημάτων ἐποίησεν. Ὁ χόρος ὕβρεώς ἐστιν ἀρχή. Εὐθὺς γὰρ συνεισπίπτει τῇ τρυφῇ καὶ τῇ μέθῃ καὶ ταῖς παντοδαπαῖς καρυκείαις πᾶν εἶδος ἀκολασίας βοσκηματώδους· ἔνθεν ἵπποι θηλυμανεῖς οἱ ἄνθρωποι, διὰ τὸν ἐκ τῆς τρυφῆς (9) οἶστρον ἐπιγινόμενον τῇ ψυχῇ. Παρὰ τῶν μεθυόντων αἱ τῆς φύσεως ἐναλλαγαὶ, ἐν ἄῤῥενι μὲν τὸ θῆλυ, ἐν δὲ τῷ θήλει τὸ ἄῤῥεν ἐπιζητούντων. Ἐκ γὰρ τῆς παχείας τροφῆς, οἷον αἰθαλώδεις ἀναθυμιάσεις ἀναπεμπόμεναι, νεφέλης δίκην πυκνῆς, τὰς ἀπὸ τοῦ ἁγίου Πνεύματος ἐγγινομένας ἐλλάμψεις ἐπὶ τὸν νοῦν διακόπτουσι. Μὴ τοίνυν κολάκευέ σου τὴν σάρκα ὕπνοις καὶ λουτροῖς, καὶ μαλακοῖς στρώμασιν, ἀεὶ C ἐπιλέγων τὸ ῥῆμα τοῦτο· *Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;* Τί περιέπεις τὸ μικρὸν ὕστερον φθαρησόμενον; τί καταπιαίνεις σεαυτὸν καὶ περισαρκοῖς; Ἢ ἀγνοεῖς, ὅτι ὅσῳ παχυτέραν τὴν σάρκα ἑαυτῷ ποιεῖς, τοσούτῳ βαρύτερον τῇ ψυχῇ κατασκευάζεις τὸ δεσμωτήριον; τὸ γὰρ πλῆθος τῆς σωματικῆς δυνάμεως, ἐμπόδιόν ἐστι πρὸς τὴν σωτηρίαν τοῦ πνεύματος. Δεῖ τῇ γαστρὶ τὰ ἀναγκαῖα ὑπηρετεῖν, οὐχὶ τὰ ἥδιστα, ὡς οἵγε τραπεζοποιούς τινας καὶ μαγείρους περινοοῦντες, καὶ πᾶσαν διερευνώμενοι γῆν τε καὶ θάλατταν, οἷόν τινι χαλεπῷ δεσπότῃ φόρους ἀπάγοντες· ἐλεεινοὶ τῆς ἀσχολίας, τῶν ἐν ᾅδου κολαζομένων οὐδὲν πάσχοντες ἀνεκτότερον, ἀτεχνῶς εἰς πῦρ ξαίνοντες, D καὶ κοσκίνῳ φέροντες ὕδωρ, καὶ εἰς τετρημένον ἀντλοῦντες πίθον, οὐδὲν δὲ πέρας τῶν πόνων ἔχοντες. Ὥσπερ οὖν ἡ δίψα ἡδὺ τὸ ποτὸν εὐτρεπίζει, καὶ λιμὸς ἡγησάμενος ἡδεῖαν παρασκευάζει τὴν τράπεζαν· οὕτω καὶ τὴν τῶν βρωμάτων ἀπόλαυσιν ἡ ἐγκράτεια φαιδρύνει. Μέσην γὰρ ἑαυτὴν παρενθεῖσα, καὶ τὸ συνεχὲς τῆς τρυφῆς διακόψασα, ποθεινήν σοι τὴν

(7) *Ἡμετέρα... ἐπαντλῆται*. Sic contextus et Regius codex 1992. Editi ἡμέρα... ἐπαντλῆσαι.
(8) *Λειότητα*. Haud dubium quin legendum sit λιτότητα. Edit.
(9) *Τρυφῆς*. Sic contextus et uterque codex. Editi τροφῆς.

μετάληψιν φανηναι ποιήσει, ὥσπερ ἀπόδημον. Ὥστε **A** εἰ βούλει σαυτῷ ἐπιθυμητὴν κατασκευάσαι τὴν τράπεζαν, δέξαι τὴν ἐκ τῆς ἐγκρατείας μεταβολήν. Σὺ δὲ ὑπὸ τοῦ σφόδρα τῆς τρυφῆς περιέχεσθαι, λέληθας σεαυτῷ ἀμαυρῶν τὴν τρυφὴν, καὶ ὑπὸ φιληδονίας τὴν ἡδονὴν ἀφανίζων. Οὐδὲν γὰρ οὕτως ἐπιθυμητὸν, ὃ μὴ τῇ συνεχείᾳ τῆς ἀπολαύσεως εὐκαταφρόνητον γίνεσθαι πέφυκεν· ὧν δὲ σπανία ἡ κτῆσις, τούτων περισπούδαστος ἡ ἀπόλαυσις.

3. Οἱ γοῦν ἀρχομένης ἡμέρας περισκοποῦντες, ποῦ πότοι γίνονται, καὶ οἰνοπώλια καὶ καπηλεῖα περιαθροῦντες, καὶ ἀλλήλους ἐπὶ τὸ πίνειν παραλαμβάνοντες, καὶ πᾶσαν τῆς ψυχῆς τὴν μέριμναν ἐπὶ τὴν τῶν τοιούτων φροντίδα καταναλίσκοντες, οὗτοι **B** ὑπὸ τοῦ προφήτου καταθρηνοῦνται. Οὐ γὰρ ἄγουσι σχολὴν οἱ ὀφθαλμοὶ αὐτῶν ἀνανεῦσαι πρὸς τὸν οὐρανὸν, καὶ τὰ ἐν αὐτῷ κάλλη καταμαθεῖν· ἀλλ' εὐθὺς ἀρχομένης ἡμέρας, κοσμοῦσιν ἑαυτῶν τὰ συμπόσια, σπουδήν τε καὶ ἐπιμέλειαν εἰς τὴν τῶν ἐκπωμάτων παρασκευὴν ἐπιδείκνυνται, ψυκτῆρας καὶ κρατῆρας καὶ φιάλας ὥσπερ ἐν πομπῇ τινι καὶ πανηγύρει διατιθέντες, ὡς ἂν τὸ τῶν ἀγγείων διάφορον τὸν κόρον αὐτοῖς ὑποκλέπτῃ, καὶ ἡ τῶν ἐκπωμάτων ὑπαλλαγὴ καὶ μετάβασις ἱκανὴν αὐτοῖς εἰς τὸ πίνειν διατριβὴν ἐμποιῇ· τάξις ἐν ἀταξίᾳ, καὶ διάθεσις ἐν ἀκόσμῳ ἐπινενοημένη. Πρὸς τούτοις ἅμιλλαι περὶ τοῦ πλείονος, φιλονεικίαι καὶ ἀγωνίσματα, ἀλλήλους ὑπερβάλλεσθαι φιλοτιμουμένων κατὰ τὴν μέθην. **C** Καὶ ὁ ἀγωνοθετῶν αὐτοῖς, διάβολος, καὶ ἆθλον τῆς νίκης, ἡ ἁμαρτία. Ὁ γὰρ πλείονα τὸν ἄκρατον ἐγχεάμενος (1), οὗτος φέρεται κατὰ τῶν ἄλλων τὰ νικητήρια· φιλονεικοῦσι μὲν γὰρ ἀλλήλους, ἀμύνονται δὲ ἑαυτούς. Πάντα ἀλογίας γέμει, πάντα συγχύσεως· οἱ ἡττηθέντες μεθύουσιν, οἱ νικήσαντες μεθύουσιν (2), οἱ ὑπηρέται καταγελῶσιν. Ἡ χεὶρ ἀπείρηκε, τὸ στόμα οὐχ ὑποδέχεται, ἡ γαστὴρ διαῤῥήγνυται, καὶ τὸ κακὸν οὐχ ὑφίσταται. Τὸ ἄθλιον σῶμα τοῦ φυσικοῦ τόνου παραλυθὲν (3), ἀπόῤῥυτόν ἐστι πανταχόθεν, τὴν ἐκ τῆς ἀμετρίας βίαν μὴ ὑπομένον (4). Ἐλεεινὸν θέαμα! Ἀνὴρ ἀκμάζων καθ' ἡλικίαν, στρατιωτικοῖς καταλόγοις ἐμπρέπων, φοράδην οἴκαδε κομιζόμενος, μὴ δυνάμενος ὀρθοῦσθαι, μηδὲ τοῖς ἰδίοις ποσὶν ἐπιβῆναι. Ἀνὴρ φοβερὸς εἶναι ὀφείλων **D** τοῖς πολεμίοις, γέλωτός ἐστιν ἀφορμὴ τοῖς κατ' ἀγορὰν παιδίοις· ἄνευ σιδήρου καταβέβληται, ἄνευ πολεμίων πεφόνευται. Ἀνὴρ ὁπλίτης, αὐτὸ τῆς ἡλικίας ἄγων τὸ ἄνθος, οἴνου γέγονε παρανάλωμα, ἕτοιμος παθεῖν τοῖς ἐχθροῖς ὅσα καὶ βούλοιντο. Τίς ὁ τῶν κακῶν τούτων αἴτιος; τίς ὁ ταῦτα ἐπιβουλεύσας; Παράταξιν ἐποίησας τὸ συμπόσιον, ἐνέκρωσας τὴν ἀκμὴν τῆς νεότητος ἀπὸ οἴνου· καὶ καλεῖς μὲν ὡς φίλον ἐπὶ τὸ δεῖπνον, ἐκβάλλεις δὲ νεκρὸν, οἴνῳ τὴν

muntur edulia condit abstinentia atque edulcat. Dum enim mediam se interponit, ac deliciarum continuum usum interrumpit, sumptionem, utpote intermissam, tibi jucundam exhibebit. Proinde si vis tibi mensam apparare suavem, admitte ex abstinentia vicissitudinem. Tu vero, quod deliciis nimium addictus es, insipidas reddis tibi delicias imprudens, ac præ voluptatis amore voluptatem fugas. Nihil enim tam cupitum est, quod non abeat in fastidium, si perpetuo fruare. At quæ raro habentur, his avide fruimur.

3. (5) Qui igitur ineunte die explorant ubi compotationes fiant, et œnopolia ac caupones collustrant, seque mutuo ad compotandum conjungunt, et omnem animi curam in hæc insumunt, hos propheta deplorat. Non enim oculis eorum vacat suspicere in cœlum, ejusque pulchritudinem condiscere: sed ineunte statim die, sua exornant convivia, atque studium ac diligentiam in poculis apparandis ostendunt, vasa ad refrigerandum vinum, craterasque et phialas velut in pompa aliqua ac conventu publico disponentes, ut vasorum diversitas ipsis satietatem suffuretur, et alternatio poculorum ac permutatio eos diu in bibendo detineat. Ordo in confusione, ac dispositio in re incomposita excogitatur. Ad hæc oriuntur de ampliore potu certamina contentionesque et lites, dum se mutuo ebrietate superare conantur. Atque certaminum horum præfectus diabolus est, et victoriæ præmium peccatum. Nam qui plus infuderit meri, is ex aliis reportat victoriam. Contendunt enim inter se ac se ipsi ulciscuntur. Omnia sunt insipientia referta, omnia confusione; victi victoresque ebrii sunt, derident ministri. Labat manus, os non suscipit, venter disrumpitur, nec malum sustinet. Miserum corpus naturali vigore exsolutum undelibet diffluit, haud sustinens immodici **561** potus violentiam. Miserabile spectaculum! Vir ætate florens, inter militares ordines clarus, aliorum manibus domum deportatur, quod se erigere non queat, neque propriis incedere pedibus. Vir qui terrori hostibus esse debuerat, pueris in foro ridendi occasionem præbet: sine ferro prostratus est, sine hostibus enectus. Vir armiger in ipso ætatis flore a vino consumptus nullo negotio et confectus, quidquid hostes voluerint perpeti paratus. Quis auctor est horum malorum? quis hæc machinatus est? (6) Convivium aciem effecisti: juventutis florem vino enecasti; ac vocas quidem veluti amicum ad cœnam, ejicis autem mortuum, exstincta a vino illius vita. (7) Qua re differs, o homo, a brutis animantibus? nonne rationis dono, qua a tuo conditore accepta, creaturæ cujuslibet princeps effectus es et dominus? Quisquis igitur se ipse intelligentia ac cognitione

(1) *Ἐγχεάμενος*. Contextus ἐχχεόμενος.
(2) *Οἱ νικήσαντες μεθύουσιν*. Hæc addidimus ex Regio codice 1992. Leguntur etiam in contextu. Paulo post minus belle in contextu τὸ κακὸν οὐχ ὑφίησι.
(3) *Παραλυθέν*. Sic idem codex et contextus. Editi παραχυθέν.
(4) *Μὴ ὑπομένον*. Negatio addita ex eodem codice et contextu.
(5) Ex homil. *in ebriosos*, 127.
(6) Ibid., 128.
(7) Ibid., 124.

privat per ebrietatem, *comparatus est jumentis insipientibus, et similis factus est illis*[48]. Imo etiam dixerim ego, temulentos rationis magis esse expertes quam ipsa pecora: quandoquidem quadrupedia omnia et bestiæ certos ac constantes ad coitum motus impetusque habent: quorum autem anima ebrietate detinetur, et corpus calore præter naturam accedente impletur, hi omni tempore et omni hora ad impuros turpesque complexus concitantur. (1) Quemadmodum enim aqua igni est adversa, sic immodicum vinum rationem exstinguit. (2) Enimvero quodnam brutum animal vivendi audiendique sensu languescit ita ut temulentus? Nonne ignorat familiarissimos, et ad alienos velut ad familiares ac necessarios accurrit? nonne sæpenumero umbras tanquam rivulos, aut convalles transiliunt? Rursus eorum aures sonitu ac strepitu quodam quasi æstuantis maris implentur; terra vero sursum erigi videtur, et montes in orbem circumverti. His somni quidem graves sunt, et excussu difficiles, prope suffocantes, planeque morti vicini, vigiliæ vero somnis stupidiores. Nam insomnium quoddam est vita ipsorum, qui cum nec vestem habeant, neque quod in crastinum edant, regnant et exercitibus in ebrietate imperant, construunt urbes, ac pecunias elargiuntur. (3) Quid facis, o homo? Famulus profugit ab hero verberante: tu vero non recedis a vino, quod tuum quotidie caput percutit?

A ζωὴν αὐτοῦ κατασβέσας. Τίνι διενήνοχας τῶν ἀλόγων, ὦ ἄνθρωπε; οὐ τῇ δωρεᾷ τοῦ λόγου, ἣν λαβὼν παρὰ τοῦ κτίσαντός σε, ἄρχων καὶ κύριος ἐγένου πάσης τῆς κτίσεως; Ὁ τοίνυν ἀφελόμενος ἑαυτοῦ τὴν φρόνησιν διὰ τῆς μέθης, *παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.* Μᾶλλον δὲ καὶ τῶν βοσκημάτων φαίην ἂν ἔγωγε ἀλογωτέρους εἶναι τοὺς ἐν τῇ μέθῃ· διότι τὰ μὲν τετράποδα πάντα καὶ τὰ θηρία τεταγμένας ἔχει τὰς πρὸς τὴν μῖξιν ὁρμάς· οἱ δὲ ὑπὸ τῆς μέθης τὴν ψυχὴν κατεχόμενοι, καὶ τὸ σῶμα τῆς παρὰ φύσιν θερμότητος ἀναπληρώσαντες, πάντα καιρὸν καὶ πᾶσαν ὥραν πρὸς τὰς ἀκαθάρτους καὶ ἀσχήμονας συμπλοκὰς συνελαύνονται. Ὥσπερ γὰρ ὕδωρ πολέμιόν ἐστι πυρὶ, οὕτως ἀμετρία οἴνου λογισμὸν κατασβέννυσι B σώφρονα. Ποῖον γὰρ βόσκημα οὕτω παραβλέπει καὶ παρακούει ὡς ὁ μεθύων; Οὐχὶ ἀγνοεῖ μὲν τοὺς οἰκειοτάτους, προστρέχει δὲ τοῖς ἀλλοτρίοις ὡς τοῖς συνήθεσιν; οὐ τὰς σκιὰς διαπηδῶσιν οἱ τοιοῦτοι πολλάκις, ὡς ὀχετοὺς ἢ φάραγγας; Ἤχων δὲ αὐτοῖς καὶ ψόφων τὰ ὦτα πεπλήρωται οἱονεὶ θαλάσσης κυμαινούσης· ἡ δὲ γῆ πρὸς τὸ ὄρθιον διανίστασθαι δοκεῖ, καὶ τὰ ὄρη περιτρέχειν κύκλῳ. Τούτοις ὕπνοι μὲν βαρεῖς, καὶ δυσανάφοροι, καὶ πνιγώδεις, καὶ τῷ ὄντι θανάτου γείτονες· αἱ δὲ γρηγορήσεις, τῶν ὕπνων ἀναισθητότεραι. Ἐνύπνιον γὰρ αὐτοῖς ἐστιν ὁ βίος, οἵ γε ἱμάτιον οὐκ ἔχοντες, οὐδ' ὅ τι φάγωσιν εἰς τὴν αὔριον, βασιλεύουσι καὶ στρατοπέδων ἄρχουσιν ἐν τῇ μέθῃ, καὶ πόλεις οἰκοδομοῦσι, καὶ χρήματα διανέμουσι. Τί ποιεῖς, ἄνθρωπε; Οἰκέτης δραπετεύει δεσπότην τύπτοντα· σὺ δὲ καὶ παραμένεις τῷ οἴνῳ, καθ' ἑκάστην ἡμέραν τὴν κεφαλήν σου τύπτοντι;

4. Modus utendi vino optimus est corporis necessitas. Quod si fines prætergredieris, postridie venies capitis gravedine affectus, oscitans, vertigine laborans, putrefactum obolens vinum; omnia tibi circumferri, omnia circumvolvi videbuntur. (4) Postquam enim fuligine, quam vinum exhalans sursum emittit, repletæ sunt cerebri membranæ, caput ut intolerabilibus doloribus corripitur, ita super humeros rectum manere non valens, huc illuc super vertebras nutans, jactatur. (5) Quinetiam ipsa in fruendis voluptatibus incontinentia ex vino quasi ex fonte manifeste prorumpit, atque una cum mero irrepit impudicitiæ labes, quæ omnem pecorum in feminas insaniam **562** demonstrat procacitate ac lascivia ebriorum minorem esse. Et quidem bruta animalia naturæ terminos non ignorant: ebrii vero in masculo feminam, in femina masculum requirunt. Postquam enim animam ita perdidere, ut sint omnigenis maculis compuncti, præterea ipsam quoque corporis habitudinem corrumpunt. Etenim non ob immodicas

C 4. Μέτρον ἄριστον τῆς τοῦ οἴνου χρήσεως, ἡ χρεία τοῦ σώματος. Ἐὰν δὲ ἔξω τῶν ὅρων γένῃ, αὔριον ἥξεις καρηβαρῶν, χασμώμενος, ἰλιγγιῶν (6), σεσηπότος οἴνου ἀπόζων· πάντα σοι περιφέρεσθαι, πάντα δονεῖσθαι δόξει. Ὅταν γὰρ πλήρεις αἱ μήνιγγες γένωνται τῆς αἰθάλης, ἣν ὁ οἶνος ἐξατμιζόμενος ἀναφέρει, βάλλεται μὲν ὀδύναις ἀφορήτοις ἡ κεφαλή· μένειν δὲ ὀρθὴ ἐπὶ τῶν ὤμων μὴ δυναμένη, ἄλλοτε ἐπ' ἄλλα (7) καταπίπτει, τοῖς σπονδύλοις ἐνολισθαίνουσα. Ἡ δὲ πρὸς τὰς ἡδονὰς ἀκρασία, ἄντικρυς, ὥσπερ ἐκ πηγῆς τοῦ οἴνου φέρεται, καὶ συνεισπίπτει τῷ ἀκράτῳ τῆς ἀσελγείας ἡ νόσος, πᾶσαν βοσκημάτων μανίαν ἐπὶ τὸ θῆλυ (8) δευτέραν τῆς τῶν μεθυόντων ὕβρεως ἀποφαίνουσα. Διότι τὰ μὲν ἄλογα γνωρίζει τοὺς ὅρους τῆς φύσεως· οἱ δὲ D μεθύοντες ἐν ἄῤῥενι μὲν τὸ θῆλυ, ἐν δὲ τῷ θήλει τὸ ἄῤῥεν ἐπιζητοῦσιν. Οὕτω γὰρ τὴν ψυχὴν ἀπολωλότες, ὡς ὑπὸ πάσης κηλῖδος κατεστιγμένοι, ἔτι καὶ αὐτὴν τοῦ σώματος τὴν ἕξιν προσδιαφθείρονται· οὐ μόνον τῇ ὑπερβολῇ τῶν ἡδονῶν ἐξοιστρουσῶν ἐπὶ λαγνείας ἐκτετηκότες καὶ διαῤῥέοντες, ἀλλὰ καὶ αὐ-

[48] Psal. XLVIII, 13.

(1) Ex hom. *in ebriosos*, 123.
(2) Ibid., 124.
(3) Ex hom. I *de jejunio*, 9.
(4) Ex hom. *in ebriosos*, 126.
(5) Ibid., 123.

(6) *Ἰλιγγιῶν*. Hanc vocem ex contextu desumpsimus.
(7) *Ἐπ' ἄλλα*. Regius codex ἐπ' ἄλλοις.
(8) *Ἐπὶ τὸ θῆλυ*. Sic Regius codex et contextus. Editi ἐπὶ τῷ θήλει.

τῷ τῷ ὄγκῳ πεπλαδηκὸς καὶ βρυῶδες καὶ τοῦ ζωτικοῦ τόνου λελυμένον τὸ σῶμα φέροντες. Τούτων πελιδνοὶ μὲν οἱ ὀφθαλμοὶ, ὕπωχρος δὲ ἡ ἐπιφάνεια, πνεῦμα προστετηκὸς, γλῶσσα παρειμένη, καὶ κραυγὴ ἄσημος, ἀκροσφαλεῖς οἱ πόδες καθάπερ οἱ τῶν παίδων, ἐκκρίσεις δὲ τῶν περιττωμάτων αὐτόματοι ὥσπερ ἀπὸ ἀψύχων ῥέουσαι. Ἐλεεινοὶ τῆς τρυφῆς, ἐλεεινότεροι τῶν ἐν πελάγει χειμαζομένων, οὓς ἄλλα ἐξ ἄλλων διαδεχόμενα καὶ ἐπιβαπτίζοντα κύματα ἀναφέρειν οὐκ ἐπιτρέπει τοῦ κλύδωνος. Ὥσπερ γὰρ τὰ χειμαζόμενα πλοῖα ἐπειδὰν ὑπέραντλα γένηται, ἀναγκαίως τῇ ἐκβολῇ τοῦ φόρτου κουφίζεται· οὕτω καὶ τούτοις ἀναγκαῖαι τῶν βαρυνόντων αἱ ἀποθέσεις. Ἐμοῦντες γὰρ (1) καὶ ἀποβλύζοντες, μόλις ἐλευθεροῦνται τοῦ βάρους, τοσούτῳ τῶν δυσπλοούντων ἐλεεινότεροι, ὅσον οἱ μὲν ἀνέμους καὶ θάλασσαν καὶ τὰς ἔξωθεν ἀνάγκας ἐπαιτιῶνται· οἱ δὲ αὐθαίρετον ἐπισπῶνται τὸν ἐκ τῆς μέθης χειμῶνα. Καὶ οἱ μὲν δαιμονῶντες, ἐλεεινοί· οἱ δὲ μεθύοντες τὰ αὐτὰ πάσχοντες, οὐδὲ τοῦ ἐλεεῖσθαι ἄξιοι, αὐθαιρέτῳ δαίμονι προσπαλαίοντες. Οἳ καὶ μέθης συντιθέασι φάρμακα, οὐχὶ τοῦ μὴ παθεῖν τι δεινὸν ἀπὸ τοῦ οἴνου, ἀλλὰ τοῦ μὴ διαλιπεῖν μεθύοντες μηχανώμενοι. Καὶ τέλος οὐκ ἔστι τοῦ κακοῦ· αὐτὸς γὰρ ἑαυτὸν ὁ οἶνος ἐπὶ τὸ πλεῖον προάγει (2). Οὐ γὰρ τὴν χρείαν παραμυθεῖται, ἀλλ' ἑτέρου ποτοῦ χρείαν ἀπαραίτητον ἐμποιεῖ, ἐκκαίων τοὺς μεθύοντας, καὶ ἀεὶ πρὸς τὴν τοῦ πλείονος ἔφεσιν προσκαλούμενος. Καὶ ὥσπερ αἱ χαράδραι, ἕως μὲν ἂν αὐταῖς ἐπιῤῥέωσιν οἱ χείμαρροι, πλήρεις εἶναι δοκοῦσι, παρελθούσης δὲ τῆς πλημμύρας, ξηραὶ καταλείπονται· οὕτω καὶ τοῖς οἰνόφλυξι τὸ στόμα, ἐλλιμνάζοντος μὲν τοῦ οἴνου, πλῆρές ἐστί πως καὶ δίυγρον, μικρὸν δὲ παραδραμόντος, ξηρὸν καὶ ἄνικμον ἀπελέγχεται.

A solum voluptates, quibus velut furore quodam ad salacitatem concitantur, contabescunt ac diffluunt: sed ob ipsam etiam molem ac tumorem, corpus nimio humore repletum, laxumque et vitali vigore solutum circumferunt. Horum lividi sunt oculi, subpallida superficies cutis, spiritus impeditus ac coagmentatus, lingua resoluta, clamor indistinctus, titubantes pedes velut puerorum, spontaneæ superfluitatum egestiones quasi ab inanimatis profluentes: ob luxum miserabiles, miserabiliores quam qui in mari tempestate jactantur, quos fluctus alii aliis succedentes, ac demergentes, ex undis emergere non sinunt. Quemadmodum enim jactata tempestate navigia cum plus æquo onerantur, onere ejecto necesse est allevari. ita et hi ea

B quæ ipsos gravant, necessario egerunt. Vix enim vomitu et dejectione ab onere liberantur, tanto miserabiliores infeliciter navigantibus, quantum hi quidem ventos et mare et externa impedimenta causantur: illi vero ebrietatis tempestatem sibi ipsis sponte asciscunt. Itaque qui a dæmonibus obsidentur, miseratione quidem digni sunt: ebrii vero eadem perpetientes, ne digni quidem sunt, quorum misereamur, quandoquidem cum voluntario dæmone colluctantur. Hi præterea quædam ebrietatis pharmaca componunt, operam industriamque in eo ponentes, non ut ne quid mali a vino patiantur, sed ut ipsorum ebrietas jugis sit et assidua. Ac hujus mali finis nullus est. Nam ipsum

C se merum promovet ad amplius. Non enim levat necessitatem: sed alterius potus necessitatem inevitabilem inducit, exurens inebriatos, semperque desiderium plus bibendi provocans. (4) Et quemadmodum cava, dum in se torrentes confluunt, plena esse videntur; sed ubi exundatio præteriit, sicca aridaque relinquuntur: ita et ebriosorum os restagnante vino, plenum quodam modo est. et madidum, sed simul ut paululum effluxit, siccum et humoris expers deprehenditur.

5. Πάντη οὖν ἀπέχεσθαι δεῖ τῶν ἐμποιούντων θόλωσιν τῷ ἡγεμονικῷ. Ἐπειδὰν γὰρ πολὺς εἰσπέσῃ ὁ ἄκρατος, οἷόν τις τύραννος ἐπὶ τὴν ἀκρόπολιν ἀναδραμὼν, ἀπὸ τῆς ἄκρας κορυφῆς ἀσιγήτους θορύβους ἐμποιεῖ τῇ ψυχῇ, οὐδενὸς παρανόμου φειδόμενος ἐπιτάγματος. Ἀλλ' αὐτὸν δουλωσάμενος πρῶτον τὸν λογισμὸν, πᾶσαν τήν τε ἐκ παιδεύσεως ἐνυπάρχουσαν διακόσμησιν συγχεῖ καὶ ταράσσει (3), γέλωτας κινῶν ἀπρεπεῖς, φωνὴν θορυβώδη, ὀργὰς προπετεῖς, ἐπιθυμίας ἀχαλινώτους, οἶστρον καὶ μανίαν ἐπὶ πᾶσαν παράνομον ἡδονήν. Διὰ τοῦτο μὴ πινέτωσαν, φησὶν, οἱ δυνάσται οἶνον, εἴτε οἱ ἀρχήν τινα πεπιστευμένοι, καὶ δημοσίων πραγμάτων οἰκονομίαν· εἴτε οἱ διὰ τὴν ἀκμὴν τῆς ἡλικίας ἐν δυνάμει ὄντες σωματικῇ. Οἱ γὰρ τοιοῦτοι φύσει τυγχάνοντες πρὸς τὰς ὁρμὰς εὐερέθιστοι, ἐπειδὰν καὶ τὸ τοῦ οἴνου προσλάβωσιν ἔξαμμα, οἷόν τινα φλόγα ἀφθόνῳ χορηγίᾳ τῆς καιομένης ὕλης, ἐπὶ τὸ μέγα

5. (5) Omnino igitur ab iis quæ mentem perturbant, abstinere oportet. Posteaquam enim multum introierit meri, quasi tyrannus quidam ad arcem ascendit, atque nihil non iniquum imperans, a summo vertice irrequietos in anima tumultus excitat. Imo ratione ipsa in servitutem primum redacta, omnem ex disciplina concinnitatem con-

D fundit et perturbat, risus indecoros, vocem turbulentam, procaces iras, cupiditates effrenatas, stimulum ac furorem ad omnem iniquam voluptatem provocantem exsuscitans. Quamobrem non bibant vinum potentes, inquit, sive ii quibus aliqua præfectura, aut publicarum rerum administratio commissa; sive ii qui ob ætatis vigorem corporeis

563 viribus pollent. Enimvero qui sunt ejusmodi, utpote suapte natura ad animi motus proni, postquam fomes etiam vini et incitamentum accessit, suppeditata abunde materia, quæ apta est ustioni

(1) *Ἐμοῦντες γάρ*. Voculam addidimus ex Regio codice.

(2) *Προάγει*. Emendavimus ope codicis Regii vulgatam lectionem προσάγει.

(3) *Ταράσσει*. Sic idem codex. Editi et contextus καταῤῥάσσει.

(4) Ex hom. *in ebriosos*, 126.

(5) Ex comment. *in Isa.*, 508.

et idonea, velut flammam quamdam in sublime attollunt. * Nam quemadmodum onere nimio depressa navis, ægre quo velis impellitur, atque naufragio faciendo mirum in modum prona est: sic etiam corpora, quæcunque voluptatis libidine pluribus atque profusioribus deliciis, cutis curandæ gratia, sese onerant, profundo perditionis pelago innatantia feruntur. (1) Quid vis Caini maledictionem tibi ipse asciscere, ebriosus factus, tremens ac vagabundus per totam vitam? Corpus enim quod naturali fulcro destituitur, circumagi necesse est et contremiscere. Usquequo ebrietas? Periculum est ne tandem cœnum lutumque pro homine fias; ita totus admistus vino es, unaque pariter putruisti, vinum ex quotidiana crapula obolens, et hoc corruptum, perinde ut vasa nulli omnino usui idonea. (2) Si *ebriosi regnum Dei non possidebunt* [46], tu autem temulentus accedis ad jejunium: quid utilitatis aufers? Nam si te ebrietas excludit a regno cœlorum, quisnam tandem e jejunio fructus? An non vides quomodo qui in domandis equis, qui ad certamina aluntur, peritissimi sunt, cum instat certaminis dies, eos inedia præparant? Tu contra, data opera temetipsum deprimis saturitate. Venter enim onustus, non solum ad cursum, sed ne ad somnum quidem accommodus est; quandoquidem pondere oppressus non potest quiescere, sed cogitur subinde semet nunc in dextrum, nunc in lævum latus vertere. (3) Ne igitur ad jejunii mysteria te introducat ebrietas. Non est per temulentiam aditus ad jejunium, quemadmodum nec ad justitiam accessus est per fraudationem, nec ad castimoniam per lasciviam, nec, ut summatim dicam, per nequitiam ad virtutem. Ebrietas ad lasciviam inducit, ad jejunium frugalitas. Athleta ante certamen exercetur: qui jejunaturus est, præparat se per abstinentiam. Ne velut ulciscens hos dies, neu veluti fucum facturus legislatori, ante hos quinque dies colloca crapulam. Nam laboras frustra, si corpus quidem conficis, nec tamen solatium esuritioni admoves. (4) Dominum non recipit ebrietas, Spiritum sanctum propellit. Fumus quidem abigit apes, dona vero spiritualia fugat crapula. Ut autem id minime patiamur, caveamus ne illi ingrato ventri obsequamur, ut æterna illa bona adipiscamur, in Christo Jesu Domino nostro, cui, unaque ejus Patri, simul et sancto Spiritui gloria, honor et potestas, summumque decus, nunc et semper, et in sæcula sæculorum. Amen.

A ἐξαίρουσιν. Ὥσπερ γὰρ τὰ πλοῖα καταβαρυνόμενα τῷ φόρτῳ δυσάγωγά ἐστι καὶ εὔκολα πρὸς ναυάγιον· οὕτω καὶ τὰ σώματα, ὅσα πολλῇ (6) καὶ δαψιλεῖ τῇ τρυφῇ εἰς πολυσαρκίαν καταπεφόρτισται διὰ φιληδονίαν (7), τῷ βυθῷ τῆς ἀπωλείας ἐπινηχόμενα φέρεται. Τί τὴν κατάραν τοῦ Κάϊν ἐφ' ἑαυτὸν ἐπισπᾶσαι, μεθύων, τρέμων καὶ περιφερόμενος διὰ παντὸς τοῦ βίου; οὐ γὰρ ἔχον τὸ σῶμα τὸν ἐκ τῆς φύσεως στηριγμὸν, ἀναγκαίως περιδονεῖται καὶ κατασείεται. Μέχρι τίνος ἡ μέθη; Κινδυνεύεις (8) λοιπὸν βόρβορος εἶναι ἀντὶ ἀνθρώπου· οὕτως ὅλως ἀνεμίχθης τῷ οἴνῳ, καὶ συγκατεσάπης αὐτῷ, ἐκ τῆς καθημερινῆς κραιπάλης οἴνου ἀπόζων, καὶ τούτου διεφθαρμένου, ὥσπερ τῶν ἀγγείων τὰ ἀχρηστότατα. Εἰ *μέθυσοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι*, B σὺ δὲ μεθύων ἔρχῃ ἐπὶ τὴν νηστείαν, τί σοι τὸ ὄφελος; εἰ γὰρ ἀποκλείει σε τῆς βασιλείας ἡ μέθη, ποῦ σοι λοιπὸν χρήσιμον τὸ νηστεύειν; Οὐχ ὁρᾷς καὶ τῶν ἵππων τοὺς ἀγωνιστὰς, πῶς οἱ ἐμπειρότατοι πωλοδάμναι, τῆς ἀγωνίας προσδοκωμένης, διὰ τῆς ἐνδείας προευτρεπίζουσι; σὺ δὲ ἐξεπίτηδες σεαυτὸν καταπιέζεις (9) τῷ κόρῳ. Βαρουμένη γὰρ ἡ γαστὴρ, οὐχ ὅπως πρὸς δρόμον, ἀλλ' οὐδὲ πρὸς ὕπνον ἐπιτηδεία· διότι καταθλιβομένη τῷ ἄχθει, οὐδὲ ἠρεμεῖν συγχωρεῖται, ἀλλὰ ἀναγκάζεται πολλὰς ποιεῖσθαι τὰς περιστροφὰς ἐφ' ἑκάτερα. Μὴ τοίνυν μυσταγωγείτω σε ἐπὶ νηστείαν ἡ μέθη. Οὐκ ἔστι διὰ μέθης εἴσοδος εἰς νηστείαν, οὐδὲ διὰ πλεονεξίας εἰς δικαιοσύνην, οὐδὲ δι' ἀκολασίας εἰς σωφροσύνην (10), οὐδὲ, συλλήβδην εἰπεῖν, διὰ τῆς κακίας εἰς ἀρετήν. Μέθη εἰς C ἀκολασίαν ἄγει, ἐπὶ νηστείαν ἡ αὐτάρκεια. Ὁ ἀθλῶν προγυμνάζεται, ὁ νηστεύων προεγκρατεύεται. Μὴ ὡς ἀμυνόμενος τὰς ἡμέρας, μὴ ὡς κατασοφιζόμενος τὸν νομοθέτην, τῶν πέντε ἡμερῶν τὴν κραιπάλην προαποτίθεσο. Καὶ γὰρ ἀνόνητα πονεῖς, τὸ μὲν σῶμα συντρίβων, μὴ παραμυθούμενος δὲ τὴν ἔνδειαν. Μέθη Κύριον οὐχ ὑποδέχεται, Πνεῦμα ἅγιον ἀποδιώκει. Καπνὸς μὲν γὰρ φυγαδεύει μελίσσας, χαρίσματα δὲ πνευματικὰ ἀποδιώκει κραιπάλη. Ἵνα δὲ μὴ τοῦτο πάθοιμεν, φύγωμεν τὸ τὴν ἀχάριστον θεραπεύειν γαστέρα, ὅπως τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, τιμὴ, κράτος, καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς D αἰῶνας τῶν αἰώνων. Ἀμήν.

564 *DE IRA ET ODIO.*

SERMO XVII.

1. (5) Maxima in Christianum accusatio est,

ΠΕΡΙ ΟΡΓΗΣ ΚΑΙ ΕΧΘΡΑΣ.

ΛΟΓΟΣ ΙΖ'.

1. Μέγιστον κατηγόρημα Χριστιανοῦ, πρόχειρον

[46] I Cor. vi, 10.

(1) Ex hom. *in ebriosos*, 127.
(2) Ex hom. ii *De jejunio*, 13.
(3) Ex hom. i *De jejunio*, 9.
(4) Ex hom. i *De jejunio*, 10.
(5) Ex comment. *in Isa.*, 19.
(6) *Ὅσα πολλῇ*. Sic idem codex, melius quam editi ὅσῳ πολλῇ. Non reperitur in contextu totus hic locus ab his verbis ὥσπερ γάρ usque ad φέρεται.
(7) *Διὰ φιληδονίαν*. Regius codex διὰ φιληδονίας.
(8) *Κινδυνεύεις*. Sic idem codex et contextus. Editi κινδυνεύει.
(9) *Καταπιέζεις*. Regius codex καταπιαίνεις.
(10) *Εἰς σωφροσύνην*. Nescio unde editi habuerint, εἰς προσευχήν, quod emendavimus ope Regii codicis et contextus.

εἶναι πρὸς ἄμυναν, καὶ παντὶ τρόπῳ ἐπινοεῖν κατὰ τῶν λελυπηκότων τὴν τῶν ὁμοίων ἀντίδοσιν. Πῶς γὰρ διδάξει ἕτερον, μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόναι, ὁ πάντα ποιῶν εἰς τὸ ἀμύνασθαι καὶ ἀντιλυπῆσαι τὸν βλάψαντα; μὴ μιμούμενος τὴν πραότητα τοῦ Δαβὶδ λέγοντος· *Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.* Διὸ δεῖ τὸ μανικὸν καὶ ἔμπληκτον κίνημα τῆς ψυχῆς καταστέλλειν τῇ μνήμῃ τῶν μακαρίων τούτου ὑποδειγμάτων· πῶς πράως ἠνείχετο (1) τῆς παροινίας τοῦ Σεμεεί. Οὐ γὰρ ἐδίδου καιρὸν τῇ ὀργῇ κινηθῆναι, πρὸς τὸν Θεὸν μεταφέρων τὴν ἔννοιαν. Ὅτι *Κύριος*, φησὶν, *εἶπε τῷ Σεμεεὶ καταράσασθαι τὸν Δαβίδ.* Διόπερ ἀκούων, ἀνὴρ αἱμάτων καὶ ἀνὴρ παράνομος, οὐκ ἐκείνῳ ἐχαλέπηνεν, ἀλλ' ἑαυτὸν ἐταπείνωσεν, ὡς κατὰ τὴν ἀξίαν αὐτῷ τῆς ὕβρεως ἀπαντώσης (2). Πᾶς γὰρ ἔλεγχος ἐναργῶς καθαπτόμενος τοῦ ἐλεγχομένου, ἰσχυρῶς αὐτὸν βασανίζει, παριστὰς τὸ αἶσχος τοῦ ἁμαρτήματος· ὥστε μεγάλα εὐεργετεῖν τὸν ἀναισθητοῦντα τῶν ἰδίων πταισμάτων, εἰς συναίσθησιν ἄγων καὶ μεταμέλειαν ἀληθινήν. Ποῖον γὰρ τραῦμα σωματικὸν οὕτω δριμεῖαν ἐμποιεῖ τὴν ὀδύνην, ὁποίαν βάσανον ἐμποιεῖ τῇ ψυχῇ λόγος καταπληκτικὸς, καθικνούμενος τοῦ συνειδότος τῶν ἐνεχομένων τῇ αἰσχύνῃ τῶν κακῶς πεπραγμένων·

A expeditum esse et paratum ad vindictam, atque omnibus modis esse intentum, ut iis qui ipsi molestiam exhibuere, par pari referat. Quomodo enim alium edocebit ut nemini malum pro malo rependat, dum ipse nihil non molitur, ut vindictam sumat, ac sua vice lædentem afficiat molestia? haud imitans Davidis mansuetudinem, qui ait: *Si reddidi retribuentibus mihi mala, decidam merito ab inimicis meis inanis*[47]. (6) Quapropter oportet compescere insanum ac vecordem animi motum, beatorum illius exemplorum memoria: quomodo ille petulantiam Semei mansuete pertulerit. Non enim tempus dabat commotioni iræ: siquidem cogitationem suam transferebat in Deum. Ait nimirum: *Dominus dixit Semei, ut malediceret Davidi*[48]. Quapropter B cum vocaretur vir sanguinum, et vir iniquus, haudquaquam ei succensuit; sed se ipse humiliabat, quasi jure ac merito maledictis contumeliisque lacessitus. (7) Omnis enim reprehensio palam eum qui reprehenditur perstringens, ipsum vehementer torquet, cum peccati detegat turpitudinem; ita ut eum qui nullo delictorum suorum sensu tangebatur, non mediocri afficiat beneficio; quippe ad eorum conscientiam et ad veram pœnitentiam ipsum deducat. Quale enim corporis vulnus creat acrem dolorem ejusmodi, cujusmodi cruciatum animæ parit sermo objurgatorius, cum eorum qui turpitudine et opprobrio rerum male gestarum premuntur, conscientiam perstringit?

2. Οὐχ οὕτω σώματος χαρακτὴρ ἴδιός τινος ἐνομίσθη, ὡς τῆς φιλοθέου ψυχῆς τὸ εἰρηνικόν τε καὶ ἥμερον. Πρέποι δ' ἂν τῷ τοιούτῳ, τοὺς ἄλλους ἕλκειν πρὸς ἑαυτὸν, καὶ παρέχειν πᾶσι τοῖς ἐγγίζουσιν, ὥσπερ μύρου τινὸς εὐωδίας, τῆς τοῦ τρόπου χρηστότητος ἀναπίμπλασθαι, αὐτὸν τοῖς ἄλλοις καθηγεῖσθαι ἐπὶ τὰ βέλτιστα, ἀλλ' οὐχὶ ἀκολουθεῖν ἑτέροις, ἐφ' ἃ μὴ δεῖ (3)· καὶ τὸ μὲν φιλόνεικον ἑτέροις παραχωρεῖν· μᾶλλον δὲ κἀκείνων ἐξελεῖν τῆς ψυχῆς, εἴπερ οἷόν τε· αὐτὸν δὲ δι' ἀνεξικακίας λύειν τὰ λυπηρά. Τὸ μὲν γὰρ ἀμύνεσθαι, παντός ἐστι τοῦ ὀργιζομένου· τὸ δὲ καὶ αὐτῆς τῆς ὀργῆς ὑψηλότερον εἶναι (4), τοῦτο ἑνός που μόνου, καὶ εἴ τις αὐτῷ τὴν ἀρετὴν παραπλήσιος. Οἷον γὰρ θέαμα! πῶς σεμνὸν καὶ θαυμαστὸν καὶ μικροῦ τὴν φύσιν ἐκβαῖνον τὴν ἀνθρωπίνην, ἄνθρωπον πολλὰ λοιδορηθέντα, καί που καὶ πληγὴν δεξάμενον ἐπὶ κόρρης, καὶ ἄλλα μυρία παθόντα τῶν λόγῳ καὶ ἔργῳ (5) πρὸς τὴν ἐσχάτην ἀτιμίαν φερόντων, μὴ ὑπερζέσαι θυμῷ, μηδὲ διαναστῆναι πρὸς ἄμυναν, ἀλλὰ πράως καὶ ἀοργήτως προσεύξασθαι ὑπὲρ τοῦ ὑβριστοῦ, ὥστε καὶ τὴν ἐπὶ τοῖς φθάσασιν αὐτῷ ἁμαρτίαν συγχωρηθῆναι, καὶ πρὸς τὸ ἑξῆς τῆς πρεπούσης παρὰ

2. (8) Neque enim corporeus character ita proprius cujusquam deputatus est, ut animi Deum C amantis pax et mansuetudo. Tali igitur conveniat, alios ad se trahere, ac omnibus ad se accedentibus præstare, ut veluti cujusdam unguenti fragrantia, morum suorum lenitate impleantur, ducem se aliis præbens ad optima, minime autem alium ad illicita sequens: (9) ac contentionis quidem studium aliis relinquat, imo ex illorum etiam animis extrahat, si fieri potest: ipse autem patientia molestias superet. Nam ulcisci se, cujusvis irati est; sed ipsa etiam ira superiorem esse, hoc hujus est solius, et si quis illi virtute consimilis. (10) Quale enim spectaculum! quam præclara res est et admiratione digna, quæque propemodum naturam superat, si homo qui multis impetitus est conviciis, aut forte etiam in D maxilla plagam accepit, et innumera alia perpessus est, et dictis et factis ad extremam ignominiam tendentia, minime tamen præter modum ira effervescat, neque excitetur ad vindictam, sed mansuete et absque iracundia precetur pro conviciatore, ut et præteritum ei peccatum condonetur, ac in posterum convenienti Dei cura dignus habeatur!

[47] Psal. VII, 5. [48] II Reg. XVI, 10.

(1) *Ἠνείχετο.* Sic Regius codex et contextus. Editi, συνείχετο.
(2) *Ἀπαντώσης.* Codex Regius, ὑπαντώσης.
(3) *Ἐφ' ἃ μὴ δεῖ.* Idem codex, ἐφ' ᾧ μὴ δεῖ.
(4) *Εἶναι.* Hanc vocem addidimus ex Regio codice ac ipso contextu.
(5) *Τῶν λόγῳ καὶ ἔργῳ.* Pro his vocibus legebatur in editis ac in ipso contextu, καὶ λόγῳ καὶ ἔργῳ. Vitium sanavimus ope Regii codicis.
(6) Ex hom. *adversus iratos*, 87.
(7) Ex comment. *in Isa.*, 431.
(8) Ex epist. LIX, 153.
(9) Ibid., 154.
(10) Ex comment. *in Isa.*, 419.

Nunc vero nos inter cætera peccata et illud maxime A peccamus, 565 persequimur nempe retributionem: neque pari mensura vices rependimus: sed ultra modum nos ipsos ulciscimur, nec indignamur solum, si quapiam contumelia fuerimus vexati; sed si honore non afficimur, eos quoque qui nobis minus honoris tribuerint, quam quo nos ipsos dignos esse existimamus, pro inimicis habemus.

3. (1) Contumelia te affecit iratus quispiam? siste silentio malum, neque iram illius velut quoddam fluentum in animum tuum suscipiens, ventos imiteris, qui, quod illatum est, id reflatu repellunt. Maledixit ille? tu benedicas. Percussit? tu sustine. Despicit, teque facit nihili? tu tecum cogita ortum te esse ex terra, ac rursus in terram reversurum. Obscurum te dixit, ingloriumque et B nihili hominem, qui infimo loco natus sit? tu teipsum terram ac cinerem dicito. Illustrior non es patre nostro Abraham, qui se ipse ita appellavit. Indoctum et pauperem te dixit? tu te dicas vermem, teque ex stercore habere originem, Davidis verba usurpans. His etiam præclarum Moysis facinus adjice. Ille ab Aaron et Maria maledictis lacessitus, non Deum adversus eos interpellavit, sed pro eis oravit. (2) Tu igitur, si te pauperem appellaverit, si verum loquatur, perfer veritatem: sin mentitur, quid ad te quod dixit? Neque efferaris ob eas quæ verum excedunt laudes; neque ob contumelias, quæ te non attingunt, exaspereris. An non vides quomodo sagittæ duriora, et quæ renituntur, C soleant penetrare, in mollibus vero et quæ cedant, impetum suum frangere? Quid autem te perturbat pauperis cognomen? In mentem veniat tuæ naturæ, quod nudus ingressus es in mundum, nudusque es egressurus. Quid autem nudo pauperius est? Nihil grave audivisti. Quis unquam ob paupertatem abductus est in carcerem? Pauperem esse non probrosum est, sed paupertatem generose non ferre. Ecquid stultius est ira? Sin tranquillus et sine ira p rmanseris, incutis pudorem conviciatori, cum prudentiam re ipsa ostenderis atque modestiam. (3) Ut enim qui verberat sensu carentem, sibi ipse ırrogat pœnam (nam nec hostem ulciscitur, nec iram sedat): ita quisquis hominem, qui injuriis non movetur, probris ac maledictis lacessit, D is cupiditatem suam solari ac mollire non potest. (4) Quod si par pari referas, et ex æquo insurgas adversus conviciatorem, quam tandem prætendes excusationem? Quod te prior ad iram provocavit? Sed hoc qua venia dignum? Neque enim scortator qui culpam in meretricem transfert, tanquam quæ ad peccatum impulerit, remissius condemnatur. Nonne malum contumelia? Cave imiteris. Nam incepisse alium non sufficit ad excusationem. Imo

(1) Ex hom. *adversus iratos*, 85.
(2) Ibid., 87.
(3) Ibid., 86,
(4) Ibid
(5) *Μιμῇ*. Regius codex, μιμήσῃ.

A Θεοῦ ἐπιμελείας ἀξιωθῆναι! Νῦν δὲ ἡμεῖς μετὰ τῶν ἄλλων κακῶν κἀν τούτῳ μάλιστα ἁμαρτάνομεν, διώκοντες ἀνταπόδομα, οὐδὲ ἴσῳ τῷ μέτρῳ ἀντιδιδόντες, ἀλλὰ μεθ' ὑπερβολῆς ἀμυνόμενοι, οὐκ ἐὰν ὑβρισθῶμεν μόνον, ἀλλ' ἐὰν μὴ καὶ τιμηθῶμεν παροξυνόμενοι· καὶ τοὺς ἔλαττον ἡμᾶς τιμῶντας, ὧν ἀξίους αὐτοὺς ὑπειλήφαμεν, ὡς ἐχθροὺς λογιζόμενοι.

3. Ὕβρισέ σε ὀργισθεὶς ὁ δεῖνα; στῆσον τῇ σιωπῇ τὸ κακὸν, καὶ μὴ ὥσπερ ῥεῦμα τὴν ἐκείνου ὀργὴν εἰς τὴν ἰδίαν καρδίαν ὑποδεξάμενος, τοὺς ἀνέμους μιμῇ (5), διὰ τῆς ἀντιπνοίας ἀντιδιδόντας τὸ ἐνεχθέν. Ἐκεῖνος ἐλοιδόρησε; σὺ εὐλόγησον. Ἐτύπτησεν ἐκεῖνος; σὺ ὑπόμεινον. Διαπτύει, καὶ τὸ μηδὲν ἡγεῖταί σε; σὺ ἔννοιαν λάβε σεαυτοῦ, ὅτι ἐκ γῆς ὑπέστης, B καὶ εἰς γῆν πάλιν ἀναλυθήσῃ. Ἀφανῆ σε εἶπε, καὶ ἄδοξον, καὶ μηδένα μηδαμόθεν; σὺ καὶ γῆν εἰπὲ καὶ σποδὸν σεαυτόν. Οὐκ εἶ σεμνότερος τοῦ πατρὸς ἡμῶν Ἀβραὰμ, ὃς ταῦτα ἑαυτὸν ἀπεκάλει. Ἀμαθῆ καὶ πτωχόν; σὺ δὲ σκώληκα σεαυτὸν εἰπὲ, καὶ ἀπὸ κοπρίας ἔχειν τὴν γέννησιν, τὰ τοῦ Δαβὶδ λέγων ῥήματα. Τούτοις πρόσθες καὶ τὸ τοῦ Μωϋσέως καλόν. Ἐκεῖνος ὑπὸ Ἀαρὼν καὶ Μαρίας λοιδορηθεὶς, οὐ κατ' αὐτῶν ἐνέτυχε τῷ Θεῷ, ἀλλὰ προσηύχετο ὑπὲρ αὐτῶν. Καὶ σὺ τοίνυν, ἐὰν πένητά σε προσείπῃ, εἰ μὲν ἀληθῆ λέγει, κατάδεξαι τὴν ἀλήθειαν· εἰ δὲ ψεύδεται, τί πρὸς σὲ τὸ λεγόμενον; Μήτε πρὸς ἐπαίνους χαυνωθῇς, τοὺς ὑπὲρ τὴν ἀλήθειαν· μήτε πρὸς ὕβρεις ἀγριάνῃς, τὰς οὐχ ἁπτομένας σου. Οὐχ ὁρᾷς τὰ τοξεύματα, πῶς τῶν μὲν στεῤῥῶν καὶ ἀντιτύπων πέφυκε διαπίπτειν, C ἐν δὲ τοῖς ἁπαλοῖς καὶ ὑπείκουσι τὴν ὁρμὴν ὑπεκλύειν; Τί δέ σε ταράσσει ἡ προσηγορία τοῦ πένητος; Μνήσθητι τῆς φύσεως σεαυτοῦ· ὅτι γυμνὸς εἰς τὸν κόσμον εἰσῆλθες, γυμνὸς (6) καὶ ἀπελεύσῃ. Τί δὲ γυμνοῦ πενιχρότερον; Οὐδὲν ἤκουσας δεινόν. Τίς ποτε ἀπήχθη διὰ πενίαν εἰς δεσμωτήριον; Οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγενῶς τὴν πενίαν. Τί ὀργῆς ἀφρονέστερον; Ἐὰν μείνῃς ἀόργητος, ᾔσχυνας τὸν ὑβρίσαντα, ἔργῳ τὴν σωφροσύνην ἐπιδειξάμενος. Ὡς γὰρ ὁ τύπτων τὸν μὴ ἀλγοῦντα, ἑαυτὸν τιμωρεῖται (οὔτε γὰρ τὸν ἐχθρὸν ἠμύνατο, καὶ τὸν θυμὸν οὐκ ἀνέπαυσεν [7])· οὕτως ὁ τὸν ἀλοιδόρητον ὀνειδίζων, παραμυθίαν εὑρεῖν τοῦ πάθους οὐ δύναται. Ἀμυνόμενος δὲ, καὶ εἰς ἴσον ἀντικαθιστάμενος τῷ λοιδόρῳ, D τί καὶ ἀπολογήσῃ; Ὅτι παρώξυνε κατάρξας; Καὶ ποίας τοῦτο συγγνώμης ἄξιον; Οὐδὲ γὰρ ὁ πόρνος ἐπὶ τὴν ἑταίραν τὴν αἰτίαν μετατιθεὶς, ὡς πρὸς τὴν ἁμαρτίαν διερεθίσασαν, ἧττον τῆς κατακρίσεως ἀξιοῦται. Πονηρὸν ἡ ὕβρις; φεῦγε τὴν μίμησιν. Οὐ γὰρ δὴ τὸ ἕτερον κατάρξαι, ἱκανὸν εἰς παραίτησιν. Δικαιότερον μὲν οὖν, ὡς ἐμαυτὸν πείθω, καὶ ἐπιτεῖναι τὴν ἀγανάκτησιν· διότι ὁ μὲν οὐκ εἶχε τὸ σωφρονίζον ὑπόδειγμα· σὺ δὲ βλέπων ἀσχημονοῦντα

(6) *Γυμνός*. dem codex, πάντως ὅτι καὶ γυμνός.
(7) *Ἀνέπαυσεν*. Codex Regius, κατέπαυσεν. Paulo post idem, ἴσον ἀντικαθιστάμενος, non εἰς ἴσον.

τὸν ὀργιζόμενον, οὐκ ἐφυλάξω αὐτοῦ τὴν ὁμοίωσιν, ἀλλ' ἀγανακτεῖς καὶ χαλεπαίνεις, καὶ ἀνταγωνίζῃ (1)· καὶ γίνεταί σου τὸ πάθος ἀπολογία τοῦ προλαβόντος. Εἰ μὲν πονηρὸν (2) ὁ θυμὸς, τί οὐκ ἐξέκλινας τὸ κακόν; Εἰ δὲ συγγνώμης ἄξιον, τί χαλεπαίνεις τῷ θυμουμένῳ; ἔοικε γάρ πως συνεξομοιοῦσθαι τῷ ματαιολογοῦντι ὁ ἀντιλέγων. Διόπερ, οἶμαι, ὁ σοφὸς παρεγγυᾷ Σολομὼν, *μὴ ἀποκρίνασθαι τῷ ἄφρονι κατὰ τὴν ἐκείνου ἀφροσύνην*. Ὥσπερ γὰρ ὁ βασιλικὴν εἰκόνα καθυβρίσας, ὡς εἰς αὐτὸν ἐξαμαρτήσας τὸν βασιλέα κρίνεται· οὕτω δηλονότι ὑπόδικός ἐστι τῇ ἁμαρτίᾳ ὁ τὸν κατ' εἰκόνα Θεοῦ γεγενημένον καθυβρίζων.

A vero æquius est, ut mihi persuadeo, intendi etiam adversum te querelam, quod ille exemplum quo emendaretur, nequaquam habuerit. Tu tamen videns iratum indecore se gerentem, non illius vitasti similitudinem, sed indignaris, acerbius objurgas, obluctaris; ideoque tua ipsius perturbatio aggredientis exordientisque defensio fit et excusatio. Etenim si malum ira est, cur malum non **566** declinasti? Sin autem quidpiam est venia dignum, cur infensus es irascenti? (4) Nam qui vaniloquo contradicit, is quodammodo illi assimilis effici videtur. Propterea sapientem arbitror Salomonem edixisse, *ne quis stulto secundum ipsius insipientiam respondeat* [49]. Quemadmodum enim qui imperatoris effigiem dedecore affecit, non aliter punitur, quam si in ipsum imperatorem peccasset: sic etiam peccato obnoxius is est, qui ei quem ad sui imaginem Deus creavit, injuriam intulerit.

4. *Ἀνδρὶ θυμώδει μὴ συναυλίζου*, φησί. Κακὸν γὰρ πρᾶγμα κυνὶ συνδεδέσθαι, καὶ διηνεκοῦς ὑλακῆς ἀπολαύειν. Φεῦγε τοίνυν τὰς μετ' αὐτοῦ διατριβάς· ἀνάγκη γάρ σε μαθεῖν τι τῶν ἐκείνου ὁδῶν. Εἶπέ τι ὑβριστικὸν, ἐκίνησε καὶ τὸν ἐν σοὶ θυμόν. Ὥσπερ κυνὸς ὑλακὴ προκαλεῖται ἑτέρου κυνὸς θόρυβον, καὶ τὸν ἐν σοὶ θυμὸν τέως κοιμώμενον καὶ ἡσυχάζοντα ἡ ἐκείνου φωνὴ διήγειρε, καὶ γεγόνατε ἀλλήλοις ἀνθυλακτοῦντες· εἶτα ἀντικαταστάντες ἀλλήλοις, ὥσπερ σφενδόνας ἀφίετε τῶν ῥημάτων τὰς ἀσχημοσύνας. Εἶπέ τι ὑβριστικὸν ἐκεῖνος, ἀντέδωκας σὺ μείζονι ὑπερβολῇ, τὸν προλαβόντα μιμούμενος. Λαβὼν ἐκεῖνος τὴν ἐκ τοῦ λόγου τοῦ ὑβριστικοῦ (3) ἀντίδοσιν, οὐκ ἔστη τῆς ὁρμῆς, ἀλλ' ἐστράφη, καὶ ἐκορύφωσε τὴν ἑαυτοῦ ἁμαρτίαν· μείζων ἠβουλήθη γενέσθαι ἐκ τοῦ εἰπεῖν τι χαλεπώτερον. Σὺ δεξάμενος πάλιν, ὑπερυψώθης, καὶ γέγονε κακῶν φιλονεικία. Ὁ δὲ ἐν κακῶν ἁμίλλαις νικῶν, οὗτος ἀθλιώτερός ἐστιν. Ἐπειδὰν γὰρ ἅπαξ παρωσάμενον τοὺς λογισμοὺς τὸ τοῦ θυμοῦ πάθος, καὶ τὴν δυναστείαν τῆς ψυχῆς παραλάβῃ, ἀποθηριοῖ παντελῶς τὸν ἄνθρωπον, καὶ οὐδὲ ἄνθρωπον εἶναι συγχωρεῖ· ὅπερ γὰρ τοῖς ἰοβόλοις ἐστὶν ἰὸς, τοῦτο τοῖς παροξυνθεῖσιν ὁ θυμός. Λυσσῶσιν ὥσπερ οἱ κύνες, ᾄττουσιν ὥσπερ οἱ σκορπίοι, δάκνουσιν ὥσπερ οἱ ὄφεις. Ἀγνοοῦσι μὲν γὰρ αὐτοὺς πρῶτον οἱ ὀργιζόμενοι, ἔπειτα καὶ πάντας ὁμοίως τοὺς ἐπιτηδείους. Διὰ θυμὸν καὶ ξίφος ἀκονᾶται, καὶ θάνατος ἀνθρώπου ἐκ χειρὸς ἀνθρωπείας τολμᾶται. Διὰ τοῦτον ἀδελφοὶ μὲν ἀλλήλους ἠγνόησαν· γονεῖς δὲ καὶ τέκνα τῆς φύσεως ἐπελάθοντο· καὶ ὥσπερ αἱ χαράδραι πρὸς τὰ κοῖλα συῤῥέουσαι τὸ προστυχὸν παρασύρουσιν· οὕτω καὶ αἱ τῶν ὀργιζομένων ὁρμαὶ βίαιοι καὶ ἀκάθεκτοι διὰ πάντων ὁμοίως χωροῦσιν. Οἱονεὶ γὰρ οἴστρῳ τῇ μνήμῃ τῶν λελυπηκότων περικεντούμενοι, σφαδάζοντος αὐτοῦ τοῦ θυμοῦ καὶ πηδῶντος, οὐ πρότερον ἀπο-

B 4. (5) *Ne habites una*, inquit, *cum viro iracundo* [50]. Mala enim res cum cane colligari, ac perpetuum latratum ferre. Fuge igitur congressum ejus atque consuetudinem, alioqui necesse tibi est aliquid viarum ipsius addiscere. Dixit rem contumeliosam, commovit et animum tuum. Quemadmodum canis latratus provocat canis alterius tumultum : ita quoque animum tuum prius sopitum ac quiescentem vox ejus ad iram concitavit, et alter alterum adlatrastis; et ita demum alter alteri adversantes, ignominiosa verba velut fundas intorquetis. Dixit ille aliquid injuriosum : tu longe injuriosius respondisti, auspicantem atque aggredientem imitatus. Ille contumeliosi verbi receptis vicibus, commoveri non destitit : sed conversus peccatum suum adauxit. Superior evadere voluit verborum acerbitate. Tu rursus, his auditis, supra modum attolleris, sicque malorum fit contentio. Qui autem in malorum certamine vincit, is magis miser est. (6) Ubi enim rationem semel exturbaverit iracundiæ vitium, atque dominium animæ usurpaverit, hominem prorsus convertit in belluam, et ne hominem quidem esse sinit. Quod enim venenatis venenum est, hoc idem ira est exasperatis. Fiunt rabidi canum in morem, insiliunt ut scorpii, mordent ut serpentes. Nam irati primum ignorant sese, deinde omnes similiter familiares atque necesssarios. Per iram ensis acuitur atque patratur homicidium humana manu. Per hanc fratres alii alios ignoravere : parentes quoque et liberi naturæ D obliti sunt; et quemadmodum torrentes ad loca cava confluentes, quidquid obvium est transversum trahunt; ita violenti ac impotentes irascentium impetus cunctos similiter invadunt. Nam eorum quæ molesta ipsis fuerunt, recordatione quasi œstro exstimulati, effervescente in eis ira atque subsi-

C

[49] Prov. XXVI, 4. [50] Prov. XXII, 24.

(1) *Ἀνταγωνίζῃ*. Contextus, ἀντοργίζῃ.
(2) *Πονηρόν*. Sic contextus et idem codex. Editi πονηρός.
(3) *Ὑβριστικοῦ*. Sic contextus et idem codex. Editi, ὑβριστοῦ.
(4) Uterque codex indicat comment. *in Isa.*
(5) Ex hom. in Lacizis, 590.
(6) Ex hom. *adversus iratos*, 83.

liente, non prius cessant quam damnum aliquod inferant irritanti. Nam cum ira rebus irritantibus accensa est, ut ingenti lignorum congerie flamma, tum demum neque verbis explicabilia, neque factu tolerabilia spectacula videre licet: manus attolli adversus tribules, pedes temere insultantes, denique quidquid in conspectum venit, id furori ac insaniæ pro armis esse. Quod si ex adverso æquale malum renitens repererint, aliam videlicet iram et parem insaniam; ita demum inter se conserti, mutuo faciunt ac perpetiuntur quæ æquum est perpeti eos, qui sub ejusmodi dæmone militant. (1) Mutuæ siquidem illæ offensiones, animique irritationes abjecti, primum quidem exiguæ sunt et curatu perfaciles; temporis vero progressu **567** per contentionem auctæ, immedicabiles prorsus evadere consueverunt. (2) Quandiu enim quæ ex dissidio oboriuntur calumniæ, locum habuerint, tandiu suspiciones in pejus augeri necesse est.

5. (3) Si igitur videris iratum dentes acuentem, cogita hominem ejusmodi similem esse apro, ut qui iracundiam internam dentium affrictu indicet. (4) Nam in malis pugnis miserior est qui vicit, quippe quia cum majori peccato abit. Contra serpentem illum duntaxat iracundiæ tuæ vim exsere. (5) Quid enim Phineen justificavit? nonne justa ira adversus scortatores? qui alioqui perquam mitis ac mansuetus, posteaquam Zambri cum scorto Madianitide palam et sine verecundia coeuntem vidisset, adeo ut ne contegerent quidem turpitudinis suæ infame spectaculum, hoc non perferens, ira opportune usus est, utroque hasta transfixo [81]. Rursus zelotes ille Elias quadringentos quinquaginta viros *confusionis* sacerdotes, et quadringentos viros sacerdotes lucorum, mensam Jezabel comedentes, consultissima ac sapienti ira in totius Israelis commodum interfecit [82]. Sic ira plerumque actionum bonarum est ministra. (6) Libentius sane viderit quis amicum irascentem, quam alium colentem. Itaque hos imitari studeamus, neque contra nos, sed adversus diabolum tantum, iracundiam armemus, si cœleste regnum assequi velimus, in Christo Jesu Domino nostro, cui gloria et potestas, cum æterno ejus Patre, ac sanctissimo vivificanteque Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen

A λήγουσι, πρὶν ἢ κακόν τι δοῦναι τῷ παροξύναντι. Ὅταν γὰρ ὥσπερ φλὸξ ὕλης ἀφθονίᾳ τοῖς παροξύνουσιν ὁ θυμὸς ἐξαφθῇ, τότε δὴ, τότε, τὰ οὔτε λόγῳ ῥητὰ, οὔτε ἔργῳ φορητὰ, ἐπιδεῖν (8) ἔστι θεάματα· χεῖρας μὲν διηρμένας κατὰ τῶν ὁμοφύλων, πόδας δὲ ἀφειδῶς ἐναλλομένους, πᾶν δὲ τὸ φανὲν ὅπλον τῇ μανίᾳ γενόμενον. Ἐὰν δὲ καὶ ἐκ τοῦ ἐναντίου τὸ ἴσον κακὸν ἀντιστρατευόμενον (9) εὕρωσιν, ὀργὴν ἄλλην καὶ μανίαν ὁμότιμον· οὕτω δὴ συμπεσόντες ἔδρασαν ἀλλήλοις καὶ ἔπαθον, ὅσα εἰκὸς τοὺς ὑπὸ τοιούτῳ δαίμονι στρατηγουμένους παθεῖν. Αἱ γὰρ πρὸς ἀλλήλους λῦπαι, καὶ μικροψυχίαι, παρὰ μὲν τὴν πρώτην μικραί εἰσι καὶ εὐθεράπευται· προϊόντος δὲ τοῦ χρόνου, ὑπὸ φιλονεικίας αὐξόμεναι, εἰς ἀνίατον παντελῶς ἐκπίπτειν πεφύκασιν. B Ἕως γὰρ ἐκ τῆς διαστάσεως αἱ διαβολαὶ χώραν ἔχωσιν (10), ἀνάγκη ἀεὶ τὰς ὑποψίας ἐπὶ τὸ χεῖρον αὔξεσθαι.

5. Ἂν τοίνυν ἴδῃς τὸν θυμούμενον τοὺς ὀδόντας παραθήγοντα, ἐνθυμήθητι ὅτι συῒ ἔοικεν ὁ τοιοῦτος, τὸν ἔνδοθεν θυμὸν διὰ τῆς τῶν ὀδόντων παρατρίψεως ὑπεκφαίνων. Ἐν γὰρ ἁμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας, διότι ἀπέρχεται τὸ πλέον ἔχων τῆς ἁμαρτίας. Ὁ θυμὸς ἔστω σοι κατὰ μόνου τοῦ ὄφεως. Τί γὰρ τὸν Φινεὲς ἐδικαίωσεν; οὐχ ἡ δικαία ὀργὴ κατὰ τῶν πορνευσάντων; ὃς τὰ πολλὰ ἐπιεικὴς ὢν καὶ πρᾶος, ἐπειδὴ εἶδε τὴν πορνείαν τοῦ Ζαμβρῆ καὶ τῆς Μαδιανίτιδος ἀναφανδὸν καὶ ἀπηρυθριασμένως γινομένην, οὐ συγκαλυπτόντων αὐτῶν τὴν C ἀσχήμονα θέαν τῆς αἰσχύνης, οὐκ ἀνασχόμενος, εἰς δέον ἐχρήσατο τῷ θυμῷ, δι' ἀμφοῖν ἐλάσας τὴν σειρομάστην. Ἠλίας δὲ ὁ ζηλωτὴς, πεντήκοντα καὶ τετρακοσίους ἄνδρας ἱερεῖς *τῆς αἰσχύνης*, καὶ τετρακοσίους ἄνδρας ἱερεῖς τῶν ἄλσεων, ἐσθίοντας τράπεζαν Ἰεζάβελ, λελογισμένῳ θυμῷ καὶ σώφρονι εἰς ὄφελος παντὸς τοῦ Ἰσραὴλ ἐθανάτωσεν. Οὕτω γίνεται πολλάκις ὁ θυμὸς ἀγαθῶν πράξεων ὑπηρέτης. Ἥδιον γοῦν ἄν τις ἴδοι ὀργιζόμενον τὸν ἀγαπώμενον, ἢ θεραπεύοντα ἕτερον. Τούτους καὶ ἡμεῖς ζηλῶσαι σπουδάσωμεν, καὶ μὴ καθ' ἡμῶν, ἀλλὰ κατὰ τοῦ διαβόλου (11) τὸν θυμὸν ὁπλίζωμεν μόνον, εἴ γε τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν βουλοίμεθα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ Πατρὶ, καὶ τῷ παναγίῳ D καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

DE INVIDIA ET MALEVOLENTIA.

SERMO XVIII.

1. (7) Multum nobis sollicitudinis injicit præsen-

ΠΕΡΙ ΦΘΟΝΟΥ ΚΑΙ ΒΑΣΚΑΝΙΑΣ.

ΛΟΓΟΣ ΙΗ'

1. Πολλὴν ἡμῖν ἐμποιεῖ τὴν ἀνίαν τοῦ κατασχόντος

[81] Num. xxv, 8. [82] III Reg. xviii, 22, 40.

(1) Ex epist. ccxiv, 332.
(2) Ex epist. lix, 154.
(3) Ex hom. in Lacizis, 589.
(4) Ex hom. *adversus iratos*, 85.
(5) Ibid., 89.
(6) Ex epist. xxi, 98.
(7) Ex epist. ccxxvi, 346.

(8) *Ἐπιδεῖν*. Codex Regius, κατιδεῖν.
(9) *Ἀντιστρατευόμενον*. Idem codex, ἀντιπραγματευόμενον.
(10) *Ἔχωσιν*. Idem codex ἔχουσιν.
(11) *Διαβόλου*. Codex Regius addit, μόνου, ac postea omittit μόνον. Non reperta hæc verba, τούτους καὶ ἡμεῖς, et quæ sequuntur.

καιροῦ τούτου ἡ χαλεπότης, ἐν ᾧ πᾶσαι μὲν Ἐκκλησίαι ἐσαλεύθησαν, πᾶσαι δὲ ψυχαὶ σινιάζονται. Ἤνοιξαν γὰρ πάντες ἀφειδῶς τὰ στόματα κατὰ τῶν ὁμοδούλων. Λαλεῖται τὸ ψεῦδος ἀφόβως, ἡ ἀλήθεια συγκεκάλυπται· καὶ οἱ μὲν κατηγορούμενοι καταδικάζονται ἀκρίτως, οἱ δὲ κατηγοροῦντες πιστεύονται ἀνεξετάστως. Καὶ πολὺς ἤδη ὁ χρόνος παρῴχηκεν, ἐν ᾧ τυπτόμενοι ὑπὸ τῶν διαβολῶν, φέρομεν τὰς τῆς κατηγορίας μάστιγας, ἀρκούμενοι ὅτι ἔχομεν Κύριον τὸν τῶν κρυπτῶν γνώστην μάρτυρα τῆς συκοφαντίας. Ἐπειδὴ δὲ πολλοὶ ἤδη τὴν σιωπὴν ἡμῶν εἰς βεβαίωσιν τῶν διαβολῶν παρεδέξαντο, καὶ οὐ διὰ μακροθυμίαν ἐνόμισαν ἡμᾶς σιωπᾷν, ἀλλὰ διὰ τὸ μὴ ἔχειν διᾶραι στόμα πρὸς τὴν ἀλήθειαν· τούτου ἕνεκεν παρακαλῶ τὴν ἐν Χριστῷ ἀγάπην ὑμῶν, ὥστε τὰς ἐξ ἑνὸς μέρους γινομένας διαβολὰς μὴ πάντως παραδέχεσθαι ὡς ἀληθεῖς· διότι, καθὼς γέγραπται, *Οὐδένα κρίνει ὁ νόμος, ἐὰν μὴ πρῶτον ἀκούσῃ, καὶ γνῷ τί ποιεῖ.* Πρὸς δὲ τὰ προβαλλόμενα ἐγκλήματα ἀπαιτεῖτε ἡμᾶς τὰς εὐθύνας. Καὶ εἰ μὲν εὕρητε παρ' ἡμῖν τὴν ἀλήθειαν, μὴ δῶτε χώραν τῷ ψεύδει· ἐὰν δὲ ἀτονούντων ἡμῶν πρὸς τὴν ἀπολογίαν αἴσθησθε, τότε πιστεύσατε τοῖς κατηγόροις ἡμῶν ὡς ἀληθεύουσι. Τὰ γὰρ στόματα αὐτῶν ἐπισχεθῆναι διὰ τῶν ἡμετέρων λόγων ἀμήχανον. Μᾶλλον μὲν οὖν εἰκὸς καὶ ἐρεθίζεσθαι αὐτοὺς ἐπὶ ταῖς ἀπολογίαις ἡμῶν, καὶ μείζονα καὶ χαλεπώτερα καθ' ἡμῶν κατασκευάζειν, καὶ στηλιτεύειν, καὶ κατηγορεῖν. Καίτοι εὐγνώμονι κριτῇ ἀρκεῖ αὐτὰ τὰ πράγματα πρὸς τὴν τῆς ἀληθείας φανέρωσιν, καί, κἂν ἡμεῖς σιωπήσωμεν, ἔξεστιν ὑμῖν διαβλέψαι πρὸς τὰ γινόμενα. Αἰτοῦμαι (1) δὲ πρὸ πάντων ὑμᾶς, τούς τε νῦν ἀκουσομένους, καὶ τοὺς εἰς ὕστερον ἐντευξομένους, μὴ τῷ πλήθει διακρίνειν ἐθέλειν τῆς ἀληθείας τὸ ψεῦδος, τῇ πλείονι μοίρᾳ τὸ κρεῖττον συνάψαντας· μήτε μὴν ἀξιώμασι προσέχοντας, ἀμαυροῦσθαι τὴν διάνοιαν, ἢ τῇ τάξει τῶν προλαβόντων τὸ πλέον νέμοντας, ἀποφράττειν τὰς ἀκοὰς τοῖς ὑστέροις. Δεῖ γὰρ τὸν ἀκροατὴν τὴν ἑτέραν τῶν ἀκοῶν ἀκεραίαν φυλάσσειν τῷ μὴ παρόντι, τὸ τοῦ Ἀλεξάνδρου ποιοῦντα. Καὶ γὰρ ἐκεῖνόν φασι, διαβαλλομένου τινὸς τῶν συνήθων, τὴν μὲν ἑτέραν τῶν ἀκοῶν ἀνεῖναι τῷ διαβάλλοντι, τὴν δὲ ἑτέραν ἐπιμελῶς ἐπιφράξασθαι (2) τῇ χειρί, ἐνδεικνύμενον, ὅτι δέοι τὸν ὀρθῶς κρίνειν μέλλοντα, μὴ ὅλον εὐθὺς τοῖς προλαβοῦσιν ἀπάγεσθαι, ἀλλὰ τὸ ἥμισυ τῆς ἀκροάσεως ἀκέραιον διασώζειν πρὸς ἀπολογίαν τῷ μὴ παρόντι.

A tis temporis difficultas, in quo Ecclesiæ omnes commotæ sunt, et omnes animæ cribrantur. Aperuerunt enim omnes immodice ora sua adversus conservos. Prædicatur libere mendacium, veritas absconditur. Et accusati quidem condemnantur sine judicio, accusatoribus vero creditur sine examine. (3) Jam enim longum tempus est, ex quo verberatus calumniis, flagella accusationis perfero; contentus quod Dominum, qui arcana novit, calumniæ testem habeam. Sed quia multi jam silentium nostrum ad calumniarum confirmationem acceperunt, nec nos patientia existimant adductos silere, sed quod contra veritatem hiscere non possimus: idcirco obsecro vestram in Christo dilectionem, ut concinnatas ab una parte calumnias non B omnino admittatis ut veras: quandoquidem, ut scriptum est, *Neminem lex judicat, nisi prius audiat, et cognoscat quid fecerit* [83]. (4) Objectorum nobis criminum rationem a nobis postulate. Ac veritatem quidem si apud nos inveneritis, ne detis locum mendacio: sin autem nos **568** ad defensionem infirmos senseritis, tunc credite accusatoribus nostris, ut vera dicentibus. (5) Nam ora illorum comprimi sermonibus nostris non possunt, imo verisimile est, illos etiam defensionibus nostris irritari, et majora ac graviora in nos machinari, conviciari et incusare. (6) Quanquam æquo quidem judici res ipsæ sufficiunt ad declarandam veritatem: atque etiamsi nos taceamus, licet vobis respicere C ad ea quæ fiunt. (7) Ante omnia autem rogamus vos, qui et nunc audituri estis, et postmodum lecturi, ut ne velitis ex multitudine verum a falso discernere, parti majori tributa palma; neque mente cæcutire, dignitatum habita ratione; neque aures obturare posterioribus, priorum agmini concessa victoria. (8) Oportet enim ut auditor alteram aurem servet absenti, idemque faciat quod Alexander. Nam et illum ferunt, cum quidam ex familiaribus calumnia appeteretur, aurium quidem alteram accusatori præbuisse, alteram vero diligenter manu occlusisse; demonstrantem oportere ut qui recte judicaturus est, non totus statim a præoccupantibus abducatur, sed dimidium auditus integrum ad defensionem servet absenti.

2. Καὶ γὰρ πεφύκασί πως ταῖς μεγάλαις δυναστείαις αἱ ἀνελεύθεροι αὗται παραφύεσθαι θεραπεῖαι· οἷ, διὰ τὸ ἀπορεῖν οἰκείου ἀγαθοῦ δι' οὗ γνωρισθῶσιν, ἐκ τῶν ἀλλοτρίων κακῶν ἑαυτοὺς συνιστῶσι. Καὶ ὥσπερ οἱ γῦπες πρὸς τὰ δυσώδη φέρονται, πολ-

D 2. (9) Solent enim quodammodo magnis potestatibus illiberales ejusmodi cultus adhærere: quibus cum desit bonum proprium unde cognoscantur, sese ex alienis malis commendant. (10) Et quemadmodum vultures prata multa multaque loca

[83] Joan. VII, 51.

(1) Αἰτοῦμαι. Totus hic locus usque ad τοῖς ὑστέροις non S. Basilii, sed Eunomii.
(2) Ἐπιφράξασθαι Regius codex, ἐμφράξασθαι.
(3) Ex epist. CCXXVI, 346.
(4) Ibid., 349.
(5) Ibid.
(6) Ibid., 346.
(7) Ex lib. I *adversus Eunom.*, 210.
(8) Ex epist. XCIV, 188.
(9) Ex epist. CCLXXII, 418.
(10) Ex hom. *De invidia*, 95.

amœna et odorata prætervolantes, feruntur ad graveolentia, et quemadmodum muscæ quod sanum est prætereuntes, ad ulcera properant : ita invidi vitæ splendorem et recte factorum magnitudinem ne aspiciunt quidem, sed in marcida et putrida irruunt. Est igitur operæ pretium ut qui recte sapiunt, idem quod Alexander factitent : (1) qui cum epistolam contra medicum ut insidiatorem accepisset, atque hoc ipso tempore medicamentum ad bibendum sumeret, tantum abfuit ut fidem adhiberet calumnianti, ut simul legeret epistolam, et potionem biberet. (2) Et qui in proximum calumnias effundunt, eorum quæ dicunt argumenta non proferentes, comperientur sibi ipsi nomen pravum asciscere ex illegitimo verborum usu. Calumniantem enim quomodo vocare convenit, nisi ei cognomen, quod ex ipsa re profitetur, imponendo? Neque igitur is qui nobis conviciatur, diabolus sit, sed frater sit, admonens in charitate, et ad emendationem arguens; neque vos conviciorum auditores sitis, sed argumentorum judices : neque ii, quibus maledicitur, incurati relinquantur, suo illis non indicato delicto. (3) Nam et convicti peccatum suum agnoscent : et vobis, postquam convicti fuerint, venia erit apud Dominum, quod vos ex peccatorum communione subtraxeritis : et qui convicerint, mercedem habebunt, ut qui occultam **569** malitiam patefecerint. Sed si antequam convincantur, eos condemnetis; ipsi quidem nihil lædentur, nisi quod rei omnium nobis pretiosissimæ, charitatis vobiscum intercedentis, jacturam facient; vos vero et hoc idem pati, si eos non habeatis, et cum Evangelio videbimini pugnare dicenti : *Nunquid lex nostra judicat hominem, nisi prius audierit et cognoverit quid faciat*[54]? (4) Nolite, fratres reverendissimi, nolite hoc ferre, (5) hanc nostram obtestationem ne eludatis, (6) ne ad nos perveniat formidanda prophetia Domini nostri, qui dixit : *Quoniam abundavit iniquitas, refrigescet charitas multorum*[55].

3. (7) Nam sicut rubigo lues est frumenti propria, sic invidia amicitiæ est morbus. Et quemadmodum ex bono consequens est, ut invidia careat, sic invidia diabolum sequitur. (8) Et sicut rubigo ferrum, sic invidia infectam ipsa animam absumit. Imo vero quemadmodum viperas tradunt

A λοὺς μὲν λειμῶνας, πολλοὺς δὲ ἡδεῖς καὶ εὐώδεις τόπους ὑπεριπτάμενοι· καὶ αἱ μυῖαι τὸ μὲν ὑγιαῖνον παρατρέχουσι, πρὸς δὲ τὸ ἕλκος ἐπείγονται· οὕτω καὶ οἱ βάσκανοι, τὰς μὲν τοῦ βίου λαμπρότητας καὶ τὰ μεγέθη τῶν κατορθουμένων οὐδὲ προσβλέπουσι, τοῖς δὲ σαθροῖς ἐπιτίθενται. Τοὺς οὖν ὀρθὰ φρονοῦντας τὸ τοῦ Ἀλεξάνδρου ποιεῖν προσήκει· ἐς ἐπιστολὴν κατὰ τοῦ ἰατροῦ δεξάμενος ὡς ἐπιβουλεύοντος, ἐπειδὴ ἔτυχεν ἐν αὐτῷ τῷ καιρῷ φάρμακον λαβὼν ὥστε πιεῖν, τοσοῦτον ἀπέσχε πιστεῦσαι τῷ διαβάλλοντι, ὡς ὁμοῦ τε τὴν ἐπιστολὴν ἀνέγνωσκε, καὶ τὸ φάρμακον ἔπινεν. Οἱ τοίνυν τῷ πλησίον καταχέοντες λοιδορίας, τὸν δὲ τῶν λεγομένων ἔλεγχον μὴ ἐπάγοντες, φανήσονται πάντως πονηρὰν ἑαυτοῖς προσηγορίαν ἐπενεγκόντες ἐκ τῆς ἀτόπου B τῶν λόγων χρήσεως. Τὸν γὰρ διαβάλλοντα πῶς ἄλλως προσῆκεν ὀνομάζειν, ἢ οὐχὶ ἣν ἐξ αὐτοῦ τοῦ πράγματος ἐπιτηδεύει προσηγορίαν ἑαυτῷ τιθεμένους; Μήτε οὖν ὁ λοιδορῶν διάβολος ἔστω, ἀλλ' ἀδελφὸς (9), ἐν ἀγάπῃ νουθετῶν, καὶ ἐπὶ διορθώσει ἐπάγων τὸν ἔλεγχον· μήτε ὑμεῖς λοιδοριῶν γένησθε ἀκροαταὶ, ἀλλ' ἐλέγχων δοκιμασταί· μήτε οἱ λοιδορούμενοι ἀνιάτρευτοι καταλειφθῶσι, μὴ φανερουμένης τῆς ἁμαρτίας αὐτῶν. Ἐλεγχθέντες μὲν γὰρ, καὶ αὐτοὶ τὴν ἁμαρτίαν αὐτῶν ἐπιγνώσονται· καὶ ὑμεῖς μετὰ τοὺς ἐλέγχους συγγνώμην ἕξετε παρὰ τῷ Κυρίῳ (10), ἐκ τῆς τῶν ἁμαρτωλῶν κοινωνίας ἑαυτοὺς ὑποστέλλοντες· καὶ οἱ ἐλέγξαντες μισθὸν ἕξουσιν, ὡς τὴν κεκρυμμένην κακίαν δημοσιεύσαντες. Ἐὰν δὲ πρὸ τῶν ἐλέγχων καταδικάζητε, αὐτοὶ μὲν C οὐδὲν ἔσονται ἠδικημένοι, ἐκτὸς τοῦ ζημιωθῆναι τὸ πάντων ἡμῖν τιμιώτατον κτῆμα, τὴν πρὸς ὑμᾶς ἀγάπην· ὑμεῖς δὲ καὶ τοῦτο αὐτὸ (11) πείσεσθαι (12), αὐτοὺς οὐκ ἔχοντες, καὶ τῷ Εὐαγγελίῳ δόξετε μάχεσθαι τῷ εἰπόντι· *Μὴ ὁ νόμος ὑμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρῶτον καὶ γνῷ τί ποιεῖ;* Μὴ ταῦτα, ἀδελφοὶ τιμιώτατοι, μὴ ἀνάσχησθε τούτων, μηδὲ παραλογίσασθε ἡμῶν τὴν παράκλησιν ταύτην, ἵνα μὴ φθάσῃ εἰς ἡμᾶς ἡ φοβερὰ τοῦ Κυρίου ἡμῶν προφητεία, εἰπόντος· *Ὅτι διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν.*

3. Ὥσπερ γὰρ ἡ ἐρυσίβη ἴδιόν ἐστι τοῦ σίτου νόσημα· οὕτως ὁ φθόνος φιλίας ἐστὶν ἀῤῥώστημα. D Καὶ ὥσπερ ἕπεται τῷ ἀγαθῷ τὸ μὴ φθονεῖν, οὕτως ἀκολουθεῖ τῷ διαβόλῳ ἡ βασκανία. Καὶ ὥσπερ ἰὸς τὸν σίδηρον, οὕτως ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν ψυχὴν (13) ἐξαναλίσκει. Μᾶλλον δὲ, ὥσπερ τὰς ἐχίδνας φασὶ τὴν

[54] Joan. VII, 51. [55] Matth. XXIV, 12.

(1) Ex epist. CCLXXII, 419.
(2) Ex epist. CCIII, 301.
(3) Ibid., 300.
(4) Ibid., 301.
(5) Ibid., 302.
(6) Ibid., 301.
(7) Ex hom. *De invidia*, 94.
(8) Ibid., 91.
(9) *Ἀδελφός*. Sic contextus et uterque codex. Editi ἀδελφόν. Paulo ante legendum videtur, τοῦ πλησίον καταχέοντες.

(10) *Παρὰ τῷ Κυρίῳ*. Sic Regius codex et contextus. Editi, παρὰ τοῦ Κυρίου.
(11) *Τοῦτο αὐτό*. Ope ejusdem codicis et contextus emendatæ lectiones vulgatæ, τούτῳ αὐτῷ, et paulo post κρίνῃ τὸν ἀνθρώπων, et ἡμῖν τὴν παράκλησιν.
(12) *Πείσεσθαι*. Legendum videtur esse πείσεσθε. Edit.
(13) *Ψυχήν*. Hanc vocem ex contextu addidimus. Legitur in Regio codice τὸν ἔχοντα αὐτόν

κυήσασαν αὐτὰς γαστέρα διεσθιούσας (1) ἀπογεννᾶσθαι· οὕτω καὶ ὁ φθόνος τὴν ὠδίνουσαν ψυχὴν πέφυκε διασπᾷν. Ὁ βασκαίνων μίαν ἀναμένει τοῦ κακοῦ ῥᾳστώνην, εἴ πού τινα ἴδοι καταπεσόντα τῶν φθονουμένων. Οὗτος ὅρος τοῦ μίσους, ἄθλιον ἰδεῖν ἐκ μακαρίου τὸν βασκαινόμενον, ἐλεεινὸν γενέσθαι τὸν ζηλωτόν. Τότε σπένδεται καὶ φίλος ἐστὶν, ὅταν δακρύοντα ἴδῃ, ὅταν πενθοῦντα θεάσηται· καὶ εὐθυμοῦντι μὲν οὐ συνευφραίνεται, ὀδυρομένῳ δὲ συνδακρύει. Καὶ τὴν μεταβολὴν τοῦ βίου, ἐξ οἵων εἰς οἷα μεταπέπτωκε, κατοικτίζεται, οὐχ ὑπὸ φιλανθρωπίας καὶ τοῦ συμπαθὴς εἶναι, ἐξαίρων τῷ λόγῳ τὰ πρότερα (2), ἀλλ' ἵνα βαρυτέραν αὐτῷ κατασκευάσῃ τὴν συμφοράν. Τοιοῦτος ἦν ὁ Σαοὺλ, ὃς τῶν εὐεργεσιῶν τὰς ὑπερβολὰς ἀφορμὴν τοῦ πολέμου πρὸς τὸν Δαβὶδ ἐποιήσατο, καὶ ἐπειρᾶτο δόρατι διαπεῖραι τὸν B εὐεργέτην. Σὺν αὐτῷ γὰρ τῷ στρατῷ ἐκ τῶν πολεμίων περισωθεὶς, καὶ τῆς ἐπὶ τῷ Γολιὰθ αἰσχύνης ἀπαλλαγεὶς, αὐτόχειρ γενέσθαι, καὶ ἐξ ἐνέδρας ἀνελεῖν ἐπεχείρησεν· εἶτα φυγάδα καταστήσας, οὐδὲ οὕτω τὴν ἔχθραν ἔστησεν, ἀλλὰ τὸ τελευταῖον ἐκστρατεύσας ἐπ' αὐτὸν τρισχιλίοις λογάσι, τὰς ἐρημίας διηρευνᾶτο. Ὥς γε παρ' αὐτὸν τὸν καιρὸν τῆς διώξεως καταληφθεὶς, ἕτοιμος εἰς σφαγὴν προκείμενος τῷ ἐχθρῷ, πάλιν περισωθεὶς ὑπὸ τοῦ δικαίου, ἐπαγαγεῖν αὐτῷ τὰς χεῖρας διαφυλαξαμένου, οὐδ' ὑπὸ ταύτης τῆς εὐεργεσίας ἐκάμφθη· ἀλλὰ καὶ πάλιν ἐστρατολόγει, καὶ πάλιν ἐδίωκεν, ἕως καὶ δεύτερον ἁλοὺς ὑπὸ τοῦ αὐτοῦ ἐν τῷ σπηλαίῳ, τοῦ μὲν τὴν ἀρετὴν λαμπροτέραν ἀπέδειξεν, ἑαυτοῦ δὲ τὴν πονηρίαν C καταφανεστέραν ἐποίησεν (3). Οὕτω καὶ περὶ τὸν Ἰωσὴφ οἱ ἀδελφοὶ διατίθενται, οὐκ εἰδότες ὅ τι πράττουσιν. Εἰ μὲν γὰρ ἀληθῆ τὰ ἐνύπνια τοῦ Ἰωσὴφ, τίς μηχανὴ μὴ οὐχὶ πάντως ἐκβῆναι τὰ προῤῥηθέντα; εἰ δὲ ψευδεῖς αἱ τῶν ὀνειράτων ὄψεις, ἀντὶ τίνος βασκαίνουσι τῷ σφαλλομένῳ; Ἀλλ' ὄντως ἴδιόν τι πάθος ἐστὶ τοῦ διαβόλου ὁ φθόνος, ὁ ἐκλαληθῆναι μὴ δυνάμενος, ὁ (4) ἰατρείαν οὐκ ἐπιδεχόμενος. Ὁ κεφαλαλγῶν λέγει τῷ ἰατρῷ τὴν κεφαλαλγίαν· ὁ φθόνον νοσῶν τί εἴπῃ; Λυπεῖ με τὰ τοῦ ἀδελφοῦ ἀγαθά; Ἡ μὲν ἀλήθεια αὕτη, τὰ δὲ ῥήματα ἕκαστος ἐπαισχύνεται. Τί στενάζεις; ἴδιον κακὸν, ἢ ἀλλότριον ἀγαθόν; Ὄντως ἴδιόν ἐστι κακὸν τοῦ διαβόλου ὁ φθόνος. Καθάπερ γὰρ τῶν βελῶν τὰ βιαίως φερόμενα, ἐπειδὰν καρτερῷ τινι καὶ ἀντιτύπῳ προσπέσῃ, ἐπὶ τὸν προέμενον ἐπανέρχεται· οὕτω τὰ τοῦ φθόνου κινήματα, οὐδὲν λυποῦντα τὸν βασκαινόμενον, αὐτοῦ πληγαὶ γίνονται τοῦ βασκάνου. Πολλὰ μὲν γὰρ ἔνεστι τῇ βασκανίᾳ κακὰ, ἓν δὲ χρήσιμον, ὅτι κακόν ἐστιν αὐτῷ τῷ κεκτημένῳ, καὶ μᾶλλον δαπανῶν τὴν καρδίαν, ἢ ὁ ἰὸς τὸν σίδηρον. Ὁ γὰρ βασκαίνων, αὐτὸν μὲν τὸν βασκαινόμενον ὀλίγα βλάπτει, ἑαυτὸν δὲ δαπανᾷ τῇ

(1) Διεσθιούσας. Reg. codex ἐσθιούσας.
(2) Τὰ πρότερα. Sic Reg. codex et contextus. Editi, τὸ πρότερον, et paulo post κατασκευάσηται, quod pariter eadem auctoritate freti mutavimus.
(3) Ἐποίησεν. Reg. codex εἰργάσατο.
(4) Ὁ ἐκλαληθῆναι μὴ δυνάμενος, ὁ. Hæc ad-

A exeso materno utero nasci : ita quoque solet invidia parientem se animam vorare. (5) Invidus ac malevolus unicum miseriæ suæ levamen exspectat, sicubi videat quempiam ex iis quibus invidet, ruentem. Hæc est odii meta, eum cui invidetur, miserum ex felici videre, et eum qui beatus habebatur, infelicem fieri. Tunc initur fœdus, et fit amicus cum viderit lacrymantem, cum lugentem conspexerit. Et vero non lætatur cum hilari, sed cum lugente lacrymatur. Atque vitæ mutationem, ex quibus in quæ exciderit, miseratur, non humanitate quapiam, nec ullo commiserationis sensu priorem statum verbis efferens, sed ut ei calamitatem graviorem efficiat. (6) Ejusmodi Saul erat, cui beneficiorum magnitudo bellum Davidi inferendi ansa erat et origo, atque conabatur accepti beneficii auctorem hasta transfigere. Is enim cum ipso exercitu ex hostium manibus incolumis ereptus, et eo qui a Goliath inurebatur dedecore liberatus, sua eum manu interimere, atque insidiis de medio tollere aggressus est : exinde Davide in fugam acto, ne sic quidem odio finem imposuit, sed postremum expeditione cum tribus electorum millibus adversus illum suscepta, deserta loca perscrutabatur. Ille scilicet ipso persecutionis tempore cum deprehensus fuisset, posseteque ab hoste facile occidi, cum iterum a justo, qui injicere in eum manus nolebat, servatus esset incolumis, nequaquam flexus est hoc beneficio : sed et rursus colligebat exercitum, et rursus illum persequebatur, quoad iterum ab eodem in spelunca interceptus, et ejus virtutem præstiterit illustriorem, et suam ipsius nequitiam manifestiorem reddiderit. De Josepho itidem ignari quid agerent ejus fratres, haud absimile quid fecerunt. Nam si vera quidem sunt insomnia Joseph, qua arte fieri possit, ut non omnino eveniant prænuntiata? sin autem falsa somniorum visa, cur invident aberranti? (7) Sed revera est diaboli proprium hoc malum, invidia : quæ **570** nec verbis exprimi potest, nec medelam admittit. Cui caput dolet, is medico declarat capitis dolorem : qui invidiæ morbo laborat, ecquid dixerit? Exhibent mihi molestiam fratris bona? Verum id est, at dicere unumquemque pudet. Quid D doles? tuumne ipsius malum an alienum bonum? Peculiare est haud dubie diaboli malum, invidia. (8) Quemadmodum enim jacula ingenti vi emissa, ubi in quidpiam durum ac renitens inciderint, revertuntur in jaculatorem : ita quoque invidiæ motus nihil lædentes eum cui invidetur, plagæ fiunt invidentis. (9) In invidia namque plurima insunt mala : sed unum utile est, quod malum fit possi-

dita ex contextu et Regio codice.
(5) Ex hom. *De invidia*, 92.
(6) Ibid.
(7) Ex hom. dicta in Lacizis, 594.
(8) Ex hom. *De invidia*, 94.
(9) Ex hom. dicta in Lacizis, 590.

denti, et exedit cor magis quam rubigo ferrum. Enimvero invidus invidioso nocet parum : sed se ipse mœrore gemituque ob proximi felicitatem absumit, nec imminuit divitias vicini, sed se ipse consumpsit per invidiam. (1) Quemadmodum enim curæ nobis est materiam, quæ facile ignem concipit, quam longissime ab igne submovere : sic operæ pretium est, quoad ejus fieri potest, amicitias ex invidorum consuetudine subducere, ut extra invidiæ tela constituamur. (2) Canes quidem nutriendo reddimus mansuetos : sed invidum conferendis beneficiis efficimus morosiorem. Nec enim iis quibus donatur bonis gaudet : sed opulentia aliorum mœret, quod ipsius inopiam habeant illi unde expleant. (3) Pantheris ipsis insita est naturalis quædam in hominem ira, et maxime solent hominibus in oculos involare. Itaque belluæ furorem ridere qui volunt, imaginem velut hominem ei in charta ponunt ob oculos. Illa autem præ nimia ira nihil cogitans, chartam velut hominem dilaniat, illicque suum in homines odium ostendit. Sic etiam diabolus suum in Deum odium patefecit in imagine, cum attingere Deum non posset.

4. (4) Velim itaque, o homo, maleficorum imitationem fugias, in infirmo animali astutias multas et insidias perspiciens ; cujusmodi istud est : Appetit ostreæ carnem cancer : sed difficilis captu est ei hæc præda, propter testæ munimentum. Nam infragili septo carnis teneritudinem natura communivit. Quapropter et hoc animal *ostracodermon* vocatur. Et quoniam duo cava, accurate sibi invicem conjuncta, ostream ambiunt et circumplectuntur, forcipes cancri necessario inefficaces sunt. Quid igitur molitur ? Cum viderit ostream in tranquillis locis non sine voluptate apricantem, et ad solis radios valvas suas explicantem : tunc, clanculum injecto calculo, plicaturam impedit, atque quod viribus deerat, id astu et dolo obtinere deprehenditur. Hæc est eorum quæ neque ratione, neque voce prædita sunt, malitia. Talis est qui ad fratrem fraudulenter accedit, adversamque proximi fortunam insidiose impetit, et alienis insultat calamitatibus. Verum neque polypi prætericrim dolum ac versutias, qui qualicunque tandem saxo adhæserit, illius induit colorem. Quamobrem **571** plerique pisces improvide natantes in polypum uti in petram incidunt, paratamque versuto illi prædam sese offerunt. Talibus moribus sunt præditi, qui semper potestatibus dominantibus assentantur, seseque ad quoslibet modos ususque accommodant, nec in eadem animi sententia persistunt, sed alii atque alii facile fiunt, et sententiam mutant ad uniuscujusque gratiam conciliandam. Quos difficile est evitare, sibique ab ipsorum nocumentis cavere, propterea quod eorum concinnata pravitas sub amicitiæ spe-

λύπῃ καὶ τῷ στεναγμῷ ἐπὶ τῇ εὐημερίᾳ τοῦ πλησίον, καὶ τὸν μὲν πλοῦτον τοῦ γείτονος οὐκ ἠλάττωσεν, ἑαυτὸν δὲ τῇ βασκανίᾳ κατεδαπάνησεν. Ὥσπερ οὖν τὴν εὐκατάπρηστον ὕλην ἐπιμελὲς ἡμῖν ὅτι πορρωτάτω τοῦ πυρὸς ἀποτίθεσθαι, οὕτω χρή, καθ' ὅσον οἷόν τε, τῆς τῶν βασκάνων ὁμιλίας τὰς φιλίας ἀπάγειν, ἔξω τῶν τοῦ φθόνου βελῶν ἑαυτοὺς ποιοῦντας. Τοὺς μὲν γὰρ κύνας τρέφοντες ἡμεροῦμεν· τὸν δὲ βάσκανον εὐεργετοῦντες χαλεπώτερον ἀπεργαζόμεθα. Οὐ γὰρ χαίρει ἐφ' οἷς ἂν πάθῃ χρηστοῖς, ἀλλὰ λυπεῖται τῇ ἑτέρων εὐπορίᾳ, ὅτι ἔχουσιν ὕλην ὅθεν αὐτῷ τὴν χρείαν πληρώσουσιν. Αἱ παρδάλεις φυσικήν τινα ἔχουσι πρὸς τὸν ἄνθρωπον ὀργὴν, καὶ πεφύκασι μάλιστα τοῖς ὀφθαλμοῖς τῶν ἀνθρώπων ἐφάλλεσθαι. Οἱ οὖν καταπαίζοντες τῆς μανίας τοῦ θηρίου, ἐν χάρτῃ εἰκόνα προδεικνύουσιν ὡς ἄνθρωπον. Ἡ δὲ ὑπὸ τῆς ἄγαν ὀργῆς μὴ λογιζομένη, ὡς ἄνθρωπον σπαράσσει τὸν χάρτην, κἀκεῖ δείκνυσι τὸ μισάνθρωπον. Οὕτω καὶ ὁ διάβολος ἐν τῇ εἰκόνι τὸ μισόθεον ἔδειξεν, ἐπειδὴ Θεοῦ προσάψασθαι οὐκ ἐδύνατο.

4. Τοιγαροῦν βούλομαί σε φυγεῖν τῶν κακούργων τὴν μίμησιν, ἄνθρωπε, καὶ ἐν ἀσθενεῖ ζώῳ πολὺ τὸ πανοῦργον καὶ ἐπίβουλον καταμαθόντα· οἷόν τι λέγω· Ὁ καρκίνος τῆς σαρκὸς ἐπιθυμεῖ τοῦ ὀστρέου· ἀλλὰ δυσάλωτος ἡ ἄγρα αὐτῷ διὰ τὴν περιβολὴν τοῦ ὀστράκου· ἀῤῥαγεῖ γὰρ ἑρκίῳ τὸ ἁπαλὸν τῆς σαρκὸς ἡ φύσις κατησφαλίσατο. Διὸ καὶ *ὀστρακόδερμον* προσηγόρευται. Καὶ ἐπειδὴ δύο κοιλότητες ἀκριβῶς ἀλλήλαις προσηρμοσμέναι τὸ ὄστρεον περιπτύσσονται, ἀναγκαίως ἄπρακτοί εἰσιν αἱ χηλαὶ τοῦ καρκίνου. Τί οὖν ποιεῖ; Ὅταν ἴδῃ ἐν ἀπηνέμοις χωρίοις μεθ' ἡδονῆς διαθαλπόμενον, καὶ πρὸς τὴν ἀκτῖνα τοῦ ἡλίου τὰς πτύχας ἑαυτοῦ διαπλῶσαν (5), τότε δὴ λάθρα ψηφῖδα παρεμβαλὼν, διακωλύει τὴν σύμπτυξιν, καὶ εὑρίσκεται τὸ ἐλλεῖπον τῆς δυνάμεως διὰ τῆς ἐπινοίας περισχόμενος (6). Αὕτη ἡ κακία τῶν μήτε λόγου μήτε φωνῆς μετεχόντων. Τοιοῦτός ἐστιν ὁ πρὸς τὸν ἀδελφὸν πορευόμενος δόλῳ, καὶ ταῖς τοῦ πλησίον ἀκαιρίαις ἐπιτιθέμενος, καὶ ταῖς ἀλλοτρίαις συμφοραῖς ἐντρυφῶν. Ἀλλ' οὐκ ἂν παρέλθοιμι τὸ τοῦ πολύποδος δολερὸν καὶ ἐπίκλοπον (7), ὃς ὁποίᾳ ποτ' ἂν ἑκάστοτε πέτρᾳ περιπλακῇ, τὴν ἐκείνης ὑπέρχεται χρόαν. Ὥστε τοὺς πολλοὺς τῶν ἰχθύων ἀπροόπτως νηχομένους τῷ πολύποδι περιπίπτειν, τῇ πέτρᾳ δῆθεν, καὶ ἕτοιμον γίνεσθαι θήραμα τῷ πανούργῳ. Τοιοῦτοί εἰσι τὸ ἦθος οἱ τὰς ἀεὶ κρατούσας δυναστείας ὑπερχόμενοι, καὶ πρὸς τὰς ἑκάστοτε χρείας μεταρμοζόμενοι, μὴ ἐπὶ τῆς αὐτῆς προαιρέσεως βεβηκότες, ἀλλ' ἄλλοι καὶ ἄλλοι ῥᾳδίως γινόμενοι, καὶ πρὸς τὴν ἑκάστου ἀρέσκειαν τὰς γνώμας μετατιθέμενοι. Οὓς οὐδὲ ῥᾴδιον ἐκκλῖναι, οὐδὲ τὴν ἀπ' αὐτῶν φυλάξασθαι βλάβην, διὰ τὸ ἐν τῷ προσχήματι τῆς φιλίας βαθέως κατεσκευ-

(1) Ex hom. *De invidia*, 94.
(2) Ex hom. dicta in Lacizis, 594.
(3) Ibid., 695.
(4) Ex hom. VII *in Hexaem.*, 65.
(5) *Διαπλῶσαν*. Sic Regius codex, melius quam editi et contextus διαπλώσαντα.
(6) *Περισχόμενος*. Satis commode Regius codex περιεργχόμενος, *captans*. Contextus περιεχόμενος.
(7) *Ἐπίκλοπον*. Sic Regius codex et contextus. Editi, ἐπίπλοκον.

σμένην τὴν πονηρίαν κατακεκρύφθαι. Τὸ γὰρ μῖσος A ἐν τῷ βάθει κατέχοντες, ἀγάπῃ δεικνύουσι κατακεχρωσμένην τὴν ἐπιφάνειαν, κατὰ τὰς ὑφάλους πέτρας, αἳ βραχεῖ ὕδατι καλυπτόμεναι, κακὸν ἀπροόρατον τοῖς ἀφυλάκτοις γίνονται. Χρὴ τοίνυν πρὸς τὰς διαβολὰς μὴ ἀποσιωπᾷν, οὐχ ἵνα διὰ τῆς ἀντιλογίας ἑαυτοὺς ἐκδικῶμεν, ἀλλ' ἵνα μὴ συγχωρῶμεν εὐοδωθῆναι τῷ ψεύδει (1), καὶ τοὺς ἠπατημένους μὴ ἐναφῶμεν τῇ βλάβῃ. Τρισὶ γὰρ ὁμοῦ προσώποις τὴν βλάβην προστρίβεται ὁ διαβάλλων· τόν τε γὰρ συκοφαντούμενον ἀδικεῖ, καὶ πρὸς οὓς ὁ λόγος ἐστὶν αὐτῷ, καὶ αὐτὸς ἑαυτόν. Τὸ μὲν οὖν συκοφαντεῖν καὶ διαβάλλειν τινὰς ἐξ ἀκολάστου γλώσσης καὶ γνώμης ἀγνώμονος, πονηρῶν καὶ φιλαπεχθημόνων ἀνθρώπων ἔργον εἰδότες· τὸ δὲ, τοὺς ἐκ διαβολῆς δόξαντας εἶναι πονηροὺς, πάσῃ προθυμίᾳ πειρᾶσθαι (2) τὸ ψεῦδος B τοῖς ἐλέγχοις ἀποτρέπειν, ἀνδρῶν σωφρόνων, καὶ μετὰ τῆς ἰδίας εὐβουλίας τὴν τῶν πολλῶν ἀσφάλειαν περὶ πολλοῦ ποιουμένων. Τὴν μὲν τῶν (3) προτέρων κακίαν ἐκφύγωμεν, τῶν δὲ μὴ τοιούτων τὴν πολιτείαν ἐκζηλώσωμεν, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

cie alte contegitur. (4) * Intimum enim in cordis profundo continentes odium, coloratam amicitia superficiem ostendunt, latentium in mari scopulorum more, qui quidem aqua occultati modica, improvisum incautis malum afferunt. (5) Ad calumnias igitur minime obmutescendum est : non ut refellendo nos ipsi vindicemus, sed ne prosperos successus habere mendacio permittamus, neque deceptis offensionem accipere sinamus. (6) Tribus enim damnum simul afferre calumniator solet; primum ei quem falso insimulat; illi deinde apud quem accusat; postremum, ipse sibi. (7) Cum igitur calumniari, et petulanti lingua ac improba mente aliquibus detrahere, opus sciamus esse hominum flagitiosorum, seque simultatibus oblectantium : qui autem per calumniam pravi esse visi sunt, si omni studio mendacium redarguendo propulsare conentur, id opus esse virorum, qui probi sunt, quique sibi privatim bene consulentes, multorum securitatem plurimi faciunt. Priorum fugiamus malitiam; horum vero, qui illis maxime sunt dissimiles, vitæ rationem et institutum imitemur, ut futurorum etiam bonorum participes efficiamur, in Christo Jesu Domino nostro, cui gloria, et potestas, nunc et semper et in sæcula sæculorum. Amen.

ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ ΚΑΙ ΑΚΟΛΑΣΙΑΣ.

ΛΟΓΟΣ ΙΘ'.

1. Ὁ τῶν Μακεδόνων Ἀλέξανδρος, τὰς θυγατέρας Δαρείου αἰχμαλώτους λαβὼν, θαυμαστόν τι οἷον C τὸ κάλλος παρέχειν μαρτυρουμένας, οὐδὲ προσιδεῖν ἠξίωσεν, αἰσχρὸν εἶναι λέγων, τὸν ἄνδρας ἑλόντα, γυναικῶν ἡττηθῆναι. Τουτὶ δὲ εἰς ταυτὸν ἐκείνῳ φέρει τὸ παράγγελμα, ὅτι *Ὁ ἐμβλέψας πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν*· ἤγουν ὁ ἐμβλέψας πρὸς ἡδονὴν γυναικὶ, κἂν μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ, ἀλλὰ τῷ γε τὴν ἐπιθυμίαν τῇ ψυχῇ παραδέξασθαι, οὐκ ἀφίεται τοῦ ἐγκλήματος. Εἰ οὖν αἱ ἀπὸ ταυτομάτου συντυχίαι τοῖς περιέργως κατασκοποῦσι τοσοῦτον ἔχουσι κίνδυνον, πόσον αἱ κατ' ἐπιτήδευσιν γινόμεναι ἀπαντήσεις, ὥστε ἰδεῖν γυναῖκας ἀσχημονούσας καὶ κατασχηματιζομένας πρὸς ἔκλυσιν, καὶ μέλη τεθρυμμένα ᾀδούσας, δυνάμενα καὶ μόνον ἀκουσθέντα πάντα οἶστρον ἡδονῆς ἐμποιῆσαι τοῖς ἀκολάστοις; Τί τοίνυν ἐροῦσιν, ἢ τί ἀπολογήσονται, D οἱ ἐκ τοιούτων θεαμάτων μυρίον ἐσμὸν τῶν κακῶν συλλεξάμενοι; Οὐκοῦν ὑπόδικοί εἰσι κατὰ τὴν ἀπαραίτητον ἀπόφασιν τοῦ Κυρίου, τῷ κρίματι τῆς μοιχείας. Ἔστι γὰρ καὶ λόγῳ πορνεῦσαι, καὶ ὀφθαλμῷ μοιχεῦσαι, καὶ δι' ἀκοῆς μολυνθῆναι, καὶ τῇ καρδίᾳ μιάσματα δέξασθαι, καὶ τῇ

DE TEMPERANTIA ET INCONTINENTIA.

SERMO XIX.

1. (8) Alexander Macedonum rex, cum filias Darii captivas haberet, quarum incredibilis prædicabatur pulchritudo, ne aspicere quidem dignatus est, turpe esse inquiens, virorum victorem vinci a mulieribus. Hoc tendit ad illud ipsum præceptum, *Qui viderit feminam ad concupiscendum, jam mœchatus est eam* [88] : videlicet qui aspexerit mulierem libidinose, quanquam adulterium opere non commisit, quoniam tamen concupiscentiam in animum admisit, crimine non vacat. (9) Si igitur ob fortuitos casus tantum periculum impendet obiter conspicientibus, quantum futurum est ob occursus qui de industria fiunt, ut videantur mulieres indecore se gerentes, suosque gestus componentes ad lasciviam, et cantilenas molles canentes, quæ vel auditæ solum, omne voluptatis œstrum lascivientibus ingerere possunt? Quid igitur dicent, aut quid causabuntur, qui ex ejusmodi spectaculis ingens malorum examen sibi collegere? Obnoxii igitur 572 sunt judicio adulterii secundum inevitabilem Domini sententiam. (10) Nam possumus et sermone adulterari, et oculis mœchari, ipso quoque inquinari auditu, dignaque piaculo flagitia corde ad-

[88] Matth. v, 28.

(1) *Τῷ ψεύδει*. Regius codex τὰ ψεύδη.
(2) *Πειρᾶσθαι*. Ita codex Regius et contextus. Editi πειραθῆναι.
(3) *Τὴν μὲν τῶν*. Idem codex, δεῖ οὖν ἡμᾶς τὴν μὲν τῶν... ἐκφυγεῖν, τῶν δὲ μὴ... ζηλοῦν.
(4) Uterque codex indicat Ethic.

(5) Ex epist. CCVII, 309.
(6) Ex epist. CCIV, 304.
(7) Ex lib. I *adversus Eunomium*, 209.
(8) Ex serm. *De legendis libris gent.*, 179.
(9) Ex hom. *in ebriosos*, 129.
(10) Uterque codex indicat comment. *in Isa.*

mittere, necnon immoderato cibi potusque usu
temperantiæ finibus excidere. Qui vero per continentiam sub virginitatis regula in his omnibus permanserit, is palam ostendit se prorsus perfectæ virginitatis gratia donatum. (1) Si quis autem verbo virginitatem professus, reipsa quæ conjugatorum sunt facit, palam est eum virginitatis quidem honestatem persequi, sed nequaquam ab indecora voluptate abstinere.

2. (2) Neque igitur qui inæqualis est animi circa castitatem, purus est; sed qui carnis petulantiam subjecit spiritui. Qui vero temperantiæ desiderio capitur, historiam Josephi sæpius evolvat, atque hinc egregia temperantiæ facinora discat, quem non solum temperantem voluptatibus reperiet, sed summum virtutis habitum habuisse. (3) Est enim hortamentum ad castitatem vita Josephi: incitamentum vero ad fortitudinem historia Sampsonis est. (4) Verum temperantem continentemque non eum dicimus, in quo præ senio vel morbo, aut alio quopiam casu exstincti sint libidinis appetitus. Huic enim insidet quidem vitium ipsum : actio vero præpeditur per organorum infirmitatem. Sed continentia vera est facultas cognitionis conciliatrix, quæ in intimo animæ recessu impressa, intestina turpium motuum vestigia delet. (5) Laudari ergo ob castitatem non debent quibus abscissa genitalia. Neque enim equos, quod cornu non feriant, laudamus: sed eos quidem, si non calcitrent, laudamus; in bobus autem, si cornu non feriant, mansuetudinem merito probamus. Non enim in quo quis non potest, sed in quo cum possit, ad injuriam potestate non utitur, admirationem habet. (6) Itaque continentia in senectute, continentia non est : sed animus ad lasciviendum invalidus. Mortuus non coronatur : nemo ideo justus, quod ei mali faciendi facultas non sit. (7) Quapropter corpus castigandum est et cohibendum, haud secus ac impetus cujusdam belluæ; atque ii tumultus qui ab ipso in anima excitantur, ratione veluti flagro compescendi sunt, non autem habenis voluptati omnino laxatis negligenda mens est, adeo ut quasi auriga qui ab equis effrenis violenterque agitatis abreptus sit, ducatur. Nec abs re erit Pythagoræ meminisse, qui cum didicisset aliquem ex familiaribus sese et exercitationibus et escis valde admodum saginare, et carnosum reddere: Sic, inquit, non desines graviorem tibimetipsi carcerem exstruere? Unde dicunt et Platonem, provenientis a corpore noxæ præscium, insalubrem Atticæ locum Academiam de industria elegisse, ut

A περὶ τὴν βρῶσιν καὶ πόσιν ἀμετρίᾳ ἐκπεσεῖν τῶν ὅρων τῆς σωφροσύνης. Ὁ δὲ ἐν τούτοις πᾶσιν ὑπὸ τὸν κανόνα τῆς παρθενίας ἑαυτὸν ἐγκρατείᾳ φυλάσσων, ἀληθῶς δείκνυσι τελείαν ἑαυτῷ διὰ πάντων ἐξηρτισμένην τῆς παρθενίας τὴν χάριν. Ἐὰν δὲ ἐπαγγελλόμενός τις τῷ τῆς παρθενίας ὀνόματι, ἔργῳ (8) τὰ τῶν γυναιξὶ συνοικούντων ποιῇ, δῆλός ἐστι τὸ ἐκ τῆς παρθενίας σεμνὸν διώκων, τοῦ δὲ καθ' ἡδονὴν ἀπρεποῦς μὴ ἀφιστάμενος.

2. Οὐχ ὁ ἀνωμάλως οὖν ἔχων περὶ τὴν σωφροσύνην (9), καθαρός· ἀλλ' ὁ τὸ φρόνημα τῆς σαρκὸς ὑποτάξας τῷ πνεύματι. Ὁ δὲ σωφροσύνης ἐρῶν, τὴν περὶ τοῦ Ἰωσὴφ ἱστορίαν συνεχῶς ἀνελίσσων, παρ' αὐτοῦ τὰς σωφρονικὰς ἐκδιδασκέσθω πράξεις, εὑρίσκων αὐτὸν οὐ μόνον ἐγκρατῶς πρὸς τὰς ἡδονὰς B ἔχοντα, ἀλλὰ καὶ ἑκτικῶς (10) πρὸς ἀρετὴν διακείμενον. Προτροπὴ γὰρ πρὸς σωφροσύνην ὁ βίος τοῦ Ἰωσήφ, καὶ πρὸς ἀνδρίαν παράκλησις τὰ τοῦ Σαμψὼν διηγήματα. Σώφρονα δὲ λέγομεν, οὐχ ᾧ ἀπεμαράνθησαν (11) ὑπὸ γήρως, ἢ νόσου, ἢ ὑπὸ ἄλλου τινὸς συμπτώματος αἱ τῆς ἀκολασίας ὀρέξεις. Τούτῳ (12) γὰρ ἡ μὲν κακία ἐνυπάρχει· ἡ δὲ ἐνέργεια ἐκ τῆς τῶν ὀργάνων ἀσθενείας παραποδίζεται. Ἀλλὰ σωφροσύνη ἐστὶν ἀληθὴς ἐπιστημονικὴ δύναμις, ἐντυπωθεῖσα τῇ ψυχῇ διὰ βάθους, καὶ τὰ ἐνυπάρχοντα ἴχνη τῶν αἰσχρῶν κινημάτων ἐξαφανίζουσα. Οὐδὲ γὰρ ἐπὶ σωφροσύνῃ ἐπαινεῖσθαι προσήκει τοὺς ἀποκοπτομένους τὰ μόρια. Οὐδὲ γὰρ τοὺς ἵππους ὡς μὴ κερατίζοντας ἐπαινοῦμεν, ἀλλὰ τούτους μὲν, εἰ μὴ λακτίζουσιν, ἐπαινέσομεν· τοῖς δὲ βουσὶν, εἰ μὴ κε- C ρατίζουσι, τῆς ἡμερότητος ἀποδεξόμεθα. Οὐ γὰρ ἐν ᾧ μὴ δύναταί τις, ἀλλ' ἐν ᾧ δυνάμενος οὐκ εἰς ἀδικίαν κέχρηται τῇ δυνάμει, θαυμάζεται. Καὶ ἡ ἐν γήρᾳ σωφροσύνη, οὐ σωφροσύνη, ἀλλὰ ἀκολασίας ἀδυναμία. Νεκρὸς οὐ στεφανοῦται· οὐδεὶς δίκαιος, δι' ἀδυναμίαν κακοῦ. Ἅπαν μὲν οὖν κολάζειν τὸ σῶμα καὶ κατέχειν, ὥσπερ θηρίου τὰς ὁρμὰς, προσῆκε, καὶ τοὺς ἀπ' αὐτοῦ θορύβους ἐγγινομένους τῇ ψυχῇ οἱονεὶ μάστιγι τῷ λογισμῷ καθικνουμένους κοιμίζειν· ἀλλὰ μὴ πάντα χαλινὸν ἡδονῆς ἀνέντας περιορᾷν τὸν νοῦν, ὥσπερ ἡνίοχον, ὑπὸ δυσηνίων ἵππων ὕβρει φερόμενον, παρασυρόμενον ἄγεσθαι· καὶ τοῦ Πυθαγόρου μεμνῆσθαι (13), ὃς τῶν συνόντων τινὰ καταμαθὼν γυμνασίοις τε καὶ σιτίοις ἑαυτὸν εὖ D μάλα κατασαρκοῦντα, οὕτως ἔφη· Οὐ παύσῃ χαλεπώτερον σεαυτῷ κατασκευάζων τὸ δεσμωτήριον; Διὸ δὴ καὶ Πλάτωνά φασι τὴν ἐκ σώματος βλάβην προειδόμενον, τὸ νοσῶδες χωρίον τῆς Ἀττικῆς τὴν Ἀκαδημίαν καταλαβεῖν ἐξεπίτηδες, ἵνα τὴν εὐπάθειαν τοῦ σώματος, οἷον ἀμπέλου τὴν εἰς τὰ περιττὰ φορὰν, περικόπτῃ. Ἐγὼ δὲ καὶ σφαλερὰν εἶναι τὴν σωφροσύνην.

(1) Ex epist. LV, 149.
(2) Ex comment. *in Isa.*, 379.
(3) Ex hom. *in Gordium mart.*, 142.
(4) Ex comment. *in Isa*, 407.
(5) Ex lib. *De virg.*, n. 64.
(6) Ex hom. *in sanctum baptisma*, 118.
(7) Ex serm. *De legendis libris gent.*, 182.
(8) *Ἔργῳ*. Regius codex ἔργοις.
(9) *Περὶ τὴν σωφροσύνην*. Regius codex πρὸς

(10) *Ἑκτικῶς*. Sic ope Regii codicis emendavimus vulgatam scripturam εὐκτικῶς.
(11) *Ἀπεμαράνθησαν*. Sic etiam idem codex pro eo quod erat jn editis ἀπεμωράνθησαν.
(12) *Τούτῳ*. Sic emendavimus quod legebatur in editis τοῦτο. EDIT.
(13) *Τοῦ Πυθαγόρου μεμνῆσθαι*. Ita contextus et codex Regius. Editi, τὸ τοῦ Πυθαγόρου μιμεῖσθαι.

τ' ἄκρον εὐεξίαν ἰατρῶν ἤκουσα. Καὶ γὰρ ἡ ἄγαν A τοῦ σώματος ἐπιμέλεια αὐτῷ τε ἀλυσιτελὴς τῷ σώματι, καὶ πρὸς τὴν ψυχὴν ἐμπόδιόν ἐστι· τό γε ὑποπεπτωκέναι τούτῳ καὶ θεραπεύειν, μανία σαφής. Παντὸς τοίνυν ὑπεροπτέον τοῦ σώματος τῷ μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι μέλλοντι, ἢ τοσοῦτον ἀνθεκτέον αὐτοῦ, ὅσον, φησὶ Πλάτων, ὑπηρεσίαν φιλοσοφίας κτωμένους, ἐοικότα που λέγων τῷ Παύλῳ, ὃς παραινεῖ μηδεμίαν χρῆναι τοῦ σώματος ἔχειν πρόνοιαν εἰς ἐπιθυμιῶν ἀφορμήν.

nimis bonum corporis statum quasi superfluam quamdam vitis feracitatem amputaret. Ego autem corporis habitudinem summe bonam etiam periculosam esse a medicis audivi. Nimia enim corporis cura **573** et corpori ipsi inutilis est, et animæ officit; ei autem submittere se et obsequi, manifesta insania. (4) Totum igitur corpus contemnendum est ei, qui in ipsius voluptatibus quasi in cœno nolit volutari, aut tantum ei indulgendum est, in quantum, inquit Plato, philosophiæ inservit, non longe aliter locutus atque Paulus, qui monet nullam corporis habendam curam ad cupiditatum materiam [87].

3. Ἀλλὰ τὰ μὲν ἡμέτερα (1) τοιαῦτα. Γυναῖκες δὲ ἀκόλαστοι, ἐπιλαθόμεναι τοῦ φόβου τοῦ Θεοῦ, τοῦ πυρὸς τοῦ αἰωνίου καταφρονήσασαι, ἐν ἡμέρᾳ τοιαύτῃ, ὅτε αὐτὰς ἐχρῆν διὰ τὴν ἀνάμνησιν τῆς ἀναστάσεως καθῆσθαι ἐν τοῖς οἴκοις, καὶ ἔννοιαν λαμ- B βάνειν τῆς ἡμέρας ἐκείνης, καθ' ἣν ἀνοιγήσονται μὲν οἱ οὐρανοί, ἐπιφανήσεται δὲ ὁ Κριτὴς ἐξ οὐρανῶν, καὶ σάλπιγγες Θεοῦ, καὶ ἀνάστασις νεκρῶν, καὶ κρίσις δικαία, καὶ ἀντίδοσις ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ· ἀντὶ τοῦ ταῦτα ἔχειν ἐν τοῖς διαλογισμοῖς, καὶ ἐκκαθαίρειν μὲν αὐτῶν τὰς καρδίας ἀπὸ πονηρῶν ἐνθυμήσεων, ἐξαλείφειν δὲ τοῖς δάκρυσι τὰ προημαρτημένα, ἑτοιμάζεσθαι δὲ πρὸς ἀπάντησιν τοῦ Χριστοῦ κατὰ τὴν μεγάλην ἡμέραν τῆς ἐπιφανείας αὐτοῦ, ἀποσεισάμεναι τὸν ζυγὸν τῆς δουλείας τοῦ Χριστοῦ, καὶ ῥίψασαι ἀπὸ τῶν κεφαλῶν τὰ τῆς εὐσχημοσύνης (2) καλύμματα, καὶ καταφρονήσασαι τοῦ Θεοῦ, καταφρονήσασαι τῶν ἀγγέλων αὐτοῦ, καταναισχυντήσασαι πάσης ἄῤῥενος ὄψεως, σοβοῦσαι τὰς C κόμας, σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, πᾶσαν νέων ἀκολασίαν ἐφ' ἑαυτὰς προσκαλούμεναι (3), ἐν τοῖς πρὸ τῆς πόλεως Μαρτυρίοις χοροὺς συστησάμεναι, ἐργαστήριον τῆς οἰκείας αὐτῶν ἀσχημοσύνης τοὺς ἡγιασμένους τόπους πεποίηνται. Ἐμίαναν μὲν τὸν ἀέρα τοῖς ᾄσμασι τοῖς πορνικοῖς, ἐμίαναν δὲ τὴν γῆν τοῖς ἀκαθάρτοις ποσὶν, ἣν ἐν ταῖς ὀρχήσεσι κατεκρότησαν· θέατρον ἑαυταῖς νεανίσκων ὄχλον παραστησάμεναι, σοβάδες ὄντως καὶ παράφοροι παντελῶς, μανίας οὐδεμίαν ὑπερβολὴν ἀπολείπουσαι. Γελᾷς, εἰπέ μοι, καὶ τέρπῃ τέρψιν ἀκόλαστον, δακρύειν δέον καὶ στένειν ἐπὶ τοῖς φθάσασιν; ᾄσματα πόρνης φθέγγῃ, ἐκβαλοῦσα τοὺς ψαλμοὺς καὶ τοὺς ὕμνους οὓς ἐδιδάχθης; κινεῖς πόδας καὶ ἐξάλλῃ ἐκμανῶς, καὶ χορεύεις ἀχόρευτα, D δέον τὰ γόνατα κάμπτειν πρὸς τὰς προσκυνήσεις; Τίνας ὀδύρωμαι; τὰς κόρας τὰς ἀπειρογάμους, ἢ τὰς ἐν τῷ ζυγῷ τοῦ γάμου κατεχομένας; Αἱ μὲν γὰρ ἐπανῆλθον, τὴν παρθενίαν οὐκ ἔχουσαι, αἱ δὲ τὴν σωφροσύνην τοῖς ἀνδράσιν οὐκ ἐπανήγαγον· εἰ γάρ πού τινες καὶ τῷ σώματι τὴν ἁμαρτίαν διέφυγον, ἀλλὰ πάντως γε ταῖς ψυχαῖς τὴν φθορὰν ὑπεδέξαντο. Διὰ τοῦτο πᾶσα γυνὴ κακῶς κεχρημένη τῇ περι-

3. Verum nostræ sese ita res habent. (5) Mulieres lascivæ, timoris Dei oblitæ, æternum ignem aspernatæ, in illa ipsa die, cum ob resurrectionis memoriam oportuerat eas in domibus sedere, ac recordari diei illius, in qua aperientur cœli, et apparebit Judex e cœlis, et tuba Dei, et resurrectio mortuorum, et judicium justum, et redditio unicuique juxta opus suum; cum de his cogitare debuissent, suaque corda a pravis cogitationibus purgare, et priora peccata lacrymis delere, atque ad Christi occursum pro magno illo die apparitionis ejus sese præparare, servitutis Christi excusso jugo, velamentis honestatis a capite rejectis, contempto Deo, spretis ipsius angelis, virilem omnem aspectum citra pudorem ferentes, comas agitantes, trahentes tunicas, ac pedibus simul ludentes, omnem juvenum libidinem in seipsis provocantes, in martyrum basilicis pro mœnibus civitatis choros constituentes, loca sancta officinam obscenitatis suæ effecere. Cantilenis meretriciis ut aerem conspurcarunt, ita terram tripudiis pulsatam pedibus immundis fœdarunt; spectaculum sibi ipsis juvenum turbam undique statuentes, plane inverecundæ, prorsusque insipientes, nullum insaniæ modum omittentes. (6) Rides, dic mihi, ac gaudes gaudium impudicum, cum lacrymari ob præterita et ingemiscere oporteret? canis meretricias cantilenas, psalmis et hymnis, quod didicisti, ablegatis? moves pedes, et more insanientium exsilis, ducisque quas non deberes choreas, cum genua flexa oportuisset ad adorandum? Utras lugebo? puellasne nuptiarum inexpertas, an connubii jugo subditas? Illæ quidem amissa virginitate reversæ sunt, hæ vero pudicitiam maritis haud retulerunt : nam si quæ forte peccatum vitarunt corpore, omnino tamen in animis corruptionem susceperunt. (7) Quapropter omnis mulier vestimenti cultu abutens, eo spoliatum iri se exspectet. Quoniam enim incedunt etiam simul tunicas trahentes, quasi non utantur vestimento, sed abutantur, ideo jussæ sunt vestimenti gloria privari. Nam et Dominus indumenti honorem a nobis aufert, si eo deprehendimur indigne

[87] Rom. XIII, 14.

(1) *Ἡμέτερα*. Uterque codex, ὑμέτερα.
(2) *Εὐσχημοσύνης*. Sic Regius codex. Editi ἀσχημοσύνης.
(3) *Προσκαλούμεναι*. Sic uterque codex. Editi προκαλούμεναι.

(4) Ex serm. *De legendis libris gent.*, 182.
(5) Ex hom. *in ebriosos*, 123.
(6) Ibid., 129.
(7) Ex comment. *in Isa.*, 466.

uti, illud conculcantes et corporeis inquinamentis conspurcantes. Hoc autem vestimentum quodnam est? inquit. *Quicunque in Christo* 574 *baptizati estis, Christum induistis* [66], quem ab eis aufert Dominus, qui corpus proculcant per peccatum, et testamenti sanguinem pro polluto ac communi habent.

A βολῇ τῆς ἐσθῆτος, προσδοκάτω αὐτῆς τὴν ἀφαίρεσιν. Ἐπειδὴ γὰρ πορεύονται ἅμα σύρουσαι τοὺς χιτῶνας, ὡς μὴ χρώμεναι τῷ ἱματισμῷ, ἀλλὰ παραχρώμεναι, κελεύονται γυμνωθῆναι τῆς δόξης τοῦ ἱματισμοῦ. Ἀφαιρεῖται μέντοι καὶ ἀφ' ἡμῶν τὴν δόξαν τοῦ ἱματισμοῦ ὁ Κύριος, ἐὰν ἀναξίως αὐτῷ κεχρημένοι ῥυπανῶμεν, καταπατοῦντες αὐτὸν, καὶ τῶν σαρκικῶν μολυσμάτων ἀναπιμπλάντες. Τίς δὲ ὁ τοιοῦτος ἱματισμός; φησίν. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, ὃν ἀφαιρεῖ Κύριος ἀπὸ τῶν δι' ἁμαρτιῶν τὸ σῶμα καταπατούντων, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγουμένων.

4. (1) Mulieres igitur ob corporis pulchritudinem ac elegantiam nimium sibi arrogantes, sese supra cæteras efferunt, fastu inani utuntur, atque de re cito marcescente et evanescente gloriantur: deinde collum in sublime erectum ferunt, ut earum vultus valeant omnium oculis spectari. Pudica sane modestisque ornata moribus, defixis præ pudore in terram oculis, faciem habet deorsum demissam. Impudica vero et quæ pulchritudinis suæ laqueo captare ac venari multos in animum induxit, incedit surrecto collo: et in nutibus oculorum, impuritatem animæ declarat, atque aspectu ipso exitiosum quoddam virus jaculatur. Sane simile quiddam narrat rumor de basilisco, quem ferunt solo intuitu interficere spectatores. (2) Quia autem quidam colores a mulieribus ad decorandam faciem valde exquiruntur, albus, rubens, et alius niger: ac albus quidem candorem ementitur corporis; rubens in genis efflorescit; niger in modum lunæ in cornua curvatæ circum oculos supercilia depingit: hæc quoque se erepturum Dominus comminatur. Hæc quidem dicit, ne virorum circumveniatur continentia, neve ejusmodi picturis miserabilium oculi juvenum corripiantur. Improbi enim mulierem affectus infirmos eorum, qui cum illis versantur, animos demergunt. Audiant (3) viri, audiant mulieres, quomodo vel apud bruta animalia, frequentium nuptiarum dedecori anteponatur viduitatis pudicitia honestasque. (4) Alii inimici mortuis reconciliantur: novercæ odisse post mortem incipiunt. (5) Sed ferunt turturem a conjuge separatam, nunquam cum alio inire societatem, sed viduam permanere: utpote quæ ob prioris conjugis memoriam, alterius conjugium abnuat. (6) Quid igitur nobis esse possit miserius, qui non solum similem bestiis erga conjuges amorem non ostendimus, sed contrariam Domini præceptis ingredimur viam, surrecto collo, et in nutibus oculorum, colorumque fucis aliorum suffuramur temperantiam? (7) Quæ tum a nobis prorsus auferentur, cum omnia coram Judice sistentur nuda; quandoquidem concidet supercilium, gena præ se feret tristitiam, color lividus erit præ timore, ac recipiet unusquisque secundum opera sua. (8) Quæ ani-

4. Αἱ τοίνυν ἐπὶ τῷ τοῦ σώματος κάλλει μέγα φρονοῦσαι γυναῖκες, ὑπεραίρουσιν ἑαυτὰς τῶν λοιπῶν, ματαίῳ φρυάγματι κεχρημέναι, καὶ ἐπαιρόμεναι πράγματι ταχὺ ἀπανθοῦντι καὶ ἀποῤῥέοντι· ὑψηλόν τε τὸν τράχηλον φέρουσιν, ὑπὲρ τοῦ πᾶσιν αὐτῶν τὰ πρόσωπα εἶναι καταφανῆ. Ἡ μέντοι σεμνὴ B καὶ κοσμία, εἰς γῆν κατανεύουσα ὑπὸ αἰδοῦς, ἐπὶ τὰ κάτω καθελκόμενον ἔχει τὸ πρόσωπον· ἡ δὲ ἄσεμνος καὶ πολλοὺς ἀγρεῦσαι τῇ παγίδι τοῦ κάλλους προαιρουμένη, πορεύεται ὑψηλῷ τῷ τραχήλῳ, καὶ ἐν νεύμασιν ὀφθαλμῶν, καὶ τὴν ἀσέλγειαν τῆς ψυχῆς καταμηνύει τῷ βλέμματι, ἰόν τέ τινα φθαρτικὸν ἐξαποστέλλει τοῖς ὄμμασιν· ὁποῖον δή τι καὶ ὁ περὶ τοῦ βασιλίσκου κατέχει λόγος, ὅν φασι καὶ ἐκ μόνης τῆς ὄψεως διαφθείρειν τοὺς θεαθέντας. Ἐπειδὴ δέ ἐστί τινα χρώματα πρὸς κόσμον ταῖς γυναιξὶν ἐπιτηδευόμενα τοῦ προσώπου, λευκόν τι, καὶ ἐρυθρὸν, καὶ ἕτερον μέλαν ὂν (τὸ μὲν λευκότητα τοῦ σώματος καταψεύδεται, τὸ δὲ ἐρυθρὸν ταῖς παρειαῖς ἐπανθεῖ, τὸ δὲ μέλαν μηνοειδῶς τὰς ὀφρῦς C τοῖς ὀφθαλμοῖς περιγράφει)· καὶ αὐτὰ περιαιρήσειν ὁ Κύριος ἀπειλεῖ, ἵνα μὴ κλέπτηται, φησὶν, ἡ σωφροσύνη τῶν ἀνδρῶν, μηδὲ ταῖς ζωγραφίαις ταύταις ἐλεεινῶν νεωτέρων ὀφθαλμοὶ συναρπάζωνται· αἱ γὰρ πονηραὶ τῶν γυναικῶν διαθέσεις, τὰς ἀσθενεῖς ψυχὰς τῶν συνοικούντων καταβαπτίζουσιν. Ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν γυναῖκες, ὅπως τὸ σεμνὸν τῆς χηρείας, καὶ παρὰ τοῖς ἀλόγοις, τοῦ ἐν ταῖς πολυγαμίαις ἀπρεποῦς προτιμότερον. Οἱ μὲν ἄλλως πολέμιοι τοῖς τεθνηκόσι σπένδονται· αἱ δὲ μητρυιαὶ τοῦ μίσους μετὰ τὸν θάνατον ἄρχονται. Ἀλλὰ τὴν τρυγόνα φασὶ διαζευχθεῖσάν ποτε τοῦ ὁμόζυγος, μηκέτι τὴν πρὸς ἕτερον καταδέχεσθαι κοινωνίαν, ἀλλὰ μένειν ἀσυνδύαστον, μνήμῃ τοῦ ποτε συζευχθέντος τὴν πρὸς ἕτερον κοινωνίαν ἀπαρ- D νουμένην. Τί οὖν ἡμῶν γένοιτ' ἂν ἐλεεινότερον, μὴ μόνον τὴν αὐτὴν τοῖς ἀλόγοις περὶ τοὺς ὁμόζυγας μὴ ἐπιδεικνυμένων στοργὴν, ἀλλὰ καὶ τὴν ἐναντίαν τῶν τοῦ Κυρίου ἐντολῶν ὁδευόντων, ὑψηλῷ τραχήλῳ καὶ νεύμασιν ὀφθαλμῶν, καὶ σοφίσμασι χρωμάτων τὴν σωφροσύνην ὑποκλεπτομένων; Ἃ πάντως ἀφαιρεθήσεται τότε, ὅτε γυμνὰ πάντα παρίσταται τῷ Κριτῇ· ὅτε ὀφρὺς συμπεπτωκυῖα, καὶ παρειὰ κατηφής, καὶ χρῶμα πελιδνὸν ὑπὸ τοῦ φόβου καθίστα-

[66] Galat. III, 27.

(1) Ex comment. *in Isa.*, 464.
(2) Ibid., 467.
(3) Ex homil. VIII *in Hexaemer.*, 76.
(4) Ex epist. CLX, 251.
(5) Ex homil. VIII *in Hexaem.*, 76.
(6) Uterque codex indicat comment. *in Isa.*
(7) Ex comment. *in Isa.*, 467.
(8) Uterque codex indicat comment. *in Isa.*

ται· καὶ ἀπολήψεται ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ. Ἅπερ ἐν διανοίᾳ λαβόντες, ἀγαπητοί, σπεύσωμεν ὡς ἔστι καιρὸς, κατὰ τὰ δοκοῦντα τῷ Θεῷ πολιτεύεσθαι, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗΣ ΚΑΙ ΚΕΝΟΔΟΞΙΑΣ.
ΛΟΓΟΣ Κ'.

1. Ἀμήχανον τὸν μὴ καταδεξάμενον τὸ πρὸς πάντας ὑποδεὲς καὶ ἔσχατον, δυνηθῆναί ποτε ἢ λοιδορούμενον θυμοῦ κρατῆσαι, ἢ θλιβόμενον διὰ μακροθυμίας περιγενέσθαι τῶν πειρασμῶν. Ὁ δὲ τὴν ἄκραν ταπείνωσιν κατορθώσας, ἐν ταῖς λοιδορίαις πλείονα ἑαυτοῦ καταγνοὺς τὴν εὐτέλειαν, οὐ κινηθήσεται τὴν ψυχὴν ὑπὸ τῶν ῥημάτων τῆς ἀτιμίας. Ἀλλ' ἐὰν μὲν ἀκούσῃ πένης, οἶδεν ἑαυτὸν πτωχὸν ὄντα καὶ πάντων ἐνδεῆ, καὶ τῆς καθ' ἡμέραν παρὰ τοῦ Κυρίου χορηγίας δεόμενον. Ἐὰν δὲ ἀκούσῃ δυσγενὴς καὶ ἐξ ἀφανῶν, προειλημμένον ἔχει ἐν τῇ ἑαυτοῦ καρδίᾳ τὸ ἐκ πηλοῦ γεγενῆσθαι· καὶ ἁπαξαπλῶς, μέγας ἐκεῖνος παρὰ Θεῷ ὁ ταπεινοφρόνως κατακλιθεὶς τῷ πλησίον, καὶ ἀνεπαισχύντως ἐφ' ἑαυτὸν καταδεξάμενος τὰ ἐγκλήματα, κἂν μὴ ἀληθῆ ᾖ, ὑπὲρ τοῦ τὸ μέγα ὄφελος χαρίσασθαι τὴν εἰρήνην τῷ ἀδελφῷ. Ὁμοίως γάρ ἐστι χαλεπὸν, ἔν τε δυσκολίαις πραγμάτων ἀταπείνωτον τὴν ψυχὴν διασώσασθαι, καὶ ἐν ταῖς περιφανείαις μὴ ἐπαρθῆναι. Τῷ ὄντι γὰρ θεραπευόμενα τὰ ὑπερήφανα ἤθη, ἑαυτῶν ὑπεροπτικώτερα πέφυκε γίνεσθαι. Τῷ δὲ ταπεινῷ καὶ καταβεβλημένῳ φρονήματι ἕπεται στυγνὸν ὄμμα καὶ εἰς γῆν συννενευκὸς, σχῆμα ἠμελημένον, κόμη αὐχμηρὰ, ἐσθὴς ῥυπῶσα· ὥστε ἃ ποιοῦσιν οἱ πενθοῦντες κατ' ἐπιτήδευσιν, ταῦτα ἐκ τοῦ αὐτομάτου ἡμῖν ἐπιφαίνεται. Χιτὼν διὰ ζώνης προσεσταλμένος (1) τῷ σώματι· τὸ μέντοι ζῶσμα, μήτε ἄνω τῶν λαγόνων, γυναικῶδες γάρ· μήτε χαῦνον ὥστε διαῤῥεῖν τὸν χιτῶνα, βλακικὸν γάρ. Καὶ τὸ βάδισμα μήτε νωθρὸν, ὡς ἔκλυσιν τῆς ψυχῆς κατηγορεῖν· μηδ' αὖ σφοδρὸν καὶ σεσοβημένον, ὡς ἐμπλήκτους αὐτῆς τὰς ὁρμὰς ὑποφαίνειν. Σκοπὸς δὲ ἐσθῆτος εἷς, ὥστε κάλυμμα εἶναι σαρκὸς πρὸς χειμῶνα καὶ θέρος αὔταρκες. Μήτε δὲ ἐν χρώματι, τὸ ἀνθηρὸν διωκέσθω· μήτε ἐν τῇ κατασκευῇ, ὁ λεπτὸν καὶ μαλακόν. Τὸ γὰρ τὰς ἐν ἐσθῆτι εὐχροίας περισκοπεῖν, ἴσον γυναικείῳ καλλωπισμῷ, ὃν κεῖναι ἐπιτηδεύουσιν ἀλλοτρίῳ ἄνθει παρειὰς καὶ τρίχας ἑαυτῶν καταβάπτουσαι. Ἀλλὰ μὴν καὶ παχύτητος οὕτως ὁ χιτὼν ὀφείλει ἔχειν, ὡς μὴ δεῖσθαι κοινωνοῦ πρὸς τὸ θάλπειν τὸν ἐνδυόμενον. Καὶ ὑπόδημα, τὸ εὐτελὲς μὲν κατὰ τὴν ἀξίαν, ἀνενδεῶς δὲ τὴν χρείαν ἀποπληροῦν. Γυμνάσιον γὰρ ταπεινοφροσύνης ἐστὶν ἡ ἐν τοῖς εὐτελεστέροις πράγμασι διατριβὴ, τὸ πάθος τῆς φιλοδοξίας θεραπεύουσα. Κενόδοξος δέ ἐστιν, ὁ ψιλῆς ἕνεκεν τῆς τοῦ κόσμου δόξης ποιῶν τι ἢ λέγων. Οἷον, ὁ ποιῶν ἐλεημοσύνην εἰς τὸ

(1) *Προσεσταλμένος*. Uterque codex, προκεσταλμένος.
(2) Ex hom. *in psal.* LXI, 193.
(3) Ex epist. CCXIX, 39.

A mo et cogitatione complexi, charissimi, festinemus, dum tempus est, vitæ nostræ actiones ad Dei omnipotentis normam dirigere, ut futurorum etiam bonorum participes efficiamur, in Christo Jesu Domino nostro, cui gloria in sæcula sæculorum. Amen.

575 *DE HUMILITATE ET INANI GLORIA.*
SERMO XX.

1. (2) Fieri non potest, ut is qui infimo ultimoque loco erga omnes haberi non vult, queat unquam, aut dum conviciis impetitur, iræ dominari, aut dum affllictatur, per patientiam tentationes superare. Qui enim ad summam humilitatem pervenit, is cum in conviciis suam vilitatem majorem B prior agnoscat, ob verba ignominiosa animo non commovebitur. Sed si appelletur pauper, novit seipsum pauperem esse, et omnium indigum, ac quotidiano Domini stipendio opus habere : si vero vocatur ignobilis et obscurus, prius sibi in suo corde conscius est, procreatum esse se ex luto : atque, ut breviter dicam, (3) ille demum apud Deum magnus est, qui humilem se proximo exhibet, criminaque, licet falso intentata, inverecunde in se recipit, ut summam utilitatem, pacem nimirum, fratri gratificari valeat. Nam perinde difficile est, in rerum angustia æquam mentem servare, ac in earum amplitudine, ab insolentia temperatam. (4) Superba nempe ingenia quo plus officiose colueris, eo se ipsis fastidiosiora effici consueverunt. (5) Hu- C mili autem ac demisso sensui tristis oculus convenit et deorsum vergens, habitus neglectus, squalida coma, vestis sordida; adeo ut quæ lugentes data opera faciunt, ea sua sponte nobis inesse videantur. Tunica cingulo ad corpus astricta sit : cinctus neque ilia exsuperet, id enim muliebre; neque laxus ita ut tunica diffluat, id enim molle. Incessus esto nec segnis, ne animum dissolutum arguat; nec rursus vehemens ac superbus, ne stolidos animi impetus indicet. Unus vestimenti scopus, ut idoneum sit carnis ad hiemem et æstatem operimentum. Neque vero in colore floridum exquiratur, neque in opere tenue ac molle. Etenim in veste pigmentorum lautitias consectari, non absimile est D venustatis studio, quo mulieres ducuntur, dum genas et crines alieno flore inficiunt. Sed et eo usque crassa tunica sit, ut socia opus non habeat, ad eum qui induitur calefaciendum. Calcearium autem pretio quidem vili, sed cui nihil desit ad usum explendum. Humilis enim abjectique animi exercitatio in viliorum tenuiorumque rerum conversatione consistit, gloriæ cupidis medicinam afferens. (6) Inanis autem gloriæ affectator ille est, qui abjectissimæ hujus sæculi gloriæ causa quidpiam aut facit aut dicit. Exempli gratia, (7) qui facit

(4) Ex epist. CCXXXIX, n. 2.
(5) Ex epist. II, 74.
(6) Unus codex indicat comment. *in Isa.*
(7) Ex comment. *in Isa.*, 617.

eleemosynam ad accipiendam ab hominibus gloriam, recipit suam mercedem [59], nec misericors est nec munificus. Item quicunque temperans est ad ineundam ab hominibus gratiam, temperans non est, cum virtutem non quærat, sed gloriam ex ea proventuram venetur. (1) [60] Nam Ananiæ initio licebat possessionem suam Deo non polliceri ac vovere : sed postquam ad humanam gloriam respiciens, possessionem suam Deo per pollicitationem consecravit, ut hominibus **576** ob munificentiam esset admirationi, parte pretii seposita, ejusmodi adversum se indignationem Domini commovit, cujus Petrus minister fuit, ut ne pœnitentiæ quidem spatium inveniret. (2) Dominus enim qui superbis resistit, et humiliat peccatores usque ad terram [61], hic ipse superborum contumeliam depressurum se pollicetur. Qui igitur humiliat superbos, idem illos ab ea similitudine quam cum diabolo superbiæ parente habent, liberat; et eos inducit, ut fiant discipuli ejus, qui ait : *Discite a me, quia mitis sum, et humilis corde* [62]. (3) Quid de te magnificentius cogitas, quod populorum agmina cecideris, atque civitatum potentatus subverteris? Nonne ea etiam ratione securis insolescere possit, quod excelsas superbasque arbores humi dejiciat? ipsa quoque serra, quod solida firmaque ligna dividat? At vero neque sine manibus scindit securis, nec absque trahente se dividere serra potest.

2. (4) Quod si proximum peccantem videris, cave consideres ipsius peccatum solum : sed etiam quæ fecit aut facit recte, cogita; et sæpe eum deprehendes teipso meliorem, expensis rebus omnibus, non una duntaxat parte examinata. Neque enim Deus hominem ex parte expendit : *Ego* enim, inquit, *operas et cogitationes eorum venio congregaturus* [63]. Quin etiam cum Josaphat aliquando ob præsens peccatum increparet, meminit quoque recte factorum ipsius, his verbis : *Verumtamen verba bona inventa sunt in te* [64]. (5) Qui igitur multis magnisque peccatis obnoxius est, eum sæpe liberat humilitas. Itaque ne te ipse præ altero justificaveris, nequando Dei sententia, etsi tua justificatus, condemnere. Perpetrasse te boni aliquid arbitraris? Age gratias Deo, nec te extolle contra proximum. Quid enim proximum juvisti, quod fidem es confessus, aut exsilium perpessus ob Christi nomen, aut jejunii labores constanter pertulisti? Lucrum tuum est, non alterius. Time ne similiter cadas atque diabolus, qui, elatus contra hominem, ab homine prostratus est, et vice scabelli traditus est conculcato. In summa, memineris veri illius proverbii : *Superbis Deus resistit, humilibus vero dat gratiam* [65]. Habe in promptu sententiam Domini : *Omnis qui se*

A δοξασθῆναι ὑπὸ τῶν ἀνθρώπων, ἀπέχει τὸν μισθὸν, καὶ οὐκ ἔστιν ἐλεήμων οὐδὲ κοινωνικός. Καὶ ὁ σωφρονῶν εἰς τὴν ἀνθρωπίνην ἀρέσκειαν, οὐκ ἔστι σώφρων, οὐ τὴν ἀρετὴν διώκων, ἀλλὰ τὴν ἀπ' αὐτῆς δόξαν θηρώμενος. Ἐξῆν γὰρ τῷ Ἀνανίᾳ τὴν ἀρχὴν μὴ ἐπαγγείλασθαι τῷ Θεῷ τὴν κτῆσιν· ἀλλ' ἐπειδὴ πρὸς τὴν ἀνθρωπίνην ἀπιδὼν δόξαν, τὸ μὲν κτῆμα (6) διὰ τῆς ἐπαγγελίας τῷ Θεῷ ἀφιέρωσεν, ὡς ἂν θαυμασθείη παρὰ τῶν ἀνθρώπων ἐπὶ τῇ φιλοτιμίᾳ, τοῦ τιμήματος δὲ ἐνοσφίσατο· τοιαύτην ἐκίνησε καθ' ἑαυτοῦ τοῦ Κυρίου τὴν ἀγανάκτησιν, ἧς ὑπηρέτης ὁ Πέτρος ἦν, ὡς μηδὲ μετανοίας προθεσμίαν εὑρεῖν. Ὁ γὰρ ἀντιτασσόμενος ὑπερηφάνοις Κύριος, καὶ ταπεινῶν ἁμαρτωλοὺς ἕως γῆς, οὗτος ἐπαγγέλλεται τὴν ὕβριν τῶν ὑπερηφάνων ταπεινώσειν. Ὁ οὖν B ταπεινῶν τοὺς ὑπερηφάνους, ῥύεται μὲν αὐτοὺς ἐκ τῆς πρὸς τὸν διάβολον ὁμοιότητος, ὅς ἐστι πατὴρ τῆς ὑπερηφανίας, ἐνάγει δὲ αὐτοὺς πρὸς τὸ μαθητεύεσθαι τῷ εἰπόντι· *Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.* Τί μέγα φρονεῖς ἐπὶ σεαυτῷ, ὡς κόπτοντι ἔθνη, καὶ καθαιροῦντι δυναστείας τῶν πόλεων; Ἦ οὕτως γ' ἂν καὶ ἡ ἀξίνη μέγα φρονείη, ὡς τὰ ὑπέρογκα τῶν δένδρων εἰς γῆν καταβάλλουσα· καὶ ὁ πρίων, ὡς τὰ συνεστῶτα καὶ ἡνωμένα τῶν ξύλων διαιρῶν. Ἀλλ' οὔτε ἡ ἀξίνη ἄνευ τῶν χειρῶν κόπτει, οὔτε ὁ πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν.

2. Κἂν τὸν πέλας ἁμαρτάνοντα θεωρήσῃς, μὴ C τοῦτο μόνον αὐτοῦ σκοπήσῃς· ἐνθυμήθητι δὲ καὶ ὅσα πέπραχεν ἢ πράττει καλῶς, καὶ πολλάκις εὑρήσεις αὐτὸν ἀμείνονα σεαυτοῦ, διὰ πάντων ἐξετάζων καὶ μὴ μερικὰ ψηφιζόμενος. Οὐδὲ γὰρ Θεὸς μερικῶς ἐξετάζει τὸν ἄνθρωπον· *Ἐγὼ γὰρ*, φησὶ, *τὰ ἔργα καὶ τοὺς λογισμοὺς αὐτῶν ἔρχομαι συναγαγεῖν.* Καὶ τῷ Ἰωσαφὰτ ἐπιτιμήσας ποτὲ διὰ τὴν παρὰ πόδας ἁμαρτίαν, ἐμνήσθη καὶ τῶν κατωρθωμένων αὐτῷ, λέγων· *Πλὴν ἀλλὰ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί.* Οὕτω ῥύεται πολλάκις ἡ ταπεινοφροσύνη τὸν ἡμαρτηκότα πολλὰ καὶ μεγάλα. Μὴ οὖν σεαυτὸν δικαιώσῃς ὑπὲρ ἕτερον, μήποτε δικαιωθεὶς τῇ σεαυτοῦ ψήφῳ, τῇ τοῦ Θεοῦ κατακριθῇς. Οἴει τι κατορθοῦν ἀγαθόν; εὐχαρίστει τῷ Θεῷ, μὴ κατὰ τοῦ πλησίον ἐπαίρου. Τί γὰρ ὤνησας τὸν πλησίον, ὅτι D πίστιν ὡμολόγησας, ἢ φυγὴν ὑπέμεινας διὰ τὸ ὄνομα, ἢ τοῖς τῆς νηστείας ἐνεκαρτέρησας πόνοις; Οὐχ ἑτέρου τὸ κέρδος, ἀλλὰ σόν. Φοβήθητι τῆς τοῦ διαβόλου πτώσεως τὴν ὁμοίωσιν· ὃς ἐπαρθεὶς κατὰ τοῦ ἀνθρώπου, πέπτωκεν ὑπὸ ἄνθρωπον, καὶ παραδέδοται πάτημα τῷ πεπατημένῳ. Καθόλου μέμνησο τῆς ἀληθοῦς παροιμίας· *Ὑπερηφάνοις Θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.* Ἔχε τοῦ Κυρίου τὸ ῥῆμα πρόχειρον· *Πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπει-*

[59] Matth. vi, 2. [60] Act. v, 5 sqq. [61] Jac. iv, 6. [62] Matth. xi, 20. [63] Isa. lxvi, 18. [64] II Paral. xix, 5. [65] Jac. iv, 6.

(1) Ex serm. ascetic., 319.
(2) Ex comment. in *Isa.*, 583.
(3) Unus codex indicat comment. in *Isa.*
(4) Ex hom. *De humilitate*, 161.
(5) Ibid. 160.
(6) *Τὸ μὲν κτῆμα.* Regius codex 1992 addit ἐκ τῆς ἐπαγγελίας, quod quidem asciscere non dubitavi, cum in ipso etiam contextu reperiatur.

A νωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. Μὴ γίνου κριτὴς ἄνισος ἑαυτοῦ, μηδὲ πρὸς χάριν ἐξέταζε, εἰ μέν τι δοκεῖς ἔχειν καλὸν, τοῦτο ἐν ψήφῳ τιθεὶς, τῶν δὲ πταισμάτων ἑκὼν ἐπιλανθανόμενος, μηδὲ ἐφ' οἷς μὲν σήμερον κατορθοῖς μεγαλυνόμενος, ἐφ' οἷς δὲ πρώην καὶ πάλαι κακῶς εἰργάσω, συγχώρησιν ἑαυτῷ διδούς· ἀλλ' ὅταν σε τὸ παρὸν ἐπάρῃ, τὸ παλαιὸν εἰς ἀνάμνησιν ἀγέτω, καὶ παύσῃ τῆς ἀναισθήτου φλεγμονῆς. Τῷ ὄντι γὰρ χαλεπώτατόν ἐστιν ἑαυτὸν ἐπιγνῶναι. Οὐ γὰρ μόνος ὁ ὀφθαλμὸς τὰ ἔξω βλέπων, ἐφ' ἑαυτὸν οὐ κέχρηται τῷ ὁρᾷν· ἀλλὰ καὶ αὐτὸς ἡμῶν ὁ νοῦς ὀξέως τὸ ἀλλότριον ἁμάρτημα βλέπων (1), βραδύς ἐστι πρὸς τὴν τῶν οἰκείων ἐλαττωμάτων ἐπίγνωσιν. Μὴ βαρὺς ἐν ἐπιτιμήσεσι γίνου, μηδὲ ταχέως, μηδὲ ἐμπαθῶς ἐξ- B ελέγχων· αὔθαδες γὰρ τὸ τοιοῦτον. Μηδὲ ἐπὶ μικροῖς καταδίκαζε, ὡς ἀκριβοδίκαιος αὐτὸς ὑπάρχων· ἀλλὰ τοὺς ἐν παραπτώματι προσλαμβάνων (2), πνευματικῶς καταρτίζων αὐτοὺς, ὡς ὁ Ἀπόστολος παραινεῖ, *Σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς*. Εἰ μὲν γὰρ ἁμαρτάνομέν τι, βελτίους ἐσόμεθα νουθετούμενοι· εἰ δὲ οὐδὲν ἀδικοῦμεν, ἀντὶ τίνος μισούμεθα; Ἔκβαλε τῆς σεαυτοῦ ψυχῆς τὸ οἴεσθαι μηδενὸς ἑτέρου εἰς κοινωνίαν προσδεῖσθαι. Οὐ γὰρ κατὰ ἀγάπην περιπατοῦντος, οὐδὲ πληροῦντός ἐστιν ἐντολὴν τοῦ Χριστοῦ, τῆς πρὸς τοὺς ἀδελφοὺς συναφείας ἑαυτὸν ἀποτέμνειν. Μή ποτε τὸ τοῦ πολέμου κακὸν κύκλῳ περιιὸν, καὶ πρὸς ἡμᾶς ἔλθῃ· κἂν μὲν μετὰ τῶν ἄλλων καὶ ἡμεῖς τῆς ἐπηρείας παραπολαύσωμεν, οὐδὲ τοὺς συναλγοῦντας εὑρήσομεν, διὰ τὸ ἐν C καιρῷ τῆς εὐθυμίας ἡμῶν μὴ προκαταβαλέσθαι τοῖς ἠδικημένοις τὸν τῆς συμπαθείας ἔρανον. Ἐμοὶ τὸ παντελῶς ἀγνοεῖσθαι πλέον ἐσπούδασται, ἢ τοῖς φιλοδόξοις τὸ διαφαίνεσθαι. Καὶ σὺ τοίνυν τοσαύτην ποιοῦ σπουδὴν μὴ δοξάζεσθαι παρὰ ἀνθρώποις, ὅσην ἕτεροι περὶ τὸ δοξάζεσθαι. Ἀλλὰ προεδρίας ἠξιώθης, καὶ περιέπουσί σε ἄνθρωποι καὶ δοξάζουσι; γίνου τοῖς ὑπηκόοις ἴσος· τὸν γὰρ θέλοντα πρῶτον εἶναι, δοῦλον εἶναι πάντων ὁ Κύριος ἐκέλευσε. Μωϋσῆς ὁ μέγας, ὁ πάντα εὐπειθὴς καὶ ὑπήκοος, ὅτε ἀπεστέλλετο πρὸς τὸν λαὸν, *Δέομαι*, φησὶ, *Κύριε, προχείρισαι ἄλλον ὃν ἀποστελεῖς*. Δι' ὃ καὶ οἱονεὶ φιλονεικότερον ἀντέχεσθαι αὐτοῦ τὸν Θεὸν κατεσκεύασεν, αὐτῇ τῇ παραιτήσει καὶ τῇ ὁμολογίᾳ τῆς ἀσθενείας τὸ ἄξιον τοῦ προεστάναι δεικνύς. Διὸ καλῶς ἔχει τὸ D παράγγελμα· *Μὴ ζήτει γενέσθαι κριτὴς, μήπως οὐκ ἰσχύσῃς* (3) *ἐξᾶραι ἀδικίας*. Ὁ μέντοι προφητικὸς λόγος τὴν παραίτησιν τῶν ἑλκομένων ἄρχειν, ὑπὸ τῶν στασιαζόντων οὐ καθόλου φησὶ γεγενῆσθαι. Οὐ γὰρ εἶπεν ἁπλῶς, *Οὐκ ἔσομαι ἀρχηγὸς*, ἀλλὰ μετὰ προσθήκης· *Οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου*· καὶ τὴν αἰτίαν ἐπήγαγεν, ὅτι *Αἱ γλῶσσαι*

exaltat, humiliabitur; omnis vero qui se humiliat, exaltabitur [66]. Ne tui ipsius fias judex iniquus, neque ad gratiam expende, si videare tibi quidquam boni habere, illud numerans, delicta oblivioni ultro tradens : neque ob recte facta hodierna insolescas, neque recentium aut veterum malefactorum tibi veniam concedas : sed cum præsens reddiderit te elatum, revoca in memoriam antiquam agendi rationem, sicque stolidus tuus tumor cessabit. (4) Et vero seipsum cognoscere, videtur esse res omnium difficillima. Non enim solum oculus extrinseca prospiciens, ad semet conspiciendum visu non utitur : sed et ipsa mens nostra acute peccatum alienum intuens, ad propria agnoscenda delicta tarda est. (5) Ne sis in objurgando gravis, neque cito, neque animo commoto redarguas; hoc enim resipit arrogantiam quamdam; neque ob res parvi momenti condemnes, tanquam si ipse perfecte justus exsistas. Quos in peccato **577** deprehendis, spiritualiter ipsos instrue, uti monet Apostolus, *Considerans teipsum, ne et tu tenteris* [67]. (6) Nam si qua re offendimus, commonefacti meliores evademus; si vero nihil delinquimus, cur odio habemur? (7) Hortor igitur, hanc opinionem ex animo tuo ejicias, te nemine alio ad communionem indigere. Non enim est viri secundum charitatem ambulantis, aut Christi legem adimplentis, sese a fratrum conjunctione abscindere. Ne forte belli malum quod in orbem circumagitur, tandem aliquando ad nos etiam perveniat; ac si nos quoque una cum aliis injuriæ participes simus, non inveniamus, qui commiserescant, eo quod lætitiæ tempore iis qui injuria afficiebantur, commiserationis symbolam non erogaverimus. (8) Mihi enim omnino ignorari magis studio fuit, quam gloriæ cupidis in luce versari. (9) Tu igitur tantum studii in eo ponito, ut ne apud homines gloria afficiare, quantum cæteri ut gloriam adipiscantur. At adeptus es præclaram dignitatem, hominesque colunt te atque observant, et gloriam dant? Esto subditis similis. Nam qui vult primus esse, eum omnium servum esse Dominus jussit [67*]. (10) Magnus ille Moses, quo nemo unquam tractabilior atque obedientior fuit, quando ad populum mittebatur, aiebat : *Obsecro, Domine, elige alium quem mittes* [68]. Ex quo factum est ut Deus ipsum urgeret quasi pertinacius, utpote qui hac ipsa recusatione et suæ infirmitatis confessione se primatu dignum ostenderet. Quapropter egregia est admonitio illa : *Ne quæras fieri judex, ne forte non possis auferre iniquitates* [69]. Attamen recusationem eorum, qui a seditiosis ad accipiendum principatum compellebantur, generalem non fuisse de-

[66] Luc. XIV, 11. [67] Galat. VI, 1. [67*] Marc. X, 44. [68] Exod. VI, 13. [69] Eccli. VII, 6.

(1) *Βλέπων*. Regius codex, προβλέπων.
(2) *Προσλαμβάνων*. Idem, προσλαμβάνου.
(3) *Οὐκ ἰσχύσῃς*. Ita Regius codex. Editi, ἰσχύσεις.
(4) Ex hom. IX *in Hexaem.*, 87.
(5) Ex hom. *De humilitate*, 162.
(6) Ex epist. LIX, 154.
(7) Ex epist. LXV, 158.
(8) Ex epist. CCX, 313.
(9) Ex hom. *De humilitate*, 162.
(10) Ex comment. *in Isa.*, 457.

clarat sermo propheticus. Non enim simpliciter ait: *Non ero princeps:* sed cum adjectione, *Non ero princeps populi hujus.* Atque causam subjunxit. Quia *Linguæ eorum cum iniquitate, his quæ Domini sunt, non obtemperant.* (1) Ac Moses ad splendidissimum vitæ genus et ad tanti populi præfecturam accitus, abnuit et deprecatur: *Quis sum ut pergam ad Pharaonem regem Ægypti, et educam populum ex terra Ægypti* [70]? Et rursus: *Precor, Domine, non sum idoneus ante hesternum, neque ante tertium diem, neque ex quo cœpisti loqui ad famulum tuum* [71]. Et iterum: *Supplico, Domine, elige alium qui possit, quem mittes* [72]. Dominus autem ad illum: *Abi, et dux esto populi hujus, et mittam angelum meum ante te* [73]. (2) Quid igitur Moses: *Obsecro, Domine, nisi tu ipse proficiscaris ante nos, ne nos hinc educas* [74]? (3) Isaias autem licet nihil hujusmodi audisset, sed esset solam mittendæ legationis necessitatem edoctus, se ipse libens obtulit, ac injecit sese in media pericula. (4) Quæ igitur horum virorum sententia? Mosis hæc erat cogitatio, populum illum peccatis obnoxium esse atque indigere eo, qui remittat peccata, id quod angeli præstare non possunt. Angeli enim mulctant quidem delinquentes, ac ulciscuntur, delicta vero non queunt condonare. Veniat igitur verus legislator, potens ille Servator, qui solus potestatem habet remittendorum **578** peccatorum. (5) Isaiæ vero, quod præ charitatis exsuperantia atque ardore, nihil eorum quæ sibi a populo timere poterat, reputaret. Horum utriusque facta imitemur, ut futura quoque bona consequi possimus, in Christo Jesu Domino nostro, quocum Patri simul et sancto Spiritui, gloria, honor, potestas, nunc et semper, et in sæcula sæculorum. Amen.

A *αὐτῶν μετὰ ἀνομίας τὰ πρὸς Κύριον ἀπειθοῦσιν.* Εἶτα Μωϋσῆς μὲν ἐπὶ περιφάνειαν βίου καὶ λαοῦ προστασίαν τοσούτου καλούμενος, παραιτεῖται· *Τίς εἰμι, ὅτι πορεύσομαι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ἐξάξω τὸν λαὸν ἐκ τῆς* Αἰγύπτου; καὶ πάλιν· *Δέομαι, Κύριε, οὐχ ἱκανός εἰμι πρὸ τῆς χθὲς, οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας, οὐδὲ ἀφ' οὗ ἤρξω λέγειν τῷ θεράποντί σου·* καὶ πάλιν· *Δέομαι, Κύριε, προχείρισαι ἄλλον δυνάμενον, ὃν ἀποστελεῖς.* Ὁ δὲ Κύριος (7) πρὸς αὐτόν· *Πορεύου καὶ ὁδήγει τὸν λαὸν τοῦτον, καὶ τὸν ἄγγελόν μου ἐξαποστελῶ ἔμπροσθέν σου.* Τί οὖν ὁ Μωϋσῆς· *Δέομαι, Κύριε, εἰ μὴ αὐτὸς σὺ προπορεύῃ ἡμῶν, μὴ ἀναγάγῃς ἡμᾶς ἐντεῦθεν;* Ἡσαΐας δὲ οὐδὲν τοιοῦτον ἀκούσας, ἀλλὰ μόνην τὴν χρείαν διδαχθεὶς
B τῆς ἀποστολῆς, ἑκὼν ἑαυτὸν ἐπέδωκε, καὶ μέσοις ἐνέβη τοῖς δεινοῖς. Τίς οὖν ἡ διάνοια τῶν ἀνδρῶν; Τοῦ μὲν Μωϋσέως, ὅτι ἁμαρτωλὸς ὁ λαὸς, καὶ χρήζει τοῦ ἀφιέντος ἁμαρτίας, ὅπερ ἀγγέλοις ἀδύνατον. Τιμωροὶ μὲν γὰρ τῶν ἁμαρτανομένων ἄγγελοι, συγχωρητικοὶ δὲ τῶν πλημμελουμένων, οὐκ ἔτι· ἐλθέτω οὖν ὁ ἀληθινὸς νομοθέτης, ὁ δυνατὸς Σωτὴρ, ὁ μόνος ἔχων ἐξουσίαν ἀφιέναι ἁμαρτίας· τοῦ δὲ Ἡσαΐου, ὅτι τῇ ὑπερβολῇ τῆς ἀγάπης, οὐδὲν τῶν μελλόντων ἐπάγεσθαι αὐτῷ παρὰ τοῦ λαοῦ ἐλογίσατο. Τούτων ἑκατέρου τὸν τρόπον ζηλώσωμεν, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμὴ, κράτος, σὺν ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

DE PROSPERA ET ADVERSA FORTUNA, ET DE PRUDENTIA.

SERMO XXI.

C

1. (6) Res secundæ, et quarum studio plerique tenentur, stabilitatem ac diuturnitatem non habent, neque res adversæ ac tristes constanter perseverant: sed agitationi cuidam motuique et inopinatis mutationibus obnoxia sunt omnia. Neque enim corporis valetudo, neque juventutis flos, neque domus felicitas, neque reliqua vitæ prosperitas, diu durat: sed si in hac vitæ serenitate versaris, tamen rerum procellam ac tempestatem aliquando exspecta. Veniet enim morbus, veniet et paupertas, vento non semper a puppi surgente. Sed et virum in omnibus spectabilem ac æmulandum invadunt inexspectata plerumque dedecora, atque improvisi casus quasi quidam turbines omnem felicitatem interturbant. Imo etiam assidua mala sunt tibi fluctuum loco, quorum alii aliis succedunt. Videbis vero aliquando et hæc præterlapsa, vitamque in

ΠΕΡΙ ΕΥΤΥΧΙΑΣ ΚΑΙ ΔΥΣΤΥΧΙΑΣ ΚΑΙ ΦΡΟΝΗΣΕΩΣ.

ΛΟΓΟΣ ΚΑʹ.

1. Οὔτε τὰ δεξιὰ καὶ περισπούδαστα τοῖς πολλοῖς τὸ ἑστὼς καὶ μόνιμον ἔχει, οὔτε τὰ περιστατικὰ τῶν πραγμάτων καὶ κατηφῆ παγίως ἥδρασται, ἀλλὰ πάντα σάλῳ τινὶ καὶ κλόνῳ καὶ μεταβολαῖς ἀδοκήτοις ὑπόκειται. Οὔτε γὰρ ὑγεία σώματος, οὔτε νεότητος ἄνθος, οὔτε εὐθηνία οἴκου, οὐχ ἡ λοιπὴ συμμετρία (8) τοῦ βίου ἐπὶ πολὺ διαμένει· ἀλλ' ἐν τῇ εὐοδίᾳ ὢν τοῦ βίου, ἐκδέχου ποτὲ καὶ χειμῶνα πραγμάτων. Ἥξει γὰρ νόσος, ἥξει πενία, οὐκ ἀεὶ κατὰ πρύμναν ἱσταμένου τοῦ πνεύματος. Ἀλλὰ καὶ τὸν περίβλεπτον ἐν πᾶσι καὶ ζηλωτὸν ἀδόκητοι πολλάκις ἀδοξίαι καταλαμβάνουσι· καὶ πᾶσαν εὐημερίαν τοῦ
D βίου, οἷον σπιλάδες τινὲς, περιστάσεις ἀδόκητοι συνετάραξαν. Καὶ ἡ συνέχεια τῶν κακῶν ὥσπερ κύματά σοί ἐστιν, ἄλλα ἐπ' ἄλλοις ἐπεγειρόμενα. Ὄψει δέ ποτε καὶ ταῦτα παραδραμόντα, καὶ πρὸς ἱλαρότητα καὶ λευκὴν ὄντως γαλήνην τὸν βίον μεταβάλλ-

[70] Exod. III, 11. [71] Exod. IV, 10. [72] ibid. [73] Exod. XXXII, 34. [74] Exod. XXXIII, 15.

(1) Ex comment. *in Isa.*, 514.
(2) Ibid., 517.
(3) Ibid., 514.
(4) Ibid., 517.
(5) Uterque codex indicat comment. *in Isa.*
(6) Ex hom. *in princip. Prov.*, 111.
(7) *Ὁ δὲ Κύριος.* Regius codex, ὁ δὲ Θεός.
(8) *Συμμετρία.* Contextus habet, εὐημερία.

μενον. Ὥσπερ γὰρ θάλασσαν ἀμήχανον τὴν αὐτὴν ἐπὶ πολὺ διαρκέσαι (τὴν γὰρ νῦν λείαν καὶ σταθηρὰν, μικρὸν ὕστερον ὄψει βίαις ἀνέμων τραχυνομένην· καὶ μέντοι καὶ τὴν ἀγριαίνουσαν καὶ βρασσομένην τῷ κλύδωνι, βαθεῖα γαλήνη ταχὺ κατεστόρεσεν), οὕτω καὶ τὰ τοῦ βίου πράγματα ῥᾳδίως λαμβάνει τὰς περιστροφὰς ἐφ' ἑκάτερα. Διὰ τοῦτο κυβερνήτου χρεία, ἵνα καὶ ἐν γαλήνῃ τοῦ βίου, πάντων αὐτῷ κατὰ νοῦν (1) προϊόντων, τὰς μεταβολὰς ἐκδέχηται, καὶ μὴ ὡς ἀθανάτοις τοῖς παροῦσιν ἐπαναπαύηται· καὶ ἐν τῇ σκυθρωποτέρᾳ καταστάσει μὴ ἀπελπίζῃ τῶν ἀγαθῶν (2), ὡς ἂν μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθεὶς ὑποβρύχιος φέρηται. Οὗτος γάρ ἐστιν ὁ νοήμων κυβερνήτης, ὁ ἐστοχασμένως (3) τῆς ὑποκειμένης φύσεως μεταχειριζόμενος τὰ συμπίπτοντα, καὶ ὅμοιος ἀεὶ αὐτὸς ἑαυτῷ διαμένων, μήτε ἐπαιρόμενος ἐν ταῖς εὐθυμίαις, μήτε καταπίπτων ἐν ταῖς συμφοραῖς. Καίτοι κυβερνήτῃ μὲν οὐκ ἐφεῖται γαλήνην ποιεῖν ὅτε βούλεται, ἡμῖν δὲ ἀκύμονα ἑαυτοῖς καθιστᾷν τὸν βίον καὶ πάνυ ῥᾴδιον, ἐὰν τοὺς ἔνδοθεν ἐκ τῶν παθῶν ἐπανισταμένους θορύβους κατασιγάσωμεν, καὶ τῶν ἔξωθεν προσπιπτόντων ὑψηλοτέραν τὴν γνώμην καταστησώμεθα. Ἐπεὶ οἵγε σφοδρῶς ταῖς τοῦ βίου μερίμναις κατειλημμένοι, οἷον ὄρνιθες πολύσαρκοι, εἰκῇ τὸ πτερὸν ἔχοντες, κάτω που σύρονται μετὰ τῶν βοσκημάτων.

2. Πολλοὶ δὲ πολλάκις πολλὰ συναθροίσαντες ἐκ νεότητος, περὶ τὰ μέσα τοῦ βίου γενόμενοι, ἐπαναστάντων αὐτοῖς πειρασμῶν ἐκ τῶν πνευμάτων τῆς πονηρίας, οὐκ ἤνεγκαν τοῦ χειμῶνος τὸ βάρος, διὰ τὸ τὴν κυβέρνησιν αὐτοῖς μὴ παρεῖναι, ἀλλὰ πάντων ἐκείνων τὴν ζημίαν ὑπέμειναν. Καὶ οἱ μὲν, *Περὶ τὴν πίστιν ἐναυάγησαν*· ἄλλοι δὲ, σωφροσύνην ἣν συνήγαγον ἐκ νεότητος, ὥσπερ καταιγίδος τινὸς τῆς πονηρᾶς ἡδονῆς ἐπιδραμούσης, ἀπώλεσαν. Ἐλεεινότατον θέαμα, μετὰ νηστείαν, μετὰ σκληραγωγίαν, μετὰ προσευχὴν ἐκτενῆ, μετὰ δάκρυον δαψιλὲς, μετὰ ἐγκράτειαν εἰκοσί που ἐτῶν ἢ τριάκοντα, δι' ἀπροσεξίαν ψυχῆς καὶ ἀμέλειαν, γυμνὸν ἁπάντων ἀποδειχθῆναι· καὶ παραπλήσιον γενέσθαι τὸν τῇ ἐργασίᾳ τῶν ἐντολῶν εὐθηνούμενον, ἐμπόρῳ τινὶ μεγαλοπλούτῳ, ὃς τῷ πλήθει τῶν ἀγωγίμων ἐπαγαλλόμενος, ἐξουρίας αὐτῷ τῆς νηὸς φερομένης, τὰ φοβερὰ πελάγη διαδραμὼν, πρὸς αὐτοῖς τοῖς λιμέσι διαῤῥαγέντος τοῦ πλοίου, πάντων ἀθρόον ἔρημος ἀπεδείχθη. Τοὺς τοιούτους *ὁ Θεὸς ἡμῶν ἐλεεῖ*. Ἔλεος γάρ ἐστι πάθος ἐπὶ τοὺς παρ' ἀξίαν τεταπεινωμένους, παρὰ τῶν συμπαθῶς διατιθεμένων γινόμενον. Ἐλεοῦμεν τὸν ἐκ μεγάλου πλούτου πρὸς τὴν ἐσχάτην πενίαν καταπεσόντα, τὸν ἐκ τῆς ἄκρας εὐεξίας τοῦ σώματος εἰς τὴν ἐσχάτην ἀσθένειαν καταβληθέντα, τὸν ἐπὶ κάλλει καὶ ὥρᾳ σώματος ἀναλλόμενον καὶ ὑπὸ τῶν αἰσχί-

[78] I Tim. I, 19.

A hilaritatem et in vere jucundam tranquillitatem transmutatam. Quemadmodum enim fieri non potest, ut mare diu idem permaneat (quod enim nunc tranquillum ac stabile vides, paulo post conspicies ventorum vi exasperatum; quod vero efferatum est et æstu effervescens, mox tranquillitas alta sedat), sic etiam res mundanæ in utramque partem facile convertuntur. Eam ob causam gubernatore opus est, ut et in vitæ tranquillitate, omnibus ex animi sententia procedentibus, mutationes præstoletur, nec in præsentibus tanquam semper permansuris conquiescat; neque in molestissimo etiam rerum statu meliora desperet, ne abundantiori mœstitia absorptus submergatur. (4) Nam ille demum intelligens est gubernator, qui subjectæ naturæ habita
B ratione, ea quæ accidunt, tractat, quique sibi ipse similis semper permanens, neque rebus lætis effertur, neque in ærumnis animo concidit. Nam nauclero quidem non licet tranquillitatem facere cum voluerit, sed nobis tranquillam nobis ipsis vitam constituere, etiam omnino facile, si tumultus intus ex vitiis insurgentes compescamus, et his quæ extrinsecus accidunt, altiorem animum stabiliamus. Nam qui vitæ curis admodum detenti **579** sunt, veluti carnosæ aves frustra alis instructæ una cum pecoribus humi serpunt.

2. (5) Plerique vero multis a juventute collectis, ubi ad mediam fere ætatem progressi sunt, nequitiæ spiritibus adversus eos tentationes excitantibus, tempestatis onus, utpote gubernatione destituti,
C non sustinuerunt: sed omnium illarum rerum jacturam fecere. Ac alii quidem *Circa fidem naufragaverunt* [78], alii, prava voluptate in modum procellæ cujusdam ingruente, comparatam ab juventa castitatem amiserunt. Miserabile spectaculum, post jejunium, post durum vitæ genus, post prolixas preces, post lacrymas large profusas, post continentiam annorum viginti, aut forte triginta etiam, per animi inconsiderantiam ac incuriam, nudum et spoliatum omnibus inveniri; ac similem fieri eum, qui præceptorum quæstu opulentus est, prædiviti cuipiam mercatori, qui, ob copiam mercium lætus, secundo vento delata nave, horrenda maria emensus, diffracto ad ipsos portus navigio, dere-
D pente omnibus nudatur. Hujuscemodi enim hominum *Deus noster miseretur*. (6) Misericordia siquidem affectio est erga eos qui præter meritum depressi sunt, ab iis qui miseratione moventur proficiscens. Miseramur eum, qui ex magnis divitiis in extremam incidit paupertatem; eum, qui ex optima corporis habitudine ad summam redactus est debilitatem: eum, qui ob pulchritudinem ac

(1) *Κατὰ νοῦν*. Legitur in contextu, κατὰ ῥοῦν. Sic etiam habet codex Reg. 1910.

(2) *Τῶν ἀγαθῶν*. Contextus, ἑαυτόν, *nec de se desperet*.

(3) *Ἐστοχασμένως*. Sic habet contextus. Editi, ἐστοχασμένος.

(4) Ex epist. CCXCIII, 431.

(5) Ex hom. *in princip. Prov.*, 112.

(6) Ex hom. *in psal.* CXIV, 201.

elegantiam corporis prægestiebat, sed a fœdissimis ac turpissimis morbis corruptus est. Quoniam igitur et nos in paradiso degentes, eramus aliquando clari ac spectabiles, et tamen ob ejectionem inglorii et abjecti evasimus, Deus nostri miseretur, dum quales nos ex qualibus facti simus, videt. Quapropter et Adamum hac misericordiæ voce revocabat, dicens : *Adam, ubi es* [76]? Non enim edoceri quærebat omnium gnarus, sed intelligere ipsum volebat, qualis ex quali factus esset. *Ubi es?* quasi dicat : In quam ruinam ex tanta sublimitate incidisti?

3. (1) Oportet itaque rationem, quæ tanquam judex supremum in nobis locum sortita est, singula dijudicare et expendere, utrum recipienda sint necne, atque etiam assensionibus, et animæ motibus non sine diligenti judicio aditum concedere. Hoc enim est quod ait Paulus : *Si enim nos ipsos judicaremus, non utique judicaremur* [77]. Ne igitur curiosius futura indages, sed præsentibus utiliter utere. Quid enim prodest cognitionem præcipere? Si certe bonum erit quod futurum est, eveniet, licet non prænoveris : sin molestum, quid juvat mœrore in antecessum consumi? (2) Duplex est prudentiæ nomen : una enim suum ipsius commodum tuetur, sic tamen, ut simul struat proximo insidias, qualis est serpentis prudentia, caput suum custodientis. Hæc videtur astuta quædam esse morum malignitas, quæ cito quod sibi utile est comminiscitur, ac simpliciores deprædatur : quali prudentia fuit villicus iniquitatis. Vera autem prudentia, agendorum et non agendorum cognitio est et secretio : quam qui sequitur, nunquam secedet a virtutis operibus, nunquam exitioso vitii jaculo transfigetur.

580 4. (3) Quandoquidem unusquisque nostrum non potest per se invenire quid factum oporteat, propterea beneficus erga nos Deus consiliarios dat, non dominos. (4) Regis enim est imperare subditis, consiliarii autem utilia suadere volentibus. (5) Itaque nostrum unusquisque se arbitretur, non ut principem semetipsum, sed ut consiliarium a Domino datum populo, existimet. Talis erat consiliarius Novi Testamenti Paulus, cum ait : *Consilium vero do, ut misericordiam consecutus a Domino* [78]. Magnum vero beneficium est, prudentis ac benevoli consiliarii præsentia, qui quod deest prudentiæ consulentibus supplet. Quanta autem sit consilii utilitas demonstrat in primis Moyses, vir omni Ægyptiorum sapientia instructus, qui ut amicus amico, ita cum Deo colloquebatur. Is a socero

A στων παθῶν διαφθαρέντα. Ἐπεὶ οὖν καὶ ἡμεῖς ἦμέν ποτε ἔνδοξοι ἐπὶ τῆς τοῦ παραδείσου διαγωγῆς, ἐγενόμεθα δὲ ἄδοξοι καὶ ταπεινοὶ διὰ τὴν ἔκπτωσιν, ὁ Θεὸς ἡμῶν ἐλεεῖ, ὁρῶν ἡμᾶς οἷοι ἀνθ' οἵων γεγόναμεν. Διὰ τοῦτο καὶ τὸν Ἀδὰμ ἀνεκαλεῖτο τῇ τοῦ ἐλέου φωνῇ, λέγων· *Ἀδὰμ, ποῦ εἶ;* Οὐ γὰρ διδαχθῆναι ἐζήτει ὁ πάντα εἰδὼς, ἀλλὰ νοῆσαι αὐτὸν ἐβούλετο οἷος ἀνθ' οἵου γέγονε. *Ποῦ εἶ;* ἀντὶ τοῦ, Εἰς ποῖον πτῶμα κατελήλυθας ἀπὸ τηλικούτου ὕψους;

3. Χρὴ οὖν ὥσπερ δικαστὴν τὸν λόγον τὴν ἀνωτάτω χώραν παρ' ἡμῖν λαχόντα, ἕκαστα κρίνειν καὶ ἐξετάζειν, τά τε δεκτέα καὶ μὴ (6), καὶ ταῖς συγκαταθέσεσι B τῶν πραγμάτων, καὶ ταῖς ὁρμαῖς τῆς ψυχῆς, μετὰ ἀκριβοῦς ἐπικρίσεως ἐπιτρέπειν. Τοῦτο γάρ ἐστιν ὅ φησιν ὁ Παῦλος· *Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα.* Μὴ τοίνυν πολυπραγμόνει τὸ μέλλον, ἀλλὰ τὰ παρόντα πρὸς τὸ χρήσιμον διατίθεσο. Τί γὰρ ὄφελος ἐκ τοῦ προλαβεῖν τὴν γνῶσιν; Εἰ μὲν ἀγαθὸν ἔσται τὸ ἐσόμενον, ἥξει, κἂν μὴ προγνῷς· εἰ δὲ λυπηρὸν, τί σοι τὸ κέρδος προδαπανᾶσθαι τῇ λύπῃ; Διπλοῦν ἐστι τὸ τῆς φρονήσεως ὄνομα. Ἡ μὲν γάρ ἐστι φυλακὴ τοῦ οἰκείου συμφέροντος μετὰ τῆς πλησίον ἐπιβουλῆς, οἷα ἡ τοῦ ὄφεως τὴν κεφαλὴν συντηροῦντος· ἥδε τις ἔοικεν εἶναι κακεντρέχεια τρόπων, ὀξέως τὸ ἴδιον λυσιτελὲς ἐξευρίσκουσα, καὶ συναρπάζουσα τοὺς ἀκεραιοτέρους, ὁποία ἡ τοῦ οἰκονόμου τῆς ἀδικίας. Ἡ δὲ ἀληθὴς C φρόνησις, διάγνωσίς ἐστι τῶν ποιητέων καὶ οὐ ποιητέων· ᾗ ὁ κατακολουθῶν οὐδέποτε μὲν τῶν τῆς ἀρετῆς ἐκστήσεται ἔργων, οὐδέποτε δὲ τῷ ὀλέθρῳ τῆς κακίας περιπαρήσεται.

4. Ἐπειδὴ δὲ οὐκ αὐτάρκης ἕκαστος ἀφ' ἑαυτοῦ εὑρίσκειν τὸ δέον· διὰ τοῦτο, εὐεργετῶν ἡμᾶς ὁ Θεὸς, συμβούλους, ἀλλ' οὐχὶ ἐξουσιαστὰς δίδωσι. Βασιλέως μὲν γὰρ ἴδιον, ἐπιτάσσειν τοῖς ἀρχομένοις· συμβούλου δὲ, πείθειν ὑπὲρ τῶν συμφερόντων τοὺς βουλομένους (7). Ὥστε καὶ ἡμῶν ἕκαστος, μὴ ὡς ἄρχοντα ἑαυτὸν, ἀλλ' ὡς σύμβουλον παρὰ Κυρίου δεδομένον τῷ λαῷ, λογιζέσθω. Οὕτως ἦν καὶ ὁ Παῦλος σύμβουλος τῆς Καινῆς Διαθήκης, λέγων· *Γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος παρὰ Κυρίου.* Μεγάλη δὲ εὐεργεσία, D συμβούλου φρονίμου καὶ εὐνοϊκῶς ἔχοντος παρουσία, ἀναπληροῦντος τὸ τῆς συνέσεως ἐλλεῖπον τῶν βουλευομένων (8). Ὅσον δὲ τὸ ἀπὸ συμβουλῆς ὄφελος, δείκνυσι μάλιστα Μωϋσῆς, ὁ πάσῃ Αἰγυπτίων σοφίᾳ παιδευθεὶς, ὁ τῷ Θεῷ διαλεγόμενος, ὡς ἂν εἴ τις λαλήσει (9) φίλος φίλῳ. Οὗτος ἔλαβε γνώμην παρὰ

[76] Gen. III, 9. [77] I Cor. XI, 31. [78] I Cor. VII, 15.

(1) Ex comment. *in Isa.*, 411.
(2) Ex hom. *in princip. Prov.*, 102.
(3) Ex comment. *in Isa.*, 422.
(4) Ibid., 421.
(5) Ibid., 442.
(6) *Τά τε δεκτέα καὶ μή*. Legitur in contextu, τά τε λεκτέα καὶ τὰ πρακτέα, *quæ dicenda sunt et agenda.*

(7) *Τοὺς βουλομένους*. Contextus, βουλευομένους, *utilia suadere consulentibus.*
(8) *Βουλευομένων*. Hanc scripturam e contextu sumpsimus : non enim vitio carebat vulgata, βουλομένων.
(9) *Λαλήσει*. Forte, λαλήσοι, vel, melius, λαλήσαι. EDIT.

τοῦ πενθεροῦ αὐτοῦ Ἰωθὼρ, ὥστε καταστῆσαι χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ δεκάρχους, ἐπὶ τὸ κρίνειν τὸν λαόν. Καὶ Δαβὶδ δὲ συμβούλῳ ἐχρήσατο τῷ Χουσὶ, δι' οὗ διεσκέδασε στρατηγικὴν γνώμην τοῦ Ἀχιτόφελ. Καὶ ὅλως, ἱερόν τι πρᾶγμα ἡ συμβουλὴ, γνώμης ἕνωσις, ἀγάπης καρπὸς, ταπεινοφροσύνης ἀπόδειξις. Ἀλαζονεία γὰρ δεινὴ, τὸ μηδενὸς οἴεσθαι χρῄζειν, ἀλλ' ἑαυτῷ προσέχειν ὡς μόνῳ τὰ κράτιστα συμβουλεύσασθαι δυναμένῳ. Ἡμεῖς δὲ ὀκνοῦμεν ἑαυτοὺς ἐπιδοῦναι τοῖς τὰ δέοντα εἰσηγουμένοις, καὶ αἰσχυνόμεθα τοὺς συνετωτέρους ἡμῶν κατὰ τὸν βίον ὁμολογεῖν. Ὁ δὲ τὸν σύμβουλον ἀναμένων, καὶ τοῖς ἰδίοις λογισμοῖς καιρὸν δίδωσιν, ἐν χρόνῳ πλείονι μετὰ βασάνου καὶ προσοχῆς ἀνιχνεῦσαι τὸ δέον. Πολὺ τοιγαροῦν τὸ ἀναγκαῖον καὶ χρήσιμον ἐκ τῆς συμβουλῆς τῷ βίῳ τῶν ἀνθρώπων, διὰ τὸ ἕνα μηδένα ἑαυτῷ ἐξαρκεῖν πρὸς ταῦτα (1), ἀλλὰ δεῖσθαι κοινωνῶν πλέον κατὰ τῶν συμφερόντων ἐκλογὴν, ἢ κατὰ τὰς ἐνεργείας τὰς σωματικάς. Ὥστε ἀσυμβούλευτος ἄνθρωπος, πλοῖόν ἐστιν ἀκυβέρνητον, ὡς ἔτυχε ταῖς φοραῖς τῶν πνευμάτων ἐνδεδομένον. Εἰ τοίνυν ἐν ταῖς περὶ τῶν τυχόντων σκέψεσι συμβούλους παραλαμβάνομεν, ὅταν ὑπὲρ ψυχῆς καὶ τῶν διαφερόντων αὐτῇ βουλευώμεθα, πῶς οὐχὶ καὶ τοὺς θαυμαστοὺς ἐπιζητητέον ἡμῖν; Ὁ δὲ, παρούσης συμβουλῆς ἀγαθῆς, τῷ θελήματι τῆς καρδίας αὐτοῦ πορευόμενος τῆς ματαίας, ὅμοιός ἐστι τῷ Ῥοβοὰμ, ὃς ἀτιμάσας τὴν σώζουσαν γνώμην τῶν πρεσβυτέρων, ἠκολούθει τοῖς νεωτέροις τοῖς συνεκτραφεῖσιν αὐτῷ, δι' οὓς καὶ τῶν δέκα φυλῶν τῆς βασιλείας ἐξέπεσεν.

5. Οὕτως αἱ κατὰ τῶν δικαίων βουλαὶ ἐπιστρέφουσιν ἐπὶ τὰς κεφαλὰς τῶν βουλευομένων, ὥσπερ ἀπὸ στεῤῥῶν καὶ ἀντιτύπων σωμάτων τὰ προσπεσόντα βέλη πρὸς τοὺς ἀφιέντας ἐπάνεισι. *Φυλάσσει γὰρ Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει·* ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ.

ΛΟΓΟΣ ΚΒ'.

1. Τὸ τῆς ἐν τῷ προστάγματι διανοίας τοῦ Δημιουργοῦ πολύχουν τοσοῦτόν ἐστιν, ὅσαι καὶ αἱ τῶν δημιουργηθέντων διαφοραὶ καὶ κοινότητες. Οἷς πᾶσι δι' ἀκριβείας ἐπεξελθεῖν, ἴσον ἐστὶ καὶ κύματα πελάγους ἀπαριθμεῖσθαι, ἢ ταῖς κοτύλαις πειρᾶσθαι τὸ ὕδωρ τῆς θαλάσσης ἀπομετρεῖν. Πῶς γὰρ ἄν τις δι' ἀκριβείας ἐπέλθοι τὰ ἐν τοῖς βίοις τῶν ὀρνίθων ἰδιώματα; Πῶς μὲν οἱ πελαργοὶ οὕτω κατὰ τὸν ἕνα καιρὸν οἰκοδομοῦσι τοῖς τῇδε χωρίοις· οὕτω δὲ ὑφ' ἑνὶ συνθήματι πάντες ἀπαίρουσιν, ὅπερ οὐδὲ πόῤῥω ἐστὶ συνέσεως λογικῆς. Πῶς δὲ δορυφοροῦσιν αὐτοὺς αἱ κορῶναι, καὶ παραπέμπουσιν, ἐμοὶ δοκεῖ, καὶ συμμαχίαν τινὰ παρεχόμεναι πρὸς ὄρνιθας πολε-

A suo Jethro consilium accepit, ut tribunos præficeret, centuriones, et decuriones, qui judicarent populum. David quoque consultore usus Chusi est, per quem militare Achitophel consilium dissipavit. Atque, ut breviter dicam, divina prorsus res est consilium, voluntatum consensio est, charitatis fructus, humilitatis argumentum. Intoleranda enim arrogantia est, arbitrari nullius se indigere, sed sui solius sententiæ stare, ac si solus optima consulere valeat. Nos vero his qui recta consulunt, nos ipsi dedere pigramur : pudetque nobis in vivendi ratione prudentiores agnoscere. Qui autem consiliarium exspectat, suis etiam ille cogitationibus opportunitatem præbet, ut cum examine ac attentione diutius investigent quid deceat. (2) Valde B igitur necessarium ac utile hominum vitæ consilium, quod nemo sibi ad ista solus sufficiat, sed adjutoribus magis indigeat ad rerum utilium delectum, quam ad ea quæ corpore perficiuntur. Quare qui consiliario caret, navis est gubernatore destituta, temere ventorum motibus permissa. Quod si in rerum leviorum deliberationibus consiliarios adhibemus ; cum deliberamus de anima et de rebus ei utilibus, nonne admirabiles nobis quærendi sunt consiliarii? Qui autem, cum adest bonum consilium, vanæ cordis sui voluntati obsequitur, is similis est Roboam, qui, spreto seniorum salutari consilio, juniores secum educatos secutus est, per quos imperium in decem tribus amisit [79].

C

5. Sic instructa adversus justos consilia in auctorum capita redundant, ut immissæ in solida et obnitentia corpora sagittæ ad eos redeunt, a quibus sunt immissæ. *Custodit* enim *Dominus omnes diligentes se, et omnes peccatores disperdet* [80] : quoniam illi debetur omnis gloria, honor et magnificentia, nunc et semper, et in sæcula sæculorum. Amen.

581 *DE PROVIDENTIA.*

SERMO XXII.

1. (3) Tanta est Creatoris in jubendo intelligentiæ fecunditas, quantæ rerum creatarum dissimilitudines et convenientiæ. Quæ omnia accurate D recensere, perinde est ac si quis fluctus pelagi enumerare, aut manus vola aquam maris admetiri conetur. (4) Quis enim possit cunctas proprietates ad volucrum vitam pertinentes accurate recensere? (5) Quomodo ciconiæ quidem omnes uno et eodem tempore his in locis ædificent, et sub uno signo omnes discedant : quod quidem a rationis intelligentia non longe abest. Quomodo autem stipent ipsas cornices, easque, ut mihi quidem videtur, deducant, et sociale quoddam illis auxilium

[79] III Reg. xii, 8 sqq. [80] Psal. cxliv, 20

(1) *Πρὸς ταῦτα.* Contextus, πρὸς πάντα.
(2) Ex comment. *in Isa.*, 452.
(3) Ex hom. vii *in Hexaem.*, 63.

(4) Ex hom. viii *in Hexaem.*, 74.
(5) Ibid., 75.

præstent adversus hostiles aves. Cujus rei argumentum est, primum quidem quod eo tempore nulla prorsus cornix appareat: deinde quod cum vulneribus redeuntes, manifesta belli socialiter pugnati indicia referant. Quis apud ipsas præscripsit hospitalitatis jura? quis ipsis desertæ militiæ accusationem minatus est, adeo ut nulla a comitatu sese subtrahat? (1) Grues autem vicissim exercent excubias. Et quidem aliæ dormiunt: aliæ vero circumeuntes, omnem ipsis securitatem per somnum exhibent. Deinde tempore vigiliarum peracto, hæc quidem clangore edito ad somnum convertitur: illa vero succedens, quam accepit securitatem, sua vice reddit. Hunc etiam in volatu ordinem servant. Alia enim alias itineris dux est; sed ubi per aliquod tempus statutum volatui præfuit, retro se recipiens, viæ ducatum insequenti tradit. (2) Vos autem qui non creditis futuram in resurrectione mutationem, revocata in mentem bombycis mutatione, manifestam resurrectionis notionem accipite. (3) Vos etiam qui mysterium nostrum ridetis, quasi impossibile et extra naturam sit, ut virgo pariat, virginitate illi integra permanente; cogitate Deum, cui hoc placuit, innumera ex natura argumenta ad rerum mirabilium fidem in antecessum proposuisse. Nam vulturibus absque ulla conjunctione parere dedit, licet maxime longævis, quippe quibus vita ad centum usque annos plerumque protendatur: atque ita in rebus omnibus, nobis perspicua miraculorum suorum monumenta reliquit.

2. (4) Est vero ipsis quoque piscibus suus sapiens quidam ac bene dispositus ordo, quorum unumquodque genus novit distinctam sibi a natura vitæ rationem: et in definitis sibi maris partibus perinde atque in civitatibus, aut vicis quibusdam, aut antiquis patriis immoratur. Jam vero et pisces quidam peregrinare soliti, velut ex communi curia in externas regiones proficiscentes, sub uno signo omnes discedunt. Cum enim præscriptum fetandi tempus institerit, alii ab aliis emigrantes sinibus, communi naturæ lege concitati, ad mare aquilonium festinant. **582** Et quidem ipso ascensus tempore pisces coactos per Propontidem in Euxinum Pontum influentes, uti torrentem quemdam videre possis. Ecquis movet? quodnam est regis imperium? qualia edicta in foro exposita præfinitum tempus indicant? quinam hospitum advenarumque ductores? Vides divinam ordinationem cuncta complentem, atque per minutissima pervadentem. Piscis divinæ legi non adversatur, nos vero salutaribus præceptis non obsequimur. Cave pisces asperneris, quod omnino insipientes sint, et rationis expertes: sed time, ne etiam his inferior sis

(1) Ex hom. VIII *in Hexaem.*, 74.
(2) Ibid., 78.
(3) Ibid., 76.
(4) Ex hom. VII *Hexaem.*, 66.
(5) *Καταλάβοι.* Forte, καταλάβη. Edit.

A μίους. Σημεῖον δὲ, πρῶτον μὲν τὸ μὴ φαίνεσθαι ὑπὸ τὸν καιρὸν ἐκεῖνον κορώνην παντάπασιν· ἔπειθ' ὅτι μετὰ τραυμάτων ἐπανερχόμεναι, ἐναργῆ τοῦ συνασπισμοῦ καὶ τῆς ἐπιμαχίας τὰ σημεῖα κομίζουσι. Τίς παρ' αὐταῖς τοὺς τῆς φιλοξενίας διώρισε νόμους; τίς αὐταῖς ἠπείλησε λειποστρατίου γραφὴν, ὡς μηδεμίαν ἀπολείπεσθαι τῆς προπομπῆς; Αἱ γέρανοι δὲ τὰς ἐν τῇ νυκτὶ προφυλακὰς ἐκ περιτροπῆς ὑποδέχονται. Καὶ αἱ μὲν καθεύδουσιν, αἱ δὲ κύκλῳ περιιοῦσαι, πᾶσαν αὐταῖς ἐν τῷ ὕπνῳ παρέχουσι τὴν ἀσφάλειαν. Εἶτα τοῦ καιροῦ τῆς φυλακῆς πληρουμένου, ἡ μὲν βοήσασα, πρὸς ὕπνον ἐτράπετο, ἡ δὲ τὴν διαδοχὴν ὑποδεξαμένη, ἧς ἔτυχεν ἀσφαλείας μετέδωκεν ἐν τῷ μέρει. Ταύτην καὶ ἐν τῇ πτήσει τὴν εὐταξίαν φυλάττουσιν. Ἄλλοτε γὰρ ἄλλη τὴν
B ὁδηγίαν ἐκδέχεται, καὶ τακτόν τινα χρόνον προκαθηγησαμένη τῆς πτήσεως, εἰς τὸ κατόπιν περιελθοῦσα, τῇ μεθ' ἑαυτὴν τὴν ἡγεμονίαν τῆς ὁδοῦ παραδίδωσιν. Οἱ δέ γε ἀπιστοῦντες περὶ τῆς κατὰ τὴν ἀνάστασιν ἀλλοιώσεως, μεμνημένοι τῆς κατὰ τοὺς σῆρας μεταβολῆς, ἐναργῆ λαμβάνετε τῆς ἀναστάσεως ἔννοιαν. Καὶ οἱ γελῶντες τὸ μυστήριον ἡμῶν, ὡς ἀδυνάτου ὄντος καὶ ἔξω τῆς φύσεως παρθένον τεκεῖν, τῆς παρθενίας αὐτῇ φυλαττομένης ἀχράντου· ἐνθυμήθητε, ὅτι ὁ ἐν τούτῳ εὐδοκήσας Θεὸς, μυρίας ἐκ τῆς φύσεως ἀφορμὰς πρὸς τὴν πίστιν τῶν παραδόξων προλαβὼν κατεβάλετο. Τούς τε γὰρ γῦπας ἀσυνδυάστως τίκτειν ἐποίησε, καὶ ταῦτα μακροβιωτάτους ὄντας, οἷς γε μέχρις ἑκατὸν ἐτῶν ὡς τὰ πολλὰ ἡ ζωὴ παρατείνεται· καὶ ἐν πᾶσιν ἡμῖν τῶν οἰκείων θαυμάτων ἐναργῆ
C τὰ ὑπομνήματα καταλέλοιπεν.

2. Ἔστι δέ τις καὶ παρὰ τοῖς ἰχθύσι σοφὴ καὶ εὔτακτος διακόσμησις, καὶ ἕκαστον γένος αὐτῶν οἶδε τὴν ἀφωρισμένην αὐτοῖς παρὰ τῆς φύσεως δίαιταν· καὶ ὥσπερ πόλεσιν, ἢ κώμαις τισὶν, ἢ πατρίσιν ἀρχαίαις, τοῖς ἀποτεταγμένοις αὐτοῖς τῆς θαλάσσης μέρεσιν ἐναυλίζεται. Ἤδη δὲ τινες καὶ ἀποδημητικοὶ τῶν ἰχθύων, ὥσπερ ἀπὸ κοινοῦ βουλευτηρίου πρὸς τὴν ὑπερορίαν στελλόμενοι, ὑφ' ἑνὶ συνθήματι πάντες ἀπαίρουσιν. Ἐπειδὰν γὰρ ὁ τεταγμένος καιρὸς τῆς κυήσεως καταλάβοι (5), ἄλλοι ἀπ' ἄλλων κόλπων μεταναστάντες, τῷ κοινῷ τῆς φύσεως νόμῳ διεγερθέντες, ἐπὶ τὴν βορείαν (6) ἐπείγονται θάλασσαν. Καὶ ἴδοις ἂν κατὰ τὸν καιρὸν τῆς ἀνόδου ὥσπερ τι ῥεῦμα τοὺς ἰχθύας ἡνωμένους, καὶ διὰ τῆς Προποντίδος ἐπὶ
D τὸν Εὔξεινον ῥέοντας. Τίς ὁ κινῶν; ποῖον πρόσταγμα βασιλέως; ποῖα διαγράμματα κατ' ἀγορὰν ἡπλωμένα τὴν προθεσμίαν δηλοῖ; Οἱ ξεναγωγοῦντες (7) τίνες; Ὁρᾷς τὴν θείαν διάταξιν πάντα πληροῦσαν, καὶ διὰ τῶν μικροτάτων διήκουσαν. Ἰχθὺς οὐκ ἀντιλέγει νόμῳ Θεοῦ, καὶ ἄνθρωποι σωτηρίων διαταγμάτων οὐκ ἀνεχόμεθα. Μὴ καταφρόνει τῶν ἰχθύων, ἐπειδὴ ἄφρονα (8) παντελῶς καὶ ἄλογα· ἀλλὰ φοβοῦ μὴ καὶ τούτων ἀλογώτερος ἧς, τῇ διατάξει

(6) *Βορείαν.* Sic scripsimus pro βορεῖην, quod legebatur in editis. Id.
(7) *Ξεναγωγοῦντες.* Contextus, ξεναγοῦντες.
